







EUSTATHII

METROPOLITAE THESSALONICENSIS

OPUSCULA.

ACCEDUNT

TRAPEZUNTINAE HISTORIAE SCRIPTORES

PANARETUS ET EUGENICUS.







E CODICIBUS MSS. BASILEENSI, PARISINIS, VENETO

NUNC PRIMUM EDIDIT

THEOPHIL. LUCAS FRIDER. TAFEL,

PHIL. Dr. LITER. ANTIQ. IN ACAD. TUBING. PROF. P. O.

FRANCOFURTI AD MOENUM

SUMPTIBUS SIGISMUNDI SCHMERBER.

MDCCCXXXII.

VIRO

ILLUSTRISSIMO ATQUE EXCELLENTISSIMO

CAROLO L. BAR. DE WANGENHEIM

J. U. ET. CAM. DR.

AUGUSTISSIMI REGIS WUERTTEMBERGIAE IN GUBERNANDA REPUBLICA
SUMMO MINISTRO

WUERTTEMBERGICI ORDINIS CORONAE SIGNIS PRIMARIIS ORNATO

UNIVERSITATIS LITERARIAE TUBINGENSIS OLIM MODERATORI LIBERALI SAPIENTI

FORTUNAE SUAE BENEVOLO QUONDAM AUCTORI

HAEC ANTIQUITATIS MONUMENTA

IN SUMMAE VENERATIONIS GRATISSIMIQUE ANIMI TESTIMONIUM CONSECRAVIT

EDITOR.

LECTORI ERUDITO BIBLIOPOLA



S. P. D.

Eustathii, metropolitae Thessalonicensium celeberrimi, varia opuscula, cum scriptoribus quibusdam historiae Trapezuntinae, tandem aliquando e bibliothecarum tenebris eruta atque perpurgata Tibi offert Tafelius Tubingensis.

Cui operi quominus Prolegomena sua jamnunc praemitteret Editor, in quibus ea ubertate, quae in anecdotorum editoribus laudatur, non expectatur, genium aevi Eustathiani i. e. saeculi XII. illustravit cum politicum, tum ecclesiasticum; dein ipsius Eustathii vitam doctrinamque ex Ejusdem maximopere scriptis diligenter enarravit; postremo de codicibus suis mss. exposuit — ejus rei non aliud extitit profecto impedimentum, quam rerum humanarum fatalis quaedam iniquitas, quae Graecorum quorundam Eustathio coaevorum libellos mss., de vita obituque Auctoris nostri compositos, in Editoris manus pervenire adhucdum detrectavit; quamquam ii libelli aliquanto (ut concludere ex quibusdam licet) plenius quam ipsa Archiepiscopi nostri opera vitam Ejusdem studiorumque rationem explanaturi videntur: adeo ut, quicunque vitae Eustathii, immo Comnenorum (quibus conjunctissimus Noster fuit) aevi vergentis scriptores posthac esse voluerint, aegre iis carituros existimem.

Verum affulsit his ipsis diebus melior nobis lucerna: pervenient ad Editorem parentalia illa diu efflagitata, cum aliis Eustathianis item ineditis, quae ipsa quoque Thessalonicensium et Byzantinorum historiam illustrabunt.

Quod num hoc ipso, quem agimus, anno eventurum sit, certo jam definire vix licet. Quare non diutius moranda erat hujus voluminis dudum promissi typisque exscripti evulgatio.

Prodi ergo in lucem cum comitibus Tuis, Eustathi, Thessalonicensium metropoleos orator redivive, strenue labentis popularium doctrinae vindex. Accede vero ad has aevi medii epulas, prudens lector: sive ληκύθους sectaris exquisitioris eloquentiae ecclesiasticae; sive Pindarum Thebanum suspicis, atque alia priscae linguae monumenta; sive ascetarum monachorumque institutis faves; sive fontem cognoscere studes, ex quo permulta eorum sunt hausta, quae in suo annalium opere prodidit Nicetas Choniates, nostro coaevus; sive Normannorum Siculorum res contra Andronicum tyrannum atque Isaacium Angelum gestas curatius scire gestis; sive Thessalonicensium civitatem toties captam plorare vis, sive Comnenorum Constantinopolitanorum et Trapezuntinorum historiam diligentius examinare. Pete has opes (non frustraberis), immo invade; non quidem per anticam — Prolegomenorum portam, quae, ut dixi, nulla est; sed per posticam, si lubet — Indices inquam rerum, nominum, verborum; quos, me quidem non rogante, sed admodum probante, locupletissimos ab Editore confectos laetaberis.

Supplementis autem Eustathianis, sive posteriori volumini, si Deo placuerit, praeter alia inerunt haec:

Prolegomena;
Eustathii Thessalonicensis expositio in carmen pentecostale Ioannis Damasceni;
Eiusdem oratio ad Manuelem Comnenum imperatorem pro urbe Thessalonica;
Eiusdem oratio de obitu fratris;
Michaelis Pselli literae Eustathio Thessalonicensi datae;
Michaelis Choniatae literae Eidem datae;
Eiusdem monodia in obitu Eiusdem;
Euthymii monodia in obitu Eiusdem;
Michaelis Choniatae memoria Alexii Comn. imp.;
Eiusdem laudes Isaacii Angeli imp.

Francofurti ad Moenum, instantibus nundinis paschalibus anni salutis reparatae MDCCCXXXII.

CONSPECTUS

EORUM QUAE HOC VOLUMINE CONTINENTUR

TRAPEZUNTINAE HISTORIAE SCRIPTORES

MANTISSA OBSERVATIONUM CRITICARUM.

Pag.

1, 10. *ὑμῶν.* Ms. *ἡμῶν.*

1, 12. *ὑμᾶς.* Ms. *ἡμᾶς.*

1, 18. *ἐπελευστικῶς.* Ms. *ἐπιλευστικῶς.*

1, 44. *κρήνης.* Abest hoc a ms., quod sensu efflagitante ingessimus. Vel *ἐκείνης* mutandum in *κρήνης.*

1, 47. *ἐπενεθυμήθην.* Ms. *ἐπενεθυμήθη.*

1, 49. *Φεβρουάριος.* Ms. *φερέμνιος.*

2, 10. *ἐξεπιπολῆς.* Ms. *ἐξ ἐπὶ πολλῆς.*

2, 13. 14. *θεοφιλίας.* Ms. *θεοφιλείας.*

3, 18. *κατασφάξειν.* Ms. *κατασφαγεῖν,* quod reponendum. Ludit enim Eustathius in hac voce, coll. anteced. *καταφαγεῖν.*

5, 20. *κατακάμπτεσθαι.* Vetus scriptio evanuit. Recentior manus *κατακαμπτον.*

5, 51. *ὡς.* Ms. *ὁ,* sine sensu.

5, 68. *κυνάμυιαι.* Sic Ms. Alia manus *κυνόμυιαι.*

8, 33. *ἠγκαλμάτωσε.* Ultimis syllabis eadem manus suprascripsit *τισε.*

9, 50. *καθῆκον.* Uncis hanc vocem inclusimus, ut scholion antecedentis *προσῆκον.*

13, 66. *μεθοδεύων.* Ms. *μεθοδεῦον.*

18, 65. *σωματικόν.* Ms. *σῶμα.* Sed alia manus addidit *τικόν.*

21, 16. *κήρυκας.* Sic scripsimus pro vocula mspti vix extricanda.

21, 75. *θέσθαι.* Ms. *δέσθαι.* Num *δέεσθαι* (*δεῖσθαι*), quod haud infrequens in nostro auctore, coll. *δέεται* p. 250, 86. al.?

24, 83. *ὅσα* Ms. Num *οἷα*?

28, 90. *δεσπόζουσιν* Ms. Malimus *δεσπόσουσιν.*

30, 83. 84. *ἀπιάτης.* Post hanc vocem intercidisse mihi substantivum videtur.

36, 64. *ἢ τερπνόν.* Exspectabas *ἢ τερπνότερον,* s. *ἢ οὕτω τερπνόν.*

40, 34. *πλατυτάτην δεσποτείαν.* An *πλατύτητα δεσποτείας?* Quod quidem scripturae codicis non repugnat.

43, 26—28. *Καὶ εἰπεῖν μὲν οὐκ ... πεποίηται, οὐ κ. τ. λ.* Haec ita lege: *Καὶ εἰπεῖν μέν,* „*οὐκ ... πεποίηται*“, *οὐ κ. τ. λ.*

54, 8. *ἀρχαιοπρεπεῖς ᾠδάς.* Haec ita scripsit codex: *ἀρχαιοπρεπεῖς* ‡ *ᾠδάς.*

54, 61. *ἢ ἀλλά.* Sic aperte ms. Ubi noli *ἢ ἄλλῃ* legere. Tritum enim apud Nostrum est *ἢ ἀλλά,* coll. pag. 242, 40. 245, 60. 70. 247, 60. 248, 40. etc. Adde *ἢ γοῦν ἀλλά* 245. 70. etc. Cf. quoque *aut vero* ap. Cic. Verr. II, 4. 35.

54, 82. **παραπέσαιεν. An παραπέσοιεν? Sed cfr. Buttm. ausf. gr. Sprachl. T. II. p. 217 sq.**

55, 73. **ὀδεύσοις. Godofr. Hermannus ms. mavult ὀδεύσαις.**

55, 87. **τό· Διῒ σὺν Αἰακῷ. Lege cum Godofr. Hermanno: τό· Διῒ καὶ σὺν Αἰακῷ.**

56, 12. **ὀρεσίκτυπον. Godofr. Hermannus ὀρσίκτυπον.**

Pag.

56, 89. *ταὐτόν.* Ms. male *αὐτόν.*

56, 93. *κατὰ στόμα.* Godofr. Hermannus *μετὰ στόμα*

57, 61. *πατριῶν.* Godofr. Hermannus *φατριῶν*, coll. 54, 81.; ubi ms. *φατριῶν* habet, non *πατριῶν.*

57, 83. 84. *κατὰ δέ τινας... Μυρτοῦς.* In his mihi alicubi excidisse videtur *ἦν.*

57, 94. *ἄρχοντος Ἀβίωνος.* An *ἄρχοντος ᾱ* (i. e. *ἐπωνύμου*) *Βίωνος?* Sed hoc nunc parum placet. Lege *ἄρχοντος Βίωνος.*

58, 8. *Ἔκλαυσαν, πινυταὶ Πινδάρου θυγατέρες.* Tu lege cum Gerhardo et Godofr. Hermanno: *Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί.*

58, 15. *ἐκεῖθεν πατρίδι.* Godofr. Hermannus *ἐκεῖθεν τῇ πατρίδι.* Nec praetermittendum videtur, ultimam verbi *ἀπεδόθη* particulam et vocem *ἐκεῖθεν* raso ibi bombyci inscriptam esse alio (sic videtur) atramento.

58, 74. *ἀφορισμὸς* (*definitio*); licet scriptio codicis ibi perobscura est, cum in media voce bombycis lamina elisa sit. Tu lege cum Godofr. Hermanno *ἀφεσμός*, coll. Eod. in Wolff. Liter. Anal. II, 1. p. 73 sq. (Opusc. Vol. II. p. 252 sqq.)

59, 9. *ἀποδημοῦντα.* Edd. *ἀποδραμοῦντα.*

59, 54. *ἅμα τῷ καὶ.* Godofr. Hermannus *ἅμα τῷ γε καὶ.*

59, 54. 55. *θήρην.. πυγμαχίην.. παλαισμοσύνην.. ἀλεγεινήν.* Sed his omnibus accusativis eadem manus superscripsit *ης*, quod eligendum cum Godofr. Hermanno.

59, 62. *ὅς ῥά οἱ.* Godofr. Hermannus *ὅς ῥά τέ οἱ.*

59, 62. *κατέλεξεν* ms., ut videtur. Melius tamen cum Godofr. Hermanno *κατέδειξεν*, coll. Eod. ad Hom. Apoll. 309.

59, 63. *μενοινῇ.* Ms. *μενοινῆς.*

59, 74. *Τῷ δὲ.* Böckhius expulit *δὲ*, notante quoque Godofr. Hermanno.

59, 77. *ἀναδεδεγμένος.* Edd. *ἐνδεδεγμένους.* Lege *ἐν δ' ἐλεγείους.* Elegiae enim aperte desiderantur in hoc carminum Pindaricorum indice.

59, 80. *παθών.* Sic bene ms.

59, 92. 93. *πράξαντος.* Sic haud admodum dubie ms., licet scripturâ valde pallidâ. Edd. *πράξοντος.* Deinde *εὖ* addidi ex edd. Abest (ut videtur) a nostro cod.

60, 91. *δίσκευμα, κοντὸς καὶ.* Lege: *δίσκευμ', ἄκων τε καὶ..*

61, 6. *ὁ ἐπῳδὸς.* Godofr. Hermannus *ἡ ἐπῳδός.*

65, 36. *ἀπροςδεές.* Repone genuinum, quod codex habet, *ἀπροςδεής*, sc. ecclesia.

65, 59. *θεῷ κατ' ὄνομα.* Malim *θεοῦ κατ' ὄνομα.*

65, 66. *πραγματευτικῶς.* Ms. *πραγματικῶς.* Sed huic voci suprascriptum eâdem, ut videtur, manu id, quod nos dedimus, *πραγματευτικῶς.*

66, 62. *ταῖς ὅλαις.* Num *ταῖς ὕλαις?*

68, 38. *χρυσίον εὔροιζον.* Sic Ms., pro qua forma alibi quoque obvia Lachmanno et Wilkenio (Kreuzzüge T. V. append. pag. 17. 30.) magis placet forma *ὄβρυζος.*

69, 46. *οὐδ'.* Ms. male *οὐκ.*

69, 49. *τὸν τοιοῦτον.* Ms. male *τῶν τοιούτων.*

86, 14. 15. *διασκευάζεσθαι.* Syllabae *αι* impositum est *ε.*

86, 45. *ὑπερπονεῖ.* Post h. vocem erasum aliquid videtur.

90, 59. *αἰκάλλοντες.* Ms. *αἰκάλοντες.*

92, 95. *χάλκιδας* ms. Ego reposui *χάλικας*, flagitante sensu.

95, 4. *κνυζόμενοι.* Restitue vetus *κνυζόμενον*, cuius literae *οι* inscripta litera *ο.*

108, 96. *ὑποκλέπεται.* Sic ms. Vide quoque p. 109, 15 (*ὑποκλέποιτο*).

109, 66. *ἀ[γάπης μέτρ]ῳ.* Huic meae loci mutili emendationi iam minus confido.

134, 69. *δυαζέσθωσαν.* Antiqua manus correxit *διαζέσθωσαν.*

Pag.

135, 73. *οὐκ ἄκαρπα.* **Ob sensum malim abesse** *οὐκ.* **Et in ms. litura vetus inest literis** *ου.*

136, 88. *ἀμαθεστέροις.* **Lege** *ἀβαθεστέροις,* **ut alibi Noster ludit in vv.** *ἀμαθὴς* **et** *ἀβαθής.*

137, 21. *εὐρυχόρῳ.* **Manus emendantis intulit** *εὐρυχώρῳ.*

138, 2. *οὖς σου.* **Lege** *οὖς ἑαυτοῦ.*

142, 11. *ἦ δέ ποτε.* **Num** *ἤδη ποτέ?*

143, 48. *μή μοι πνίγε.* **Quin** *μή με πνίγε?*

145, 27. *ἀνακάμψαι.* **Placet** *ἀνακάμψας.*

145, 28. *ἱερὸς, ἱερός.* **Ultimum** *ἱερὸς* **abesse poterit.**

146, 23. *καλοῖς.* **Post hanc vocem sequitur in ms.:** *μέλι, οὗ κεφαλαιωδέστατον ἴδιον τὸ καὶ ὑγιάζειν, καὶ φῶς παρίσχεσθαι ἄλυπον, καὶ τρέφειν πρός τε ἡδονήν;* **sc. mera superiorum repetitio, quae repudianda erat.**

147, 68. *εἶχον.* **Num** *εἶχεν?*

148, 50. *ὕψιστον.* **Placet** *ὑψίστην.*

148, 58. *πνευματικά.* **Malim** *πνεύματα.*

150, 69. *κατηραμένης.* **Recentior manus** *κεκατηραμένης.*

151, 79. *ἡμᾶς.* **Post hanc vocem habet ms.** *διαβαίνειν,* **sed supra et infra punctis additis, quibus vox ut spuria damnari videtur.**

152, 61. Lacunam ms. sic expie: *τε ὑπόκρισιν.*

156, 36. *δίκασθϐ* **ms. Et hoc** *αι* **est ejusdem manus, cujus** *ον.*

157, 11. *παραλαλεῖτε.* **Ms.** *παρελαλεῖτε.*

158, 10. *οἱ ἄνθρωποι.* **Ms.** *ὁ ἄνθρωπος.*

167, 40. (S. Demetrii mart. laudatio.) Titulum initiumque hujus orationis ms. Paris. ita legit:

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, Εὐσταθίου ἀρχιεπισκόπου, λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἅγιον μεγαλομάρτυρα, μυροβλύτην Δημήτριον.

Ὃ δὴ πᾶσα ἀνάγκη, κατὰ τὸν πάλαι λόγον, πάσχειν ἄνδρα πρᾶγμα πράσσοντα (ὀκνεῖ δὲ πάντως ἐκεῖνος, καὶ ὁ ὄκνος, οἷος μὴ ἔχειν ψέγεσθαι), οὐ κατεικὸς (**sic**), *εἰ καὶ αὐτὸς πάσχοιμι, ἐμαυτὸν ἐπιῤῥίψας οὕτω μὲν μεγάλῳ, οὕτω δὲ καὶ δυσεπιχειρήτῳ πράγματι. Εἰ μὲν γὰρ τὴν ἀρχὴν αὐτὸς τῷ προκεχειρισμένῳ ἔργῳ ἐπέβαλον, ἢ καὶ μετά τινας ῥᾳδίως μετρητούς, ἦν ἄν μοι θαῤῥεῖν, ἐξευρεῖν εἰπεῖν τι ἄξιον, μὴ προκαταληφθὲν τοῖς πολλοῖς, ὡς ἐάν καί τις μεθ' ἕνα ἢ καὶ δύο τινὰς μέταλλα τίμια ἐξορυττόμενα ἰδών, ἢ καὶ αὐτὸς ἐξευρὼν βασανίζῃ τὴν γῆν· ῥᾷον γὰρ οὕτω πορίσεται τὸ ζητούμενον, ἢ μετὰ μυρίους, οἳ τὸν πυθμένα τῶν μετάλλων ἐπολυπραγμόνησαν.*

169, 50. *εὐφορεῖν.* **Ms. habebat** *εὐφρονεῖν,* **in qua voce litera** *ρ* **et proximum** *ν* **rasuram passa sunt.**

170, 65. *εὐθηνουμένοις.* **Ms.** *ἐνευθηνουμένοις,* **quod revocandum.**

171, 28. *ταὐτόν.* **Ms.** *τὸ ταὐτόν.*

172, 74. *Ἐδείμ.* **Ms.** *Ἐλείμ.*

174, 10. *βραχύτητι πετρῶν.* **Sic Ms. Exspectabas** *τραχύτητι πετρῶν.*

184, 16. *πολιτείαν.* **Num** *πολυτέλειαν?*

187, 18. *καπήλου.* **Sic aperte Ms. Praestat** *καμήλου.*

190, 30. *σπανία.* **Ms.** *σπάνιος,* **quod revocandum, si quidem** *σπάνιος* **est** *ὁ καὶ ἡ.*

191, 60. *μονῆς.* **Ms.** *μόνης.*

192, 35. *ἀναπτύξῃ.* **Ultimae literae alia manus inscripsit** *ᾱ* (*αι?*). **Ibidem in v.** *θεωρήσῃ* **supra prius** *η̄* **vestigium est literae** *έ* (*ει?*). **Ibidem vero sunt rasurae.**

193, 2. *χρᾶσθαι.* **In ms. vero est antiquiori literae** *η* **illita** *α.*

201, 89. *αἰθερίαις.* **Num** *αἰθρίαις?*

202, 17. *παιγνιήμονα.* **Ms.** *παιγνήμονα,* **quod revocandum, coll. hac forma in ind. Graecit.**

204, 50. *Ἀσσύριον.* **Ms.** *Ἀσύριον.*

205, 74. *οὐ μόνον.* **Ms.** *μόνον,* **sine** *οὐ.*

Pag.
206, 12. *χρηστά.* Legendum *χριστά.*
207, 81. *στοιχᾶσθαι.* Lege *ἐστοιχᾶσθαι.*
210, 69. *Ἀσσύριον.* Ms. *Ἀσύριον.*
213, 5. *ὀρθρὸν.* An *ὀρθὸν?*
214, 8. 9. Vindob.*) *Τοῦ μακαριωτάτου μητροπολίτου **** Εὐσταθίου ἐπίσκεψις βίου μοναχικοῦ ἐπὶ διορθώσει τῶν περὶ αὐτόν.*
214, 23. Vindob. *τοῖς καθ' ὑμᾶς.*
214, 40. Vindob. *ὑποθέσεως* pro *προθέσεως.*
214, 63. Vindob. *οἰκονομήσατε.*
214, 64. Vindob. om. *ἢ* ante *ἀλλὰ πραγμ.*
214, 78. Vindob. *τὴν καὶ ἀποστολικήν.*
214, 80. Vindob. *ὁποῖαν* (sic) *ἄν.*
215, 4. Vindob. *τύχη* pro *τύχοι.*
215, 93. Vindob. *ἐθέλουσι* pro *ἐθέλωσι.*
215, 94. Vindob. *αὐχένες ὄντως* pro *ὄντες.*
215, 97. Vindob. *ἐννοοῦσιν, οὔτε ὅτι.*
216, 4. Vindob. om. *ὁ* ante *καὶ ἐπισκόπων.*
216, 12. Vindob. *ἐπιλογὴ … θεωρία.*
216, 71. Vindob. *ὅταν* pro *ὅτι.*
216, 74. Vindob. *ἀξίῳ* (?) pro *ἁγίου.*
216, 77. Vindob. *εἰς* (fin.) pro *ἐξ.*
216, 93. Vindob. *ἐμορφώσατο.*
217, 14. Vindob. *ἔχει* pro *ἔχοι.*
217, 19. Vindob. *σχηματίσῃ, καταστήσῃ;* sed *ῃ* aliena manu pro originario *ει.*
217, 28. Vindob. om. *καὶ* inter *ὡσεὶ* et *ἄρκτου.*
217, 31. Vindob. *τοῦ* (*τοῦτο?*) *κόσμιον* pro *οὕτω κόσμιον.*
217, 36. Vindob. *καθὼς* pro *καθὰ.*
217, 42. Vindob. *καὶ οὐκ ἔστι* pro *καὶ ἔστι.*
217, 52. Vindob. *τῆς τελείας* pro *λείας.*
217, 59. Vindob. *φοβηθεὶς φόβῳ* pro *φόβον.*
217, 61. Vindob. om. *ὁ* ante *θεὸς.*
217, 65. Vindob. *καταλεῖψαι* pro *καταλείψαι.*
217, 68. Vindob. *τεύξεται* pro *τεύξηται.*
217, 71. (fin.) Vindob. om. *τῶν.*
217, 81. Vindob. *μεγαλείου* pro *μεγαλείως.*
217, 84. Vindob. *κατὰ τὸν θεὸν μεγίστης.*
217, 86. Vindob. om. *καὶ* inter *ὡσεὶ* et *σκιαί.*
217, 89. Vindob. *μεγαλοσχήματος* pro *μεγαλοσχήμονος.*
218, 5. Vindob. *ἐπαναβάσει* pro *ἐπὶ ἀναβάσει.*
218, 12. Vindob. *ἐν πολλοῖς* pro *ἐμπολῆς.*
218, 46. Vindob. om. *ἔτι δὲ καὶ εὐαγγελικῶς.*
218, 52. Vindob pro *πυλίτης* bene *ἐπηλύτης.*
218, 60. Vindob. *ὅτι τῷ θεῷ.*
218, 80. Vindob. bene *ἐνδόξως* pro *ἐνδόξοις.*

---

*) Simplex „Ms." ut ante est post significat librum Basileensem; „Vindob." librum *Vindobonensem*, cuius collatio ultimo demum tempore ad nos pervenit.

Pag.
218, 85. Vindob. ἀπολέσας pro ἀπολέξας.
219, 2. Vindob. φέρειν pro φῶς.
219, 12. Vindob. ὡς ἐν προσώπῳ.
219, 13. 14. Vindob. στρατευσάμενον.
219, 16. Vindob. ταῦτα pro τοιαῦτα.
219, 17. Vindob. om. πλέον ante περάγει.
219, 43. ἐγχειρῇ ἐπικτᾶσθαι. Ms. ἐγχειρῇ (superscr. ἔχῃ). Sed hoc ἔχῃ manus imposuit recentior.
219, 44. Vindob. ἐς μάλιστα.
219, 77. Vindob. εἶτα καὶ οὐ.
220, 37. Vindob. πεζῇ τρίβειν.
220, 38. Vindob. εἰς τὸ παντελές.
220, 49. Vindob. ὑπόζυγιον. Ibid. Vindob. om. καὶ inter καθὰ et τι.
220, 78. Vindob. διανυτέον.
220, 80. Vindob. δείσει καὶ ἐν.
220, 96. Vindob. ὅθεν καὶ οὔτε.
221, 1. Vindob. bene συλλογραφῆται.
221, 2. Vindob. bene ἀπαιδεύτοις· οὐδὲ μὴν.
221, 34. Vindob. ἐμπλεόμενος.
221, 36. Vindob. συνάγει τὰ τῷ.
221, 52. Vindob. εὔξαιτο.
221, 53. Vindob. οὐχὶ ἁπλῶς.
221, 62. Θωρακίου. Vindob. θωρακείου. Et vetus scriptura (θωρακείου) in ms. Bas. non plane evanuit.
221, 89. Vindob. σπουδαιότατος pro σπουδαιοτάτη.
222, 6. προαγωγὰς. Ms. προάγοντας. Num προαγῶνα, coll προαγῶνας p 225, 81.?
222, 56. Vindob. ὁδοῦ, ἣν καὶ.
222, 67. (fin.) Vindob. ἐκφαίνει.
222, 69. Vindob. οἰκωφελείᾳ.
222, 96. Vindob. καταπράξασθαι.
223, 91. Vindob. σε ζητοῦσιν.
224, 18. Vindob. om. καὶ post πρινῆ.
224, 26. Vindob. om. τῇ inter εἴπερ et τοιαύτη.
224, 53. Vindob. βραχεῖαν.
224, 58. Vindob. om. Ἄβιοις.
224, 67. Vindob. ἐπαγγέλλῃ.
224, 69. Vindob. εἶτ' οὖν.
224, 74. Vindob. καὶ μὴ θνῆσκε.
224, 78. Vindob. κληρονομήσει.
224, 86. Vindob. δύνασθαι.
225, 26. Vindob. δὲ καὶ ἄλλως.
225, 34. Vindob. ἀγχιβαθεῖς καὶ ἐχέθυνοι
225, 40. Vindob. ἀργία.
226, 6. Vindob. ἐνώπιον τοῦ θεοῦ, sine καί.
226, 10. Vindob. στρογγυλομένη.
226, 32. Vindob. εὔτακτον καὶ γενικὴν.
226, 45. ἐνιαίους. Malim ἐνιαίως, ut Vindob. habet
226, 49. Vindob. ἁρπαγεὶς Ἠλίας μόνος.
226, 50. Vindob. om. ὁ inter εἰς et ὡς.

Pag.
226, 80. Vindob. *φυσικὴν* pro *φιλικήν*.
226, 83. Vindob. om. *τὸν* inter *πάντα* et *τῷ*.
226, 88. *ψυχὴν λ*°. Hoc λ est in margine, cujus reliqua bibliopegae culter abscidit. Mihi hoc λ truncatum videtur ex *λογικήν*.
226, 88. Vindob. *καὶ* ante *βουλεύματα*.
226, 90. Vindob. *κοινωνήσηται* pro *κοινώσηται*. Deinde Vindob. *οὐ χάριν ῥυθμίσας αὐτός*.
227, 3. Vindob. *σύμφωνα* bene, pro *συμφ[ύ]ων*. Jam dele comma post *σύμφωνα*.
227, 29 sqq. Vindob. om. *οὔτε ἀδελφότης ... ἔστι* (l. 32.).
227, 58. Vindob. *γεωργικά· καὶ οὐκ*.
227, 59. Vindob. *ἀλωῆς*.
227, 83. Vindob. *ἐς αὐτόν*.
228, 4. Vindob. om. *τὰ* ante *λοιπά*.
228, 35. Vindob. *θραυόμενον* pro *θρασυνόμενον*.
228, 40. Vindob. *οὐχ ἁπλῶς*.
228, 58. Vindob. *ἀλλὰ καὶ τήν*.
228, 61. Vindob. *προλαβεῖν* pro *προλαλεῖν*.
228, 70. Vindob. *ὕπαρξις* pro *ὕπαρξιν*.
228, 73. Vindob. *συναλλαγῆς* pro *συλλογῆς*.
228, 75. (fin.) Vindob. *ἡ* pro *ἤ*.
228, 88. Vindob. *εἶτουν* pro *εἴτ' οὖν*.
228, 91. Vindob. *χρὴ οὕτω*.
228, 93. Vindob. *πρακτικὸν* pro *πατρικόν*.
229, 14. Vindob. *πραγματευομένοις* pro *πραγματευσαμένοις*.
229, 15. Vindob. *τὰ πρὸ τῆς* pro *τὰ πρὸς τῆς*.
229, 19. Vindob. *κουρεύεσθαι*.
229, 35. Vindob. *ὅρα* pro *ὅρ'*.
229, 38. Vindob. *ὅτι* pro *ὅτε*.
229, 40. Vindob. om. *γὰρ* post *πρόληψις*.
229, 45. Vindob. om. *οὐκ* inter *καὶ* et *αὐτό*. — Ibid. Vindob. *διὰ τρυφῆς* pro *διατριβῆς*.
229, 46. Vindob. *συστήσῃ* pro *συστήσει*.
229, 91. Vindob. *μείζων* pro *μεῖζον*.
230, 7. Vindob. *προβαλλεῖται* pro *προβαλεῖται*.
230, 26. Vindob. *ὅπως* pro *ὅπερ*.
230, 58. Vindob. *παραστάναι* pro *παρεστάναι*.
230, 72. Vindob. *ἐξαρτίσαι* pro *ἐξαρτύσαι*.
230, 75. Vindob. *τόπος μὲν τῷ γάμῳ*.
230, 77. Vindob. *διΐσταται* pro *διέσταται*.
230, 86. Vindob. *ἔστειλε* pro *ἐξέστειλε*.
230, 88. Vindob. *πύλαι* pro *πῦλαι*.
231, 5. Vindob. om. *δὲ* inter *ἐνέλιπον* et *οὐδέ*.
231, 47. Vindob. *ἂν θυμωθῇς* pro *ἐὰν θυμωθῇς*.
231, 49. Vindob. *ἢ* pro *ἦ*.
231, 52. Vindob. om. *τε καὶ θυμικῷ*.
232, 1. Vindob. *ἀντὶ τοῦ κατά*.
232, 2. Vindob. *ἀπομένεις* pro *ἀποβαίνεις*.
232, 22. Vindob. post *ῥάκη, δι' ὧν* habet: *καὶ τὸ τραχὺ τοῦ βίου συμβολογραφοῦσιν ἐν σφίσιν αὐτοῖς, μὴ ὅτι γε ἀπαναινόμενοι Σηρικὰ καὶ ἁλουργὰ καὶ λοιπὰ εὐαφῆ φορήματα, δι' ὧν σῶμα κολακεύεται κ. τ. λ.*

Pag.
232, 46. Vindob. om. *μὴ* inter *μὲν* et *ὢν ἐναντίον*.
232, 47. Vindob. *θεόφθεγγος* pro *θεόφθογγος*.
232, 67. Vindob. *λέγοιτο* pro *λέγηται*.
232, 70. Vindob. *ἤπερ οἱ* pro *ἤπερ εἰ*.
233, 3. Vindob. *ὅςπερ* pro *ὥςπερ*.
233, 11. Vindob. *ἐνθυμούμενοι ποιεῖν, ὅσα..*
233, 12. Vindob. om. *ποιεῖν* ante *καὶ κατέθεντο*.
233, 25. Vindob. *καὶ γάρ ἐστιν* pro *οὐ γάρ ἐστιν... καταρραχθῆναι*.
233, 37. Vindob. *γυμνώσεως* pro *γνώσεως*.
233, 43. Vindob. *ὅση μὴ οἶδε*.
233, 51. Vindob. *παρ' αὐτοῦ*.
233, 53. Vindob. *δὲ ἡμερῶν* pro *τε ἡμ*.
233, 60. Vindob. *ὡς οἱ καὶ λύκοι*.
233, 64. Vindob. *οἱ αὐτοῦ ἀσκηταί*.
233, 71. Vindob. *ἐκθερμαίνονται*.
233, 87. Vindob. *εἰς τό*.
233, 90. Vindob. *τοσοῦτον, ὡς καί*.
234, 27. Vindob. *εἰκονίσει*, vel *εἰκονίσοι*. Scriptura enim subobscura. Prius tamen verisimilius.
234, 34. Vindob. *ἐμφανῆ γινόμενον*.
234, 77. *πρὸς κουρῶν*. Leges vel *προςουρῶν*, vel *προκουρσῶν*. Sed Vindob. habet *προςχωρῶν*, quod praestat.
234, 91. Vindob. *εἰς τὸ κοσμιώτατον*.
234, 92. Vindob. *μεγαλοσχήμοσι*. *Καὶ οὐχ κ. τ. λ.*
235, 20. Vindob. *φοινὸς καὶ πυρός*.
235, 24. Vindob. *ἀχρείως* pro *ἀχρόνως*.
235, 28. *καί τι*. Ms. *καί τοι*.
235, 38. Vindob. *ἐνδεχὲς* pro *ἐνδελεχές*.
235, 43. Vindob. om. *δίδωσι*.
235, 51. Vindob. *τὴν ἐκτὸς ψυχαγωγίαν*.
235, 55. Vindob. *πολλὰ μέν*.
235, 64. Vindob. *ἐγκαταλείπων*.
235, 70. Vindob. *ἀφῆται* pro *ἀφεῖται*.
235, 77. Vindob. *τοὺς μὴ τὴν ὄψιν ἢ στενοχωρημένους, ἢ εἰς κ. τ. λ.*
236, 12. Vindob. *ὅτι* pro *ἔτι*.
236, 24. Vindob. *βλέποντας* pro *βλάπτοντας*.
236, 40. Vindob. *οὔσης τῆς ἐν*.
236, 58 59. Vindob. *γῆν, καὶ τὰ κατ'*.
236, 77 Vindob. *εἶτουν* pro *εἴτ' οὖν*.
236, 81. *καλόγερον*. Ms. *καλόγηρον*.
237, 2. Vindob. *ἐπὶ τοῦ τοιούτου*.
237, 4. Vindob. *ἡμέρᾳ ἐρεύγεται ῥῆμα· ὅπερ ἁρμόσοι αν απασιν, ἐν οἷς ὁ ἱερὸς βίος λόγῳ συμφωνίας ἐμμελῶς ἔχει ἐς διηνεκές, ἵνα ἡμέρα ἑκάστη τῇ ἐφεξῆς ημέρᾳ******* κῶς***** ᾧ πρέπει*.
237, 27. Vindob. *τίμιος* pro *δήμιος*.
237, 34 Vindob. *οὕτως καί*.
237, 36. Vindob. *ἐπὶ τοῖς τοιούτοις*.
237, 38. Vindob. *παράκειται* pro *περίκειται*.
237, 42. Vindob. *ἀκούσας ἄν*.
237, 88. Vindob. *ἀλλὰ καὶ τό*.

Pag.

237, 92. *παλαίπολις.* Malim *πάλαι πόλις.*
237, 92. *σεμνυνεῖ.* Praestare videtur *σεμνύνει,* quod habet Vindob.
238, 9. Vindob. om. *καὶ ἀμαυρωθείς.*
238, 13. Vindob. *εἴη ἂν θεωρικώτερον.*
238, 16. Vindob. *ὡς μὴ ἑνός.*
239, 5. Vindob. *μέλαν φρόνημα.*
239, 9. Vindob. *ὡς σί.*
239, 17 Vindob. *ὅτι μὴ εἰς πλ.*
239. 23. Vindob. *τοῖς πανηγυρίζουσι.*
239, 29. Vindob. *τοι καὶ ἐρυθροῦ.*
239, 42. Vindob. *αὐτοῦ; Καὶ καταμόνας.*
240, 15. Vindob. *καθὰ σεαυτόν.*
240, 18. Vindob. *ὑπερβιβάζεις.*
240, 24. Vindob. *κόσμον χροιαῖς.*
240, 28. Vindob. sic interpungit: *ψεύδεται τοὔνομα. Ἔγνως καὶ σάπφειρον, οὐδ' αὐτὸν ἀμαυροῦ χρώματος ὄντα. Οὐκ ἀγνοεῖς οὐδὲ τὸ λιγύριον, ἰδοὺ κ. τ. λ.*
240, 56. Vindob. *πυῤῥίτιδος.*
240, 76. Vindob. *καὶ ὅταν τοιοῦτον.*
241, 4. Vindob. *ἄλλως γάρ.*
241, 8. Vindob. *εὔκαιρον. Ἐνεκρώθης τῷ κόσμῳ· τί γοῦν πολλὰ τυρβάζειν εὐχειρεῖς [ἐγχειρεῖς?], ὃς οὐκέτι ζῆν κρίνοις ἄν, ὡς πρώην, εἴπερ ὀρθὰ φρονεῖς; Ἔφυγες βαρὺν δεσπότην τὸν, βίον· ἀγάπα τοίνυν ἠλευθερωμένος.*
241, 21. Vindob. *ἐπεκβέβηκεν.*
241, 29. 30. Vindob. *ἐπὶ πλέον ἔκτοτε.*
241, 40. Vindob. *καταμόνας ἐπίτασιν βίου.*
241, 48. Vindob. *εἴη ἂν τοίνυν.*
241, 59. Vindob. *καὶ οἵ γε* pro *ὡς οἵ γε.*
241, 69. Vindob. *διηνεκῶς κεντεῖσθε.* Ultimum *ε* subest rasurae.
241, 80. Vindob. *μεγίστου ὑμῶν Ἰησοῦ.*
241, 95. Vindob. *καθ' ὑμᾶς.*
242, 4. Vindob. *πράκτωρ καὶ ὁ πραγματευτὴς καὶ ὁ πραγματευτικός.*
242, 5. Vindob. *οὐ μὴν ὁ πρακτικός,* sine *καί.*
242, 53. Vindob. om. *καὶ* inter *δὴ* et *εὑρίσκεται.*
242, 62. Vindob. om. *πρὸ* inter *αὐτὸ* et *τῶν.*
242, 64. Vindob. om. *τὸν* ante *Ἀναγίαν.*
242, 67. Vindob. *ὧν καὶ κατάρχει.*
242, 68. 69. Vindob. *καὶ κατακύψας κοσμίως.*
243, 1. Vindob. *ὀφείλειν* pro *ὄφλειν.*
243, 27. Vindob. *τὴν μοναχικὴν ἀκρότητα.*
243, 34. *ἴκταρ.* Ms. Basil. et Vindob. *ἴκταρ.*
243, 39. *τίς.* Lege *τί,* ut Vindob.
243, 61. Vindob. *πρὸς κέρδος.*
243, 66. Vindob. *ζωτικόν.*
243, 69. Vindob. om. *μοῖρα* inter *μὲν* et *τις.*
243, 70. Vindob. *ἑτέρα* pro *ἕτερα.*
243, 79. Vindob. *ἐνδιατρίβεται* pro *ἐντρίβεται.*
243, 84. Vindob. *εἰς μακαρίαν.*

Pag.
244, 1. Vindob. *καλυβίται* pro *καλυβῖται*.
244, 22. Vindob. *πρακτική, καὶ ἡ παρώμουσος*.
244, 38. 39. Vindob. *θραύοιεν μὲν ἐκεῖνα*.
244, 66. Vindob. *ὑποτιθεμένων*.
245, 14. Vindob. *καταρτίσεις*.
245, 32. Vindob. *ἑτεροῖα πάντα, πρὸς ὕπερ*.
245, 42. Vindob. *ἀποσχολῶν*.
245, 56. Vindob. *καθάπερ*; sed hoc *περ* impositum est rasurae.
245, 60. Vindob. *παρεξισάζεις*.
246, 40. Vindob. *τὸ τηνάλως* (post λ est literae putes alterius λ rasae vestigium) *γεγενωμένον*.
246, 57. Vindob. *κόσμου κόσμος ἐστίν*.
246, 67. Vindob. *κοσμιώτερος*.
246, 70. Vindob. *μετὰ εὐπράκτου*.
246, 85. Vindob. *ἀλλὰ σὺ πρωτεύων*.
247, 12. Vindob. *ἔριφον, καὶ αὐτίκα*.
247, 23. *καλόγερος*. Ms. *καλόγηρως*.
247, 41. Vindob. *τυρβάζειν* pro *τυρβάζει*.
247, 42. Vindob. *θρασυνόμενος* pro *θρασυνάμενος*.
247, 54. Vindob. *φαιητισμόν*.
247, 62. Vindob. *εὐτυχίαν* pro *ἐντυχίαν*.
247, 64. Vindob. *προσεπιθέντες*.
247, 69. Vindob. *ὃν, τὸν ἐν*.
247, 87. Vindob. *καλόγερως*.
248, 17. Vindob. *θλίβουσι μὲν πάντες*.
248, 31. Vindob. *ἀπονυστάζει*.
248, 32. Vindob. *σοῦ καὶ ἡ κτίσις*.
248, 62. Vindob. *ἔθετο· εἰς ἔσται*.
248, 64. Vindob. *ἕξει παρὰ σὲ ὁ*.
248, 65. Vindob. om. *δὲ* inter *εἰ* et *καί*.
248, 76. Vindob. *ποθουμένην σοι*.
248, 78. Vindob. *τὸν καινοτρόπον*.
248, 93. Vindob. *ἐχρῆν ἀπέχεσθαι σε*.
249, 1. Vindob. *κηρύξαι*.
249, 28 Vindob. *φιλόσοφος ὁ ὄντως*.
249, 85. Vindob. *ἐξουδενοῦν*.
249, 95. *χωρητικέ*. Vetus scriptura est *χωριτικέ*. Sed priori literae ι illita est η. Vindob. *χοριτικέ*.
250, 12. Vindob. om. *καὶ* inter *ἀλλὰ* et *καταγινόμενος*.
250, 24. Vindob. *ῥεγεῶσιν*.
250, 25. Vindob. *πῶς δὲ καὶ οἱ*.
250, 30. *ῥεμβόμενοι*. Ms. *ἐρεμβόμενοι*.
250, 37. Vindob. *εἶναι τὰς τῶν ἀέργων*.
250, 39. Vindob. *καὶ εἰς αὐτὸ μικροῦ*.
250, 40. Vindob. om. *τὸ* inter *κάλυμμα* et *τῆς κεφαλῆς*.
250, 52. Vindob. *ἄνθρωπον πνευματικόν*.
250, 88. 89. Vindob. *Μαρίαν τὴν ἐνταῦθα*.
251, 5. Vindob. *γλίσχρως*.
251, 8. Vindob. *κερδαίνεις. μοναχέ*.

Pag.
251, 11. Vindob. προςβάντα pro προςβάντι.
251, 18. Vindob. ἀποπλύνει, ut videtur. Ibid. Vindob. τὴν χοῦν.
251, 51. Vindob. τῇ ἐκτροπῇ.
251, 66. Vindob. ἀδιάζειν δοκοῦσι.
251, 77. Vindob. φαίης ἂν, ὦ οὗτος, ἐπιτραπέζιον εὑρίσκειν ἥδυσμα.
251, 80. 81. Vindob. τοῖς μανθάνειν, sine καί.
252, 6. Vindob. μηκῶνται pro μυκῶνται.
252, 9. Vindob. οἱ ἀργοὶ μοναχοί.
252, 14. Vindob. ὢ ... ὢ.
252, 15. Vindob. ὢ ... ὢ ... Idem Vindob. om. ὢ τῶν καταγραφῶν.
252, 18. Vindob. om. secundum μοναχοί.
252, 20. Vindob. εὐκαίρως. Ἀκαίρως· καί.
252, 41. 42. Vindob. ἐπιεικῶς λογιστευόντων ἀνθρώπων.
252, 44. Vindob. ἐπανερωτῶντας τὰ δῆθεν.
252, 49. Vindob. εἰ δὲ τοιοῦτος.
252, 66. Vindob. ἄλλοθεν. Ἀρκέσει δέ.
252, 77. Vindob. αἰδημόνως, εἰς τά.
252, 78. Vindob. om. μή καί ante σύ.
252, 84. Vindob. ἀντιλοιδορεῖν.
252, 90. Vindob. τεταγμένος διαρθρεῖς; ubi literae θρεῖ rasuris impositae sunt.
253, 6. Vindob. παρακαλείτωσαν.
253, 19. Vindob. συζυγοῦν. Μόνον γοῦν τις ψωμίον ἔχειν λέγεται, οὐχ ὅτι μηδὲν ἄλλο, ἀλλ' ὅτι μὴ καὶ οἰνάριον αὐτῷ καί τι ὄψου πρόςεστι, τὰ συζυγοῦντα τῷ ἄρτῳ εἰς τροφῆς κ. τ. λ.
253, 36. ἀχρειωδῶν. Ms. et Vindob. ἀρχοειδῶν.
253, 38. Vindob. μὲν γὰρ ἐνταῦθα ὁ θησαυρισμὸς συνεκβέβληται.
253, 45. Vindob. τι εἰς ἀναβολήν.
253, 52. Vindob. ἄλλην παράθεσιν.
253, 61. Vindob. τῷ ἐγκρατευτῇ ζῆν.
253, 71. Vindob. καὶ ἀγγελικὸς μοναχός.
253, 77. Vindob. εἰ δέ τι καὶ συναγαγεῖν δεήσει.
253, 78. Vindob. αὐτὸ τῆς φιλεργοῦ.
253, 95. Vindob. καὶ μόνος ἐν τοῖς ῥητ.
254, 1. Vindob. ἡ ἀνδρεία.
254, 2. Vindob. ὁ ἀρχέτυπος δαίμων.
254, 9. Vindob. ἐξοχῇ θειοτάτῃ μόνος.
254, 23. Vindob. φαίνεται δὲ καὶ κατά.
254, 33. Vindob. om. σε post προςεπερωτῶ.
254, 37. 38. Vindob. om. καὶ οὕτως ἀνακόπτων.
254, 58. Vindob. οὔτε φιλοκρινεῖ.
254, 62. Vindob. om. καί inter ὡςεί et τύραννος.
254, 68. 69. Vindob. εἰς ἀνδρείαν ἐξασκῶν.
254, 75. Vindob. αὐτοὶ ἀργοί.
254, 87. Vindob. δίκην ἐπινεμομένου τά.
255, 12. Vindob. εἰς ἀφανὲς προστησάμενοι.
255, 28. Vindob. τοῦδε φοσσάτου. Literae οσσάτου rasuris impositae sunt.
255, 30. πεζαιτέρους. Lege c. Vindob. πεζεταίρους.
255, 51. Vindob. om. δέ inter ἤδη et καί.

Pag.
255, 54. Vindob. ὑπασπιστάς, ἔχοι μὲν ἄν.
255, 58. Vindob. om. καὶ inter δὲ et οἱ.
255, 65. Vindob. τοιοῦτοι πονούμενοι πολυειδῶς.
255, 71. Vindob. om. τε inter τῶν et περί. Sequitur ibidem περὶ τὴν γῆν.
255, 77. Vindob. ἔχων καὶ ἀντιβαίνειν.
255, 96. Vindob. τί οὖν οὐ.
256, 6. Vindob. εἰς τὸν πρώην.
256, 7. Vindob. βασιλέα προχειρίσεταί σε.
256, 41. Vindob. ὑπεραγαπῶν. Εἰ δὲ τῆς.
256, 43. Vindob. φρονοῦσιν ἀπότριπτον.
256, 44. Vindob. εὐλαβείας ἄλλην ταύτην.
256, 46. Vindob. ἢ τὸν ἱκέσιον.
256, 82. Vindob. ἐπ' ἀγαθῷ συμβούλῳ.
256, 89. Vindob. πλείους παρανομεῖται.
256, 92. Vindob. καὶ αὐτοὶ οὐχ ὡς.
257, 3. Vindob. om. καὶ inter θεοῦ et οἱ.
257, 23. Vindob. διὰ εἰςαγωγῆς.
257, 29. Vindob. om. μὲν inter μανδυώτης et γάρ.
257, 30. Vindob. ὅσον αὐτὸς ἡλάττωται.
257, 49. Vindob. καὶ ὁ ὀρθός.
257, 54. Vindob. φαίνεσθαι, ὡς εἶναι.
257, 59. Vindob. ὅσους τὰ μέν.
257, 67. Vindob. om. γὰρ inter μὲν et καί.
257, 89. Vindob. ἐξαμαρτιῶν.
258, 33. Vindob. ἔνδον τοῦ κελλίου.
258, 35. Vindob. πολυορκοῦντες.
258, 84. Vindob. ἑαυτοῦ γὰρ αἰδεῖται.
258, 91. Vindob. γάρ τοι.
259, 22. Vindob. γλευκός.
259, 30. Vindob. om. μὲν post γνήσια.
259, 39. Vindob. χρῆμα καὶ εἰς τὸ πᾶν.
259, 59. Vindob. καὶ ἐς μαγειρίαν.
259, 68. Vindob. εἰς ἔμβρωμα ἐκίνησε.
259, 91. Vindob. παντοίως pro παντοῖος.
260, 1. Vindob. οὐ τά.
260, 50. Vindob. κεχρημένον pro κεχρισμένον.
260, 82. Vindob. γλῶσσα pro νόσος.
260, 91. Vindob. τι πρέμνον λογίζεται.
261, 5. Vindob. om. μὲν inter εὐθὺς et γάρ.
261, 20. Vindob. παρ' αὐτοφαυλοκόλακας.
261, 27. ὁ. Recentior manus hunc articulum recte intulit.
261, 42. Vind. post ὀκνοῦσι habet: καὶ αὐτὸς καὶ ἀρχ ************ Tum sequitur: ἐκλαλουμένου etc. — Locus, prout e libro Basil. editus a nobis est, corruptus quidem non videtur, impeditus tamen. Lectio libri Vindob. facit, ut sic legendum censeamus: ..πνεύματος. Ὀκνοῦσι, καὶ αὐτὴν τὴν ἀρχιερατικὴν ἀναφοράν, oderunt adeo pontificis mentionem (relationem).
261, 53. Vindob bene ὑποθεῖται pro ὑποθεῖται. Ms. ὑποθεῖται. Tum in sequ. dele parentheseos signa. Jungendum enim: ἐξάγ. οἴεται, ὑποθεῖται etc.

Pag.
262, 10. Vindob. *οὐ κρατερῶς ἀντέχονται.*
262, 17. Vindob. *μίσος* pro *μῖσος*. Ibid. Vindob. *κατὰ τὸν μέγαν.*
263, 2. Vindob. *αὐτὴν ἐῤῥέθη*, pro *αὐτὸς ἐῤῥέθη.*
263, 7. Vindob. *ἀντικινουμένην.*
263, 15. 16. *καθὰ .. ἀπλανῆ.* Hic locus corruptus esse videtur.
263, 37. Vindob. *δι' ἧς στόμα ἔσται.*
263, 46. Vindob. om. *θεράποντες.*
263, 47. Vindob. *οὐδὲ μὴν τὰ ἐς.*
263, 55. Vindob. *ἔσονται οἱ ἐν.*
263, 57. Vindob. *σφιγκτός.* Illud *γ* suprascriptum alienam manum prodit.
263, 60. Vindob. *φιλῖται.*
263, 69. Vindob. *μισοῦσι δὲ καί.*
263, 76. Vindob. *μὴν ἀπλανῆς κατά γε.*
263, 81. Vindob. *ἀγαθὸς* pro *ἀγαθή.*
263, 95. Vindob. *θεραπείαν ἀπὸ ἀστρώων.*
264, 75. Vindob. *καθάπερ ἐκείνου.*
264, 86. Vindob. *Ἐσσαίους.*
265, 5. Vindob. *μέλαν, εἰ καί.*
265, 25. Vindob. post *ζήλῳ ἐν* haec habet: *τετελειωμένοι ἐν* ******, *τὸ κυριώτατον, καὶ αντὶ τῆς ἐν τόπῳ μονῆς μονὴν παρὰ θεῷ ποιού[μενοι, καὶ ἐν τ]ῇ αὐτοῦ οἰκίᾳ μονὰς π**ροῦντες· ὡς εἶναι οὕτως κ. τ. λ.*
265, 30. *οὐ καθά.* Ms. male *οὐκ ἀγαθά.*
265, 32. 33. *ὑπεκυπωσάμεθα.* Ms. *ὑποτετυπωσάμεθα.*
265, 68. Vindob. *ἀλλ' εἴ τι χρή.*
265, 80. Vindob. *ἐμπυρεύηται.*
265, 93. Vindob. *εὐάγγαλοι* pro *εὐάγκαλοι.*
265, 95. Vindob. *γίνονται* pro *γίνεται.*
266, 9. Vindob. *πανταχοῦ* pro *πανταχῇ.*
266, 13. Vindob. *κατὰ ἥλιον.*
266, 31. Vindob. *σχήματος εὐαγγελικοῦ.*
266, 39. Vindob. *ἀπολωλότας.*
266, 41. Vindob. *καὶ οὕτω*, pro *εἰ οὕτω.*
266, 42. Vindob. *αὐτὸς υἱὸς εἶναι.*
266, 56. Vindob. om. *μὲν* inter *βαρὺς* et *γάρ.*
267, 1. Vindob. *προσεησάμενοι* pro *προσιστάμενοι.*
267, 8. Vindob. *ἐκθορόντες* pro *ἐκθορῶντες.*
267, 18. Vindob. *καὶ οὕτω*, pro *ὡς οὕτω.*
267, 45. Vindob. *τήφοντας ἡμᾶς.*
267, 59. Vindob. *ἀνήσουσι δέ, καὶ εἰς.*
268, 52. *ἐνήλατο.* Ms. *ἐνήλλατο.* Sed prius *λ* est recentioris atramenti.
268, 84. *ἐντρίβον.* Ms. *ἐντρίβὸν.*
271, 10. 11. *συμφράτησις.* Ms. *συμφρόνασις*, num ex poeta philosophove Dorico? Poesin quidem redolet antecedens *φροντώντων.*
274, 70. *Χαλκηδόνα.* Ms. male *Χαλκηδόνος.*
275, 61. *ἄλλους.* Ms. *ἄλλως.*
280, 48. *Ἀλεξίου.* Haec vox in ms. imposita est voci *περιποίησιν.* Et abesse quidem poterat *Ἀλεξίου*; sed faciliorem reddit locum hoc nomen appositum.
281, 42. *Ὠγυγίας.* Ms. spiritu caret; quare dubium, *Ὠγυγίας* scribendum sit, an *Οὐγυγίας.* Illud elegimus.

Pag.
281, 63. 64. ἐπέττευσεν. Ms. in ultimis literis habet rasuram.
282, 56. αὐτοῦς. Ms. αὐτούς.
282, 92. θησαυροὶ. Post hanc vocem ms. habet insipidum ἐκκενοῖ.
282, 95. διακοσίας. Ms. διαμόνας.
284, 13. Βυζάντου. An Βύζαντος, s. Βυζαντίου?
284, 94. γυναικείου. Ms. γυναικαίου.
290, 47. ἀπρόςβατον. Ms. ἀπρόβατον.
291, 73. ὑπερτέλλοντας. Ms. ὑπερτέλοντας. Num ergo ὑπερτελοῦντας?
296, 3. κνυζώμενον. In hac voce est ω eodem, quo reliqua, atramento, sed supra scriptum. Et infra hanc literam, in medio reliquarum literarum, apparet vestigium quoddam literae ο. Vide supra ad pag. 95, 4.
296, 55. ἔπινον. Ms. ἔπιναν.
298, 13. οὐδέ. Lege ἡ δέ.
299, 12. βρώμιον. Malim βρόμιον.
300, 67. ἀπόλλυται. Ms. ἀπόλυται. Num ἀπολεῖται?
301, 7. ὁ. Ms. ᾧ.
302, 57. 58. παρηνόχλουν. Ms. παρηνώχλουν.
305, 94. βαθὺ γῆρας. In ms. prima manus habet βαρύ, recentior βαθύ, quod ultimum elegi.
306, 74. γέλων. Ms. λέγων.
306, 92. ἀφύκτου. Ms. ἀφίκετο.
306, 96. ἀποπροςποιήσεις. Ms. ἀποπροποιήσεις.
307, 26. οὐδὲ. Ms. εἰ δέ.
307, 29. τῆς ἀρᾶς. Ms. ἡ ἀρά.
307, 31. θλιβομένους. Ms. θλιμένους. Pro quo lege θλιβομένους, vel τεθλιμμένους.
313, 30. περισίτους. Malim παρασίτους; confundi enim περὶ et παρὰ in mss., nota res, coll. Walz. epist. crit. p. 17. De his Diogenis muribus v. Diog. Laërt. VI, 40.
320, 61. μεγαλοδώρῳ. Malim μεγαλοδοξότητι, vel μεγαλοδωρίᾳ.
325, 19. τυκτῷ. Praestat πτυκτῷ.
326, 7. τάσεως. Num τάξεως?
327, 14. ἐν τῷ. Legendum ἐν τῷ.
335, 70. 347, 70. (coll. pag. 386, a. lin. 6., pag. 406, c. lin. 38.) διςυπάτῳ. An legendum majusculâ initiali Διςυπάτῳ καὶ τῷ Φουρνητάρῃ? Certe Disypati, archiepiscopi Thessalonicensis regnante Lascari, nomen occurrit apud Michaelem Le Quien in Orient. christ. T. II. p. 51. Ceterum *Furnetari* nomen e φόρου νοτάριος ortum, nullius dubito.
337, 44. Κυριωάννῃ. Num κῦρ Ἰωάννῃ?
339, 42. Βύζαντος ***. Lacunam supple voce πόλιν.
343, 57. ἀπογείης. Lege ἀπογεύης, s. potius ἀπογεύῃ.
356, 56. τῷ κριτῇ Ὀψικίου. An τῷ κριτῇ ὀψικίου, i. e. *judici obsequii*, s. *provinciae* (*thematis*)? Quanquam Ducangius in Glossario nil habet de *judice obsequii*. Ὀψίκιον autem fuit urbs Asiae minoris, prope Nicaeam.
359, 80. ἐγένοντο φύσεως. Palat. ἐγένετο τάξεως, melius puto.
359, 83. συμπάσης. Palat. πάσης.
359, 84. θεῷ καθομοιωθέντας. Palat. ὁμοιωθέντας θεῷ.
359, 85. ἐκληρώσατο. Post h. v. non distinguit Palat.
359, 86. δυοῖν. Palat. δυεῖν.
359, 92. τεταγμένων noster codex et Palat. An ὑποτεταγμένων? Tum lusus erit cum ὑπερφυῶν.
360, 5. δένδρων τροφαί. Palat. bene δένδρων τρυφαί.
360, 6. ὡρῶν συμμετρία. Haec non habet Palat.

Pag.
360, 8. τῶν πεδίων τά. **Palat.** τὰ τῶν πεδίων.
360, 12. τῆς. **Palat.** σῆς.
360, 13. ὑπερκείμενον. **Palat.** ὑπερκείμενε.
360, 14. καταχέον. **Palat.** καταχέων.
360, 14. προςφθέγξομαι. **Palat.** προςφθέγξωμαι.
360, 15. ἀναθήσομαι **Palat., ut noster codex.**
360, 16. ἀναδήσομαι. **Palat.** ἀναθήσομαι, **quod displicet post antecedens** ἀναθήσομαι. **Retinendum** ἀναδήσομαι **(i. e.** ἀναδήσω**), subintellecta v.** δόξαν **vel similibus, quae alibi exprimuntur, ut sit sensus:** ***ob quasnam partes (laudes) singulares te (quasi sertis) vinciam, cingam (ornabo)*? Et alibi noster Eustathius ludit in** ὁμοιοτελεύτοις.
360, 19. πεποίηται. **Palat.** πεποίηκεν, **quod praeferam.**
360, 21. τοῦ Δαυῒδ τὸ ψαλτήριον. **Palat.** τὸ Δαυ. ψαλτ.
360, 23. προβαλλόμενον. **Palat.** προβάλλομεν. **Est autem** προβαλλόμενον αἰσθήσεις: ***instructum sensibus*, ibidemque** οἷον **et** οἷα **(ut alibi apud Eustathium) sensu exclamandi accipienda.**
360, 25. ποιῶν. **Palat. bene** ποιοῦν.
360, 27. Ὁποῖον τε τό. **Bene nostrum** τε **omittit Palat. Jam ita lege:** σύσκιον, ὁποῖον τό...
360, 28. πνεῦμα. **Palat.** πνεῦμα τε.
360, 28. μέτριον. **Palat.** τὸ μέτριον.
360, 29. ὅστις. **Palat.** ὅστις ποτέ.
360, 31. γίνοιο. **Palat.** γένοιο.
360, 32. ἐπωνόμακεν. **Palat.** ὠνόμασαν, **ubi recens manus:** ἐπωνόμασαν.
360, 56. βασίλειά σοι, Ὄλυμπε, καὶ τὰ ὄρεα. **Malim** βασιλεία.. κατὰ τὰ.. **(*regnum inter montes*).**
362, 10. 366, 20. ἐχαώθησαν. **Hase (Journal des Savans 1828. p. 588. not.) suadet** ἐχάθησαν.
362, 88. ἰσκοτώθησαν **coll. p. 363, 20. 40. 80. 90. 364, 40. 80. 366, 20. 30. Sic scripsi cum Fallmerayero et Hasio (Journal des Savans. 1828. p. 588. not.), pro** ἰσκυτώθησαν, **quod nunc tuetur Hamaker in Biblioth. nova crit. T. V. p. 350.).**
364, 12. lege καὶ κῦρ Γρηγόρ., **coll. lin. 27.**
364, 14. μετὰ τοῦ''. **Siglam, cujus loco lacunae signa posui, Fallmerayerus nunc ita legit:** εὐαγγελίου.
365, 40. ξενίτου. **An** Ξενίτου?
365, 80. An ἁρματώσας?
368, 64. Deesse videtur verbum regens.
369, 7. **pro** Ἀνδρονίκου **procul dubio legendum** Ἀλεξίου.
370, 10. αὐτοῖς. **Hamaker ibid. pag. 323. pro** αὐτοῖς **conjicit** αὐτούς, **vel** τοὺς Τραπεζουντίους. **Sed recte se habet locus, antecedente** ταύτην, **quod cum Fallmerayero (Geschichte des Kaiserthums von Trapezunt p. 12. not.) omisit Hamaker.**
372, 37. κιτρίαι. **Alii malunt** κιτρέαι. **V. tamen Schneid. L. Gr. v.**
372, 50. Procnen ergo in lusciniam, non in hirundinem mutatam, Eugenicus cum Apollodoro statuere videtur. *Hase*.
372, 61. μυῤῥίκη. **Num** μυρίκη? ***Hase*.**
372, 77. στίφοις **ms. Lege** στυφοῖς.
373, 7. ἐπιστήμη. **Deesse hic aliquid Hasio videtur. Sed** σοφία **et** ἐπιστήμη **sunt h. loco abstracta pro concretis.**
373, 19. 20. ξυμφέγγεσθαι **ms. Sed bene suadet Hasius** ξυμφθέγγεσθαι **(*concinere*).**





Ms. fol. 2. b. ‖ *Τοῦ ἐν ἁγίοις πατρὸς Εὐσταθίου, μητροπολίτου Θεσσαλονίκης, λόγος προεισόδιος τῆς ἁγίας τεσσαρακοστῆς, διορίζων προσοχὴν ἔμφοβον καὶ ἀμνησίκακον.*

1. Ἔνυγχος ἐπὶ γλώσσης φέρων, ὦ ἀδελφοί, διδασκαλικῶς περίφρασιν ἁγίαν οὐ θυμοσόφου, ἀλλὰ θεόθεν σεσοφισμένου (καθότι καὶ τῇ ἀβύσσῳ τῆς σοφίας τῷ θεῷ πέλας εἶναι λαχών, ἐκεῖθεν εἶχε τὰς τῆς σοφίας ἐπιῤῥοάς), καὶ διατρίβων ἐπ' ἐκκλησίας περὶ τὸ τοιοῦτον καλόν, καὶ καταρτίζων ἐκεῖθεν τὴν ὑμῶν ἀδελφότητα, βραχείας ἡμέρας διέλιπον. Τρεῖς γὰρ ἔκτοτε ἦσαν ἐκεῖναι, καὶ προσεπόρισα ὠφελῆσαί τι ἐς πλέον ὑμᾶς δι' ἐπενθυμήσεως ἐκεῖθεν πεπορισμένης, οἷα ἐπεισρεύσαντος τῷ λιβαδίῳ τῆς διδασκαλίας ἐκείνης ἐν ὑστέρῳ καὶ ὑδατίου τοιοῦδε γλυκάζοντος. Ἐλέγομεν εὐαγγελικῶς τότε, πᾶν ξύλον, μὴ ποιοῦν καλὸν καρπόν, ἀξίνῃ τέμνεσθαι, καὶ εἰς πῦρ βάλλεσθαι, καὶ καίεσθαι· καὶ ἐθεωροῦμεν ἐπελευστικῶς δένδρα οὕτω πάσχοντα. Ἦν δὲ ὁ φρικτὸς παραφραστικὸς ἐκεῖνος λόγος, ὡς καὶ εἰς πλάτος διεσκευάζομεν, ὑπὸ τοῦ ἁγιωτάτου προδρόμου βροντώμενος. τὸ δὲ ἀνθρώπινον φράσαι, ῥητορευόμενος, παραφράζων αὐτὸς καὶ ἄλλα μέν τινα τῆς παλαιοτάτης ἁγίας γραφῆς ἅγια, γρηγορώτερον δὲ καὶ προφητείαν φιλοσοφίας Δαυϊτικῆς, ἐν ᾗ πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς ἐξολοθρευθήσεσθαι μανθάνομεν· ὃ δὴ παραπεφράσθαι λέγω ὑπὸ τοῦ μεγάλου καὶ πρώτου βαπτιστοῦ ἐπὶ πλατυσμῷ τε διασαφοῦντι, μετὰ καὶ ὕψους διδασκάλῳ πρέποντος γλαφυρῷ, τίνες τέ εἰσιν οἱ ἁμαρτωλοί, οὓς ὁ θεοπάτωρ Δαυΐδ ἐξολεῖσθαι ἀποφαίνεται (ὅτι δῆλα, ὁπόσοι μὴ καρποφοροῦσι τὰ τῷ θεῷ πρέποντα), καὶ ποταπὸς ὁ
Ms. fol. 3. a. ὄλεθρος, ὃν ὁ θεοψάλτης ἐμβριμᾶται ‖ αὐτοῖς ἐπ' εἴσοπτρον, πάντως εἰς ἀπαραίτητον, ὁπηνίκα ἐκκοπέντες τοῦ βίου, εἶτα σπαργανωθήσονται πυρὶ εἰς αἰώνιον κατάκαυσιν.

2. Καὶ τοιοῦτος μὲν ὁ παραποιῶν ἐν σοφίᾳ νοῦς προδρομενικὸς τὸ καλὸν ἐκεῖνο Δαυϊτικὸν κομμάτιον μεταφραστικῶς, ἤδη δὲ καὶ ἀλληγορικῶς (ὡς οὐκ ἂν ἔχοι τις ἀντειπεῖν, τεχνολογῶν εἰς ταύτην τὴν ἔννοιαν), οὐκ ἐπιτηδευόμενος αὐτὸς κοσμικώτερον χυδαίῳ ζήλῳ ῥητορικῷ, ἀλλὰ πολὺ ἀμαθῶς [κρήνης] ἐκείνης ἀπαντληθείς, ἀφ' ἧς καὶ ὁ Δαυΐδ ἀρυσάμενος ἐδίδου πίνειν τοῖς μέροψι τοῖς διψῶσι τὰ τοῦ θεοῦ. Ὃ δὲ μετὰ τὴν διδασκαλίαν ἐκείνην ἐπενεθυμήθην καθὰ ἐφάμιλλος, τοιόνδε ἐστί. Παρῆλκε τὴν ὀγδόην καὶ ἐννάτην ὁ τρέχων ἄρτι Φεβρουάριος, καὶ ἡ ταύτην προάγουσα ἑσπέρα ἐπανηγύριζε τὸν εἴτε παρενθέντα καὶ ἐμβόλιμον μάρτυρα τοῦ Χριστοῦ. εἴτε πως βιαστὴν τῆς βασιλείας τῶν οὐρανῶν Νικηφόρον, μάλιστα μὲν οὖν τὸν ὡς ἐκ παρόδου καὶ ἀπραγματεύτως καὶ ἀνελπίστως ἐντετυχηκότα σωτηρίῳ θησαυρῷ, τὸν τῆς μνησικακίας μὲν ἔλεγχον, τῆς δὲ μετανοίας διδάσκαλον ἔμπρακτον, καὶ τῆς ἐν θεῷ ἀγάπης λαμπρὸν κήρυκα· ὃς τὸν ἄθλιον Σαπρίκιον εὑρηκὼς ὁρμῶντα νίκην, ὅ φασιν, ἀλαλάξαι κατὰ τοῦ κοινοῦ πολεμίου δαίμονος, καὶ τὸν τῆς νίκης στέφανον θεασάμενος ὑπερπετόμενον τῆς ἐκείνου κεφαλῆς (ὡς οἴδατε καὶ ὑμεῖς, τῆς ἱερᾶς ἱστορίας ἐναλλαξάμενοι), αὐτὸς μὲν ἐκληρονόμησεν αὐθωρὸν τοῦ ἐν ὀφθαλμοῖς ἐκκειμένου θεόθεν κάλλους, προδραμὼν οἷον ὡς ἐν ἀγῶνι ἀεθλευτικῷ, ἐκεῖνον δὲ ἀφῆκε πεπτωκότα καταπατηθῆναι τῷ δαίμονι. Ὅτε καὶ ἦν θαυμάσαι, ἡλίκον ἐδραματούργησε κατὰ τοῦ Σαπρικίου ὁ πονηρός. Φίλον γὰρ ἐκεῖνον προφανέντα τῷ θεῷ, καὶ τῇ προθέσει τὴν ψυχὴν θέμενον ὑπὲρ τοῦ δεσπότου εὐαγγελικῶς, ἀπέσπασεν ἐν ἀκαρεῖ χρόνῳ, σχοινίῳ μνησικακίας ἀφελκυσάμενος,
‖ οὐ προνοησάμενος, ὅτι ἀντάλλαγμα τοῦ προαπεσο- Ms. fol. 3. b.
μένου ἕτερός ἐστι μάρτυς θεοῦ· ἀλλὰ σπουδὴν θέμε- 71.
νος, μὴ δύο καλοὺς ἀνθρώπους οἰκειωθῆναι τῷ παμβασιλεῖ, ἕνα μέν, τὸν αὐτῷ μεμαρτυρηκότα, ἕτερον δέ, τὸν τῆς αὐτοῦ κληρονόμον εὐχῆς.

3. Καὶ ἔστιν ἐπαπορῆσαι τοὺς εὐμαθεῖς ἐνταῦθα, πῶς τοῦ Σαπρικίου ἀπέστη ὁ κύριος, ἐγγίσαντος καὶ προςκολλωμένου αὐτῷ, μηδέποτε οὕτω πεποιηκώς. Οὐ γὰρ ἐγκαταλείπει, δαβιτικῶς εἰπεῖν, τοὺς ζητοῦντας αὐτὸν ὁ καὶ ἔτι λαλούντων ἐγγὺς παραγινόμενος, τὸ δὲ θαυμασιώτερον, καὶ τοῖς μὴ ζητοῦσιν αὐτὸν εὑρισκόμενος καὶ παριστάμενος εἰς ἀντίληψιν. Ἔχοι δὲ ἄν ὁ τοιαύτην ἀναλαβὼν ἔννοιαν ἐπιλύσασθαι ὧδέ πως τὸ ἄπορον (δοκῶ μοι), ὦ ἀδελφοί, τὸν φορτικὸν Σαπρίκιον, ἐπίπλαστον ἐξεπιπολῆς, οὐ μὴν ἐνδόμυχον καὶ ὁλόψυχον, τὴν ἐπὶ τῷ μαρτυρίῳ πρόθεσιν ἐνδείξασθαι, ἀλλὰ μαλακώτερον, καὶ οὕτως οὐ δεόντως ἐπιβαλεῖν ἁγίῳ πράγματι, πρὸς μόνην θεοφιλίας δόκησιν καὶ δόξης κενῆς λόγῳ τῇ μαρτυρικῇ ἀθλήσει ἐπιδραμεῖν, εἴ πως δοξάριόν τι αὐτῷ ἐπιφημισθείη περίκλυτον, ὡς ἐὰν καὶ μάρτυς οὐκ εὐσυνάλλακτος, καὶ δὴ αὐτῷ οὐ πιστός, δώρου χάριν (οὐ μὴν δὲ πρὸς αὐτὴν τὴν ἀλήθειαν παραγάγοι ἄν) ἐπιῤῥίψας εἰς μαρτύριον βιωτικόν. Ὅπου καὶ ἔστιν εἰπεῖν, ὅτι, Ms. fol. 4 a. καθὰ ὁ μεμαρτυρηκώς || που ὑπὲρ ἀνθρώπου, καὶ διαθέμενος ἐκεῖνον καλῶς, οὐκ ἂν δικαίως χάριτας ὀφλῆσθαι ἀπαιτοίη ἐξ ἐκείνου (ἀπέχει γὰρ ἤδη τὸν μισθὸν τῆς χάριτος, οἷα πλήσας τὴν χεῖρα, ὧν οὐκ ἐχρῆν, καὶ ἄλλως ὁπωςοῦν ἐκθεραπευσάμενος), οὕτως οὐδὲ ὁ Σαπρίκιος, οὐδὲ εἴ τις ἄλλος κατ' ἐκεῖνον εἰς μαρτυρίαν δράμοι τὴν περὶ τοῦ θεοῦ, φθαρτῆς εὐκλείας ἕνεκεν καὶ τοῦ δόξαι φανητιασμοῦ τρόπῳ θεόμαρτυς, καὶ οὕτω μνήμην ἔχειν τιμίαν, συναντίληψιν ἔχοι ἂν ἀπὸ τοῦ θεοῦ, διὰ τὸ κατὰ τὴν μαρτυρίαν ψευδεπίπλαστον· ἀλλὰ ἀπρόςδεκτος ἔσται, ὡς εἰς τόπον τεθειμένος ὑποκριτοῦ, ὃς πάνυ μισεῖται τῷ τῆς ἀληθείας θεῷ.

4. Καὶ οὕτω μὲν ὁ Σαπρίκιος νομίζοιτο ἂν ἀποτρόπαιος εἶναι τῷ θεῷ, διὰ τὸ μὴ ἐπιτρέπειν ἐκείνῳ εἰς καθαρὰν θυσίαν, ἀλλὰ μεμορφῶσθαι εἰς φάντασμα σκηνικώτερον. Οὐ γὰρ ἂν ἀφῆκεν ὁ θεὸς ἐν αὐτῷ καιρῷ σωτηρίας ἀναβῆναι εἰς καρδίαν ὑψηλοῦ ἀνθρώπου αὐτῷ προςανέχοντος ἀναῤῥιχησάμενον πονηρὸν διαλογισμόν· ἀλλὰ ἀπέκλεισεν ἂν ἀπ' αὐτοῦ, ὡς μηδὲ ἔξω που θυροκρουστεῖν ἔχειν, πᾶσαν πονηρὰν διάνοιαν· καὶ οὕτως οὐ μόνον οὐκ ἂν ὁ ἀθλητὴς ὑπεξέστη τοῦ μαρτυρικοῦ στεφάνου τῷ μεμισημένῳ Νικηφόρῳ, ἀλλὰ καὶ ἐκεῖνον προςελάβετο συμμάρτυρα, καὶ εἰς ποδηγὸν ζωῆς αἰωνίου χρηματίσας ἐδίπλασεν ἂν τὸ καλόν. Εἰκὸς γάρ, ἤδη δὲ καὶ ἐγγὺς ἀναγκαῖον, συλληφθῆναι ὑπὸ τῶν τότε σπεκουλατόρων καὶ τὸν ὄντως φιλάνθρωπον καὶ φιλάλληλον καὶ θεοῦ ἐπίστροφον καὶ διὰ τοῦτο φιλάδελφον ἅγιον Νικηφόρον, καὶ ἀπαχθῆναι εἰς τὸ τύραννον στρατήγιον· ὅτε καί, σφαγέντος αὐτοῦ ἐξ ἀποτελέσματος, τῇ καὶ εἰς τοιοῦτον καλὸν ἑτοιμασίᾳ ἐδίπλασεν ἂν πρὸς κερδαλεότητα θεοπρεπῆ τὸ θεῖον κειμήλιον ὁ Σαπρίκιος, τοῦ θεοῦ ἀντὶ ἑνὸς ἐκείνου δύο προςενηνεγμένα δεξαμένου τάλαντα πολυτίμητα, καὶ αὐτοῦ τε εἰςελθόντος εἰς τὴν οὐράνιον βασιλείαν, καὶ τὸν Νικηφόρον συνειςαγαγόντος προθυμότατα.

5. Καὶ οὕτω μὲν εἴη ἂν λελύσεσθαι τὸ προβεβλημένον ἀπόρημα. Ἐμοὶ δὲ ἔπεισιν ἐνταῦθα διασκοπήσασθαι, καὶ πηλίκον κακὸν ἡ μνησικακία ἐστί, καὶ ὁποῖόν τι κατὰ οὐσίαν ὁρίζεται προςηκόντως εἶναι αὐτή· καί μοι ἀρέσκει φάναι, ὡς ἡ μνησικακία οὐκ ἔστιν ἐπιμονὴ κακίας ἐπὶ ἁπλῶς ἀμύνῃ τῇ τυχούσῃ, ὃ δὴ καὶ πᾶς θυμὸς ἔχειν ἐθέλει, ὄρεξις ὢν καὶ ἐκεῖνος ἀντιλυπήσεως, καθά φασιν οἱ πάλαι σοφοί· ἀλλὰ μνησικακία ἐκφαίνεται τυγχάνειν μόνιμος θυμός, εἴτ' οὖν κότος δαιμόνιος ἐπὶ ὀρέξει, οὔκουν ἀντιλυπήσεως, ὃ δὴ λέγεται, ἀλλά, ὡς φαίνεται, καὶ θανάτου ἀπαραιτήτου, μεθ' ὃν οὐκ ἂν λυπήσεται ὁ θανών. Ὁποῖον δὴ πάθος ἔχων πάντως καὶ ὁ Σαπρίκιος ἐπὶ τῷ ἀγαπητῷ Νικηφόρῳ, καὶ ταύτῃ πάντως ἐξ ἑαυτοῦ κυρώσας ἀποικίσαι τὸ φιλάδελφον, ἔοικεν ἀεὶ μὲν ἐφίεσθαι βλάψαι τὸν θεοφιλῆ Νικηφόρον, ὡς καὶ ἐξ ἀνθρώπων αὐτὸν θέσθαι, οὐκ ἐν τῷ λέγειν· πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; ἀλλ' ἐν τῷ καὶ μελετᾶν καὶ εὔχεσθαι καὶ καίεσθαι τὴν καρδίαν αὐτοῦ προορωμένην, πότε ἂν ἢ εὑρήσει ὀρωρυγμένον βάραθρον, ἐν ᾧ καταῤῥίψας || ἀφανιώσει τὸν μισούμενον, καὶ ἄλλως αὐτοχειρίᾳ Ms. fol. 4 b. θανατηρᾷ ἐπ' αὐτὸν χρήσεται. Καὶ ἂν πάλαι τοιοῦτόν τι πεποίηκεν, εἴπερ ἠδύνατο. Ἐπεὶ δὲ οὐκ εἶχεν ἰσχύν, οἷα τοῦ ἐν θεῷ εἰρηνικοῦ Νικηφόρου εἴτε ἰσχύοντος εἰς πλέον καὶ ὑπερπετομένου εὐμηχάνως τὰς ἐκείνου παγίδας, ἔπεττε τὸν χόλον ἀποκρυπτόμενον ἐν καρδίᾳ, καὶ ἐλάνθανε τάχα πάντας. Καὶ δοκῶν ἐκ τοῦ προφαινομένου ἱερὸς ἄνθρωπος εἶναι, καὶ εἰς δένδρον ἀνεσπάσθαι, καθὰ τὸ ποιοῦν καλόν (ὢ γὰρ ὅτι καὶ εἰς θύτην τῷ θεῷ ἐγέγραπτο καὶ ἀγάπης διδάσκαλον) — ὁ δὲ ἐξέφηνεν ἑαυτὸν οὐδὲ σαπροφόρον θάμνον, ἀλλὰ δυςτυχὲς ἀκάνθιον.

6. Τοιούτῳ γοῦν ἀνθρώπῳ, καὶ οὕτω μισαδέλφῳ καὶ φονικῷ τὰ ἐς ἔχθραν ψυχῆς, καὶ ἐπιβούλῳ, καὶ καταπαίζοντι κρύψα τῆς τοῦ θεοῦ θεραπείας, τίς ἂν οἰήσεται τὸν θεὸν ἐγκατοικεῖν, καὶ μὴ δαίμονος οἰκητήριον εἶναι αὐτόν; Ἢ πάντως οὐδεὶς ἐχέφρων ἀλλοῖόν τι περὶ τοῦ τοιούτου Σαπρικίου λογιεῖται, πρὸς ἀκρίβειαν διανοούμενος, μακρὰν ἀπὸ ἁμαρτωλῶν ὥςπερ

τὴν τοῦ θεοῦ σωτηρίαν, οὕτω καὶ αὐτὸν ἐκεῖνον εἶναι, εἰ καὶ ἄλλως πανταχοῦ πάρεστι. Διὸ νοητέον, ὡς καί, ὅτε τῆς μαρτυρίας ὁ Σαπρίκιος ἐνηρξατο, οὐκ ἦν μετ' αὐτοῦ ὁ θεός, οὐδὲ ἡ ἐκείνου χάρις αὐτῷ ἀνέλαμπεν, οὐδὲ ἀπεδέχετο τὸν ἐκείνου ἀγῶνα· ἦν δὲ τοὺς ἐγγίζοντας τῷ θεῷ ἀκούειν ἐξ αὐτοῦ ἐκείνου ἀποκαλυπτικῶς, ὅτι ὁ ἄνθρωπος οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἀφέστηκεν ἀπ' ἐμοῦ. Καὶ τοίνυν καταμόνας ἄνθρωπος ὢν ὁ Σαπρίκιος, καὶ φίλαυτος, οὐ μὴν φιλόθεος, καὶ δι' αὐτὸ σὰρξ ἡ τυχοῦσα, καὶ ἀλόγιστον ζῶον καὶ οὐδὲ ἀγελαῖον, χεῖρον δέ τι καὶ τῶν τοιούτων διὰ τὸ ἀνήμερον, ἑτοίμως εἶχεν, εἴπερ κέρας ἐκφύσει τεραστίως, ἢ γομφωθείη τοὺς ὄνυχας, ἐπιθέσθαι παραπεσόντι τῷ ἐχθρῷ Νικηφόρῳ καὶ ἐμφῦναι, ὡς διασπαράξαι αὐτόν, ἢ καταφαγεῖν, καὶ ξίφος δὲ εἴπου χειρισάμενος ἐρημάζοντα ἐκεῖνον εὕρῃ, κατασφάξειν. Ὡς δὴ ἀπαγόμενον ἐς ἀγαθὸν τέλος εἶδε τὸν μισούμενον, ἀνέβλεψε δὲ καὶ εἰς ξίφη γυμνά, ἤθελε μὲν ἁρπάγδην ἐκεῖθεν αὐτόχειρ ὁπλοφορῆσαι κατὰ τοῦ φερωνύμως Νικηφόρου ὁ ἀγεννέστατος, κατὰ τοῦ χειροήθους τὴν ἀκακίαν κτίλου ὁ μονόλυκος, κατα τοῦ θεοφιλεστάτου ὁ θεομισέστατος, κατὰ τοῦ φιλαδέλφου Ἄβελ ὁ παμμίσητος Κάϊν. Ὅτε δὲ οὐκ εἶχεν αὐθέντης γενέσθαι αὐτός, τρέπεται τὴν χειρίστην, καὶ ὡς οἷον ἐπαρασάμενος· δεῦρο δή, ὦ φόνιε δαῖμον, πρὸς τοῦ φίλου Σαπρικίου γενόμενος, ὑπέξελε τὸν τῆς θεοφιλοῦς ἀγάπης Νικηφόρον τοῦ ζῆν ὡς ἂν μάθοι, οὐκ ἀδύνατον εἶναί σε κακοποιεῖν, ὡς ψεύδεσθαι τὸν ἀρχέκακον· αὐτὸς μὲν ἀφίεται θεράπων γενέσθαι τυράννου δεδουλωμένου τῷ δαίμονι, τὸν δὲ νικηφορήσαντα κατ' ἀμφοῖν παραπέμπει ἀντάλλαγμα κερδαλέον τῷ πάντων βασιλεῖ, οἰκέτου φαύλου χρηστὸν ἀντίσηκον, ἀλήθειαν ἀντὶ ὑποκρίσεως, φιλίας τρόφιμον ἀντὶ θρεπτοῦ τῇ ἔχθρᾳ, ἁπλοῦν ἀντὶ ἑλικτοῦ, φωτεινὸν ἀντὶ σκοτεινοῦ, ἀδελφὸν οὐ μετὰ δόλου λαβόντα εὐλογίαν ἀδελφικήν, ἀλλὰ πρὸς μεγίστην θεραπείαν πατρὸς καὶ ἀντέλλογον || δίκαιον. Ms. fol. 5. a.

7. Ἐχρῆν δὲ ἄρα τὸν εἰς μυρεψικὴν ὀδμὴν πρὸς χάριν θεοῦ σκευάσαντα ἑαυτὸν προςενεχθῆναι τῷ θεῷ προτετιμημένον δυςαποφόρου σαπρᾶς προςφορᾶς, καὶ τὸν μὲν κρυψίνουν ἐπὶ οὐκ ἀγαθοῖς ἀπόβλητον διεκπεσεῖν, προτεθῆναι δὲ ἐκείνου τὸν ἐναρέτως ἀκατακάλυπτον. Εἰ δὲ καὶ τὰ μωρὰ τοῦ κόσμου ἐπίλεκτα, ὡς ἐμάθομεν, παρὰ τῷ πανσόφῳ θεῷ, πῶς μὴ οὐχὶ τὸν φρόνιμον ἐν Χριστῷ ἀνελάβετο αὐτὸς ἐκεῖνος προκεκριμένον τοῦ μωρανθέντος τῷ δαίμονι, ἐπιλεγομένῳ ἀεὶ τοὺς οἷα σοφιστῇ τῆς κακίας αὐτῷ προςανέχοντας καὶ προςήκοντας; πῶς δὲ οὐκ ἂν τὸ ἀληθινὸν φῶς ὁ θεὸς τὸν ἡμεροφαῆ Νικηφόρον προέθετο τοῦ δαιμονίως νυκτέρου καὶ εἰς βαθὺ σκοτόεντος; Ἔδει δὲ πάντως, τὸν ἐν τῷ θεοφορεῖσθαι μὴ ἐνθεάζοντα, ἀλλὰ ἐνεργούμενον τῷ δαίμονι, διεκπεσεῖν τοῦ θεοῦ, ὅτι μηδὲ ἦν, τὸν αὐτὸν καὶ τῷ θεῷ ἀνακεῖσθαι καὶ τῷ σατανᾷ, μάλιστα μὲν οὖν φαυλοῤῥεπῶς τὴν ὅλην πλάστιγγα τοῦ λογισμοῦ πρὸς τῷ δαίμονι κλίναντα· ὅθεν καὶ ἥρπασεν ὁ σπουδαιότατος Νικηφόρος τὸ ἐν χερσὶ τοῦ μνησικάκου καλόν, καὶ οὕτω πλεονεκτήσας ἡγίαστο.

8. Ἔστι δὲ εἰπεῖν, καὶ ὅτι, ὡς ἔν τινι προδοκῇ καθιζήσας, καὶ τὸν ψευδομάρτυρα δοκεύσας, τὴν ἐκείνου ἀγαθὴν ἐμπορίαν οὐκ ἐλῄστευσε μέν, οὐδὲ ἀπεσύλησεν, ἐμφανῶς δὲ παραῤῥιφεῖσαν πρὸς τοῦ ἄφρονος ἐκείνου ἐμπόρου, ἁρπαλέως ἐδέξατο ἕρμαιον ἐκεῖνο πολύολβον, αὐτοσχέδιον πλουτισμόν, δι' οὗ βασιλείαν ἔστιν εὐκληρεῖν οὐράνιον, εὔκαιρον συγκύρημα, δῶρον ἐχθροῦ ἀνάπαλιν τῷ παροιμιακῷ, εὔδωρον καὶ ὠφελήσιμον ἐν τοῖς μάλιστα, οὐ μὴν δύςδωρον, οἷα μηδὲ ὀνήσιμον, χάριν εὔχαριν, σωτήριον ἄμυναν, ὡς οὐκ εἶχεν ὁ ἄνους φαυλόμαρτυς διακρίναι· ὅμοιόν τι ποιῶν ἐν τῷ τὸν ἐχθρὸν ἀμύνεσθαι; ὡςεὶ καὶ ἄνδρα γενναῖον λαγαρούμενον λιμῷ ἐφόρτιζεν ἐδωδίμοις ἀγαθοῖς, ὡς ἐπὶ κατακάμψει σώματος, ἢ καὶ ἄλλως πενόμενον ὤλβιζεν ἐπαχθίζων χρήμασιν, οἷς βαρυνόμενοι χαίρομεν ἄνθρωποι. Καὶ ἦν τηνικαῦτα τὸν ἅγιον χάριν ὁμολογεῖν τάχα τῇ ἔχθρᾳ, εἰ τοιοῦτον αὐτῷ καλὸν ἐκείνη προεξένησε, καὶ μῖσος τὸ ἐκεῖθεν εἰς θεὸν αὐτὸν προήγαγε, καὶ ὡς διὰ κλίμακος αὐτοῦ ὑψώθη ἐς τὸν κύριον· καὶ εἶπεν ἄν, οὐχὶ ἑαυτῷ πονῆσαι τὸν ἐπάρατον ἀρνητῆρα Σαπρίκιον, ἀλλὰ τῷ μὴ δικαίως μισουμένῳ Νικηφόρῳ, καὶ ὡς ἐκείνου κοπιάσαντος αὐτὸς εἰς τὸν μισθὸν τοῦ κόπου εἰςελήλυθεν ἐργάτης περὶ ἐνδεκάτην, καὶ τὸ οἰκεῖον λαβὼν ἐντελῶς, καθὰ ἐχρῆν, μίσθωμα, καὶ τὸ τοῦ φθάσαντος παρεργάσασθαι, καθότι ἐκεῖνος τὸ καλῶς ὑπ' αὐτοῦ φθάσαν ἐργασθῆναι συγχέας κακῶς εὐδοκιμῆσαι τὸν ὑστεροῦντα καὶ κατ' ἐκεῖνο πεποίηκε, βαστάσαντα τὸ ἐπίλοιπον βάρος, καὶ διπλοῦς οὕτω μισθοὺς ἐξαράμενον.

9. Ἐφύτευσεν ἀμπελῶνα, οἷα γεωργός, ὁ νωθρὸς φυτηκόμος Σαπρίκιος, καὶ ἐῤῥιζοῦτο τὸ φυτευθέν, καὶ ἐξέφυσε φύλλα, καὶ προέφηνε καρπόν· καὶ αὐτὸς τὸν ὀμφακίαν παρηλλαχὼς ἤδη οὐχ ὑποπερκάζων ἦν, ἀλλὰ πέπων ἐπὶ τρυγητῷ. Ἐπεὶ δὲ ὁ φυτευτὴς ἀπενύσταξε, τῶν τοῦ δρυμοῦ θηρίων ἐπιφυέντων || καὶ Ms. fol. 5. b.

κατενενηγμένων εἰς σάρωμα, τὸν ὀφειλέτην φυλακῆς τῇ ἀμπέλῳ, τότε δὴ ὁ ἐγρηγορὼς ἀεὶ Νικηφόρος προδραμὼν ἐτρύγησεν ἐκεῖνον, ὡς οὐκ ἤθελεν ὁ φυτευτής, καὶ ληνοβατήσας, ὡς ἔπρεπε, καὶ τὸ σωτήριον ἐκπιέσας, καὶ πόμα πιὼν καλὸν εὐαγγελικῶς, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀνεπαύσατο. Καὶ ἄλλως δὲ παραβαλεῖν τὰ τοῦ πράγματος· ἔβαλεν ὁ σαπρώνυμος χεῖρα ἐπὶ ἄροτρον, καὶ εἰργάζετο εὖ μάλα κατὰ ἀγάπην θεοῦ, ὡς προὐφαίνετο· ἀλλὰ στραφεὶς εἰς τὸ ἔμπαλιν, οὐ γέγονεν ἔνθετος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὡμολόγησεν ἐν τῷ κυρίῳ τὴν ἀρχὴν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅτε καὶ πρὸς αὐτοῦ ἦν ἀναγκαίως ἡ θεόθεν βοήθεια, ὡς ἔχειν φέρειν γενναίως ἐν τῷ βασανίζεσθαι· ἀλλ' ὕστερον τὸν αὐτὸν κύριον ἀπηρνήσατο ἀνθρώπων ἔμπροσθεν ἐν τῷ ἐξομόσασθαι τὴν ἐκείνῳ φίλην ἀγάπην· διὸ καὶ ἀπαρνησάμενος αὐτὸν ὁ κύριος ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ, ἐνεγράψατο τὸν φερωνύμως Νικηφόρον τῷ ἀγγελικῷ τάγματι· καὶ ἣν λαχεῖν ἔμελλεν ἐπισκοπὴν ὁ καὶ τὴν πίστιν χαῦνος καὶ τῆς ἀγάπης ἐχθρός, ἔλαβεν ἕτερος, ὃς καὶ ἐπισκέποιτο ἡμᾶς, ἐφ' οἷς αὐτὸν προκαλούμεθα οἱ ἐλέους δεόμενοι, καὶ τοῦ δαιμονιώδους μίσους τὴν ἐν κυρίῳ ἀγάπησιν ἀλλαττόμενοι, καὶ καλῶς διαχειριζόμενοι τὸ καλόν, καὶ τοῦ ὀφιώδους θυμοῦ τὸ ἄκρατον ἀποτροπιαζόμενοι πρὸς ὀρθότητα· ὡς ὁ θεὸς μὲν ταχὺ ἐπακούει κατὰ τὸν οὕτω ψάλλοντα, καὶ ἐπισκέπτεται καὶ σώζει, ὁ δὲ ἀπεναντίας προτρέχει μέν, πρὶν ἢ καὶ ἐνθέρμως προκαλέσεταί τις αὐτόν, τάχιστα δὲ βλάπτων ἐξαπόλλυσι, καθὰ δὴ καὶ τὸν οὐ λέγω ἐλέους ἄξιον Σαπρίκιον, ἀλλὰ τελείου μίσους τιμώμενον· ἵνα ὁ ἐς ἄκρον μισητὴς ὡσαύτως εἴη καὶ μισητός, ὃς ἀγάπην, ἣν οὐκ ἐχρῆν, ἀνθελόμενος τῆς ἐν αὐτῷ τῷ θεῷ, τῷ τυράννῳ μὲν ἡγεμόνι καὶ τῷ αὐτοῦ δεσπόζοντι δαίμονι ἐσπείσατο, κακῶς ὑποστρέψας, ἔνθα καλῶς ἀνεχώρησε, τὸν δὲ θεὸν ἔθετο παρ' οὐδέν.

10. Διὸ καὶ ἀντέλαβε τὸ ἐπάξιον θαῦμα πολύ, ὦ ἀδελφοί, ὅτι δυοῖν τούτοιν, τοῦ φαινομένου ὑπεραποθνήσκειν τῆς εἰς Χριστὸν πίστεως, τοῦ δὲ ἀντεχομένου τῆς ἀγάπης, ὁ μὲν παρεώραται ὁ ἐναγώνιος, ὁ δὲ παροδεύων προσδέδεκται· καὶ οὗτος μὲν ἐστεφανωμένος ἀναλαμβάνεται ὕψιστος, ἐκεῖνος δὲ κατακυλίεται ὑποταρτάριος, καὶ ζωὴν ὑπὲρ τὸ θανεῖν φιλήσας λαγχάνει θάνατον οἴκτιστον, αἴτιον δὲ πάντως, ὅτι οὐκ εἶχεν ἀγάπην. Ὁ δὲ τοιοῦτος οὐδέν ἐστιν, ὡς ἡ ἁγιωτάτη γραφὴ ἀποφαίνεται, εἰ καὶ ἄλλως δοκεῖ μέγας εἶναι τὴν ἀρετήν, ἵνα, ὥσπερ ἅλατος μὴ ὄντος ἐξαρτύοντος ἀχρειοῦται τὸ ἔδεσμα, οὕτω καὶ βίος ἀπρόσμικτος ἀγάπῃ εἰς μῖσος λογίζηται τῷ θεῷ. Εἰ τοίνυν οὕτως ἡ βαθεῖα μνησικακία, ἡ ὀλεθρία οἰκουρός, τὸ ψυχρὸν παραγκάλισμα, ἡ ψυχόλεθρος ἄμυνα, ὁ δαιμόνιος λόχος ὑποκάθηται, ὑπούλως ἐνεδρεύουσα, ὡς τότε μάλιστα φόνου μιμνήσκεσθαι, ὅτε ὁ μεμισημένος ἔλθοι ζητῶν συμπάθειαν — τίς ἀνάγκη θαῤῥεῖν ἡμᾶς δυσωπεῖν τὸν οὕτω μνησικακοῦντα, καὶ μὴ ἡσυχάζειν δεδιότας, μὴ καὶ ἀποθάνοι ὁ ζητῶν ἄφεσιν καὶ συμπάθειαν καὶ συγχώρησιν!

11. Εὐλαβητέον οὖν, καὶ οὕτως ἐατέον τὸν μισοῦντα, || καὶ μενετέον ἐν συστολῇ χειρῶν καὶ κατακάμψει σώματος, καὶ ἡσυχαστέον, καὶ εἰς μόνον τὸν Ms. fol. 6. a. τῆς ἀγάπης θεὸν ἐλπιστέον, καὶ οὕτως ἄνωθεν ἑλκυστέον τὸν φίλιον, καὶ ἄλλως δὲ τὸ αὐτὸ ἐπεξεργάσασθαι τὴν τελειοτέραν σαφήνειαν. Τίς ἂν ἀνδρὶ φθάσαντι ἐμβαθύναι εἰς μῖσος καὶ ἐμπλατύνεσθαι τὴν ἔχθραν, εἶτα φαινομένῳ μεταμέλεσθαι, πιστεύοι ἂν σπείσεσθαι, καὶ μὴ καιροφυλακήσειν εἰς ἄμειναν δραστικήν; Οὐ γάρ ἐστιν αὐτόθεν εἰδέναι ἡμᾶς γε τοῦτο πρὸς ἀκρίβειαν, μὴ αὐτοῦ θεοῦ πληροφορήσαντος ἀποκάλυψιν, ἔνθα ὁ μεμισηκὼς οὐ μόνον παραδείσου, ἀλλὰ καὶ θεοῦ αὐτοῦ ἐθέλει ἑκὼν ὑπεκστῆναι, εἰ μόνον ἐξισχύσει βλάψειν τὸν μισούμενον. Ὅτε καὶ πῶς ἂν τὸν οὕτω τοῦ μίσους ἄνθρωπον πιστεύσοι τις φίλον προσιέναι, καὶ μὴ ἐπέρχεσθαι ὡς ἐπίβουλον;

12. Μιμοῦμαι, ὦ φίλοι, πρός τινος, ὃν ὑποθετέον εἶναι Σαπρίκιον. Φανερῶς ἐθέλω φιλιώσασθαι· τρέχω πρὸς αὐτὸν ἐγὼ Νικηφόρος ὡς ἐν ὑποθέσει· γουνοῦμαι εἰς γνησιότητα φιλικὴν ἐγγραφῆναι. Ὁ δὲ ἴσως οὐ μόνον οὐ προσήσεται, ἀλλὰ καί, εἴ που παρευρεθείη λίθος, ἢ ξύλον, ἁρπάζει κατ' ἐμοῦ τὸ παρευρημένον· παραβαλεῖ δὲ καὶ ξίφεσιν, εἴ τινες παρατύχοιεν οὕτω θανοῦντες. Πῶς οὖν οὐκ εὐλαβήσομαι; πῶς οὐ φοβήσομαι; πόθεν μοι θάῤῥος ἔσται, προσμίξαι τῷ Σαπρικίῳ εἰς ὁμιλίαν, ὅτι μὴ διὰ μόνου τοῦ θεοῦ, ὠθήσαντός με, ὡς ἐκεῖνος οἶδε, καὶ τὰ τοιαῦτα οἰκονομεῖν; Οὐκοῦν, εἴ τις ὀρθὰ φρονεῖν θεόθεν ἔλαχεν, ὀκνήσοι ἄν, προδραμεῖν καὶ ἁρπάσαι τὸν ἱκέσιον, καὶ ἐκμειλίξασθαι τὸν πεφηνότα ἐχθρόν, οὐ κατὰ συγκυρίαν ἁπλῶς, ἀλλὰ μελέτην ἐνδόμυχον, καὶ αὐτὴν ἔμπρακτον, καί γε ὀλεθρίαν, εἰ μὴ τὴν ἀκμὴν τοῦ αἰχμάσοντος ἤμβλυνεν ὁ θεός.

13. Δέον τοίνυν, εἴ τις ἐχθρῷ τοιούτῳ περιπέσοι, ἀναποδίζειν, εἴ που αὐτῷ περιτύχῃ, καὶ πρύμναν, ὡς οὕτως εἰπεῖν, κρούεσθαι, καὶ ἀνακωχεύειν ἐν τῷ εὐλαβεῖσθαι, μὴ καί, λιμένα δοκῶν εὑρεῖν, προσαραχθήσεται ῥαχίᾳ εἰς ἀπώλειαν· καὶ οὐκ ἂν εἴη μεμπτέος, οἶμαι, ὁ τοιοῦτος, οὐδὲ πτοιαλέος εἰς ἀνένδεκτον,

εἴπερ αὐτὸν ἐκεῖνον τὸν βαρύτατον ἐχθρὸν προσιόντα βλέπων, καὶ ἀβασανίστως λαλοῦντα καταλλακτικόν, παρέλθοι ἀναστελλόμενος. Πόθεν γὰρ δυνήσεται θαῤῥύνεσθαι, ὡς μὴ δυςελπιστεῖν, ἥκειν ἐκεῖνον ἐπὶ σπονδῇ, οὐ μὴν ἐπὶ σπουδῇ μεγάλου κακοῦ; Καί ἐστι τὸ πρᾶγμα εἰκάσαι οὕτως· φοβερὸς ὁ λέων ἐξάπαντος, ὅθεν καὶ προςελθεῖν ἐκείνῳ πάνυ τι ἀθαρσές, εἰ καὶ ἁλύσεσι κατακλειόμενος περιδέδεται· καὶ ἐπερχόμενον δὲ ἰδὼν φύγοι ἄν τις ἐς τάχος, εἰ μὴ τοὺς πόδας ἀποκωλύει τὸ δέος. Ὁμοίῳ δὴ λόγῳ φευκτέα καὶ ἡ βαθύῤῥιζος ἔχθρα, καὶ ὁ κατ᾽ αὐτὴν λεοντώδης ἐχθρός. Ἔχοι τοίνυν ἐπίσης ποιῆσαι ὥςπερ πυρί προςᾶραι πόδα γυμνόν, οὕτω καὶ τοιούτῳ ἐχθρῷ προςμῖξαι εἰς πραγματείαν φιλίας τῆς πρὸς ὀρθότητα, καὶ προερχόμενον δὲ ὡς ἀγαπῆσαι φεύγειν ὡςεὶ καὶ πῦρ, ὃ φλέγει τὰ ἐν ποσίν. Ὅμοιον γάρ, τά γε εἰς ψυχῆς τάραχον, ἐπιτρέχειν τε ἀφυλάκτως πράγματι, ὃ μετὰ πεῖραν πτοούμεθα, καὶ βλέπειν ἐκεῖνο προφθάνον εἰς ἡμᾶς.

Ms. fol. 6. b. 14. Χρὴ οὖν εὔχεσθαι, ὡς ἔοικεν ἐν τοῖς || ἄρτι, μὴ εὑρέσθαι ὑμῖν ἀρχὴν πεισματικοῦ μίσους· εἰ δέ τις ἐμπέσοι κακῷ τοιούτῳ, ἀλλὰ τότε κατακάμπτεσθαι καὶ ἡσυχῇ κατακλᾶσθαι, προςπίπτοντα τῷ κοινῷ βυθῷ, θεῷ, καὶ γουνούμενον συστέλλεσθαι, καὶ ὑποπτεύειν τὸν κατάρξαντα, μήποτε καιρὸν εὑρηκὼς ἀποπλήσῃ τὸν θυμὸν αὐτοῦ ἐν τῷ συντυχεῖν ὑπὸ τουτῳῒ τῷ μισουμένῳ. Καὶ τοίνυν ποριστέον ἐκ τῶν ἄρτι ἐπεσκεμμένων, ὅτι περιαιρεῖν μὲν σκάνδαλα ἐχθροποιῶν, καὶ πραγματεύεσθαι εἰρήνην ἄριστόν ἐστι πάντῃ καὶ πάντως ἀνθρώποις, μὴ ὅτι γε Χριστιανοῖς, ὧν οὔτε δῶρα δέχεται ὁ θεός, οὔτε προςένεξιν ἑτέροίαν, εἰ μὴ οὕτως ἀγαπητικῶς ποιοῦσιν, ἀλλὰ καὶ ἅπασι τοῖς ἐν βίῳ.

15. Ὅτε δέ τις πρὸς ἔνστασιν μεμισηκὼς καὶ ἐπεξελθὼν καὶ ἐκφοβήσας καὶ βλάψας καὶ μηδέν τι μηδόλως ἐνδειξάμενος ἀγάπης τεκμήριον, εἶτα εἰκονίζειν ἐπαγγέλλεται φίλον ἀκριβῆ, προκεντῶν εἰρηναῖα τινὰ καὶ σκιαγραφῶν δεξιῶς, ἀλλ᾽ ἐκείνῳ τῷ ἀνθρώπῳ εὐλαβητέον εἰς ταυτὸν ὁμιλίας ἐλθεῖν φιλικῆς, ἕως ἂν τεκμηριώσηται, κόλλαν ἐν τῷ μέσῳ τεθεῖσθαι ἀξιόλογον, δι᾽ ἧς ἀλλήλοις προςκολληθήσονται, καὶ εἰς πνευματικὴν οἱ διεστῶτες ἔλθωσιν ἕνωσιν. Δέος γὰρ οὐκ ἀνέλλογον, μή ποτε τῇ ἀκαίρῳ συνελεύσει ὁ προςελθὼν βλάψῃ μεθόδῳ ὑπούλῳ τὸν ἄνδρα, οὐ τὴν φιλίαν ζητεῖ ἀνακαμπτικῶς, καὶ ἡ βλάβη ἔσται εἰς οὐδὲν ὑγιὲς τῷ παθόντι.

16. Τὸ δὲ ὅμοιον ποιήσεται πάντως καὶ ὁ προςῥυΐσκόμενος ἐχθρῷ, οὐ τῷ ἁπλῶς ἐν ἁπλότητι, ἀλλὰ πρὸς ὑπερβεβληκυῖαν σκληρότητα. Πόθεν γὰρ ἐγγύη δοθήσεται, ὡς ὁ κατὰ θεὸν φιλυπόστροφος εἰς ἀγάπην ἀποιχομένην στρεπτῷ εὐθέως ἐντεύξεται τῷ ἐχθρῷ καὶ ἑτοίμῳ ἐγκολπώσασθαι καὶ ἀσπάσασθαι τὸν ἀνακάμψαντα φίλον, οὐ μὴν διαχειρίσασθαι, ὡς καὶ καταφαγεῖν ἐξολωλότα κακῶς; Οὐ δήπου γάρ, ὡς ἐπὶ τοῦ προκειμένου ὁ μὲν ζητήσας ἐπάνοδον ἀγάπης ἐσώθη μεμαρτυρηκώς, ὁ δὲ δυςωπηθεὶς ἀπώλετο σατανικῶς, οὕτως ἔσται καὶ ἐπὶ πάντων γίνεσθαι· οὐδὲ θαῤῥητέον, ὡς πάντες, εἰ οὕτω πεσούμεθα, σωθησόμεθα. Τῶν γὰρ πάνυ σπανίων καὶ ἀνευρέτων ἐκεῖνο ἐστίν· ἐῶ λέγειν, ὡς εἰκός ποτε καὶ ἀμφοτέρους εἰς ἓν συμπεσόντας ἀπολέσθαι, ὡς πλεῖον οὕτω γενέσθαι τὸ δαιμονικὸν ἐπίχαρμα.

17. Οὐκοῦν εὐλαβητέον ἐν τοῖς τοιούτοις, καὶ προςεκτέον ὅτι μάλιστα. Πολλοὶ γὰρ κακὰ μηχανῶνται κατὰ τὸν οὕτως εἰπόντα, οἷς οὐ πάνυ τι προςαρμόττειν ἐθέλει τό οὐ μὴ ὑπνώσωσιν, εἰ μὴ κακοποιήσουσιν, ἀλλὰ μᾶλλον, ὡς οὐ μὴ ζήσωσιν, εἰ μὴ φονεύσουσιν· ὃ δὴ μάλιστα ἐζήλωσεν ὁ Σαπρίκιος. Ἔστι δὲ ἀστεΐσασθαι, καὶ ὡς οὐδ᾽ οὐ μὴ ἀναπνεύσωσιν, εἰ μή τινα καταπίωσιν, εἴθε δὲ μὴ ἄνθρωπον, ἀλλά τινα μυῖαν δακνηρὰν αἱ κυνάμυιαι· ἵνα καὶ εἰς Βεελζεβοὺλ ἀνάγοιντο καὶ αὐτοί, ὃς ὑπὸ τῶν τὰ θεῖα σοφῶν καταπίνων μυῖαν ἑρμηνεύεται.

18. Ἰδοὺ τοίνυν ἐκ τοιοῦδε φάκτου καὶ ἕτερον τοῦτο. Δένδρον ἡμῖν ἐντεθύμηται ἀλλόκοτον, οὗ μνήμην οὐκ ἐθέμεθα φθάσαντες, ὅπερ οἵους μὲν φθάσαν ἔφερε καρπούς, || οὐκ οἴδαμεν, ἀκριβεῖ γνώσει παραλαβόντες· ἐκεῖνο δὲ ἀκριβέστατα ἐπιστάμεθα, ὅτι, καθ᾽ ὃν καιρὸν ἔμελλεν αὐτὸ (ἦν δὲ ὁ Σαπρίκιος) ἐξαρτύσαι θεοῦ τράπεζαν διὰ καρποφορίας εὐγεννεστάτης, ἀπετμήθη, ὡς γενέσθαι πυρίκαυστον· τὸν γὰρ φοίνικα τοῦ θεοῦ καταγευσάμενος, ὅτι μηδὲ εἶχε κατ᾽ ἐκεῖνον λόγῳ φυσικῆς εὐφυΐας γλυκὺν ἐγκέφαλον, ἀπετάχθη εἰς πῦρ αἰώνιον. Ms. fol. 7. a

19. Εἰ δέ τι χρὴ (οὐκ ἂν δὲ ἀπεοικὸς εἴη) δυάσαι τὴν δενδρικὴν θεωρίαν ταύτην, ἔστι διανοήσασθαι ἡμᾶς ἐνταῦθα οὐκ ἀπροςφυῶς καὶ δεύτερον αὐτίκα δένδρον παράδοξον, τὸν ἅγιον Νικηφόρον, ἄχρι μὲν τῆς ἐκτομῆς τοῦ ἀχρείου τὴν καρδίαν δένδρου, τοῦ μισαδέλφου, καὶ οὕτω (δαυϊτικῶς καλέσαι) βαρυκαρδίου, οἷα καὶ ἀγαπήσαντος ματαιότητα, οὐχ οὕτως ἐριθηλές, οὐδὲ οἷον μεγαλείοις προφαίνεσθαι, ὡς λόγον ἐπ᾽ αὐτῷ εἶναι πολύν· ὅτε μέντοι τοῦ καλοῦ καὶ σαπροῦ ἐν χρῷ γέγονεν ἡ ἀξίνη, αὐθωρὸν τῶν ὑψέων τοῦ οὐρανοῦ παραψάμενον, καὶ ἄνθη προβαλλόμενον, καὶ καρποφορῆσαν, ὡς θεὸς ἀγαπᾷ, καὶ τῇ ἐκείνου

ἀπελεύσει, καθ' ἣν ἀπετμήθη ἐκ τοῦ θεοῦ καὶ τοῦ κατ' αὐτὸν παραδείσου, ἐκφανθὲν αὐτὸ εἰς φυτὸν θεοῦ ἀξιόλογον, ἵνα πως κἀνταῦθα ἡ ἄλλου φθορὰ εἴη ἄλλου γένεσις.

20. Καὶ ἰδού, δύο ἡμῖν ἄρτι ἀναπέφηνεν ἱστορημένα δένδρα, θαύματος καὶ ἐκπλήξεως ἄξια· ὧν τὸ μὲν τάχιον, ἢ ἀναμῦσαι τινά, ὃ δὴ λέγεται, αὐτοῖς καρποῖς, οἷς ἔφερεν, ὡς μὲν ἄλλως εἰπεῖν, τυφωνικῷ ἐξέσπασται πνεύματι, καὶ ἁρπυίαις ἐλήλαται, προσφυέστερον δὲ φάναι, κατέσπασται εἰς φθορὰν χάσματι γῆς· τὸ δὲ ἕτερον δεύτερον, ὡς οἷα καὶ ἐκ μὴ ὄντος ἀναφυέν, ἐξεφάνη καὶ ἐπληροφορήθη πρός καὶ ἐντελεστάτην αὔξην καὶ κάρπωσιν θεάρεστον· αὐτὸ μὲν πρὸς αὐτοῦ τοῦ θεοῦ καὶ προφανὲν καὶ θεοφιλῶς τελεσφορηθέν, ἐκεῖνο δὲ διὰ τοῦ παγκάκου πολεμίου τῆς ἀνθρωπίνου φύσεως ἐξολωλύς· ἵνα καὶ ἐκ τούτων μάθωμεν, οἷα μὲν ὁ κύριος θαυματουργεῖ, ὁποῖα δὲ ὁ ἀποστάτης δοῦλος ῥᾳδιουργεῖ, ὁ μηδένα φιλῶν ἄνθρωπον, κἂν εἰ καὶ εἰς οἰκειότατον αὐτὸν ἐγγράφηται, ἀλλὰ τοὺς ὅλους ἐθέλων κοινωνοὺς αὐτῷ γενέσθαι τῆς κολάσεως, ἀπεναντίας πάντως τῷ πάντας ἐθέλοντι σώζεσθαι.

21. Οὐκοῦν, ἐφ' οἷς ἄρτι φαμέν, κομψευόμενος εἴποι ἄν τις, δύο τούτους ἀλήθοντας οἷς ἔζων, καὶ αὐτοὶ περὶ βίου τροχὸν εἱλούμενοι, τὸν μὲν παραληφθῆναι, τὸν Νικηφόρον, ἀνειλημμένον, τὸν δὲ ἀφεθῆναι κατακεῖσθαι ταρτάριον· ὡς οὕτως εἶναί πως ῥηθῆναι, δένδρου τούτου ἀλυσιτελοῦς ἐκκεκομμένου ἀντιφυῆναι τὸν μέγαν Νικηφόρον, δένδρον ζωῆς, αἴτιον δὲ τῷ Σαπρικίῳ, δένδρῳ τῷ ἀπευκταίας ἐκτομῆς, ὅτι μὴ ξύλον ἦν πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν τοῦ θεοῦ ὑδάτων, οἷα μηδὲ ζῶν ἀξίως τοῦ ἁγιωτάτου || (Mr. fol. 7. b) βαπτίσματος, δι' οὗ ἔμελλε δοῦναι τὸν καρπὸν αὐτοῦ ἐν καιρῷ, καθ' ὃν καὶ ἐχρῆν καὶ ἐξῆν.

22. Ὅθενποριστέον ἐκ τῶν εἰρημένων, ὅτι συνέσεως ἄκρας ἔργον ἐστί, λύειν μὲν τὰ σκάνδαλα εὐαγγελικῶς, εὐλαβεῖσθαι δέ, μὴ [τῇ] πρὸς τοὺς ἐσκανδαλισμένους ἀκαίρῳ προξενέξει ἢ ἑαυτὸν βλάψῃ τις ἢ ἕτερον, ᾧτινι ἐπὶ ἁγιασμοῦ πραγματείᾳ προσήνεκται. Οὐ δή που γὰρ πάντοις ἔχομεν θαῤῥεῖν, ὡς, εἰ πεσούμεθα, σωθησόμεθα· ὃ δὴ τῷ μεγάλῳ μάρτυρι Νικηφόρῳ οὐ τύχης λόγῳ συνέπεσεν, ἀλλὰ πεφιλοτίμηται πρὸς θεοῦ, ἀπωσαμένου μὲν τὸν φαυλεπίφαυλον πρεσβύτερον, ὡς μὴ ἐπάξιον διεγνωσμένον τῆς βασιλείας τῶν οὐρανῶν, δεξιωσαμένου δὲ τὸν ἅγιον λαϊκὸν εἰς κληρονομίαν τοιούτου ἀγαθοῦ· ὃς οὐ πάρεργον, ὡς ἂν εἴποι τις, τὴν βασιλείαν εὕρηκεν, ἀλλὰ προετοιμασάμενος ἐπιδεξίως καὶ εὐμεθόδως εἰς ἔργον σωτήριον. Οὐ γὰρ ἔλαθε δήπου ἐκεῖνον, ὅτι μάρτυρι σπενδόμενος εἰς ἐπήκοον θεραπευτῶν δαιμονίων, συλληφθήσεται καὶ ἀπαχθήσεται, πεισόμενος δεινὰ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως· ἀλλὰ προειδὼς καὶ αὐτὸ συνελογίσατο, δυοῖν θάτερον αὐτῷ γενήσεσθαι· ἢ φιλίαν εὑρέσθαι καταπραξάμενον, γενέσθαι τὸν ἐχθρὸν πρὸς αὐτοῦ, καὶ οὕτω κληρονομῆσαι μαρτυρικῆς εὐχῆς καὶ περισωθῆναι· ἢ διαπεσὼν τῆς ἐλπίδος στέξαι καὶ τὸ ἄλλως ἐπισυμβησόμενον ἐν θεῷ. Καὶ δὴ γέγονεν εἰς αὐτὸν οὕτως ἑτοιμασθέντα εἰς ἀτάραχον τὸ μέγα θεόθεν καλόν, καὶ τὸν τοῦ Σαπρικίου στέφανον ἐνόδιος ἀνελάβετο παρευδοκιμησάμενος τὸν ἀνάξιον.

23. Μενοῦν γε δύο στεφάνους, ἕνα μὲν τὸν ἕνεκεν ἀγάπης, ὃν εἶχεν ἂν ἀμνησικακίας χάριν, ἕτερον δὲ διὰ τὸ μαρτύριον, ἥρπασεν, ἅμα τῷ ξίφει μὲν τὸν τράχηλον, τοῖς δὲ στεφάνοις τὴν κεφαλὴν ὑποθέμενος, καὶ ἄρας τὸν σταυρὸν τοῦ Χριστοῦ, καθ[illegible] καὶ ἠκολούθησεν αὐτῷ εὐαγγελικῶς· ὅπερ ἀπηγ[illegible]ο ποιῆσαι ὁ τὸ καλὸν κακῶς ποιῶν Σαπρίκιος, ἀράμενος μὲν σταυρὸν ὡς ἐν ὀρθότητι, οὐ μὴν κατόπιν τοῦ σωτῆρος Χριστοῦ, τοῦ τῆς ἀγάπης θεοῦ, ἐλθὼν ἀκολουθικῶς, ὅτι μηδὲ ἠγάπα τὸν πλησίον, καὶ ταῦτα οὐκ ἐπὶ φορτικότητι καὶ ἀδυναμίᾳ τινὸς ἀποτελέσματος, ἀλλὰ εὐκολίᾳ, ἧς οὐδὲν ἂν γένοιτο ἀφελέστερον. Ἐχρῆν γὰρ τὸν τοῦ μίσους ἄνθρωπον ἐκεῖνον, καὶ δι' αὐτὸ θεράποντα τοῦ ἀρχεκάκου, εἰπεῖν μόνον τό· ὁ θεὸς ἐλεήσαι σε, ὦ ἀδελφέ, κατ' ἐνδιάθετον, καὶ αὐτίκα στεφανίτην παραστῆναι τῷ θεῷ, οὐ μὴν ἀγωνισάμενον μακρὰ κατὰ πρόφασιν ἀγάπης, τῆς πρὸς τὸν θεόν, ὃν κατ' οὐδένα, ὡς ἔοικε, λόγον ἑώρακεν· εἶτα καὶ ἀπαγόμενον εἰς τελείωσιν, ὀκνῆσαι μὲν αὐτῆς μεταδοῦναι ἀδελφῷ δυσωποῦντι καὶ γονυκλιτοῦντι καὶ κατακύπτοντι ἐς προσκύνησιν, ὑπακοῦσαι δὲ τῷ δαίμονι ἐρεθίσαντι λόγῳ ὑποβολῆς, καιρὸν εἶναι αὐτίκα νῦν ἀπαγαγεῖν τοῦ ἐχθροῦ τὴν κεφαλήν, καὶ οὕτω τῆς ἐκεῖ ζωῆς ἐπάρατον ἀνθελέσθαι τὴν ἐνταῦθα βιοτήν, καὶ πρὸς τῷ λιμένι ναυαγῆσαι, καὶ ὅτε ταῖς τοῦ παραδείσου πύλαις ἔγγισε, παρὰ || (Mr. fol. 8. a) θύρας, ὅ φασιν, ἐλθεῖν, ἀφέμενον τῷ ἐχθρῷ Νικηφόρῳ, εἰσδραμεῖν ἔσω καὶ τὴν τοῦ θεοῦ δόξαν θεάσασθαι· ὑπεκστάντα μὲν τῆς οὐρανοβάμονος κλίμακος τῷ θεοφιλῶς ὑψιπέτῃ ἀετῷ Νικηφόρῳ, ἑαυτῷ δὲ ὡς γεωχαρεῖ καὶ (οἷον εἰπεῖν) βουγαίῳ, εἴτ' οὖν βοσκήματι γῆς ἀνακυψαμένῳ τὸ κατάγαιον, καὶ τοῖς κάτω ἐναπομείναντα, μὴ ἔχοντα μηδὲ ἀναβλέπειν ἀτενῶς εἰς τὸν οὐρανόν· ὁπηνίκα καὶ οἱ δήμιοι οὐκ ἂν ἔσχον μὴ οὐ θαυμάσαι, ὅπως οὐχὶ ἀντάλλαγμα λυτρώσεως ψυχῆς

δικαίας, ἀλλὰ ὀλεθρίου, τὸν φιλόχριστον Νικηφόρον παραδόμενος ὁ Σαπρίκιος ἐφόνα, δαιμονῶν ἀντικρύς. Ἐβαρύνθησαν δὲ ἂν ἐκεῖνοι, καὶ ὅτι βλασφημίαις ὁ κακὸς ἄνθρωπος τὰς φιλικὰς εὐλογίας ἠμείβετο, καὶ τὰς ἱκεσίας ὕβρεσι, καὶ ὡς, φιλεῖν δοκῶν τὸν δεσπότην θεόν, τὸν σύνδουλον ἐς τοσοῦτον μισεῖ, καὶ τύραννος ἀποβαίνει, μετάγων κατ᾽ ἐκείνου τὴν κατὰ τῆς κεφαλῆς ἀπόφασιν, μενοῦν γε πυρκαίου ἐξανάψας θυμοῦ, σώζουσαν μὲν τὸν προδεδομένον θανεῖν, τὸν δὲ προδόντα διαβιβάζουσαν εἰς αἰώνιον πῦρ.

24. *Παραπήξατε τοίνυν, ὦ ἀδελφοί*, τῇ καθ᾽ ὑμᾶς μνήμῃ καὶ δένδρον τοῦτο παράδοξον, ἐκριζωθὲν ξυλοκόπῳ δικαίως ἀξίνῃ τοῦ θείου κήπου, καὶ ἀποκληρωθὲν αἰωνίῳ πυρί, ὅπερ αὐτῷ τῷ δαίμονι καὶ τοῖς ἐκείνου ἑτοίμασται· καὶ τὸ τοιοῦτον φάκτον μνήμοσι δέλτοις φρενῶν ἐγγραψάμενοι, παραδέχεσθε μὲν ἅπαντα ἄνθρωπον ζητοῦντα εὐχήν, καὶ καταλλαγήν, καὶ ἕνωσιν ἀνθρωπικὴν ἀτύρβαστον, καὶ φιλότητα κοινωνικήν, καὶ συνδρομὴν πολιτικήν, καὶ ἀγάπην, καὶ συγκατάβασιν, καὶ ἐπιείκειαν, καὶ ἡμερότητα, καὶ ἱλαρότητα, καὶ ἀσυλίαν, καὶ τὸ ἀνεπίθετον, καὶ ἀνεπιβούλευτον, καὶ τὴν ἐς βίον συγκρότησιν, ἐφ᾽ οἷς δυνατόν, καὶ ἐνδεχομένην συναντίληψιν, καὶ ἔλεον, καὶ μετάδοσιν, ἔτι δὲ συναναστροφὴν εἰρηνικήν, δεξίωσιν ἀπάνουργον, κεφαλῆς νεῦσιν εὐλόγιστον, λαλιὰν εὐπαίδευτον, συνέντευξιν ἀστικήν, συνδρομὴν ἀσκέλιστον, συνοικίαν ἀτάραχον, εὐλογίαν χριστιανικήν, τὸ ἀπανούργως εὐόμιλον, τὸ ν α ὶ καὶ τὸ ο ὔ, τὸ πρὸς ἀλήθειαν ἀρραδιούργητον, τὸ ἀνθρωπίνως κοινωνικόν, το ἀκακούργως πολιτευτικόν, τὸ ἐν συναλλάγμασιν ἄδολον, τὸ ἐν ὑποσχέσεσιν ἀτρεκές, τὸ ἐν δανείσμασιν ἢ ἀκερδές, ἢ ἀλλὰ δευτέρῳ λόγῳ εὐδιακρίτως ὀλιγοκερδές, καὶ ὁπόσοις ἄλλοις βίος ἐξαρτύεται ἥμερος, καὶ μὴ αἰσχύνων τὸν τοῦ θεοῦ ἄνθρωπον· καὶ εἰς θεοῦ δένδρα οὕτως αὐξάνεσθε καὶ πληθύνεσθε πολύφορα καὶ ἀγλαόκαρπα, καὶ οἷα γλυκάζειν καὶ τέρπειν διὰ ἀγάπης, καθ᾽ ἣν ἠγαπημένα νεόφυτα τῷ θεῷ ἐξοσιοῦνται εἰς δόξαν αὐτοῦ ὑψοῦ ἀνατρέχοντα. *Καὶ τοιοῦτοι* μὲν ὑμεῖς ἀποβαίνετε λόγῳ τελειώσεως, ὡς ἄνθρωποι τοῦ θεοῦ, ὁποίους ὁ ἁγιώτατος βαπτιστὴς φιλεῖ ἐγγίζειν τῷ θεῷ εἰς παραδείσου ἀπόλαυσιν.

25. *Εἰ δέ τις ἄνθρωπος ὢν ἀπροόρατος τοῦ μέλλοντος εὐλαβεῖται, μή που Σαπρίκιόν τινα ὑποκαθήμενον ἔχῃ ἐχθρόν, καὶ δέδιε, μὴ καὶ || περιτυχὼν αὐτῷ* Ms. fol. 8. b. *οὐ πρὸς θεὸν ἀναπεμφθήσεται, ἀλλ᾽ εἰς ᾅδου κατολισθήσας ἐξολεῖται, ἄφετε μέμφεσθαι τὸν τοιοῦτον ἄνθρωπον τῆς ἐκλόγου καὶ ἀσυνέτου δειλίας· εὔχεσθε δὲ ὁλοψύχως, ἐξολέσθαι πάλιν τὸν Σαπρίκιον διὰ τῆς νικηφόρου μεθόδου, ἣν ἐν τοῖς παροῦσιν ἐξεθέμεθα. Οὕτω γὰρ * ἀπὸ τῆς Ἀδαμιαίας παρρησιασαμένης * δι᾽ ἧς καὶ ὁ παράδεισος οἰκίζεται, καὶ τὰ θεῖα δένδρα φυτηκομοῦνται εἰς καὶ καρποτρόφον αὔξην καὶ θεοφιλῆ, ἀγαθὰ ἔσται τὰ πάντα, καὶ ἡ τοῦ θεοῦ βοήθεια πρὸς ἡμῖν γενήσεται· ὃς τὴν ἑκάστων ἐπιστροφὴν ἐνδελεχῶς ἐς τοσοῦτον πραγματεύεται, ὡς καὶ ἄκοντας ἡμᾶς ἐν πολλοῖς περισώζειν εἰς δόξαν αὐτοῦ, παναγάθου ὄντος, καὶ φιλοψύχου, καὶ δι᾽ αὐτὸ εὐλογητοῦ εἰς αἰῶνας. Ἀμήν.*

Τοῦ αὐτοῦ Εὐσταθίου Θεσσαλονίκης εἰς τὸ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Διαλαμβάνει δὲ ὁ διδασκαλικὸς οὗτος λόγος καὶ περὶ ἐλεημοσύνης, καὶ ταπεινώσεως, καὶ νηστείας, καὶ λούματος, καὶ εὐχῆς, καὶ λοιπῆς ἐναρέτου διαγωγῆς.

1. *Οὐκ ἔστιν, ὦ ἀδελφοί*, ἀνιέμενόν τινα ἐν ἡμῖν καὶ ἀναπίπτοντα, καὶ μὴ ὅλως ἐγρηγορότα εἰς ἀγαθόν, ἔπαινόν ποθεν εὑρέσθαι θεοφιλῶς, ἢ ἄλλό τι καλόν. *Οἴδαμεν γάρ*, μηδὲν τῶν ἐν τῷ βίῳ ἐφετῶν ἀπόνως ἀνθρώποις περιγίγνεσθαι, μηδ᾽ αὐτά, ὁπόσα τὸ σῶμα τρέφειν οἶδεν, οἷα μηδὲ τοῦ θρεπτικοῦ ἐράνου τυχαίου καὶ αὐτομάτου ὄντος ἐν ἀνθρώποις. Ζῶον μὲν γὰρ ἑτεροῖον θρέψεται εἰκαίαις ἐνθέσεσι, καὶ πιανθήσεται ὡς βόσκημα τροφαῖς αὐτοφυέσιν, ἃς οὔτε ἄροτος, οὔτε σπόρος αὐχοῦσι προάγειν, καὶ ἀρετὴ ζωϊκὴ ἐντεῦθεν τῷ τοιούτῳ ζώῳ ἐπιγενήσεται· ἄνθρωπος δέ, τὸ ἐν κόσμῳ ἄριστον ζῶον, τὸ τοῦ θεοῦ ἔργον, τὸ εἰς ἐργατείαν ἐκεῖθεν εὐφυές, τὸ μὴ τεταγμένον ἀναπίπτειν, ἀλλὰ καὶ εἰς ἀεικινησίαν παραγγέλλον, ὅτε διατίθεται νοερῶς, καὶ κοπιάσει, καὶ ἱδρῶτας ἐκκρινεῖ, καὶ ποιήσεται καλὸν ποιῆσαι· καὶ οὕτω τεύξεται τῆς ἐφέσεως, οὐχ ἁπλῶς, ἀλλὰ συνεπιλαμβανομένου θεοῦ.

2. *Εἰ δ᾽*, ὅτι κυριεύειν τῶν ἐπὶ γῆς αὐτός τέτακται, ἀξιοῖ ἀνεῖσθαι, καὶ θέλει ἀνακεῖσθαι, καὶ μὴ πρὸς ἀγαθοῖς κόποις εἶναι, ἀλλὰ τοῦτο καὶ μᾶλλον αὐτὸν ἐναγέτω κοπιᾷν εἰς καλόν, καὶ μοχθεῖν ἐπ᾽

ἀρετῇ, ὁποία τὴν θεόθεν αὐτῷ δεσποτείαν ἐπικοσμήσει. Παραδέδοται γάρ, καὶ οὐκ ἔστιν ἀντειπεῖν, ὅτι φροντιστικὸς ὡς μάλιστα ὁ πλειόνων κρατῶν· διὸ καὶ τοσαύτης ἐχρῆν τῷ ἄρχοντι μετεῖναι σπουδῆς καὶ βουλῆς καὶ ἐντρεχείας, ὡς μηδὲ παννύχιον ἐξεῖναι καθεύδειν αὐτόν.

3. Εἰ γοῦν βασιλεύει τῶν ἐπὶ γῆς ἅπας ἄνθρωπος, καὶ μάλιστα ὁ σπουδαῖος, ἐνθυμείσθω καὶ μελέτωρ ἑαυτοῦ τε εἶναι τοῦ ἑνός, καὶ δι' αὐτὸ οὐδενός, κατὰ τὴν παλαιὰν παροιμίαν, καὶ τῶν ἄλλων δέ, ὅσους ὑπ' αὐτῷ ἔταξεν ὁ θεός· καὶ μὴ ἐθελέτω ἀπονητὶ ἐπήβολος ἐναρέτου γίνεσθαι || πράγματος, ἐλπιδοκοπούμενος εἰς κενὸν κατὰ τοὺς ὀνειροπολοῦντας καὶ εὑρίσκοντας ἐνώπιον τὰ διὰ πόθου αὐτοῖς· βαλλέτω δὲ εἰς νοῦν καὶ σοφὸν ἐκεῖνον παλαιόν, ὃς παίζων τοὺς ἐθέλοντας μὲν ἐν ἀγαθοῖς εἶναι, ὀκνοῦντας δὲ κοπιᾶν καὶ οὕτω κτᾶσθαι τὸ θελητόν, ἀπησχόλησε φωνῇ, ἱστορησάμενος ὡς ἐπὶ τρυφῇ· καὶ ἐπλάσατό τινα βίον παλαίτατον, ἐν ᾧ θυσία τε ζῶσα, τά τε κρέα ἑφθὰ καὶ ὀπτὰ ταῖς τραπέζαις ἀπραγμόνως ἐπέτρεχον εἰς ἑστίαν μακαρίαν καὶ εὐδαίμονα, καὶ ζωμοὶ λιπαροὶ ποταμηδὸν ἔῤῥεον εἰς χρῆσιν τοῖς ὀριγνωμένοις, καὶ πτηνὰ καλὰ εἰς βρῶσιν κατεπετάννυντο ἕτοιμα τοῖς δαιτυμόσι, καὶ τοῖς ἐκείνων ἐμπίπτοντα στόμασι παρεβύοντο, καὶ ἰχθύες δὲ ὀπτῶντες ἑαυτούς, ἐπειδὰν θάτερον μέρος κατεργασθῶσι πυρί, μετεστρέφοντο αὐτοκύλιστοι ἐπὶ θάτερα, καὶ οὕτως εὔθετοι γεγονότες ἀρτύσαι τράπεζαν, καὶ ἀρθέντες μετέωροι ταῖς τραπέζαις ἐνεκυβίστων καὶ ἐτρύφων οὕτως ἐξ αὐτομάτων οἱ τότε δαιταλεῖς ἄπονοι.

Ms. fol. 8 a.

4. Καὶ ἐξέθετο μὲν ταῦτα ὁ σοφὸς ἐκεῖνος, λαλῶν εὐτράπελα κατὰ τῆς Ἀσκραίας μούσης (ὡς ἄν τις εὐθυβόλως νοήσοι), ἐφ' οἷς χρύσεον ἐκείνη ἀρχαῖον ζωώσασα γένος ἠγαλμάτωσε, μεταλλεύσασα δεξιῶς, καὶ χρυσοχοϊκῶς χοανεύσασα. * Καὶ τὰ πρῶτα μὲν αὐτό.* Ἔπειτα δὲ εἰς ἀργύρεον αὐτὸ ὑπεβίβασε, καὶ θάνατον ἐῤῥητόρευσε τοῖς τότε γλυκύν, οἷα καὶ ὕπνον, ῥαστώνῃ βίου καὶ ἀπόνῳ ζωῇ ἀνάλγητον καὶ αὐτὸν ἐφεπόμενον. Διαγραψάμενος δὲ οὕτως ὁ ἀστεῖος ἐκεῖνος, καὶ γοητεύσας ἀκοάς, ὡς καὶ ὀνειροπολεῖν τρυφὰς καὶ τραπεζώματα, οὐ φαύλως, οἶμαι, καθίκετο τῶν εἰς μάτην χασμωμένων, καὶ τὸν κόλπον διὰ κενῆς ἀναπεταννύντων, ἐξαπλούντων δὲ καὶ τὼ χεῖρε, ὡς καὶ ἐμφαγεῖν εἰς κόρον, καὶ πλοῦτον κατακολπίσαι, καὶ δράξασθαι τῶν ποθουμένων δίχα κοπιάματος.

5. Μοχθητέον οὖν, ὦ ἀδελφοί, καὶ κοπιατέον, καὶ πονητέον, καὶ ἱδρωτέον ἐπ' ἀγαθοῖς, ὡς μὴ κατά τινα τρόπον ἕτερον, ἀλλὰ τοῦτον δὴ καὶ μόνον περιγενησομένοις ἡμῖν τοῦ κατορθοῦν τὰ καλά. Καὶ παραγγεῖν μὲν εἰς μαρτυρίαν τὸ μηδὲν εὐτυχεῖν ἄνευ πόνου, εἰς τοσοῦτον στενολεσχῶν, παράγω οἷα ἐξωτερικόν. Μυρία δὲ καὶ ἄλλα ἔχων (οὐ, καθά τις ἂν περιαυτολόγος ἐρεῖ, ἐξερεύξασθαι, κατ' εὐπορίαν δὲ προβαλέσθαι), ἀφίημι ἀπολεγόμενος τὸ ἀκαίρως φιλότιμον· καιρίως δὲ τοῦ ἱερωτάτου γραφικοῦ θησαυροῦ ἀναλεξάμενος ἅγιον χαρακτῆρα, ἐν ᾧ προφήτης μέγας καὶ ὑπερβάλλων ἅγιος ὁ Δαυῒδ ἐξετυπώσατο νοῦν θεῖον, ὅσα καὶ ἐν Σιναϊκῇ πλακί, ἀναγνώσομαι ὑμῖν διαλαμβάνοντα ἐκεῖνον περὶ θεοφιλοῦς ἀνδρός, ὡς καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος, ὅπερ ἐστίν· ἐκοπίασεν οὐ τυχόντως, ἀλλὰ ὅλην τὴν κατ' αὐτὸν ἐν βίῳ ζωήν· αἰὼν γὰρ ὁμολόγηται σεμνότερον λέγεσθαι, καὶ ὁ χρόνος τῆς ἑκάστων ἀνθρώπων ζωῆς. Οὐκοῦν δι' αὐτὸ τέλος ὁ τοιοῦτος εὑρήσει τὸ καὶ εὖ ζῆν καὶ μακαρίως διὰ βίου περιεῖναι, ὅμοιον ὡς εἰ καὶ κυ || πτόμενός τις ἔκκοπος παρὰ γῆν, ἢ πονούμενος περὶ θάλασσαν, πορίσεται τοιούτοις μόχθοις ἑαυτῷ τὴν ζωήν, ὡς καὶ αὐτόν τι τῶν δεόντων αὐτὸν ἐπιλιπεῖν τοῦ λοιποῦ, καὶ μᾶλλον, ὅτε τὸ γῆρας ἐγκρατῶς αὐτοῦ ἀμφήσεται, περὶ ὃ συντελοῦνται μὲν οἱ γλυκεῖς ἐργατικοὶ πόνοι καὶ κόποι, ἐνάρχονται δὲ οἱ τῆς ἀργαλέας γηραλεότητος, οἱ μετὰ τὰ ὀγδοήκοντα ἔτη, ὡς ψάλλει Δαυῒδ. Τότε γὰρ ὁ τὸν αἰῶνα τοῦτον πονήσας, ἤγουν τὴν κατ' αὐτὸν ὅλην ζωήν, πρώτην τὴν νεωτερικήν, εἶτα τὴν ἀκμαίαν, καὶ ἐφεξῆς τὴν ὠμογεροντικήν, μεθ' ἣν ὑποχαλᾶται τὰ νεῦρα τοῖς κάμνουσι, ζήσεται διὰ τέλους, οἷς προεπόνησεν, ἀποθέμενος ἐς βίον αὐτά, οὐ κατὰ μύρμηκας, οἵπερ ἀεὶ ἐξ ἔτους εἰς ἔτος ποιοῦνται, καὶ οὕτω ζῶσιν, ἀλλ' ὡς ἀνθρώπῳ ἐπιπρέπει βιοῦντι δεσποτικῶς, εἶτ' οὖν βασιλικῶς, ὡς καὶ πέπλασται πρὸς τοῦ θεοῦ.

Ms. fol. 8 b.

6. Συνεισακτέον δὲ τοῖς τρόποις, δι' ὧν ὁ εἰς τὸν αἰῶνα κοπιάσας ζήσεται εἰς τέλος, καὶ τοὺς ἐξ εὐεργεσίας καὶ τοὺς ὀρθῶς φιλικούς. Ὁ γὰρ κοπιῶν θεοφιλῶς ἅμα καὶ διηνεκῶς, καὶ ποριζόμενος οὕτω τὰ ἐκ τοῦ θεοῦ, ὃς δίδωσι τροφὴν πάσῃ σαρκί, καὶ δὲ καὶ ὁ μεταδιδοὺς τῶν εἰς χρείαν τοῖς αὐτοῦ δεομένοις, ὡς δύναμις, χορηγῶν δὲ καὶ φίλοις τὰ καθήκοντα, εὑρήσει κἀντεῦθεν ἐν τῷ γήρᾳ χορηγίαν τοῦ ζῆν, αὐτῶν ἐκείνων, οἷς τὸ δέον ἐχορήγει, ἀνταποδιδόντων τὰ δέοντα, καὶ ἀναπληρούντων εὐδιακρίτως τὸ δέον ἐν αὐτῷ, εἴ γε καὶ δύναιντο, καὶ εὐγνωμοσύνην φυλάττοιεν, ὡς καὶ ὄφλειν χάριτας. Εἰ δὲ καὶ ἴσως ἐξ ἐκείνων ἡ τοῦ καλοῦ μνήμη ἀποπετασθείη, ἀλλὰ τοῦ θεοῦ, τοῦ δανειζομένου τὰ κατ' εὐπορίαν, ὃς καὶ τῆς φιλίας ταμίας καὶ ἀνταποδότης τῶν ἐν ἡμῖν

ἀγαθουργιῶν πέφηνεν, οὐκ ἀφιέντος αὐτὸν μὴ ζῆν εἰς τέλος, ὡς ὁ προφήτης ἀπεφθέγξατο, ἀλλὰ καὶ ἀποδιδόντος, καὶ τῷ κεφαλαίῳ προςεπιβάλλοντος, ὡςεὶ καὶ τόκον ἀπετίννυεν. Ἀνύσας γὰρ ὁ φιλεργὸς δι' ὅλου τοῦ κατὰ τὴν ἐπίκηρον, καὶ οὕτως εἰπεῖν, ἐπίκαιρον καὶ ἐφήμερον αὐτοῦ ζωὴν αἰῶνος, ὅπερ ὤφειλεν τῷ καὶ παμπλουσίῳ καὶ ἀψευδεστάτῳ δεσπότῃ θεῷ, καὶ τὴν ἔγκοπον πληροφορήσας ἐργατείαν αὐτοῦ, ἐν τῷ τέλει ἀναπαύσεται· καὶ οὐκ ἀποβήσεται ὁ καίριος κόπος αὐτῷ εἴς τι κακόν, οἷα συγκοπτικός, ἀλλὰ ζήσεται δίχα δηλονότι κόπου, ὡς τοῦ κοπιᾶν μὴ ἐντασσομένου εἰς ἀκραιφνῆ ζωήν, ἀλλὰ ὑγείας ἐγκοπτικήν.

7. Οὕτω δὲ τὴν ἐκτεθειμένην ψαλμῳδικῶς ῥῆσιν ἐπελθὼν ταπεινότερον, ἐθέλω καὶ ἄλλως αὐτὴν ἐξεργάσασθαι ὑψηλότερον. Ἔχει μὲν γὰρ οὐδὲ ἐκεῖνο φαύλως τὸ προῤῥηθέν· οὐκ ἂν δέ, αὐτοῦ ἐγκοσμίου ὄντος, λελείψοιτο εἰς ἐνάρετον ἔννοιαν οὐδὲ τὸ δεύτερον, τῷ ἐκεῖσε κόσμῳ ἀφωρισμένον, καὶ τῆς αἰωνίου ζωῆς ἐχόμενον. Καὶ ἐκοπίασε, φησίν, εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Καὶ τέως προληπτέον, ὅτι αἰῶνα μέλλομεν ἄρτι νοῆσαι οὐ τὸν παρ' ἡμῖν τοῖς κατὰ σῶμα θνητοῖς, τὸν τῆς ἡμετέρας ζωῆς, τὸν ἀπόνως μετρητόν, τὸν ῥᾳδίως ἀριθμητόν, τὸν καὶ ἀόριστον καὶ τελειούμενον, τὸν πρόςκαιρον, εἰ καὶ χιλιοστύος ἐγγὺς παρεκταθήσεται· ἀλλὰ τὸν ὕστερον, || Ms. fol. 10. a. τὸν ὄντως ἄπειρον, τὸν ἀμέτρητον, τὸν μηδὲν πρὸς ἡμᾶς τοὺς ὧδε βραχυβίους ἀνθρώπους, τὸν μὴ τῷ κόσμῳ σύμμετρον, μόνῳ δὲ τῷ θεῷ ἁρμοττόμενον, καὶ τῇ κατ' ἐκεῖνον ἀπειρίᾳ συμπαρεκτεινόμενον, τὸν μέλλοντα, τὸν ὄγδοον, τὸν ἀκατάπαυστον καὶ ἀτελεύτητον, καὶ δι' αὐτὸ τέλος ὠνομασμένον, ἐνδελεχέστατον αὐτὸ πάντως, καὶ οὗ ἐπέκεινα καὶ μεθ' ὃ τέλος οὐκ ἔστιν ἄλλο, ἵνα τις λέγῃ, μηδὲ καὶ τέλος εἶναι, ὡς οὐδὲ τῆς βασιλείας τοῦ θεοῦ.

8. Τούτων δὴ οὕτω προειλημμένων, ἐπιβλητέον τῇ ἐκτεθειμένῃ Δαυϊτικῇ προφορᾷ καὶ οὕτως. Ἐκοπίασε, φησίν, οὐχὶ ὁ ἁπλῶς, ἀλλὰ ὁ ἐνάρετος ἄνθρωπος, οἷα καὶ εἴς τινα προβεβλημένον σκοπόν, τὸν αἰῶνα ἐκεῖνον τὸν ἄπειρον, οὐ πρὸς τὸν ἐνταῦθα δηλαδὴ τὸν πεπερασμένον ἀποβλέπων, καὶ οὕτω κοπιῶν διὰ μόνην τὴν κάτω ζωήν, καὶ τὰ ἐντεῦθεν κοπηρὰ καλά, πρὸς ἐκεῖνον δὲ καὶ μόνον τὸν ὕστερον, καὶ πρὸς μόνα τὰ ἐκεῖ ἀπευθύνων ἑαυτὸν καὶ τυπούμενος. Πῶς δὲ τοῦτο κατορθῶν; ἐν τῷ παραμετρεῖν αἰῶνα στενὸν τοῦτον αἰῶνι πλατυτάτῳ ἐκείνῳ, καὶ ζωὴν καιρικήν, τὴν ἐν τοῖς ὧδε, ζωῇ ἀλήκτῳ τῇ ἐκεῖ, καὶ οὕτω κατὰ κόσμον παρατιθέναι τὰ ὑπερκόσμια, καὶ ἀνταλλάττεσθαι τούτων ἐκεῖνα. Διὸ καὶ κοπιῶν εἰς τοιοῦτον αἰῶνα, ζήσεται εἰς τέλος ἄληκτον, εἰπεῖν δὲ προςφυῶς καὶ προςῆκον [καθῆκον] καὶ ἀληθῶς, ἐντελέστατον, καὶ ὡς εἴπομεν, τελειότατον. Καὶ τοιόνδε μὲν καὶ τόδε, καὶ γένοιτο καλῶς ἔχειν καὶ αὐτό.

9. Εἰ δὲ τὸ δὶς τὰ καλά, προςαυξητέον ἁρμοζόντως, καὶ εἰς τὸ τρὶς ἐπιβλητέον καί τινι τρίτῃ ἐξηγήσει τοῦ Δαβιτικοῦ ῥητοῦ ἐχόμενά πως κειμένῃ τῆς προσεχοῦς, καὶ ῥητέον ἐν πρώτοις, ὅτι μυστηριωδεστέρα ἡ τρίτη κατ' ἔννοιαν ἐπιβολή, ἐχομένη καὶ μυσταγωγίας, ἣν περὶ τῆς αἰωνίου καὶ ἀνταποδόσεως τῶν ἐν βίῳ ἀγαθῶν καὶ ἀντιδόσεως τῶν ἐν τῷ βιοῦν σφαλμάτων παρελάβομεν. Ἠπόρηται μὲν γάρ, διατί ὁ θεὸς ἀτελεύτητα κολάζει ἐκεῖ τὸν ἐπταικότα ἐν τῇ κατὰ κόσμον ἀναστροφῇ μετρητά; Τούτου δὲ λύσιν ὑποκρουόμενος ἐν τοῖς ἄρτι ὁ πάνσοφος τοῦ θεοῦ ψάλτης, προβάλλεται νῦν λυτικόν τινα λόγον ἐπιχειρῶν ἐκ τῶν πόῤῥωθεν, κατ' ἔννοιαν, ᾗ οὐδεὶς Χριστιανὸς ἐπιχειρήσει ἀντιπαλαίσειν εἰς ἀκατάβλητον. Ἔστι δὲ τοιοῦτος ὁ νοῦς τῷ ψαλμῳδῷ· λέγει, τὸν ἀγαθὸν καὶ ἐνάρετον ἄνθρωπον διὰ τὴν πρόςκαιρον βιοτὴν αὐτοῦ καὶ ἀρετὴν ἀπολήψεσθαι ἀγαθὰ αἰώνια, νεκρώσαντα κόποις καὶ πόνοις τὴν σάρκα διὰ τὴν σταθερὰν ἐλπίδα τῆς ἐκεῖσε ζωῆς. Καὶ οὕτω φιλοσόφῳ διαθέσει καὶ κοινωνίᾳ ὡς ἐξ ἐναντίου τούτου θέματος λύει ἐκεῖνο τὸ ἀντίθετον ἄπορον, νοῶν, ὅτι ὁ δίκαιος ἄνθρωπος ἀσχολεῖται εἰς τὸν παρόντα αἰῶνα, τὸν τῆς κατ' ἄνθρωπον ζωῆς, οὐ μόνον ὡς ἐνδέχεται (οὐδὲν γὰρ μέγα τὸ οὕτως εἰπεῖν), ἀλλὰ εἰς λίαν ἐπιπόνως καὶ μετὰ πολλοῦ κόπου καὶ διηνεκοῦς καὶ συνεχοῦς καὶ ἐπιμόνου καὶ ὡς οἷον ἐνιαίου καὶ οὕτω πως αἰωνίου, διὰ τὸ ἀδιακόπως ἐν πάσῃ τῇ αὐτοῦ ζωῇ πονεῖν.

10. Οὐ γὰρ ἐκοπία, φησίν, ἔκ τινων διαλειμμάτων, ἄλλοτε καὶ ἄλλοτε, ἀλλὰ καθάπαξ ἐκοπίασεν εἰς αἰώνιον, ὅ ἐστιν ἀναλόγως τῷ ἐπιμεμετρημένῳ αὐτῷ ἐνταῦθα αἰῶνι. Ἐπεὶ οὖν ὅλον τὸν αὐτοῦ αἰῶνα τοῦτον θεαρέστως || Ms. fol. 10. b. ἔζησε, δικαίως ζήσεται καὶ εἰς τέλος, ἤγουν διὰ παντός, καὶ μέχρι βάθους ἀπείρου αἰῶνος, οὗ πέρας οἷον ἀπειρία. Καὶ τό, αὐτὸν ὅλως εἶναι μόνιμον τέλος, καὶ μὴ ἔχειν κατάπαυσιν ὥς ἕτερόν τι, πέφυκε τελειούμενον δευτερεύειν μετ' αὐτόν, αἰώνων ὄντα αἰῶνα, οὗ πέρας οὐδ' ἂν ἐπινοήσεταί τις, καὶ τέλος αἰώνων τῶν πρὸ αὐτοῦ, ἀκατάπαυστον δέ· οὕτω περατοῦντα τοὺς ἄλλους, ὡςεὶ καὶ σφραγὶς αὐτὸς ἐκείνοις ἐπέκειτο. Καὶ ἔστι τοῦτο πρέπον τῷ θεῷ, τὸ χάριν δηλαδὴ ἀντὶ χάριτος ἀξίαν ἀποδοῦναι τῷ αὐτὸν ὀρθῶς ἕως ὅλον ἀγαπήσαντι, καὶ αἰῶνος ἀντιδοῦναι αἰῶνα τοῦ κατὰ κόσμον,

ἐν ᾧ ἐκοπίασεν ὁ αὐτοῦ θεράπων, τὸν ὑπὲρ τὰ τοῦ κόσμου τοῦ ἀνθρωπίνου, τὸν ἑαυτοῦ, νόμῳ φιλίας, ὃς κοινὰ τὰ τῶν φίλων τίθεται.

11. Εἰ δὴ τοῦθ' οὕτως ἔχει (ἔχει δὲ οὐκ ἄλλως), εὔλογόν ἐστιν, ὡς ἐξ ἐναντίου τόπου ἐπιχειρῆσαι, τὸν μὴ κοπιῶντα εἰς τὸν αἰῶνα μηδὲ ζῆν εἰς τέλος, τὸ κατὰ τὸν ἅγιον ἄνθρωπον, ἀλλὰ ἀνάπαλιν ἐκείνῳ τὰ εἰς ποιότητα ζωῆς. Εἰ γὰρ ἐκεῖνος ζῇ αἰωνίως ἐν καλοῖς διὰ τὴν ψυχὴν ἀθάνατον οὖσαν, ὁ λοιπὸς ἄρα, ὁ ἁμαρτωλὸς δηλαδή, ζήσεται ἄλλως μὲν ἐν οὐ καλοῖς, αἰωνίως δὲ ὅμως, διὰ τὴν αὐτὴν ψυχὴν θανάτῳ μὴ ὑποπίπτουσαν. Καὶ ἔστιν ἡ τοιαύτη ἔννοια, ἐπιτόμως φάναι, τοιαύτη τις· ἐκοπίασε τὴν αὐτοῦ ὅλην ζωὴν ὁ δίκαιος ἐν τῷδε τῷ κόσμῳ, ζήσεται οὖν ἐκεῖ κατὰ θεὸν ἀπολαυστικῶς εἰς αἰώνιον· ὁ δὲ μὴ κατ' αὐτὸν βιοὺς ζήσεται μὲν πάντως, ἄλλως μέντοι, πόνους δηλονότι ἔχων, καὶ ὀδυνώμενος αὐτὸς βαρέως οἷς τε κολάζεται καὶ οἷς δὲ βλέπει τὸν δίκαιον μὴ συγκοινωνοῦντα ζωῆς μακρᾶς τὸν ὅμοιον αὐτῷ τρόπον, ἀλλὰ ἐν ἀγαθοῖς ὄντα, ὁποίοις χαίρουσιν ἄγγελοι· ὁπηνίκα, τό γε εἰς ἐκεῖνον ἧκον, οὐκ ἂν οὐδὲ ἐθέλοι ζωὴν ἐπιμήκη, ἀλλὰ τὸ θνητόψυχον ἕλοιτο ἂν ἐπὶ ἀπαλλαγῇ αἰωνιζούσης ποινῆς· ὥστε δικαίως καὶ ἡ ἀπόλαυσις καὶ ἡ κόλασις, περὶ ὧν ὁ λόγος ἄρτι, αἰώνιοι ἔσονται· καὶ καθὰ ὁ τῆς ἀρετῆς χρηματίσας ἐν βίῳ τρόφιμος, ὁπηνίκα ὁ κόσμος ἔσχεν αὐτόν, ἀεὶ ἔσται τοῦ ὑπερκοσμίως ἐκεῖ τρυφᾶν, οὕτω καὶ ὁ ἀπότροφος, οἷς οὐκ ἐχρῆν, πάντοτε κακῶς ἐκεῖ πάσχων, οὐκ ἄν, οἶμαι, οὐδὲ ὀφθαλμὸν ἐπιῤῥίψαι τολμήσῃ τῷ χωρίῳ τῆς τρυφῆς. Τῇ γὰρ καθ' ὅλον τὸν ἐνταῦθα αἰῶνα καὶ ἡ ἐκεῖ ἀντίδοσις ἐξομοιώσεται· αἰωνία δὲ ἡ ἐνταυθοῖ, ἄρα οὖν αἰωνία καὶ ἡ ἐκεῖ.

12. Καὶ ἔστιν ἡ ἀνάλογον εὐλογία τῆς ἐννοίας τοιαύτη· ὁ εἰς αἰῶνα κοπιάσας εἰς αἰῶνα ζήσεται, ἵνα κόποι αἰῶνος, ὃν ἐνταυθοῖ ὥρισε προγνοὺς ὁ θεὸς τῷ ἀγαθῷ ἀνθρώπῳ, αἰῶνι παρατεθήσονται ἀντιδόσεως τῆς τοῦ αὐτοῦ ἀνθρώπου ζωῆς· καὶ ἀνάπαλιν ἀναγκαίως ὁ ἐῤῥαστωνευμένος ἐν ὅλῳ τῷ αἰῶνι τούτῳ ἄνθρωπος εἰς τὸν ἐκεῖ αἰῶνα ζήσεται μέν, οὐκ ἂν δὲ καθὰ ὁ δίκαιος, ἀλλὰ ὡς οἷα νεκρὸς αἰῶνος ἐκείνου λογισθήσεται. Καί τις ἐπ' αὐτῷ εἴποι ἄν, ὡς καλὸν ἦν, εἰ μὴ ὡς ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος εἰς τὸν κόσμον· προςθήσει δέ, ἀναλεξάμενος ἐκ τοῦ ἁγιωτάτου εὐαγγελίου, ἐπὶ ἀμφοῖν τούτοιν ἀνθρώποιν, τῷ τε δι' αἰῶνος κοπιάσαντι καὶ εἰς τέλος ἐπ' ἀγαθοῖς ζήσοντι, καὶ τῷ ἑτεροίως διεκπεσουμένῳ, ὅτι δικαίως ὁ μὲν ἐπὶ ὀλίγα τὰ ἐνταῦθα πιστὸς
Ms. fol. 11. a. πολλαπλασιάσει ἐς ἄῤῥητον || τὴν ἐν καλοῖς ἐκεῖσε κατάστασιν, ὁ δὲ ἐπὶ ὀλίγα ἐκεῖνα τὰ ἐν τῷ βίῳ πονηρευσάμενος ἐπὶ οὐδενὸς καταστήσεται.

13. Ἵνα δὲ ἀπὸ ἀγαθῆς ταύτης, οὐ παρεκβάσεως εἴποιμι ἄν, ἀλλ' ὡς οἷον ὁδοῦ σχιστῆς ἐπὶ ἐναρέτῳ διατριβῇ, ἐς τὸ προτεθειμένον ἐπανακάμψωμεν, δοτέον ἡμᾶς αὐτὰ διὰ ταῦτα καὶ πόνοις, καὶ μοχθητέον, ὡς ἐπιπρέπει ἀνθρώποις (ἐπεὶ οὐκ ··· ἄνεσις καὶ ἀνάπτωσις, οὐδέ τις καθεύδων οὔτε τρόπαιον ἐγείρει ·· ἐνεργῶν ·· εἰρηνικὰ διοικονομούμενος, ἀγαθὸν κατορθοῖ), καὶ κοπιατέον οὐχ ἁπλῶς, ὥστε ἀποζῆν βιωτικῶς (τοῦτο γὰρ ἄκοντες ποιήσομεν, κἂν μὴ βουλομένοις ἡμῖν εἴη, καὶ φερεπονήσομεν πάντως, ἵνα μὴ καὶ ἡμῖν ἔμφορος ὁ λιμὸς γένηται ἀεργοῖς μένουσιν), ἀλλ' ὡς καὶ τῷ θεῷ ἀρέσκειν, καὶ αὐτίκα εὐλογεῖσθαι καὶ ἡμᾶς καὶ ·· τὰ ἔργα ἡμῶν, καὶ κόπον τοῦτον ἐπὶ εὐαρεστήσει θεοῦ πόνοις εἶναι συνέριθον βιωτικοῖς, ἁρμόττοντα ἕνα ἐκεῖνον καὶ μονοειδῆ τοῖς ὅλοις, ὧν οὐκ ἔστι διὰ βίου ἡμᾶς ἀπαλλάττεσθαι. Καὶ μηδεὶς τῶν ἐν κόσμῳ ὄντων, καὶ γυναικὶ καὶ πραγμάτων τύρβαις ἐμβλέπων, ἀδελφοῖς τοῖς ἔξω γενομένοις κόσμου καὶ βίου, λεγέτω, μὴ ἐνευκαιρεῖν αὐτὸς κόποις τοῖς διὰ τὸν θεόν. ἁλώσεται γὰρ ὁ τοιοῦτος ἀμαθοῦς λογισμοῦ, καὶ μὴ προςέχοντος οἷς λέγομεν. Ἄνεσιν γὰρ ἐφ' ἡμῶν κολάζομεν, οὐκ ἐπίτασιν ἐπιτάσσομεν· ἀνάπτωσιν κωλύομεν, οὐ τὸ ἀκατάκαμπτον βιαζόμεθα· ὕπνου τοῦ ὡς εἰς θηλύτατον ἐξεγείρομεν, οὐ τὸν ἀναπαύσιμον ἐξελαύνομεν. Οὐκοῦν ἄφετε τοὺς μοναχοὺς ἀγωνίζεσθαι, ἄλλως καὶ συντονίας ἔχεσθαι· ὑμεῖς δὲ ὑφειμένως, ὡς ἐγχωρεῖ, μεταχειρίζεσθε τὸ ἐνάρετον ἀγαθόν.

14. Αἴρουσιν ἐθελούσιοι ἐκεῖνοι τὸν τοῦ κυρίου ζυγόν, ἔστιν οὐ βαρύν, αὐτοῖς ἐπικείμενον· ἐπὶ ὁμοίῳ φόρτῳ ἄρατε ὑμεῖς τόν, ὡς αὐτὸς ἐκεῖνος ἔφη, ἐλαφρὸν καὶ χρηστόν· καὶ οὕτω κατ' ἐκείνους, ἀναλόγως μέντοι, εὐλογηθήσεσθε καὶ αὐτοί. Ὑπομένουσιν ὑπομένοντες Δαυϊτικῶς ἐκεῖνοι τὸν κύριον, ὅσα καὶ κίονες ἀστραβεῖς ὑφεστηκότες τοῖς ἐκείνου προστάγμασι· ποιεῖτε ταυτὸ καὶ ὑμεῖς, ὁποῖα στυλίσκοι σταθεροί. καὶ προςέξει καὶ ὑμῖν ἐκεῖνος, καθὰ καὶ αὐτοῖς. πονοῦνται αὐτοὶ ἄχρι καὶ εἰς ἱδρῶτας, ὑγραίνοντες ὡς ἐν λούματι, καὶ βρέχουσιν ἐν δάκρυσι τὰς αὐτῶν στρωμνάς· ἀλλ' ὑμῶν ἑκάστῳ μὴ ἐνδαψιλευομένῳ θεόθεν ὑγρὰ ἴσως τοιαῦτα (θεοῦ γὰρ παρειλήφαμεν εἶναι δῶρα καὶ ταῦτα ἐκβλύζοντα καὶ καταβρεχόμενα διὰ κατανύξεως) ἀρκέσει ἀντὶ μὲν σωτηρίου ἱδρῶτος ὕδατος ἱλαροῦ κοτύλη ἐγχεομένη δι' ὑμῶν ἐς πτωχικὸν στόμα ἐπὶ ἀναψύξει τῶν ἐντός· εἰ δὲ καὶ οἴνου ἐπισταλαχθῇ, ὡς εὐφραίνει καρδίαν ἀνθρώπου τοιούτου,

μηκέτι κοπιάσῃς, ὦ ἀδελφέ, οὕτως ἐς ἄκρον, ὡς καὶ ἐνιδρῶσαι τῇ προσευχῇ. Ἐλλεγόγηται γάρ σοι τὸ τῆς ἐλεημοσύνης ἐκεῖνο ὑγρὸν τὸ γλυκὺ ἀντὶ ὑφαλμύρου ἱδρώματος· καὶ οὕτω μὲν ἀντισηκώσεις τῷ ἱδρῶτι κατὰ σταθμὸν ἀκριβῆ τὸ ἐξ ἐλεημοσύνης κράμα, τῶν δὲ δακρύων σοι τὴν ἀρετὴν ἐκπληρώσει ἐξισωθεῖσα τῇ κατ' ἐκεῖνον βροχῇ συμπάθεια πτωχοῦ ἀδελφοῦ, καὶ βλέμμα ἱλαρὸν πρὸς ἐκεῖνον, καὶ ἐξ ἐλεημοσύνης γαλήνιον.

15. *Εἰ δὲ τῇ ὀπτικῇ ταύτῃ πηγῇ καὶ ἡ μετ' αὐτὸ κατωτέρω, ἡ κατὰ στόμα, ἐκβλύσει λόγον παρήγορον, δοκῶ μοι, καὶ δάκρυον αὐτίκα τῷ λόγῳ συνεκδραμεῖσθαι, ὅπερ ἀποψῶν ἡ δεξιὰ χεὶρ ἀμελήσασα καὶ τοῦ κόλπου γενομένη, ὡς καὶ ἐκεῖθεν παρηγορήσεσθαι τὸν ἀδελφόν, ἀποκαταστήσει τὸ ἐκείνου ἀγαθὸν εἰς τρία καλά, τὸ διὰ θέας ἐπαγωγοῦ, τὸ διὰ ὁμιλίας ἐμμελοῦς, καὶ τὸ διὰ πράξεως εὐεργετικῆς· ἅπερ οὐκ οἶδα ποίων ἱδρώ || (Ms. fol. 11. b.) των καὶ δακρύων οὐ κατακαυχήσονται ἔτι ἐχόμενα κατακλῶντες οἱ τῆς ἐνδελεχοῦς προσευχῆς ἄνθρωποι, καὶ συχνὰ βάλλοντες, ὅτι καὶ εἰς γῆν ὀκλάζειν σε πείθουσιν, ὡς ὑπογιγνώσκειν τὴν πρὸς αὐτοὺς παρεξίσωσιν. Καὶ τί ὁ πρὸς ἀμετρίαν ἐγκρατευτικῶς προκαλούμενος τὸν ἐν ἡμῖν διδασκόμενον; Γονυκλίτησον ἀναγκαίως, ὦ κατὰ θεὸν ἀδελφέ, εἰς ὅσον δύνασαι· μὴ ἐξισχύων δὲ ὅλως, πρόσευξαι τῷ θεῷ καθηκόντως ὀρθοστάδην, μὴ κάμπτων γόνυ, κατὰ τὸν ἁγιώτατον τοῦτον. Ἔστη, φησίν, ἐν τῇ θραύσει ὁ δεῖνα θεράπων θεοῦ, καὶ ἐξιλάσατο, καὶ τὸ κακὸν ἐπαύσατο, καὶ ἐκορέσθη κρικωθεὶς ἐκεῖνος, καὶ οὕτω σφαιρωθείς, καὶ συστολῇ τοιαύτῃ γενόμενος· ἔτι αὐτῷ αἱ Μωσαϊκαὶ χεῖρες οὐ πρὸς τῇ γῇ ἐρειδόμεναι, συγχαλωμένου τοῦ προφήτου, ἐνήργουν τυπωδῶς τὰ ἐν ὑστέρῳ χρόνῳ σταυρικὰ τεράστια, μεταρσιούμεναι εἰς οὐρανόν, καὶ οὕτω καθέλκουσαι δι' εὐχῆς τὴν ἐκεῖθεν βοήθειαν.*

16. *Μίμησαι καὶ διδασκάλους ἐνταῦθα, ὧν οὐδεὶς ἐπὶ πρόσωπον καταῤῥηγνύμενος ὠφελεῖ διδάσκων τοὺς μανθάνοντας. Ἐνθύμησαι καὶ τό· ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ πλῆθος μαθητῶν πολὺ περὶ αὐτόν· οὐ μὴν γονυπετῶς διετέθη. Εἰ δὲ καὶ πολλὴ χρῆσις γονάτων κλίσεως, καὶ ἱδρώτων ἐκβλύσεως, καὶ αὐτῶν κατὰ θρόμβους αἱμάτων καὶ δακρύων καταῤῥοῆς, καὶ κόπου ἕως καὶ εἰς μελῶν πάρεσιν, ἀλλὰ ἐγὼ τὸν θεὸν καὶ αὐτὸν εἰδώς, καὶ τὴν αὐτοῦ δεσποτείαν, ὅτι πᾶν ἀγαθὸν ἀνθρώπινον εἰσοδιάζει κομιζόμενον αὐτῷ, καὶ οὐδὲν ἐξουθενοῖ, καὶ παραμετρῶν αὐτὰ πῇ μὲν δυνάμει, πῇ δὲ ἀδυναμίᾳ, τῇ κατ' ἄνθρωπον, ἐκεῖνα μέν, ὧν ὑμεῖς ἐφικνεῖσθαι οὐκ ἔχετε, εἰς ὑπερβάλλουσαν τίθεμαι ἀρετήν· ὁπόσα δὲ καὶ οἷα ἐκείνοις τοῖς μεγάλοις ἀγῶσι καὶ καμάτοις καὶ κόποις ὑποβιβάζονται, εἰς λόγον συμμετρίας ἀποτάσσω, ἧς οἱ πλείους τῶν καθ' ἡμᾶς ἀνθρώπων στοχάζονται, καὶ μάλιστα οἱ βιωτικοί, καὶ τῆς ὡς ἑκάστοτε τύρβης καὶ ἀσχολίας ἐξ ἀνάγκης γινόμενοι· οὓς ἐνάγων εἰς ἀγαθοπραγίαν τῷ νῦν καιρῷ πρέπουσαν, καὶ ἀναμιμνήσκων γονυκλισίας, περὶ ἧς ἦν προσεχῶς ἡμῖν ὁ λόγος, λέγω καί, ὅτι ὁ τὴν ψυχὴν κάμπτων, καὶ τὸ σαρκικὸν ἀτενὲς φρόνημα κατακλίνων, καὶ τὸ δῆθεν περιφανὲς ὑπερήφανον ἀλαμπὲς ἀποτελῶν, ὡς οἷον ζῆν ἐγκρυφῇ, καὶ μὴ πραγματεύεσθαι τὸ περίβλεπτον, ἀλλὰ κατὰ πᾶν τὸ περὶ αὐτὸν υπέροφρυ καὶ τὸ κατὰ οἴησιν αἰθέριον ταπεινοῦν ἕως γῆς, ἐκεῖνος οὐκ ἂν δέοιτο κατακάμψεως γονάτων, ὅλον ἑαυτὸν τῇ ταπεινώσει καταῤῥίπτων εἰς γῆν, ἤδη δὲ καὶ ὡς οἷα σκώληξ, οὐδὲ τοῦ ὑπὲρ γῆς φαίνεσθαι κρίνων κατάξιον ἑαυτόν.*

17. *Ἔστω γοῦν ὑμῖν, ὦ ἀδελφοί, καὶ τὸ ταπεινοῦσθαι γονυκλίσεων ἀντίδοτον. Καὶ τὸ σύμβολον τῆς ταπεινώσεως, τὴν κατὰ γῆς ῥίψιν ἰδιάζοντες, ὅτε μὴ δύνασθε προβάλλειν αὐτό, αὐτῆς ἐκείνης τῆς ἐν ὅλῃ ψυχῇ ταπεινώσεως γίνεσθε· καὶ ἄλλως δὲ νοοῦντες, τὴν τῶν γονάτων κατὰ γῆς κλίσιν, καὶ οὕτω σωματικὴν κατὰ κλῆσιν, κωλυτικὴν εἶναι τοῦ βαδίζειν, βαδιστικοὶ τρόπον ἄλλον μεθοδεύετε εἶναι πολυειδῶς εἰς ἀρετήν· καὶ λογίζεται ὑμῖν ὁ θεὸς αὐτὸ εἰς ἀγαθὸν οὐδὲν τοῦ γονυκλίνειν ἔλαττον, ἐπεί τοι καὶ φυσικώτερον ἅμα καὶ ἐνεργέστερον καὶ πρακτικώτερον κατακλίσεως ἡ ἀνάστασις καὶ ἀνάπαυσις, ἔτι δὲ καὶ τοῦ κατακάμπτειν καλῶς κάλλιον τὸ θεα || (Ms. fol. 12. a.) ρέστως ὀρθοῦσθαι, καὶ τοῦ ἀκινητίζειν τὸ εὖ κινεῖσθαι, καὶ τοῦ ἐφ' ἑνὸς βαίνειν καὶ οὕτω στηρίζειν τὸ καὶ εὐπερίστροφον ὡς εὔμορφον.*

18. *Ἔτι οὐ δύνασαι, ὦ ἐν τῷ βίῳ ἀδελφέ, νηστεύειν· ἔσθιε μετρίως, ἵνα μὴ ῥαθύμως διάγῃς. Καθάπερ ἀλλοῖον μὲν πῦρ τὸ διακονικὸν καὶ χρειῶδες, ἑτεροῖον δὲ τὸ τιμωρητικὸν τῇ δασείᾳ τῇ κατὰ ὄρος (τὸ μὲν γὰρ ὠφέλιμόν ἐστι, τὸ δὲ λοιπὸν ἀχρειοῦν τὴν ὕλην διεπινεμήσεται), οὕτω καὶ τροφὴ σύμμετρος μὲν συνιστᾷ ἐλλόγως τὸν ἄνθρωπον, ζωπυροῦσα τὸ κατὰ φύσιν ἔνθερμον· ἡ δὲ ἄμετρος εἰς πάθη ἐκκαίει ἀφανιστικά, δι' ὧν αἰωνίῳ πυρὶ παραπέμπεται ὁ τρυφῶν ἄμετρα. Ἔτι λοῦσαι ῥύπου ἀπογυμνῶν ἑαυτόν, εἰ καὶ ἄλλως πλίνθον, ὅ φασι, πλύνεις, οὕτω ποιῶν· ἔτι δὲ καὶ πρὸς ὑγιείας ἀνάκλησιν, ἵνα μὴ καχεκτήσας ὁ δοῦλος τὸ σῶμα, γένηταί σοι δύσχρηστος. Λέγω σοὶ γάρ, ὅτι, ὥσπερ τὸ ἀπονίπτεσθαι οὐ κεκώλυται, ἀλλὰ καὶ μᾶλλον πρὸς ἔπαινον τοῖς καθαρειοτέροις*

ἐπιτηδεύεται, ἵνα μὴ καὶ μυσάττωνται πρός τινων, οὕτω ποιεῖν ἐστι καὶ ἐπὶ τοῦ λούματος. Τοῦτο δέ φημι οὐ τοὺς ἀλουιοῦντας βδελυττόμενος, ἀλλὰ ἐκεῖνο καλὸν κρίνων διὰ φερεπονίαν καὶ ἀπειροκαλίας ἐντελῆ περιφρόνησιν, καὶ τοῦτο ἐγκρίνων διὰ τό· λούσασθε, καθαροὶ γενέσθε.

19. Εἰ δέ που ἀνέγνων καὶ ὅτι ῥυπάνθητε, ὡς ἀναπεπλῆσθαι πηλοῦ, ἐλουσάμην ἂν οὐδέποτε. — Ἔτι ἐνδελεχεῖς οὐ δυνάμενοι προσευχὰς καὶ συνάξεις ἐξοσιοῦν τῷ ἐπὶ πάντων θεῷ, οἷα τοῦ βίου ἀντισπῶντος καὶ περιέλκοντος εἰς ἑαυτόν, ἀπαρχάς γοῦν τινας χρονικάς, εἰπεῖν δὲ ἀκριβέστερον, καιρικάς, εἴτ' οὖν ὡραίας, προσκομίζετε τῷ θεῷ· καθά που καὶ ὁ Δαυῒδ παραδίδωσιν, ἐν παντὶ καιρῷ εὐλογήσειν λέγων τὸν κύριον. Εἰ γὰρ βασιλικοὶ πιστοὶ θεράποντες γίνονται μὲν καὶ πρὸς αὐτῷ ἐκείνῳ τῷ βασιλεῖ ἐξάπαντος, οὐ κωλύονται δὲ τοῦ καὶ ζῆν καθ' αὑτούς, ἀλλὰ καὶ ἀδειάζουσιν ἐν καιρῷ, καὶ ἐσθίουσι, καὶ πίνουσι, καὶ κοιμῶνται, καί τινας πράξεις ἐνεργοῦσι σπουδαίας αὐτοῖς, καὶ ὁ ἀγαθὸς βασιλεὺς οὐκ ἀγανακτεῖ, ἀλλὰ καὶ προσεποτρύνει παρήγορα τῷ παντί, πλέον ὁ θεὸς φιλοτιμεῖται καλὰ τοιαῦτα τοῖς αὐτὸν θεραπεύουσι, πρὸς ἀναλογίαν ἐν ἑκάστοις τοῦτο διοικονομούμενος, ὃς καὶ τοῖς ἁγιωτάτοις ναοῖς πύλας κατεσκευάσθαι οὐ μέμφεται, ἀνοιγομένας μὲν ἐν καιρῷ ὑμνῳδιῶν καὶ ἱεροτελεστιῶν, κλειομένας δὲ αὖθις, ὅτε μὴ καιρὸς τοιούτου ἀγαθοῦ, ὡς δέον ὂν πάντως, καὶ ἐν τοῖς τοιούτοις ἀνάπαυσιν τοῦ ἐνδελεχοῦς ὕμνου, καὶ οὕτως εἰπεῖν, ἀκοιμήτου γίνεσθαι, καὶ διαλείπειν τὸν σωτήριον κόπον καὶ αὐτοῖς τοῖς τὸν θεὸν λιτανεύουσιν ἐξ ἁπάσης ἀνάγκης, καὶ οὕτως ἐν τῷ καθόλου τὸ μέτρον εἶναι πάντων ἄριστον.

20. Κοπιατέον οὖν, καὶ πάλιν φημί, ἐπὶ πραγματείᾳ δεούσῃ ἀναπαύσεως καὶ ἀναψύξεως· οὐκ ἔστι γὰρ φράσαι ὀρθῶς, καθάπερ οὐ καθεσθῆναι τὸν προανε || στηκότα, (Ms. fol. 12. b.) οὕτω καὶ ἐξαρθῆναι τὸν μὴ καμόντα, ἢ ἀναπαύσασθαι τὸν μὴ κοπιάσαντα. Εἰ δὲ τὸ καλῷ τούτῳ καμάτῳ καὶ πάθος ἐπακολουθήσει, ὃν ἄλγος εἶναί φασί τινες, ὡς καὶ τὸν θεὸν καὶ αὐτὸν ἐννόως, ὅπερ ἐστὶ κατὰ τὸν θεοῦ νόμον, καὶ λογικῷ δὲ νόμῳ οὕτω ποιῶν τάχα καὶ εἰς ἄνομον ἀποβαίη ἄν. Ἐμάθομεν γάρ, εἶναι τινὰ πόνον, ὃν συλλαβών τις ἔτεκεν ἀνομίαν· τοιοῦτος δὲ πόνος καὶ ὁ τῶν ἀχθομένων καὶ οἷον ἀλγούντων καὶ κατακνιωμένων τὴν ψυχήν, ὅτι μὴ ἐνεργοῦσι τὰ εἰς βλάβην τῆς ἀδελφότητος. Ναὶ γάρ εἰσί τινες, ὦ ἐν Χριστῷ ἀδελφοί, ἀπεναντίας ἥκοντες τῷ εἰπόντι· σήμερον οὐκ ἐβασίλευσα· οὐδὲ γὰρ εὐηργέτησα· καί πως λέγοντες, ὅτι κατὰ τὴν ἐνεστηκυῖαν ἡμέραν οὐκ ἐζήσαμεν· οὐδὲ γὰρ ἐφάνημεν φρικτοὶ τοῖς ὁμοφύλοις καὶ ἀπρόσιτοι καὶ ἀπροσπέλαστοι. Μαινόμενοί γε οὗτοι, καὶ λύσσαν ἀγρίαν ἐνδομυχοῦντες, καὶ οὐδὲ ἄνθρωποι πρὸς ἀλήθειαν, ἀλλὰ θηριώδεις· ὀκνῶ γὰρ δαιμονιώδεις εἰπεῖν· ἐκείνων γὰρ καὶ μόνων ἄχθος μέγα καὶ λύπη βαρεία καὶ ὀργή, ὅτι μὴ ἀεὶ καταβάλλουσιν, ὃν ἂν ἐθέλωσιν.

21. Ἐλευθέρους ἡμᾶς τοιούτων ἀνθρώπων εἴη συντηρῶν ὁ θεός, ἐκείνους τε ἀπάγων, καὶ μηδέ τινα ἐξ ἡμῶν ἀφιεὶς ἐκείνοις συναπάγεσθαι, καὶ οὕτω κοπιᾶν εἰς οὐδὲν οὐδόλως ὄφελος, ἢ τῷ αἰῶνι τούτῳ σύμφορον, ἢ τῷ ἐκεῖ καὶ τελευταίῳ καὶ μονίμῳ καὶ αἰωνίῳ σύντροχον ἡμῖν, πρὸς θεοῦ ἀρέσκειαν, ὅτι μὴ καὶ μᾶλλον ἀμφοτέροις ἐνάρμοστον καὶ λυσιτελὲς εἰς οὐδὲν ὁτιοῦν. Τῶν τε γὰρ αἰωνίων ἀγαθῶν οὕτω μάτην ἐνταῦθα πεπονηκότες ἐκπίπτομεν, καὶ ἐν βίῳ δὲ δυσπραγοῦντες περὶ τὰ φλυαρὰ καὶ μικροῦ τινος ἄξια λόγου τῶν ἀξιολογωτάτων καὶ θειοτάτων ἀποξενούμεθα. Οὐδὲ γὰρ οὐδὲ ἀθροίζεσθαι εἰς τὸν τοῦ θεοῦ ναὸν ἀξιοῦμεν οἱ μεριμνῶντες μωρά, καὶ ἄλλως δὲ περὶ πολλὰ τυρβάζοντες, καὶ βιωτικοὶ μὲν εἶναι πάνυ τι ἐφιέμενοι, τοῦ παραδείσου δὲ γενέσθαι ἀνιέμενοι, καὶ μὴ ἐνθυμούμενοι, ὡς τοιοῦτον βίον τρίβοντες οὔτε τοῖς ἑπτὰ μερίδα κατὰ τὸ θείως γεγραμμένον διδόαμεν, καὶ τοῖς ὀκτὼ οὐδὲ ὀβολιαῖόν τι ἀπομεριζόμεθα.

22. Διὸ εὔχομαι, τοὺς εἰς τὸ ἁγίασμα τοῦ θεοῦ εἰσερχομένους, καὶ ἀεὶ φυλάττεσθαι αὐτοῖς ἀξιοῦντας τὸ τοιοῦτον ἀγαθόν, μὴ κάμνειν κατὰ ἀνθρώπων, μηδὲ πονεῖν κατὰ τῶν ὁμοφύλων, ἔνθα γε οὐδὲ κατὰ τῶν ἁπλῶς ἀλλοφύλων εἰκῇ καὶ μάτην μοχθεῖν ἔστιν, εἰ μή τι ἄρα ἐχθροὶ ἐκεῖνοι θεοῦ ἢ βασιλέως διεκπίπτουσι, μηδὲ κοπιᾶν κατὰ τῶν οὐδὲν αἰτίων ὁμοθρήσκων καὶ σαφῶς ὀνομάσαι· ὁμοχριστιανῶν ἀλλὰ μισεῖν ὑπερλίαν τὸ τοιοῦτον κοπίωμα, καὶ λέγειν ἕκαστον, ὡς τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου, συγκόπτων καὶ || (Ms. fol. 13. a.) κατατέμνων καὶ τὴν κατὰ πνεῦμα συμφυΐαν ἀποδιαιρῶν, καὶ χορδεύων οἷον τὴν ἔνθεον ὁλομέλειαν. Πλὴν ἔσται μοι τὸ κοπηρόν φησι τοῦτο πάθος, ὅτι μὴ ἔλθω εἰς ἁγιαστήριον τοῦ θεοῦ· ἔκτοτε δὲ ὡς εἰς δρόμον ἀποδυσόμενος, δι' οὗ ὑπερβαίνοντας καὶ ἀποδιώκοντας δαίμονας ἀποῤῥίψω, τὸ ἀχθεινὸν τουτὶ φορολογεῖν, *** οπτεται τοῖς εἰς θεὸν τρέχουσι, καὶ ὡς τῷ ὑπερφώτῳ ἡλίῳ, τῷ θεῷ, **** ἐλλαμψόμενος ἀποῤῥίψομαι σπίλου τοιούτου εἰδεχθοῦς ἅμα καὶ μυσαροῦ.

23. Εἰ γοῦν τοιοῦτοι γενώμεθα διὰ φιλαλληλίας καὶ ὁμονοίας, ἣν ὁ θεὸς διὰ τῶν ἱερῶν γραφῶν παραδίδωσι, καὶ διὰ συμπνοίας πνευματικῆς καὶ ἀταραξίας, ἣν ὁ μὴ ἀγαπῶν πονηροῖς κυμαίνεται πνεύμασιν, ἐλώμεθα δὲ φορτίζεσθαι, ὡς θεοῦ δουλευταί, ἅπερ ἡμῖν ἐκεῖνος εὐδιακρίτως, ὡς πατήρ, ἐπιτίθησι, καὶ κοπιᾶν, ὡς ἐκεῖνος ἐπιτάσσει· ὁ καὶ τὰς ἡμῶν ἁμαρτίας ἄρας, καὶ ἡμᾶς ἐθέλων τὰ βάρη βαστάζειν πνευματικῶς, οὐκ ἀφήσει περιφορεῖσθαι μάτην καὶ τρίβεσθαι κατὰ τοὺς ἐπιχθιζομένους τὰ μὴ φίλα ἐκείνῳ. ἀλλ' ἐπειδὴ τὸν ἐκείνου φόρτον αἴροντες πονούμεθα, ἐρεῖ· δεῦτε πρός με, οἱ χάριν ἐμὴν κοπιῶντες καὶ πεφορτισμένοι· κἀγὼ ἀναπαύσω ὑμᾶς. Τί δέ ἐστι τὸ ἀναπαύσω; Παύσω πάλιν τοῦ ἐν κενοῖς κοπιᾶν. Οὐκ ἔστι γάρ, ὅτε ὡς ἄστατοι, καὶ πολυῤῥεπεῖς, καὶ παλίμβολοι, καὶ εὐμετάφοροι, καὶ ἀβέβαιοι, [οὐ] μοχθοῦμεν ἐφ' οἷς οὐ χρή, καὶ εἰκῇ κάμνομεν, καὶ κοπιῶμεν τητώλλως, καὶ πονοῦμεν μάτην. Ἀλλ' ὅμως βραχείας τινὸς δραττόμενος ἐκεῖνος ὁ πρὸς φιλανθρωπίαν ἀκριβέστατος ἀφορμῆς, καὶ τῷ ταλάντῳ τῆς κρίσεως κεράτιον ἓν ἢ κόκκον ἕνα ἐπιβληθέντα ἰδών, πρὸς ἡμέτερον ἀγαθὸν ῥέπει, καὶ εἰς σταθῆρας ἀξίους τίθεται τοῦ κατ' αὐτὸν θησαυροῦ· καὶ ὁσάκις ἂν σκελισθέντες ὑπὸ τοῦ πονηροῦ ἀντιδρόμου, καὶ πταίσαντες, ἢ καταῤῥιφέντες ἐξορθωθείημεν, παύει καὶ ἐκεῖνον τοῦ καταπαίζειν ἡμῶν, καὶ ἡμᾶς τοῦ ἐμπαίζεσθαι. Οὕτω γοῦν καὶ νῦν ἀναποιηθέντας ὑμᾶς, καὶ δεόντως ἀναφροντίσαντας ἐν τῷ πονεῖσθαι, οὐχ ἁπλῶς, ἀλλ' ἐφ' οἷς ὁ τοῦ θεοῦ ἄνθρωπος τέτακται, οὐ παύσει πρώτως ἄρτι τοῦ ἐφαμάρτως φορτίζεσθαι καὶ κοπιᾶν, ἀλλὰ ἀναπαύσει. Καὶ γένοιτο, δεκτοὺς πάντας ἡμᾶς, ὦ ἀδελφοί, τῷ θεῷ οὕτω γενέσθαι, διὰ τῆς, ὡς ἐῤῥήθη, εὐπορίστου ἐλεημοσύνης αὐτοῦ. Ἐπακούσαις ἡμῶν, ὦ σῶτερ κύριε, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοῦ αὐτοῦ περὶ ὑπακοῆς καὶ εὐπειθείας πρεπούσης πολιτεύματι χριστιανικῷ.

1. Ὑπομιμνήσκων ἔτι καὶ ἔτι, ναὶ δὲ καὶ διδάσκων τοὺς ἑκατέρου τοιούτου δεδεημένους ἀγαθοῦ ἐν ἡμῖν (τάχα γάρ τινες οὐδετέρου δεήσονται, οἱ μέν, ὡς μὴ ἐπιδεεῖς ὄντες διδασκαλίας, οἱ δὲ ὡς διόλου ἐμμελετῶντες ἅπασι τοῖς τοῦ θεοῦ δικαιώμασι, καὶ δι' αὐτὸ πεπυκνωμένοι ἐς || (Ms. fol. 13. b.) ἅπαν απ************), τὴν παροῦσαν ὁμιλίαν ἐπὶ παρακλήσει, τῇ εἰς εὐηκοΐαν πνευματικὴν καὶ πειθῷ καὶ ὑπακοήν, ἐνίστημι, [ἀνα-]δραμὼν εἰς ἀρχὴν σκοπιμωτάτην, ἐμοὶ καλῶς ἀρέσκουσαν. — Ἦν πάντως χρόνος, ὦ ἀδελφοί, καθ' ὃν οὔπω μὴ μόνον οὐ νόμος, ἢ κανών, ἢ ποίμανσις ἔλλογος καὶ ἀνθρώποις πρέπουσα, ἢ κατάστασις ἔθους ἁπλῶς ἐν ἀνθρώποις ἐκράτει, ἀλλ' οὐδὲ βίος ᾠκονομεῖτο, καθότι οὐδὲ ὁμήγυρις ἠθροίζετο, οὐδὲ πανήγυρις ἤγετο, οὐδὲ σύλλογος ἐγνωρίζετο, τί μὴ λέγω τὸ οἰκτιστον, οὐδὲ ἡμερότης ἐξεφαίνετο, καθ' ἣν χαρακτηρίζεται ἄνθρωπος· καὶ ἡ τοῦ λόγου τῷ τέως ἀπόδειξις, εἰ καὶ ἐκ τῶν πόῤῥωτάτω, ἀλλὰ τρόπον ἄλλον ἐγγυτάτω, λέγοιτο ἂν διὰ τὸ αὐτόθεν εὐπόριστον καὶ οὕτω πρόχειρον.

2. Οἱ γενάρχαι τοῦ καθ' ἡμᾶς καὶ γένους καὶ εἴδους, οἱ πρῶτοι ἄνθρωποι, ἅμα πυθμενικὸν ἀριθμὸν ἐθεάσαντο τέκνα προβαλόμενοι, καὶ ἐκολοβώθησαν, ἐκείνου ταχὺ ἀπεληλυθότος τοῦ καλοῦ Ἄβελ, οὐ θανάτῳ ἁπλῶς, ἀλλὰ τῷ διὰ φόνου ἐκ διαβολικοῦ φθόνου. Ἐκεῖθεν δὲ χρόνου κατασπείρων οὐ διέλειπεν ὁ ἀρχέκακος ὅμοια ζιζάνια κακοποιΐας τοῖς ἐπιγόνοις καὶ ὀψιγόνοις, ὧν δὴ ζιζανίων φῦμα καὶ ἐπὶ τὸν Λάμεχ ἐξέπεσε, μεθοδεῦον· καὶ μετὰ τὸν δόλον, ὡς τοῦ παραδείσου τοὺς ἡμῶν προπάτορας ἀφώρισεν, ἑτεροῖα ἐκφαίνει δεινά, τὰ μὲν τῆς τοῦ Κάϊν μιμήσεως ἔργα, ἕτερα δὲ ἀλλοῖα, δοκοῦντα μὲν ἐλάττω εἶναι τῶν φονευτικῶν, ἀπονεύοντα δὲ πρὸς ἐκεῖνα, καὶ ὑπούλως κορυζόμενα δυσπραγίας θυγατηράς, ὁποίας οἴδαμεν ὡς μάλιστα καὶ τὰς ἐξ ἀδικιῶν καὶ ἁρπαγῶν, ἃς ἤνυε παρασχεδόν, διαστρέψαι τὸ λογικὸν ζῶον, τὸ καλόν, τὸ βασιλικόν, τὸ σοφόν, τὸ ἔνθεον, τὸ δευτερεῦον μετὰ ἀγγέλους, τὸ θεόπλαστον, φιλονεικῶν μεταστῆσαι αὐτὸ εἰς ἀλογίαν, οἷς οὐκ ἐλλόγοις οἱ τότε τὰ εἰς βίον διέκειντο, θηριώδη ζωὴν ἐπαιρούμενοι. ἦν δὲ ἄρα ὅμοιον τὸ δυσπράγημα, ὡς εἰ μηδὲ κόσμος ἦν ἔτι. ποῦ γὰρ κόσμος, ἔνθα μὴ ἄνθρωπος; ποῦ δὲ ἄνθρωπος, ἔνθα μὴ τὸ κόσμιον πολιτεύεται;

3. Ὅτι δὲ οὐκ εἶχεν ὀρθῶς φύσεως, μὴ ἐν τοῖς τοιούτοις ζιζανίοις παραμεμῖχθαι καί τινας κόκκους χρηστούς, ἐξ ὧν ἐδύνατο χρόνῳ ποτὲ λήϊον ἀποτελεσθῆναι θεοῦ εὔσταχυ καὶ πολύκαρπον (ᾠκονόμησε γὰρ ὁ καὶ τεχνίτης γεωργὸς καὶ προνοητὴς τοῦ κόσμου, καθὰ οἰκονομεῖ καὶ εἰσέτι), ἐγκεχυμῶσθαι φαύλαις ἐκείναις ποιότησι καὶ χρησίμους, καὶ οἵως διαστίαν

θεοφιλεστάτην ἀποτελεῖν, παρέκειντο τοῖς τότε παρεξηυλημένοις ἀνθρώποις ἄγαμίξ καί τινες ἐμμελεῖς, καὶ ἔθλιβεν αὐτοὺς τὰ κακὰ τῶν ἄλλων ἐκεῖνα, λογιζομένους, οἷος ὁ Ἀδὰμ καὶ ἡ κατ' αὐτὸν προμήτωρ ἄνθρωπος ἐπλάσθησαν ὑπὸ τοῦ θεοῦ, ἁπλοῖ πάντως ἐκεῖνοι, καὶ ἀπράγμονες, καὶ ἀποίκιλοι, καὶ πραεῖς, καὶ οὐδὲν ἀδικεῖν εἰδότες, καὶ ὡς ἐτάχθησαν τοιοῦτοι φυλαττόμενοι, αὐξάνεσθαι καὶ πληθύνεσθαι || Ms. fol. 14 a. καὶ πληροῦν τὴν οἰκουμένην, καὶ ὡς γίνεται μὲν τὸ ἐκεῖθεν κελεύσεως ἡ αὔξησις καὶ ἡ πληθυντικὴ πλήρωσις, οὐ διαπεσόντος τοῦ θείου κελεύσματος.

4. Ψεύδονται δὲ τὴν προπατορικὴν βιοτὴν οἱ τὸ καλὸν κελευσθέντες πάσχειν, οἷα μὴ περὶ γῆν, ὡς ἐχρῆν, μοχθοῦντες καὶ τὰ κατ' αὐτὴν ἔργα, οὐδὲ ἐν ἱδρῶτι προσώπου πορίζόμενοι ἄρτον, οὐδὲ πρὸς λόγον ζῶντες καὶ βιοῦντες, ὡς ὁ θεὸς ὥρισεν, ἀλλὰ κατὰ σφῶν αὐτῶν ἀπανθρώπως ἐρεθιζόμενοι, καὶ ἀλλήλους ταράσσοντες καὶ ἀράσσοντες καὶ σπαράττοντες, καὶ πάντα δρῶντες κακὰ εἰς τοὺς ὁμοίως αὐτοῖς ἀνθρώπους, δι' ὧν ἂν ἐκεῖνοι τὴν τότε μακροζωΐαν ἀπεύξωνται, ἣν αὐτοῖς παρέτεινεν ὁ θεός.

5. Τί οὖν οὐκ ἂν ἐποίουν εἰς διόρθωσιν οἱ καὶ τὴν διάκρισιν καὶ τὸν ἀριθμὸν μέτριοι ἄνθρωποι τότε, οἱ πρὸς τῷ θεῷ, οἱ κατὰ φύσιν, οἱ εὐγενῶς Ἀδαμιαῖοι, οὓς ἡ ἀγαθότης ἐδιδάξατο τὴν ἱλαρὰν ἀνθρωπότητα; τί δὲ οὐκ ἂν μεθώδευον θυμόσοφοι τὰ ἐς φιλαδελφίαν, μενοῦνγε θεόσοφοι ὄντες; πῶς δὲ οὐ μὴ ἐνεπυρίζετο τὰ σπλάγχνα ἐκείνοις, καὶ ἡ καρδία ἐκαίετο οὕτοι τοῦ κατὰ ἄνθρωπον θείου πλάσματος βραχύ τι παντελῶς ἠλαττωμένου θηριώδους κακεντρεχείας, μόνης τῆς ἐπὶ τεσσάρων βάσεως ἐπιλειπούσης αὐτοῖς εἴς γε τὴν πρὸς θηρία δεινὰ καὶ ἀνθρωποβόρα ἐξίσωσιν καὶ ὁμοίωσιν;

6. Ἢ πάντως ἔχομεν ἐκ τῶν εἰκότων συνεννοεῖσθαι, ὡς πρῶτα μὲν ἀπωδύραντο ἂν ἐγκάρδια κατὰ σφᾶς αὐτοὺς οἱ ἀγαθοὶ ἐκεῖνοι ἄνθρωποι, κορεσθέντες καταμόνας δακρύων· εἶτα μέτριοί τινες, οὓς τὸ κατὰ φύσιν θεῖον ζώπυρον ἀνεθέρμανε φιλανθρωπεύσασθαι, εἰς ἓν συνελθόντες βουλῆς, ἐσκέψαντο ἄν, τί τεχνησάμενοι ἀνακαλέσονται τὸν παλαιὸν ἄνθρωπον· Τὸ δὲ ἐντεῦθεν ἐντεθυμημένοι πρῶτα τὸν πλάστην κύριον, καὶ θεοκλυτήσαντες, ἐπιβλέψειν ἐπὶ τὸν κόσμον αὐτοῦ περιτρεπόμενον εἰς ἀκοσμίαν καὶ ἀνασκευαζόμενον, καὶ μὴ ἀνασχέσθαι, πρόβατα μὲν καὶ βόας καὶ ἅπαν θηρίον διεξάγεσθαι κατὰ φύσιν, ὡς ἐτάχθησαν, τὸ δὲ θεοείκελον αὐτοῦ πλάσμα παραποιεῖσθαι ἀλογίστως εἰς ἀλλοφυές, παρεκλήτευσαν ἄν, μὴ παριδεῖν τὸν ἄνθρωπον, καὶ αὐτῶν ἀψύχων εἰς ἔλαττον διεκπίπτοντα, εἴπερ αὐτὰ μὲν ἠρεμεῖ, καὶ τῇ κτίσει λυμαίνεται εἰς οὐδέν, ὁ δὲ τεταγμένος ἐπὶ πάντων, καὶ οὗ χάριν τὰ πάντα γέγονε, παράγει τὴν εὐκοσμίαν, οἷς ἑαυτὸν ἀπάγει ἐξαναλίσκων, καὶ φιλονεικεῖ, ἀπάνθρωπον καταστῆσαι τὸν κόσμον καὶ (τόγε εἰς αὐτὸν ἧκον) ἀδέσποτον. Ἐδυσώπησαν δὲ ἂν τὸν ὑπεράγαθον δεσπότην, καὶ μηδὲ πρὸς ἀκρίβειαν δίκης ἐπεξελθεῖν τοῖς ὑπὸ τῶν πλειόνων πλημμελουμένοις, μηδὲ ἀντιταλαντεῦσαι πληγὰς τὰς ἐξ αὐτοῦ ταῖς ἐκείνων, δι' ὧν καταβάλλουσι τοὺς ὁμοφυεῖς, μηδὲ ἐκ- || Ms. fol. 14 b. δικῆσαι τοὺς φόνους, προβολὴν ἐπὶ καταδίκης ποιούμενον, ὡς αὐτὸς μὲν καίρια καὶ ἱλαρὰ καταβρέχων λιπαίνει τὴν γῆν εἰς ἀγαθὸν ἐκείνοις, οἱ δὲ χραίνουσι τὴν αὐτὴν ἐμφυλίοις αἵμασι, καὶ ἣν αἱ καθ' ἑκούσιον βροχαὶ πιαίνουσιν, αὐτοὶ λύθροις ὁμογνίοις μιαίνουσι, καὶ ὡς ἐς λάχανα βρώσεως τάσσοντες ἑαυτούς, ἄλλος ἄλλον ἀλληλοφαγίας νόμῳ καταβροχθίζουσι.

7. Ταῦτα δὲ ἐκεῖνοι εὐξάμενοι (οὐ γὰρ ἂν διέλιπεν ὁ τὰ νήπια καθὰ φυλάσσων, οὕτω καὶ σοφίζων κύριος, καὶ χαίρων, εἰ καὶ ἐξ ἐκείνων ἔπαινον καταρτίζεται, μὴ καὶ ἀνδράσιν ἐκείνοις χρηστοῖς καὶ ἐνεστεριγισμένοις τὸ φιλάλληλον ἐπιπνέειν ἐννοίας, ὧν ταῖς μὲν ἅπτοιντο ἂν αὐτοῦ θεοῦ ὑπερκοσμίως, ταῖς δὲ περὶ τὰ κάτω στρέφοιντο ἐγκοσμίως ἅμα καὶ θεοφιλῶς), καὶ τὸ ἐντεῦθεν κυρώσαντες βούλευμα φιλόθεον καὶ φιλάδελφον, ἀπετόλμησαν ἀθροῖσαι, εἴπου εὕρισκον, ὁμοίαν λογάδα, καὶ ὁμάδα συστήσασθαι, καὶ κηρύξαι σύνοδον πολυάνθρωπον ἐπὶ ἀγαθῷ κοινῷ τε καὶ ῥᾴονι.

8. Ὡς δὲ ταχὺ συνῆξεν ὁ θεὸς ἐκείνην καθοδηγήσας, ὁ τὴν ἀγάπην καὶ τὴν εἰρήνην φιλῶν, καὶ δι' αὐτὸ κατ' εἰκόνα ἑαυτοῦ πλάσας τὸν Ἀδάμ, καὶ πρὸς ὅμοιον τέλος ἐνδοὺς τὸν ἐν τῷ κόσμῳ δι' ἐκείνου πληθυσμόν, πάντως ἂν ἐλάλησαν ἐκεῖνοι, ὅσα καὶ διδάσκαλοι ἔνθεοι, τὰ δέοντα, καὶ τῇ θεόθεν ἐπιπνοίᾳ σεσοφισμένοι· καὶ ἀναβάντες τῇ μνήμῃ ἐς τοὺς προπάτορας, καὶ δι' ἐκείνων προθέμενοι ἐναγαγεῖν τοὺς ἀκροωμένους εἰς βίου ὀρθότητα, προήγαγον ἂν εἰς χάριν πειθοῦς, οἵαν μὲν μίαν ἐντολὴν ἐκεῖνοι πρὸς θεοῦ πρῶτοι ἐπιταγέντες, ῥᾳδίαν ἐκείνην ἐξανυσθῆναι, ὡς καὶ θεοὺς εἶναι τοὺς ὑπακούσαντας, καὶ παραβεβηκότες αὐτήν, μονάδα τὸν σεπτὸν παράδεισον ἀφῆκαν εἶναι, ὡς ἔξω ἐκείνου μένειν τοὺς καὶ ἐν αὐτῷ ἡνωμένους τὴν ἀρχήν, καὶ εἰς πληθυσμοῦ σπέρμα καὶ αὐξήσεως ἀφειμένους κατὰ τὴν τοῦ θεοῦ κέλευσιν, οἷα δὲ οἱ ἐξ ἐκείνων καὶ ὅσα ποιοῦσιν ἀποτρόπαια, δι' ὧν καταξιοῦνται μὴ μόνον ἁπάσης γῆς ἐκβεβλῆσθαι, ἀλλὰ καὶ ζῶντας εἰς αὐτὸν καταδῦναι

τάρταρον. Δριμυττόμενοι δὲ τὴν ἐπιχείρησιν ταύτην, καὶ τὴν κατηγορίαν ἐπαύξοντες, ἠπειλήσαντο ἂν τοῖς διδασκομένοις, καί, ὡς εἰ τὸν ἅγιον παράδεισον ἀοίκητον ὁ θεὸς ἀφῆκε μένειν, πῶς ἂν τῆς λοιπῆς φείσαιτο γῆς, ἣν ἔργοις ἀχρειοῦμεν αἰσχροῖς; πῶς δὲ οὐκ ἂν δυοῖν θάτερον, ἢ ἀνατρέψῃ αὐτήν, ἐπικαταστρέ- || (Ms. fol. 15. a.) ψας τοῖς οἰκήτορσιν, ἢ τὸν οὐρανὸν καταῤῥάξας ἐπιτρίψῃ τὸ πᾶν, ἢ ὄμβρῳ κατακλύσας, ὃ δήποτε καὶ ἀπέβη, ἀφανιεῖ καὶ ἐκ καλλίστου ἐποφειλομένου κάκιστον ἄρτι γένος ἀνθρώπινον;

9. Παρήγαγον δὲ ἂν οἱ αὐτομαθεῖς ἐκεῖνοι σοφοὶ διδάσκαλοι ἐς μέσον καὶ ἀνθρώπους βεβλαμμένους ἕλκεσι καὶ λοιπαῖς πληγαῖς· καὶ ὑποδ[ειγματίζοντ]ες, ὡς δυνηθῆναι καὶ ἔλεον τοῖς ἐγηγερμένοις εἰςβαλεῖν, ὠνείδιζον, οἵους ἐξ οἵων καθιστῶσι τοὺς ὁμογενεῖς, τοὺς μὲν τραυματίζοντες, τοὺς δὲ συγκόπτοντες, πολλοὺς δὲ καὶ κατακόπτοντες, τοὺς πλείους δὲ κακοποιοῦντες εἰς πολύτροπον, ὡς ἐντεῦθεν τὴν ζωὴν ἡγεῖσθαι χείρονα τοῦ κατὰ τὸν Ἄβελ θανάτου. ἀνεμίμνησκον δὲ ἂν ἐκείνους καὶ τρόμου, τοῦ κατὰ τὸν Κάϊν, καὶ ἐκβολῆς ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ ἱδρώτων προσώπου, καταψηφισθέντων τοῦ προπάτορος, ἐφ᾽ οἷς βραχύ τι παρέβη· καὶ τριβόλους παρήγαγον εἰς ἐνθύμιον καὶ ἀκάνθας, αἳ θεοῦ παροξύναντος κεντοῦσι τὸν ἐργάτην ἄνθρωπον.

10. Καὶ τοιαῦτα πολλὰ ἐκεῖνοι ποριζόμενοι, καὶ τῆς φαύλης νόσου κατεπᾴδοντες, ἣν ἔπασχον οἱ κατ᾽ ἀλλήλων ἐκθηριούμενοι, πάντως ἂν συλλαλοῦντος τοῦ θεοῦ, καὶ συνεπιλαμβανομένου τῆς διδασκαλίας αὐτοῖς, εἶχον ἂν ἠρέμα ἐφ᾽ ὁποσονοῦν πείθειν τοὺς ἀκούοντας· καὶ τὸ ἐκεῖθεν ἡμερῶν ἠλαττονοῦτο ἡ κακία τῷ συχνῷ τῆς διδασκαλικῆς ἐντυχίας, καὶ εἰς ὅσον καὶ ὅσον ἡ φαυλότης ἐῤῥάϊζε, καὶ ἡ ἀδικία συνέστελλεν ἑαυτήν· καὶ δὴ συννεύων ἕκαστος εἰς ψυχὴν καὶ προβαλλόμενος αἰδῶ καὶ νέμεσιν, ἐσωφρονίζοντο, καὶ ὀνειδιζόμενοι ἐμάνθανον θεοῦ εἶναι ἄνθρωποι, καὶ ὡς πρὸς ἐκεῖνον ὀφείλουσι γράφεσθαι, οὗ τὴν εἰκόνα φοροῦσιν, καὶ ὅτι βαλὴν τῶν ἐπὶ γῆς ἐτάχθη ὁ ἄνθρωπος εἶναι, καὶ ἐνετρέποντο, καθὰ ἐχρῆν, ἐὰν πεπλασμένοι τοιοῦτοι αὐτοὶ διαφέρωσι κατ᾽ οὐδὲν μάργων τὴν γαστέρα θηρίων, ψευδόμενοι τὸν σκοπὸν τοῦ θεοῦ, καὶ οὕτω προκαλούμενοι τὸν σατανᾶν, κτήσασθαι αὐτοὺς εἰς οἰκεῖον λαόν. Καὶ τοίνυν ὡς ἐν ὑπαγωγῇ τινι ἀνέβαινον τῷ λογισμῷ ὑψοῦ, καὶ ἐφρόνουν οὐκέτι γήϊνα εἰς τὸ πᾶν, οὐδὲ περὶ τὰ κάτω ἐκύπταζον· εἰς οὐρανὸν δὲ ἀναβλέποντες ἐκ διαλειμμάτων οὐ μακρῶν, καὶ τὸν τοῦ κόσμου ποιητὴν ἐννοούμενοι, καὶ οὕτως ὑψηλὰ φρονεῖν ἀπαρξάμενοι, καὶ τῶν περιπεζίων ὑπεριπτάμενοι, τοῦ θεοῦ ἐνήρξαντο γίνεσθαι· καὶ ἀρχὴν σοφίας τὸν ἐκείνου φόβον προκεντήσαντες, ἐγράφοντο εἰκονιζόμενοι πρὸς αὐτόν, καὶ ἠπείγοντο εἰς ὅσον ἐξῆν πρὸς μεσότητα. Καὶ αἱ χεῖρες τοῖς πολλοῖς ἐγίνοντο ἔργου, καταῤῥιπτοῦσαι τὰ εἰς κακίαν ὄργανα, εἴτε λίθοι ἐκεῖνα, εἴτε ξύλα, εἴτε καὶ ξιφῶν προβολαί· καὶ ἤρεσκε τοῖς πλείοσιν ἡ τοιαύτη διαγωγή, τοῖς μὲν ἀδικουμένοις, ὅτι οὐκ ἔπασχον ἔτι ὅμοια, τοῖς δὲ ἐρχομένοις διὰ || (Ms. fol. 15. b.) πάσης ἀδικίας, ὅτι οὐκέτι πράγματα οὔτε ἔχουσιν οὔτε παρέχουσιν, οὐδὲ μονίαν βίον ἀσκοῦνται τὸν ἄγριον, ἀλλ᾽ εἰς ἀγέλας θεοῦ ξυναγείρονται, καὶ ζῶσι πρὸς χάριτας, οἴκοιν ἐχθροὶ μένειν τεχναζόμενοι, ἀλλ᾽ εἰς ἀδελφοὺς ταττόμενοι. Καὶ γοῦν ἐλύετο ἡ ἄκρα σκυθρωπότης, καὶ ἐγαληνίων οἱ ἐφρυώμενοι, καὶ ἐθάῤῥουν συναγελάζεσθαι οἱ μονάδες, καὶ οἱ σποράδες εἰς ἐγγύτητα καὶ φιλίας ἕνωσιν ἤρχοντο, καὶ οἱ διεῤῥωγότες ἀκέστριαν ἐξεύρισκον τὴν ὁμόνοιαν συῤῥαπτόμενοι.

11. Καὶ ἔχαιρον μὲν πάντως καὶ οἱ λαοσυνάκται, οὓς πρώτους ὁ κατὰ θεὸν ζῆλος εἰς τὸ τοιοῦτον καλὸν ἠρέθισε· καθ᾽ ὑπερβολὴν δὲ μᾶλλον ἐξεγίνετο χαίρειν τοῖς τοῦ ἀγαθοῦ ἀπολαύουσιν, εἰπεῖν δὲ ἀκριβῶς, ἀμφοτέροις ἐπληθύνετο ἡ κατὰ θεὸν ἡδονή, τοῖς τε ποιοῦσι τὸ ἀγαθόν, καὶ οὕτω θείοις ἀποφαινομένοις, καὶ τοῖς εὐπαθοῦσι κατ᾽ αὐτό, καὶ ἀνθρωπιζομένοις πρὸς ἀλήθειαν. Καὶ τοίνυν συνερχόμενοι πανδαισίας ἐκάθιζον, καὶ ὁμιλίας ἐπαῤῥησίαζον, καὶ πανηγύρεις ἦγον, ἃς ἐσχεδίαζον οἱ καιροί, καὶ ἑώρταζον ὥρια. Εἰ δὲ μήπω τὰ τρυφερὰ ἐδέσματα, οὐδὲ μὴν οἶνος ἐπεχωρίαζεν, ὡς καὶ τραπεζοκομεῖν, καὶ εἰλαπινάζειν, καὶ ἡδέως οἰνοποτάζειν, ἀλλὰ ἐπινοίαις ἑτέραις, ὡς ὁ χρόνος ἐδίδου, ἐξωσίουν τὰ φιλοτήσια· καὶ ἦσαν χοροὶ καὶ τινες ᾠδαί, καὶ στῖφος ἤθροιζον οἱ τὸ πρὶν μονήρεις, καὶ ἡ ἐκ κοινοῦ χάρις ἐκείνη πλείστη ἐξεφαίνετο, καὶ ἡ ἀγάπη κατεσπείρετο, ἀπαγγελλομένη μικρὸν ὅσον καὶ βλάστην καὶ αὔξην τὴν δέουσαν.

12. Ὡς οὖν ἡ διδασκαλικὴ ἐπῳδὴ ἐπανῆγεν ἠρέμα κατὰ βραχὺ τοὺς καχέκτας ἐς ὑγείαν ἀληθῆ, εὖ μάλα πεφυκότας ἀποκαθίστασθαι εἰς τὸ τοιοῦτον καλόν, καὶ τὸ ἀγαθὸν ἐπηυξάνετο, καὶ ἀρετὴ ἐπληθύνετο, εἰςηνέχθη τὸ ἐντεῦθεν γνώμη πρὸς τῶν ἐντέχνων καὶ σπουδαίων βουλευτῶν ἐκείνων, μεθοδευθῆναι παραμονήν τινα, καὶ φυσικὴν καὶ ὡς οἷον ταμιευτικὴν συντήρησιν τοῦ θεοπέμπτου εὑρήματος· καὶ οἱ τὴν γνώμην εἰςδεδεγμένοι δι᾽ ἀκοῆς, ὡς ἤδη τοῦ καλοῦ γεγευμένοι, ἐγλυκάνθησαν, καὶ πόθος ἀλλήλων εἰς πλέον

εἷλεν αὐτούς, καὶ ἡ ψυχὴ ἑκάστων ἐφίλει τὸ παράμονον τοῦ γλυκάσματος. Εὐηρεστήθη τοίνυν ἅπασι τὸ πρᾶγμα· καὶ ὑπακούσαντες εἰς ὑπακοὴν ὠτίου κατένευσαν κυρωθῆναι, γίνεσθαι τὸ εὑρημένον ἀγαθὸν καὶ εἰς τὸ ἑξῆς, ὡς οὕτως αὐτὸ καταπράττεσθαι, καὶ μὴ ἄλλως. Καί γε ἐκραταιοῦτο ἐπὶ πλέον καθ' ἑκάστην ἡμέραν τὸ οὕτως ἀρέσαν, καὶ κοινὸν καθειστήκει τὸ ἕρμαιον, καὶ τὸ δόγμα τῇ συχνῇ τριβῇ ἐστήρικτο εἰς αὐτὸ δὴ τοῦτο ἔθος, ὅπερ ἐκφανθὲν εἰς πρόοπτον, καὶ τεθεαμένον ἡλίῳ, καὶ ἀναλάμψαν ἐποίησέ τινα περιουσιασμὸν κτήσεως, καί, ὡς οὕτως εἰπεῖν, βιώτιον, καὶ αὐτὸ κόσμιον.

13. Καὶ ἐπαῤῥησιάσατο ἐκεῖθεν χρόνου τεθαῤῥημένη συμβιότευσις, καὶ παρήχθησαν ἀφελεῖς κοινωνίαι, καὶ ὑπηύγαζον συναλλάγματα· ἐμελετᾶτο δὲ καί τις θρησκεία ὀρθὴ μετὰ λογιότητος, ἐπεγνωσμένου τοῦ πάντων ποιητοῦ θεοῦ, ὡς ἐξῆν, ἀρχαϊκώτερον, || Ms. fol. 16. a. καὶ ἐπωφείλοντο χάριτες θεῖαί τέ τινες, καὶ ὅσαι δὲ κατ' ἄνθρωπον· καὶ ἐφιλοσοφεῖτο δικαιοσύνη, τὸ πάμμεγα τοῖς ἐν βίῳ καὶ χαριέστατον ἀγαθόν· καὶ οὐκέτι πνίγες ἦσαν, ἀλλὰ μερίδες, τὸ παροιμιαζόμενον· καὶ οἱ μὲν ἀδελφοὶ ἀνενόχλητοι ἔμενον ἡμερότητος λόγῳ, χαρακτηριζούσης ἄνθρωπον, ὠχλεῖτο δὲ ἡ μήτηρ γῆ βοθρευομένη καὶ λαχαινομένη καὶ σκαπτομένη τὰ πλείω, καὶ ἀνεβλάστανε παντοίαν τροφήν, ἅμα καὶ τρυφήν, τὴν μὲν κατὰ τὸ αὔταρκες, τὴν δὲ καὶ εἰς ὑπέρπλεον.

14. Ἐπαύσατο δὲ καταδῦσα ὡς εἰς πόντον λήθης καὶ ἡ ἀδιάφορος Κύπρις, καί τις γάμου τύπος ἐπεισελθὼν ἐσέμνυνε τὴν κατ' ἄνθρωπον συζυγίαν· καὶ ὁ μὲν ἀγελαῖος Ἔρως ἐπτερύξατο, ἰδιάζον δέ τινες θάλαμοι, καὶ γνωρίζων ἕκαστος μίαν ἰδίαν, ἐδέσποζε καὶ τέκνων οὐκ ἀμφιβόλων, καὶ ἡ κατὰ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν σὰρξ μία ἦν αὐτοῖς, ὡς οἷα πρὸ ὀφθαλμῶν καὶ τυπούμενοι πρὸς παράδειγμα τοιοῦτον ἐπόψιον, προεκέντουν αὐτοὺς εἰς ἰσότυπον ἐπὶ αἰσχύνῃ τῶν ἐσύστερον κοινοποιησομένων τὰ γύναια· καὶ εἶχεν ἑκάστη σκηνὴ καὶ ἅπαν κατάλυμα, καθά τι ἔθνος ἢ καὶ φυλήν, τὸν ἄνδρα, τὴν γυναῖκα, τοὺς παῖδας, καὶ ὁπόσοι ἄλλοι ξυνδιῆγον αὐτοῖς θεσμῷ, τῷ ἐξ ἔθους καινοφανοῦς. Καὶ ὁ δαίμων; Ἀλλ' οὐκ ἂν εἶπες αὐτὸν ἐνταῦθά γε ζῆν. εἶχον γὰρ αὐτὸν τόποι, οὓς οὐκ ἐπεσκόπει ὁ κύριος· καὶ ἦν ὁ ἄνθρωπος ἄνθρωπος τῷ ὄντι.

15. Καὶ οἱ τὸ καλὸν τοῦτο ἐξανύσαντες θεοφιλέστατοι πρωτοσύμβουλοι καὶ ἀρχιδιδάσκαλοι διὰ πάνυ λίαν πολλοῦ λόγου ἐφέροντο, θαυμαζόμενοι, εὐφημούμενοι, εὐλογούμενοι, καθιστάμενοι ἐς ἄρχοντας, τιθέμενοι ὡς εἰς κεφαλάς, καὶ οὕτω περιβλεπόμενοι, καὶ ἀξιούμενοι ἐπισκοπεῖν τὰ κατ' αὐτούς, καὶ προσεπιλαλεῖν τὰ ἐς πλείω βιώσιμον ἐξόρθωσιν. Ὅσοι δὲ πρὸς βαθεῖαν τόλμαν ἐπιβάλλοντες ἔτυχον τῷ θαύματι, καὶ θεοὺς ἐποιοῦντο τοὺς τοιούτους, καὶ εἴς τινα κρείττω φύσιν αὐτοὺς ἐνέγραφον, ἐκπληττόμενοι τῆς ἐνθέου τέχνης, εἴπερ οὕτω πείθοντες διδασκαλικῶς ἐκ μικροῦ δεῖν ἀλόγων εἰς λογικοὺς καὶ λογίους τους μὴ τοιούτους διεβίβαζον, καὶ τοὺς μηδ' αὐτὸ τοῦτο εἰδότας, ὅ, τί ποτέ ἐστιν ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, εἰς ἐνθύμιον καὶ αὐτοῦ θεοῦ μετεῤῥύθμισαν.

16. Ἐπεγνωκότες οὖν οἱ πρῶτοι αὐτοδιάκονοι τοῦ καλοῦ ἐκεῖνοι, ὡς καὶ βελτιοῦσι τοὺς ἀνθρώπους, καὶ θαυμάζονται, καὶ οὕτως ἐς πλείω ζῆλον διαθερμαινόμενοι, καὶ οἷς ἐμακαρίζοντο, εἰς ἐπίδοσιν παραυξόμενοι, καὶ οὕτω πληθυνόμενοι προσθήκαις καὶ || Ms. fol. 16. b. διδαχαῖς, καὶ δραστηριώτεροι ἀποτελούμενοι, ἀγείρουσι πλείονας πάλιν ὄχλους, καὶ καθίζουσιν αὖθις βουλάς, καὶ ὑπομιμνήσκουσι τοὺς ἤδη εὐμαθέστερον ἐπαΐειν δεδυνημένους, ἐξ ὁποίων τῶν πάλαι ὁποῖοι αὐτοὶ ἀπετελέσθησαν διὰ μέσων τούτων ποδηγούντων αὐτοὺς ἐμβιβάζεσθαι εἰς ἀληθῆ ἀνθρωπότητα· καὶ καταγίνονται μὲν τῆς προτέρας ἐν τοῖς τοιούτοις μαθηταῖς ἀγριότητός τε καὶ πλάνης, ὑπεξαίρουσι δὲ τὴν καινὴν καὶ πρόσφατον φιλαδελφίαν καὶ φιλαλληλίαν, καὶ ἐγγὺς παρὰ βραχὺ ἀδελφότητα, τὴν καὶ πεπαγιωμένην εἰς ἔθιμον παράδοσιν, καὶ βίου τριβήν, καὶ πεῖραν καὶ ἐμπειρίαν δεδοκιμασμένην καὶ ἐπεγνωσμένην ὠφέλιμον.

17. Αὐτίκα δὲ οἱ τοιοῦτοι καινισταὶ τῆς πρᾳότητος καὶ τοῦ ἡμέρου βίου διδάσκαλοι ἐξετίθεντο ἄν, ἐναργῶς ὑπὸ ὄψιν ἄγοντες, ὁπόσα μὲν τῶν ἀγαθῶν πρῴην μὴ παρόντα νῦν ἐνδημοῦσι τοῖς ἀνθρώποις, ὁποῖα δὲ τῶν κακῶν καὶ πηλίκα τοῦ ἀνθρωπείου φύλου καταναιδευόμενα ἐπαύσαντο καὶ ᾤχοντο, καὶ αὐτοὶ μὲν οὕτως ἐπιχειρηματικώτερον τὴν δημηγορίαν διεχειρίζοντο. οἱ δὲ πρῴην μὲν ἀγελαῖοι ὄχλοι, νῦν δὲ εὐλόγιστοι δῆμοι, χάριτάς τε ὡμολόγουν, καὶ εἰς ἀγαθότητα συνεσκευάζοντο, ἐπιτείνοντες τὴν σπουδήν.

18. Ἐπεὶ δὲ ἐν τοσούτῳ καὶ γράμματα ἐξεύρητο, τὰ καλὰ τῆς μνημοσύνης κειμήλια, τὸ πρωτοφυὲς μουσεῖον, τὸ τῆς σοφίας ταμιεῖον, τὸ τῆς λήθης ἀντίπαλον φάρμακον, οἱ σκιαγράφοι τῆς γνώσεως, ὁ τοῦ λέγειν ὑπογραμμός, οἱ τῶν ψυχικῶν βουλευμάτων μηνυταί, οἱ τῶν ἐγκαρδίων διανοημάτων ἐξάγγελοι, οἱ τῶν κρυφίων ἐκφάντορες, οἱ τὸ ἐν πράξεσι ῥευστὸν πηγνύντες καὶ στερεοῦντες τύποι, καὶ τοῖς ἐπιγινομένοις ὀψὲ χρόνου ἀναστηλοῦντες εἰς γνώρισμα, οἱ ζωγράφοι τῶν παλῶν καὶ πραγμάτων καὶ προσώπων,

εἰδήσεώς τε χάριν καὶ μνήμης παντοδαπῆς, οἱ καλοὶ χαρακτῆρες ἁπάσης ἐμμούσου παιδεύσεως, οἱ μηδὲν ἔλαττον ἀκοῆς τὸν ἄνθρωπον σοφίζοντες διὰ τῆς ὄψεως, — ὅτε τοίνυν καὶ τὸ τοιοῦτον καλὸν ἔβλαστεν ἤδη ἐν κόσμῳ, δι' οὗ ἅπαν ἔθος ἀγράφως ἠκριβωμένον ἐπ' ἀγαθῷ εἶχε μεταποιεῖσθαι εἰς χρηστότητα ἔγγραφον, ἣν δὴ νόμον καλοῦμεν οἱ ὕστερον, καθὰ κεκύρωται, προέθεντο ἀξίωσιν οἱ τὴν ἄβιον ἐκεῖνοι παύσαντες βίαν, καὶ τὸ ἔθος προεισηγησάμενοι καὶ εἰσαγαγόντες διδάσκαλοι κατασφαλίσασθαι στερεωθὲν τὸ νεοπαγὲς ἔθιμον εἰς νόμιμον, ἵνα ὡς οἷον σφραγῖδος τύπωμα τὸ ἐν γράμ || μασι κῦρος προσεπιτεθῇ, (Ms. fol. 17. a) καὶ τὸ πλανητεῦον κατασταθῇ ἐφ' ἑνός, καὶ συντηρῆται εἰς ἀμετάστατον.

19. Καὶ οἱ τοῦ ἀθροίσματος ἄνθρωποι καταδέχονται ἀσπάσιοι, καὶ τὴν τῆς βουλῆς ταύτης εἰσαγωγὴν καλῶς ἄρα προνοησάμενοι, καὶ εὐεπηβόλως διεγνωκότες, οἶμαι δὲ καὶ ἐκλαλήσαντες, μηδὲν διαφέρον εἶναι, ἀσώματον περιφέρεσθαι τὸ καλόν, καὶ βιβλικῷ ἐδάφει ἐπαναπαύεσθαι, ὅμοιον, φασίν, ὡς εἰ καὶ θεοῦ λόγον ἢ διὰ στόματος προφέροι τις, ἢ ἐκ διφθέρας ἱερᾶς ἀναλέγοιτο. Αἱροῦνται γοῦν οὕτως οἱ τοῦ συνεδρίου καὶ τὸ εἰσενηνεγμένον ἐπὶ παραδοχῇ τῆς τῶν νόμων θέσεως βούλευμα· καὶ εὐθὺς ἑρμηνεύεται, ὁποῖόν τι ὁ νόμος ἐστί, καὶ καταλαμβάνεται, θεόσδοτον καὶ αὐτὸς χρῆμα εἶναι· καὶ στέργεται, καὶ ἐντίθεται δέλτοις, εἴτ' οὖν πυξίοις καὶ κώδιξιν, ἡμαξευμένως δὲ φάναι, βιβλίοις, ὅσα καὶ τισιν οἴκοις ἢ φυλακαῖς ἢ μάνδραις, μὴ καὶ διαδιδράσκοι τοὺς πολλοὺς ῥεμβόμενος.

20. Ἐξαυτίκα δὲ ὥρας ἐκαθίσθησαν ἐπιλεγέντες ἄνδρες βραβευταὶ δίκης, ἀδικίας διῶκται, ὀρθότητος ταμίαι, πολιτείας ἀγαθῆς φύλακες, θεσμῶν τηρηταί, ἐθῶν ἐκείνων οὐκέτι ἀγράφων, ἀλλὰ γραπτῶν ἐπίσκοποι. Καὶ οὕτω εὑρημένης τῆς νομικῆς διαθέσεως, καὶ εἰς γνῶσιν ἐκτεθειμένης ἅπασιν, οἱ μὲν πρὸς νόμους ἀπευθύνοντες ἑαυτούς, καὶ διακυβερνώμενοι τὸν βίον, καὶ οὕτω κατ' εὐθὺ πλέοντες, τῶν τῆς θεόθεν γαλήνης καλῶν μετεῖχον· καὶ οὐδεμία βίου κύμανσις αὐτοὺς διεσάλευσεν. Οἱ δὲ ἀνάπαλιν διακείμενοι ῥαχίαις προσηράσσοντο καὶ ἀπώλλυντο, ποινὰς ὑφιστάμενοι, ἃς οὐ τρόπος ἐκεῖνος παλαιὸς θηριώδης ὑπέβαλλε τοῖς ἀποτόμως διχάζουσιν, ἀλλὰ νόμος θεῖος ὑπηγόρευε, γλυκείᾳ μαχαίρᾳ, καθά τις ἂν οὐκ ἀπροσφυῶς εἴποι, διχοτομῶν.

21. Καὶ ἡ τοιαύτη ἐκδίκησις ἀνακάμπτειν ἐποίει τοὺς κακοὺς ἀπὸ στρεβλώσεως εἰς ὀρθότητα, οὐκ ἔχοντας γλυκύπικρον τοῦτο στέγειν θεράπευμα· καὶ ἡ κατ' ἄνθρωπον φύσις εἰς τὴν ἀρχέγονον ἀνεποιεῖτο πλάσιν, τὴν ἐν ἁπλότητι καὶ ἀστασιάστῳ εἰρήνῃ καὶ γαληναίᾳ καταστάσει καὶ ἱλαρότητι.

22. Ἦν οὕτω πάλαι ποτὲ ταῦτα, ἐξότου ῥᾳδίως οὐκ ἂν ὑπομνημονεύσῃ τις· καὶ ὁ βίος ἐκεῖνος ὁ πρώην, ὁ λεοντώδης, εἰ δέ τις μετριώτερον ἐθέλει φράσαι, ἀκόσμητος καὶ εἰκῇ κείμενος, ἐπιμεμέλητο, καὶ εἰς ἡμερότητα μετεβέβλητο, πρῶτα μὲν διὰ μετρίου συνοικισμοῦ, εἶτα βεβαιοτέρου συνεθισμοῦ, μετὰ δὲ νόμου εἰσφορᾶς, καλῶς δὲ ἂν ἔχοι φάναι, καὶ συνεισφορᾶς· κοινὴ γὰρ ἀνδρῶν σοφῶν βουλὴ καὶ σκέψις καὶ τότε τοὺς νόμους εἰσήγαγε, καὶ ὁ φυσικὸς ἐκεῖθεν καὶ ἐθνικὸς νόμος ἐξέλαμψεν, εἰς ἔγγυον προδραμὼν αὐτὸς οἰκονομίᾳ πανσόφῳ καὶ || θειότητι, τῇ κατὰ τὸν ἐν (Ms. fol. 17. b.) ἁγίῳ πνεύματι. — Ὅτι δὲ τὸ καλὸν ἐχρῆν γενέσθαι κάλλιον, καὶ τὸ θεῖον θειότερον, καὶ τὸ κατὰ κόσμον ἀπολεπτυνόμενον πάχος, ὡς ἐκφανθῆναι τὸ ἐν αὐτῷ ἀγαθόν, καὶ ἐκ βιωτικοῦ εἰς ἔνθεον κατασταθῆναι, καὶ ἐξ ἐγκοσμίου εἰς ὑπερκόσμιον, ἵνα, εἰς ὅσον πληθύνονται καὶ αὐξάνονται οἱ ἄνθρωποι, ἐς τόσον καὶ ἡ ἐξ ἐπιστροφῆς καλλονὴ αὐτῶν καὶ ἡ ἐνάρετος ἀγωγὴ προσεπαύξηται, καὶ τὸ ἐκ τοῦ θεοῦ καλὸν εἰς μάλιστα πρέπον αὐτῷ ἐκείνῳ ἀποκατασταίη (αὐτὸς γὰρ δοτὴρ καὶ τοῦ πρωτοφανοῦς νεογράφου ἀγαθοῦ νόμου κατείληπται)· προσεξευρίσκεται νόμος μετ' ἐκεῖνον ἄλλος δεύτερος ὑπέρτερος καὶ μεγαλοδύναμος, καὶ τοῦ προσεχῶς τεθεωρημένου ἐς τοσοῦτον ὑπερηρμένος, εἰς ὅσον καὶ σῶμα καλὸν καὶ σφριγῶν ὕπερθεν τοῦ μὴ τοιούτου φέροιτο ἄν.

23. Καὶ ἦν ἐκεῖνος ὁ Μωσαϊκός, οὐ μόνον ὁ Σιναΐτης, ἀλλὰ καὶ ὅσοι πολλοὶ καὶ αὐτοὶ ἀκόλουθοι ἐκείνῳ καὶ σύντροχοι καὶ σύμφωνοι, οὐ περὶ γῆν ἕρπων αὐτός, καὶ τὰ κατ' αὐτὴν μόνα συντηρῶν, καὶ ἐξορθῶν καὶ ἐπανορθούμενος, ἀλλὰ καὶ αὐτὸς θεοῦ ὡς ἐπὶ μᾶλλον ἐξαρτώμενος. Καὶ θεογνωσίαν γὰρ ἐκεῖνος ἐπραγματεύσατο καὶ φιλοσοφίαν θείαν, εἴτ' οὖν θεολογίαν, καὶ κόσμου ἐπίγνωσιν μὲν διὰ τῆς διδασκαλίας, ἣν ἡ κοσμοποιΐα παραδίδωσι, διάγνωσιν δέ, οἷς ὑποβάλλει φυσιολογεῖν, κατάγνωσιν δὲ τὴν ἐφ' οἷς χρή, δι' ὧν ῥυθμίζει πρὸς ἦθος, ὡς ἐπιμελεῖσθαι μὲν κόσμου, καθ' ὃν ὑπερλάμπει τὸ κόσμιον, περιφρονεῖν δὲ τἄλλα, ἐξ ὧν ὁ κατ' ἄνθρωπον βίος ἀπεκβαίνει ἄκοσμος.

24. Καὶ ἀπετέλεσεν ὁ τοιοῦτος νόμος οὐ μόνον ἀγαθοὺς ἄνδρας ἁπλῶς, ὁποῖοι δή τινες καὶ ἐν τοῖς πρὸ αὐτῶν ἐξεφάνησαν μέτριοι ἐκεῖνοι καὶ ῥᾷον ἀριθμητοί, καὶ μάλισθ' ὅτε ἡ ἀγριονομία τὴν γῆν ἀπεσκότου, ἀλλὰ καὶ ἁγίους, καὶ τὸ καινότατον, θεοπάτορας. Ἐπεφάνη δὲ ἄρα ὁ τοιοῦτος νόμος τελεώτερος μὲν

καὶ εἰς πλέον ὁτιμάλα σεβάσμιος, καθότι καὶ θεόγραφος, μελετῶν δὲ ὅμως καὶ ὑποκρουόμενος τὰ τελεώτατα. Ἐθεωρεῖτο γὰρ ὡς ἐν ὑπογραμμῷ σκιαγραφῶν καὶ ὑποχαράσσων θεῖα τυπώματα, προφήταις μὲν ὡς διορατικοῖς ἐποπτευόμενος, καὶ λεπτότερον κατανοούμενος, τοῖς δὲ λοιποῖς παχύτερον προσφερόμενος, καὶ οὐδὲ ὡς ἐν ὑπονοίᾳ γοῦν ἐφικτὸς ὤν. Μεγάλα γὰρ καὶ θειότατα καὶ τοῖς τηνικάδε χρόνου ἀνθρώποις ἀκατάληπτα λαλῶν, ἐπέκρυπτεν αἰνιττόμενος, τὸ φῶς οὕτω σκιάζων τῆς γνώσεως, καὶ κατακαλύπτων τὴν ἀλήθειαν ὡς ἐν παραπετάσματι, τῷ προφαινομένῳ τῆς φράσεως· καὶ εἶχον ὀλίγοι ἐμβαθύνειν τοῖς αἰνιγμοῖς, οἱ πλείους δὲ ἦσαν τῆς ἐπιπολῆς.

25. Οὐκ ἠνέσχετο δὲ ἄρα ὁ καὶ ἐπιπέμψας τὸν νόμον τοῦτον θεός, καὶ || (Ms. fol. 18. a) βαθέως τυπώσας, καὶ ἐν συμ[βόλ]οις παραδούς, μὴ οὐχὶ καὶ διασαφῆσαι αὐτὸς ἐκεῖνον ἐναργέστατα, καὶ τελεσφορῆσαι εἰς πληρεστάτην χρῶσιν, καὶ οὕτω γνῶσιν, τὸ σκιαγράφημα. Εἰ γὰρ διδάσκαλος ἀποπειρώμενος μαθητῶν, πρὸς οἷς τὸν νοῦν ἔχει, καὶ γλαφυρὰ λαλήσας αὐτοῖς, καὶ εὑρηκὼς οὐκ ἐμβαθύνοντας εἰς νόησιν, καὶ δι' αὐτὸ κατοκνοῦντας τὴν μάθησιν, καὶ τῇ ἀθυμίᾳ ἐκλείποντας, ἢ τῇ ῥαθυμίᾳ καταπίπτοντας, καὶ ἀποτελουμένους, ὡς οὕτως εἰπεῖν, λειπογνώμονας· οὐκ ἀνέχεται μὴ ἐς φῶς ἀγαγεῖν διευκρινήσας τὸ δυσκατάληπτον, ἀλλὰ διερμηνεύει σαφῶς, καὶ οὕτω τὰς ἐκείνων κτᾶται ψυχάς. Τῷ παντὶ ἐπὶ πλέον ὁ καὶ προάρχων ἐνδιδασκάλως, καὶ ἄλλως δὲ παμμέγιστος, τὸν αὐτοῦ νόμον τὸν δεύτερον, τὸν γραπτόν, ὃν Μωϋσῆς καὶ οἱ Μωσαϊκοὶ ἐξεγράψαντο, ἔμελλεν εὐσχόλως ἀνακαλύψαι τοῖς ἐν χάριτι θείᾳ καὶ ἀληθείᾳ νομομαθέσι, καὶ διὰ τοῦ ὑστέρου καὶ πληρεστάτου νόμου ἀναδραμουμένοις ἐς αὐτὸν ἐν τῷ καλῶς καὶ δίχα μώμου ἐκτελέσαι τὰ ἐκείνου δικαιώματα.

26. Οὐκοῦν καταβαίνει διὰ τῆς ἐνσάρκου οἰκονομίας ἐπὶ τὸν αὐτοῦ καὶ κόσμον καὶ ἄνθρωπον, καὶ ἐκλέγεται μαθητὰς ὀλίγους πάντως τὴν ἀρχὴν ἐκ τηλικῆσδε τῆς τότε ὁλότητος, τεράστιόν τι καὶ τοῦτο ἐκφήνας ἐκεῖνος, εἰ μὴ ἀναμείνας ἐψηλαφήθη διδάξαι τοὺς ἐπιθυμοῦντας, ἀλλὰ κατεδέξατο κενωθῆναι, ὡς καὶ ἐπιζητῆσαι τοὺς μαθησομένους ἐξ αὐτοῦ, καὶ τῇ ἐκείνων ἀσθενείᾳ συνεκδραμεῖν.

27. Κάτεισι τοίνυν οὐρανόθεν ἡ ὑπέρφωτος λάμψις, ὁ ἀρχίφωτος, ὁ τῶν φώτων πατήρ, καὶ καταυγάζει τὴν σκιάν. Μάλιστα μὲν οὖν τὰ τοῦ σοφοῦ σκιαγράφου Μωσέως τυπώματα χρώζει πρὸς ἐντέλειαν, καὶ τὰ συμβολικὰ διερμηνεύσας αἰνίγματα, καὶ τοὺς τυπικοὺς χαρακτῆρας εἰς πραγματικὴν ἐκβιβάσας ἀλήθειαν, τὸν καλὸν ἐκεῖνον νόμον ἐξωραΐσεν εἰς κάλλος ἀνεκλάλητον, μενοῦν γε ἀκριβέστερον φάναι, λαλητὸν πρὸς πνευματικὴν ἀλήθειαν ἔθετο. Τύπος γὰρ οὐκέτι οὐδεὶς μετὰ τὴν συγκατάβασιν, σύμβολον οὐδέν, σκιὰ οὐδεμία, πάντα ἐμφανῆ, προφανῆ πάντα· οἱ χαρακτῆρες διασεσάφηνται, ἡ ἀλήθεια ἐκπέφηνεν αἰθριάζουσα, ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος, καὶ συνήχθημεν ἀπὸ σκότους διηνεκοῦς εἰς ἄδυτον φωσφορίαν οἱ πρώην ἐσκεδασμένοι παρὰ τὸ μήτε εἰδέναι, ποῖ πορευσόμεθα, μηδὲ μὴν ἐθέλειν τὸ δέον ψηλαφᾶν. Ἡ νομικὴ διπλόη παρῆλθεν, ἀντεισῆλθε δὲ ὁ βαθὺς μὲν τῷ ὄντι νοῦς, ἁπλοῦς δὲ ἄλλως, καθότι ἑρμηνεύει καὶ σαφῶς καὶ τρανῶς αὐτὴν τὴν ἀλήθειαν· οὐ προβέβληται καταπέτασμα νομικόν, οὗπερ ἐντὸς κέκρυ- || (Ms. fol. 18. b.) πται τὰ σωτήρια.

28. Οὐκ ἔχει τις λέγειν καὶ ἐν τοῖς ἄρτι, ὡς ἐγὼ μὲν κατὰ τὸ σωματικὸν γράμμα πολιτεύομαι, τάδε καὶ τάδε ποιῶν γραμματικώτερον. Εἰ δέ τι πνευματικὸν ἐν αὐτοῖς κέκρυπται, τίς ἂν εἰδείη; Ἀλλὰ τὰ πάντα σαφῆ, καὶ τὰ τοῦ θεανθρώπου λόγου παραγγέλματα εὔληπτα· καὶ αὐτόθεν νοούμενος γυμνὸς ἅπαντος προκαλύμματος ἐλυτρώδους, ὁ ἐκεῖθεν ἔκκειται μάργαρος. Τὸ χρυσίον καὶ τὸ ἀργύριον καθαρὸν προβέβληται καὶ ἀκίβδηλον, οὐδέν τι βασάνου δεόμενον· οἱ τίμιοι λίθοι οὐκ ἐθέλουσιν ἱδρῶτας, ὡς ἀνιχνεύεσθαι, καὶ πόνους παρέχειν τοῖς μεταλλεύουσιν. Ὁ τούτων χορηγητὴς οὐχ ἁπλῶς μεγαλοπρεπέστατος ἔγνωσται, ἀλλὰ πλήσμιον τὸν αὐτοῦ προχέων ἔλεον ἐνδίδωσι δωρεὰν ἀρύεσθαι τοῖς ἐθέλουσι· καὶ οὐδὲ ζητεῖ μεγαλεμπόρους, οἷς ἀποδώσεται βαρείᾳ τιμῇ τὰ ὑπέρτιμα, ὡς ἐκείνους αὖθις ἀντιτιμᾶσθαι αὐτὰ ἐπὶ ἐμπολῇ κερδαλέᾳ, καὶ πράγματα παρίσχειν τοῖς αὐτῶν ἐφιεμένοις ἐμπορικώτερον· ἀλλὰ πτωχοὺς τῷ πνεύματι φίλους βαθυκόλπους ζητεῖ εὑρέσθαι, οὓς πλουτεῖ, παραβύσας αὐτοῖς τὰ οἰκεῖα δῶρα, καὶ ὀλβίσας ἐπὶ μακαρισμῷ.

29. Ἄχθεται γὰρ αὐτὸς οἷον τῷ κατ' αὐτὸν μυρίῳ πλούτῳ, καὶ ἐπιποθεῖ μερίτας εὑρέσθαι τοῦ ἀγαθοῦ, παλαμναίους δή τινας καὶ οἵους ἀχθοφορεῖν ἀτλαντικώτερον τὰ παρ' ἐκείνῳ τεθησαυρισμένα καλά· ἀνέχεται δὲ καὶ ἅρπαγας εὐσυνέτως ἐπερχομένους, βλέπων καὶ τὰ ἐκείνου φορτιζομένους, καὶ οὕτω βιαζομένους τὴν βασιλείαν τῶν οὐρανῶν. Φέρει δέ που καὶ ἐλλόγοις κλεπτόμενος· οὐ γὰρ δέδιεν, ἐπιλιπεῖν αὐτὸν τὰ κειμήλια, ὅτι μηδὲ πηγαία τις χύσις αὐτῶν ἐν ἐκείνῳ ἐστίν, ἢ πλήθων ποταμός, ἢ κόλπος θαλάσσιος· ἄβυσσος μὲν οὖν πολλὴ πλούτου, ἧς οὔτε

ῥιζική τις γενόηται ὑποστάθμη, ἐπέχουσα πυθμένος τόπον, οὐδὲ μὴν μέτρον ῥητόν· ἀλλ' οὐδὲ γνῶσις τῆς αὐτοῦ ἀπειρίας, μὴ ὅτι γε καταληπτικὴ ἐντελῶς, ἀλλ' οὐδὲ ἀκροθιγῶς ἐν ἐπιβολῇ κατανοήσεως ψαύουσα.

30. *Τοιοῦτος, ὡς ἐν ὀλιγίστῳ καθυπογράψαι, ὁ καὶ τοῦ τρίτου καὶ νέου νόμου δοτὴρ Θεός, οὕτω παμπλούσιος, οὕτω μεγαλόδωρος, καὶ μὴν καὶ γνώσεων κύριος καὶ αὐτοσοφία. Διὸ καὶ ὁ νόμος αὐτοῦ ἐπάξιος τοιούτου μεγάλου λογοθέτου καὶ νομοδότου καὶ νομοθέτου πρὸς τῷ βάθει τῶν ἐννοιῶν, καὶ φῶς ἀποπάλλων ἀῤῥήτου σαφηνείας τοῖς ἐπαξίοις, καὶ ἀκροᾶσθαι αὐτοῦ, καὶ λύχνον τοῦτον τοῖς ποσὶ καὶ φῶς ταῖς οἰκείαις τρίβοις ἔχειν προπορευόμενον.*

31. *Εἰ δέ τινες καὶ τῶν αὐτοῦ παραδόσεων μυστηριώδεις, οἷα τελεστικαί, καὶ ἄλλως δὲ ἀπόκρυφοι, καὶ δι' αὐτὸ βαθεῖαι, καί, ὡς οὕτως φάναι, νύκτεροι τοῖς μὴ* Ms. fol. 19. a. *ὀξὺ βλέπουσι (πολλαὶ δὲ καὶ τοιαῦται || εἰσίν), ἀλλ' αὐτὸς ῥᾷον ἀποκαλύπτει τοὺς ἡμῶν ὀφθαλμούς, εἴπερ ἐθέλομεν· καὶ ὡς ἐκ νυκτὸς ὀρθρίζοντες φωτιζόμεθα, καὶ κατανοοῦμεν οὕτω τὰ θαυμάσια πάντα ἐκ τοῦ νόμου αὐτοῦ, τὰ πλείω μὲν ἐξ ἀφορμῶν διδασκαλικῶν, οὐκ ὀλίγα δὲ καὶ κατὰ ἔνθεον ἄλλοις ἐπίπνοιαν. Ὅτε καὶ ἔστι τοῖς καθ' ἡμᾶς λέγειν, οὐχ, ὅτι ἐς ὅσον τὸ σκότος ἡμῖν, ἐς τοσοῦτον καὶ τὸ ἐξ ἀποκαλύψεως ἀνασχὸν φῶς, ἀλλ' ὅτι πολλαπλάσιον, ὡς μηδὲ καθυποβάλλεσθαι ἀριθμῷ, καὶ ὅτι, ἀπελαθέντος τοῦ κατὰ ἄγνοιαν νεφώματος, ἢ καὶ ἑτέρως φάναι, ἀλλοιωθέντος καὶ διατεθέντος εἰς χρηστότητα γνώσεως, ἔφαναν ἐκεῖθεν αἱ ἀστραπαὶ τῆς θεογνωσίας τοῖς ἐν τῇ οἰκουμένῃ, ἐὰν μὴ κοιμῶνται ἀπονυστάξαντες, ἢ τυφλώττωσι. Τέως γε μήν, εἰ καὶ μυστήρια ὁ ἄλλως μὲν τελευταῖος, ἀληθῶς δὲ πρώτιστος κόσμος καὶ νόμος δυςανακάλυπτα ἔχει, καὶ οἷα Θεῷ μόνῳ καταληπτὰ εἶναι δοκεῖν, μὴ ἂν δέ τινι τῶν ἀνθρώπων, ἕως ἂν ἐκεῖνος τοῖς ἀξίοις ἐκφήνῃ αὐτά, ὅμως ἐν πολλοῖς τόποις, καὶ οὐχ ἁπλῶς πολλοῖς, ἀλλὰ καὶ μάλα τοσούτοις πάνυ ἐξαστράπτει αὐτὰ πρὸς σαφήνειαν· καὶ οὐδέν τι ἐν αὐτοῖς δεινῶς περιπεκομμένον, καί, ὡς εἰπεῖν, ἑλικτόν, οὐδὲ βαθὺ καὶ κρύφιον, οὐδὲ ἀνακαλύψεως εἰς μακρὸν ἑρμηνευτικῆς ἐπὶ καταλήψει δεόμενον.*

32. *Αὐτίκα γοῦν χύδην προβεβλημένον ἔκκειται αὐτόθεν εὐμαθῶς ὑπὸ τῶν φιλοκάλων εἰςοικιζόμενον τό· ἀγαπᾶτε ἀλλήλους, καὶ μὴ ψεύδεσθε, καὶ μὴ συκοφαντεῖτε, ἀλλὰ πραγματεύεσθε εἶναι ἄνθρωποι· μᾶλλον μὲν οὖν, μηδὲ πραγματεύεσθε τοῦτο. Τί γὰρ πραγματειῶδες, ποιεῖν εὐθέτως καὶ μετὰ ῥᾳστώνης ἀπράγμονος τὸ ἄτεχνον ἀγαθόν, τὸ πρέπον, φημί, τοῖς ἀνθρώποις, ἀγελαῖον, φιλάλληλον, καὶ τὸ ἀληθεύειν κοινότερον, περινοίας ἁπάσης δίχα, ἐν τῷ ἀγροικικῶς τὴν σκάφην σκάφην λαλεῖν, καὶ ἅμα μηδὲ συκοφαντεῖν, καὶ ἐνδιαβάλλειν, καὶ τἄλλα ἐξαμαρτάνειν, ὁπόσα σύστοιχα κακίαις τοιαύταις;*

33. *Οὔκουν πραγματευτέον, ἐξανύειν τὴν πρόχειρον ἀγάπην, καὶ τὴν εὔληπτον ἀλήθειαν, καὶ ὁπόσα λοιπὰ ἔργα τῆς ἀπραγματεύτου ἁπλότητος· ἀλλ' ἐκεῖνο σπουδαστέον καὶ μεθοδευτέον, ὡς δύναμις, τὸ μὴ προΐεσθαι τὴν ἀγάπην, μηδὲ προτίθεσθαι εἰς πραγματείαν καὶ σπουδαίαν τέχνην, αὐτὸ δὴ τοῦτο καὶ μόνον, τὸ ἐπιτηδεύεσθαι κακοποιεῖν τὴν ἀδελφότητα, καὶ οὕτως ἐκφοβεῖν, καὶ τεχνᾶσθαι κυριότητα δυςάντητον. Τοῦτο γὰρ οὐκέτι ἀνθρώπου ἀγαθοῦ, ἀλλ' ἢ λῃστοῦ καὶ πειρατοῦ, εἴ τις καὶ τὸν || τοιοῦτον ἐθέλει* Ms. fol. 19. b. *τύπτειν εἰς ἄνθρωπον, ἢ ἀλλὰ θηρίου ἀγρίου τε καὶ σθεναροῦ, ὃ συνθήσει τις ἂν εἰς θηριανθρώπου ἐπίνοιαν· ὅτε καὶ ὡς ἐξ ἀνθρώπων γίνεται ὁ τοιοῦτος, ἅτε καὶ ἀπανθρωπιζόμενος τὰ πολλά. Ὄντος δὴ οὐ μετὰ τὴν ἔνσαρκον ἁγιωτάτην οἰκονομίαν δεδομένου νόμου τοιοῦδε τινός, ἀναγκαῖον πάντως, τοὺς ὑπ' αὐτῷ ταττομένους πάντας ἀνθρώπους ὑπερτερεῖν τῶν τε κατὰ τὴν προειρημένην τοῦ παλαιοῦ ἁγίου νόμου τύπωσιν, καὶ μάλιστα τοῦ πρωτοφυοῦς. Πρωτόθετον γὰρ νόμον ἐκεῖνον εἰπεῖν οὐκ ἔχω, τὸν ἤδη μὲν ἐνθάδε τότε, μηδαμοῦ δὲ τεθειμένον θεσμοῦ τρόπον καὶ θέμιδος, ἀλλά, ὡς εἰπεῖν, πετόμενον, ὅποι ἂν αὐτὸν παραδέχοιντό τινες.*

34. *Καὶ οὕτω μὲν ἀναγκαίως ἐχρῆν γίνεσθαι, ἵνα καὶ ὁ νομοθέτης ἔχαιρε τιμώμενος, οἷς τὸ ὑπ' αὐτοῦ δεδομένον ἀγαθὸν συνετηρεῖτο, καὶ αὐτοὶ ἐβελτιούμεθα, ὡς καὶ ὁ Θεὸς ἂν ἐφίλει, καὶ ἡμεῖς ἀπεδεχόμεθα. Γίνεται δὲ ὅμως οὐχ οὕτως, ἀλλὰ διεκπίπτει τὰ καθ' ἡμᾶς, ὅπου καὶ νοοῦντες βαρυνόμεθα, καὶ βλέποντες αἰδούμεθα, καὶ λαλοῦντες ταχὺ ἀναστελλόμεθα.*

35. *Φέρε γὰρ ἀνασκεπτώμεθα διὰ βραχέων ἐπιτεμόντες τὰ ὅλα πράγματα κεφαλαιωδῶς. Ἐξημέρωσαν τὴν μετὰ τοὺς προπάτορας ἐν τοῖς ἐπιγόνοις ἀπανθρωπίαν καὶ ἀγριότητα χρηστοί τινες καὶ ῥᾷον μετρητοὶ ἄνδρες· ἤνυσαν δὲ αὐτό, ζηλώσαντες φιλαδελφικῶς, λαλήσαντες εὐνοϊκῶς, παραινέσαντες διδασκαλικῶς, καὶ νοηθέντες εὐσυνέτοις ἀγαθὰ λέγειν, καὶ οὕτω πείσαντες, καὶ τῷ ἐνδελεχεῖ τῆς ἀγαθῆς διδασκαλίας ἀλλοιώσαντες ἐκ φαυλότητος εἰς καλλονὴν ἀγαθότητος, ὅτε καὶ ἀφέμενοι τοῦ ἀνθρωποσφαγεῖν, μήπου δὲ*

καὶ ἀνθρωποφαγεῖν οἱ μαθητευσάμενοι, καὶ τοῦ ἁρπάζειν τὰ τῶν ἄλλων, ἐπέβαλλον τέχναις, ὡς εἶχον εὑρέσεως. Καὶ πρῶτα μὲν ἐξ ἀναμνήσεως καὶ ἐνθυμήσεως τοῦ θεοφιλοῦς Ἄβελ ἐνεχείρησαν ποιμαίνειν ἐκεῖνοι καὶ βόσκειν ζῷα, ἐξ ὧν χρήσιμα ποριζόμενοι πολλὰ δαψιλῶς ἅμα, καὶ οὐδὲ σὺν πολλῷ πόνῳ, ἀπήλλαξαν τὰς χεῖρας τοῦ λῃστεύειν ἀλλήλους καὶ πρὸ ὥρας ἐξάγειν τοῦ ζῆν.

36. Γευσάμενοι δὲ τοιούτου καλοῦ ῥᾴονος, ἔτρεψαν τὸν νοῦν εἰς τὸ καὶ ἄλλως τεχνᾶσθαι τὰ καίρια· καὶ σπηλαίων ἀφέμενοι καὶ λοιπῶν αὐτοσχεδίων καταδύσεων, ἐν αἷς οὐ κατοικεῖν λέγοιντο ἄν, ἀλλὰ φωλεύειν θηριωδῶς, ἀνέστησαν οἴκους καὶ δώματα, ὡς καὶ καταμένειν ἀσφαλεῖς, καὶ τὰ εἰς χρείαν ἐναποτίθεσθαι ἀνεπιβούλευτοι. Αὐτίκα δὲ || (Ms. fol. 20. a.) καὶ γυναικικὸν ζεῦγμα συνεπήξαντο, μονάσαντες τοὺς κήλωνας, ἀλόγοις ἐντρέχειν θηλείαις ἀφέντες, ὅτε οὐδ' ἂν ἐπιβαίνεσθαι ταῖς κατ' οἴκους γυναιξὶν ἔπειθον σφᾶς αὐτοὺς οἱ ἔξωθεν, αὐτόθεν, οἶμαι, μαθόντες, καί, ὅ φασιν, ἀφ' ἑστίας, ὅποι κακοῦ ὁ τοιοῦτος ἔρως ἀποτελευτήσει, δαιμονίου ζήλου ἐρεθίζοντος καὶ ὑποκινοῦντος, ἀποσοβεῖν τῆς ὁμοζύγου, ὁποῖα καὶ λύκον, τὸν ἅρπαγα.

37. Ἀκολούθως δὲ καὶ γεωργίας το ἐντεῦθεν τεχνασθείσης, ἡ μήτηρ γῆ ὀχλουμένη γάλα μελιτόεν ἐχορήγει τοῖς τέκνοις ἀνθρώποις, τὰ ἐξ αὐτῆς ἀγαθά. Ὡς δὲ εἰρηναία ἦν ἠρέμα τοῖς ἀνθρώποις ἐκ τοῦ τοιούτου καλοῦ, ἀπελέγοντο καὶ τὰ στασιωτικὰ ὡς ἐπιπολὺ καὶ τὴν εἰσαεὶ ἔριδα καὶ τὴν ἐπίμονον μάχην, καὶ μόνον ἐφίλουν τὸ σωτήριον αὔταρκες· οὓς μέντοι ὁ κερδῷος ἐκνικῶν ὑπήγετο φιλοτιμότερον. Ἀλλ' ἐκεῖνοι τόλμαν καὶ θρασὺ μένος καὶ ἀλκὴν ἐνδυσάμενοι, θαλαττίοις τοῦ λοιποῦ παρέβαλλον σφᾶς αὐτοὺς κινδύνοις καὶ τὸ γλυκὺ τῆς τραφερῆς ἀπεσπάμενοι, τῆς ἁλμυρᾶς ἐγίνοντο μέτοικοι, αὐτοὶ τῶν ἰδίων ἀπεκβαίνοντες τρόπον τινά, ἢ Ἁρπυίαις ἐκδόμενοι ἑαυτούς, ἢ ἀλλὰ γοῦν ὡς εἰς ἀμφιβίους ἀποκαθιστάμενοι.

38. Οἴκους τε οὖν ἐφ' ὑδάτων τὰς νῆας ἐτεκτήναντο παρακινδυνεύσαντες, καὶ φόρτους ἐν αὐταῖς ἐταμιώσαντο, καὶ περιφρονήσαντες τὴν τροφὸν γῆν, ἑτέραν εἰσεποιήσαντο τρέφουσαν, ἣν οὐκ ἂν ὀκνήσῃ τις μητρυιὰν εἰπεῖν, ὑπεραυξήσαντες ἐκεῖνοι τὴν πρώην ἀγηνορίαν ἐν τῷ ναυτίλλεσθαι καὶ ὑπερόρια. Θρασὺ μὲν γὰρ καὶ θερμόν, ἀπεῖπασθαι μὲν γαστρὸς χάριν τὸν ἀέρα, δύεσθαι δὲ κυβιστῶντα κατὰ βυθοῦ, καὶ ἐμβραδύνειν αὐτόθι τὸν τῆς χέρσου τρόφιμον ἄνθρωπον, καὶ ἄλλως δὲ ἀνέμοις ἐν θαλάττῃ δουλεύοντα πονεῖσθαι καὶ κατασαλεύεσθαι τροφῆς ἕνεκα, καὶ αὐτῆς ὡς τὰ πολλὰ δυσποριστου.

39. Ὅτι δὲ καὶ ἡ χέρσος πράγματα δίδωσι τοῖς τε ἄλλως περιεργαζομένοις αὐτήν, καὶ τοῖς θηρολέταις κυνηγέταις, καὶ ἄλλως δὲ ἀγρευταῖς, καὶ ἀνάγεται αὐτὰ εἰς τέχνην τῷ βίῳ σύμφορον, ἐτέθη καὶ ἡ ἁλιευτικὴ ἐς τόπον τοιόνδε, καὶ ὡρίσθη τέχνη καὶ αὐτή, καὶ ἠγαπήθη, ὡς ἐκ τοῦ ἀνθρωπομαχεῖν συμμεταγαγοῦσα τὸ τοῦ θεοῦ πλάσμα εἰς ἐπιτήδευσιν θηρολήτειραν καὶ αὐτήν, δι' ἧς οὐκέτι φονεύς, ἀλλὰ παλαμναῖος τεχνίτης καὶ ῥωμαλέος καὶ ἄλκιμος ἐθέλει στηλιτεύεσθαι καὶ ὁ κατὰ θάλασσαν θηρατής.

40. Καὶ οὕτω μὲν θαρραλέος καὶ τολμητίας ὁ καὶ ἄλλως περὶ θάλασσαν ἄγων σχολήν· τὸ δὲ θρασύνασθαι, τῆς εὐσταθοῦς καὶ εὖ μάλα ἡδρασμένης καὶ πεπηγυίας γῆς ὑπερόριον ἀπανιστῆναι, καὶ τοῦ ἀσφαλοῦς μὲν μεθέσθαι, σάλοις δὲ τοῖς ἐξ ἀνέμων ἀστάτων ἑαυτὸν || (Ms. fol. 20. b.) ἐπιδοῦναι, καὶ ἄπτερον πεφυκότα μελετῆσαι πέτεσθαι, εἰ καὶ μὴ κηρίνοις πτίλοις, κατὰ τὸν λογοποιούμενον Ἴκαρον, ἀλλὰ γοῦν λινέοις, ἃ θᾶττον ἂν κατασείσας καὶ ῥήξας ἄνεμος κάτω κάρα σαλεύειν τοὺς αὐτῷ πεπιστευμένους βιάσεται, σκαφείου μὲν τοῦ κατὰ γῆν ἀφεμένους, καὶ σκάφος ἀκίνδυνον τὸ ἐν ἀμπέλοις περιφρονήσαντας, ξυλίνῳ δὲ ἐμβεβλημένους, δι' οὗ ἀναβαίνοντες ἕως τῶν οὐρανῶν καὶ καταβαίνοντες ἕως τῶν ἀβύσσων, ὀλέθροις ἔκκεινται — ἀλλὰ τοῦτο ἀνδρὸς ἀργαλέου τόλμα καὶ ἰτητικοῦ, καὶ παντὸς θάρσους τε καὶ θράσους ὑπέρκειται.

41. Καὶ ὅμως (κακοῦ μείζονος τοῦ ζῆν ἀλόγως καθὰ καὶ θῆρες, καὶ ἀλληλοφαγεῖν, καὶ πολλοῖς τρόποις καὶ ἅπασιν ἀλγεινοῖς ἀπάγειν τοῦ βίου τοὺς θεοπλάστους ἀδελφούς, καὶ οὕτω θεομαχεῖν) εἵλοντο καὶ τοιαύτην ἀλλόκοτον τέχνην οἱ ἐξημερωθέντες ἄνθρωποι, καθ' ἣν δῆλον, ὡς οἱ τὴν γῆν ἀπολεξάμενοι καὶ τὴν ζωὴν ἀπείπαντο.

42. Τέχνας δέ γε λοιπὰς ἑτέρας οὔτε κινδυνώδεις, ἀλλὰ καὶ ἱλαράς, καὶ πρὸς χάριν ἐσκευασμένας, καὶ ἡδονὴν πολλὴν ἐπισυρομένας, οὐκ ἂν οὐδὲ διαμετρήσασθαι δύναιτό τις, αἷς οἱ πρὶν θῆρες ἄνθρωποι τιθασοὶ γεγόνασιν ὕστερον. Ἀλλ' οὕτω μὲν ὑποθήκη ἀγαθὴ ἐκείνη, καὶ ἔννους χρηστολογία, καὶ διδασκαλία εὐσύνετος τοῦ καλοῦ, καὶ ὑπακοὴ καὶ πειθὼ τοὺς πάλαι ποτὲ σκαμβοὺς ἐξώρθωσε κανονίσασα, καὶ εἰς εὐθὺ ἀποξέσασα, καὶ τῆς ἐν ἤθει στρεβλότητος εἰς ἰθυτενὲς μετεσκεύασε. Καὶ περιᾴδονται τέχναι πολλαὶ καὶ σπουδαῖαι, τηνικαῦτα εὐθὺς ἐπινενοημέναι, καὶ εἰς πολιτικὸν σχῆμα τοὺς πρώην καὶ ἀτέχνους καὶ ἀπολιτεύτους ἀποκαταστήσασαι.

43. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ πόλεις ἐκεῖνοι περιγράφειν ἀπήρξαντο μηχανησάμενοι, ἀρχὰς ἀγαθὰς καὶ τοῦδε τοῦ καλοῦ παρεσχημένοι τοῖς ὕστερον· οἱ δὲ μετ' αὐτούς, οἱ τοῦ παλαιοῦ δηλαδὴ νόμου, λαβῆς ἐκεῖθεν ἐνδεδομένης, τὸ καλὸν ἐκεῖνο ἐπιμάλιστα ἐστερέωσαν, καὶ καλῷ θεμελίῳ ἐκείνῳ παρύψωσιν καὶ αὔξησιν μεθώδευσαν ὅλλως τε σεμνήν, καὶ θεοῦ οἴκοις πρέπουσαν. Καὶ οἱ τῶν τοιούτων ἐπιστημονάρχαι καὶ ἀρχιτέκτονες, ἐν οἷς καὶ οἱ πρέσβιστοι πατριάρχαι, δι' ἐγκωμίων ἄγονται καὶ θαύματος, καὶ εἰς μεγάλους ἁγίους ἐγγεγράφαται, καὶ οὐρανοπολίται εἶναι πιστεύονται, δῆλον ὡς καὶ εἰς τοὺς οὐρανοφοίτας ἀποστόλους τὴν τοιαύτην ἀρετὴν κατάγοντες· οἳ καὶ ὄροφον τῇ καλῇ ἐκείνῃ ἐπέθεντο παλαιᾷ οἰκοδομῇ, καὶ οἰκητόρων αὐτὴν ἔπλησαν, καὶ ἐκκλησίαις ἁγιωτάταις ἐμέστωσαν, καὶ κήρυκας μακαριστοὺς ἐνέταξαν, καὶ κορυφαίους ἱεροὺς ἐπέστησαν, καὶ ποίμνια θεῖα καταρτί-
Ms. fol. 21. a. σαντες ἐπέτρεψαν πνευματικῶς ποιμαίνεσθαι, || καὶ νόμους ἔθεντο ποιμενικούς, καὶ τρόπους μεθώδευσαν, καθ' οὓς ποιμανεῖται χριστιανικῶς τὰ τοῦ θεοῦ πρόβατα· καὶ νομὰς περιηγήσαντο, ἐν αἷς βοσκήσονται.

44. Καὶ ὧδε μὲν οἱ μεγάλοι ἐκεῖνοι καὶ τὸν ἐκ τοῦ ἀφελοῦς ἀγράφου ἐν τῇ ἁγίᾳ παλαιᾷ ἔγγραφον νόμον ἐτελείωσαν, ἀρτιώσαντες καὶ ἀποκαταστήσαντες, ἔνθα οὔτε προςθεῖναι ἦν ἔτι οὐδὲ ἰῶτα ἕν, οὐδὲ κεραίαν γοῦν μίαν, οὔτε ἀφελεῖν. Οἱ δὲ νῦν ἡμεῖς μικροὶ ἄνθρωποι, καὶ πρὸ τῶν ἄλλων ἁπάντων ἐγώ, τὴν μὲν χρηστομαθῆ, καὶ τὴν τῶν ἀγαθῶν ἀνδρῶν, μὴ ὅτι διδασκαλίαν, ἀλλὰ καὶ ἁπλῶς λαλιὰν ἀποστυγοῦμεν, καὶ μᾶλλον ἂν ὠρυομένων θηρίων ἡδέως ἀκροασώμεθα, ἤπερ ἀνδρὸς ἀπευθύνοντος πρὸς εὐαγγελικὴν ὀρθότητα τὴν ἐν ἡμῖν στρεβλότητα.

45. Νομίζομεν γάρ, ὥςπερ τὸν τεχνικὸν κανόνα, τὸν κατὰ τοὺς τέκτονας, οὐκ ἂν ἄλλως δύνασθαι λεαίνειν σανίδας ἢ ξύλον ἑτεροῖον, εἰ μὴ ἀπαγάγοι ξέσας τὸ ἐπιπροςθοῦν, οὕτω καὶ τὸ θεῖον διὰ τῶν θεοκηρύκων ἀποστόλων κανόνισμα τῶν ἡμετέρων σαρκῶν ἀποτέμνειν τι καὶ ἀπάγειν ἐπωδύνως, ὅτε ἡμῖν ἐπὶ διορθώσει ψυχικῇ προςφέρεται. Οὕτως ἡμεῖς γωθρευόμεθα τὴν ψυχικὴν διόρθωσιν, οὕτω τὴν καθαρότητα παρορώμεθα. Καὶ πέδιλα μέν, ἃ φοροῦμεν, ὑποπλησθέντα πηλοῦ χαίρομεν εἴ τις φθάσας ἰδεῖν ἢ ἐκκαθαριεῖ πρὸ ἡμῶν, ἢ ἐνδειξάμενος ἡμῖν προκαλέσεται ἀποῤῥύψασθαι (τὸ δὲ ὅμοιον πάσχομεν καὶ ἐπὶ παντὶ ῥύπῳ, εἴτε σώματος, εἴτε ἱματισμοῦ), ψυχῆς δὲ ἀχρειουμένης, ὡς οἷα διὰ σπιλώματος δευσοποιοῦ τινος, οὐδὲ ἀκοῦσαι ἀνεχόμεθα, ὡς οὕτως ἐκείνη πάσχει, μὴ ὅτι γε ἀπαλεῖψαι αὐτῆς, εἴ τι που εἰς αἶσχος ἀνάξιον κατακέχρωσται.

46. Τάχα γὰρ λογιζόμεθα οὐδὲν ἂν δούλων διαφέρειν ἡμεῖς, οὐδὲ μὴν παιδαρίων, ἐὰν ἐπιτασσώμεθα, καὶ ὑπείκειν ἐναγώμεθα. Τύχα δέ που ὑπὲρ τὸ δέον μεγαλοποιοῦντες ἡμᾶς αὐτούς, λέγομεν καὶ αὐτοί, ὡς οἱ τηλικοίδε, καὶ διδαξόμεθα δή. Παραφαίνεται δὲ τοῖς οὐ φρονοῦσιν ὀρθά, καὶ ὡς ἀφροσύνης ἔγκλημα ἐπικλᾶσθαι ἡμῖν, ὅτε δρῶντες, ἃ μὴ χρεών, μανθάνομεν οὐ καλὰ ποιεῖν, καὶ οὕτω διακείμενοι καὶ κωφεύοντες, ἐφ' οἷς δεόντως παραινούμεθα, καὶ ὑπεραχθόμενοι, ἐοίκαμεν οὐκ ἔχειν συνιδεῖν, ὅτι ἕκαστος ἄνθρωπος εἰς οὐδὲν ἀρετῆς ἔρχεται μόνος αὐτὸς καθ' ἑαυτόν, ἀλλὰ κατὰ τὴν ἐν πολλῷ μεγέθει λελόγισται στιγμιαίαν ἀμέρειαν. Καὶ δῆλον αὐτὸ τοῖς ἐπάγουσιν ἐν τῷ διὰ μερικῶν ἀρετῶν ἰέναι φιλοσοφώτερον, καὶ παροιμίαν μὲν προαγαγεῖν, ἧς ἀπόφανσις τό· εἷς ἀνὴρ οὐδέν τι φόβου ἔχει, ὡς μορμολύττεσθαι, ἀλλ' ἢ μόνον λαλεῖ τὸ ἀληθές. Ἐκεῖνο δὲ ὡς μάλιστα ἐκφοβεῖ τοὺς φρονοῦντας τό, οὐαὶ τῷ ἑνί· ὃν τίς ἐγγυήσεται; ὡς οὐ συντριβήσεται, εἴποιε καταπέσοι.

47. Ἔστι δὲ ἡμᾶς ἀκούσεσθαι παρὰ τῶν εἰδότων συνετίζειν τοὺς εὐπειθεῖς, καὶ ὡς ἡ φύσις αὐτὴ ἐκείνη διδάσκει καὶ παιδεύει τὸν ἄνθρωπον, τὸν ἥμερον, τὸν συναγελαστικόν, τὸν βιωτικόν, τὸν πολιτικόν, τὸν σπουδαῖον, τὸν θεοφιλῆ, πολλῶν, ὥςπερ πραγμάτων, οὕτω καὶ ἀνθρώπων θέσθαι || εἰς συγκρότησιν καὶ σύστασιν καὶ βίου ἐντέλειαν. (Ms. fol. 21. b.) Ἡ γὰρ οὐδὲν μόνον δίχα γε τῶν ἄλλων, ὑφαντοῦ μέν, ὡς ἐνδύσασθαι, σκυτοῤῥάφου δέ, ὡς ὑποδήσασθαι, καὶ ἄλλων δέ, πολλῶν δὲ ἐκείνων εἰς ἑτεροῖα τῷ σώματι χρήσιμα· εἰ δὲ σώματι, ὡς πλέον ψυχῇ, τῇ τὸ πᾶν ἐν ἡμῖν, καὶ οὗ ἄνευ οὐδεὶς ἄνθρωπος.

48. Εἰ δὲ τοῦτο καὶ ἔγνωσται καὶ πρὸς δόξαν εὐηρέστηται πᾶσιν ἀνθρώποις, τί δήποτε, ἀνθρώπου μὲν περιϊόντος τὴν ἀγορὰν καὶ διεγνωσμένου, ὡς ἀγαθός ἐστι περὶ τέχνην ὁποιανοῦν, καὶ ἐπιστρωννύμεθα καὶ προκαλούμεθα οἱ χρήζοντες πορίσασθαι ἀπ' αὐτοῦ τὸ ἐνδέον ἡμῖν, καὶ μὴ φανέντα δὲ ἀναζητοῦντες κατὰ σπουδὴν πολλὴν ἐξευρίσκομεν, καὶ προςφυΐσκόμενοι ἔχομεν φιλητῶς ἐκεῖθεν τὸ πεποθημένον, καταβαλλόμενοι ἔστιν οὗ καί τι ὑπέρτιμον, ἵνα τὴν δούλην σάρκα εἰς ὡραϊσμὸν τοῖς βλέπουσι παραστησώμεθα διὰ καλλωπισμοῦ τινος, οὗ τὰ πλείω οὐδὲ εἰς ὄψιν ἡμῖν ἔρχεσθαι δύναται; Τὴν δὲ δέσποιναν ψυχὴν ἀφιέντες ῥυποῦσθαι καὶ σκότον οὕτω περιδιδύσκεσθαι, ὡς ἂν ὁ ζοφερὸς δαίμων φιλοίη, οὔτε ζητοῦμεν, πῶς ἂν ἢ ἡμεῖς

αὐτοὶ ἐξωραΐσωμεν ὡς εἰς νύμφην θεοῦ, ἢ δι' ἑτέρου νυμφοστολήσωμεν ἐπιστήμονος, ἀλλὰ καὶ εἴ τις ἐπιφανείη ἐπαγγελλόμενος καὶ προκαλούμενος εἰς θεοειδῆ καὶ θεοφεγγῆ μόρφωσιν, εἴτ' οὖν μεταμόρφωσιν, οὐ προπηλακίζομεν, ἢ ὀστρακίζομεν, ἀλλὰ καὶ ξιφήρεις ἐπιτρέχοντες, ἀχρειοῦν, εἴπερ οἷόν τε ἦν, γλιχόμεθα; Καὶ ἅπασα μὲν τέχνη στέργεται παρ' ἡμῖν καὶ ἐγκρίνεται, καὶ οὐ διακρίνομεν οὐδεμίαν· ἡ δὲ κατὰ διδασκαλίαν ψυχῇ πρέπουσαν ἀποκρίνεται βαλλομένη μακρὰν ἐξ ἡμῶν, εἰς οὐχὶ κόρακας ἢ πέτρας ἀποκρήμνους, ὅθεν ἐπανασωθείη ἂν ἴσως χρόνῳ ποτέ, ἀλλὰ ἐς βυθὸν λήθης ἀφιεμένη βαπτίζεσθαι, ὡς μὴ ἔχειν ἔκφανσιν.

49. *Βουλὴ δὲ ἅπασα καὶ συμβουλὴ καὶ διδασκαλικὴ ἁρμονία, συνιστῶσα βίον ὀρθόν, καὶ νόμοις ἐπικουροῦσα καὶ συλλαμβανομένη, κανόσι κατήργηνται· ἀντιπράττεται δὲ πᾶν ἐπίβουλον καὶ ἡ σύναξις, οὐχί, πῶς ἂν τὸ κοινὸν σωθείη, ἀλλὰ πῶς ἂν ὁ δίκαιος μέν, δύσχρηστος δέ, καταπονηθείη δεσμῷ, καὶ ὁ διδάσκαλος μεταμάθοι, ἃ καὶ αὐτὸς καλῶς δεδίδακται, καὶ ἑτέρους ὁμοίως διδάσκειν προβέβληται, καὶ ὁ κατὰ θεῖον πνεῦμα πατὴρ οὐ πρὸς υἱὸν ἐκστραφείη (οὔπω γὰρ τοῦτο μέγα κακόν), ἀλλ' εἰς δοῦλον ἀχρεῖον ἐγγραφείη διὰ πονηροῦ πνεύματος, καὶ ὁ ἐπίσκοπος ἄσκοπόν τι πάθῃ καὶ ἀπαίσιον.*

50. *Οὐκ ἄρα ὑπακούομεν, οὐδὲ ὑποταγὴν τηροῦμεν πνευματικήν, οὐδὲ ὑπὸ πατράσιν ἐσμέν, οὓς τὸ ἅγιον πνεῦμα δίδωσιν, οὐδὲ χρῄζομεν τέχνης διδασκαλικῆς. Διὸ καὶ παροῦσαν μὲν ἐξωθοῦμεν, μὴ οὖσαν δὲ οὐ ποθοῦμεν· ὃ δὴ πάσχει ἅπασα τέχνη παρὰ ἀνθρώποις, οἳ μηδὲν αὐτῆς προσδέονται. Διὰ ταῦτα γοῦν ὁ τῆς φαύλης ταύτης ἀκολουθίας εἱρμὸς παῤῥησιάζει καὶ νῦν τὸν παλαιγενῆ θηριώδη βίον ἐκεῖνον ὑπούλως, καὶ ὡς οὐκ ἂν αἴσθοιτό τις μὴ κατακύπτων εἰς βάθος τοῦ νοεῖν.*

51. *Καὶ ὁ λόγος τοῦ πάθους τοιοῦτός τις· τὰς μὲν τέχνας, τὰς ὕστερον εὑρημένας μετὰ τὴν κατ' ἀνθρώπους ἐξημέρωσιν, στέργομεν ἀναγκαίως, οἷα μὴ ἐξὸν ὄν, ζῆν ἐκείνων δίχα· χρησταῖς δὲ συμβουλίαις καὶ εὐνόμως ἐννόμοις ὀκνοῦμεν πείθεσθαι, περιέργους αὐτάς, εἴτε καὶ παρέργους γνωματευόμενοι. Καί που ἐθέλομεν ὑπολαλεῖν καὶ αὐτοί, ὡς οὐδέν τι αὗται πρὸς τἄλφιτα· καὶ πνὶξ οὐ μερὶς ἀναστρόφως παροιμιαζόμενοι, καλὸν εἶναι τὰ ἀλλότρια γνωμολογοῦμεν, καὶ τὸν ξένον ἄρτον ἀποφαινόμεθα νόστιμον, καὶ τὸν ἁρπαγιμαῖον οἶνον γλυκύτατον, καὶ τὸ τῆς κλοπῆς ὕδωρ ἥδυτατον, καὶ τὴν ἐξ ἁρπαγῆς ἔνδυσιν φωτὸς ἀναβολήν, καὶ παράδεισον τὸν ἀλλότριον οἶκον. Καὶ οὕτως ἀνατρέχομεν εἰς τὸ ἀρχαῖον κακόν, ἀδικοῦντες, ἁρπάζοντες, λοιδοροῦντες, βλασφημοῦντες, συκοφαντοῦντες, καὶ ἐπὶ πᾶσι τούτοις καὶ διὰ ταῦτα πάντα ψυχῆς κερδαίνοντες ἀπώλειαν, ||* Mc. fol. 22. a. *ὡς οὔτε αὐτοὶ ξυνιέντες εἰς ἐπιστροφήν, μηδὲ τοῖς ἀδελφικῶς ἐν θεοφιλείᾳ ἐπιστρέφουσιν ἡμᾶς ἑπόμενοι, ὡς ἐντεῦθεν λείπεσθαι ἡμῶν ἑκάστῳ, ἀφιέναι καὶ τὰ τέκνα καὶ ἅπαν τὸ φίλτατον βόσκεσθαι ἀποίμαντον καὶ ἀνεξέταστον. Καὶ οὐκ ἀνακρίνομεν λογοπραγοῦντες ἡμᾶς αὐτούς, διατί κατὰ οἴκους μὲν ποιμαίνειν δῆθεν ἐθέλομεν ἀνθρωπικῶς τὸ συγγενές, τὸ δοῦλον, τὸ θετόν, καὶ πᾶς, ὅστις οὖν, διδάσκαλος καὶ νομοθέτης τῶν ἑαυτοῦ αὐτοχειροτόνητος, καθὰ ἐχρῆν, καθέστηκεν εἰς καὶ ὠφέλειαν σώματος καὶ ψυχῆς ἀνάπαυσιν· ὁ δὲ ἐκ θεοῦ, καὶ κατὰ θεόν, καὶ θεοπαράδοτος καθηγητής, ὡς οὐκ ἄν τις ἔχοι ἀντειπεῖν, ἀποχειροτονεῖται, ὡς οἷον καθαιρεθείς, καὶ οὕτως ἀφαιρεθεὶς τὴν θεοπρόβλητον ἐνέργειαν; ἱνατί δὲ πᾶς μὲν οἶκος φυλάττει τὴν ἐνδεχομένην διαδοχήν, ἀλύσει δουμένην θεσμῷ φύσεως εἰς ἀδιάῤῥηκτον, ὁ δὲ ἀποστολικὸς καὶ θεϊκὸς ἐξαργήσει, οὗ μᾶλλον ἔδει τὴν σειράν, οὐρανόθεν καθήκουσαν εἰς τὸν καθ' ἡμᾶς κόσμον, μένειν ἀδιάσπαστον, καὶ συντηρεῖν τὸ θεόθεν καλὸν συνεχὲς καὶ ἄλυτον;*

52. *Οὐ καλὰ δὴ ταῦτα, οὐδ' ὅσα τοιαῦτα, ὦ ἀδελφοί, οὐδὲ θεάρεστα, διαβολικῆς δὲ μεθόδου τύρβαι προφανῶς. Τί γὰρ ἔδει αὐτὰ γίνεσθαι, εἰ μὴ πρόθεσις ἦν φιλόνεικος τῷ ἀρχεκάκῳ δαίμονι, ἀλλάξαι τὸν ἀγαθὸν σαββατισμόν, τὸν ψυχικόν, τὸν ἐκ θεοῦ, τὸν ἐπὶ ἀργίᾳ πάσης κακώσεως, καὶ μεταποιῆσαι κακῶς τὸ τὰ ἀρχαῖα μὲν παρελθεῖν, καινὰ δὲ πάντα γενέσθαι κατὰ θεόν, εἰς τὸ λέγειν ἀνάπαλιν, ὡς παρῆλθε μὲν τὰ καινὰ καὶ θεῖα, τὰ δὲ ἀρχαῖα φαῦλα λεληθότως ἀντιπαρελθόντα εἰς μέσον καταχορεύει τῆς ἐν ἡμῖν ὁμηγύρεως;*

53. *Καὶ οἶδα μὲν (μὴ γὰρ οὕτως ἢ μανείην, ἢ λαθοίμην τοῦ δέοντος), ὅτι οὐ κοιμήσεται ὁ θεὸς εἰς τέλος, ἀλλὰ δυνατὸς καὶ κραιπαλικὸς ὡς ἐξ οἴνου ἀναστήσεται, καὶ ἐγκαταστήσει τὰ ἑαυτοῦ τοῖς αὐτοῦ, τῷ διδασκάλῳ τὸ διδάσκειν, τῷ πατρὶ τὸ ὑπηκόους ἔχειν τοὺς υἱούς, τῷ ποιμαίνοντι τὸ ἄγειν καὶ ἐπανάγειν τὰ ποίμνια, ὡς χρεών· καὶ παντί, ὡς ἁπλῶς εἰπεῖν, ὑπερέχοντι καὶ ὑπερεχομένῳ ἐπανασώσεται τὸ πνευματικῶς καθῆκον, καὶ τὸ οἰκεῖον καὶ προσῆκον κανονικῶς.*

54. *Καὶ οἶδα μὲν τοῦθ' οὕτως ἐσόμενον· ἤθελον δὲ ἄλλως αὐτίκα τοῦτο βλέπειν καὶ χαίρειν, καὶ μὴ δυσελπιστεῖν καὶ ἀγωνιᾷν καὶ εὐλαβεῖσθαι παρὰ τοῖς εἰσέπειτα, καὶ συνοχλεῖν τὸν κύριον, ἀναστῆναι καὶ*

ὑψῶσαι χεῖρα ὑψηλὴν εἰς ἐμβριθῆ ἐκδίκησιν, μηδὲ ἀποκεῖσθαι συγγραφεῖν, ὡς ἄρα καιρὸς ἦλθε, καὶ εὐφόρησε ζιζανίων καὶ ἀκανθῶν τὸ τοῦ θεοῦ παρ' ἡμῖν καὶ πλήρωμα καὶ κλήρωμα, καὶ ὡς ἐθλίβησαν ἐντεῦθεν ἱκανοί, καθὰ οὐκ ἐχρῆν, καὶ ὅσους οὐκ ἔδει, καὶ ὡς οὐκ ἔπρεπε, καὶ νυγέντες οἱ παθόντες ἐκεντρίσθησαν εἰς ὀδύνην. Ὀψὲ δέ ποτε μετὰ τοσάπληγον, εἴθε δὲ μὴ δεκάπληγον, εἰς εὔχρηστον ἡ γῆ ἐκείνη εὐφορίαν ἀποκατέστη. Ἐς τοσοῦτον δέ μοι τὰ τῆς τοιαύτης ἐφέσεως ἐντέτηκε, καὶ ὁ τοῦ θεοῦ ζῆλος ὑπεκκαίει με, ὥστε δι' εὐχῆς εἶναί μοι, αὐτομάτως ἀπὸ τῆς σήμερον καὶ τὰ ζιζάνια εἰς καθαρὸν σῖτον ἀναθηλῆσαι μεταμειφθέντα, ὡς μὴ ἂν τῷ δαίμονι σινιασθῆναι ποτὲ τοῦ λοιποῦ, καὶ τὰς ἀκάνθας δὲ ἀναβῆναι θεοφιλῶς, τὰς μὲν παρυψωθείσας εἰς κέδρους καὶ κυπαρίσσους καὶ πεύκας, ὧν ὁ τοῦ θεοῦ οἶκος ἐφίεται, τὰς δὲ ἀναδραμούσας εἰς ἑτεροῖα δένδρα εὐαυξῆ, καρποφοροῦντα τροφήν, ἣν ἀγαπᾷ ὁ θεός.

Ms. fol. 22. b. 55. Εἰ δὲ ταῦτα λέγων, καὶ γοῦν, || ὦ ἀδελφοί, καὶ παραδεικνὺς φιλικὰ τραύματα, βαρὺς δοκῶ τοῖς ἴσως αἰσχυνομένοις, καθὰ καὶ εἴ τις μὴ ὢν ὡραῖος, ἐθέλων δὲ τοιοῦτος δοκεῖν, κατατίνεται τοῦ ἀναδιδάσκοντος ἐκεῖνον, ὡς ψεύδεται τὴν εὐμορφίαν, ἣν ἑαυτῷ ἐπιγράφει — ἀλλ' ἐγὼ πληροφορῶ καὶ ἄρτι τοὺς ἀκούοντας, ὅτι κολακεύειν ὀκνῶ, καὶ οὐκ ἔχω εὖ λέγειν ἅπαντα εἰς ἀδιάκριτον, καὶ οὕτω φανερῶς ψεύδεσθαι. Εἷς γὰρ καὶ μόνος εὐλογητὸς πάντη καὶ πάντως καὶ πάντοτε ὁ θεός, ὃς οὐκ οἶδε ἁμαρτίαν ποιεῖν, ὁ δικαιότατος, ὁ πανάγαθος, ὁ ἁγιώτατος, ἐν ᾧ οὐκ ἔστιν ἀδικία, οὗ πᾶς δόλος καὶ κακὸν ἅπαν ἐξώρισται· ἄνθρωπος δέ, ὁποῖος ἂν ἐκεῖνος καὶ εἴη καὶ ὁπόσος τὸν τῆς ζωῆς χρόνον, μάτην καὶ ἐθέλει καὶ οἴεται καὶ πραγματεύεται, ἁπλῶς οὕτως εὐλογητὸς εἶναι διόλου. Πολλὰ γὰρ ἐνεργῶν κατὰ κόσμον, οὐκ ἂν ἐξανύσῃ, διὰ πάντων ἔρχεσθαι ἀλογοπράγητος καὶ ἀμώμητος ἐν ὁδῷ· διόπερ, ἐφ' οἷς μὲν εὐστοχεῖ καὶ ὀρθῶς βάλλει κατὰ σκοπού, εὐλογεῖται πάντως.

56. Καὶ ἔστι τοῦτο ἀλειπτικὸς νόμος, δι' οὗ καὶ οἱ ἀθλεύοντες καὶ οἱ ἀριστεύοντες προσαύξονται εἰς κραταίωσιν, οἱ μὲν ἐπαίνοις καὶ εὐλογίαις καὶ ἐγκωμίοις, οἱ δὲ καὶ δώροις ὑπαλειφόμενοι. Καὶ μὴν ἔστιν ὅτε οὐδὲ ὁ ἀγαθουργῶν εὐλογεῖται παρά γε τοῖς οἰκονομοῦσι τὰ ψυχικά. Οἱ δὲ δεδιότες, μὴ τοῖς μαθητευομένοις καὶ ἀλειφομένοις εἰς ἀρετὴν ἡ εὐλογία καὶ χρηστολογία εἰς τῦφον ἀποτελευτήσῃ καὶ δόξαν κενήν, δυσφημοῦσι τοὺς ἀγαθοὺς μύστας, οἷς καὶ γίνονται οἱ τοιοῦτοι διδασκαλικοὶ ὀνειδισμοὶ ἐρεθισμοὶ πρὸς τὰ κρείττονα, καὶ ὡς οἷα μάστιγες εἰς ἐργασίαν ἀγαθὴν ἐπισπέρχουσαι.

57. Ἀλλ' οὕτω μὲν εὐλογεῖταί τις ἐν καιρῷ ἀγαθοπραγῶν. Ὅτε δέ που ἢ ὑπερβαλών, ὡς διεκδραμεῖν τὸν σκοπόν, ἢ ἐλλείψας ἁμάρτοι, τότε δὴ εὐλογητὸς μὲν οὐκ ἂν ἔσται πρὸς αὐτὴν ἀλήθειαν, ἀκούσει δέ ποθεν λαλιάς, εἰ καὶ μὴ πάνυ τι πικρὰς καὶ ὡς οἷον ἀψινθιώδεις, ἀλλὰ γοῦν ἐπιεικῶς κεκραμένας μέλιτι διακρίσεως, ὅτε δηλαδὴ τὸ πρόσκομμα οὐ συντριβὴν ἀπειλεῖ τῷ καταπεσόντι, ὡς εἰς θάνατον, σκελισμῷ δαίμονος· ὡς, εἴ γε οὐ μέτρια, ὡς οὕτως εἰπεῖν, κακοπραγήσει, ἀλλὰ κατάκρας, καὶ φανεῖται ἀπαραμύθητος ἡ ὑπερβασία, τηνικαῦτα καὶ σκώψεται ὁ ἐπταικώς, καὶ ἐπιτιμήσεται, καὶ θεραπείαν τραύματος διὰ παραινέσεως ὁποῖα καὶ πικρᾶς τινος ῥίζης δεξάμενος ἱλαρῶς προσήσεται, εἴπερ φρονεῖ ἐντελῶς. Μὴ φρονῶν γὰρ οὕτως, ἀλλὰ ἐκφήνας δυσανασχετεῖν καὶ ἀποδυσπετεῖν πρὸς τὴν κατὰ πνεῦμα ἰατρείαν, κακῶς τε ἀκούσεται ἀπεναντίας τοῖς εὐλογητοῖς ἀνθρώποις, καὶ μετὰ πολλὰ τὰ ἐν μέσῳ, καὶ οὐδὲ αὐτῷ φίλα, σκορακισθήσεται, ὡς ὁ τοῦ θεοῦ νόμος καὶ ὁ ἐκεῖθεν θεραπευτικὸς κανὼν παραδίδωσι.

58. Καὶ ὁ μὲν θλίψας τὸν οὕτως ἀθεράπευτον οὐκ ἂν ἴσως ἀποδεκτέος ἔσται οὐδενὶ τῶν τὰ ἐκείνου ζηλούντων· Ὁ δὲ θεὸς καὶ οἱ τοῦ θεοῦ ἀποδείξονται τὸν ἀκριβῶς ἰατρεύοντα, κἂν οἱ τῶν ἀνθρώπων υἱοί, βαρυκάρδιοι ὄντες καὶ ἀγαπῶντες ματαιότητας καὶ ψεῦδος, εὐλογεῖσθαι τὸν ὅμοιον βούλωνται, καὶ οὐκ ἀνέχωνται ψόγον πάσχειν. Ἀλλ' ὁ ἀρχιητρὸς θεὸς ἀνθέξεται τοῦ ποιοῦντος τὸ ἀγαθόν, καὶ ἐκδικήσει ἐκεῖνον βλαπτόμενον. Μηδεὶς γὰρ οἰέσθω, ἀποῤῥαθυμεῖν ἐν τοῖς τοιούτοις τὸν ὕψιστον κύριον· ἀλλὰ πεπληροφορήσθω, παντὸς κακοῦ καὶ ἀνδρὸς καὶ πράγματος αὐτὸν κατεξανίστασθαι, ὀψὲ μὲν διὰ τὸ μακρόθυμον αὐτοῦ καὶ φιλάνθρωπον, αὐστηρῶς δέ γε, καί, κατὰ τὸν μέγαν Δαυῒδ εἰπεῖν, ἕως σφόδρα, ὁπηνίκα καὶ τοῦτο διακρινεῖ.

59. Καὶ ἐνθυμητέον ἐνταῦθα, ὦ ἀδελφοί, ὅτι καθὰ διδάσκαλος μέγας, προσφυέστερον δὲ φάναι, διδασκάλων διδάσκαλος, || καὶ φιλοσοφίας δὲ ἁπάσης, (Ms. fol. 23 a.) καὶ αὐτῆς τῆς ἀνυποθέτου προϊστάμενος (καλῶς δὲ εἰπεῖν ἔχει τις, καὶ προκαθήμενος), οὐκ ἂν ἐθέλοι αὐτὸς δι' ἑαυτοῦ καὶ μόνου μυσταγωγεῖν. Ἀλλὰ σοφίσας πολυειδῶς ἑτέρους, εἰς ὅσον ἐγχωρεῖ, προβάλλεται διδάσκειν τοὺς ὑποδεεστέρους ἐν φοιτηταῖς. Αὐτὸς μέντοι παρὼν ἐφ' ἅπασι δόγμασι, καὶ διαρθρῶν, εἴ τί που δυσφραδῶς ἔχει, καὶ δὲ καὶ ἐπιδιορθούμενος, ὅποι δεήσειε, τὰ διδασκάλεια, ἐπικοσμεῖ τὰ σεμνά,

καὶ τὸ καλὸν ποιεῖ καὶ πλεῖον καὶ κάλλιον. Οὕτω καὶ ὁ τῆς σοφίας χορηγὸς θεός, πληθύνων καὶ ἐπὶ γῆς πολυτρόπως διὰ ἐνσωμάτων θεραπόντων αὐτοῦ τὸ οἰκεῖον ἀγαθόν, ἅμα ἔπλασεν ἄνθρωπον, καὶ σοφίαν ἐκείνῳ ἐνέθετο, πηγήν τινα ταύτην γλυκεῖαν ὡς ἐκ πελάγους τοῦ κατ' ἐκεῖνον, λιβάδιον γλυκὺ ἐξ ἀβύσσου γλυκύτητος, ἀπόῤῥοιαν ἐπιστήμης ἁγίας τε καὶ ἀῤῥήτου τῆς ἐν ἐκείνῳ, ἧς μέρος καὶ τὸ προγνωστικόν.

60. Προεφήτευσε γοῦν, καθὰ μαθόντες ἐσχήκαμεν, ὁ πρῶτος ἄνθρωπος, αὐτίκα θεόθεν ἐμπνεόμενος. Καὶ τὸ ἐκεῖθεν ἀρξάμενος, οὐκ ἀνῆκεν ὁ πάνσοφος κύριος, τοὺς ἐπιγόνους ὡς καὶ νῦν σοφίζων, ἀλλ' ἐπιπέμπειν τῷ κόσμῳ φιλοτιμεῖται θεότητι παρωνυμουμένους ἄνδρας. Θεῖοι γὰρ καὶ ἔνθεοι ἐκεῖνοι πάντως καὶ πάντες, ὁπόσοι ἐκ θεοῦ αὐτοὶ ζωούμενοι καὶ ἐλλαμπόμενοι, καὶ οὕτω φωτὸς καὶ ζωῆς λόγον ἐν κόσμῳ ἐπέχοντες, ζωογονοῦσι τοὺς ἐν θεῷ φιλοζώους, καὶ περιλάμπουσι τοὺς μήτε ἀμβλυωποῦντας τὰ ἐς ἀρετήν, καὶ μηδὲ ὀκνοῦντας ἐγρηγορέναι εἰς ἐργασίαν θεάρεστον. Καὶ ἐμπνέων τοῖς τοιούτοις ἀνθρώποις ἐκεῖνος τὰ διδασκαλικά, καὶ μεθοδεύων τὴν πνευματικὴν σοφιστείαν, συνεπιτρέχει καὶ ἐφορᾷ τοὺς δι' αὐτὸν σχολαστάς· καὶ προσεπιβάλλων τοῖς μυσταγωγοῦσιν ἀναλόγως χάριν ἐπιστημονικήν, συνεπιλαμβάνεται αὐτοῖς τοῦ ἔργου, καὶ συγγράφει, καὶ συνεπιμερίζει τὰ εἰς καταρτισμόν, καὶ συλλαλεῖ διερμηνεύων ἐξ ἁπάσης γραφῆς, καθὰ τὰ ὑπὲρ ἑαυτοῦ, ὁμοίως καὶ τὰ ἐξ αὐτοῦ, ἀκολούθως δὲ καὶ συνεποτρύνει ἐπιμελῶς, καὶ συνδιδάσκει καὶ συνωφελεῖ. Καὶ οὕτω διὰ τῶν ὑπ' αὐτοῦ προβαλλομένων εἰς διδασκαλίαν, ἐν τῷ καὶ αὐτὸν ἄνωθεν ἀοράτῳ παρεῖναι (τοῦ θεοῦ γὰρ ἅπας ὁ κόσμος γέμει), βελτίονες οἱ εὐφυεῖς τὰ εἰς ἀρετὴν γίνονται.

61. Τί δὲ λέγω οἱ εὐφυεῖς; ὅπου γε καὶ ἐκ λίθων, οὓς ἀναλέγονται οἱ ἁγίως μεταλλεύοντες, ἀνίστανται σπέρματα θεῖα, εἴτ' οὖν θεοῦ ἄνθρωποι. Τὸ δὲ καλὸν ἐκεῖνο καθήκει καὶ εἰς ἡμᾶς αὐτούς, τοὺς τῆς νῦν ἡμέρας. Τὸ γὰρ τοῦ ἐνθέου λόγου ῥεῦμα, τὸ διδασκαλικόν, πλημμῦρον θεόθεν ὡς εἰς κόλπους τινάς, τὰς τῶν ὀρθῶν διδασκάλων ψυχάς, καὶ αὖθις ἐκεῖθεν προῤῥέον καὶ εἰς ἡμᾶς, καὶ ὡς παραδείσους θεοῦ ἀρδεύει ἐπὶ παντοίᾳ καρποφορίᾳ, δι' ἧς ψυχαὶ τρέφονται, καὶ ὡς αὔλακας μεθύσκει ἐπὶ βλάστῃ ψυχοτρόφῳ, καὶ ὡς ἀνθρώπους δὲ ῥυπουμένους ἰλύϊ βιωτικῇ ἀπολούει ἐς καθαρότητα. Καὶ οὐκ ἔστιν ἄλλως τὰ ἐν ἡμῖν σωτήρια καταπράττεσθαι, ἢ τοῦτον καὶ μόνον τὸν τρόπον, κἂν εἰ καὶ πολλὰ κάμοι τις διερευνώμενος μυρίαν ἑτεροίαν μέθοδον.

62. Οἱ τοίνυν καλὸν τοῦτο ἓν καὶ μόνον αὐτὸ ἐν ὅλῳ τῷ κόσμῳ ἀποπροσποιούμενοι πληροφορείσθωσαν, ὅτι τε ἐν σκότῳ ψηλαφητῷ τυφλοὶ πλανῶνται, τὸ διδασκαλικὸν φῶς οὔτε φέροντες πρὸ χειρῶν, ὡς ἐν τῇ κατὰ βίον ὁδηγεῖσθαι νυκτί, οὔτε ἄλλοθεν χορηγούμενοι, καὶ ὅτι ἀντὶ φωτὸς τοιούτου ἱλαροῦ φλὸξ τῆς αὐτῶν καταῤῥαγήσεται κεφαλῆς, καὶ ἀντὶ ἀναψύχοντος ὕδατος, ἄνωθεν μὲν ἐπομβρουμένου, κάτωθεν δὲ ἁλλομένου εἰς αἰώνιον ζωήν, ὕδασι κατακλυσθήσονται πονηροῖς, οὐ μόνον ἄλλως πικροῖς, ἀλλὰ καὶ ἀτεκνουμένοις, εἴτ' οὖν ἀτεκνοῦσιν ἐπὶ ζημίαν, εἴ τι χρὴ οὕτω φράσαι, τοῦ κοινοῦ πάντων πατρὸς ἀφαιρουμένου πολλὴν || πληθὺν τέκνων, ἣν παρέσυρε κατάῤῥους δαι- Ms. fol. 23. b.
μόνιος.

63. Ὁμολογουμένου γὰρ τοῖς ἐν τῷ κόσμῳ ἅπασιν ἀνθρώποις, κακὸν εἶναι ὀλεθρευτικὸν τὸ αὐτεξουσίως καὶ ἀδεσπότως ἄναρχον (τοιοῦτον δὲ τὸ αὐτόνομον καὶ ἰδιόῤῥυθμον καὶ πεισματικόν, εἴτε πεισμονικόν), ὑπὸ τοιαύτην κεῖνται φαυλότητα καὶ κακίαν ἀναρχίας καὶ λαοί, ὅσοι μὴ ἔχουσι καθηγητάς, ὧν ὑπερανέχει ὁ μέγιστος ἡγούμενος, ὁ θεός· καὶ περιάγει τοὺς τοιούτους λαοὺς ὁ κόσμος οἷα καί τινα ζῷα, οἷς οὐκ ἐπίκεινται κεφαλαί. Διὸ καλὸν μέν, καὶ ἀκεφάλους καὶ ἀναύχενας τοὺς τοιούτους, κατά τινα παλαιὰν λογοποιΐαν, ἀποσκῶψαι, κάλλιον δὲ καί, ὡς εἰς φύσιν ἀδιαρθρώτων σκωλήκων ἀποτάξαι αὐτούς, ὄντας μέν, ὁποῖοι τὰ ἐς βίον ἐκφαίνονται, δοκοῦντας δὲ ὑπερανέχειν ἀνθρώπου παντός, ἐγγίζοντος τῷ θεῷ, καὶ συμπείθοντας ἀλλήλους εἰς τὸ οὕτω φρονεῖν, καὶ πεῖσμα φυλάττοντας, ἐφ' οἷς οὐκ ἐχρῆν. Περὶ οὗ πείσματος πολλὰ καὶ πολλάκις εἰπὼν ἐθέλω κἀνταῦθα μετρίως ἐπισημήνασθαί τι πρὸς ἀνάμνησιν.

64. Τὸ πεῖσμα καὶ ἡ πεισμονή, τὸ καὶ εὔκαιρον ἐν καιρῷ χρῆμα, καὶ ἄλλως δὲ φευκτέον, ὡς οἴδαμεν, ἐξώρμηνται ὡς ἐπιπολὺ ὅσα καὶ ῥίζης τινὸς ἢ πηγῆς, ἁπλῶς δὲ εἰπεῖν, ἀρχῆς ἀμφότερα τῆς ὑποταγῆς. Διττῆς δὲ οὔσης αὐτῆς (ἡ μὲν γὰρ ἀγαθὴ διεκφαίνεται, καθ' ἣν δηλαδὴ θεοφιλέσιν ἀνθρώποις ἐπὶ πράγμασι πάντως ὠφελίμοις ὑποτασσόμεθα· ἡ δὲ οὐ τοιαύτη, θεωρουμένη αὐτή, ὅτε φορτικοῖς ἀνθρώποις ὑπείκομεν, οὐκ εὐπαιδεύτως τυπούμενοι πρὸς τοιοῦτον φαῦλον παράδειγμα), διπλῆν εἶναι ἀνάγκη καὶ τὴν ἐξ ἀμφοῖν πειθώ.

65. Πεπεισμένοι μὲν γὰρ ἀγαθοῖς διδασκάλοις, ἀγαθὸν πεῖσμα πάσχομεν· μὴ τοιούτοις δὲ ὑπείκοντες, πείσματι ἀζήλῳ τῷ ἐκεῖθεν, ὅποι μὴ πρέπει ἀνθρώποις, ἐκνεύομεν. Οὐκοῦν ὑποταγῆς προηγουμένης ἐπὶ ὑστεροῦντι πείσματι, καὶ δευτερεύοντος πάντως

τά γε εἰς ὑποταγὴν τοῦ ὑπακούοντος, ὃς μὲν θεῷ προςανέχων πείθεται διδασκάλῳ ἐνθέῳ, καὶ τὰς ἐκεῖθεν εἰςδεχόμενος ὑποθήκας ποιεῖ τὰ καθήκοντα, θεοῦ ἄνθρωπος ἐκεῖνος, καὶ σταθερὸς αὐτὸς ἐν ἀρετῇ, καὶ βέβαιος ἐν καλοῖς, καὶ ἀσφαλὴς τὴν ἀγαθότητα, καὶ ἀστεμφής, ὡς καὶ ἐπαινεῖσθαι, καὶ στύλος ὀρθότητος ἀστραβής, καὶ θεμέλιος ἀῤῥαγής, εἰ καί ποτε κατασείεται, καὶ παραδείσου δένδρον εὔριζον, καὶ οἷον μὴ διατινάσσεσθαι ὡς εἰς πτῶσιν δαιμονίοις πνεύμασι, καὶ θεοῦ οἶκος ἀκατάλυτος. Καὶ τὸ πεῖσμα τὸ κατὰ τοιοῦτον ἄνθρωπον οὐχ ἁπλῶς ἐν ἐπαίνῳ κείμενον θαυμάζεται, ἀλλὰ καὶ θεῷ φίλον καὶ ἅγιον γνωματεύεται.

66. Εἰ δέ τις ὑπὸ διδασκάλῳ μὴ οὕτω προηγουμένῳ εἰς εὐθὺ τάσσεται, ἀλλὰ κύκλῳ περιπατοῦντι, καὶ τὴν εὐθύτητα στρεβλοῦντι, ὃς οὐκ ἂν εἴη ἄμωμος ἐν ὁδῷ κυριακῇ, κἀντεῦθεν ἀπ' ἐναντίας τῷ πρωτίστῳ καὶ ἐπὶ θρόνου δόξης ὑπερτάτου καθημένῳ φερόμενος, τῆς διεστραμμένης πειθοῦς γίνεται· καὶ λαχὼν ἐκεῖθεν ἀρχὰς οὐ θεοφιλείας, οὐδὲ φρονήσεως, τὸ πᾶν δὲ συνῃρημένως φάναι, οὐκ ἐναρέτως πρὸς ἀλήθειαν, καὶ πείσας ἑαυτόν, εἰς τέλος οὐκ ἀγαθὸν ἐνίσταται, καὶ ἀγωνιῶν ἀντιβαίνει, κοινότερον δὲ φράσαι, πρὸς ἰδιωτείαν δι' εὐμάθειαν, τὴν ἐν τοῖς πολλοῖς, πεισματίζει, ὡς καὶ κατὰ κράτος νικᾶν, καὶ συνιστᾶν ὃ βούλεται· οὐκ ἔστιν, οὐδ' ἂν εἰπεῖν τολμήσῃ τις ὀρθὰ φρονῶν καὶ λόγου μέτοχος, ἐναρέτως διακεῖσθαι τὸν οὕτω πεισμονικόν. Οὐ γὰρ δέδοται, || M fol. 24. a. φαύλης ἀρχῆς ἀγαθὸν εἶναι συμπέρασμα.

67. Εἰ δὲ καί τις ἐν διαλόγῳ τὰ ψευδῆ προτείνων παρασυνάγειν ἀλήθειαν φαίνεται, ἀλλὰ τὸ ἐφαμάρτως προηγούμενον οὐκ οἶδα πῶς ἂν ἔχοι ἀποβαίνειν σωτήριον. Δῆλον δέ, ὡς εἰς ταυτὸν ἥκει κακοῦ, φαύλῃ τε ἀρχῇ πεισθῆναι, καὶ κατ' ἐκείνην στρεβλωθῆναι εἰς τὰ ἑξῆς λόγῳ ὑποταγῆς, καὶ οἴκοθεν παρεκνεῦσαι τῆς ὀρθῆς, ὅπου οἱ ἀλιτήριοι καὶ κατὰ τῆς ἀρετῆς αἱρετίζοντες, οἳ καὶ αὐτοὶ δαιμονίαις προθέσεσι καθυπείκοντες πείθονται εἰς κακόν. Ὅτι δὲ εἰς γαλήνην σωτήριον καθορμίζει τοὺς ἐν βίῳ σαλεύοντας τὸ θεοφιλὲς πεῖσμα τοὺς αὐτὸ ἔχοντας, καὶ ἡ πρώτη λεκτικὴ θέσις αὐτοῦ δείκνυσι· πείσματα γὰρ εἰθίσμεθα λέγειν σπάρτα ναυτικά, οἷς δηλαδὴ ναῦς ἐλλιμενισθεῖσα πείθεται, μὴ ἀφιεμένη διασαλεύεσθαι, καὶ εἰς κίνδυνον κλύζεσθαι· ὅτε καὶ μένει ἐκεῖνο τὸ σκάφος ἤρεμον ἐπὶ σωτηρίᾳ ἑαυτοῦ τε καὶ τῶν ἐμπλέειν λαχόντων. Ἐνταῦθα δὴ πεποιθότως πυνθάνομαι, πότε φιλοκινδύνως αὐθαδειάζεται ναῦς τοιαύτη, καὶ ἀποῤῥῆξαι τοῦ λιμένος ἑαυτὴν φιλονεικεῖ, πότε δὲ τὸ ἀπόγαιον ἐκεῖνο πεῖσμα μεταπείθεται ἁπλῶς οὕτω ῥαγῆναι, καὶ τὸ πεπιστευμένον αὐτῷ πλοῖον ἀφεῖναι βάψαι εἰς κίνδυνον, ἢ ἀνέμοις ἐξώσταις ἐκδοῦναι παράφορον, εἰ μὴ ἄρα ἢ κατασέσηπε τὸ σχοινίον ἐκεῖνο, ἢ ἄλλως εὐανάλυτον κέκλωσται.

68. Οὐκοῦν ἐν ἀνθρώποις πεῖσμα τὸ μέν τι ἀγαθὸν ἀληθῶς, καὶ δι' αὐτὸ ζηλωτὸν ἁγίοις μάρτυσι, καὶ ἀνδράσιν ὁσίοις ἀγαπητόν, καὶ ὅλως ἅπασι τοῖς ὑποτεταγμένοις τῷ θεῷ φιλητόν, δι' οὗ ἀρετὴ πρόπασα καὶ τέχνη καὶ ἐπιστήμη καὶ σύστασις πολιτείας ὀρθῆς· καὶ διδοίη ὁ θεὸς αὐτὸ Χριστιανοῖς ἅπασι, καὶ παραφυλάττοιτο τὸ τοιοῦτον καλὸν ἐν αὐτοῖς, ὥστε παραμένειν καὶ παρακατέχεσθαι καὶ ἐνεργεῖσθαι εἰς καίριον, ὡς ἐντεῦθεν ἀνδριάντας ἱεροὺς καὶ στήλας ἁγίας καὶ ναοὺς οἷον θεοῦ ἀνιστᾶν τοὺς αὐτοῦ θεράποντας ἐπὶ κοινῷ συμφέροντι. Καὶ τοιοῦτον μὲν ἐκεῖνο πεῖσμα, τὸ κατὰ θεόν, οὗ χωρὶς οὐκ ἔστι σώζεσθαι, οὗ μὴ παρὰ τοῖς ἀνθρώποις ὄντος, τί δήποτε πεφύτευται παράδεισος, ἀοίκητος ἐσόμενος; Λοιπὸν δὲ ἕτερον πεῖσμα, τὸ ἀδιάκριτον, τὸ ἀλόγιστον, τὸ ξύλινον, τὸ ἐκ πετρῶν, τὸ θηριῶδες, τὸ θυμῶδες, τὸ ἀναπολόγητον, τὸ ὀνειδοποίητον, τὸ ἀγριοποιόν, τὸ ἀπάνθρωπον, τὸ μάχιμον, τὸ λῃστρικόν, τὸ δαιμόνιον, τὸ μηδὲν ὑγιές, ὅπερ ἀπαγάγοι ὁ τῆς εἰρήνης κύριος καὶ ἡμῶν καὶ παντὸς ἀνθρώπου, ἑτεροίου τε καὶ μάλιστα Χριστιανοῦ.

69. Εἴης ἐπακούων ἡμῶν, σῶτερ θεός, ὁ πρώτιστος ἐνηγούμενος, ὁ μέγιστος ἐν οἰκονόμοις, ὁ οἰκουμενικὸς διδάσκαλος, ὁ ἐπὶ τῶν ἱερῶν καταστάσεων, ὁ τῶν ἀρχόντων ἄρχων, ὁ τῶν κυρίων κύριος, ὁ ὕπατος ἐν τοῖς ὑποτάσσουσιν, ὁ κατελθὼν οὐρανόθεν δι' ἡμᾶς ἐφ' ἡμᾶς, ἵνα καὶ σωματικῶς ὑποδείξῃς τὴν ἡγεμονείαν σου τοῖς ἀγνοοῦσι, καὶ ἐπιτάξας, καὶ ὑποτάξας, καὶ δοὺς ἀρχὰς ἐπὶ σωτηρίᾳ διδασκαλικῶς, καὶ ὑπακουσθείς, καὶ πείσας, καὶ τὰ ποιητέα ἐγκελευσάμενος, ἀποτελέσῃς μαθητὰς ὀψιμαθεῖς τοῦ καλοῦ, || Ms. fol. 24. b. καὶ ἔτι μᾶλλον τοὺς ἐγγυτάτω λειτουργοῦντάς σοι, οἳ κατὰ τὸν ἁγίως ψάλλοντα πορεύεσθαι ἄμωμοι ἐν ὁδῷ τῇ κατὰ σὲ ἀπαιτούμεθα. Πορευόμενος γάρ, φησιν, ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει, οὐ μὴν παροιστρῶν καὶ κατὰ φάραγγος ἀπωλείας τρέχων ἀκάθεκτος. Εὐξάμην δὲ οὕτως, ὦ φιλάνθρωπε κύριε, δι' αὐτὸ δὴ τοῦτο καὶ μόνον, ὅτι πᾶν ἀγαθὸν ἄνωθεν ἡμῖν διὰ σοῦ ἐπιγίνεται, οὐ μὴν διότι πάνυ δυςχερὲς καὶ ἀδυνάτου ἐγγύς, ἀποῤῥῆξαι τὸ φαῦλον πεῖσμα καὶ διαλῦσαι καὶ ἀναλῦσαι ὡς εἰς τὸ μηδέν. Ἅμα γὰρ ἐβουλήθημεν οἱ τῆς σῆς ὑποταγῆς, καὶ ἠνύσαμεν, ἅμα ἐνενοησάμεθα, καὶ ἀπετελέσαμεν· ἵνα δὲ μεγαλείως φράσωμεν, ἅμα ὡπλίσθημεν κατὰ

κακοῦ τοιοῦδε οἱ τὴν ἐν ἡμῖν μέριμναν ἐπὶ σὲ μόνον ἐπιῤῥίπτοντες, καὶ νενικήκαμεν.

70. *Καὶ ἡ μέθοδος τῆς νίκης τοιάδε τις·* ὑποτεθείσθω τις πείσας ἑαυτὸν εὐχερῶς, καὶ κραγὸν πεῖσμα συμπλέξας, ἐπανατεῖναι χεῖρας παλαμναίῳ πυγμάχῳ καὶ οἵῳ καταπολεμῆσαι τὸν ἀνθιστάμενον, ἀλλὰ μικρὸν καὶ ἕτερος αὐτὸν ἀνῆκε θυμός, ἀφέσθαι ταχὺ τῆς τόλμης ἐκείνης, μὴ καὶ ἀποθραυσθῇ τῆς κεφαλῆς, καὶ που καὶ σποδηθῇ κατὰ τὸν οὕτως εἰπόντα, καὶ ἐπιτριβῇ φλώμενος καὶ πνιγόμενος· καὶ λογισμὸν τοῦτον δεύτερον συνετὸν μωρῷ ἐκείνῳ πρώτῳ ἀντιστήσας, καὶ ἄμφω ταλαντεύσας ἐκ παραθέσεως, καὶ ῥοπὴν εὑρηκὼς ἐν τῷ δευτερεύσαντι, ἔχει λέγειν ἀστείως πρὸς τὸν κατάρξαντα νοῦν ἐκεῖνο τὸ παλαιόν· ὡς οὐ πείσεις, οὐδ᾽ ἢν πείσης· ἔπεισας μὲν γάρ, ὦ θυμέ, χεῖρας ἀντήρεις ἀνασχεῖν κατὰ ἰσχυροτέρου ἤπερ ἐγώ· οὐ πείσῃς δὲ ὅμως εἰς τέλος, εἰ καὶ παρέπεισας. Εὐλαβοῦμαι γὰρ ἰλυσπᾶσθαι, ῥιφεὶς εἰς γῆν, καὶ οὕτω τὴν ἕρψιν ἀλλάξασθαι τῆς βαδίσεως.

71. *Πάλιν λογισμὸς παρέπλαγξέ τινα,* ὁποῖα πολλὰ φιλεῖ καὶ τοιαῦτα γίνεσθαι, γενναῖον εἶναι, παλαμᾶσθαι συμποδισμόν, εἴ τις εἰς παλαίστραν ἀντικατασταίη αὐτῷ. Καὶ ἐπανηγυρίσθη ἀγών, καὶ ἐκηρύχθη παλαισμοσύνη, καὶ αὐτὸς παρεισέδυ ἐς μέσους, ἐθέλων συμπλοκήν, καὶ θαῤῥῶν καταπαλαίειν, καὶ ἤδη εὖ μάλα συμπείσας ἑαυτὸν εἰς τοιαύτην ἄθλησιν. Ἀλλ᾽ ἐπειδὰν ἀνταγωνιστὴν θεάσηται φανέντα, ὃν μὴ ἐνθυμούμενος, ἀλλὰ τότε κατίδοι ἐξανακύψαντα καὶ εἰς ἀντίπαλον προχωρήσαντα, οὐ πείσεις τῷ πρώην λογισμῷ, ἔφη, κἂν φθάσας ἔπεισας· οὐ γὰρ ἀνέξομαι πεσὼν συντρίψεσθαι, καὶ καθόλου ἐν τοῖς φρονοῦσι καὶ μαθοῦσι βουλεύεσθαι, καὶ αὖθις εἰς δέον μεταβουλεύεσθαι. Πείθει μέν τις ἑαυτὸν ἐν πολλοῖς, καὶ εἴς τι ψεκτὸν καὶ κατατίθεται, καὶ που ἐρεθίζεται, καὶ εἰς ἔργον ἐξορμᾷ. Μεταγνοὺς δὲ ἀφίησιν ἐκεῖνο, εἰς ὅπερ κατένευσε, καὶ χαίρει παυσάμενος, καὶ λόγῳ τοιούτῳ, εἰ καὶ πέπεισται, ὅμως οὐκέτι πείθεται, ὅμοιον ὡσεὶ καὶ ὁρμηθεὶς κατὰ κρημνοῦ, εἶτα μεταμελος ἐπαναστρέψεται, καὶ εὔνους ἐκ δυσλογίστου γένηται.

72. *Χρὴ τοίνυν οὕτως ἐπὶ πάντων τῶν ὁμοίων γίνεσθαι,* ὡς ἀκολούθως καὶ ἡμᾶς, ἀναλαβομένους πεῖσμα ὁποιοῦν, εἴτε ἐξ ἡμῶν αὐτῶν ἀβούλως, εἴτε κατὰ διδασκαλίαν κακόβουλον, πάντως δὲ ἀπὸ ἀρχεκάκου δαίμονος, καὶ ὡρμημένους ἐς πρᾶξιν ἀποτελευτῶσαν εἰς φαυλότητα, ἐνθυμεῖσθαι, εἶναί τινα ἡμῶν κρείττονα, καὶ εἰ μὴ ἄνθρωπον, ἀλλά γε τὸν θεόν, ὃς διδοὺς τὰ ἀγαθὰ καταγίνεται τῆς κακότητος, ἑαυτὸν πάντως ἐκδικῶν διὰ τῆς τοιαύτης || ἐπεξελεύσεως. Ἐκεῖνος γὰρ καὶ νομοθέτης ἀγαθότητος ἁπάσης· καὶ αὐτοῦ ἐστιν, Ms. fol. 25. a. ὥσπερ ὁ κόσμος, οὕτω καὶ ἅπας κόσμιος ἡγούμενος, καὶ αὐτοῦ ἐστι παράγγελμα, πείθεσθαι καὶ ὑπείκειν τοῖς ἡγουμένοις, οἳ ἐκείνου εἰσὶν εἰκονίσματα καὶ ἰνδάλματα. Διὸ καὶ ἡ αὐτῶν ὕβρις καὶ βλάβη καὶ ἡ κατ᾽ αὐτῶν ἀδικία καὶ περιεργία καὶ περιφρόνησις εἰς ἐκεῖνον ἀναβαίνειν διαγινώσκεται, τὸν μισοῦντα μὲν καὶ ἅπαν κακόν, οὐχ ἥκιστα δὲ τὴν κατ᾽ αὐτὸ ἐπιμονήν.

73. *Οὐ γάρ ἐστιν ἀντειπεῖν,* μὴ ἐπιμονήν τινα χειρίστην καὶ τὸ πεῖσμα εἶναι τὸ φαῦλον, καὶ ἰδιότητα ζωϊκὴν δυσαπάλειπτον, πολλαχοῦ δὲ καὶ ἀνεξάλειπτον. Πλὴν ἀλλὰ ἐν ἀνθρώποις λογίμοις καὶ ἐπισταμένοις ὑποκλίνεσθαι λόγῳ καὶ ἐπιπείθεσθαι οὐκ ἔστι μὴ ἐξαλείφεσθαι καὶ τὴν τοιαύτην οὐκ ἀγαθὴν ἰδιότητα, ὅτι μηδὲ ἐκ φύσεως αὐτοῖς αὐξάνεται τὸ τοιοῦτον, ἀλλὰ διὰ οὐκ εὐπαιδεύτου συνεθισμοῦ καὶ φύεται καὶ ἀδρύνεται, σαφέστερον δὲ εἰπεῖν, διὰ φαύλης πειθοῦς, διπλῆς καὶ ταύτης. Ἢ γὰρ οἴκοθεν πείθεταί τις, μοχθηρὸν αὐτὸς ἑαυτὸν διδάξας καὶ παιδεύσας καὶ στήσας πεισματικὸν κακῶς εἶναι, ἢ ἑτέρωθεν παραλαχὼν ἀρχάς, καὶ πειθανάγκῃ τῇ ἐκεῖθεν παρελκυσθείς, καὶ οὕτω διαμείνας κακὸς ἐπιμονῆς λόγῳ, φιλτάτης αὐτῷ. Οὐ γὰρ ἄν τις, μὴ ὑπερφιλῶν πρᾶγμα, παραμενεῖ ἐς αὐτό· ἀλλὰ ταχὺ ἐκπηδήσας ἀπαλλαγήσεται. Οὐ τοίνυν ἰδιότης ἀνθρώπου τὸ τοιοῦτον πάθος ἐστίν, ἀλλὰ ἐπίκτητον εἶναι καὶ διδακτὸν ἔγνωσται, ἤτοι πεισθέντος τινός ποθεν ἔξωθεν, ἢ αὐτομαθῶς παθόντος τὴν κακίαν, καὶ μένοντος τοιούτου, καὶ ἐπαυξομένου καὶ στερεουμένου εἰς δευτέρας δαιμονίας συνταντιλήψει, καὶ κατὰ ἔθος εἰς δευτέραν οἷον φύσιν ἀποβεβηκὸς γεγενημένου πεισματικοῦ.

74. *Καὶ ἔστι τὸ πεῖσμα ἐν τῷ καθόλου ἤθους* ἐπιμονὴ διὰ προϋπαρξάσης φαύλης πειθοῦς, καὶ ἔνστασις ἀτενὴς καὶ ἀμετάβατος, ταυτὸν δ᾽ εἰπεῖν, ἀμετάθετος· διὸ καὶ ἰσχυρογνώμων λέγοιτ᾽ ἂν ἀκριβῶς ὁ τοῦτο πάσχων ἄνθρωπος, καὶ ἐνστάτης ἀπαραίτητος, οὐ μέντοι κατὰ φύσιν ἀκράτως καὶ καταμόνας, ὡς οὕτως εἰπεῖν, ἀλλὰ κατὰ οἰκεῖον θέλημα καὶ ψυχικὴν ὁρμήν, ἧς αὐτός ἐστι κύριος. Εἰ γὰρ καὶ τὸ κατὰ φύσιν μεταθέσθαι οὐκ ἔστιν, ἀλλὰ τὰ μετὰ φύσιν, καὶ μάλιστά γε τὰ κατ᾽ ἄνθρωπον ῥᾷον δύναται μετατίθεσθαι, καὶ ἐπιμᾶλλον τὰ εἰς ἀρετὴν ῥέποντα, ἧς πρὸς ἐξόρθωσιν αὐτὸς ὁ θεὸς ἀντιλαμβάνεται, ἀπάγων ἡμᾶς τῆς εἰς τὸ ἐναντίον σπουδῆς, ὁποία τις καὶ ἐπὶ τοῦ πείσματος φαίνεται.

75. *Εἰ μὲν γὰρ τὸ δόξαν καὶ ὑποκινῆσαν καὶ παρωπεῖσαν εἰς πρᾶξιν τὸν ἄνθρωπον ἀπάνθρωπόν ἐστι, καὶ εἰς οὐδὲν μαλθακὸν ἐνδίδωσιν, ἀλλὰ σκληρύνεται εἰς ὅσον καὶ ὅσον ἰδιονομία πάντως ἡ τοιαύτη ἐστὶν ὄρεξις καὶ αὐτονομία καὶ θέσις παράδοξος ἐπὶ φαντασμῷ τοῦ τηροῦντος ταύτην ἀμεταπείστου τὴν κακίαν σοφοῦ. Τάσσεται δὲ τὸ τοιοῦτον πάθος καὶ εἰς ἰδιοτροπίαν καὶ δόξαν κενήν, οἷς καὶ τὸ ὑπερήφανον συνυφαίνεται. Καὶ αὐτίκα χρὴ νοεῖν ἡμᾶς, ὅτι ἐναντίος ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος κύριος ἔρχεται τῷ τοιούτῳ πείσματι, οὗ κατῆρξεν ὁ ἑωσφόρος, ὃς ὑπερφαίνεσθαι φιλονεικήσας, ἄλλα τε δεινὰ ἐβρόντησε ποιῆσαι, καὶ τὸν αὐτοῦ θρόνον ἐφρυάξατο ἐν νεφέλαις καταστῆσαι, καὶ οὕτως ὅμοιος ἔσεσθαι τῷ θεῷ.*

76. *Ἐκείνου δὲ οὕτω πείσαντος ἑαυτόν, λαβόντες ἐκεῖθεν ἀρχὰς οἱ ἔκπαλαι δαιμονιώδεις, οὐκ ἔστιν εἰπεῖν, ὁπόσα πρὸς μίμησιν ἐτεχνάσαντο, τὴν μὲν ἔνθεον ὑπεροχὴν παρωσάμενοι, βεβήλοις δὲ καὶ ἀδοκίμοις δεσπόταις ἀγεννῶς πιστεύσαντες ἑαυτούς, καὶ εἰς τόσον ἐκστάντες ἑαυτῶν διὰ φαυλοτάτης πεισμονῆς, ἧς οὐκ εἶχέ τις διδάσκαλος παραγίνεσθαι, ὡς καὶ μυκτηρίζεσθαι τῆς μιμήσεως. Θεὸν γὰρ ἀπειπάμενοι, τὴν ἄναρχον καὶ ὑπεράρχιον ἀρχὴν καὶ παντοδύναμον, αἰλούροις ἐπέδωκαν ἑαυτούς, καὶ βοϊδίοις ἀπένειμαν σέβας, καὶ τοιαῦτα τινὰ ἐμωράναντο, ἀποσεμνύναντες διδασκαλίας δίχα πεισματικῶς καὶ κυάμους καὶ κρόμυα.*

77. *Καὶ οὕτω μὲν τοῖς πείθουσιν ἑαυτοὺς εἰς φαυλότητα ὑπερηφάνως ἐξ ἀποτελέσματος, καὶ τοιοῦτον πεῖσμα κατακλωσαμένοις ἀντιφέρεται ὁ θεός, οἷς ἓν τοῦτο καὶ μόνον διὰ σκοποῦ, καταῤῥίψαι ἀδίκως ἄνθρωπον, καὶ ἐμπηδῆσαι πεπτωκότι καὶ εἰπεῖν· κατάκεισο || οὕτως ἀνέγερτος.* Ms. fol. 25. b. *Ἀλλ' ὅτε τινὰ εὑρήσει κυρώσαντα ἐν ἑαυτῷ, οὐ πεῖσμα λέγειν ἐθέλω, ἢ πεισμονικήν, τὰ ξενόφωνα, πειθοῦς δὲ τύπωμα καλὸν ἐκεῖνο καὶ μακαριστὸν καὶ θεοφιλῶς ἀσφαλὲς καὶ βέβαιον, αὐτίκα πρὸς ἐκείνου γίνεται, καὶ πρὸς ἀρετὴν εὐοδοῖ, καὶ ἀσφαλίζεται τὰ διαβήματα τοῦ τοιούτου ἀνθρώπου, καὶ τὴν ἐν σχοινίοις διατεινομένην παγίδα τοῖς ἐκείνου ποσὶ σχάσας εἰς ἀνενέργητον, κἂν βηματίζῃ, ὀρθὰ ποιεῖ προπορεύεσθαι, κἂν ἐθέλοι τρέχειν, ἐκπέτεσθαι ποιεῖ, ὡς ταχὺ λαμβάνεσθαι τοῦ ἐν ἐφέσει καλοῦ. Κἂν ἑστάναι δεήσοι, οὐκ ἂν οὐδ' αὐτὸς δαίμων ὑποσκελίσοι τὸν τοιοῦτον, ὡς θεοῦ ἄνθρωπον καὶ πεποιθότα εἰς ἐκεῖνον, καὶ οὕτως ἀνεστηκότα ὡς εἰς ὄρος Σιών, καὶ ὡς οἶκον δὲ θεοῦ τεθεμελιωμένον, καθὰ τὸ ἅγιον εὐαγγέλιον βούλεται, καὶ οὐκ εἰδότα κατασείεσθαι, ἢ ἀνέμοις, ὡς οἷα καλάμινον, ἢ καταρῶσουσι ποταμοῖς, ὡς οἷα ἐπὶ ψάμμου ἢ πέτρας ἀστηρίκτου τεθεμελιωμένον, μετριώτερον δὲ φάναι, καὶ στύλου δίκην ἀνεσταμένον, οὔτε πλαγιάζειν οἵου τε ὄντος, πολλῷ δὲ μᾶλλον οὐδὲ καταπίπτειν, ἀλλὰ καὶ δυναμένου ἰσχυρῶς ὑπανέχειν τὸ ἐπικείμενον.*

78. *Προκείμενος δὴ ὁ θεὸς ἅπασι τοῖς ἀνθρώποις εἰς αἰτίαν καὶ ἀρχὴν καὶ παράδειγμα (προσκυνητὰ δὲ ταῦτα ἐν αὐτῷ πάντα), καὶ ἔπεισε, καὶ πείθων οὐ διαλείπει τοὺς εἰς αὐτὸν ἀποβλέποντας, στερεοὺς εἶναι καὶ βεβαίους κατὰ τῆς κακίας, καὶ ἀμεταβάτους τοῦ ἀγαθοπραγεῖν, καὶ οἵους ἄλλα τε ποιεῖν εὐαγγελικῶς, καὶ μιμεῖσθαι αὐτὸν εἰς ὅσον δύναμις, καὶ ὁμολογεῖν ἐκεῖνον ἐνώπιον τῶν ἀνθρώπων. Ὁ δέ γε Σατανᾶς, καθότι ἀντικείμενος, τῆς ἀνάπαλιν διαθέσεως καὶ αἴτιος καὶ ἐνστάτης ἐστί, κακοπραγεῖν τε πείθων τοὺς αὐτῷ προσανέχοντας, καὶ ἐς τὸ πᾶν γίνεσθαι κατὰ τοῦ θεοῦ.*

79. *Καὶ ἰδού, δύο τούτων ἰδιοτροπιῶν καὶ ἐνστάσεων ἡ μὲν φαύλη τοὺς ποικιλοτρόπως δαιμονιώδεις τῷ βίῳ παρεισήγαγεν, ἡ δὲ δευτέρα τοὺς ἡγιασμένους τῷ θεῷ παρεστήσατο ἀσκητάς, τοὺς τῆς ἐρήμου, τοὺς στυλίτας, τοὺς χωστούς, τοὺς ἐγκλείστους, τοὺς πολιτικοὺς παιδευτάς, τοὺς τῶν ψυχῶν ἀτενεῖς θεραπευτάς, τοὺς τῶν ἐξαγορευομένων ψυχικῶν τραυμάτων ἰατῆρας, οὓς ἀνάγκη καὶ ξυρῷ καὶ καυτῆρι χρῆσθαι, ὅτε παραπέσοι καιρός, τοὺς τῶν ἔτι κρυπτομένων ἐρευνητάς, τοὺς εἴτε ἀτέγκτους, εἴτε διακριτικοὺς τῶν ἀναιδευομένων κολαστάς, τοὺς ἐπανασώσαντας τοῖς ἠδικημένοις ἅπαν ἅρπαγμα, τοὺς καὶ φιλανθρώπως καὶ ἄλλως δὲ δικαίως ἐλέγχοντας, ἐφ' οἷς ἐνδέχεται, τοὺς ὀνειδίζοντας, ἐφ' οἷς χρεών, τοὺς εὐλογοῦντας, ὡς θαρσοποιεῖν τὰ εἰς ἀρετήν, τοὺς ἐπιπλήττοντας εἰς διόρθωσιν, τοὺς ἐπιτηροῦντας, ὡς ἀνακόπτεσθαι τὰ ἁμαρτητικά, τοὺς λογιστεύοντας πνευματικῶς τὰ πρακτέα, τὸ πᾶν ἐπιτόμως εἰπεῖν, τοὺς τῶν ψυχῶν ἐπιμελητάς, τούς τε κατὰ βίον, καὶ ὅσοι τε ἄλλως τοῦ πνεύματος, τὸ πάντων μεῖζον εἰπεῖν, τοὺς μακαρίως τῷ θεῷ μαρτυρήσαντας, οὓς πεισθέντας τοῖς ἁγίοις ἀποστόλοις, καὶ πρό γε αὐτῶν τῇ ἁγίᾳ παλαιᾷ νομοδοσίᾳ, εἰπεῖν δὲ τὸ σεμνότατον, τῷ πρωτομάρτυρι τῆς ἀληθείας θεῷ, τῷ σωτῆρι Χριστῷ, καὶ ἐμμείναντας τῇ ἁγιωτάτῃ πειθοῖ ᾠκειώσατο εἰς θεράποντας τῷ θεῷ ἡ ὑπὲρ ἐκείνου ὁμολογία, καὶ μαρτυρία, καὶ ὁ δι' ἐκεῖνον θάνατος, τὸ φρικτότατον || ἐν ἀνθρώποις δεινόν,* Ms. fol. 26. a. *καὶ τῷ ὄντι ῥίγιστον.*

80. *Τοὺς τοιούτους εἴ τις μιμούμενος καὶ πείθων ἑαυτὸν ἐνίσταιτο ταῖς ὀρθαῖς δόξαις καὶ ὑπολήψεσι, καὶ παραμένων αὐταῖς πράττει τὰ δεόντως καθήκοντα,*

χρηστὸν τέλος ἐπιτιθεὶς ἀρχαῖς ἀγαθαῖς, πρῶτα μὲν οὐκ ἂν λέγοιτο πεῖσμα φυλάττειν ἢ πεισμονήν, ὀρθοδοξίαν δὲ καὶ ἐνστατικὴν προσοχὴν ἐπὶ τοῖς τοῦ θεοῦ· αἱ γὰρ πεισμοναὶ καὶ τὰ πείσματα ἔδοξαν μὴ ἐπ' ἀγαθῷ τεθεῖσθαι τοῖς ἐν ἀγαθῇ μοίρᾳ πλείοσιν, ἀλλὰ δυσώνυμόν τι χρῆμα εἶναι. Εἰ δὲ καὶ ἴσως θῶμεν, προσαρμόττειν αὐτὰ καὶ τοῖς δεόντως πεπεισμένοις καὶ οὕτως ἐνστατικοῖς, ἔχω διελὼν ἐνταῦθα εἰπεῖν, ὡς οὐδὲ ὁ πνευματικὸς πεισματικὸς ἐπαινεῖται πάντοτε καὶ ἐπὶ πᾶσι, τοιοῦτος ὤν· ἀλλ' ἔστιν ὅπου καὶ ἐν πολλοῖς μετακινηθήσεται τῆς οἰκείας ἐνστάσεως, καὶ ὑπενδώσει καὶ αὐτοῦ δὴ τοῦ κατ' αὐτὸν δικαίου ὡς οἷόν τε, καὶ χαυνωθήσεται οὐ μόνον τοῦ ἄλλως φιλονεικεῖν, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐπὶ δικαίοις εἰς ἄκρον καὶ ὑπερλίαν μάχεσθαι.

81. Ἐντεῦθεν γὰρ καλῷ τοιούτῳ μεθοδεύματι αἱ ἀνοχαὶ τῶν πολέμων ἐπιτενόηνται, καὶ αἱ σπονδαί, καὶ ὅσα καλὰ τοιαῦτα. Καὶ τοίνυν οὕτω ποιῶν ἐκεῖνος οὐκέτι πεισματικὸς ὀνομασθήσεται τὸ σύνολον, ἀλλὰ ὡς οἷον μεταβαφεὶς χρωσθήσεται χρηστοτέραις κλήσεσι, φιλάνθρωπος ἐπονομαζόμενος καὶ ἀφιλόνεικος, καὶ μισῶν μὲν τὸ ἀκράχολον, εὔκολος δὲ μᾶλλον εἶναι προτιθέμενος, εἰπεῖν δὲ ἀκριβῶς, ἐπιεικής. Ὁ γὰρ ἐκ πείσματος ἀτενοῦς δικαίου ὑποκαταβάς, εἰς ἑτεροίαν πειθὼ ἐπὶ μετανοίᾳ μετέπεσεν ἐπιμηθευσάμενος ἐναρέτως, καὶ ἐκ φιλονείκου ἐνστάσεως μετεληλυθὼς εἰς ἐπιείκειαν· ἐπεί τοι, καθὰ ὁ κατὰ μετάμελον ἐκ πειθοῦς φαύλης καὶ ἁμαρτικῆς διὰ δευτέρας ἐναρέτου πειθοῦς μεταβαλλόμενος εἰς καλλίονα μετέρχεται τοῦν, μετατιθέμενος, εἴτ' οὖν μεταπειθόμενος, οὕτω πως καὶ ὁ ἐπιεικὴς ἑαυτὸν πείσας τὰ πρῶτα, τῷ οἰκείῳ δικαίῳ καλῶς ἐνίστασθαι, εἶτα δεόντως μεταβαλὼν ἐν καιρῷ, καί, ὡς εἰπεῖν, ἐπιείξας, καὶ καθὰ δοκεῖ τοῖς πάλαι σοφοῖς, καὶ παραθραύσας τῶν τινα δικαιούντων αὐτόν, ἀρετὴν ἐκφαίνει, τήν, ὡς οἱ σοφοὶ ὀνομάζειν βούλονται, ἐπιείκειαν καὶ οὕτως ὑπείκει τασσόμενος ὑπὸ τοῖς ἐνστάταις, καὶ αὐτὸ δὴ τοῦτο ὑποτασσόμενος.

82. Οὕτω δὴ τούτων ἡμῖν τεθεωρημένων καὶ ἐπὶ τοσοῦτον (εἰς πλέον γὰρ ἐπιτεῖναι τὸ τοιοῦτον σκέμμα, φιλοτιμίαν οἰήσεταί τις ἄκαιρον), τί δήποτε οὐχ ὑποτασσόμεθα, ὦ σῶτερ κύριε, ὃ καὶ φθάσας εὐξάμην, πειθόμενοι τοῖς διὰ σοῦ διδασκάλοις ἡμῶν, καὶ τὴν τοιαύτην πειθὼ στερεοῦμεν ἐν ἡμῖν αὐτοῖς, καὶ τὰς ἐξ ἐ || κείνων συμπεραίνομεν ἀρχὰς ἐναρμονίως (Ms. fol. 26. b.) ὁ[ρ]μῷ ἀληθείας, ἀλλὰ τῷ ἀντικειμένῳ ὑποστρωννύμεθα, πείθοντες ἡμᾶς αὐτούς, ἀλλήλοις ἀντιμ······φρίσσειν ὅσα καὶ ὅπλοις ἀγχεμάχοις μέν, ταῖς κακομηχάνοις ἐπιθέσεσι καὶ τ[αῖς ἐπι]β[ου]λ[οις ἐπ]ινοίαις καὶ περινοίαις καὶ πεισμοναῖς, τηλεβόλοις δέ, ταῖς συκοφαντίαις καὶ ταῖς ἀποσταδὸν διαβολαῖς, ἐξ ὧν οὐδέν τι καλὸν ἐν ἡμῖν ἐκφανεῖται ποτέ, ἀλλὰ καὶ ὁ πολιτικὸς καὶ ὁ πνευματικὸς παράδεισος οὐ μόνον ἀπανθήσουσι καὶ ἄκαρποι μενοῦσιν, ἀλλὰ καὶ ἀποψυγέντες εἰς ἐρημίαν ἀποκαταστήσονται, καὶ ὁ καθ' ἡμᾶς δὲ κόσμος καὶ βίος ἄκοσμος ἔσται, καὶ οὐ κατὰ τοὺς ἱστορουμένους δικαίους, τρόπον δὲ ἄλλον ἄβιος;

83. Ἐγὼ δὲ ἐν τούτοις δοκῶ μοι πολλῶν τινων ἀκούειν αἰτιολογούντων εὐλογοφανῶς δῆθεν τὰ κατ' αὐτούς, καὶ ὑπολαλούντων, μὴ ἂν ἀγαθὸν εἶναι, μηδὲ πολιτικῶς ἐλευθέριον, τοὺς μὲν μείζονας ἐν ἀνθρώποις εἶναι, τοὺς δὲ ὑπάγεσθαι εἰς ἐλάττωσιν καὶ ὑπόπτωσιν, καὶ ταῦτα, ἔνθα ἡ φιλία ἰσότης εἶναι νομίζεται, καὶ ἰσοπολιτεία νενόμισται, καὶ κοινωνία πραγματεύεται. Νοοῦντες, οἶμαι, οἱ τοιοῦτοι, ἀνισότητα φαύλην ἐμφαίνεσθαι τοῖς διδασκομένοις πρὸς τοὺς διδάσκοντας, καὶ τοῖς ποιμαινομένοις πρὸς τοὺς ποιμαίνοντας, καὶ τοῖς ὑπάρχοις πρὸς τοὺς ἐξάρχοντας, καὶ δι' αὐτὸ φευκτέαν εἶναι τὴν ὑποταγὴν τοῖς ἐπαναιρουμένοις ἐλευθέραν ζωὴν — λανθάνονται δὲ ἄρα οἱ οὕτω γνωματεύοντες, ὅτι καθυπάγουσιν ἑαυτούς, πατέρες μὲν ὄντες, τοῖς τέκνοις, δεσπόται δέ, τοῖς δούλοις, νηπίοις δέ, εἰ τῷ μακρῷ χρόνῳ εἰς γῆρας ἐλάσουσιν. Ἐῶ τὰς γυναῖκας, αἷς αὐτοί, τεταγμένοι κεφαλαὶ εἶναι, εἰς πόδας ὑποκείσονται κατὰ τὴν σφῶν αὐτῶν γνώμην, δι' ἧς τὸ ἐν ἀνθρώποις ὑπέρεχον κολούεται.

84. Εἰ γὰρ καὶ ἐν τοῖς εἰρημένοις ἀνισότης ἐκπέφανται ἀναμφίλεκτος, τί μή, τοῦ αὐτοῦ τόπου καὶ ἔργου καὶ ἀξιώματος πάντες γινόμενοι, διδάσκοντες μὲν πατρικῶς οἱ γεννησάμενοι, καὶ ῥυθμίζοντες τὰ τέκνα εἰς ἦθος, ἐν καιρῷ δὲ καὶ ἐπιπλήττοντες καὶ πλήττοντες, ἀντιδιδάσκονται καὶ ἀντιπλήττονται καὶ ἀντιγεννῶνται, καὶ εἰς ἀγωγὴν ἐπανέρχονται νηπιώδη; Οἷς δὲ οἰκοδεσποτεῖν δίδοται, διὰ τί μὴ καὶ αὐτοὶ τοῖς δούλοις ὑποβιβάζουσιν ἑαυτοὺς ἐν μέρει, καὶ οὕτως ἀνισάζουσι τὸ τῆς τύχης ἑτερορρεπές; Τί δὲ μὴ καὶ οἱ τῷ γήρᾳ πρέσβιστοι ἐπαναστρέφουσιν εἰς παιδία, οὐχ ὡς κληρονομῆσαι βασιλείαν οὐρανῶν, ἀλλὰ ἐκκεῖσθαι ἀθύρμασι, καὶ παίζειν καὶ παίζεσθαι; Οὕτω δὲ ἂν καὶ γυναῖκες διὰ τὴν τοιαύτην ἐξίσωσιν ἀντιτεθήσονται τοῖς ὁμοζύγοις καὶ δεσπόζουσιν αὐτῶν, καὶ τὸν ἀποστολικὸν ἅγιον κανόνα λύσουσι, καὶ ἀναλ || λα (Ms. fol. 27. a.) τρόπῳ τοιῷδε τὰ πάντα γενήσονται. Πῶς γὰρ καὶ ἀποκληρώσομεν, ἄλλως μὲν τὰς καὶ φυσικὰς καὶ πνευματικὰς ἀρχὰς καταλύεσθαι, τὰς ὁπουδήποτε ἄλλοθι, τὰ δὲ οἰκειακὰ μόνα εὖ καθεστάναι, τὰ εἰς προταγὴν καὶ ὑποταγήν;

85. *Οὐαὶ χώραις καὶ πόλεσι καὶ κώμαις καὶ ἀγροῖς, ἤδη δὲ καὶ ἐρήμοις, ἃς πολλοὶ τῶν κατὰ θεὸν ζώντων καὶ ἠγάπησαν καὶ ἀγαπῶσι, καὶ εἰς οἰκισμὸν μετεβάλοντο Ναζιραίοις πρέποντα, ἔνθα μὴ εὑρίσκεται καὶ ἐπιλέγεται καὶ στέργεται, ναὶ δὲ καὶ ζητεῖται καὶ τάσσεται στερεῶς ὁ μέν τις μείζων κατὰ πνεῦμα ἅγιον καὶ νόμον ὀρθὸν καὶ ἔθος εὐθὺ καὶ φύσει παραδεδομένον, ὁ δὲ ὑπ' ἐκεῖνον, οἷα ἐλάττων· ἐξ ὧν ἀμφοτέρων ἡ καλὴ καὶ ἐν ἰσότητι σοφῇ καὶ ἐπαινετῇ γεωμετρεῖται ἰσότης, καθ' ἣν ἐναλλὰξ τῶν πραγμάτων διοικονομουμένων ἐλλόγως θεόθεν καὶ μαθηταὶ πολλοὶ κρείττονες διδασκάλων ἐν ἀποτελέσματι γίνονται, καὶ δοῦλοι δὲ ἀγαθοὶ ὑπέρτεροι δεσποτῶν μὴ τοιούτων, καὶ νήπια ὑπερφερῆ γερόντων ἐκ θείας ἀποκαλύψεως καὶ δυναμώσεως, καὶ γυναῖκες ἀνδρίζονται σοφίᾳ θείᾳ καὶ χάριτι.*

86. *Ὦ τέχναι καὶ ἐπιστῆμαι, τί μὴ διὰ φθόνου καὶ ὑμεῖς ἀλλήλαις ἔρχεσθε, οἷς θεωροῦνται ὑπεροχαί, καὶ ἐν ὑμῖν τὸ ἐπίφθονον ἐν τοῖς καθ' ἡμᾶς; Ὦ πεμπτὸν μέγα σῶμα, τὸ κατὰ παλαιὰν δόξαν, ὑποκατάβηθι χρόνῳ ποτέ, καὶ παραχώρησον οὐρανωθῆναι τὰ ὑπὸ σέ. Ὦ μέλη καὶ μέρη τὰ ἐν ἀνθρώποις, τί μὴ κατεξανίστασθε τῆς καλῆς κεφαλῆς, τοῦ ἐν ἡμῖν οὐρανοῦ, ἀλλὰ ἀνεκτὸν ὑμῖν δοκεῖ, ὁλομελείας τοιαύτης ὑπερκεῖσθαι σφαιρίον πολύτρητον, οὗ τὸ πλεῖον ὀστῶδες καὶ οὐδὲ πλουτοῦν σαρκὸς περιουσιασμόν; Διὰ τί δὲ ὑμῶν μὲν ἕκαστον μοχθεῖ καὶ μᾶλλον τὰ μετὰ τὸν θώρακα, τὸ δὲ τῆς κεφαλῆς ἔξαρμα μόχθου παντὸς ἀπείρατον ὑπερκάθηται, καὶ ὥς οἷά τις τύραννος ἐξαπόπτου τρυφᾷ, καὶ ὅσα καὶ πεδινῆς τῆς λοιπῆς διαρτίας ἐθέλει κατατρυφᾶν; Ὦ παραδόται τῶν ἐν ἡμῖν καὶ δογμάτων ὀρθῶν καὶ πραγμάτων θείων, ἀπόστολοι καὶ λοιποὶ θεοκήρυκες, τί δήποτε κελεύετε ἡμᾶς ἔχειν τοὺς λογισμοὺς πρὸς ὑμῖν, καὶ μὴ ἀφίετε ἀντινομοθετεῖν καὶ ἀντιγνωματεύειν; Ἢ γὰρ οὐχὶ καὶ ἡμεῖς πάντες ἐπίσης ὑμῖν καὶ ὁμοίως ἀπὸ γῆς ἄνθρωποι πεπλάσμεθα;*

87. *Ταῦτα δὲ πάντα, καὶ ὅσοι τοιοῦτοι λόγοι καὶ ἠθικοὶ τρόποι, ποῦ ποτὲ ἀνατείνονται, παχὺς ἂν εἴη καὶ μὴ βάπτων εἰς νοῦν βαθὺν καὶ ὀρθὸν ὁ ἀγνοῶν. Δῆλον γάρ, ὡς ὁ μὴ ἐνδιαθέτως προσποιούμενος, καὶ οὕτω φιλτρῶν τοῖς ἀποστολικοῖς καὶ πατερικοῖς, ἀλλ' ἀποπροσποιούμενος, ἐγγὺς ἥκει περιφρονεῖν καὶ τὰ ἐξ* Ms. fol. 27. b. *αὐτοῦ θεοῦ, ἐξ οὗ || ὡμολόγηται, ὥσπερ πᾶν ἀγαθόν, οὕτω καὶ τὰ τῶν ἁγιωτάτων εὐαγγελίων παραδεδόσθαι, καὶ τὰ τῶν θείων δὲ ἀποστόλων καὶ λοιπῶν θεοκηρύκων καὶ διερμηνευτῶν καθήκειν εἰς ἡμᾶς. Διὸ καὶ ὁ μὲν αὐτὸς οἰκειούμενος, καὶ δι' αὐτῶν εἰς ῥίον εὐθυνόμενος, καὶ ἑτέρους δὲ ἀπευθύνων, τοῦ θεοῦ ἐστὶν ἄνθρωπος, ὁμοίους αὐτῷ ποιῶν τοὺς ὑπακούοντας, καὶ οὕτω θεραπεύων τὸν θεὸν αὐτόν, εἰς ὃν ἀναβαίνει ἀγαθουργία πᾶσα ἡ ἐν ἀνθρώποις, καθότι καὶ ἡ χάρις τοῦ πράττειν τὸ ἀγαθὸν ἐκεῖθεν καταβέβηκεν. Ὁ δέ γε ἀποδυσπετῶν, καὶ τὰς μὲν ἀκοὰς ἀποκλείων, τοὺς δὲ πόδας καὶ τὰς χεῖρας εὐθετίζων εἰς τὸ ἀντιβαίνειν καὶ ἀντιπράττειν, τὸν μὲν διδάσκοντα καὶ κηρύττοντα τὸ καλὸν καὶ εἰς αὐτὸ προκαλούμενον στεφανοῖ· αὐτὸς δὲ τοῦ οὐρανίου πατρὸς ἀποστὰς τῇ ἀπωλείᾳ τίθεται εἰς υἱόν.*

88. *Καί, κύριε, βοήθει, μήποτε, ὅτε μετέρχῃ τὸν ἐν πολιτείᾳ τοιοῦτον ἄνθρωπον, συναπολεσθεῖεν καὶ ἕτεροι, οὐδὲν ἴσως αἴτιοι· ἀλλὰ τοῦτο μὲν οὐκ ἄν ποτε ποιήσῃς ὁ ἀγαθός, οὗ τῆς δικαιοσύνης καὶ ἅμα ἐλεημοσύνης οὐκ ἔστιν ἀπαρίθμησις, ὅτι μηδὲ μάρπτειν ἐξείης ἐθέλεις, ὅς τε αἴτιος, ὅς τε καὶ οὐχί, κατὰ τὸν οὕτω φάμενον· ἀλλὰ πάντα μὲν ἀγαθὸν ἄνθρωπον φυλάττων, τοὺς δὲ μὴ τοιούτους φιλανθρώπως καὶ ἐπιεικῶς διοικονομούμενος καὶ κηδόμενος καὶ ἀνεχόμενος, κατακεράσεις διακρίσει τὴν κρίσιν, καὶ καταμελιτώσεις οὕτω τὴν πικρίαν τῆς καταδίκης, ὃ δὴ πάντοτε ποιεῖς, μερίζων τοῖς μὲν εὐεργεσίας, τοῖς δὲ εὐσπλαγχνίας, καὶ ἱλαρότητας, καὶ συμμετρίας ἐπεξελεύσεων πραγματευόμενος, καὶ οὐδέποτε θέλων ἀνθρώπου κάκωσιν, μόνον δὲ μισῶν τὸ κατὰ δαίμονα, τὸν ἀρχέκακον ἀνεπίστροφον.*

89. *Κεφαλαιωτέον μοι τὸν λόγον, ὦ ἀδελφοί, καὶ συσταλτέον εὐροοῦντα εἰς πλείω διατριβήν, καὶ δηλωτέον οὐ πρὸς ἀναφώνησιν ψιλήν, ἀλλ' αὐτὴν ἀλήθειαν, ὡς, εἰ μὴ καὶ τοῦ πάλαι ποτὲ ἀνέκαθεν ἀπολύτου κατὰ ἄνεσιν βίου ἀπανθίσομεν τὰ κάλλιστα ἐπὶ συστάσει βίου τοῦ καθ' ἡμᾶς, καὶ τοῦ δευτέρου τοῦ κατὰ τὴν ἁγίαν παλαιὰν ἐπιλεξόμεθα, ὅσα τε ὅμοια, καὶ ὁπόσα πρὸς ἰσότητα συντρέχει, μάλιστα δὲ τοῦ ἁγιωτάτου τρίτου τὴν καὶ τελειοτάτην καὶ τελεστικὴν εἰσοικισόμεθα χάριν, οὐ συλλεξάμενοι, ὡς ἐν ἐπελεύσει, δίκην ἐράνου, ἀλλὰ εἰσδεξάμενοι, ὡς ὁ τῶν πατέρων πατὴρ καὶ πρωτοδιδάσκαλος παραγγέλλει, μετὰ διακρίσεως αὐτῷ τε πρεπούσης καὶ ἡμᾶς βελτιούσης, καὶ οὕτω σκευασόμεθα πάντοθεν, καὶ συνεπιλαμβανομένης τῆς ἁγιωτάτης τριάδος ἀποθώμεθα ἐν τῇ καρδίᾳ τὰ σωτήρια, τὰ μὲν αὐτοὶ φιλοπόνως ἀναλεγόμενοι, τὰ δὲ καὶ ὑπαγορευόντων ἀγαθῶν διδασκάλων ἐκδεχόμενοι, δακτύλῳ θεοῦ γεγραμμένα, καὶ οὕτως ἀπονητὶ παραδεδομένα ἡμῖν, οἰχησόμεθα, ὡς οὐ θέλομεν. Ἰδού, εἴπομεν ὑμῖν, ἀκούοντος καὶ τοῦ ἐπὶ πάντων καὶ πάντα εἰδότος καὶ δυναμένου θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ms. fol. 28. a. *Τοῦ αὐτοῦ λόγος ἐκθετικὸς τοῦ μαρτυρίου τῶν ἁγίων τριαθλοφόρων ἀδελφῶν, Ἀλφειοῦ, Ζωσίμου καὶ Ἀλεξάνδρου, τῶν Καλυτηνῶν, καὶ τοῦ συμμάρτυρος αὐτῶν Μάρκου.*

1. Ἔθος ἔλλογον τοῖς ὁδοιποροῦσι παρακολουθεῖ, ἐπειδὰν ἐξανύοντες τὴν ὁδὸν συναντήσωσιν ἀνθρώποις ἀξίοις θέας καὶ λόγου, οὓς ἢ μηδόλως ἢ μὴ πρὸς ἀκρίβειαν οἴδασιν, ἐκπυνθάνεσθαί τινων, εἴ πως εὑρήσουσιν, οἵ τινές ποτε οἱ ἀγαθῆς ἱστορίας ἄξιοι ἐκεῖνοι, καὶ οὕτω μανθάνειν, καὶ ἐγγράφεσθαι τοὺς τοιούτους δέλτῳ ψυχῆς μνήμονος, καὶ παραδιδόναι τοῖς ἀγνοοῦσιν εἰς εἴδησιν, εἴ που παραπέσοι καιρός. Καὶ ἔστι καὶ τοῦτο φιλομαθοῦς ἤθους καὶ ἀγαπῶντος τὸ καλόν, τὸ μέν, οἷς ἀνερευνᾶται τὰ θαυμαστέα, τὸ δέ, ὅτι παραδίδοται διὰ τῶν τοιούτων σπουδαία διήγησις τοῖς προαιρουμένοις ἀκροᾶσθαι.

2. Οὐκοῦν καὶ ἡμεῖς, βίου ὁδὸν ἐξανύοντες, τὴν καὶ πολυσχιδῆ καὶ πολυέλικτον, καὶ οὐκ ὀλίγοις περιτετυχηκότες, ὧν τοὺς μὲν ἐθαυμάσαμεν, τοὺς δὲ οὐ διὰ θαύματος ἔσχομεν, καὶ ἐκείνους μὲν ἀξιώσαντες λόγου τοῦ δέοντος, ὡς ἐξισχύσαμεν, τοὺς δὲ δευτέρους ἀφέμενοι σιγᾶσθαι, οὐ μὴν καὶ κακολογήσαντες (αὐχοῦμεν γὰρ ἐν θεῷ, μὴ κεντρῖναι εἶναι καὶ σκορπιώδεις τὴν γλῶσσαν, ἀλλ' ὡς τὰ πολλὰ εὐλογητικοί), παρετύχομεν καὶ ἐνταῦθα, ὅπου τὸ καὶ μέγα καὶ κάλλιστον ἡμῖν κατάλυμα τῆς βιωτικῆς ὁδοῦ ἀπεκληρώθη, θεοῦ ἀνθρώποις, οἷς ἐν χρῷ μὲν ζωϊκῆς θέας καὶ τῆς ἐντεῦθεν ἐγγύτητος οὐ δέδωκεν ἡμῖν ὁ χρόνος γενέσθαι (ἀφ' ἱκανοῦ γὰρ ἤδη προχρόνιοι τῷ θεῷ παρίστανται), ἡ δὲ ἱστορία διεβίβασε μὲν εἰς ἀκοήν, πλὴν οὐκ εὐσύντακτον.

3. Καὶ ἐπειδὴ ἀναγκαῖον ἦν τεταγμένως ἐκμαθεῖν τοὺς τοιούτους, ὅθεν τε γεγόνασι καὶ ἐκ τίνων, καὶ οἷον τὸ κατ' αὐτοὺς ὑπὲρ θεοῦ ἀγώνισμα (εἰσὶ δὲ αὐτοὶ Ἀλέξανδρος, Ἀλφειὸς καὶ Ζώσιμος ἀδελφοί, μάρτυρες, οἱ ἐπιλεγόμενοι Καλυτηνοί), ἐμεριμνήσαμεν ἐπιγνῶναι τὰ κατ' αὐτοὺς ἐκ τῶν περὶ αὐτούς, οὐκ ἀνθρώπων λέγω· πῶς γὰρ ἄν; ἐκ βιβλιακῆς δὲ συγγραφῆς. Καὶ τέως πρῶτα ζητήσας ἐγώ, καὶ μηδέποτε μαθών, ὁποίῳ τρόπῳ ἅγιοι οὗτοι οὐκ Εὐρωπαῖοι ἐν Θεσσαλονίκῃ διὰ σπουδῆς πολλῆς ἐγένοντο (ναός τε γὰρ αὐτοῖς ἐγήγερται ἀστεῖος καὶ οὐκ ἀνάξιος λόγου, καὶ ὁ τῆς μητροπόλεως οἶκος αὐτὸν ἀμφέπει), ἐστοχασάμην, μετοίκους τινὰς ἐκ τῆς Ἀσίας, οἷς οἱ τοιοῦτοι ἅγιοι ἔγχωροι ἦσαν, καταρτίσαι ποτὲ εἰς τὴν λαμπρὰν ταύτην πόλιν, καὶ ἐνιδρῦσαι ταύτῃ τὸ τῶν ἀθλητῶν ἐκείνων τίμιον ὄνομα εἰς ἐξεικόνισμα παρακλήσεως, ὡς ἂν οὕτω δοκοῖεν μὴ μετανάσται τῆς ἀνατολικῆς εἶναι πατρίδος καὶ ἐπήλυδες, ἀλλὰ τὴν αὐτὴν καὶ πάλαι οἰκεῖν, καὶ τοὺς αὐτοὺς θεομάρτυρας δεσπότας αὐχεῖν.

4. Καὶ τοῦτο μὲν οὕτως ἐκ τῶν εἰκότων κατέστησα ἐν ἐμοί, καὶ ἐμακάριζα τοὺς ἄνδρας ἐκείνους, δι' ὧν μετακομιδῆ τις καὶ αὕτη ἐσεμνύνατο ἁγιαστικὴ τῶν καθ' ἡμᾶς· εἶτα καὶ τῶν ἱερῶν πτυχίων γενόμενος, οἷς ἀνάγραπτα ἐντετύπωται τὰ τῶν τοῦ θεοῦ ἁγίων τούτων καὶ ὀνόματα καὶ πολιτεύματα, καθ' ἓν μὲν αὐτῶν σκιαγραφίαν εὗρον οὐκ εὐδιάπτωτον, ἀλλὰ ἰσχνὴν πάντῃ καὶ ἀμυδράν· ἑτέρῳ δὲ δευτέρῳ τὴν θέαν ἐπιβαλὼν ἔμαθόν τι εὐδιακριτώτερον. Ὡς δὲ καὶ τρίτον τι τεθεώρηκα, ἐπλατύνατό μοι τὰ τῆς διακρίσεως, καὶ τοῦ λοιποῦ σπόρον τοῦτον πνευματικὸν ἐκεῖθεν ἐρανισάμενος, καὶ τὴν ψυχικὴν αὔλακα νεώσας ὡς εἰς τρίπολον ἄρουραν, ἔρχομαι ἰδοὺ σπείρων, εὐαγγελικῶς εἰπεῖν, τοῦ σπεῖραι τὸν σπόρον ἐμοῦ, ὡς ὁ ἐπουράνιος γεωργὸς εἰς τέχνην ταύτην συνεβίβασε λόγους ἐνθεὶς μοι σπερματικούς.

5. Τοῖς εἰρημένοις τρισὶ μεγαλομάρτυσι πατρὶς Κάλυτος, ἢ κατὰ ἑτέρους Καλύτη· καὶ Καλυτὼ δὲ ἄλλοι τὴν τοιαύτην καλεῖσθαι θέλουσι, κώμην οὖσαν Ἀντιοχείας, αὐτῆς δὲ οὔτε τῆς Συριακῆς, οὐδὲ μὴν ἄλλης τινός, αἳ δὴ πολλαὶ κοινοῦνται τὴν τοιαύτην κλῆσιν, ἀλλὰ τῆς περὶ Πισιδίαν, εἴτε μὴν Φρυγογαλατίαν. Ἔθνος δὲ οἱ Πισίδαι βάρβαρον μέν, περίφημον δέ, οὓς λόγος καὶ Σολύμους καλεῖσθαι ποτέ. Ἡ τοιαύτη Καλύτη ἀγαθοὺς τούτους κωμήτας ἤνεγκεν, ἀστείως πεπολιτογραφημένους εἰς τὴν ἄνω μητρόπολιν. Καὶ τὸ πολιτογράφημα ἦν τοιοῦτον.

6. Μάρκος ἦν τις ἐν τοῖς ἐκεῖ ἀνήρ, εἰ καὶ μὴ κεχρισμένος ἱερατικῶς, ἄλλως δ' οὖν ἐν λαϊκοῖς τετελεσμένος τῷ θεῷ, καὶ χάριν ἐξ ἐκείνου σχὼν ἀποστολικήν· δι' ἣς ἐπιθυμήσας ἀνακεχωρηκέναι ποτὲ ἁπάσης, ἧς ἡ φαυλότης πολίτην παράγει μισούμενον θεῷ, ἐρήμοις τόποις ἐκδέδωκεν ἑαυτόν, ἐν οἷς καὶ θεοῦ φυτὰ πολλάκις κηπεύεται. || Ms. fol. 28. b. Ὄρεσι γὰρ ἔχαιρεν, οἷς καὶ θεῖα ἐντρέφεσθαι ποίμνια οὐκ ἀπαξιοῦσιν, ἐν οἵοις καὶ οἱ τῆς πάλαι πρωτόγονοι, Ἄβελ καὶ οἱ προφῆται, Δαυῒδ καὶ οἱ τῆς νέας ἱεροὶ σπυρίδωνες, καὶ ὅσοι κατ' αὐτοὺς τῇ κατ' αἴσθησιν ποιμαντικῇ τὴν κατὰ πνεῦμα ἐνέφαινον καὶ παρεδειγμάτιζον, διδασκαλικῶς αἰνιττόμενοι τοῖς κατὰ σάρκα τὰ πνευματικά, καὶ τῷ τοῦ ἔργου σώματι συμπαραδεικνύντες καὶ τὴν θείαν ἐν ψυχῇ τελειότητα. Καὶ οὕτως ἐποίμαινε πρόβατα θεοῦ καὶ

ἄρνια, ὀρέξεις ἀλογίστους εὐηθικῶς, ὅποι τύχοι, ῥεμβομένας, ὡς βόσκεσθαι, καὶ σκιρτήματα δὲ ἁπαλὰ διώκων (οὐκ ἐν καλῷ ἀρνευτῆρες, ὡς εἰπεῖν, πολλοὶ ἀπεκβαίνουσι), ἔτι γε μὴν καὶ ἀνθρώπους ἁπλοϊκούς, ὡς εἰκός, καὶ οἵους ἐθέλειν διὰ βίου ποιμαίνεσθαι χάριν θεοῦ.

7. *Ἀλλὰ ταῦτα μὲν τροπολογικῶς, ὡς ἄν τις ἀναγάγῃ θεοφιλῆ ποιμένα προβάτων. Ὁ δὲ Μάρκος, ὃν οὐκ ἔστι διὰ βραχέος ἀγαγεῖν λόγου, καὶ πρὸς αἴσθησιν καὶ αὐτὸς ποιμαίνων ἦν, καὶ οὕτω φιληδῶν ὄρεσι, καὶ θρεμμάτων τῶν αὐτοῦ μελόμενος, ἑαυτῷ δὲ οὔκουν ἐπιστρεφῶς ἔχων, ὅτι μηδὲ πρὸς κέρδος οἰκεῖον ἐποίμαινεν, ἀλλὰ τοῖς τοῦ θεοῦ ἀδελφοῖς ἐπονεῖτο, καὶ δι' αὐτῶν ἐδάνειζε τῷ θεῷ. Οὔτε τοίνυν εὔστολος ἦν τὴν περιβολήν, καὶ οὐδὲ τὴν σάρκα θεραπεύειν ἤθελε τρυφερῶς· διὸ καὶ τὴν κεφαλὴν ἀφῆκεν ἑαυτῆς εἶναι, καὶ περιουσιάζεσθαι κατὰ μόνας, ὅσα ἐθέλοι αὐτή. Λόχμη γοῦν ἐσχεδιάζετο κατ' αὐτὴν τριχῶν διαλεύκων, χαλωμένη ἕως καὶ εἰς πτέρνας αὐτάς. Εἰ δὲ καὶ ζῶα συχνὰ κεφαλῆς ἡ τοιαύτη λασιότης ἔτρεφεν, οὐκ ἂν ἀπεικὸς εἴη στοχάσασθαι.*

8. *Καὶ ἦν τῷ Μάρκῳ παράσημον ἐν τοῖς τότε σωματικὸν ἡ τοιαύτη τῆς κεφαλῆς τρίχωσις τῆς καὶ ἐν ζωῇ θαυμασίας, καὶ οἵας ἐκπλήττειν τοὺς θεατάς, καὶ μετὰ θάνατον τεραστίας ἄλλως διὰ τὸ καταπονεῖν δαίμονας. Τμηθεῖσα γὰρ κελεύσει τοῦ Μάγνου, καὶ ὡς εἰς πρωτόλειον πεμφθεῖσα τῷ ναῷ τῆς Ἀρτέμιδος, ἅμα γέγονεν ἐντός, καὶ αὐτίκα ἐτερατούργησε. Τὰ γὰρ εἴδωλα τὰ ἐκεῖ, ὡσεὶ καὶ ἔμψυχα ἦσαν, ἔκυψαν καὶ ἐταπεινώθησαν· καὶ αὐτὰ μὲν συνετρίβησαν, ἐξήγειραν δὲ ἀπὸ κατωτάτων ἀπιστίας ἀνθρώπους ἀγαθούς, καὶ παρέστησαν τῷ θεῷ εἰς αἰσχύνην μὲν τοῦ ἀρχεκάκου διαβόλου, δόξαν δὲ τοῦ καλῶν αἰτίου θεοῦ.*

9. *Νίκων γάρ τις καὶ Νέων καὶ Ἡλιόδωρος ἰδόντες τὴν συντριβὴν τῶν φαύλων ἐκτυπωμάτων ἐκείνων, καὶ ἐν αὐτῇ καταλαβόντες τὴν αὐτὰ ὠθήσασαν καὶ καταρρίψασαν καὶ συνθρύψασαν θείαν δύναμιν, κατεῖπον μὲν τοῦ πρωτοτύπου δαίμονος καὶ ἀπεστάτησαν· προσεχώρησαν δὲ τῷ θεῷ καὶ ἡγιάσθησαν, γῆς μὲν ἀπαναστάντες τῇ τῆς κεφαλῆς ἀποτομῇ, τῆς ἐν ἀνθρώπῳ, τῷ οὐρανίῳ φυτῷ, ῥίζης, ἐν παραδείσῳ δὲ ῥιζωθέντες εἰς ἀείζωον. Ἀλλὰ ταῦτα μὲν ὕστερον· ἡμῖν δὲ ἀφεμένοις τοῦ κατὰ κεφαλὴν παρασήμου, θεωρητέον τὸ κατὰ ψυχὴν ὡς τῷ παντὶ μεῖζον καὶ θαυμασιώτερον. Ἀρετῶν γὰρ ταμεῖον ἐτύγχανεν ὁ ἀνήρ, καὶ ἐξ αὐτῶν διεδείκνυτο, προκείμενος εἰς διδασκάλιον θεῖον τοῖς μανθάνειν ἐθέλουσιν.*

10. *Ὡς γὰρ οὐκ ἐν δυναστείᾳ ἵππου ἐθέλει ὁ θεός, οὐδὲ ἐν κνήμαις ἀνδρὸς εὐδοκεῖ, οὐδὲ ἐν ἄλλοις τοιούτοις· οὕτως οὐδὲ ἐν πλούτῳ καὶ περιουσιασμῷ καὶ λοιπῇ βίου λαμπρότητι, ἀλλὰ καρδίαν ἐπιζητῶν καθαρὰν ἀεί, καὶ πνεῦμα συντετριμμένον, καὶ οἰκίαν τοιαύτην σεσαρωμένην κηλῖδος ἁπάσης. Καὶ εὑρὼν τὸ ζητούμενον ἐνοικεῖ ἐκεῖ καὶ ἐμπεριπατεῖ, καὶ πληρώσας τὸν τοιοῦτον αὐτοῦ οἶκον καὶ πλοῦτον παντὸς οἰκείου καὶ εὐωδίας φίλης αὐτῷ, τῇ μὲν ὀδμῇ καταμηνύει, ὅπου μένει, καὶ ἐφέλκεται τοὺς τὴν νοερὰν ὄσφρησιν ὑγιαίνοντας, τῷ δὲ πλούτῳ καταντλεῖ τοὺς προσιόντας, καὶ ἀνθρώπους τοῦ οἰκείου λόγου εἰσποιεῖται αὐτούς.*

11. *Οὐκοῦν καὶ τὸν Μάρκον τοιοῦτον εὑρηκὼς οἰκήτορα εὐηρεστήθη, καὶ ἄραντα τοὺς ὀφθαλμοὺς ἰδὼν εἰς ὄρη ἐκείνῳ ἀρέσκοντα, ἦλθεν αὐτῷ εἰς βοήθειαν, καὶ ἐνοικήσας αὐτῷ ἐπλούτισεν ἀγαθοῖς, καὶ εὐώδιασε θείᾳ χάριτι, καὶ οὕτως ἐπαγωγὸν εἰργάσατο τοῖς ἐγνωκόσι τὰς ἐν αὐτῷ ἀρετάς· οἳ καὶ τρέχοντες εἰς αὐτὸν καὶ ἀκροώμενοι τοῦ θεοῦ λαλοῦντος δι' αὐτοῦ, καὶ βελτιούμενοι, οὐκ ἀνίεσαν θαμίζοντες καὶ τὸ τοῦ Μάρκου ποίμνιον πληθύνοντες, ἵνα μὴ μόνον ζῶα γῆς ποιμαίνῃ, ἀλλὰ καὶ μᾶλλον τὰ τοῦ θεοῦ.*

12. *Πολλοὶ οὖν ἐφοίτων παρ' αὐτῷ διδασκαλίας καὶ συμβιώσεως χάριν, ἐν οἷς καὶ παρθένοι, γυναῖκες καὶ νήπια· οἷς καὶ αὐτοῖς ὁ ἅγιος τὰ τῶν θείων διδασκαλιῶν ἐνθεὶς ἀγώγιμα, ὡς ἠδύναντο || (Mc. fol. 29 a.) χωρεῖν, εἰς τὸν ἐκεῖ σωτήριον ἐναυστόλησε λιμένα, καὶ οὕτω περιεσώσατο εἰς θεόν. Καὶ εἴθε ἦν καὶ αὐτὰ ἐκεῖνα ἐξονομάζεσθαι, ὡς ἂν εἴχομεν καὶ δι' ὀνομάτων ἐκείνων ἁγιάζειν καὶ ψυχὴν καὶ γλῶσσαν καὶ τὸ λοιπὸν σῶμα, τὸ μὲν τῇ μνήμῃ, τὸ δὲ τῇ γλώττῃ, τὸ δὲ τρίτον τῇ διαδόσει! Ἐπεὶ δὲ ἡ συγγραφὴ ἀνωνύμους ἀφῆκε, καθὰ καὶ τοὺς ἄνδρας μαθητάς, οὕτω καὶ τὰς παρθένους καὶ τὰ νήπια, θαυμαστέον τὸν μέγαν Μάρκον ἐν τῷ διορᾶσθαι, ὅπως θεοῦ σεπτοὺς τούτους ἀμνοὺς καὶ ἁγίας ἀμνάδας καὶ καθαρὰ ἀρνία ποιμάνας καλῶς, καὶ εἰς νηπιότητα πνευματικὴν ἐκθρέψας, εἶτα καὶ τεθυμένοις τῷ θεῷ συγκατεσφάγη καὶ αὐτός, ἱερεῖον ἀναφορηθὲν εἰς εὐπρόσδεκτον τῇ ὑψίστου τραπέζῃ. Ἀλλ' ἐπειδὴ καὶ τοῦτο ὕστερόν ἐστιν, ἐκθετέον τὰ πρὸ τῆς τοιαύτης θεοφιλεστάτης θυσίας· ὧν τοιαύτη τις ἡ διάθεσις.*

13. *Διοκλητιανῷ, πολυκεφάλῳ ἐκείνῳ θηρίῳ, τῷ βραχύ τι παρὰ δαίμονα ἠλαττωμένῳ τά γε εἰς μῖσος χριστιανικόν, κεφαλὴ μιαρὰ παραπεφύκει ὁ ἡγεμὼν Μάγνος, τί μὲν οὐ μηχανώμενος, τί δὲ οὐ λέγων, τί δὲ μὴ πράττων κατὰ θεοῦ καὶ τῶν τοῦ θεοῦ; περίπυστος καὶ αὐτὸς τὴν κακίαν, δαίμονος μεγάλου ἐκείνου δαίμων αὐτὸς οὐκ ἐλάττων ὑπασπιστής, φιλονεικῶν*

μὴ μόνον πρὸς ἰσότητα τῷ φαυλεπιφαύλῳ δεσπότῃ συντρέχειν, ἀλλὰ ὑπερβάλλειν ἐκεῖνον τῷ εἰς κακίαν συντόνῳ δρόμῳ.

14. *Οὗτος γυμναζόμενος οἷον εἰς τὸ ἀγρεύειν Χριστιανοὺς διὰ τὸ φιλεῖν τὰ θηρατικά (καθὰ ἔμπαλιν ὁ Μάρκος καὶ οἱ κατ' αὐτὸν εἰς ἡμερότητα διὰ τοῦ φιλοποίμενες εἶναι), προὐβάλετο ἐξηγητὴν θήρας τοιαύτης Διομήδην τινά, κυνηγετεῖν δὲ δεξιὸν καὶ μισόχριστον, ἵνα κακῷ ἄρχοντι συνεξομοιοῖτο καὶ ὁ ἀρχόμενος. Ὁ δὲ τὰ μὲν κυνηγετικὰ ὅπως τὸν Μάγνον ἐθεράπευεν, ᾔδεσαν ἐκεῖνοι· ὡς δὲ καὶ κατὰ θεοῦ δεινὸς ἦν ἀγρεύειν, ἐντεῦθεν δῆλον.*

15. *Προῆλθέ ποτε θηρασόμενος παντοίαν ἄγραν, καὶ εἶχε περὶ ἑαυτὸν πολλοὺς ἱκανοὺς τὰ τοιαῦτα, διεσπαρμένους ἄλλους ἀλλαχοῦ κατὰ ζήτησιν ὧν ἤθελον· οἳ καὶ διερευνώμενοι τὰ ἐκεῖ παρατυγχάνουσι τῷ Μάρκῳ διδάσκοντι, καὶ ἅμα βλέπουσι καὶ ἐκπλήττονται. Ἦν γὰρ ἀληθῶς θεαθεὶς τότε μὲν τεράστιον θέαμα, τοῖς ὕστερον δὲ παράδοξον ἄκουσμα. Ἄνθρωπον μὲν γὰρ ἰδεῖν νηστευτικόν, καὶ κατεσκληκότα λιμῷ, καὶ σκιὰν ἀνδρὸς ἐμφαίνοντα, καὶ βεβριθότα μαλλοῖς λευκοῖς ἐκ κεφαλῆς ἕως ποδῶν, οὐκ ἐς τοσοῦτον ἐθαύμασαν· τὴν δὲ πρὸ ποδῶν ἐκείνῳ κειμένην ἄρκτον, καὶ πρᾴως λιχμωμένην αὐτούς, καί, ἐπεὶ μὴ λαλεῖν εἶχεν, ἀφοσιουμένην οὕτως τὸ λαλητικὸν λειτούργημα, ὑπερεξεπλάγησαν, καὶ ὁ φόβος μὲν ἤθελεν ἀφιστᾷν ἐκείνους τοῦ τε Μάρκου καὶ τῆς ἄρκτου. Τὸ δὲ θαῦμα κατεῖχεν, ὥςτε παραμένειν καὶ βλέπειν· μᾶλλον δέ, εἰπεῖν, ἵσταντο ἐννεοί, πεπηγότες τῷ δέει καὶ τῷ θαύματι, ἕως τεθαῤῥηκότες προςκαλουμένῳ τῷ ἁγίῳ ἤγγισαν πρὸς αὐτόν.*

16. *Καὶ τότε πυθόμενοι, καὶ τὰ κατ' αὐτὸν ἀκριβολογησάμενοι, καὶ μαθόντες, Χριστοῦ λατρευτὴν αὐτὸν εἶναι, μετέβαλον καὶ τὸ θάμβος καὶ τὸ δέος εἰς μανίαν τὴν κατ' αὐτοῦ, καὶ μάλιστα τὸ κακὸν θηρίον, ὁ Διομήδης, ὃς καὶ αὐτίκα καταμηνύει τῷ Μάγνῳ τὸ φίλον ἕρμαιον, τὸν καλὸν Μάρκον, οὐκ αἰδεσθεὶς τὴν μαθήτριαν ἄρκτον· ἣν διδαχθεῖσαν οἷον πρὸς τοῦ ἁγίου ἡμέρως ἔχειν ἰδὼν αὐτός, καὶ ὀφείλων μαθεῖν ἐξ ἐκείνης, ὅσα καὶ διδασκάλου, τὸ ὅμοιον, ὅμως ἀθίθασσος ἀπέβη θὴρ κατὰ τοῦ θεοφιλεστάτου γέροντος. Οὐ γάρ ἐστιν ὑπολαβεῖν, ὡς ἡ ἄρκτος πρὸ ποδῶν τῷ Μάρκῳ ἔκειτο, τιθασὸς ἐς τοσοῦτον γενομένη δίχα γε πραγματείας θείας, ἵνα δηλαδὴ θεασάμενοι αὐτὴν οἱ ἀμφὶ τὸν Διομήδην μιμήσωνται, καὶ τὸν τοῦ θεοῦ αἰδήσωνται ἄνθρωπον.*

17. *Ἀλλ' οὕτω μὲν κατεμηνύθη ὁ Μάρκος τῷ Μάγνῳ· καὶ αὐτὸς ἁρπάσας τὴν εἴδησιν στέλλει στρατιώτας τριάκοντα, οἳ καὶ συλλαβόντες αὐτὸν γλυκὺ θήραμα, τῷ Μάγνῳ παρέστησαν, παρασπιζόμενον καὶ μαθηταῖς· ὃς ἀνακρίνας καὶ εὑρηκὼς τὸν ἀρχηγέτην τῆς θήρας μὴ ψευσάμενον (ὡμολόγει γὰρ καὶ τῷ τυράννῳ εἰς κοινὴν ἀκρόασιν ὁ Μάρκος, Χριστιανὸς εἶναι, καὶ οὐ διεστρέφετο τῆς τοιαύτης ὁμολογίας οὔτε θωπείαις, οὔτε ἀπειλαῖς), παραχρῆμα μὲν ἤρτο μετεωρισθείς. Καὶ ||* Mr. fol. 20. b. *ἀμυσσόμενος ἐφ' ἱκανὸν ἐξέστο, καὶ λοιπῶν δὲ βασάνων δεινῶν εἰς πεῖραν ἦλθεν, ἀγγέλου παρισταμένου, καὶ ἀοράτῳ δυνάμει ἐπιῤῥωννύντος, καὶ εἰς καρτερίαν στερεοῦντος. Εἶτα καὶ ἐν φυλακῇ τεθείς, καὶ μηδὲ οὕτως ὑπενδούς, παρεπέμφθη καὶ εἰς ἑτεροῖον κάματον.*

18. *Ὡς γὰρ μὴ ἀρκούντων ὧν ἔπαθεν, ἠκολούθησε τῷ Μάγνῳ ἕως καὶ εἰς τὴν περιᾳδομένην Κλαυδιούπολιν, ἵνα μεταφυτευθεὶς ἐκ τῆς τῶν Πισιδῶν εἰς τὰ ἐκεῖ, φυτὸν θεοῦ εὐγενές, κάρπιμος καὶ τῇ τοιαύτῃ χώρᾳ ἐπὶ σωτηρίᾳ γένηται· ὅπου καταντήσας, καὶ τοῖς φθάσασιν ἐμπονήμασι προςεπιθεὶς καὶ τὴν ἐκ τῆς ὁδοιπορίας δυςκολίαν, καὶ μὴ πειθόμενος μεταβαλέσθαι κακὴν ἀλλοίωσιν, κερδαίνει καὶ ἐκεῖθεν ζηλωτὰ θρέμματα τοὺς ἐν γλώσσῃ κειμένους ἡμῖν ἄρτι μεγαλομάρτυρας Καλυτηνούς, ἐκ τῆς Πισιδικῆς, οἷα εἰκός, χώρας ἐκεῖσε κατηντηκότας ἢ μετοικεσίας λόγῳ, ἢ ἐμπορίας, ἢ ἄλλως ὁπωςοῦν.*

19. *Ἔτυχον δὲ εἶναι αὐτοὶ χαλκέες μὲν τὴν τέχνην, δι' αὐτῆς ἀποζῶντες εἰς αὐτάρκειαν, ψυχῆς δὲ χρηστότητα, ὡς ἐκ τῶν ὕστερον ἔστι τεκμηριώσασθαι, θερμοὶ τὸν εἰς ἀγαθὰ ζῆλον, καὶ οἷοι ἅμα λαβεῖν ἀρχὴν καλοῦ, καὶ αὐτίκα γενέσθαι τοῦ τέλους. Τοιοῦτοι δὲ πάντως οἱ εὐφυεῖς τὰ ἐς χρηστομάθειαν, ὃ δὴ ἀρχῶν ἡ καλλίστη τοῖς φιλοκάλοις προϋποβέβληται· χρὴ γὰρ ζώπυρον ἀγαθοῦ θελήματος ἐγκεῖσθαι τινὶ ἐς ψυχήν, κἂν εἰ καὶ πονηροῖς ἐντρίβοιτο ἤθεσί τε καὶ πράγμασιν, ἵνα, ὁπηνίκα ἐπίπνοια θεία ῥιπίσῃ αὐτό, καὶ τὴν ἐπιπροςθοῦσαν ἀπαγάγοι βιωτικὴν τέφραν, εὐθὺς ἀναλάμψοι φῶς ἀληθείας, καὶ ἄνθρακες ἐξαναφθεῖεν ἀφανίζοντες τὴν φθάσασαν μοχθηρὰν ὕλην, ἧς ὁ φορυτὸς ἀχρειοῖ τὸ ἐν ἀνθρώπῳ ἔνθεον καὶ ἄϋλον. Ταύτης τῆς εὐφυΐας ὄντες καὶ οἱ Καλυτηνοὶ ἐξ αὐτῆς πρώτης πλάσεως, τέως μὲν ἐπλάζοντο περὶ τὰ τοῦ βίου, καὶ τοιούτῳ πελάγει ἐμπλέοντες ἐφέροντο εἰκῇ καὶ μάτην, ἔνθα παρέσυρεν αὐτοὺς πνεῦμα, οὐ τὸ θεῖον, ἀλλὰ τὸ πονηρόν· εἰ δέ που καὶ κατῆραν εἰς γῆν, ἀλλὰ καὶ αὐτὴ οὐ σταθερὰ ἦν αὐτοῖς, ἀλλὰ κατέσειε τὰς αὐτῶν βάσεις, καὶ οὕτω τῆς εἰς ὀρθὸν ἀπεστέρει στάσεως.*

20. *Οὐκ ἦν γὰρ ἐν τοῖς τότε καιροῖς οὔτε ἀσάλευτα πλέειν, οὔτε στεῤῥὰ βαδίζειν, οἷα τῆς δαιμονικῆς*

ἐπιφορᾶς πᾶσαν καὶ θάλασσαν καὶ γῆν, τὴν μὲν κυμαινούσης, τὴν δὲ κατασειούσης, καὶ μὴ ἀφιείσης τὸ τοῦ θεοῦ πλάσμα πρὸς αὐτῷ εἶναι, ἀλλ' ἐξαρπαζούσης οὐκ εἰς ὄρος ἢ κῦμα θαλάσσης, καταβιβάζειν δὲ καὶ εἰς αὐτὸν βιαζομένης τάρταρον. Καὶ οὕτω μὲν ἄχρι καὶ τοῦ κατὰ τὸν Μάρκον μαρτυρίου ἐβίουν οἱ Καλυτηνοί, πλουτοῦντες μὲν ἀγαθῇ μόνῃ διαθέσει, καὶ εὐμαθεῖ φύσει, καὶ ὀξυτάτῃ εἰς τὸ καλὸν ἀναβλέψει, καὶ ἐπαινετῇ προθέσει, ἄλλως δὲ πενόμενοι τοῦ τελείου, ἐπεὶ μὴ εὕρισκον τὸν κατάρξαντα καὶ οὕτω καθηγησόμενον εἰς αὐτό. Ἢ τί ἂν ἐποίουν ἐν σκότῳ μὲν οἷον βαθυτάτῳ ὄντες, ὅπερ ἐκδύντες γένοιντο ἂν τοῦ φωτός, μὴ ἔχοντες δὲ τὸν προπορευόμενον, μάλιστα δὲ μηδὲ εἰδότες, ὅ,τι ποτέ ἐστι φῶς; Ὡς εἶναι διὰ τοῦτο περὶ αὐτῶν οὐκ ἀφυῶς εἰπεῖν τό· ὡς τὸ σκότος αὐτοῖς, οὕτω καὶ τὸ φῶς.

21. Ἔχουσι δὴ οὕτω τοῖς Καλυτηνοῖς, καὶ δεομένοις ἀφορμῆς ἀγαθῆς, ἵνα καὶ αὐτοὶ γένωνται ἀγαθοί, καὶ τὸ κατὰ δύναμιν φύσει σοφὸν μεταβάλωσιν εἰς τὸ ἐνεργείᾳ σοφώτατον, ἐπιφαίνεται θεόθεν ποδηγός, ἀπὸ σκότους εἰς φῶς ἐξάγων, ὁ εὐγήρως Μάρκος, ὁ τοῦ μεγίστου ἀρχιποιμένος καλὸς ποιμήν, ὁ ἐν ἤθους ἁπλότητι ἀγχίνους τὰ θεῖα, ὁ ἐν ἰδιωτείᾳ θυμόσοφος καὶ θεόσοφος· ᾧ γνῶσιν ἐλλάμψας ὁ θεὸς διδασκαλικήν, καὶ τὴν ζωϊκὴν ποιμαντικὴν αὐτῷ τηρήσας μέχρι καὶ εἰς αὐτὸ τέλος ζωῆς, ἵνα μηδέποτε τοῦ φιλοθέως ποιμαίνειν ἀποστερηθείη, ἐπορίσατο δι' αὐτοῦ ἀμνοὺς φίλους, οὓς ἐκεῖνος πνευματικῶς θρεψάμενος προσήγαγεν αὐτὸ εἰς ἅγιον σφάγιον, εἰς εὐώδη ὀσμήν, εἰς προσφορὰν δεκτήν, εἰς θῦμα φιλητὸν καὶ σωτήριον ἡμῶν, τῶν τοῦ θεοῦ.

22. Ἐπεὶ γὰρ ὁ Μάρκος ὑπὲρ ἡλικίαν γεροντικὴν ἠνδρίζετο, καὶ ὁ θεὸς οὐκ ἐνεδίδου αὐτῷ ἀποκάμνειν, ὡς ἂν τῷ κατ' ἐκεῖνον ζήλῳ καὶ οἱ νεώτεροι καὶ οἱ ἀκμάζοντες ἔχωσιν ἐκπυροῦσθαι εἰς τὰ βελτίονα, ἐταμιεύετο μὲν ὁ Μάγνος αὐτὸν ποιναῖς εἰς τὸ μέλλον· τῷ τέως δὲ κακῶσαι τοὺς πόδας διέκρινε τῷ ἁγίῳ γέροντι ἀφορήτῳ βαρύτητι κλοιῶν, ἵνα ταῖς ἤδη ἐκ τῆς ὁδοιπορίας κακώσεσι προσεπιλάβοι καὶ τὰ ἐκ τῆς προσφάτου ποδοκάκης, καὶ δεινὰ πάσχοι, ὥσπερ πρὸ βραχέων ὁδοιπορῶν, || (Mc. fol. 30. a.) οὕτω καὶ νῦν ἀκινητίζων ἐν φυλακῇ. Καὶ μὴν φορτικώτερον εἰς πλέον ἦν τὸ τῆς ὁδοιπορίας ἐκείνης ἐπιβούλευμα· κρηπῖδες γὰρ σιδηραῖ ἥλοις ἐντὸς ἐς ὀξύτατα φρίσσουσαι, καὶ οὕτω τοὺς πόδας κακοποιοῦσαι, εὐκταίαν, οἶμαι, τῷ ἁγίῳ τὴν εἰς ᾅδου ἐποιοῦντο πορείαν, διὰ τὸ τῆς ὀδύνης ἀφόρητον.

23. Κατακρίνας οὖν οὕτω δεσμοῖς οὐ φορητοῖς τὸν ἅγιον Μάρκον ἀναγὴς Μάγνος, ἀνεζήτει τεχνίτας χαλκευσομένους τὸ ποθούμενον· καὶ ταχὺ εὑρέθησαν οἱ Καλυτηνοὶ πρός γε τῶν θερμῶν εἰς κακίαν. Ὀξεῖς γὰρ εἰς ἀνεύρεσιν κακοῦ οἱ πονηροὶ θεράποντες, καὶ οὐχ οὕτως ὁ ἀγαθὸς εὐπορεῖ τοῦ πρὸς ἐπιθυμίαν, ὡς ὁ τῆς πονηρίας ἄνθρωπος. Δυσπόριστον μὲν γὰρ ἅπαν ἀγαθόν, διὸ καὶ πόνοις κτᾶται· εὐπόριστον δὲ τὸ φαῦλον, ὅθεν καὶ εὔληπτον.

24. Ὡς οὖν εὑρέθησαν οἱ χαλκεύσοντες, καὶ ἤχθησαν, καὶ μισθοῦ ὁρισθέντος ἐτάχθησαν πρὸς τῇ κατεργασίᾳ τῶν δεσμῶν, καὶ ἐσπεύδοντο, αὐτοὶ μέν, τῆς κατὰ φύσιν ἀγαθότητος ἐπισπερχούσης, ἐποίουν τὰ τῆς τέχνης, ἵνα μὴ ψεύδοιντο τὸ ἐπάγγελμα, καὶ ψευδόμενοι ἀπεναντίας ἔρχοιντο τῷ ἄρχοντι. Οὐδὲ γὰρ εἶχον ἢ νοεῖν, ἢ ὑπονοεῖν τὸ κατ' ἐκεῖνον κακόβουλον· οὐδὲ μὴν ἐπίσταντο, ὅστις ποτέ ἐστιν ὁ Μάρκος, ἢ ὁ τοῦ Μάρκου θεός· ὡς, εἴπερ ἐγίγνωσκον, τάχα ἂν οὐδὲ τὴν ἀρχὴν ἐπεβάλοντο κατεργάζεσθαι κλοιὰ τοιαῦτα, ἥρπασαν δὲ ἂν τὸ μαρτύριον πρωϊαίτερον. Καὶ ταῖν τὸ μὲν πῦρ αὐτοῖς ἐντελῶς εἶχε, καὶ ὁ σίδηρος ἤδη πῦρ ἦν ἐκφλογούμενος. Ὡς δὲ καὶ ὁ ἄκμων εἶχεν αὐτόν, καὶ ἐχρῆν σφυρηλατεῖσθαι αὐτὸν εἰς δεσμό, εἰ μὲν αἱ χεῖρες αὐτοῖς νάρκην ἔπασχον (ἔπασχον δὲ ἀληθῶς), δόξοι ἂν αὐτὸ οὐ πάνυ πολλῆς ἐπισημασίας ἄξιον. Ἐκεῖνο δὲ ἐπιστῆσαι μάλιστα χρή, ὅτι τὸ χώνευμα οὐκέτι ἔστεγεν εἶναι σίδηρος, ἀλλὰ τὴν συνίζησιν ἀπηρνεῖτο, καὶ τρέχειν οἷον ἐθέλων, ὡσεὶ καὶ ὕδωρ ἐχέετο, καταρρυϊσκόμενος, καὶ διεσκορπίζετο, καὶ συναγόμενος πάλιν ὡς ἐξ ὑπαρχῆς, καὶ ἀποκαθιστάμενος πρῶτα μὲν εἰς μέλανα σίδηρον, εἶτα καὶ εἰς ἀνθρακώδη τῇ ἐκφλογώσει· καὶ μηδὲ πάλιν φέρων σφύρᾳ τύπτεσθαι, ἀλλ' οἷον ὑποστελλόμενος τὰς τοιαύτας πληγάς, καὶ ἑαυτὸν συστέλλων ὡς εἰς ἄχνην. Καὶ οὕτω τὴν ἐκ φύσεως λύων συνέχειαν, οὐκ ἤθελε τοὺς τοῦ Μάρκου περιυβρίσαι πόδας, πρὸ ἐκείνου θνήσκων οἷον αὐτός, οἷς εὐλαβεῖτο συμποδίσαι τὸν εἰς ἀγαθὸν τρέχοντα. Καὶ τὸ πάθος ἐγίνετο πολλάκις κατὰ τὸ πάλιν καὶ πάλιν.

25. Ὕπεισιν οὖν ἐπὶ τούτοις λογισμὸς ἔμφρων τοὺς χαλκευτάς, θεῖον εἶναί τι πρᾶγμα τὸ γινόμενον, καὶ ἀληθῶς τεράστιον, καὶ οὐκ ἂν μὴ σημαντικὸν μεγάλου ἀποτελέσματος· καὶ ὁ λογισμὸς οὗτος ἐμβαθύνας καὶ ἐγκαθίσας ἐς ψυχήν, καὶ εἰς θεολογίαν ἀπολεπτύνας αὐτοὺς ἐποίησε φιλοσοφῆσαι, ὡς οὐκ ἄνευ ταῦτα θείας δυνάμεως οὐδὲ θεοῦ δίχα. Πῶς γὰρ ὁ σίδηρος, ὁ εἰς ἓν συρρέων τῇ ἐκπυρώσει, καὶ τῇ ἀναχωνεύσει τὴν σκωρείαν ἐκτινάσσων, καὶ οὕτως εἰς καθαρὸν ἀποκαθιστάμενος, καὶ ῥᾷον τὸ ἐντεῦθεν συμπιλούμενος καὶ πυκνούμενος, εἰ τύπτεται πρὸς ἔλασμα, νῦν

πλαδαροῦται, ὡς καὶ διαῤῥυΐσκεσθαι τρόπον ὕδατος, εἰ μὴ κατά τι θεῖον συγκύρημα ξένον τι ἐπεσκευωρεῖτο συνάντημα; Καὶ αὐτίκα συνεισήγχετο νοῦς αὐτοῖς, θεοῦ ἄνθρωπον εἶναι τὸν δεσμησόμενον, καὶ διὰ τοῦτο ἐμποδὼν εἶναι τὸν τοῦ Μάρκου θεὸν τῇ εὐοδώσει τοῦ ἔργου αὐτῶν.

26. Πάντως γὰρ φήμης ἀναβοωμένης, οὐκ εἶχε λανθάνειν οὐδ' αὐτοὺς ὁ Μάρκος, ὅτι θεοὺς μὲν ἀπωθούμενος καὶ ψέγων ὡς μὴ ἀληθεῖς, ἑνὶ δὲ θεῷ προσανέχων, καὶ θεὸν ὄντως αὐτὸν ἐπαγωνιζόμενος εἶναι, τετίμηται δεσμοῖς. Ὅθεν τοιαῦτα σοφισθέντες ὑπὸ τοῦ ἐντὸς αὐτῶν διδασκάλου, ὑποφητεύοντος δηλαδὴ θεοῦ ταῖς τοῦ ἁγίου Μάρκου εὐχαῖς, τόν τε ἐκβοώμενον πιστότατον Μάρκον ἀποδέχονται τῆς ὑπὲρ τοῦ φιλητοῦ δεσπότου ἐνστάσεως, ὃν αὐτὸς κηρύττειν ἐθέλει· καὶ τῷ θεῷ διὰ τῆς τοιαύτης ἀποδοχῆς ὁσιοῦνται, καὶ τὸν τύραννον ἀποστυγοῦσι, καὶ γραφέντες εἰς τὸ καλῶς νοεῖν, πρὸς τῷ ἁγίῳ Μάρκῳ τὸν νοῦν ἔχουσι.

27. Τί δὲ οὐκ ἔμελλον ποιῆσαι οἱ πρὸς τῷ ἔσω μυσταγωγῷ, τῷ ἐξ ἐλλόγου φύσεως, καὶ τὴν ἐξ αὐτοῦ θεοῦ διδασκαλίαν τρανῶς ἐιωτισάμενοι; Φωνὴ γὰρ οὐρανόθεν ἀπηχήθη καὶ αὐτοῖς, ὁποῖαι καὶ ἄλλαι μυρία ἐβρόντησαν θεοπαράδοτα νοήματα, θαῤῥύνουσα τοὺς Καλυτηνοὺς εἰς τὸ ἀθλῆσαι. Ἠι κατακολουθοῦντες, τούς τε πυραγρικοὺς || καρκίνους ῥίπτουσι, καὶ

Ms. fol. 30. b.

συναποβάλλουσι δὲ καὶ τὰς σφύρας· καὶ τὴν ἀσβόλην μὲν ἀπειπάμενοι, τὴν ἐκ τῆς τέχνης, καὶ τὸν ἐκεῖθεν ῥύπον, τὸ δὲ φῶς ἐγκρίναντες, τὸ καὶ ὄντως καὶ ἄῤῥητον, ὃ καὶ ἐκληρώσατο αὐτοὺς ὑπὲρ θεοῦ ἀθλήσοντας, καὶ οὕτω διαφυγόντας, ὥσπερ τὸ κατὰ τέχνην πῦρ, οὕτω καὶ τὸ αἰώνιον, τρέχουσιν ἐπὶ τὸν Μάγνον. Καὶ τέως μὲν καὶ ἀποστρέφουσιν, ὃν ἔλαβον μισθὸν τῆς κατὰ τοῦ Μάρκου σιδηροποιΐας, ἵνα καὶ τὸ ἀργύριον αὐτοῦ σὺν αὐτῷ εἰς ἀπώλειαν· εἶτα καὶ πληροφοροῦσι λόγοις οὐ μακροῖς, ἑτοίμως ἔχειν θνήσκειν ὑπὲρ τοῦ θεοῦ, ὃν ὁ Μάρκος κηρύσσει, καὶ μὴ ἂν ἐθέλειν τοῦ λοιποῦ μηδὲ ζῆν, εἰ συγχρᾶσθαι κινδυνεύουσιν ἀθέοις, μᾶλλον δὲ συγχραίνεσθαι.

28. Καὶ τοίνυν κρατηθέντες αὐτίκα ἤμειψαν κολάσεις ἐκ κολάσεων πολυειδεῖς, οὐ μόνον ὁποίαις ὁ Μάγνος ἐνεθισθεὶς προεχειρίζετο αὐτάς, καὶ ἐπὶ τούτοις τοῖς ἀθληταῖς οὐδὲν τῶν ἄλλοτε φθασάντων ἔλαττον, ἀλλὰ καὶ ἑτέρας καινοτέρας, ὁπόσας ὁ φαυλοδιδάσκαλος δαίμων ὑπηγόρευεν. Εἰώθασι γὰρ ὡς τὰ πολλὰ ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι οἱ τύραννοι, καὶ προςεξευρίσκειν ἀεὶ τὰ ἐκπλήττοντα τοὺς παραπίπτοντας, καὶ οὕτω προςαύξειν τὸ ἐν αὐτοῖς φρικαλέον, πραγματειώδη ποιούμενοι τὴν ἀγριότητα, καὶ τοῦ κατ' ἄνθρωπον ἡμέρου τὸ θηριῶδες ἀλλαττόμενοι. Ἐπεὶ δὲ τὰ μὲν κολαστήρια παρ' οὐδὲν ἦσαν τοῖς ἀθληταῖς, λόγος δὲ ἅπας ἄπρακτος ἦν ἐν αὐτοῖς, ὅ τε πρὸς ἀπειλὴν καὶ ὁ ἐπὶ παραινέσει, εὐτραπελεύεται ὁ χαιρέκακος οὐ πάντη ἀπροςφυῆ τοῖς μάρτυσι κόλασιν.

29. Βουλεύεται γάρ, τοὺς διὰ ἐργασίας βαναύσου ζῶντας, τῆς ἐν πυρί, τρεῖς Καλυτηνούς, διὰ πυρὸς ἀγαγεῖν, καὶ τῆς τοῦ σιδήρου ἐργασίας ἐκείνης, ἣν πῦρ οὐ κατειργάσατο, καταπαῖξαι διά τινος ὁμοίας διαχωνεύσεως, ἵνα, ᾧπερ ἔζων, τούτῳ ἀπαλλαγεῖεν τοῦ ζῆν. Καὶ τήξας μόλιβδον ἀρκοῦντα, καὶ χώνην ἐνθεὶς ἑκάστῳ τῶν μαρτύρων ἐπὶ τὸ στόμα, καθὰ καὶ ἀγγείοις ὑγροῦ τινος δεκτικοῖς, ζέοντα ἐκεῖνον ἐνέχεε κατὰ τῶν τριῶν, εἴ πως ἐμπρησθέντες οὕτω τὰ ἐντὸς αὐθωρὸν ἀποῤῥήξωσι τὴν ζωήν.

30. Εὐτεχήθη δὲ ἄρα οὐδὲ ἡ τοιαύτη τῷ Μάγνῳ ἐπίνοια πρὸς ἐντελῆ ἐνέργειαν, ἀλλ' ἐξέβαινεν ὡςεὶ ἄπρακτος παιδιά. Ἦν γὰρ ὁ τοιοῦτος μόλιβδος ἀβλαβὴς ἐκείνοις, καθὰ καὶ τῷ ψαλμῳδῷ προφήτῃ ὁ παραβολικὸς κηρός, ὁ τηκόμενος ἐν μέσῳ τῆς κοιλίας αὐτοῦ. Εἶχον δὲ ἂν αὐτὸν οἱ μάρτυρες καὶ οἷον τινὰ ὕδατα παρήγορα, εἰςελθόντα ἕως ψυχῆς αὐτῶν. Ψάλλοι δὲ ἄν τις, καὶ ὅτι ὡςεὶ ὕδωρ εἰςῆλθεν εἰς τὰ ἔγκατα αὐτῶν· μή που δὲ ἀσφαλῶς ἂν εἴποι, καὶ ὅτι προςεπηύξησεν ὁ πυρόεις ἐκεῖνος μόλιβδος τὴν ἐν αὐτοῖς καρδιακὴν ζέσιν, καὶ ζῆλον αὐτοῖς ἐνέκαυσε κατὰ τὸν τοῦ οἴκου τοῦ θεοῦ, ὃς ἁγίου παλαιτάτου καρδίαν κατέφαγε. Προςθετέον δὲ καί, ὡς ἀναψυχῇ τῇ ἐκ θεοῦ μόλιβδος ἐκεῖνος ἐλογίσθη οὐ πυρὶ ὁμιλήσας, ἀλλ' ὁποῖος ἐν ἱερᾷ παραβολῇ καταδύεται ἐν ὕδατι σφοδρῷ, οὐκ ἂν κατακαίων πάντως ἐκεῖνος, ἀλλὰ παρακύπτων ψυχρὸς αὐτὸς εἰς σῶμα ὅμοιον.

31. Τίνες ἂν ἦσαν ἐν τοῖς τοιούτοις οἱ ἀδελφοὶ οὗτοι ἀθληταί, οἳ τὸν θεὸν διψῶντες, τὸν τοιοῦτον ὑγρὸν ὑπὲρ ἐκείνου μόλιβδον ἐξέπιον, ζέοντες πνεύματι; Ἆρα οὐκ ἂν ἐπολυπλασίασαν τὸ τῆς ψυχῆς θερμὸν ὑπὲρ τοῦ θεοῦ; οὐκ ἂν ἐξεπυρώθησαν ὑπὲρ τῆς πίστεως; οὐκ ἂν εἶπον τῷ τυράννῳ μυρία ὅσα εἰς ἔλεγχον καὶ κατάγελον; Οὐκοῦν ἐπιμένων ἐκεῖνος τῇ αὐτῇ ἐνστάσει, καὶ κατὰ τῶν μαρτύρων λυσσῶν καὶ θεομαχῶν, ἑτέραν τρέπεται, δι' ἧς τάχιον ἑαυτὸν ἀπαλλάξει τῆς τῶν μαρτύρων ὁμιλίας. Οὐ γὰρ ἔφερεν ἔτι ἀντιπράττειν, οἷα μηδὲ ἰσοπαλὴς αὐτοῖς εἶναι ἰσχύων. Καὶ δὴ τὴν χαλκευτικὴν τέχνην ἑτέρωθεν προςλαβόμενος εἰς ἐπικουρίαν, ὡς ἂν ἐξανύσῃ κατ' αὐτῶν, ὅπερ αὐτοὶ κατὰ τοῦ Μάρκου δρᾶσαι οὐκ ἔσχον, ἥλους τε ἀθρόους ἐπιτάττει, δι' ὧν καθηλοῦνται ἀνασκολοπιζόμενοι

τινες, καὶ πεῖραν παρατηρεῖται οἵαν στέξαι προςπαγησομένους ἀνθρώπους.

32. Καὶ ἦν μὲν τῷ θεῷ δυνατόν, μήτε τοὺς ἥλους παγιωθῆναι εἰς στερέμνιον, ἀλλὰ παθεῖν ἀνάλυσιν, ὁποίαν ὁ σίδηρος, ὁ κατὰ τῶν δεσμῶν τοῦ Μάρκου μαλαττόμενος, καὶ τὴν πέτραν δὲ στερεωθῆναι εἰς ἀνύπεικτον, καὶ λαξευτικαῖς πληγαῖς ἀνένδοτον καὶ διατρήσεσι, καθ᾽ ὧν οἱ ἧλοι παρεισδύσονται. Οἰκτείρας δὲ τοὺς πολυπαθεῖς μάρτυρας, καὶ μεταναστεῦσαι τῆς ἀνθρωπίνης ζωῆς ἀποφηνάμενος (ἀρκούντως γὰρ ἐγυμνάσθησαν, || [Mc. fol. 31. a.] ὡς ἐκεῖνος ἔκρινεν, ὃν οὐκ ἔστιν ἐκλογίσασθαι), τῷ σιδήρῳ τε ἐφῆκεν ἥλους καταρτίζειν, καὶ τὴν πέτραν ἀφῆκε παθεῖν συνήθη διατόρησιν. Καὶ ὡς αὐτὸ ἐγένετο, ἀπαγορεύονται ζῆν ἐν γῇ πρὸς τοῦ Μάγνου οἱ μάρτυρες· καὶ ταχὺ ἀρθέντες προςπήγνυνται τῇ πέτρᾳ, ὅσα καὶ ξύλῳ σταυρώσεως· καὶ οὕτω τῇ μὲν προςηλώσει μιμοῦνταί πως τὸν δι᾽ ἡμᾶς ἐθελουσίως προςηλωθέντα σωτῆρα Χριστόν, τῇ δὲ πέτρᾳ τῆς αὐτῶν προςερείσεως παραδηλοῦσι, στεῤῥῶς τεθεμελιῶσθαι τῇ πίστει τῇ εἰς τὸν κύριον.

33. Ὁ δὲ ἀλείψας Μάρκος περιῆν μὲν καὶ εἰςέτι· οὐ γὰρ ἦγε σχολὴν ὁ Μάγνος ἐπισκέψασθαι καὶ αὐτόν, ἀλλὰ τὸν νοῦν ὅλον εἶχε πρὸς ταῖς αὐτοῦ προςφοραῖς, τοῖς Καλυτηνοῖς, οὓς αὐτὸς προςήγαγε τῷ θεῷ, οἷς δι᾽ αὐτοῦ ἐκεῖνον ἐγνώρισαν, ἀναβάντας εἰς ὕψος γνώσεως ὅσα καὶ διά τινος κλίμακος, τῆς ἐπ᾽ αὐτῷ ἐννοίας, ὅτε σίδηρος αὐτοὺς ἐμυσταγώγησε, καινότερον μαλαττόμενος. Καὶ ἐχρῆν οὕτω γενέσθαι δυοῖν ἕνεκεν· ἵνα καὶ ὁ ἅγιος γέρων ἀπέλθῃ θαῤῥῶν εἰς θεόν, ἐπεὶ καὶ τοιούτους τελευτῶν αὐτῷ κατήρτισε μάρτυρας, καὶ αὐτοὶ δὲ μὴ ἀποκνοῖεν ὄκνου λόγῳ, τὴν τοῦ Μάρκου μεμαθηκότες μετανάστασιν καὶ πρὸς θεὸν ἀνάβασιν.

34. Ὁ δὲ Μάγνος, ὡς οἷα μὴ ἀρκέσαν εἰς κάκωσιν τοῖς Καλυτηνοῖς τό, ὡς ἐῤῥέθη, προςηλωθῆναι (ἴσως γὰρ καὶ μετάμελος εἶχεν αὐτόν, εἰ μὴ κατέχωσεν αὐτούς, ἀλλ᾽ οὕτως εἰς πρόοπτον ἐξῆρεν, ὡς καὶ περιβλέπεσθαι τοῖς θεοσεβέσιν· ἐξ οὗ συνέβαινεν, ἐκείνους μὲν θαυμάζεσθαι, τὸν δὲ τύραννον κατακραυγάζεσθαι), ἤθελε μὲν τάχα κατά τινα λυσσητῆρα κύνα τῶν σαρκῶν αὐτοῖς ἐμφαγεῖν. Ὅτι δὲ οὐκ ἦν αὐτῷ γενέσθαι, τὸ παμφάγον προκαλεῖται πῦρ κατὰ τῶν μαρτύρων, φθόνῳ τοῦ λείψανα περιλελεῖφθαι αὐτῶν, ἐξ ὧν ἁγιάζοιντο ἂν οἱ θεοφιλεῖς· καὶ οὕτω τελειοῖ, ἔργον αὐτοὺς πυρὸς θέμενος, ἐφ᾽ οἷς ἐργαζόμενοι διὰ πυρὸς τὰ τοῦ Μάρκου δεσμά, μαγίαν τοσαύτην ὑπανῆψαν αὐτῷ. Καὶ οὕτω μὲν τοὺς Καλυτηνοὺς ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ συνηγμένους, ὥςπερ φύσει, οὕτω καὶ πίστει τῇ ὄντως, προςελάβετο ὁ θεός, ὀγδόην ἐπὶ ταῖς εἴκοσι ἄγοντος Σεπτεβρίου μηνός.

35. Ἀποπλήσας δὲ τὸν ἐπ᾽ αὐτοῖς θυμὸν ὁ Μάγνος, εἶτα κατὰ σπουδὴν προμηθείας, τοῦ μὴ καὶ ἑτέρους ὁμοίως ἀνδρίσασθαι ὑπὲρ τοῦ θεοῦ, ἀπέλυσε φροντίδων καὶ τὸν Μάρκον, οἷς μὲν ἄλλως ἐκόλαζεν ἐκεῖνον καὶ δριμέως καὶ ἐνδελεχῶς, οὐκ ἀναπαύσας. Καὶ γὰρ καὶ πληγαῖς ἀμυθήτοις αὐτὸν ἔστιξε, καὶ ὀβελίσκοις διέπειρε, καὶ τὴν διδάσκαλον γλῶτταν ἐκτομῇ ἐδικαίωσε, καὶ κατά τινος πέτρας καὶ αὐτὸν ἥλοις ἐστερέωσε, κατὰ συνεχῆ διαδοχὴν δριμυτάταις παραπέμπων κολάσεσι τὸν εἰδότα φέρειν ἐγκρατῶς τὰ τοῖς ἄλλοις ἀφόρητα. Ὅτε μέντοι ξίφει τὴν αὐτοῦ κεφαλὴν ἀπήραξε, τότε καὶ τοῦ πάσχειν ἀπήλλαξεν ἀναπαυσάμενον.

36. Καὶ οὗτοι μέν, ὁ Μάρκος δηλαδὴ καὶ οἱ Καλυτηνοί, τιμίᾳ καὶ ἁγίᾳ φατρίᾳ γῆθεν εἰς θεὸν ἐν Κλαυδιουπόλει μετετάχθησαν. Τὸ δὲ λοιπὸν τῆς κατὰ τὸν Μάρκον φυλῆς, ἡ ἐκείνῳ φιλτάτη ἀγέλη, ὁ Νίκων, ὁ Νέων καὶ ὁ Ἡλιόδωρος, ὧν τὰς σάρκας ἐκ τοῦ κατὰ θεὸν φόβου προςήλωσεν ὁ Μάρκος καθηλωθείς, ἔτι γε μὴν καὶ αἱ παρθένοι, καὶ τὰ νήπια, ὧν ἀνώπιν ὁ λόγος μνείαν ἔθετο, τῶν μετ᾽ οὐ πολὺ χρόνου παρά που τὸ Φρύγιον Φιλομήλιον ἠθληκότων καὶ ἐκπληξάντων τοὺς ἐκεῖ, ἐφ᾽ οἷς ὑπὲρ Χριστοῦ ἔπαθον, συνειλέχθησαν ὑπὸ θεοῦ, ἔνθα καὶ ὁ Μάρκος καὶ οἱ Καλυτηνοί· πρὸς δὲ τούτοις καὶ οἱ μαθηταί, οὓς οἱ μὲν τοῦ Μάγνου τῷ Μάρκῳ τὴν ἀρχὴν συνεθηράσαντο, καθὰ ἐν τοῖς ἀνώτερον διὰ μνήμης ἦλθον, δήμιοι δὲ τοῦ καθ᾽ ἡμᾶς βίου παρέλυσαν, τόποις μὲν διεστηκότας, ὡς ἡ συγγραφὴ λέγει, διαφόροις, ἐν οἷς τὸν βίον κατέλυσαν, παρεστῶτας δὲ εἰς ἓν τῇ προαιωνίῳ καὶ ἀειζώῳ τριάδι, τῷ ἑνὶ καὶ μόνῳ θεῷ, καὶ οὕτω συνόντας καὶ συγχαίροντας καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνοντας τὰ εἰς σωτηρίαν· ἧς καὶ τύχοιμεν, ἐλεηθέντες ὑπὸ τοῦ θεοῦ, ᾧ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ Εὐσταθίου Θεσσαλονίκης εἰς τοὺς αὐτοὺς Καλυτηνοὺς ἁγίους ἀκολουθία ἑσπερινὴ καὶ ὀρθρινή, ὅτε ἡ τοῦ μακαριωτάτου Χούμνου παραπεσοῦσα μετὰ τὴν ἅλωσιν οὐχ εὑρίσκετο.

Κα ἦχος ῑ · Ἐλπὶς τοῦ κόσμου.

1. Τριάδος θείας λατρευταί, τρισμακάριον γένος, εἰς ἓν κραθέντες ἀκριβῶς εὐψυχίᾳ καὶ πίστει καὶ φύσεως γνησιωτάτῳ δεσμῷ, ἑνώθητε καὶ εἰς βοήθειαν ἡμῶν, ῥυόμενοι θερμῶς ἡμᾶς παντοίων πειρασμῶν, ὅσους ὁ βίος φέρει.

Mo. fol. 31. b. ||Κοντάκιον · Τὴν ὑπὲρ ἡμῶν πληρώσας
11. οἰκονομίαν.

2. Ὁ τὰ καθ' ἡμᾶς ὡς ἄριστα διεξάγων δημιουργικῇ σοφίᾳ παντοδυνάμῳ, ἐκ τῶν κάτω κηλίδων ἐξάρας ἡμᾶς, φωσφορίαις ἐγκατέστησεν οὐρανίαις παμμακάριστος, ἡλιώδες ἀπαστράπτοντας. Καὶ ἰδού, ἀποδισκεύεται λαμπρὰν αἰθρίαν ἡμῖν, λυτικὴν σκοτασμοῦ.

Στιχηρὸς ἦχος γ̄ · Τὸν νοερὸν ἀδάμαντα.

3. Τοὺς σεβασμίους μάρτυρας τῆς ἀληθείας οἱ πιστοὶ μελῳδικῶς ἀνυμνήσωμεν, Ἀλέξανδρον, Ἀλφειὸν καὶ τὸν Ζώσιμον, οὓς ὑπὲρ Χριστοῦ ἀθλήσαντας ἐθαύμασαν ἄγγελοι, καὶ εὐφήμησαν ἄνθρωποι, καὶ θεὸς ἐν ὑψίστοις κατέστεψε, πᾶσι τοῖς κάτω προσπτύσαντας. Ἐστοίχουν γὰρ τοῖς ἄνω καὶ μόνοις· διὸ καὶ πᾶσαν ἔφεσιν τῆς ψυχῆς ἀπησχόλουν πρὸς τὸν ποθούμενον Χριστὸν τὸν θεόν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

4. Τὴν καρτερίαν, δέσποτα, τῶν ἀθλησάντων ὑπὲρ σοῦ τριῶν δικαίων γεραίρομεν, μνημόνευμα ἐγκωμίοις ἑνώσαντες, ὧν τὴν ἀνδρικὴν στεῤῥότητα οὐ φόβος ἐμάλαξεν, οὐδὲ πεῖρα κολάσεως, οὐδὲ πᾶσα τοῦ Μάγνου κακόνοια, θνήσκειν αὐτοὺς ἀναγκάζουσα. Δυνάμει γὰρ ἠνδρίζοντο θείᾳ, διὰ θανάτου τρέχοντες εἰς ζωήν, προκειμένην τοῖς ἀγαπῶσί σε, τὸν μόνον θεὸν καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν.

5. Καθηλωθέντες μάρτυρες οἱ τρεῖς ἐν λίθοις, ψαλμικὸν μέλι ἐκ πέτρας θηλάζετε, γλυκύτητα τὴν θεόθεν καρπούμενοι. Πῦρ δὲ τὸ συμφλέξαν στέξαντες, οὐράνιοι ἤρθητε ὡς πυρίνου ἐφ' ἅρματος, Ἡλίου τὴν πορείαν μιμούμενοι· πᾶσα δὲ βλάβη κακώσεως τρυφὰς ὑμῖν τὰς θείας ἐδίδου. Τοιούτοις γὰρ ἀμείβεται ὁ σωτὴρ τοὺς αὐτοῦ χάριν πάσχοντας, τοῦ μόνου θεοῦ καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἕτερος στιχηρὸς ἦχος ῑ β · Τριήμερος ἀνέστης, Χριστέ.

6. Ἀνήμερος ὑμᾶς δικαστὴς πιστεύσαντας εἰς κύριον ὑποβάλλει βαρυτάτοις αἰκισμοῖς, χαλάσαι δὲ τὸν τόνον ὑμῖν ὅλως οὐκ ἔσχε, συντεταγμένοις πρὸς τὰ κρείττονα. Τὸ στόμα γέμειν ὕμνων θεοῦ αἰσθόμενος ὁ τύραννος, τοῖς χαλκεῦσι χώνην θεὶς περὶ αὐτό, μόλιβδον μὲν ἐγχέει πυρὶ σφοδρῷ τακέντα, τοὺς ὕμνους παῦσαι δὲ οὐκ ἴσχυσεν.

7. Ὠφέλει μὲν εἰς βίον τὸ πῦρ τοὺς μάρτυρας Χριστοῦ ἀδελφούς, χρησιμεῦον εἰς ζωὴν ταύτην φθαρτήν· ἐν δὲ τῷ μαρτυρίῳ χρηστότατον εὑρέθη, μεταβιβάσαν εἰς τὰ ἄφθαρτα. Εὐήμερος αἰθρία ὑμᾶς ἐκεῖσε περιέλαμψεν, ὡς φυγόντας σκότος πλάνης ἀφεγγές. Φωτίσατε γοῦν πάντας ἡμᾶς, ὦ ἀθλοφόροι, καὶ ζόφον λύπης ἀπελάσατε.

Κγ ἦχος ῑ δ̄ ᾠδὴ ᾱ · Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

8. Ἰδοὺ δή, τί κάλλιον ἢ τερπνόν, ἀλλ' ἢ κατοικίζειν ἀδελφοὺς ἐπιτοαυτό; ὡς τοὺς μεγαλάθλους ὁ παντάναξ καὶ ἀδελφοὺς ἐν Ἐδὲμ συγκατῴκισεν. Γεννήσεως μὲν ἐστι φυσικῆς τὸ κατ' ἀδελφότητα γνήσιον καὶ συμφυές· οἱ δὲ καὶ ἀθλήσει ἡνωμένοι ὑπερφυὲς τὸ καλὸν ἐκληρώσαντο. Ὁ εἷς τῆς τριάδος παμβασιλεὺς εὑρὼν τὴν τριάδα τὴν γενναίαν τῶν ἀθλητῶν, Ἀλφειοῦ, Ζωσίμου, Ἀλεξάνδρου, στρατολογήσας αὐτοὺς ᾠκειώσατο. Ὑγρὰν διοδεύων βιωτικῶς τῆς πολυκυμάντου πολιτείας διαγωγήν, μὴ ταῖς τρικυμίαις βυθισθείην, θεοκυῆτερ καὶ σωτηρία δέσποινα.

Ὠιδὴ γ̄· Οὐρανίας ἀψῖδος.

9. Ἐπὶ πέτρας ἀῤῥήκτου οἱ στερεοὶ μάρτυρες θεμελιωθέντες, τῇ πίστει τῇ εἰς τὸν κύριον πόνων ὑπέσχον ποινήν, καθηλωθέντες ἐν πέτρᾳ· καὶ ἡμᾶς νῦν παύουσι τῶν ἀλγημάτων ἡμῶν. Ὀφειλέται χαρίτων οἱ τοῦ θεοῦ μάρτυρες, Μάρκῳ τῷ ἁγίῳ ποίμνια ἀπετελέσθησαν, οὕπερ εἰς βλάβην δεινὴν δεσμὰ συγκόπτειν ταχθέντες, εἰς θεοῦ ἀγάπησιν αὐτοὶ ἐδέθησαν.

10. Ἡ μὲν βία τοῦ Μάγνου φρενοβλαβῶς ἤθελε Μάρκον τὸν θαυμάσιον κλεῖσαι σιδήρῳ δήσαντος, οὗ φλογουμένου σφοδρῶς τῶν ἀδελφῶν τῇ τριάδι, ὁ θεὸς ἐπύρωσεν αὐτοὺς εἰς ἄθλησιν. Οὐρανίας ἀψῖδος οὐκ ἐκλιπὼν κύριος θεῖον οὐρανόν, εὐηχῶς σε ἐν σοὶ ἐσκήνωσε, καὶ σὰρξ αὐτὸς γεγονὼς γῆθεν ἡμᾶς ὑπεξῆρε. Δόξα σοι, πανάμωμε, τῇ ἀνυψώσει ἡμῶν.

Ὠιδὴ δ̄· Εἰσακήκοα, κύριε.

11. Προσηλούμενοι μάρτυρες, ἥλους τῷ τυράννῳ πήγνυτε θλίψεων· τῇ δὲ πέτρᾳ τῆς ἡλώσεως ἐκλιθοῦτε

θάμβει τὸν ἀτέραμνον χαλκοτύπον ἐν πνεύματι. Βέλη χαλκευσάμενοι ἐπαφίετε, δι' ὧν βάλλονται ἐχθροὶ τοῦ θεοῦ καὶ ῥιπτοῦνται πτῶσιν τὴν ἀνέγερτον. Εἰ καὶ σίδηρος ἔῤῥεεν ὕδωρ τι καθάπερ σφυρηλατούμενος, ἀλλ' ὑμεῖς ἐστερεώθητε εὐπαγῶς τῇ πίστει τῇ εἰς κύριον. Εἰσακήκοα, πάναγνε· μᾶλλον δὲ πεπείραμαι τῶν θαυμάτων σου. Κατενόησα τὸ κράτος σου, καὶ ζητῶ φρουρεῖσθαί τῇ δυνάμει σου.

Ὠιδὴ ε̄· Φώτισον ἡμᾶς.

12. *Ποίμνης μὲν πολλῆς προεστάτεις, Μάρκε ἅγιε· ἡ δὲ θεῷ τυθεῖσα, ὡς διὰ σέ, τριττὴ θυσία ὑπερῆρεν ἅπαν ποίμνιον. Ἔργον τοῦτο σῆς εὐχῆς, Μάρκε παμμακάριστε, τοὺς ‖ τῶν δεσμῶν σου χαλκευτὰς ἀδελφοὺς χαλκουργηθῆναι εἰς σκεύη θεοῦ πανίερα. Χεῖρες μὲν ὑμῖν, ὦ μακάριοι, ἐνήρκεσαν σφυρηλατοῦσαι τὰ τοῦ Μάρκου δεσμά· φωνὴ δὲ θεία ὑψόθεν αὐχεῖν ἐπέῤῥωσεν. Φώτιζε ἡμᾶς νυκτός, ἡλίου μῆτερ ἁγνή, καὶ πᾶσαν σκότωσιν δεινῶν πειρασμῶν ἀπαγαγοῦσα, τὴν αἰθρίαν ἡμῖν βράβευε.*

Me. fol. 32 a.

Ὠιδὴ ς̄· Καὶ τὴν ἐκκλησίαν.

13. *Ὁ πάλαι τοὺς ἁλιεῖς τῶν ἰχθύων ἁλιεῖς ἀποτελέσας ἀνθρώπων, οὗτος ὑμᾶς, ἀθλοφόροι κυρίου, ἐκ τοῦ χαλκεύειν δεσμὰ τοῖς ποθοῦσιν αὐτὸν μετήγαγε βελοποιεῖν κατὰ τῶν παλαμναίων ἐχθρῶν τοῦ θεοῦ. Ὢ χαλκέως μὲν ἐπειράθη ὁ Παῦλος παγκακίστου καὶ ἀξίου κατάρας· ὁ δὲ καλὸς ὀρεσίτροφος Μάρκος τρεῖς ἀδελφοὺς χαλκευτὰς ὑπηγάγετο, χαλκεύοντας μὲν κατ' αὐτοῦ, δι' αὐτοῦ δὲ θεῷ προσχωρήσαντας. Ἀντέστρεφον τῷ τυράννῳ τὴν δόσιν ἡ πανόλβιος τριάς, τὴν δοθεῖσαν ὑπὲρ μισθοῦ τῶν δεσμῶν τῶν τοῦ Μάρκου· ὁ δὲ θεὸς ἐταμίευε κρείττονα, καὶ δέδωκεν εἰς δωρεὰν οὐρανῶν βασιλείας ἀπόλαυσιν. Τὴν δέησιν ἐκχέομεν, πάναγνε, καὶ αἰτούμεθα ἐκ σοῦ σωτηρίαν, ὅτι πολλοῖς πυργηρούμεθα λάκκοις, οὓς καθ' ἡμῶν ὁ ἀρχέκακος ὤρυξεν· οὓς βόθρευσον ὡς πανσθενὴς εἰς ἐκείνου τελείαν ἀπώλειαν.*

Ὠιδὴ ζ̄· Οἱ ἐκ τῆς Ἰουδαίας.

14. *Τῇ τοῦ πνεύματος ζέσει πυρακτούμενοι, σῶτερ, οἱ ἀθλοφόροι σου ἐκ χειρώνακτος βίου καὶ καύσεως καμίνων σοὶ προσέσχον, καὶ ἔλαβον ἀναψυχὴν καὶ πλοῦτον καὶ δόξαν αἰωνίαν. Τυραννίδος μὲν ἔργον, ἐκδιδόναι κολάσει τοὺς ἀγαπῶντας θεόν· θεοῦ δὲ αὖθις θαῦμα, οἰκειοῦσθαι παντοίως τοὺς αὐτοῦ χάριν πάσχοντας, ὧν τῆς μερίδος εἰσὶν οἱ τρεῖς ἡμῶν προστάται. Πυρακτούμενα βέλη καθ' ἡμῶν τοῦ Βελίαρ σβέσατε νῦν κραταιῶς οἱ τρεῖς, οἱ τῆς μεγίστης ἰσάριθμοι τριάδος, καὶ ἀνάψυξιν ἔνδροσον δότε ἡμῖν, τοῖς θερμῶς θεὸν ὑμνολογοῦσιν. Οἱ ἐκ τῆς Ἰουδαίας τρεῖς μακάριοι παῖδες ἐμβεβλημένοι πυρί, τὸν τόκον σου παρθένον εἰκονίζοντες ἦσαν· πῦρ γὰρ ἄϋλον ἔστεξας, οὗπερ καὶ βάτος ποτὲ τύπος ἦν τοῦ Μωσέως.*

Ὠιδὴ η̄· Τὸν βασιλέα τῶν οὐρανῶν.

15. *Σεμνοποιοῦνται οἱ Πισιδεῖς ὡς πολίτας τοὺς ἁγίους τούτους εὐτυχοῦντες, Κλαυδίου τε πόλις, ὅπου αὐτοῖς τὸ τέλος. Ὀψιμαθεῖς μὲν τοῦ ἀγαθοῦ γεγονότες, στερεῶς δὲ πίστει ἐντακέντες, νῦν δοξολογοῦνται καλῶς οἱ ἀθλοφόροι. Ἐν τῇ χωνείᾳ τῶν πειρασμῶν πυρωθέντες, ὡς χρυσὸς εὐροιζότατος ἄρτι, στίλβετε, μαρτύρων καλλονὴ καὶ λαμπρότης. Τὸν βασιλέα τῶν οὐρανῶν, παλατίῳ, σῇ γαστρί, παρθένε, χωρηθέντα, εὕρομεν ἁπάσης αἰχμαλωσίας ῥύστην.*

Ὠιδὴ θ̄· Κυρίως θεοτόκον σέ.

16. *Οὐκ ἔστιν ἐν κυρίῳ γένους λαμπροῦ τόπος. Ἐν εὐγενείᾳ ψυχῆς οὖν φανέντες φαιδροὶ οἱ ἀθληταί, ἀσωμάτων χοροῖς συντάττονται. Ὦ Μάρκε ὀρεινόμε, μέμνησο θρεμμάτων τῶν λογικῶν, οἳ τιμῶμεν τὴν μνήμην τὴν σήν· καὶ νῦν ποιμάνας ἐνταῦθα, ἐκεῖ συνδόξασον. Ὦ τρεῖς θεοῦ ὁπλῖται, οὓς νῦν εὐφημοῦμεν, κατὰ δεινῶν καὶ ἀγρίων βαρβάρων ἐθνῶν ἀνθοπλισθέντες, ἐκ τούτων ἡμᾶς λυτρώσασθε. Κυρίως θεοτόκος, μῆτερ ἀπειράνδρως, ἡ τῶν παρθένων σεμνότης, ἡ φύλαξ ἡμῶν, ἀγγελούμνητον κλέος, σὲ μεγαλύνομεν.*

Τοῦ αὐτοῦ πρὸς τὸν βαρέως ἀκούοντα, εἴπερ ἱερωμένος ὢν καλεῖται παπᾶς.

1. *Ἡ δόξα αὐτῶν ἐν τῇ αἰσχύνῃ αὐτῶν. Καταδρομὴ αὕτη σαφὴς τῶν ἀφρόνως ἀβρυνομένων καὶ ζηλούντων ἐλλάμπεσθαι οὐκ ἐπ' ἀγαθοῖς, ἀλλ' ἐφ' οἷς καὶ ἐγκαλύπτεσθαι χρή· ὁποίους πολλοὺς ὁ μακρὸς καὶ ἀναρίθμητος χρόνος ἐκφήνας, τοὺς μὲν διὰ φήμης ἐγνώρισεν, ἧς ἔτι καὶ νῦν τὸ πτερὸν λυόμενον περιστοιβεῖ φιλομαθῶν ἀκοάς, τοὺς δὲ καὶ βιβλιακοῖς ἐδαφίοις ἐγκατέστρωσεν. Καὶ ἔστιν οὐ μόνον ἄφρων καὶ φαυλόδοξος ὁ τιμᾶσθαι θέλων, ἐφ' οἷς χρεὼν αἰσχύνεσθαι, ἀλλὰ καὶ ὡς ἀληθῶς ἐπίῤῥητος ὑώδης ἐκεῖνος ἄνθρωπος, ἢ βίῳ κανθάρου προσήκων, οἷς χαίρει καὶ αὐτὸς χρωτιζόμενος εἰς μύσους ἄξια. Ὁ δέ γε ἀνάπαλιν τῷ τοιούτῳ διατεθεὶς ἑαυτὸν καὶ κινδυνεύων ἀκοῦσαι ποθέν, ὡς ἡ αἰσχύνη αὐτοῦ ἐν τῇ δόξῃ αὐτοῦ, πάντη ἑτεροῖον κακίας εἶδος πάσχει, ὡς ἔπος μὲν εἰπεῖν, ἀναισθησίας ἁλισκόμενος, ἄλλως*

δὲ πλατύναι, τὰ κατ' αὐτοῦ ἀφιλότιμος ὢν ἄνθρωπος, ἢ καὶ ἀποκεκρυμμένος ἐκ θεοῦ τὸ τετιμῆσθαι, μήποτε δὲ καὶ ἄλλως ἀνάξιον ἑαυτὸν ἀποκεκαλυμμένος εἶναι, ἧς εὐκλήρησε τιμῆς. Εἰ δέ που τυχὸν μαινόμενος ἀλλοφρονεῖ τὸ κακόν, ἀλλ' ἐνταῦθα ἐπὶ πλέον ὁ τοιοῦτος ἐλεητέος ἐκβέβηκε. Δέος γὰρ ἐπ' αὐτῷ, μή, καθὰ παραδοξάζει τὴν καλὴν τιμὴν εἰς αἰσχρότητα, οὕτω καὶ τὸν ἐν αὐτῷ ἄνθρωπον εἰς θηρίον παραθεωρήσῃ, καὶ οὕτως ἐγχειρήσῃ κατασφάξαι, εἴτε κατιχορδεῦσαι ἑαυτόν. Πάθοι δὲ ἂν μέμψιν ὁ τοιοῦτος, καὶ ὡς μὴ ἑαυτὸν εἰδώς· ὃ δὴ ἐποφείλομεν οἱ ὄντως ἄνθρωποι, ἀπαιτούμενοι μὲν λανθάνειν, ἐφ' οἷς βιοῦμεν, οὐ μὴν καὶ ἡμῶν αὐτῶν || λανθάνεσθαι. [Ms. fol. 32. b.] Ὡς δὲ καὶ παραχαράκται τῆς ἀληθείας τυγχάνουσιν οἱ οὕτω ἐπὶ σφίσιν αὐτοῖς διακείμενοι, οὐκ ἔστιν ἀμφιβαλεῖν. Γράφουσι γὰρ ἀλλοτρίως τὸν χαρακτῆρα τοῦ θεοῦ, καὶ οὕτως ἀπανθρωπίζουσι τὸν ἐγγίζοντα τῷ θεῷ ἄνθρωπον, εἴ γε τιμὴ μὲν ἅπασα θεία ἐκ θεοῦ ἢ κατ' ἄνθρωπον· αὐτὸς δὲ τὸ τιμᾶσθαι εἰς αἰσχύνην τίθεται.

2. Τούτου δὲ τοῦ φαυλοτάτου πάθους πολλοὶ μὲν καὶ ἄλλοι γίνονται, ὧν καὶ ὁ κωμῳδικὸς καυτὴρ καθικνεῖται, οὐκ ἔλαττον δὲ τῶν ἄλλων καὶ ὅσοι τὸν μὲν παπᾶν ἀπολέγονται, ἱεροὶ ὄντες καὶ ὡσιωμένοι θεῷ, ἄλλο τι δὲ τούτου κάλλιον καὶ σεμνότερον ἐπιλέγεσθαι φιλονεικοῦσιν, ἀποπροσποιούμενοι μὲν τὸ παπαδικόν, ἀλλαττόμενοι δὲ αὐτοῦ ἕτερόν τι ὄνομα ὑψηλότερον· οὓς ἀεὶ ἐξουθενῶ καὶ μύζων γελῶ μυκτῆρος λόγῳ, οἷα χρυσοῦ μόλιβδον ἀμειβομένους, ἢ μαργάρων κόχληκας, ἢ γῆν οὐρανοῦ, ἢ τοῦ παρίστασθαι θεῷ τὸ ἀνθρωπολατρεῖν.

3. Δεῦρο γάρ, ὦ σὺ παπᾶ, τί δήποτε τούτου τοῦ ὀνόματος ἐντιμότερον ἀξιοῖς ἐπικαλεῖσθαι, τί δὲ ὑψηλότερον, τί δὲ θειότερον; Οὐσία ἐθέλεις ἐπονομάζεσθαι, ὃ δὴ τῶν ὄντων ὑπερκάθηται; Καὶ μὴν αὐτὸ ὁ μύρμηξ καλεῖσθαι αὐχεῖ, καὶ ὁ χοῦς, καὶ μυρία, ὅσα τῶν πάνυ τι φαυλοτέρων ἐν τοῖς οὖσιν. Ἄφες δὲ ἐνταῦθα τὸν ὑπερούσιον, καὶ ὅσαι τῶν οὐσιῶν αὐτῷ παρεστήκασι. Τί δέ; ἀλλὰ ζῶον βούλει προσλαλεῖσθαι, ἤ τι τῶν ὑπὲρ τοῦτο; καὶ οἶδας, ὡς καὶ αὐτὰ οὐκ ἔχουσι μεταδιδόναι σοι σεμνότητος τῆς πρεπούσης. Κεκλήρωται δή σοι ὁ ἄνθρωπος εἰς προσεχὲς καὶ οἰκειότατον ὄνομα, ὁ πρὸς θεοῦ βασιλεὺς τῶν ἐν κόσμῳ τεταγμένος εἶναι· ἔχει δὲ οὐδ' αὐτὸς δόξαν τοσαύτην, ὁποίαν ὁ παπᾶς. Καὶ δῆλον ἐκεῖθεν· ἐπειδὰν ἰδιαζόντως ἀπολάβοι τὸν ἐν ζώοις βασιλέα ἡ κατ' ἄνθρωπον κλῆσις, τότε διελοῦσα τοῦτον ἡ θεωρία εἴς τε λαὸν καὶ εἰς μὴ λαόν, εἰπεῖν δὲ καὶ ἑτέρως, εἰς ταπεινὸν καὶ ὑψηλόν, ἔτι δὲ καὶ ἄλλως, εἰς γήϊνον καὶ εἰς οὐράνιον, σεμνότερον δὲ φάναι, καὶ εἴς τινα ζωϊκὸν καὶ εἰς ἔνθεον, ἀφορίζει τοῦ ἀνθρωπίνου τὸ μὲν εἰς κοσμικόν, τὸ δὲ εἰς ὑπερκόσμιον· οὗ τὸ ὑπερλάμπον ὁ παπᾶς. Γένος τοῦτο Ἕλλησι μὲν οὐκ ὀνομαστὸν καθαρῶς, εἰ καὶ ἄλλως παραλαλούμενον, ἡμῖν δὲ καὶ τοῖς ἡμῶν ἐκ παλαιτάτου γένους καὶ ὀνομαζόμενον, καὶ πολλοῦ λόγου πίπτον ἔνδον.

4. Ἵνα γὰρ ἐννοίας ἐλλογίμους ἀνακινήσωμεν καὶ οὐδὲ ἀμαρτύρους, ὁ παπᾶς, ὃν ἡ τελευταία συλλαβὴ ἐτόνωσε λόγῳ περισπασμοῦ, εἰς αὐτὸν ἄγειν φέρεται τῷ πάπᾳ, οὗ τόνος βαρὺς εὐθύνει τοὔνομα. Πάπας δὲ ἅπας, ὡς οἱ ἐξ ἀρχῆς νομοθέται τῶν ὀνομάτων βούλονται, θεία κλῆσις ἔλαχεν εἶναι· διὸ καὶ θεῷ ἐπίκειται τοὔνομα. Καὶ ἔστι πολλαχόθεν ἀναλέξασθαι τοῖς βουλομένοις τὴν ἐφ' οἷς φαμεν ἀλήθειαν. Μάρτυρ δὲ τῇ ἐννοίᾳ ταύτῃ καὶ ὁ παπαῖος Ζεύς, πατὴρ ἐκεῖνος ἀνδρῶν τε θεῶν τε, μῦθος ἂν εἴποι, οὗ καὶ ὁ πάπας ἐξήρτηται, πατὴρ πατέρων αὐτὸς ὤν, ὡς μαθόντες οἴδαμεν. Ἀκολούθως δὲ προαγόμενος ἐκεῖθεν ὥρμηται καὶ ὁ παρ' ἡμῖν παπᾶς, ᾧ συγγενῶς ἔχει πως καὶ ὁ πάππα, παρηχούμενος τῷ καὶ πατρὸς καὶ πατέρων πατρὶ πάπᾳ. Τοιούτῳ δὲ στοίχῳ παρομαρτεῖ καὶ τὸ παππάζειν, παίδων αὐτὸ προσφώνημα πατράσι φίλον, οὓς δὴ πατέρας καὶ πάπας εἶδεν ἡ λεκτικὴ παλαιὰ τέχνη καλεῖν, θεοὺς οἷον, καὶ αὐτοὺς λογιζομένους τοῖς τέκνοις διὰ τὸ παραγωγὸν αὐτῶν ἐς βίον· παρὸ καὶ θεοείκελοι τοῖς τέκνοις οἱ πατέρες λογίζονται, καὶ εἰς ἀφιδρύματα θεῖα τίθενται. Ὅθεν, ὡς τῶν πατέρων οἷα καὶ θεῶν συλλογιζομένων εἶναι, θεῖοι τοῖς τέκνοις οἱ τούτων ἀδελφοὶ ὠνομάδαται, ἵνα θεὸς μέν τις εἴη ὁ πατὴρ τῷ υἱῷ, θεῖος δὲ τῷ αὐτῷ ὁ πατράδελφος· ἐπεὶ καὶ δευτερεύειν θεοῦ οἶδε τὸ θεῖον.

5. Τούτοις ἐπιθεωρητέον καί, ὅτι τῷ παπαίου καὶ τοῦ πάπα, ἔτι γε μὴν καὶ τῷ τοῦ πάππου καὶ τοῦ || πάπα ὀνόματι συνεξεφάνη παρῳδίας λόγῳ καὶ [Ms. fol. 33. a.] ἕτερα, οὐκ ἐγγίζοντα μὲν τούτοις ἐς παῤῥησίαν οὐδὲ εἰς ἐμφανές, ἄλλως δὲ εἰς ἀμυδρὰν ἔκφυσιν. Τὸ γάρ τοι ποππύζειν ἐκ τῶν τοιούτων παρείλκυσται, φίλιον καὶ αὐτὸ ῥῆμα καὶ ἐφολκὸν κατά τινα κολακείαν. Οἱ δὲ πόποι, ὅπερ θεοὺς δηλοῖ ἀρχαϊκῶς, θαρσύνοιντ' ἂν πάντῃ συγγενῶς ἔχειν τῷ τε πάπᾳ καὶ τῷ παπαίῳ· ἤδη δὲ καὶ τὸ θρηνούμενον ὢ πόποι δοκοίη ἂν θεὸν κατακαλεῖσθαι εἰς ἐπικουρίαν, καθά που καὶ τὸ παπαί. Ἐνθυμοῖτο δ' ἄν τις ἐνταῦθα καὶ τὸ τῆς λευκῆς ἀκάνθης γήρειον, ὡς οὐδ' αὐτὸ ἔξω σεμνότητος πάππος καλεῖσθαι λέλογχεν, ἀλλὰ διὰ τὸ κατὰ

λευκότητα πολιὸν ὡσεὶ καί τις γέρων πάππου ὀνόματι σεμνύνεται.

6. Περιελθεῖν δὲ καθ' εἱρμόν τινα τὰ προκείμενα, ὁ πάππος μὲν τὸ συγγενικὸν προλαληθῆναι δοκεῖ ἀνέκαθεν, οὐκ οἶδ' εἴτε παρὰ τὸ πεπάσθαι, εἴτ' οὖν κεκτῆσθαι (πλουτεῖ γὰρ τιμιωτάτῳ κτήματι, ἀνθρώποις ἐπιγόνοις φύσει καὶ νόμοις ἀρέσκοντι), εἴτε διὰ τὸ παπαίνειν. Περίβλεπτος γάρ ἐστιν, ὡς καὶ ἀρχηγέτης γένους καὶ ἐπιτηρητικὸς τῶν ὑπ' αὐτὸν ἐκ διαδοχῆς, ὥστε συνέχεσθαι τὴν φυσικὴν ἅλυσιν εἰς ἀδιάσπαστον· καθ' ὃ καὶ ὁ πατήρ, ὡς οὕτω παπταίνων καὶ τοὺς παῖδας τηρῶν, ἐκληρώσατο τὴν ὀνομασίαν. Καὶ τοιοῦτος μὲν ὁ πάππος, ὁ δι' αὐτὰ ταῦτα καὶ τίμιος, δείκηλον αὐτὸς θεῖον φιλοσοφούμενος, οἷα καὶ γένους ἀρχὴ καὶ ποιητικὸν καὶ αὐτὸς αἴτιον, οἷς πρεσβεύει χρόνῳ, πρῶτος αὐτὸς κρίκος τῇ κατ' αὐτὸν σειρᾷ ἐπιπρέπων, καὶ θεοειδὲς τοῦτο πρεσβεῖον ἀπενεγκάμενος· πολλοῖς δὲ καὶ ἄλλοις κοσμεῖται σεμνώμασι, δι' ὧν εἰς θειότητά τινα ἐγγράφεται.

7. Καὶ τοιοῦτος μὲν ὁ πρωτόθετος πάππος. Εἰ δὲ πρὸς αὐτὸν ὁ κατὰ τὸν μύστακα καὶ ὁ ἀκάνθινος εἴκασται, ἀλλὰ τοῦτο ἀφοριστέον ἀγροικικῇ ἀστειότητι. Ἔοικε δὲ καὶ ἡ φύσις φιλεῖν τὸν τοιοῦτον γέροντα, οἷς αὐτὴ συνεργάζεται τὸν εὐλογητὸν πληθυσμὸν τοῦ κατ' ἄνθρωπον σπέρματος. Διὸ καὶ τα γαλαθηνὰ βρέφη τούτῳ πρωτίστῳ ἐν ὀνόμασιν ἐμβρωματίζονται πρὸς τῆς φύσεως, δι' ἧς καὶ τὸ τῆς ἱστορίας βέκος ἐπὶ στόμα ἦλθεν ἀδιδάκτως βρεφυλλίων παλαιῶν. Φιλοῦσι γὰρ βρωμάτων μὲν ἁπάντων μάλιστα γάλα ἐκμυζᾶν τὰ νήπια, ὀνομάτων δὲ τὸ παππῷον· καὶ γίνονται τὰ τοιαῦτα ἡδὺ καὶ ὅραμα καὶ ἄκουσμα, ὅτε ποτὶ γούνασι παππάζουσι τοῖς τῶν γειναμένων. Τὸ δὲ ὄνομα τοῦτο, ὑποκαταβαῖνον τῆς γνησίας κορυφαίας ἀρχῆς, ἐπικάθηται καὶ τισιν ἄλλοις, οὓς δεσμὸς μὲν συγγενείας οὐ συνήγαγε, χρόνος δὲ ἄλλως παρεκτείνας εἰς γῆρας, καὶ πολυπειρίᾳ πραγμάτων πυκάσας καὶ τῇ ἐντεῦθεν σεμνοτάτῃ ἀγχινοίᾳ τε καὶ φρονήσει, ᾠκείωσε τοῖς αὐτοὺς φιλοῦσιν, οὐ τὴν ἁπλῶς οἰκείωσιν, ἣν ἀδιακρίτοις οἱ πολλοὶ ἀφοσιοῦνται, ἀλλ' ὁποίαν ἔχοιεν ἂν καὶ παῖδες ἐπὶ τοῖς προηγησαμένοις αὐτοὺς ἐς γενεάν.

8. Διόπερ οὐ μόνον *θεῖοι τῶν τινες πρεσβυτέρων καλοῦνται τοῖς αὐτοὺς τιμῶσι, καὶ πατέρες, ἀλλ' ἤδη καὶ πάπποι, εἴ τι προσεκτέον τῇ γαληνοτάτῃ φράσει, δι' ἧς παππίδιόν τις ἄνδρα τοιοῦτον ἀποκαλεῖ, ἔτι δὲ καὶ παππίαν τὸν αὐτόν. Το δ' ἐντεῦθεν ὁ πάππος βραχύ τι ἑαυτὸν ὑπαλλάξας, τὸν πάπαν ἐκφαίνει, οὐ τὸν ἐν τοῖς καθ' ἡμᾶς, τὸν καὶ μέγαν καὶ ἱερώτατον, ἀλλὰ τὸν ἐν τοῖς πάλαι ποτὲ μέγιστον, οἳ τὸν Δία κατὰ τὴν Βιθυνιακὴν ἱστορίαν πάπαν ἐκάλουν, ὃς δὴ πάπας τρισὶν ἔοικεν ἐπιμεμερίσθαι γλώτταις. Οὐ γὰρ μόνον Βιθυνοὶ τῇ λέξει ταύτῃ ἔχαιρον, οὐδὲ Ῥωμαῖοι μόνοι, τὸν αὐτὸν πάπαν καὶ πατέρα νοοῦντες, ἀλλὰ καὶ οἱ τῆς εὐγενοῦς Ἀτθίδος, καθὰ παραδέδοται. Ἀφ' Ἡροδότου δὲ ἀναλέξεταί τις καὶ τὸν παπᾶν, ἐκ τοῦ τοιοῦδε πάπα ὑπολελουμένον. Πατρικὴ γοῦν, συνελόντα φάναι, σημασία καὶ ὁ πάππος καὶ ὁ πρὸ αὐτοῦ ἐπίπαππος, οἷα προπάτορες· ἔτι δὲ καὶ ὁ ἐξ αὐτῶν ὑστερογενὴς πάπας, ὁ φύσει ἐκ προπατόρων πατήρ. Εἰ δὲ πατὴρ καὶ θεὸς ἄρα τοῖς ἐγγόνοις μετὰ τὸν πρῶτον καὶ πρὸ πάντων, ὃς φιλεῖ πατὴρ ἡμῶν καὶ ὀνομάζεσθαι καὶ εἶναι, οὐκοῦν καὶ αὐτὸς ἐκφωνεῖ ἐφ' ἑαυτῷ ἐν τοῖς ἱεροῖς λογίοις τὸ τοιοῦτον αἴνιγμα, καθότι καὶ κύριός ἐστι πατήρ, ἐξ οὗ πρώτου αἰτίου οἱ σπερματικοὶ λόγοι, δι' ὧν οὐσιοῦνται τὰ ἐν ἡμῖν, || δι' οὗ πατέρες [Ms. fol. 33 b.] αὐχοῦσιν εἶναι οἱ σπείροντες.

9. Οὕτω δὲ καὶ τοῦ πάπα καθεστηκότος εἰς πατέρα καὶ ἔνθεον, ἀκολούθως δέ πως εἰς θεόν, ἔστιν ἐπιβαλεῖν, ὡς ἐξ αὐτοῦ ὁ πόπος παρείλκυσται, τοῦ ἐν στοιχείοις γραφικοῖς πρεσβυτάτοις παραφωνηθέντος βραχύ τι, καθὰ καὶ τὴν ἀσταφίδα ὀσταφίδα λελέχθαι οἴδαμεν. Καὶ παραγαγεῖν μὲν γλῶσσαν βάρβαρον, τοιούτῳ σεμνύνουσαν ῥήματι, τὸ ἱερατικὸν φῦλον δόξοι ἂν τοῖς πολλοῖς ἴσως οὐκ εὐάγωγον. Φαῖεν γὰρ ἄν, οὐκ εὖ ἔχειν ἀγωγῆς, εἴ τις ἐκ τῶν Ἑλληνικῶν τὸ πιστὸν κἀνταῦθα εὐοδοῖ· βαρβάρους γὰρ εἴποι ἂν αὐτὸς φωναῖς τὰ σπουδαῖα καθ' Ἕλληνας συμβιβάζειν, μέμψαιτο ἄν τις. Ἐγὼ δὲ μυρίοις ἔχων ὑποδείγμασιν ἐπιστομίσαι τοὺς τοιούτους, αὐτὸ μὲν ἀφίημι, ἓν μόνον ὑπειπών, ὡς πολλὰ τῶν ἄρτι ῥημάτων ἢ ἐκ βαρβάρων εἰς ἡμᾶς καθήκουσιν, ἢ ἐξ ἡμῶν ἀνεχώρησαν εἰς τὸ βάρβαρον. Ἀναφωνήσω δέ, ὅτι καὶ Ἑλληνικὸν ὄνομα οἱ πόποι ἐπὶ θείου νοήματος· καὶ ὁ βουλόμενος ἐρευνάτω καὶ εὑρισκέτω καὶ κατεχέτω.

10. Ἐντεῦθεν οὖν ἠρέμα ὑπεγνωσμένου, ὡς οὐδέν τι ἀφελὲς καὶ εὐτελὲς καὶ ταπεινὸν καὶ χυδαῖον, ὥσπερ οὐδὲ ὁ πάππος, οὐδὲ ὁ πόπος, οὐδὲ μὴν ὁ πάπας δηλοῦσιν, οὕτως οὐδὲ ὁ παπᾶς, ἀλλὰ σεμνά εἰσι καὶ θεῖα τὴν σημασίαν· διατί, ὦ παπᾶ, εἰ τέως ἄξιος εἶ τοῦ ὀνόματος, ἀκούων παπᾶς εἶναι καὶ καλούμενος, οὕτως ἀπεχθῶς ἔχεις τῷ καλοῦντι, καὶ δυσμεναίνεις, ὡς περιυβριζόμενος; Τίς μανθάνων ἱερὸς εἶναι, μυσάττεται τὴν φωνήν; τίς πατὴρ ἐπικαλούμενος, βύει τὴν ἀκοήν; τίς θεῖος καλεῖσθαι ἀπαναίνεται; τίς θεὸς σεμνυνόμενος εἶναι, ἀποπροσποιεῖται τὸν ἔπαινον;

Μαινόμενός ἐστιν ὁ ταῦτα πάσχων, οὐ φιλότιμος, οὐ μεγαλοπρεπής, οὐ μεγαλόνους. Κατακρίνει ὁ τοιοῦτος ἑαυτόν, ὡς ἀνάξιον, οἷς ἀπαξιοῖ ἑαυτοῦ τὸ οὕτω τίμιον. Εὐφημούμενός τις βασιλεύς, ἐν τῷ τοιοῦτος εἶναι χαίρει· καὶ εἰ μὴ ἀκούει οὕτω, θυμαίνει καὶ κακὰ ποιεῖ. Σὺ δὲ παπᾶς ἐπιφημιζόμενος καὶ ἀναβοώμενος, ἀποστρέφῃ τον ὀνομάζοντα; Οὐκ ἄρα οὐδὲ ἐγκρίνεις σεαυτὸν εἰς παπᾶν, ἀλλ' ἀπολέγεσθαι φαίνῃ σὺν τῷ τοῦ παπᾶ ἐπιφθέγματι καὶ τὴν ἐν αὐτῷ πολυειδῆ σεμνότητα. Ὁ πάπας ἐλλάμπεται, οὕτω φημιζόμενος· καὶ σὺ ὁ κατ' ἐκεῖνον καὶ ἐξ ἐκείνου καὶ δι' ἐκεῖνον παπᾶς, βαρύνῃ ἐπὶ τῷ ἀξιώματι; Ὁ πόπος θεωνυμεῖται· καὶ ὁ οἰστοιχος αὐτοῦ παπᾶς ἀποσχοινίζει ἑαυτοῦ τὸ παρόμοιον ἀγαθόν; Παπαὶ τῆς ἀφροσύνης, ἵνα τι πρὸς ὁμόφωνον ἀστεϊσώμεθα.

11. Εἰ δὲ σὺ οὕτω φρονεῖς, μάλιστα μὲν οὖν παραφρονεῖς, πῶς ἂν αἰτιασοίμεθα τὸν ἐν ἡμῖν πολὺν ἰδιωτικόν, ὃς ἄνθρωπος ἀκούσας ποθέν, βαρύνεται πρὸς τὴν ἀκοήν; Αὐτὸς μὲν γὰρ δόξοι ἂν εὐλόγως ἄχθεσθαι τῇ τοῦ ἀνθρώπου προσωνυμίᾳ, ἐπειδὴ πολλαχοῦ ἡ ἱερωτάτη γραφὴ τὸν ἄνθρωπον οὐκ ἐπὶ ἀγαθῶν προσώπων, ἀλλὰ μὴ τοιούτων τίθησι. Σὺ δὲ ὥςπερ οὐκ ἂν τὸν πάπαν, οὕτως οὐδὲ τὸν παπᾶν ἔχοις παραδεῖξαι φαυλωνυμούμενον.

12. Εἰ δὲ τὸν παπᾶν μὲν ἀπάγεις, ἐγκρίνεις δὲ τυχὸν τὸν δεσπότην, μάνθανε, οὐκ ἀσφαλῶς ἔχειν τοῦ νοεῖν, ἐπεὶ μηδὲ κατὰ τὸν παπᾶν σεμνὰ νοεῖ καὶ ἡ τοῦ δεσπότου κλῆσις. Δεσπότης μὲν γὰρ οὐ μόνον καθ' ὕψους ἀνάτασιν οἶδε νοεῖσθαι, ἀλλὰ καὶ ταπεινοτάτοις ἁρμόττεται πράγμασι. Δεσπότην γὰρ οἶδε καὶ ἡ βραχυτάτη καλύβη, καὶ τὸ ταπεινὸν ζωΐδιον, καὶ τὸ μὴ πολλοῦ τιμώμενον γήδιον ἢ ἀνδράποδον. Ὁ δὲ παπᾶς πλατυτάτην δεσποτείαν ἐμφαίνει μυρίοις, καὶ αὐτὴν πρὸς θεοῦ μίμησιν. Εἰ δὲ καὶ αὐθέντης βούλει σεμνύνεσθαι (οἴμοι, ὅτι φανερὰν ὕβριν καὶ ἀπαρακάλυπτον παῤῥησιάζεις, καὶ οὐκ αἰσχύνῃ πραγματευόμενος τὸ ὑβρίζεσθαι), φέρε εἴπω σοι, νοῦν ἐμὸν ἐκκαλυψάμενος.

13. Ὀκνῶ ἔγωγ' οὖν αὐθέντην ἐξονομάζειν, ὃν περὶ πολλοῦ ποιοῦμαι, δεσπότην μὲν ἐκεῖνον ἀῤῥαθύμως ἐκβοώμενος πλατεῖ στόματι, καὶ ἄλλα δὲ τόπῳ τοιούτῳ προςβαίνοντα· αὐθέντην δὲ τὸν τοιοῦτον οὐκ ἂν ἀνυποστόλως ἐρῶ, εἴ τι αὐτοῦ ἐπιστρέφομαι. Οἶδα γὰρ καὶ τοὺς ἔξω τοῦ τῆς καθ' ἡμᾶς ἱερᾶς θρησκείας παραδείσου, πολλοὺς δὲ καὶ τῶν ἐμφιλοχωρούντων
Ms. fol. 34. a. αὐτῷ, ἐν οἷς || καὶ ὁ τὴν κατὰ θεὸν χρυσῖτιν ἀνασκάλλων, καὶ οὕτω τὴν γλῶτταν χρυσοῦς, βίαιόν τι ὄνομα τὸν αὐθέντην εἰδότας, καὶ ὡς τὰ πολλὰ καὶ τυραννικόν, εἰς ἴσον τῷ αὐτοφόντῃ ἐρχόμενον καὶ τῷ αὐτόχειρι. Ἐὰν δέ μοι παραφέρῃς εἰς ἔπαινον τῆς τοιαύτης λέξεως τὸ αὐθεντῶς ἐπιδράττεσθαί τινος πράγματος, ὃ δὴ νόμοις ἀρέσκει λαλεῖν, ἀλλ' οὐδ' αὐτὸ ἀνύποπτον ψόγου τίθεμαι. Τὸ γὰρ τοιοῦτον αὐθεντῶς ἔχοι ἂν καὶ πληγάς ποτε καὶ αἰκίας καὶ λοιπὰς πλημμελείας, ὧν οὐκ ἂν ἐθέλοι ἅπτεσθαι οὔτε πόπος, οὔτε πάπας, οὔτε παπᾶς, οἷς θειοτάτη ἐγκάθηται νόησις. Μὴ τοίνυν, ὦ οὗτος, ἄχθου, παπᾶς προςονομαζόμενος, καὶ οὕτως ἐνθεάζων τῇ κλήσει, καθὰ καὶ ὁ πάπας μήποτε ἀκούσῃς οὐκ ἀπροςφυῶς σύ, καὶ εἴ τινες κατὰ σέ, ὅτι ἐγὼ εἶπα· θεοί ἐστε διὰ τοῦ καὶ παπάδες εἶναι, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε.

14. Βούλομαι καὶ ἄλλως ἐναγαγεῖν σε εἰς πόθον τοῦ ἐθέλειν φιλεῖν, καλεῖσθαι παπᾶς. Ἐκλήθη θεὸς ὁ μέγας ἐκεῖνος Καῖσαρ, χαίρων πάντως τῇ κλήσει ταύτῃ. Ἐπειδὰν δὲ θάνοι ἐκεῖνος, ψευσάμενος τὸν θεόν, εὐλαβηθεὶς, οἶμαι, ὁ ἐξ ἐκείνου τοῦ ὀνόματος μεγαλεῖον, Σεβαστὸς ἔχαιρε λέγεσθαι, λέξεως ταύτῃ ἑτερότητι συνελθὼν ἄλλως εἰς ὅμοιον τῷ πατρὶ νόημα. Εἰσὶ δὲ ἄμφω ταῦτα οὐκ ἀσύμφωνα τῷ τε πάπᾳ καὶ τῷ παπαίῳ, ἤδη δὲ οὐδὲ τῷ παπᾷ. Τί τοίνυν ὀκνεῖς θεωνυμεῖσθαι ὀνόματι σεβαστῷ, εἰ καὶ τοῖς μὴ ὀρθὰ νοοῦσιν αὐτὸ ἐξαθερίζεται; Οὐκ οἶδας, ὅτι καὶ Ναζιραῖος ἅπας, ὃς διὰ τιμῆς ἐν θείοις φροντιστηρίοις ἀγόμενος ἱερᾶται, παπᾶς ἐπονομάζεται, ὡς εἴ τις εἴποι πατήρ. Μὴ δὴ οὖν αὐτὸς εὐλαβῶς εἶχες καλεῖσθαι παπᾶς, εἰ μὴ ὅρα κατέγνωκας, οὐκ ἄξιος εἶναι τῆς κλήσεως;

15. Εἰ δὲ καὶ σὺ ἀπαξιοῖς τὸ θεῖον ὄνομα, ᾧ συνεκβάλλεται καὶ ὁ δεσπότης, καὶ ὅσα τοιαῦτα ὑπεροχικά· ἀλλ' ἐγὼ εὔχομαι παπᾶς εἶναι. Οὐαὶ γάρ μοι, ὅτε ἀπαξιωθείην τῆςδε τῆς κλήσεως. Ἐγκρίνεται πολλαχοῦ καὶ ὁ κύριος ἐπὶ ἀνθρώπων, ἔτι δὲ καὶ ὁ κῦρις τὸ πατερικὸν καὶ οὕτω πνευματικώτερον. Οὐκ εἰς ἔλαττον δὲ τούτων ἐκπίπτειν ἔγνωσται ὁ παπᾶς. Ὁ κῦρις μὲν γὰρ οὔτε ἑλληνίζεται, καὶ ἀκραιφνῶς ἀνθρωπικώτερόν ἐστιν, εἰ δὲ καὶ θείας ἄλλως ἀρχῆς ἐξήρτηται. Ὁ δὲ κύριος, εἰ καὶ ἀνωφορεῖται ἐν πολλοῖς θεωνυμικῶς, ἀλλὰ τὰ πλείω κάτω ἰλυσπᾶται· ὅπου γε ἡ εὐγενὴς Ἀττικὴ γλῶσσα τὸν κύριον ἐπὶ ἀνδρὸς τίθησιν, ᾧ γυναῖκα ὁ νόμος συνέζευξε, κυριεύειν τεταγμένον. Παπᾶς δὲ ἅπας εἰς οὐδέν τι ταπεινὸν ἔχει ἀπενεχθῆναι, οὔτε πρωτοθέτως, οὔτε πρωτολογικῶς. Τί πολλὰ λέγειν; Ὁ τὸν παπᾶν ἀπολεγόμενος, τῇ θείᾳ κλήσει ταύτῃ συνεκδιώκει καὶ ἱερωνυμίαν ἅπασαν· καὶ οὔτε δεσπότης ὁ τοιοῦτος,

οὔτε κύριος, οὔτε πρεσβύτερος, οὐδὲ μὴν ἱερεύς, οὔτ' ἄλλο τι σεμνὸν τοιοῦτον· ἀλλ' ὅσον εἰς τὰ τοιαῦτα καθήκει, ἀνώνυμος λέλειπται καὶ αὐτὸς πρὸς ὁμοιότητα τοῦ κατὰ τοὺς Ψύλλους ἔθνους, παρ' οἷς λέγεται μηδέν τι κύριον κεῖσθαι ὄνομα.

16. Φέρε δὲ εἴπω σοι, καὶ ἐπὶ τίσιν ἄχθεσθαι πρέπει, ὅτε τις ὀνομάζεται παπᾶς, εἴ ποθεν ἀκούσει· „Ἄγε δή, ὦ παπᾶ, συκοφαντήσωμεν ἅμα, κατηγορήσωμεν τοῦ μηδὲν αἰτίου, κακηγορήσωμεν τὸν ἄμεμπτον, ἀφελώμεθα τὸ ἀλλότριον ἢ ὑφελώμεθα,“ καὶ ὅσα τοιαῦτα. Τότε μισητέον τὴν τοῦ παπᾶ πρόσκλησιν, καὶ ῥητέον, ὡς βαρύνομαι παπᾶς προσφωνεῖσθαι. Εἰ τοιοῦτος λεγόμενος, εἶτα προσκαλοῦμαι φαῦλα πράττειν, οὐ συκοφαντήσω, παπᾶς ὤν, καὶ οὕτω θεῷ παροικῶς, ἐπεὶ μηδὲ ὁ θεὸς τοιοῦτος ἐστίν, ὃν εἰκονίζω. Οὐ κατηγορήσω δι' ἐκεῖνον, οὗ τὸ ὄνομα φέρων οὐ μόνον οὐ παρέξω πράγματα, ἀλλὰ καὶ θοἰμάτιον προσαποδύσομαι τῷ ἐθέλοντι. Οὐ κακηγορήσω διὰ τὸν παραγγείλαντα εὐλογεῖν, οὗ πρὸς εἰκόνα καὶ πέπλασμαι καὶ ὀνομάζομαι. Οὐκ ἀποστερήσω διὰ τὸν τάξαντά με εὐεργετεῖν, καὶ οὕτως αὐτὸν μιμεῖσθαι, καὶ πρὸς αὐτὸν εἰκονίζεσθαι, ὥσπερ ὀνόματι, οὕτω καὶ πράγματι. Ἐπὶ τούτοις μὴ χαῖρε καλεῖσθαι παπᾶς· ἄλλως δέ γε καὶ ἀσπάζου καὶ προβάλλου αὐτό,
Ms. fol. 34. b. ||καθὰ καὶ τι ἀλεξίκακον κατὰ τῶν ἐν βίῳ δηλητήρων, καὶ ὡς ὅπλων πρόβλημα κατὰ τῶν δαιμονοφορήτων, καὶ ὡς οἷον προβασκάνιον κατὰ τῶν ἐννευόντων ὀφθαλμοῖς βασκάνοις. Πραγματεύου δὲ σύν γε τῷ λέγεσθαι παπᾶς καὶ τοιοῦτος εἶναι, ὡς ἂν κληρονόμος γεγονὼς οὕτω τοιούτου καλοῦ, καὶ ἀληθιζόμενος τὴν ἱερὰν ταύτην καὶ θείαν κλῆσιν, θεράπων εἴης θεοῦ ἀληθής, οὗ τὸ ὄνομα ἐπικέκλησαι ὡς Χριστιανὸς καὶ παπᾶς, κἀντεῦθεν μέγας ἐν ἀξιώμασιν· ἄλλως μέν τοι ἐξαθερίζων τὸν παπᾶν, ἐξουδένου καὶ τὸν ἱερέα καὶ τὰ κατ' αὐτὸν ὅλα ἐν ὀνόμασι θειότατα. Εἰ κρίνεις περιβολὴν κλήσεως ῥυπαρὰν τὸν παπᾶν, συναπεκδύου καὶ τὴν σεβασμίαν διπλοΐδα καὶ ἅπαν ἄλλο ἱεροπρεπὲς ἀμφίον. Ὁ μὴ θέλων θεῖος ἐπονομάζεσθαι ὡς παπᾶς, ὀκνείτω καὶ ἁπλῶς ἄνθρωπος λέγεσθαι. Εἰ γὰρ τὸ κρεῖττον ἀπόβλητον, οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὸ ὑποδεές. Ὁ μὴ ἐν ἀξιώματι θέλων τάττεσθαι καὶ περιβλέπεσθαι, χαιρέτω ἰδιωτεύων καὶ περιφρονούμενος. Ὑψηλὲ παπᾶ, τί σεαυτὸν ταπεινοῖς; Δείδιθι, μή ποθεν προσφυῶς ἀκούσῃς ταπεινὲ παπᾶ. Διὰ τί οὐκ ἐφίῃ τοῦ ἀνήκοντος ὕψους; Τί δὲ τὸν αἰθέριον ἀπειπάμενος, γίνῃ τῆς γῆς; Τί τοῦ κλήρου σεαυτὸν ἀπάγων, καθίζεις εἰς λαόν; Ἐνθυμοῦ, οἵῳ βασιλεῖ πρεσβεύειν τεταγμένος, εἶτα ἐντρέπῃ τὸ λειτούργημα. Λάμβανε τὰ ἅγια τῶν ἁγίων εἰς νοῦν, οἷς προσβαίνειν κεκλήρωσαι, καὶ οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, ἀλλὰ εἰς ἐνδελεχές, ἀφιεὶς τοῖς ἄλλοις τὸ κοσμικὸν ἅγιον. Ἀναλογίζου τὸ ἄδυτον, εἰς ὃ καὶ προκύπτειν ἔλαχες καὶ προκαθῆσθαι, τοὺς ἄλλους ἀπολείπων θύραζε περιΐστασθαι. Ἀναπόλει εἰς νόησιν τὸν ἱερὸν Ὀκρίβαντα, τὸ πεδινὸν θεῖον ὄρος, ἐν ᾧ σημεῖον αἴρειν ἐκελεύσθης, εὐαγγελιζόμενος τὰ ἱερά· καὶ ἀποδέχου τὴν ἀνάβασιν, μήποτε κατενεχθεὶς ἐκεῖθεν πτῶμα δυστυχήσῃς ἐξαίσιον, καὶ σεαυτὸν οἰκτίσῃ, ὅτι τῷ παπᾶς εἶναι συναπολώλεκας ἅπαν τίμιον, καὶ σου καταχορεύσωσι τὰ παιδάρια, ἐπιλέγοντα τὸ παπᾶς ἀπάπας. Προσεπιθήσουσι δὲ καὶ τὸ ἀνάβα, ἀνάβα· καὶ που εἰς θυμόν σε προσερεθίσωσιν, ὡς καὶ ἄρκτον ἐπικαλέσασθαι κατ' αὐτῶν. Καὶ μὴν σὺ τοιούτων θηρίων ἐπάξιος ἀναπέφηνας, ὃς οὐκ αἰσθάνῃ σαυτοῦ, οὐδὲ ἐντρέπῃ καταβαίνων τὴν ὑψηλὰν ἀνάβασιν, εἰς ἣν τὸ μὲν ἅγιον πνεῦμα παρύψωσέ σε ἄκοντα, ὡς ἔοικε· τὸ δὲ πονηρὸν βαρύνει κάτω.

Τοῦ αὐτοῦ αὐτοσχέδιος λαλιὰ πρὸς τὸν αὐτοκράτορα Ἰσαάκιον τὸν Ἄγγελον ἐν Φιλιππουπόλει, ὅτε δύο νυκτέρους ἐκδρομὰς ἐποιήσατο κατὰ τῶν Σκυθῶν ἀναιδευσαμένων τηνικάδε ὥρας ἐπὶ προνομῇ τῶν τοῦ θεοῦ.

1. Οὐδείς, οἶμαι, τῶν ἁπάντων, ὅσοι περὶ σπουδαίας τέχνας πονοῦνται, θαυμασθείη ἂν ἐς τοσοῦτον, μελετήσας ἐκ μακροῦ, καὶ εἰς ἔργον ἑτοιμασάμενος, ὡς ὅτε μεθοδεύει πόνημα ὑπόγυιον ἐκ τῶν προχείρων ἐπιδεικνύμενος. Διὸ καὶ ὁ σοφὸς τα ἐς μηχανὴν οὐ πάντοτε πολλὰ σκευωρεῖ, ἀλλ' ἔστιν οὗ καὶ ἄλλως τῇ δεδομένῃ δυνάμει τὸ προκείμενον μεγαλεῖον βάρος παλαμᾶται κινεῖν εὐμεθόδως, καὶ οὕτως ἐξ αὐτοσχεδίου εὐδοκιμεῖν. Τοῦτο καὶ ἐμὲ τὸ νόημα περιελθόν, εἰς τὸν παρόντα λόγον καθῆκε προθύμως, καὶ οὐδὲ ἔξω τοῦ δέοντος.

2. Σκεψάμενος μὲν γάρ, καὶ χρόνον τρίψας μελέτῃ συχνῇ, καὶ οὕτως εἰς ἔπαινον βάψας βασιλικόν, οὐκ ἂν ἐθαυμαστώθην ὡς ἐχρῆν, οἷα τοῦ μεγέθους τῶν τοῦ

βασιλέως ἀνδραγαθιῶν κατευμεγεθοῦντος τῆς ἐμῆς ἐν λόγοις δυνάμεως· αὐτοσχεδὸν δὲ συμμίξας τοῖς προκειμένοις, καὶ εἰς ἓν αὐτοῖς ἐλθών, ὡς ἔνεστιν, ἔχοιμι ἄν τι τάχα σεμνότητος, καὶ οὐ μόνον θερμότητος χάριν, καὶ τοῦ μὴ ἐθελῆσαι πολλοστὸν ἐκπεσεῖν με τοῦ νῦν σεμνολογήματος, ἀλλὰ καὶ ὅτι ἐν παντὶ τόπῳ τῆς βασιλικῆς δεσποτείας ἀῤῥαθύμως ἔχω περιᾴδειν τὰ τοῦ αὐτοκράτορος. Οἶκοι τε γὰρ ὁ ἐμὸς ἐκεῖνος λαός, ὁ τῷ θεῷ περιούσιος, ᾠδαῖς τοιαύταις περιλαλεῖται, οὐ μόνον ἐξ ἔτους εἰς ἔτος, ἀλλὰ καὶ συχνότερον, καὶ ὅσους δέ μοι ἀμφέπει φιλουμένους ἡ μεγίστη τῶν πόλεων || (Ms. fol. 35. a) ἀλλὰ καὶ ἐκείνοις οὐκ ἔστι προςλαλεῖν με μὴ ἐγκαταμιγνύντα καλὰ τοιαῦτα τοῖς γράμμασιν, ὅσα καὶ πέπλοις ποικίλματα. Ἰδοὺ δὲ καὶ τόπος οὗτος Θρᾴκιος (ὁ θρυλλούμενος Φίλιππος, ἀγάμενος τῆς ἀρετῆς, ἐπεσημήνατο πολίσματι περικλύτῳ) ἔχει με λαλοῦντα ἐφ' ὁμοίοις καὶ αὐτοῖς, ἅπερ αὐθημερὸν ὁ παρὼν καιρὸς τοῖς ἐνταῦθα ἐξέφηνε, καὶ ἐμοὶ διὰ θαύματος ἤγαγε· καὶ ἔγω μὲν λογιζόμενος, ὡς μικρὸν ὅσον καὶ βροντήσουσιν οἱ ἀγαθοὶ ῥήτορες ἐπὶ τοῖς ἄρτι κατωρθωμένοις, καὶ σεμνολογίας μακρὰς ἐντεινάμενοι ἀποκρύψουσι τὸ τῆς ἠχοῦς λεπταλέον τῆς κατ' ἐμέ. Οὔκουν δὲ ὅμως ὀκνήσω δι' αὐτό, ἀλλ' ὑποσυρίξω ἀμυδρὰ πρὸς ἔνδειξιν θαύματος· καὶ ἔστι μοι τοῦτο σύντροχον καὶ οἷόν τι συγγενὲς τοῖς ἄρτι πρὸ ὀφθαλμῶν.

3. *Σύ τε γάρ, ὦ ἀνδρικώτατε αὐτοκράτορ, ἅμα βοῇς ἤσθου πολεμικῆς, καὶ αὐθωρὸν δᾀος ὁπλιτοπάλας, ἔποχος πολεμιστῆρι ἵππῳ, σεαυτὸν εἰς μάχην προβέβληκας· καὶ ἐγὼ μικροῦ δεῖν σύνδρομος ὁμοῦ ἥκω τῷ λόγῳ, ἀπέριττος τὴν φράσιν, ἄσκευος τὰ εἰς νοῦν, ἀπεριλάλητος, οὐδέν τι κομψὸν περιεργασάμενος, ἀλλ' ἢ μόνον τὸ ἐν ἐμοὶ θαῦμα οὕτως ἐμφήνας καὶ σεμνυνάμενος, ὅτι ἅμα σὺ ἔργον τετέλεκας, καὶ ἐγὼ σχεδίῳ λόγῳ τούτῳ ἐπέβαλον· καὶ μή ποτε ἀγαθῇ τύχῃ, καὶ ὅ φασι κατὰ θεῖον ἐνταυθοῖ παρεύρημαι, ἵνα μὴ ἀεὶ ἀκούων εἰςδέχωμαι τὰ θαυμάσια διοικούμενος ἀκροάμασιν, ἀλλὰ καὶ αὐτομαθῶς ἐνθεάσω, οἷς κατορθοῖς. Ναὶ πάντως θεόθεν μοι καὶ τοῦτο τὸ ἀγαθόν, ὡς ἂν μὴ μόνον ἀκροάμενος ἐκλαλῶ τὰ σὰ τεράστια μεταβολέως δίκην, καὶ ὃ δὴ λέγεται καθ' ὑποβολήν, ἀλλὰ καὶ ἐκ πληροφορίας τῆς εἰς ἐντέλειαν γνώσεως. Καὶ εὕρηκα, ἰδού, καὶ τοῦτο ἕρμαιον πολυτίμητον, τὰ πρῶτα μὲν εὐτυχῶς ἐπιβαλὼν τῇ ὁδῷ, καὶ ὡς οἷον εὐροήσας, οἷς μετὰ ῥαστώνης ὥδευσα, εἶτα καὶ καταλύσας ἐνταῦθα ἐπὶ μεγάλῳ θαύματι.*

4. *Καὶ ἔσχον μὲν ἐκπλαγῆναι, ὁπηνίκα ἡ τῆς μεγάλης κυριωνύμου προδραμοῦσα νύξ, καθ' ἣν ἡ κυριακὴ ἀνάστασις ὕμνου θείου τὰ στόματα ἡμῖν ἐνέπλησεν, οὐκ ἀνέπαυσε καὶ τοὺς σοὺς κροτάφους, ἀλλὰ τῶν ἄλλων ἡδὺ κοιμωμένων αὐτὸς ἱππασάμενος ἐπὶ σωτηρίᾳ ἡμῶν διεξιφίσω τοῖς πολεμίοις, οἳ σκότος νυκτερὸν εἰς ἀποκρυφὴν ἐνδυσάμενοι, κατέτρεχον λῃστρικῶς τὰ τοῦ ποταμοῦ ἀντιπέραν, ὃς τὴν ἐνταῦθα κλύζει περίχωρον. Οὐχ ἥκιστα δὲ εἰς βυθὸν κατέδυν ἐκπλήξεως, ἧς οὔπω ἀνανεῦσαι δεδύνημαι, ὅτι οὔπω διέσχον ἔκτοτε ἡμέραι τέσσαρες ὅλαι, καὶ ἄεθλος βαρύτερος ἕτερος μετεκαλέσατό σε.*

5. *Τὸ γὰρ Σκυθικὸν λῃστρικὸν τῆς ἑτέρας περαίας τοῦ ποταμοῦ καταπηδῆσαν, δεινὰ ποιήσειν μεμελέτηκεν, ἐπιτετηρηκὸς καιρὸν ὅμοιον μὲν τῷ ἔναγχος φθάσαντι τά γε εἰς νύκτα ὑετῷ πολλῷ διάβροχον ἐκείνην καὶ σκοτομήνιον, τῷ παντὶ δὲ ἄλλως ἐκείνου χείρονα. Βροχή τε γὰρ κατεῤῥήγνυτο παννύχιος, οὐκ ἂν εἴποι τις τῶν περιτετυχηκότων, ὡς οὐ δριμυτέρα χίονος, καὶ ἄνεμος δὲ αὐτὴν ἐκμαίνων ἐπέσπερχε κατὰ προςώπων ἐλαύνων, ὡς καὶ ὀφθαλμοὺς ἐπαχλύεσθαι, μὴ βλέποντας, ὅπῃ βαδιστέον· θλίβεσθαι δὲ καὶ τοὺς στρατιωτικοὺς ἵππους τὰ πέριξ μὲν πυκνουμένους ἀέρι ψύχοντι, τὰ κάτω δὲ σφαλλομένους, οἷς ἡ γῆ ἐτελμάτουτο, πολλοῦ τοῦ ὕδατος πίνουσα.*

6. *Ἦσθα δὲ ἄρα καὶ ἐνταῦθα σύ, κράτιστε βασιλεῦ καὶ στρατηγὲ καὶ στρατιῶτα, προεξάρχων τοῦ τε ὁπλισμοῦ καὶ τῆς ἐκδρομῆς καὶ τῆς λοιπῆς ἁπάσης εὐκοσμίας, ὁπόση περισώζειν οἶδε στρατόν, ὅσους δὲ ἡ τοῦ || (Ms. fol. 35. b) Φιλίππου πόλις ἐντὸς ἴσχει, καὶ ὅσοι κύκλῳ αὐτὴν ἀμφινέμονται, οἷς ἔλαχον συνειλέχθαι. Νῦν καὶ αὐτὸς οὐκ ἔχω μὲν σταθερῶς εἰπεῖν, ὡς φόβῳ ἅπαντες ἑάλωσαν· ἐμὲ γοῦν οὐχ εἷλε δέος τὸν γηραλέον καὶ οὐδὲ εὐθαρσῆ· πολλοὺς δέ γε, μήπου δὲ καὶ τοὺς πλείονας, τεθορύβηκεν ἡ περιπέτεια οὐχὶ μετρίως. Καὶ εἶχε λόγον τὸ πάθος. Ἐπτοοῦντο μὲν γὰρ ἐκεῖνοι, ὅσοις ἀνέβαινον εἰς καρδίαν διαλογισμοὶ τοῦ παθεῖν κακῶς· ἔμενον δὲ ἀπτόητοι, ὅσοις ἡ βασιλικὴ εὐβουλία καὶ ῥωμαλεότης καὶ ἀνδρία διαθερμαίνουσα τὰς ψυχάς, ἐλπίδας ἀγαθὰς ὑπέτεινεν. Ὁμοῦ μέντοι πᾶσιν εὐχαὶ ἀνεπέμποντο πρὸς τὸν βασιλέα θεὸν μεμιγμέναι θαύματι, καὶ συχνὰ ὁ κύριος προεκαλεῖτο αὐτοῖς εἰς ἔλεον ἀπορουμένοις, τί δὴ ταῦτα, καὶ μέχρι τίνος ὁ αὐτοκράτωρ πρῶτος καὶ μόνος πρὸ πάντων καὶ ὑπὲρ πάντας πονήσεται;*

7. *Τοιούτοις ἐγὼ ἐντετύχηκα εὐτυχῶς ἐπαλλήλοις βασιλικοῖς δρόμοις, τοιούτοις εἰς ἀνδραγαθίαν ἐξάλμασι, τοιούτοις εἰς κλέος ὕψιστον ἐξάρμασιν. Οὕτως ὁ μὲν καιρὸς διενέστη, ἀπελέγξαι τὴν σὴν καρτερίαν, δυναμένην ἀποκαμεῖν· σὺ δὲ ἀλλ' ἐφιλονείκησας ἀκάμας,*

καὶ νῦν ἐκφανθῆναι θειότερος. Οὕτω τὰς ἡμῶν τῶν ἄλλων ἑορτὰς καμάτου καιροὺς αὐτὸς ἐξευρίσκεις, καὶ τὰς ἐπὶ ἀναπαύσει ἀνοχὰς καματηρὰς ξυνοχάς· οὕτω πανηγυρίζεις τὸ ὑπὲρ ἡμῶν ἀθλεῖν· οὕτω τοῖς ὑπὲρ τοῦ σοῦ λάχους μόχθοις ἐπαναπαύῃ· οὕτως ὁ μὲν καθ᾿ ἡμᾶς κόσμος ἐγκέκλιταί σοι, βαρύνων ἄχθεσιν ἀμυθήτοις, αὐτὸς δὲ Ἄτλας ἀνέστηκας, ὑπανέχων τὸν καθ᾿ ἡμᾶς οὐρανόν, οὐκ εἰδὼς ὑπενδιδόναι οὐδ᾿ ὁποσονοῦν.

8. Τοιαύταις φερεπονίαις ἐνεγύμνασέ σε ἡ πρὸς θεὸν ἀκριβὴς πεποίθησις, καὶ ἡ πρὸς ἐκεῖνον ἀνάτασις, καὶ τὸ ἐπὶ τοῖς ἐκείνου προστάγμασιν ἄσχολον. Οὐ γὰρ λέληθας πολλαχῶς τὸν ἁπλῶς ὑπερνικῶν ἄνθρωπον, ἐφ᾿ οἷς θεὸς θεραπεύεται, καὶ οὐ μόνον τὸν πολιτευτικόν, ὅσος ἐν λαϊκῷ θεωρεῖται καὶ ἱερατικῷ, ἀλλὰ καὶ τὸν μονάδα καὶ τοῖς ἐν κόσμῳ τυρβάζουσιν ἀνεπίμικτον. Ἡμέρας μὲν γὰρ ἁπάσης ἢ θεοῦ κρίμασιν ἐπιπρέπεις, οἷς νόμος ἐπιστατεῖ θεόσδοτος· ἢ κώδικας ἐλεημοσύνης ἀνελίττεις, ἔλεον καὶ κρίσιν οὕτως ᾄδων κυρίῳ καὶ αὐτός· ἢ στρατιωτικοῖς ἄσχολος γίνῃ πράγμασιν· ἢ χρηματίζεις πρεσβείαις ταῖς ἁπανταχόθεν· καὶ τὸ ὅλον ἐν ὀλιγίστῳ εἰπεῖν, ἅπασι σεαυτὸν ἔργοις ἐπιπρέπεις, ὁπόσοις εἰκὸς τὸν μετὰ τὸν ἐν οὐρανοῖς ἐπίγειον θεὸν ἑαυτὸν ἐπιδιδόναι εἰς κόσμου σύστασιν. Ἡ δὲ νὺξ — ἀλλὰ καὶ αὐτὴ ἐργωδίαν σοι προξενεῖ, δι᾿ ἧς εἰσέρχεταί σου τὸ ἀξίωμα ἐνώπιον θεοῦ· καὶ πεποιθὼς ἐγγίζεις αὐτῷ. Καὶ εἰπεῖν μὲν οὐκ ἀποκαρτερεῖς τηνικαῦτα ὀρθοστάδην ἄϋπνος, οὐ κάμπτων γόνυ, ὃ πάλαι πεποίηται, οὐ πάνυ τι εὐγενῶς ἔχει πρὸς χαρακτῆρα καρτερίας οὐδὲ ἐντελῶς· σὺ δὲ ἀλλὰ καὶ τῷ στόματι ἐνεργεῖν δίδως θεραπείαν θείαν, ἀνοίγων αὐτὸ εἰς ὕμνους θεοῦ, καὶ τῷ πρᾳοτάτῳ συμψάλλων Δαυΐδ, καὶ οὕτω πνεῦμα θεῖον ἕλκων τὸ καὶ συνετίζον καὶ ἁγιάζον σε, αἴρων δὲ καὶ χεῖρας νυκτὸς εἰς τὰ ἅγια, κατ᾿ ἐκεῖνον εἰπεῖν, ἀναπτύσσεις τηνικαῦτα κατὰ πᾶσαν ἄδειαν βίβλους ἱεράς, καὶ τοὺς ὀφθαλμοὺς ἐπαφιεὶς αὐταῖς εἰς περιέλευσιν, ἀναλέγῃ οὕτως ἐκεῖθεν τὰ τῷ θεῷ φίλα, καί, ὡς εἰπεῖν, διά τινων εἰσόδων τούτων ἱερῶν εἰσέρχῃ νοερῶς πρὸς τὸν ποθούμενον δόμοις καὶ παράδεισον καὶ θεόν· καὶ ἔστι σοι καὶ αὐτὴ ὀφθαλμῶν ἄρσις εἰς ὄρη θεῖα, ὅθεν ἡ ἐκ θεοῦ
Ms. fol. 34. a. ἥκει βοήθεια. || Ἐπειδὰν δὲ οὕτω πονούμενος ἀποκάμῃς (ἄνθρωπος γὰρ εἶ καὶ αὐτός, εἰ καὶ ὑπὲρ τοὺς καθ᾿ ἡμᾶς), τότε δὴ θύρας ταύτας περιστείλας, τήν τε κατὰ στόμα καὶ τὴν κατὰ ὀφθαλμούς, ἄλλην ἀναπεταννύεις, δι᾿ ἧς τὰ σπουδαῖα τῶν ἀκουσμάτων εἰς ψυχήν σοι πορθμεύονται, καὶ ἀναγνώστην μετακαλούμενος, ὃν ὁ θεὸς προτίθεται ὑπὸ σοὶ διδασκάλῳ σοφίσαι, αὐτῷ μὲν ἐπιτάσσεις περιϊέναι τὰ ἱερὰ γραφικά, σὺ δὲ πνεύματι ἁγίῳ ἐκεῖθεν ἔνθους χρηματίζων τῷ θεῷ συγγίνῃ, καὶ τὰ ἐκείνου νοεῖς· καὶ οὕτω διὰ θυρίδων τούτων τριῶν τὸ τῆς ἀρχιφώτου Τριάδος ἄϋλον σέλας ἐλλάμπει τῷ σῷ οἴκῳ τῷ κατὰ ψυχήν, εἰς ἣν ὁ θεὸς οἰκεῖ καὶ ἐμπεριπατεῖ. Καὶ ἔχεις ἐνταῦθα ψάλλειν, οὐχ ὅτι μεσονύκτιον ἐγείρῃ ἐπὶ τὰ τοῦ θεοῦ κρίματα, ἀλλ᾿ ὅτι πάννυχος ὡς τὰ πολλὰ ἐπ᾿ αὐτοῖς γινόμενος οὐ κέκμηκας. Καί μοι τῷ λόγῳ παρεστήκασι μαρτυρήσοντες ἱεροί τε καὶ λοιποὶ λογάδες ἄνδρες, οἷς ἐκ διαδοχῆς προβαίνων ὁ νυκτερὸς ἐν τοῖς τοιούτοις κάματος ἀδυνατεῖ παραμετρεῖσθαι τῇ κοινωνίᾳ πρὸς σέ. Ταῦτά τε οὕτω φερεπονεῖς, ὡς οὐκ ἂν ἀνθαμιλλᾶσθαί σοι δύναιτό τις· καὶ τὰ γόνατα κάμπτεις, γουναζόμενος καὶ οὕτω τὸν θεὸν εἰς κοινὸν ἀγαθόν, διχῇ πονούμενος, οἷς τε ὄρθιος ἀνέστηκας ὡσεὶ κίων καὶ στῦλος ἐκκλησιαστικός, καὶ γόνυ κλίνων, ὡς ἂν θεὸν ἐπικάμψῃς εἰς οἶκτον τὸν ὑπὲρ τοῦ σοῦ λάχους· ὃ δὴ καὶ ὁ ἐπίκλην δίκαιος μέγας ἀπόστολος εἰς ἄκρον ἐπιτηδευσάμενος ἐνεσημάνθη τὰ γόνατα τύλοις, ὁποῖοι μάλιστα ταῖς καμήλοις προφαίνονται.

9. Αὗταί σοι τῶν γονάτων αἱ κάμψεις, ὦ τὰ θεῖα θερμότατε βασιλεῦ, κατὰ γῆς κλίνουσι τοὺς ἐχθρούς· αὗται καθιστῶσιν ἡμᾶς εἰς ὀρθόν· ταῦτά σε τὰ ἐμπονήματα τῷ θεῷ παριστῶσι, καὶ ὡς ἄγγελον θεῖον αὐτῷ οἰκειοῦσι, καὶ θαυμαστοποιοῦσιν ἐν κόσμῳ, καὶ ἀπρόσμαχον τοῖς πολεμίοις ἐμφαίνουσιν, οἳ στεῤῥῶς ἑαυτοὺς εἰς προνομὴν ἐντείναντες καὶ συμπείσαντες, μὴ ἂν ἐπανελθεῖν τοῖς οἰκείοις, εἰ μὴ τὰ ἐνταῦθα λῃστεύσαντες μεταποιήσουσιν εἰς ἐρημίαν Σκυθῶν, ἄλλως μὲν καὶ ἐκδειματοῦσι τοὺς ἡμετέρους, καὶ προσάπτονται αὐτῶν, ὅποι δύνανται· ὅτε δὲ αὐτὸς ἐπιφανῇς, ὁ ὅπλοις λάμπων, τὴν τοῦ ἔγχους ἀκμὴν προβεβλημένος ὅσα καὶ ἀστραπαῖον φόβον, μένος πνέων, ἀλκὴν ἐνδεδυμένος ἡρωϊκήν, ἐπαγγελίαν ἀνδρίας, καὶ ῥωμαλεότητος προφαίνων ἐχέγγυον, ἐκλανθάνονται τῶν πρὶν σταθερῶν βουλευμάτων, καὶ εἰς φυγὴν ἀγεννῆ προτρέπονται, μάτην δραμόντες, εἰκῇ χανόντες, κενοὶ τὰς χεῖρας, οἱ μέν, ὅτι μηδὲν ἐκράτησαν, οἱ δ᾿, ὅτι τὸ κρατηθὲν κατέῤῥιψαν, ἔντρομοι τὰς ψυχάς, ἀκρατεῖς ἑαυτῶν, ἐλαφροὶ τὴν ἱππασίαν, εἰ μὴ ἄρα βαρύνει τοὺς ἵππους αὐτοῖς ἡ τῶν ἐπιβατῶν ἐκ δέους ἀπονέκρωσις, οἳ ἀγαπῶσιν ἐνταῦθα, εἰ καὶ μόνους ἑαυτοὺς περισώζονται.

10. Τί δὲ οὐ μέλλουσιν οὕτω πάσχειν οἱ τὴν Σερβικὴν ἰσχὺν καὶ ὀφρὺν χθές που πρὸ βραχέων μαθόντες καταπεπατημένην τῷ βασιλεῖ ἡμῶν ὡσεὶ καὶ ἅλωνα δραγμάτων πλήρη, καὶ λεπτυνθεῖσαν καθὰ καὶ ἀχυρμιάν, καὶ διαβιβάζουσαν φόβον ὅμοιον καὶ

ἐπ' αὐτούς; Εἰ δὲ καὶ γῆν ταύτην βλέπουσιν ἔναγχος μὲν ἔτους τοῦ πέρυσιν ἔθνει μεγάλῳ βεβριθυῖαν τῷ κατὰ τοὺς Ἀλαμανοὺς πολυμόρφῳ κακῷ ἐκείνῳ, βαρεῖ λαῷ, στρατῷ δυσαντήτῳ, ὑπούλῳ μὲν τὴν κακίαν, δυσμάχῳ δέ, εἴπου αὐτὴν ἐκφήνωσι θρασυνόμενοι, ἄρτι δὲ ἀπηλλαγμένην ἐκείνων βασιλικῇ προμηθείᾳ καὶ πολυμεθόδῳ συνέσει καὶ ἀνδρίᾳ πολύχειρι, καὶ ὅσοις ἄλλοις τρόποις πῇ μὲν πόλεμος βριθὺς ἐξαρτύεται, πῇ δὲ κουροτρόφος εἰρήνη παῤῥησιάζεται· τί οὐκ ἂν ποιήσαιεν, ἢ πάντως πραγματεύσονται σώζεσθαι καὶ αὐτοί, λόγῳ μὲν τοῦ κατ' ἔθνος ἤθους δεινῶς ἐκθηριούμενοι, φόβῳ δὲ τῆς βασιλικῆς χειρός, εἰ καὶ μὴ τέλεον τιθασσευόμενοι, ἀλλ' οὖν ὑφιέντες τῆς ἀγριότητος οὐ καθ' ἑκούσιον; καὶ ἔσονται οὕτω ποιοῦντες ἀναγκαίως αὐτοῖς, ἕως ἂν ὧδε καὶ ἐκεῖ πηδῶντες ἀπωλείας περικύρσωσι λάκκῳ, ὃν αὐτοὶ ὀρύττουσι καθ' ἑαυτῶν, ἀνασκάλλοντες τὰ πρὸς οἰκεῖον ὄλεθρον. Ms. fol. 36. b. Καὶ μὴν πάλαι || ἂν ἐπεπόνθεισαν οὕτω, εἰ μὴ τὴν ἀντιπρόσωπον εὐλαβούμενοι μάχην ἐξέκλινον, βραχὺ μὲν ἡμῖν ἐμβλέποντες, ταχὺ δὲ μεταβαλλόμενοι καὶ καταναντιζόμενοι, ἔθνος αὐτοὶ οὐ στάσιμον, οὐ μόνιμον, οὐ κατοικεῖν ἐπιστάμενον, δι' αὐτὸ δὲ οὐδὲ πολιτικόν· πάσης μὲν ἐφιέμενον γῆς, ἐγκαθήμενον δὲ οὐδεμιᾷ, διὸ καὶ πολυπλάνητον· πετόμενοι ἄνθρωποι, καὶ διὰ τοῦτο δυσθήρατοι· ἀπόλιδες, καὶ οὐδὲ κώμας εἰδότες· οἷς δὴ καὶ τὸ θηριῶδες ἀκολουθεῖ. Οὐδὲ γύπες εἶεν ἂν τοιοῦτοι, τὸ σαρκοβόρον γένος καὶ παμμίσητον· γρῦπες ἂν εἶεν τοιοῦτοι, οὓς καὶ αὐτοὺς ἡ φύσις καθὰ καὶ τοὺς Σκύθας εὖ ποιοῦσα εἰς τοὺς ἀοικήτους ἀφώρισε. Νόμοι λύκων τοὺς τοιούτους ἐξέθρεψαν· λύκος γὰρ ἐπιτρέχων καὶ λαφύσσων, ἀνὰ πόδα τρέχειν οἶδεν, εἴποθεν ἀνακύψειε φόβητρον.

11. Καὶ ὁ Σκύθης ὄχλος οὐκ ἔφθη δραμὼν ἐπὶ τὰ ἔμπροσθεν, καὶ λυγισθείς, εἴ τινες ἀντισταῖεν πρὸς γενναιότητα, ἐπαφίεισι τὰς ὄψεις τοῖς ὄπισθεν, καὶ τοῦ φεύγειν γίνεται· ἅμα ἤγγισε, καὶ ἀνὰ πόδας ἐχώρησεν. Ἥρπασε· καὶ πριν ἢ τὰς χεῖρας πληρῶσαι, δράττεται χαλινοῦ, καὶ τὸν ἵππον κεντρίζει τὰ μὲν πτέρναις, τὰ δὲ μάστιγι· καὶ ἀνέμοις εἰς φυγὴν δίδωσιν ἑαυτόν, εὐχόμενος καὶ αὐτός, θᾶσσον ἱεράκων ἐκπέτεσθαι. Οὔπω τεθέαται, καὶ τὰς τῶν ἰδόντων ὄψεις κρύπτεται. Οὕτω κύνες ἐμπηδῶντες ἐρειπίοις νεκρῶν σωμάτων σπαράττουσι μὲν καὶ λάπτουσι σαρκῶν τε καὶ αἵματος· μὴ προσλιπαρήσαντες δὲ τῷ ἐφετῷ, ἀνίστανται, τὰ σφίσι φίλα μολπάζοντες· καὶ τοῦτο συχνὰ ποιοῦσιν, ἕως ἢ καθ' ἡσυχίαν κορέσονται, ἢ ἀλλά ποθεν ἐπιβουλευθέντες, νεκροὶ συμπεσοῦνται καὶ αὐτοί.

12. Τοιοῦτοι δὴ ὄντες οἱ δρομάδες νομάδες οὗτοι Σκύθαι, ὡς οὕτως εἰπεῖν, ἄτοποι, οἱ ἐν ἀνθρώποις θῆρες, οἱ ἐν θηρίοις, ὡς ἂν τολμήσας εἴποι τις, ἄνθρωποι, οὐκ ἔχουσιν ἐνδιδόναι λαβὰς τοῖς ἐγκρατῶς ἐθέλουσι δράττεσθαι· διὸ καὶ ἐκ τῶν βασιλικῶν χειρῶν ἐξολισθαίνουσι τά γε εἰς ὁλότητα. Ἑτέρως γάρ, τοι καθὰ τὸν κόσμον οἱ φιλοσοφοῦντες οἴδασι τοῖς μέρεσιν ὡς ἑκάστοτε φθείρεσθαι, οὕτω καὶ αὐτοὶ κατὰ ἴλας, κατὰ στίχας, κατὰ στίφη, κατὰ λεγεῶνας ὑπὸ τῷ κραταιῷ βασιλεῖ συνεχεῖς πίπτουσι, καταστρωννύντες τὴν ἐπιτρεχομένην γῆν, καὶ τοῦτό γε μόνιμοι γινόμενοι, καὶ χώρᾳ στοιχοῦντες μιᾷ. Καὶ οὐδὲ λήξουσιν οὕτω πάσχοντες, ἕως ἂν σὺν κακῷ μαθόντες, ὃ δὴ λέγεται, φρόνησιν ἀναλάβωσι, καὶ οἰκτίσονται ἑαυτοὺς τῆς ὁσημέραι πτώσεως καὶ ὀλιγώσεως.

13. Εἰ δὲ καὶ ποτε χρόνοις ὕστερον ἀναπαυσάμενοι τοῦ πίπτειν, καὶ χυδαῖοι τῷ πληθυσμῷ γενόμενοι, ἀνασφήλωσι τοῦ μετὰ βραχὺ καὶ ὅσον οὐκ ἤδη συμβησομένου πτώματος, καὶ ἀναπαλαῖσαι θελήσουσιν· ἀλλ' εὑρήσουσι πάντως εἰσαῦθις τὸν καὶ τότε καταπαλαίσοντα. Οὔτε γὰρ τῷ ἀρχεκάκῳ ἐπιλείψουσι θῆρες ἄγριοι τοῖς τοῦ θεοῦ λυμαινόμενοι ποιμνίοις, οὐδὲ τῷ τῶν Χριστιανῶν ἀρχιποιμένι θεῷ δυσεύρετος ἔσται, ὅτι μὴ καὶ μάλα εὐπόριστος, ὁ ἀντιταξόμενος, καὶ ἐκ μέσου ἀπάξων αὐτούς, εἴ τι χρὴ τοῖς πάλαι φθάσασι τεκμήρασθαι τὰ εἰσέπειτα.

14. Καὶ ἀφίημι ἀναπολεῖν εἰς νοῦν τὸν τῆς Κομνηνικῆς βασιλείας παμφαῆ ἀστέρα Ἰωάννην, ὃν οὐ θέμις ἐν κακοῖσιν ἀκούειν, καθά τις ἔφη, ἀλλὰ διὰ μυρίου θαύματος ἄγεσθαι· ὃς πολλὰ καὶ παθὼν καὶ ποιήσας, τὸν Σκύθην ἐκεῖνον ἀπειροπληθῆ ὅμιλον παρεστήσατο, οὗ τῆς ἀπαγωγῆς ὕμνους ἐτησίους ἀντηλλαξάμεθα τῷ θεῷ. Ἀνατρέχω δὲ τῷ λόγῳ ἐς ὕψος χρόνου πλεῖον, καθ' ὃν ἡ παλαιὰ συγγραφὴ πανσπερμίαν Σκυθικὴν κατασπαρῆναι μυριαχοῦ τῆς Θρᾴκης ἱστόρησε, καὶ ἕως καὶ εἰς αὐτὴν Μελαντιάδα, ἣν ἡ παρεφθορυῖα γλῶττα Μελιτίδα ἐθέλει καλεῖν. Καὶ οὔπω μέγα οὐδὲ τοῦτο κακὸν τῇ τῶν Ῥωμαίων γῇ, εἴ τις τὴν Βουλγαρικὴν καὶ ἅμα Βλαχικὴν ἔφοδον ἄγει ἀναιδευσαμένην ἣν ὅτε καὶ κατ' αὐτῆς ἐν χρῷ τῆς Μεγαλοπόλεως. Ἀντιπαρακάθηνται δὲ τοῖς τοιούτοις Εὐριπαίοις παθήμασι καὶ τὰ καθ' ἱστορίαν ἐκ τῆς ἕω βαρύτερα, τά τε Περσικὰ καὶ τὰ λοιπά, || δι' ὧν καὶ ὁ Ms. fol. 37. a. Χαλκηδὼν ποταμός, ὁ τῷ Βύζαντι ἀντίπορθμος, ἐῤῥευσεν αἵμασι, καὶ ἡ ὁμώνυμος αὐτῷ πόλις ἀφανισθεῖσα μνήμης ψιλῆς ὀνόματι περισώζεται, καὶ τὸ ἐκεῖσέ που ζῴδιον ἡ δάμαλις ἀπήχθη, καὶ ἡ αὐτόθι χρυσοπλία κεκιβδήλευται. Ἃ δὴ πάντα λογισμῷ μνήμονι

παραπηγνύντες ἡμεῖς, μὴ πάνυ τι θαυμάζωμεν, εἴπερ ἄρτι τὸ Σκυθικὸν ἄγριον φῦλον μέμηνεν· ἀλλὰ δοξάζωμεν πρώτιστα μὲν τὸν ὑπέρθεον κύριον, εἶτα καὶ τὸν ἔνθεον ἡμῶν αὐτοκράτορα, δι᾽ ὧν, τοῦ μὲν κοπιῶντος ἐν τοῖς περὶ γῆν ὑπερλίαν, τοῦ δὲ ὑψόθεν ἐξ ἁγίου βοήθειαν ἐξαποστέλλοντος, οὐ διαγινόμεθα μόνον, ἀλλὰ καὶ περιγινόμεθα τῶν ἐχθρῶν. Ἐγγὺς δὲ καὶ ἡμέρα ἀπωλείας αὐτῶν, καθ᾽ ἣν τέλεον ἀπαλλαγησόμεθα τῆς τούτων προνομῆς καὶ ἁπάσης ἄλλης πημονῆς.

15. Εἰ δὲ καραδοκοῦντες ἀποκναιόμεθα, καὶ ὀλίγη ψυχὴ ἔνεστιν ἡμῖν, ὅτι μὴ θᾶττον ῥαΐζομεν, ὑξάντεις διεκπεσόντες τοῦ κακοῦ, ἐνθυμώμεθα μακρὰ ἔτη ἐκεῖνα, ἐξ ὅσων ἡμῖν ἐπικατεῤῥάγη τὰ χείρονα. Οὐ γάρ ἐσμεν πρωτόπειροι τῶν τοιούτων καὶ ἀρτιμαθεῖς, οὐδὲ ἡ νῦν βασιλεία ἐναθλεῖν τοιούτοις ἀγῶσι κατήρξατο, οὐδὲ ἡ πρὸ ταύτης ἀρχή, οὐδὲ οἱ πρὸ τρίτης βεβασιλευκότες· ἀλλὰ ὁ ἐν μακαριστοῖς βασιλεῦσι περίκλυτος Μανουὴλ καὶ οἱ ἑξῆς ἀνόπιν τῷ χρόνῳ ἔφθησαν πειραθῆναι ἀρχῆς τοιῶνδε κακῶν, καὶ ἀρχῆς οὐ συνεσπειραμένης εἴς τι ἀμερὲς καὶ οὕτως ἀμέγεθες καὶ δυναμουμένης μόνον, οὐ μὴν προβεβλημένης εἴς τινα τελεσφόρον ἐνέργειαν πλατυτάτην, ἀλλὰ πολυμεροῦς, καὶ σχιζομένης εἰς μυρίον ἔμπρακτον, ἐξ ἧς ἀρχὴν καὶ τήμερον ἐνδόσιμον τὸ καθ᾽ ἡμῶν ἔλαχε δυςπράγημα, εἴθε μηκέτι παραταθησόμενον.

16. Ἀποβήσεται δὲ εἰς τέλη τὰ τῆς τοιαύτης εὐχῆς, εἴπερ ἡμεῖς οἱ πολλοὶ βελτιωσόμεθα, ὑπὲρ ὧν ὁ κράτιστος βασιλεὺς ἡμῶν ἀεθλεύων οὐ παύεται. Μὴ γὰρ ἄλλοθεν τὰ κακά, ὅτι μὴ ἐξ ἡμῶν αὐτῶν, οὐχ ἑτέρωθεν πάντως· καὶ εἰ μὴ ὁ αὐτοκράτωρ ὑψόθεν πεμφθείς, καὶ ὡς ἐκλεκτὸς θεοῦ, μέσος ἑστὼς ἱλάσκετο, ἐφ᾽ ᾧ κοπάζειν τὴν ἐν ἡμῖν θραῦσιν, οὐκ ἂν ἐξηρκέσαμεν, ἕως καὶ εἰςάρτι περιόντες, ἀλλ᾽ ὡμοιώθημεν ἂν ὡς οἱ πανολεθρίαν παθόντες.

17. Ἀλλὰ τούτων μὲν εἴη ἐπιτελεστὴς ὁ θεὸς εἰς ἀγαθόν. Σὺ δέ, ὦ τριςαριστεῦ κύδιστε βασιλεῦ, ὦ παθῶν αὐτοκράτορ, καὶ σὺν θεῷ κόσμου παντοκράτορ, ὦ καὶ τὴν σύνεσιν ἀξύμβλητε, καὶ τὴν ἀνδρίαν ἀπαράμιλλε, καὶ τὴν λοιπὴν ἐνάρετον συστοιχίαν τῶν ἀγαθῶν ἔνθεε, καὶ ἰσάγγελε, ὦ καὶ τὰ βασιλικὰ ἔργα σοφίᾳ κατακαλλύνων, καὶ τὴν σοφίαν ἐπικοσμῶν τοῖς τῶν ἔργων κρείττοσι, καὶ μόνος βασιλέων, ὅσοις ἐπιστήσασα ἡ καθ᾽ ἡμᾶς παρέτυχε γενεά, ὕπερθεν ἀνυψούμενε συζυγίᾳ ταύτῃ ἀρίστῃ, τῇ τῶν ἔργων ἐν ἀριστεύμασι καὶ λόγων καλλιστεύμασιν· ἀπασχόλησον μὲν σεαυτὸν μικρόν τι τοῦ πονεῖσθαι, περιήγησαι δὲ βραχυλογικῶς, ὡς ἡ ὥρα ἐπιμετρεῖ, τὰ τῆς νῦν ἐκδρομῆς καὶ κατὰ Σκυθῶν σπουδαιοτάτης ἐφόδου, ὅπως μὲν ὁ τοῦ θεοῦ ζῆλος ἐξέκαυσέ σε δραμεῖν κατὰ τῶν ἐχθρῶν αὐτοῦ, δρηστῆρα ἔνθερμον, βοηθὸν ἐμπύριον, σκηπτὸν οὐράνιον, βέλος θεόπεμπτον· ὅπως δὲ τοῦ στρατεύματος προέτρεχες ὅλην τὴν νύκτα ὡς ἐν φωτισμῷ πυρός, οἷα δὲ ἐξεβ[όας], ἐφιεὶς τῇ γλώττῃ ῥητορεύειν τὰ τῷ καιρῷ πρόςφορα· ὅπως δὲ ἀντέσχες, αὐτόματος μὲν ἱππασάμενος, παννύχιος δὲ καταβρεχθεὶς καὶ ἀνέμῳ βιαίῳ καταπνευσθείς, πυκνοῦντι τὸ τοῦ ὑετοῦ ῥαγδαῖον καὶ εἰς παγετόν· ὅσους δὲ πολυτενεῖς καὶ οἵους τραχυτάτης ὁδοῦ μιλιασμοὺς ἐξήνυσας, ταχὺς προϊὼν καὶ προθέων ἁπάντων, εἶπεν ἄν τις ὡ ς ε ὶ π τ ε ρ ό ν, ἠ ὲ ν ό η μ α· πῶς δὲ καταπηδῶν τοῦ ἵππου ἑνιαχοῦ ἐνεπήγνυσο μὲν ἰλύϊ βυθοῦ, βαθεῖ δηλαδὴ τέλματι, οὐκ εἶχες δὲ ἀποκολούεσθαι τῆς συντόνου ὁρμῆς· ὅπως δὲ συνέταττες τὸν στρατόν, οἵαις δὲ μεθόδοις καὶ τὰ λοιπὰ διέθου πάντα πρὸς σωτηρίαν ἡμῶν.

18. Καὶ ἔχω μὲν σοφίσασθαι, τὰ εἰκότα στοχαζόμενος, ἐξ ὧν φθάσας ἔγνων, οἷς καὶ || Mc. fol. 37. b. ἐνελαμψάμην πανηγυρίσας ἐν ἐκκλησίᾳ θεοῦ. Ἐθέλω δέ σου τοῦ καὶ σοφοῦ ῥήτορος καὶ ἀνδρικοῦ πρηκτῆρος μαθὼν ἀπόνασθαι, τοῦ καὶ εὖ εἰδότος διὰ τὸ ἐν τοῖς ἔργοις αὐτοδιάκονον ἡρωϊκῷ νόμῳ, ἵνα μεμαθηκὼς συγγραφικῶς ἅμα καὶ σοφῶς, διηγήσωμαι καὶ ἀπαγγελῶ τὰ θαυμάσιά σου τῷ κατ᾽ ἐμὲ λαῷ, τοῖς καὶ θεῷ καὶ βασιλεῖ ἐνθέῳ πιστοῖς, καὶ βιβλίον ἔμψυχον καὶ οὐδὲ πάντῃ ἀγλάφυρον ἀποσταλεὶς ἐντεῦθεν τοῖς ἐμοῖς ἐν Χριστῷ ἀδελφοῖς, ἀκούειν ἐφιεμένοις ὑπὲρ τοῦ σοῦ κράτους καὶ μανθάνειν τὰ λῷστα, καὶ τεχνοῦσθαι τὰ καὶ εἰς ἀρετὴν καὶ εὐχαριστίαν θεοῦ, ἐμπλήσω καὶ αὐτοὺς θαύματος· οἳ καὶ ἐκπλαγέντες, τῷ θεῷ τε πάντως χάριτας ὀφλήσουσι, καὶ ὑπὲρ τοῦ καλοῦ τοῦδε καὶ ἡμῖν συνεπεύξονται, θεόθεν ἐπιμετρεῖσθαι τῇ βασιλείᾳ σου ζωὴν ἄλυπον, πολυχρόνιον.

ἐπ' αὐτούς; Εἰ δὲ καὶ γῆν ταύτην βλέπουσιν ἔναγχος μὲν ἔτους τοῦ πέρυσιν ἔθνει μεγάλῳ βεβριθυῖαν τῷ κατὰ τοὺς Ἀλαμανοὺς πολυμόρφῳ κακῷ ἐκείνῳ, βαρεῖ λαῷ, στρατῷ δυςαντήτῳ, ὑπούλῳ μὲν τὴν κακίαν, δυςμάχῳ δέ, εἴπου αὐτὴν ἐκφήνωσι θρασυνόμενοι, ἄρτι δὲ ἀπηλλαγμένην ἐκείνων βασιλικῇ προμηθείᾳ καὶ πολυμεθόδῳ συνέσει καὶ ἀνδρίᾳ πολύχειρι, καὶ ὅσοις ἄλλοις τρόποις πῇ μὲν πόλεμος βριθὺς ἐξαρτύεται, πῇ δὲ κουροτρόφος εἰρήνη παῤῥησιάζεται· τί οὐκ ἂν ποιήσαιεν, ἢ πάντως πραγματεύσονται σώζεσθαι καὶ αὐτοί, λόγῳ μὲν τοῦ κατ' ἔθνος ἤθους δεινῶς ἐκθηριούμενοι, φόβῳ δὲ τῆς βασιλικῆς χειρός, εἰ καὶ μὴ τέλεον τιθασσευόμενοι, ἀλλ' οὖν ὑφιέντες τῆς ἀγριότητος οὐ καθ' ἑκούσιον; καὶ ἔσονται οὕτω ποιοῦντες ἀναγκαίως αὐτοῖς, ἕως ἂν ὧδε καὶ ἐκεῖ πηδῶντες ἀπωλείας περικύρσωσι λάκκῳ, ὃν αὐτοὶ ὀρύττουσι καθ' ἑαυτῶν, ἀνασκάλλοντες τὰ πρὸς οἰκεῖον ὄλεθρον. Καὶ μὴν πάλαι || Ms. fol. 36. b. ἂν ἐπεπόνθεισαν οὕτω, εἰ μὴ τὴν ἀντιπρόσωπον εὐλαβούμενοι μάχην ἐξέκλινον, βραχὺ μὲν ἡμῖν ἐμβλέποντες, ταχὺ δὲ μεταβαλλόμενοι καὶ καταντωτιζόμενοι, ἔθνος αὐτοὶ οὐ στάσιμον, οὐ μόνιμον, οὐ κατοικεῖν ἐπιστάμενον, δι' αὐτὸ δὲ οὐδὲ πολιτικόν· πάσης μὲν ἐφιέμενον γῆς, ἐγκαθήμενον δὲ οὐδεμιᾷ, διὸ καὶ πολυπλάνητον· πετόμενοι ἄνθρωποι, καὶ διὰ τοῦτο δυςθήρατοι· ἀπόλιδες, καὶ οὐδὲ κώμας εἰδότες· οἷς δὴ καὶ τὸ θηριῶδες ἀκολουθεῖ. Οὐδὲ γύπες εἶεν ἂν τοιοῦτοι, τὸ σαρκοβόρον γένος καὶ παμμίσητον· γρύπες ἂν εἶεν τοιοῦτοι, οὓς καὶ αὐτοὺς ἡ φύσις καθὰ καὶ τοὺς Σκύθας εὖ ποιοῦσα εἰς τοὺς ἀοικήτους ἀφώρισε. Νόμοι λύκων τοὺς τοιούτους ἐξέθρεψαν· λύκος γὰρ ἐπιτρέχων καὶ λαφύσσων, ἀνὰ πόδα τρέχειν οἶδεν, εἴποθεν ἀνακύψειε φόβητρον.

11. Καὶ ὁ Σκύθης ὄχλος οὐκ ἔφθη δραμὼν ἐπὶ τὰ ἔμπροσθεν, καὶ λογισθείς, εἴ τινες ἀντισταῖεν πρὸς γενναιότητα, ἐπαφίεισι τὰς ὄψεις τοῖς ὄπισθεν, καὶ τοῦ φεύγειν γίνεται· ἅμα ἤγγισε, καὶ ἀνὰ πόδας ἐχώρησεν. Ἥρπασε· καὶ πρινὴ τὰς χεῖρας πληρῶσαι, δράττεται χαλινοῦ, καὶ τὸν ἵππον κεντρίζει τὰ μὲν πτέρναις, τὰ δὲ μάστιγι· καὶ ἀνέμοις εἰς φυγὴν δίδωσιν ἑαυτόν, εὐχόμενος καὶ αὐτός, θᾶσσον ἱεράκων ἐκπέτεσθαι. Οὔπω τεθέαται, καὶ τὰς τῶν ἰδόντων ὄψεις κρύπτεται. Οὕτω κύνες ἐμπηδῶντες ἐρειπίοις νεκρῶν σωμάτων σπαράττουσι μὲν καὶ λάπτουσι σαρκῶν τε καὶ αἵματος· μὴ προςλιπαρήσαντες δὲ τῷ ἐφετῷ, ἀνίστανται, τὰ σφίσι φίλα μολπάζοντες· καὶ τοῦτο συχνὰ ποιοῦσιν, ἕως ἢ καθ' ἡσυχίαν κορέσονται, ἢ ἀλλά ποθεν ἐπιβουλευθέντες, νεκροὶ συμπεσοῦνται καὶ αὐτοί.

12. Τοιοῦτοι δὴ ὄντες οἱ δρομάδες νομάδες οὗτοι Σκύθαι, ὡς οὕτως εἰπεῖν, ἄτοποι, οἱ ἐν ἀνθρώποις θῆρες, οἱ ἐν θηρίοις, ὡς ἂν τολμήσας εἴποι τις, ἄνθρωποι, οὐκ ἔχουσιν ἐνδιδόναι λαβὰς τοῖς ἐγκρατῶς ἐθέλουσι δράττεσθαι· διὸ καὶ ἐκ τῶν βασιλικῶν χειρῶν ἐξολισθαίνουσι τά γε εἰς ὁλότητα. Ἑτέρως γάρ, τοι καθὰ τὸν κόσμον οἱ φιλοσοφοῦντες οἴδασι τοῖς μέρεσιν ὡς ἑκάστοτε φθείρεσθαι, οὕτω καὶ αὐτοὶ κατὰ ἴλας, κατὰ στίχας, κατὰ στίφη, κατὰ λεγεῶνας ὑπὸ τῷ κραταιῷ βασιλεῖ συνεχεῖς πίπτουσι, καταστρωννύντες τὴν ἐπιτρεχομένην γῆν, καὶ τοῦτό γε μόνιμοι γινόμενοι, καὶ χώρᾳ στοιχοῦντες μιᾷ. Καὶ οὐδὲ λήξουσιν οὕτω πάσχοντες, ἕως ἂν σὺν κακῷ μαθόντες, ὃ δὴ λέγεται, φρόνησιν ἀναλάβωσι, καὶ οἰκτίσωνται ἑαυτοὺς τῆς ὁσημέραι πτώσεως καὶ ὀλιγώσεως.

13. Εἰ δὲ καὶ ποτε χρόνοις ὕστερον ἀναπαυσάμενοι τοῦ πίπτειν, καὶ χυδαῖοι τῷ πληθυσμῷ γενόμενοι, ἀνασφήλωσι τοῦ μετὰ βραχὺ καὶ ὅσον οὐκ ἤδη συμβησομένου πτώματος, καὶ ἀναπαλαῖσαι θελήσουσιν· ἀλλ' εὑρήσουσι πάντως εἰςαῦθις τὸν καὶ τότε καταπαλαίσοντα. Οὔτε γὰρ τῷ ἀρχεκάκῳ ἐπιλείψουσι θῆρες ἄγριοι τοῖς τοῦ θεοῦ λυμαινόμενοι ποιμνίοις, οὐδὲ τῷ τῶν Χριστιανῶν ἀρχιποίμενι θεῷ δυςεύρετος ἔσται, ὅτι μὴ καὶ μάλα εὐπόριστος, ὁ ἀντιταξόμενος, καὶ ἐκ μέσου ἀπάξων αὐτούς, εἴ τι χρὴ τοῖς πάλαι φθάσασι τεκμήρασθαι τὰ εἰςέπειτα.

14. Καὶ ἀφίημι ἀναπολεῖν εἰς νοῦν τὸν τῆς Κομνηνικῆς βασιλείας παμφαῆ ἀστέρα Ἰωάννην, ὃν οὐ θέμις ἐν κακοῖσιν ἀκούειν, καθά τις ἔφη, ἀλλὰ διὰ μυρίου θαύματος ἄγεσθαι· ὃς πολλὰ καὶ παθὼν καὶ ποιήσας, τὸν Σκύθην ἐκεῖνον ἀπειροπληθῆ ὅμιλον παρεστήσατο, οὗ τῆς ἀπαγωγῆς ὕμνους ἐτησίους ἀντηλλαξάμεθα τῷ θεῷ. Ἀνατρέχω δὲ τῷ λόγῳ ἐς ὕψος χρόνου πλεῖον, καθ' ὃν ἡ παλαιὰ συγγραφὴ πανσπερμίαν Σκυθικὴν κατασπαρῆναι μυριαχοῦ τῆς Θρᾴκης ἱστόρησε, καὶ ἕως καὶ εἰς αὐτὴν Μελαντιάδα, ἣν ἡ παρεφθορυῖα γλῶττα Μελιτίδα ἐθέλει καλεῖν. Καὶ οὔπω μέγα οὐδὲ τοῦτο κακὸν τῇ τῶν Ῥωμαίων γῇ, εἴ τις τὴν Βουλγαρικὴν καὶ ἅμα Βλαχικὴν ἔφοδον ἄγει ἀναιδευσαμένην ἣν ὅτε καὶ κατ' αὐτῆς ἐν χρῷ τῆς Μεγαλοπόλεως. Ἀντιπαρακάθηται δὲ τοῖς τοιούτοις Εὐρωπαίοις παθήμασι καὶ τὰ καθ' ἱστορίαν ἐκ τῆς ἕω βαρύτερα, τά τε Περσικὰ καὶ τὰ λοιπά, || Ms. fol. 37. a. δι' ὧν καὶ ὁ Χαλκηδὼν ποταμός, ὁ τῷ Βύζαντι ἀντίπορθμος, ἐῤῥευσεν αἵμασι, καὶ ἡ ὁμώνυμος αὐτῷ πόλις ἀφανισθεῖσα μνήμης ψιλῆς ὀνόματι περισώζεται, καὶ τὸ ἐκεῖσέ που ζῴδιον ἡ δάμαλις ἀπήχθη, καὶ ἡ αὐτόθι χρυσοπλία κεκιβδήλευται. Ἃ δὴ πάντα λογισμῷ μνήμονι

παραπηγνύντες ἡμεῖς, μὴ πάνυ τι θαυμάζωμεν, εἴπερ ἄρτι τὸ Σκυθικὸν ἄγριον φῦλον μέμηνεν· ἀλλὰ δοξάζωμεν πρώτιστα μὲν τὸν ὑπέρθεον κύριον, εἶτα καὶ τὸν ἔνθεον ἡμῶν αὐτοκράτορα, δι' ὧν, τοῦ μὲν κοπιῶντος ἐν τοῖς περὶ γῆν ὑπερλίαν, τοῦ δὲ ὑψόθεν ἐξ ἁγίου βοήθειαν ἐξαποστέλλοντος, οὐ διαγινόμεθα μόνον, ἀλλὰ καὶ περιγινόμεθα τῶν ἐχθρῶν. Ἐγγὺς δὲ καὶ ἡμέρα ἀπωλείας αὐτῶν, καθ' ἣν τέλεον ἀπαλλαγησόμεθα τῆς τούτων προνομῆς καὶ ἁπάσης ἄλλης πημονῆς.

15. Εἰ δὲ καραδοκοῦντες ἀποκναιόμεθα, καὶ ὀλίγη ψυχὴ ἔνεστιν ἡμῖν, ὅτι μὴ θᾶττον ῥαΐζομεν, ὀξάντεις διεκπεσόντες τοῦ κακοῦ, ἐνθυμώμεθα μακρὰ ἔτη ἐκεῖνα, ἐξ ὅσων ἡμῖν ἐπικατεῤῥάγη τὰ χείρονα. Οὐ γάρ ἐσμεν πρωτόπειροι τῶν τοιούτων καὶ ἀρτιμαθεῖς, οὐδὲ ἡ νῦν βασιλεία ἐναθλεῖν τοιούτοις ἀγῶσι κατήρξατο, οὐδὲ ἡ πρὸ ταύτης ἀρχή, οὐδὲ οἱ πρὸ τρίτης βεβασιλευκότες· ἀλλὰ ὁ ἐν μακαριωτοῖς βασιλεῦσι περίκλυτος Μανουὴλ καὶ οἱ ἑξῆς ἀνόπιν τῷ χρόνῳ ἔφθησαν πειραθῆναι ἀρχῆς τοιῶνδε κακῶν, καὶ ἀρχῆς οὐ συνεσπειραμένης εἴς τι ἀμερὲς καὶ οὕτως ἀμέγεθες καὶ δυναμουμένης μόνον, οὐ μὴν προβεβλημένης εἴς τινα τελεςφόρον ἐνέργειαν πλατυτάτην, ἀλλὰ πολυμεροῦς, καὶ σχιζομένης εἰς μυρίον ἔμπρυκτον, ἐξ ἧς ἀρχὴν καὶ τήμερον ἐνδόσιμον τὸ καθ' ἡμῶν ἔλαχε δυςπράγημα, εἴθε μηκέτι παραταθησόμενον.

16. Ἀποβήσεται δὲ εἰς τέλη τὰ τῆς τοιαύτης εὐχῆς, εἴπερ ἡμεῖς οἱ πολλοὶ βελτιωσόμεθα, ὑπὲρ ὧν ὁ κράτιστος βασιλεὺς ἡμῶν ἀεθλεύων οὐ παύεται. Μὴ γὰρ ἄλλοθεν τὰ κακά, ὅτι μὴ ἐξ ἡμῶν αὐτῶν, οὐχ ἑτέρωθεν πάντως· καὶ εἰ μὴ ὁ αὐτοκράτωρ ὑψόθεν πεμφθείς, καὶ ὡς ἐκλεκτὸς θεοῦ, μέσος ἑστὼς ἱλάσκετο, ἐφ' ᾧ κοπάζειν τὴν ἐν ἡμῖν θραῦσιν, οὐκ ἂν ἐξηρκέσαμεν, ἕως καὶ εἰςάρτι περιόντες, ἀλλ' ὡμοιώθημεν ἂν οἷς οἱ πανολεθρίαν παθόντες.

17. Ἀλλὰ τούτων μὲν εἴη ἐπιτελεστὴς ὁ θεὸς εἰς ἀγαθόν. Σὺ δέ, ὦ τριςαριστεῦ κύδιστε βασιλεῦ, ὦ παθῶν αὐτοκράτορ, καὶ σὺν θεῷ κόσμου παντοκράτορ, ὦ καὶ τὴν σύνεσιν ἀξύμβλητε, καὶ τὴν ἀνδρίαν ἀπαράμιλλε, καὶ τὴν λοιπὴν ἐνάρετον συστοιχίαν τῶν ἀγαθῶν ἔνθεε, καὶ ἰσάγγελε, ὦ καὶ τὰ βασιλικὰ ἔργα σοφίᾳ κατακαλλύνων, καὶ τὴν σοφίαν ἐπικοσμῶν τοῖς τῶν ἔργων κρείττοσι, καὶ μόνος βασιλέων, ὅσοις ἐπιστήσασα ἡ καθ' ἡμᾶς παρέτυχε γενεά, ὕπερθεν ἀνυψούμενε συζυγίᾳ ταύτῃ ἀρίστῃ, τῇ τῶν ἔργων ἐν ἀριστεύμασι καὶ λόγων καλλιστεύμασιν· ἀπασχόλησον μὲν σεαυτὸν μικρόν τι τοῦ πονεῖσθαι, περιήγησαι δὲ βραχυλογικῶς, ὡς ἡ ὥρα ἐπιμετρεῖ, τὰ τῆς νῦν ἐκδρομῆς καὶ κατὰ Σκυθῶν σπουδαιοτάτης ἐφόδου, ὅπως μὲν ὁ τοῦ θεοῦ ζῆλος ἐξέκαυσέ σε δραμεῖν κατὰ τῶν ἐχθρῶν αὐτοῦ, δρηστῆρα ἔνθερμον, βοηθὸν ἐμπύριον, σκηπτὸν οὐράνιον, βέλος θεόπεμπτον· ὅπως δὲ τοῦ στρατεύματος προέτρεχες ὅλην τὴν νύκτα ὡς ἐν φωτισμῷ πυρός, οἷα δὲ ἐξεβ[όας], ἐφιεὶς τῇ γλώττῃ ῥητορεύειν τὰ τῷ καιρῷ πρόςφορα· ὅπως δὲ ἀντέσχες, αὐτόματος μὲν ἱππασάμενος, παννύχιος δὲ καταβρεχθεὶς καὶ ἀνέμῳ βιαίῳ καταπνευσθείς, πυκνοῦντι τὸ τοῦ ὑετοῦ ῥαγδαῖον καὶ εἰς παγετόν· ὅσους δὲ πολυτενεῖς καὶ οἵους τραχυτάτης ὁδοῦ μιλιασμοὺς ἐξήνυσας, ταχὺς προϊὼν καὶ προθέων ἁπάντων, εἶπεν ἄν τις ὡςεὶ πτερόν, ἠὲ νόημα· πῶς δὲ καταπηδῶν τοῦ ἵππου ἑνιαχοῦ ἐνεπήγνυσο μὲν ἰλύϊ βυθοῦ, βαθεῖ δηλαδὴ τέλματι, οὐκ εἶχες δὲ ἀποκολούεσθαι τῆς συντόνου ὁρμῆς· ὅπως δὲ συνέταττες τὸν στρατόν, οἵαις δὲ μεθόδοις καὶ τὰ λοιπὰ διέθου πάντα πρὸς σωτηρίαν ἡμῶν.

18. Καὶ ἔγω μὲν σοφίσασθαι, τὰ εἰκότα στοχαζόμενος, ἐξ ὧν φθάσας ἔγνων, οἷς καὶ || ἐνελαμψάμην πανηγυρίσας ἐν ἐκκλησίᾳ θεοῦ. (Ms. fol. 37. b.) Ἐθέλω δέ σου τοῦ καὶ σοφοῦ ῥήτορος καὶ ἀνδρικοῦ πρηκτῆρος μαθὼν ἀπόνασθαι, τοῦ καὶ εὖ εἰδότος διὰ τὸ ἐν τοῖς ἔργοις αὐτοδιάκονον ἡρωϊκῷ νόμῳ, ἵνα μεμαθηκὼς συγγραφικῶς ἅμα καὶ σοφῶς, διηγήσωμαι καὶ ἀπαγγελῶ τὰ θαυμάσιά σου τῷ κατ' ἐμὲ λαῷ, τοῖς καὶ θεῷ καὶ βασιλεῖ ἐνθέῳ πιστοῖς, καὶ βιβλίον ἔμψυχον καὶ οὐδὲ πάντῃ ἀγλάφυρον ἀποσταλεὶς ἐντεῦθεν τοῖς ἐμοῖς ἐν Χριστῷ ἀδελφοῖς, ἀκούειν ἐφιεμένοις ὑπὲρ τοῦ σοῦ κράτους καὶ μανθάνειν τὰ λῷονα, καὶ τεχνοῦσθαι τὰ καὶ εἰς ἀρετὴν καὶ εὐχαριστίαν θεοῦ, ἐμπλήσω καὶ αὐτοὺς θαύματος· οἳ καὶ ἐκπλαγέντες, τῷ θεῷ τε πάντως χάριτας ὀφλήσουσι, καὶ ὑπὲρ τοῦ καλοῦ τοῦδε καὶ ἡμῖν συνεπεύξονται, θεόθεν ἐπιμετρεῖσθαι τῇ βασιλείᾳ σου ζωὴν ἄλυπον, πολυχρόνιον.

Τοῦ αὐτοῦ ἐφ' οἷς ὑβριοπάθησέ τις ἱεράρχης κατὰ τοῦ προτειναμένου ἐπ' αὐτῷ ἐν ἀντιλογίᾳ τό· ἐὰν τολμήσῃς εἰπεῖν εἰς φανερόν, ὃ προέθου.

1. Ἠρώτησας, ὦ φίλε τέκνον, εἰ κακολογικόν ἐστι καὶ ὕβριν παραλαλεῖ ἐκφωνηθὲν ἐπί τινι τὸ μὴ τολμήσῃς λαλῆσαι, φάμενος, ὅτι, ἐν τῷ καθ' ἡμᾶς ἄνω θεμιστείῳ ὑπειπόντος σου πρός τινα λογομαχοῦντα ἱερὸν ἄνδρα, ὡς ἐὰν τολμήσῃς καὶ εἴπῃς τόδε τι ἔπος εἰς δεύτερον, κἀνταῦθα στήσαντός σου τὴν ἔννοιαν κατ' ἔλλειψιν τῆς ἐφεξῆς ἀποδόσεως, ἐκεῖνος καρδιώξας, ὡς οἷα σφοδρότερον περιυβρισθείς, ἐγδούπησε κατά σου βόμβους θορυβοῦντας ἀπειλητικώτερον· ἤθελε δέ που βροντήσας οὕτως, εἶτα καὶ κατασκῆψαι ἀστραπαῖος, ἢ καὶ εἰς διοβλῆτα καταστήσασθαί σε, ὡς τοῦ τῆς τόλμης ὀνόματος καὶ τοῦ τολμᾶν κακόν τι δηλούντων, καθὰ καὶ ἐκεῖνος ὑβριοπαθῶν ἐξεδέχετο. Καὶ οἶδας μέν, ὅτι ὑπέμυξα μόνον τότε τῇ ἐρωτήσει κατὰ τῶν οὕτω κορυζώντων τά γε εἰς νοὸς καθαρειότητα· νῦν δὲ καὶ λαλῶ σοι πρὸς τὴν ἐρώτησιν τὰ ἐπελθόντα, καθὰ ἐξεζήτησας.

2. Ἡ τόλμα, ὦ οὗτος, ἥ ἐνέργειά τίς ἐστι παρεξηλλαγμένη τοῦ συνήθους ἐν λόγοις καὶ ἔργοις, ἢ μάλιστα ποιότης ψυχῆς, καθ' ἣν παρακινδυνεύει τις λέγων ἢ πράττων. Καὶ τί μέν ἐστι τὸ ἐν πράξεσι παρακινδυνεύειν, οὐδεὶς ὅστις ἀμφαγνοεῖ τῶν ὅσοι περὶ λόγους πεπόνηνται. Οἴδασι γάρ, οὔτε ἔλλογον εἶναί τι τὸ τοιοῦτον, καὶ ἀποκεκληρῶσθαι δὲ αὐτὸ θρασύτητι. Λόγῳ δὲ παρακινδυνεύειν οὐ τὸ ἁπλῶς φημι ἄρτι, τὸ καὶ ἀλόγιστον καὶ ἀμέθοδον καὶ δημοτικώτερον, ἀλλὰ τὸ κατὰ ῥήτορας, οἵ παρακεκινδυνευμένον φασὶ νόημα τὸ μὴ συνήθως φρασθὲν καὶ κατὰ ὁμιλίαν κοινήν, ἀλλά που καὶ παραβολικώτερον, ὡς ὅτε τις τὴν χρονικὴν παραῤῥοήν, χρόνου πόδα εἴπῃ μεταφέρων, ἢ δορυφορεῖσθαι, ὄρνιν ἐρεῖ καθημένην ἐπὶ δόρατος· ὧν τὸ μὲν πρῶτον Εὐριπίδου περιφέρεται εἶναι, τὸ δὲ δεύτερον τοῦ γλαφυροῦ Αἰλιανοῦ. Παρακεκινδύνευται γάρ φασι τὰ τοιαῦτα· εἰπεῖν δὲ ταὐτόν, τετόλμηται, ἀποκινδυνεύσαντος ἀληθῶς εἰπεῖν ἑκατέρου ῥήτορος. Τοιαύτης δὲ ἰδέας καὶ τὸ σκέπαρνον καὶ τὸ ἑλκύδριον καὶ τὸ βαλάντιον, ὅτε μὴ κατὰ τῶν συνήθων ἐννοιῶν κεῖνται, ἀλλὰ τὸ μὲν ἐπὶ ἀρνακίδος, ὅτι ἔσκεπεν ἄρνα· τὸ δὲ κατὰ ἱμονιᾶς ἀνελκούσης ὕδωρ· τὸ δὲ τρίτον ἐπὶ δόρατος, ὃ βάλλεται ἄντην.

3. Καὶ λέξεις μὲν τοιαῦται μυρίαι περισύρονται δημοσιευόμεναι· νοήματα δὲ πολλὰ καὶ αὐτὰ καταγράφονται. Τὸ γοῦν ἡ γῆ τὸν ἄνθρωπον οὐ χωρεῖ σύμπασα νόημα ὂν ἐπιφωνηματικὸν (οὐ γὰρ λέξις δήπουθέν ἐστι), παρεκινδυνεύθη ῥηθὲν ὑπερβολικῶς· οὐ γὰρ ἂν παραβόλως εἴποι τις ἄν. Ὁ δὲ θαυμάσας ἦν ὅτε καιροῦ, εἴπερ ὁ ἐν Ἐφέσῳ ναὸς τῆς Ἀρτέμιδος ἐμπιπράμενος οὐ κατελήφθη πρὸς ἐκείνης, καὶ ἐπιλυσάμενος τὸ ἄπορον ἐν τῷ εἰπεῖν, ὡς ἀπῆν ἐκ τῆς Ἐφέσου || [Ms. fol. 28. a.] τότε ἡ δαίμων, πονουμένη περὶ τὴν λοχείαν Ἀλεξάνδρου τοῦ πάνυ, καὶ τότε δηλαδὴ γεγεννημένου ἐν τῇ τῶν Μακεδόνων γῇ, ἐπὶ πλέον ἐξώλισθε τοῦ παρακινδυνεῦσαι ῥητορικῶς. Τοιοῦτος δὲ καταγράφεται καὶ ὁ ῥητορεύσας, εἰκὸς εἶναι, τὴν Ἀθηνᾶν, ἐκ τῆς τοῦ Διὸς γεννηθεῖσαν κεφαλῆς, ἔχειν τῶν ἀρετῶν τὸ κεφάλαιον· καὶ ὁ ἀστεϊσάμενος, ὡς γένοιτ' ἂν τόπος ἄβατος, βάτου περικειμένου.

4. Ταῦτα δή, καὶ ὅσα τοιαῦτα, ἔν τε λέξεσιν ἔν τε νοήμασι, παρακεκινδυνευμένα καὶ λέγεται καὶ εἰσίν, αὐτίκα δέ γε καὶ τολμηρά, ὡς τοῦ παρακινδυνεύειν καὶ τοῦ τολμᾶν ἀγχιθυρούντων ἀλλήλοις, ἢ καὶ παραπεπηγότων, καὶ εἰς ἓν ἐρχομένων τῇ προθέσει καὶ τοῖς ἐνεργήμασιν. Ἔχοι δ' ἄν τις καὶ παράδοξα τὰ τοιαῦτα εἰπεῖν καὶ ἰδιάζοντα καὶ καινότροπα, καὶ ἔστιν αὐτοῖς ἴδιον τὸ καὶ φιλεῖσθαι καὶ ψέγεσθαι· τὸ πρῶτον τῆς γλυκύτητος, τὸ δεύτερον τῆς (ὥς τινες λέγειν ἐθέλουσι) ψυχρίας καὶ παρακινδυνεύσεως, εἴτ' οὖν παραδοξίας καὶ καινοτροπίας. Καὶ δυνατὸν μέν, ὑπεραπολογεῖσθαι αὐτῶν, ὡς ἀκινδυνεύτων καὶ τολμηρῶν· νικᾷ δὲ ὅμως ἡ κατ' αὐτῶν ἀντιλογία. Διὸ οὐδὲ πάνυ τὰ τοιαῦτα ζηλοῦνται, οὐδὲ ἐξ ὀρθοῦ· ἀλλ' εἴ τις εὖ ἔχων τέχνης ἐπιθυμήσει τολμηρόν τι φάναι λόγῳ μεγέθους εἴτ' οὖν ὕψους, προεπισημαίνεται οὕτω πως, ἵνα τολμήσας εἴπω, καὶ εἴ τι χρὴ τολμήσαντά με φάναι, καὶ ὡς οὕτως εἰπεῖν, καὶ δοτέον γάρ μοι, καὶ τοιοῦτόν τι λέξαι· καὶ ὅλως παραιτεῖται χάριν ἀσφαλείας τὴν ἐκ τῶν ἀκροωμένων νέμεσιν.

5. Καὶ παρασημειοῦνται οἱ παλαιοὶ οὐκ ὀλίγα τοιαῦτα, διαῤῥήδην αὐτὰ τολμηρὰ λέγοντες εἶναι· καὶ θαυμάζεται ὁ τοιαῦτα γράφων ἢ λέγων, εἰ ἔτλη οὕτω φράσαι. Τολμῆσαι γὰρ καὶ τλῆναι τῆς αὐτῆς ἐννοίας ἐστί· καὶ οὐδεὶς ὕβριν ἐδόξασεν εἶναι, οὐδὲ φαύλῃ ἐννοίᾳ ἐνέταξε τὸν τολμήσαντα τοιοῦτον προαγαγέσθαι νόημα, ἐπεὶ μηδὲ τῶν φαύλων πάντη πάντως ἡ τόλμα, οὐδὲ εἰς κεφάλαιον ψεκτὸν αὐτὴ ἀποτέτακται, ὅτι μὴ καὶ μάλιστα ἐν καιρῷ εἰς ἐγκωμίου

μέρος ἀφώρισται. Λάβε μοι ἐπὶ νοῦν τὸν γενναίως τλήμονα Ὀδυσσέα, τὸν ἐν δέοντι τλησικάρδιον· ἐνθυμήθητι τό· οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ· δι' οὗ σπουδαίαις ὅτι μάλα καὶ καρτερικαῖς πράξεσιν ἡ τόλμα φανερῶς ἀποκεκλήρωται. Προςλόγισαι τούτοις καὶ τό· τέτλαθι, κραδίη, ὕπαρ μικρὸν ἢ οὐδὲν ἀποδέει τοῦ τόλμησον. Διάβηθι καὶ εἰς τὸ ἀντλεῖν, εὐχρηστούμενον κατ' ἐνέργειαν, ὃ μικρόν τι ἀποδέειν τοῦ ἀνατλῆναι φαίνεται. Ἀνάλεξαι καὶ ἄλλα μυρία ὅσα, τὰ καὶ γειτνιῶντα τῇ τόλμῃ καὶ σύνοικα, ἐξ ὧν ἔστι συναγαγεῖν, μὴ ἐξ ἀνάγκης βαρυντικὴν εἶναι τὴν τόλμαν, καὶ οἵαν ἐκπίπτειν εἰς ἀποτροπιασμόν.

6. Συμβαλεῖται δὲ τῷ τοιούτῳ λόγῳ καὶ ἡ κατὰ τὴν λέξιν ἑτοιμότης. Οἴδαμεν γάρ, ὅτι ἢ μὴ ἐμβαθύνων τῷ δικαιολογήματι, ὅτε καὶ ὁ ἀντιβαίνων αὐτῷ, ξένος μὲν τυγχάνων εἶναι, ἢ καὶ ἄλλως μὴ ἀγαπῶν τὸν ἄνθρωπον, ἀφήσει ἐκεῖνον ἀπερεύξασθαι σίελον ἐνθυμυχούμενον, καὶ οὕτω καταγελασθῆναι. Γνωστὸς μέντοι ὤν, καὶ οὐδὲ βαρυνόμενος μίσους λόγῳ ἐπὶ τῷ ἀνδρί, κωλύσει τὴν ἄλογον ἀντιλογίαν, ὑπεραισχυνόμενος τοῦ φίλου, καὶ ἐρεῖ, ὡς εἴπερ ἐπαγωνίσασθαι, οἷς προεβάλοντο, τολμήσῃς, οὐκ ἂν ἀποβαίης ἀκαταίσχυντος· ὅτε καὶ ἀκούσας, ἐγκοπὴν μὲν τοῦ λόγου παθὼν εὖ πεποίηκε, δυςχεράνας δὲ πρὸς αὐτὸ δὴ καὶ μόνον τὸ εἰ τολμήσεις, ἀπόδειξιν αὐτόθεν ἀγροικιζομένου ἔφηνε καὶ μὴ εἰδότος, τί ποτέ ἐστι τὸ τολμᾶν. Οὐ γὰρ ἐνθυμεῖται ὁ ἄνθρωπος ἐκεῖνος οὐδὲ ἐκ τῶν τῆς τραγῳδίας τὸ τόλμα τάδε, ὅπερ ἦν καρτερῶς ὑπόμενε, ἀφ' οὗ καὶ αὐτοῦ προδήλως ἡ τόλμα καρτερία τις φαίνεται εἶναι. Ὁ δὲ τοιοῦτος πῶς ἂν ἔχοι εἰδέναι ἀναβιβάσαι ῥητὸν παλαίτατον, εἴπερ ὁ δεῖνα μέγας βασιλεὺς ἐκεῖνος καὶ φοβερὸς τοῖς ἐχθροῖς ἐτεθνήκει, ὤζεν ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ, νόημα τολμηρὸν καὶ ὂν καὶ λεγόμενον, καὶ αὐτὸ οὐχ ὕβρεως λόγῳ, ἀλλὰ δυςεπιχειρήτου μεγαλειότητος; Διεκφεύγει δὲ αὐτόν καί, ὡς, εἴ τις παρεστὼς τηνικαῦτα τῷ οὕτω γράψαντι ῥήτορι, εὐλαβῶς ὑπεψιθύρισεν, ὡς εἰ τολμήσεις οὕτως εἰπεῖν, μέμψιν ὀφλήσεις, οὐκ ἂν ὁ ῥήτωρ ἀκούσας ἐδυςκόλανεν, εἰς βαθὺ βάπτων Ms. fol. 38. b. φρονήσεως, || ἀλλ' ἔδωκεν ἂν λόγον τινὰ καὶ ἔλαβε, καὶ οὕτω πείσας τὸν μορμολυξάμενον, ἢ καὶ ἄλλως ἐπ' αὐτῷ θρασυνάμενος εἰς τὸ καρτερικόν, καὶ τολμήσας ἀνδρικῶς, ἔφρασεν ἂν τολμήσας τὸ προεκκείμενον. Ἔχομεν καί τι κινδυνῶδες, οὐχ ἥκιστα δὲ μεγαλεῖον ὄν, ὁποῖον δή τι (δοτέον γάρ μοι, καὶ μύρῳ θείῳ πολυτιμήτῳ ἀρτύσαι τὸ παρὸν φιλοτήσιον καὶ οὐδὲ ἀπαίσιον ἔδεσμα) καὶ τὸ μηδ' αὐτῷ κόσμῳ χωρήσεσθαι ἂν τὰ γραφόμενα παρὰ θεοῦ βιβλία, τὸ θεολογούμενον· ᾧ δὴ ῥητῷ παρεξισῶσαι τολμήσας τὸ ἐπ' αὐτῷ θαῦμα εἴποιμι ἂν οὐ μακρὰν χάριτος, ὡς οὐδ' αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι, εἰ καταγραφήσεται ἡ κατ' αὐτὸ γλυκύτης καὶ θαυμάστωσις.

7. Ἵνα δὲ τοῦ εἰ τολμήσῃς ἀφέμενοι, πρὸς βραχὺ αὐτοῦ καταμόνας γενώμεθα τοῦ τολμᾶν, καὶ τῆς ἀδελφὰ φρονούσης αὐτῷ τόλμης, κεφαλαιωτέον, ὅτι ὁ μὴ τὴν ὁμόνοιαν σχίζων τῆς τόλμης, μηδὲ διακρίνων, ὡς, ἐὰν τὸ κατ' αὐτὴν δίσημον ἐκδέξηται εἰς μονόσημον, οὐκ εὖ ποιεῖ, ἐκεῖνος εἰς ἰδιώτου τόπον ἀπέταξεν ἑαυτόν. Καὶ ἔχε τοιοῦτον αὐτόν, ὦ φιλότης, καὶ τοῦ λοιποῦ ἡσυχάζοντα μὲν παρέρχου· λαλοῦντι δὲ πρός σε τὰ περὶ τοῦ τολμᾶν, μὴ ἀνταποδίδου μηδὲ λογάριον. Εἰ δὲ τολμᾷ ἐγκεῖσθαι, παρενοχλῶν σοι, τότε ἀντικαθίστασο ἀναγκαίως εἰς διάλεξιν, καὶ ἄξια μὲν ἀκοῆς τινὸς φθεγγομένῳ ὑπόκλινε τὴν ἀκοήν· εἰ δὲ ἀνάξια παραληρεῖ, σὺ δὲ ἀλλὰ τηνικαῦτα θαῤῥῶν λάλει τό· ἐὰν τολμήσῃς εἰπεῖν, ἵνα μελαγχολῶν ἀδιακρίτως κατὰ τοῦ τοιούτου νοήματος διαῤῥαγείη, καὶ οὕτω θᾶττον αὐτὸς ἀπαλλαγήσῃ κυκλοβόρου καταφρονοῦντός σε. Εἰ δὲ μὴ διαῤῥήγνυται ῥᾷον, ἀλλ' ἐπιμένει διατεινόμενος, μανθανέτω διὰ σοῦ. Τυχὸν γὰρ ὀψέ ποτε συνήσει, ὅτι, διχῇ διαιρουμένης τῆς τόλμης, τὸ μὲν αὐτῆς εὔξαιτο ἄν τις ἔχειν, τὸ δ' ἀπεύξαιτο. Εἰ δέ τι χρὴ καὶ ὑποδειγματίσαι παχυλῶς, ἀναδίδασκε τὸν ἄνθρωπον, ὅτι ἐνάρετος τόλμα ὑποτίθεται δέεσθαι βασιλέων, καὶ εὐεργετεῖται ὡς τὰ πολλὰ ὁ οὕτω τολμῶν· ἡ δὲ τοιαύτῃ ἀντικειμένη ἐξόλοιτο, ἐπεὶ καὶ ὁ κατ' αὐτὴν τολμῶν οὕτω πάσχει. Τολμᾷ τις πόλεμον τὸν ὑπὲρ πατρίδος, καὶ μακαρίζεται· τολμᾷ προδοσίαν, καὶ ἀναγράφεται, ὅπου οἱ θεομισεῖς. Ὁμοίῳ δὲ λόγῳ καθόλου πᾶς ὁ κατατολμῶν ἢ τῆς ἐπαινετῆς πλάστιγγος γίνεται, ἢ τῆς ἀνάπαλιν.

8. Οὐκοῦν ἰτέον πάλιν εἰς τό· εἰ τολμήσεις, καὶ ἐπισκεπτέον ὁμοίᾳ τινὶ μεθόδῳ καὶ αὐτό, καὶ σκοπητέον, εἴ γε δυάζεται ὡσαύτως πλάστιγγι καὶ ῥοπαῖς· καὶ δὴ λογιστέον οὕτως. Ὁ ἐγκράξας τινὶ τό· εἰ τολμήσεις, ξιφήρης μὲν τυχὸν καθεστώς, ἢ κορυνηφόρος, ἢ καὶ τρόπον ἄλλον βριθὺς χερσὶ χρῆσθαι, δῆλον, ὡς ἠπειλήσατο δρᾶσαί τι βαρύ. Καὶ γέμει τοιούτων ἠθῶν καὶ ἐννοιῶν πρόπας ὁ βίος. Εἰ δέ γε περὶ λόγους πονούμενός τις, καὶ τοῦ μὲν ἀρεϊκὸς εἶναι καὶ (ὡς εἰπεῖν) χειρομάχας εἰς τὸ πᾶν ἀποδέων, ἑρμαϊκὸς δὲ τὴν ἐπιτήδευσιν ἀπεκβὰς καὶ οὕτως ἀκάκητα (εἴποι ἂν ἡ ποίησις), εἶτα λογομαχῶν

διαλεκτικῶς ἢ κατὰ δικηγορίαν, ἢ καὶ ἄλλως, ὡς οἱ τοῦ βίου ἀγῶνες τεχνῶνται, προβαλεῖται τῷ ἀντιβάλλοντι λόγους τὸ ἐὰν τολμήσῃς εἰπεῖν τόδε, οὐκ ἂν οἶμαι ὁ τοιοῦτος ὑποκινήσῃ τῷ ἀντιπάλῳ χολὴν ἄκρατον, ὡς ἐπὶ ὕβρει, ἐὰν ἐκεῖνος οἶδεν ἀντιφέρεσθαι κατ' ἐπιστήμην καὶ φρόνησιν. Ἀλλὰ ὁ πρὸς τέχνην ἀκούσας τὸ εἰ τολμήσεις (θαῤῥῶ μέν, ὅτι εὐσκευεῖ ἀντιπεσεῖν) ἐρεῖ θαῤῥῶν, ὡς ἰδοὺ τολμῶ καὶ λαλῶ· καὶ οὕτω διαλεχθεὶς ἐποίσει τὸν ἔλεγχον, καὶ ἀπελέγξας τὸν ἀπειλητῆρα, ἐκεῖνον μὲν ἀχανῆ καταστήσει· αὐτὸς δὲ ἐγχανεῖται γελῶν ἐπ' ἐκείνῳ, καὶ περιτρέψας οἷον αὐτῷ τὸ οἰκεῖον βέλος, ἀνταπειλήσεται προσφυέστερον αὐτὸς τὸ εἰ τολμήσεις ἀντεπιφέρειν· καὶ καταισχυνεῖ ὡσεὶ καὶ γρύζοντα τὸν ἀπειλησάμενον. Καὶ οὕτω μὲν ποιήσει πεποιθὼς εἰς ἀντίθεσιν· ἄλλως δὲ διακείμενος || (Ms. fol. 33. a.) ἀποσιωπήσεται, καὶ οὐκ ἀναλήψεται τόλμαν ἀντειπεῖν. Τὸ δὲ μήτε τὸ πρότερον ποιῆσαι, μήτε τὸ δεύτερον, ἀλλὰ χρῆσθαι χόλῳ, καὶ κατερεύγεσθαι καμήλου δίκην τοῦ φαμένου τὸ ἐὰν τολμήσῃς, ὑπεμφαίνει, ὡς ὀκνῶν σιγῆσαι διὰ τὸ ἄπορον καὶ τὴν ἐκ τούτου αἰδῶ, εἰς ὀργὴν ἐκτέτραπται ὁ ἀληθῶς ἐκεῖνος ἄτολμος.

9. Καὶ ὅτι μὲν ἀπειλεῖταί πως ὁ εἰπὼν ἐπί τινι τὸ ἐὰν τολμήσῃς, οὐκ ἂν ἀρνήσηταί τις ἑλληνίζων. Διαφορᾶς δὲ οὔσης ἐν τῇ τοιαύτῃ φάσει, μάταιός ἐστιν ὁ ἐν τῇ μαχίμῳ ἀπειλῇ καὶ ἐν τῇ λογικῇ δέ, ἤδη δὲ καὶ φιλικῇ ποτε καὶ οὕτω γλυκείᾳ, εἰκῇ καὶ μάτην οὕτως ἐμπικραινόμενος. Ἀγλευκὴς ὁ τοιοῦτος ἄνθρωπος, ἀσχιδὴς τὰ ἐς νοῦν ἁπλῶς ἄλλως, θερμὸς λαλῆσαι, χολῆς τρόφιμος, καὶ διὰ θυμὸν οὐκ ἔλλογον ἀποστενούμενος τὰ ἐς νόησιν, ἀτενὴς βλέπειν, οὐκ εἰδὼς θεωρεῖν ὧδε καὶ ὧδε, καὶ διαιρεῖν ἐλλόγως καὶ ἐμπλατύνεσθαι ὁμωνυμίαις, καὶ οὕτω χοροβατεῖν διὰ τῶν κατ' αὐτὰς ἐννοιῶν, καὶ ἀποκρίνειν τὸ ἐνδεχόμενον, καὶ οἰκονομεῖν τὴν διάκρισιν. Λέων οὕτω ποιήσειεν ἐγκραχθείς, πάρδαλις οὕτω θυμώσεται, δράκων ἂν οὕτω δεινὸν δέρκοιτο, ἀπειλὴν ἀκούσας· ἄνθρωπος δὲ καθεστὼς ἐν ἑαυτῷ καὶ γραμμάτων ἴδμων, καὶ τὴν νίκην θαῤῥῶν, τολμήσοι κατὰ τοῦ εἰπόντος εἰ τολμήσεις λαλῆσαι. καὶ θύρσος ἀναλαβὼν ἐρεῖ καὶ ἀκούσεται· φωνήσει καὶ ἀντιφωνηθήσεται, ἐπιχειρήσει καὶ ἀνέξεται τοῦ ἀνθυποφέροντος, ἐλέγξει καὶ ἐλεγχθήσεται· καὶ οὕτως ἀποδείξει ἄνθρωπος εἶναι λόγου τρόφις ἱερός, καθά τις ἔφη. Οὕτω ποιεῖ καὶ στρατιώτης ἀγαθός, ἀπειλὴν ἀκούσας ποθὲν ἐξουθενοῦσαν αὐτόν. Τολμᾷ γάρ, καὶ ἐπιδραμὼν ἀχρειοῖ τὸν θρασυνάμενον, ὡς καὶ ἀπειλήσασθαι. Οὕτω δὲ καὶ τεχνίτης ἅπας κατὰ τοῦ εἰ τολμήσεις ἀνδρίσεται, μεταχειριζόμενος τὸ κατὰ τὴν τέχνην ἔργον, καὶ δεικνύς, ὅτι τολμᾷ.

10. Προσθετέον τοῖς εἰρημένοις καί, ὅτι μέθοδος αὕτη τοῖς ἀντιθετοῦσι, προαπειλεῖσθαι τοῖς ἐνστάταις δεινά, εἰ τολμήσειαν ἐπ' αὐτοῖς, καὶ δόρυ ταλάσουσιν, ὃ δὴ πεποίηται, ὅτι καὶ εἴη ἂν συνετὸς ἀντίμαχος, ὁ μὴ λυσσῶν κατ' αὐτοῦ δὴ μόνου τοῦ ἐὰν τολμήσῃς, ἀλλὰ φιλοτιμούμενος τὰ πρὸς τόλμης ἔνδειξιν.

11. Ἔτι ἡ ἀπειλὴ τοῦ ἐὰν τολμήσῃς τραχύτητα μέν τινα προφαίνει, σφοδρότητα δὲ τὴν κυρίως οὐκ ἂν φαίη τις ὅτι πάνυ. Βούλεται δὲ μᾶλλον ὑπολαλεῖν τῷ τολμῶντι τὸ χρῆναι αὐτὸν πρὸς ἑαυτῷ ἔχειν τὸν νοῦν, καὶ ἢ αἰδεῖσθαι ἢ φοβεῖσθαι· τὸ πᾶν δὲ ἐν ὀλιγίστῳ εἰπεῖν, εὐλαβεῖσθαι περὶ τῷ τέλει, καὶ πλέον οὐδέν. Ταῦτα δὲ οὐκ εἰς λόγον ὕβρεως τάττονται, ἄλλως τε καὶ νόμου, ὡς ἔφαμεν, κειμένου, ὃν ἡ φύσις ἀλειπτικῶς ὑποβάλλει, τοὺς μὲν ἄλλως μαχομένους ἀπειλεῖσθαι πείθουσα τὸ ἀπέθανες, εἰ τολμήσεις· πέπτωκας, ἐὰν κατεξαναστῇς· ἐσφάγης, ἐὰν ἀποθρασυνθῇς, καὶ ὅσα τοιαῦτα ζωὴν βλάπτοντα· τοῖς δὲ λογικῶς ἐρίζουσιν ἐμβοᾶσθαι ὑποτιθεμένη τὸ εἰ τολμήσῃς, ἡττήθης, ἐσκώφθης, ἐγελάσθης, καὶ εἴ τι ἄλλο αἰσχύνην κατασκεδάζει ψυχῆς αἰδήμονος. Οὐκ ἔννομος οὖν τά γε εἰς φύσιν καὶ βίον ὁ μὴ ταῦτα εἰδώς.

12. Παραινεῖ ἄρα τρόπον τινὰ ὁ σώφρων τῷ ἀντιμάχῳ, καὶ συνετίζει παιδαγωγικῶς, ἡνίκα εἴπῃ τὸ εἰ τολμήσεις, οἷα ἐνάγων ἐκεῖνον, ἢ πτοεῖσθαι, ἢ αἰδήμονα εἶναι ἐφ' οἷς ἐγχειρεῖ, καὶ εὐλαβῶς ἔχειν ἐπὶ τῷ τέλει. Ὧν ἔγωγ' οὖν ἀκούοιμι πρός γε τῶν φίλων, ἐπικοπτόντων μοι ἐν καιρῷ τὸ τῆς τόλμης εἴτε ἀλόγιστον, εἴτε ἄμετρον. Οὗτος ὁ λόγος καὶ τὸν κυβιστᾶν ἐθέλοντα κατὰ βάθους πολλοῦ ἐπιστρέφει πρὸς φρόνησιν. Τεχνίτης μὲν γὰρ ἐκβὰς ἐκεῖνος τοῦ ἔργου περιφανής, πρὸς οὐδενὸς κωλύοιτο ἂν κατακολυμβᾶν· μολίβδινος δὲ ὢν καταδύεσθαι, οὐκ ἂν ὑβρίζοιτο, κελευόμενος || (Ms. fol. 33. b) μὴ τολμᾶν· ἀλλὰ παιδεύοιτο, εἶναι φιλόζωος. Ἐγχειρεῖ τις ἔστιν οὗ καὶ μωκᾶσθαι κωμῳδικῶς· ὁ δὲ καὶ αὐτὸς δεξιῶς μὲν ὢν εὐτραπελεύεσθαι πρὸς ἀστεϊσμόν, τολμάτω καὶ λαλεῖν καὶ γράφειν, ἵνα τέρπων ἐφέλκηται τοὺς ἀκούοντας, καὶ μὴ καταισχύνῃ τὴν ἀστείαν τόλμαν. Μαμάκουθος δὲ πεπλασμένος αὐτός, μήτε τολμᾶν ἐχέτω, ἵνα μὴ καὶ καταγελῷτο· καὶ εἴ τις δὲ μὴ τολμᾶν αὐτῷ ἐπιλαλεῖ, μὴ δυσχεραινέτω, ἵνα μὴ ἀπαίδευτος ἐξελέγχηται, γέλων ἐπ' ἄλλοις πραγματευόμενος, ᾧ αὐτὸς ἔγκειται.

13. Τί μοι πλέω λέγειν, καὶ μὴ ταχὺ κατακλεῖσαι βραχεῖ λόγῳ οἷα καὶ σφραγῖδι τὴν λαλιάν; Μέση λέξις

ἡ τόλμα εὖ περιγέγραπται μιᾷ ἐννοίᾳ, τοῖς ὁμωνύμοις ὑπάγεται καὶ αὐτή, οὕτως καὶ οὕτως ἐθέλει νοεῖν, εἰς διπλόην διαβαίνει. Τολμᾷ γάρ ὁ μέν τις ἐπὶ ἐπαίνῳ οἰκείῳ· ὁ δέ τις οὐχ εὑρίσκει ἔπαινον, ἀλλὰ μέμψιν, καὶ αὐτὴν μακράν. Ἐπαινεῖται ὁ εὔτολμος, οὕτω δὲ καὶ ὁ τολμήεις θυμός, ᾧ πειθόμενός τις κατὰ τὴν ποίησιν, δρᾷ τὰ καθήκοντα, καρτερίᾳ χρώμενος καὶ ὑπομονῇ· ὃν καὶ τολμηρόν φαμεν ἐν δέοντι· ὡς ὅ γε μὴ τοιοῦτος οὔτε τολμήεις, οὔτε τολμηρὸς ὀνομάζεσθαι φιλεῖ· οὐ γὰρ τέθειται τοῦτο· ἀλλὰ τολμητίας ἀποκεκλήρωται λέγεσθαι. Ὁ τοίνυν ἀκούσας τὸ ἐὰν τολμήσῃς εἰπεῖν, καὶ ὑβριοπαθῶν, καὶ οὕτω μονάζων τὴν τόλμαν, καὶ τὸ μὲν καλὸν αὐτῆς οὐκ ἐννοούμενος, μόνου δὲ ἀσχιδῶς τοῦ πρὸς ὕβριν γινόμενος νοήματος, ἐλεγχθήσεται οἶμαι πρὸς αὐτοῦ τοῦ ἐμψύχου λόγου, μὴ νοῶν ὀρθά. Ὁ γάρ τοι νόμῳ ῥητορικῷ προσωποποιούμενος καὶ οὕτω ψυχούμενος λόγος, εἴ ποτέ τι κατασκευάζειν προθέμενος ὑπόσαθρον καὶ εὐδιάλυτον, καὶ ὃ κίνδυνος εἰς ἄτοπον καταστραφήσεσθαι, ἀκούσοι ποθὲν τὸ μὴ τολμήσῃς, ὦ αὐτόχρημα λόγε, προφῆναι σεαυτόν, ὡς καὶ ἐμφανῶς λαληθῆναι, φιλήσοι ἂν τὸν οὕτως ἠπειληκότα, ὡς κηδόμενον αὐτοῦ, μὴ καὶ ἀλογίαν ὄφλῃ. Σῶφρον γὰρ χρῆμα πάντως ὁ λόγος· ἄνθρωπος δὲ ὁ τυχὼν οὐ κατ' αὐτὸν διατεθήσεται, παχύτερος ὤν, ὅτι καὶ ἄνθρωπος.

14. Ἀλλ' ἐνταῦθα τοῦ κατὰ τὴν γραφὴν ὕψους ἐλθών, ἐθέλω καὶ μαρτύρων ὑπογραφῇ πιστώσασθαι τοὺς λόγους πολιτικώτερον. Ὑποβαίνων δὴ καὶ τοιαύτην πίστιν, φημί, ὅτι ὁ ὑπὲρ τοῦ θεοῦ ζῆλος, τοὺς αὐτῷ τελουμένους καὶ καταφαγὼν καὶ κατακαύσας, ἐξ ἀνθρώπων σαρκοβόρων εἰς ἀγγέλους ἀπελέπτυνε· καὶ οὕτως ἐκεῖνοι τεθαῤῥηκότες καὶ κατὰ παντοίων δεινῶν τετολμηκότες, ὡς εἰ μὴ καί τι σάρκινοι ἦσαν, εἰσὶν ἄρτι, ὅπερ οἴδαμεν. Οἴδαμεν δέ, οὐδὲ βραχύ τι ἀνθρώπων ἐλαττῶσθαι αὐτούς, οἷς θεῷ παρίστανται, καὶ τὰ ὑπὲρ ἡμῶν ἐντυγχάνουσιν. Εἰ τοίνυν ὁ τῆς τόλμης προηγησάμενος ἐνταῦθα ζῆλος εἰς ἀνδρικὴν ἀπετελεύτησε τόλμαν, καὶ ὡς οἷον ἀπέτεκεν αὐτήν, τί δή ποτε τὸν πατέρα μὲν ζῆλον ἐπαινετέον σύν γε τῷ αὐτὸν ἔχοντι, τὸ δὲ καλὸν ἔκγονον, τὴν τόλμαν, ἐξαθεριστέον, καὶ τὸν αὐτὴν εὐγενῶς ἐκτρέφοντα;

15. Ἐντεῦθεν δὲ συναγαγεῖν ἐστι, καὶ ὅτι δύναμίς τις, ὥσπερ ὁ ζῆλος, οὕτω καὶ ἡ τόλμα ἐστίν, ἐπαμφοτερίζουσα, καθὰ καὶ προείληπται· καὶ ἵνα μὴ ἐκ τῶν πόῤῥωτέρω λαμβάνηται ἡμῖν ἡ τούτου ἔνδειξις, τοῖς μάρτυσι μὲν τοῦ θεοῦ ἀγαθὰ καὶ ὁ ζῆλος καὶ ἡ τόλμα, ὅτι καὶ ὑπὲρ αὐτοῦ θεοῦ, τοῖς δὲ ἀντικειμένοις, ὅσοι τε ἐτυράννουν, καὶ οἵπερ ἐκόλαζον, φαῦλα καὶ ἄμφω. Οὔτε γὰρ ἐπ' ἀγαθοῖς ἐζήλουν, οὐ δὲ μὴν ἐτόλμων οἱ κατὰ θεοῦ. Καὶ ἔστιν εἰπεῖν ζῆλον μέν, τὸν ἁπλῶς, ἐργαστήριον, εἴτ' οὖν κρατῆρα φυσικοῦ πυρός, δι' οὗ χαλκευόμενος ἄνθρωπος εἰς ἀνδρικὸν κατακροτεῖται ξίφος· τὴν δὲ τόλμαν στόμωσιν τοιούτου ξίφους. Ἡ τοίνυν τοιαύτη δυναμικὴ κατὰ τόλμαν στόμωσις, ὡς εἰς ὅπλων πρόβλημα διαχειρισθεῖσα, εἰ μὲν ἐπ' ἀγαθῷ προβληθείη, ἀρετὴν ἀποτελεῖ, καὶ ἐπαινεῖται οὕτω καὶ αὐτὴ καὶ ὁ κατ' αὐτὴν τετολμηκώς. Κακίας δὲ τὸ τοιοῦτον μεταχειριζομένης ξίφος, ψέγεται καὶ τὸ ὅπλον καὶ ὁ κατ' αὐτὸ πάντως ὁπλίτης. Καὶ καθέσταται οὕτως ἡμῖν εἰς δύναμιν αὐτόχρημα τὴν φιλοσοφουμένην ἡ δίστομος τόλμα.

16. Εἰ δὲ δυνάμεως μὲν ταύτης ἔργον, καθὰ καὶ πάσης ἄλλης τοιαύτης, τὸ ἐπαμφοτερίζειν, ἐθέλοι δέ τις μονάζειν ··

Multa desunt.

Ms. fol. 46. a. 1. ········· πῇ δὲ καίων, ὅτε δηλαδὴ φλογοῦται, διεμέρισε τοῖς μὲν κακοῖς ἐκκυμανθεὶς εἰς ὄλεθρον, οἷς ἐκεῖνος δι' αὐτῆς ἐνήργησεν, ἐπιδραμὼν τοῖς κύκλῳ Χαλδαίοις· ψύξασα δὲ δροσερῶς τοὺς ἁγίους, οἷς πρὸς θεοῦ ἀνεθεῖσα ἐφῆκε τῷ ἀέρι ποιῆσαι τὸ ἑαυτοῦ, τὸ δέ ἐστι ψυχρότητα ἐνεργῆσαι εἰς ἀναψυχὴν τῶν τοῦ θεοῦ παίδων, οὐκέτι καιομένων, ἀλλὰ μόνον φωτιζομένων καὶ καταλαμπομένων τῇ φλογί, ὥσπερ ἠσχολημένη κατὰ τῶν ἐχθρῶν τῶν τοῦ θεοῦ, ἐξελάθετο φλὸξ εἶναι τοῖς τοῦ θεοῦ ἀνθρώποις, ἢ καὶ ὡς ἐὰν αὐτὴ μὲν ὅλη γέγονε τοῦ τοῖς Χαλδαίοις ἐπεισπεσεῖν· τῷ δὲ ἀέρι ἐφῆκεν ἀναψύχειν τοὺς τοῦ θεοῦ γεροντόπαιδας. Μὴ γὰρ κατακρατητέον, διόλου θερμὸν εἶναι τὸν καθ' ἡμᾶς ἀέρα, μηδὲ στοιχητέον τῇ δόξῃ ταύτῃ ἀστεμφῶς, εἴ τι προσεκτέον καὶ τῷ γεγραφότι τοὺς περὶ προνοίας λόγους ἀνδρὶ σοφῷ τε καὶ ἱερῷ.

2. Εἰ δὲ δοκεῖ, ἀσυνάρτητον εἶναι τὸ τὴν αὐτὴν κάμινον φλέξαι τε καὶ δροσίσαι, διὰ τὸ μὴ ὡσαύτως ἄμφω ἐνηργηκέναι, ἀλλὰ τὸ μὲν φλέγμα τῇ τοῦ πυρόεντος ἐπιτάσει, τὸ δὲ δρόσιμον οὐ τῇ αὐτῇ, ἀλλὰ διαθέσει ἑτεροίᾳ, τῇ κατὰ ἄνεσιν, εἴτ' οὖν ὕφεσιν τὴν θεόθεν, καθ' ἣν ὡσεὶ καὶ μὴ παρὸν τὸ πῦρ ἐλογίζετο· ἐνθυμητέον, ὡς ἐν μυρίοις τοιαῦται τινὲς εὕρηνται ἀντίθετοι ἐνέργειαι, προϊοῦσαι κατὰ ἑτεροιοτάτου

αἰτίου ἑνός. Καὶ καθελκύσαι μὲν παραδειγμάτων πολλὰς ὁμοιότητας, οὐκ ἔστιν ἀπορῆσαι τὸν μὴ ὀκνοῦντα· μνηστέον δὲ πρὸς τὸ παρὸν ἑνὸς ἀριδήλου, τοῖς γε μεμαθηκόσι διακειμένου οὕτως. Ὁ τὴν κυβερνητικὴν ἄριστος οἶδε σώζειν τὴν ναῦν, ὁ δ' αὐτὸς καὶ ἀπόλλυσιν· ἐκεῖνο μὲν κατὰ πρῶτον λόγον ἐν τῷ παρεῖναι, τοῦτο δὲ ἄλλως, ὅτε μὴ πάρεστι. Δῆλον δή, ὅτι καὶ τὸ πῦρ, μὴ τὰ κατὰ φύσιν δυνηθὲν ἐνεργῆσαι, τότε μηδὲ παρεῖναι ἐδόκει. Καὶ οὕτως ἂν συμβιβάζοιτο ἀβιάστως οἶμαι τὸ τὴν κάμινον ἐκείνην ἐνεργείαις ἀξυμβάτοις τά γε εἰς φύσιν μερισθῆναι δυσί, τῇ τε τοῦ καῦσαι κατὰ φύσιν, καὶ τῇ τοῦ ὑπὲρ φύσιν δροσίσαι, ἀμφοτέροις ἑνὸς ἐπιστατοῦντος αἰτίου, τοῦ θείου προστάγματος, εἰπεῖν δὲ καὶ ἑτέρως, θεοῦ, ὅς, εἰ καὶ πῦρ ἄϋλον, ἀλλὰ καὶ ὑετὸς οὐράνιος τεθεώρηται. Καὶ ὧδε μὲν καθέσταται καὶ τὰ τῆς δευτέρας λύσεως.

3. Ἦν καὶ τρίτη αὕτη, ἔχουσα καὶ αὐτὴ προσυπακουόμενον ἀναγκαίως τὸ τοῦ βασιλέως θεοῦ ἐπίταγμα· διὸ καὶ προληπτέον, ὅτι πᾶσα ἐνέργεια περατουμένη διὰ προστάξεως, ὅσα καί τινος ἐπιστημοναρχικοῦ λόγου, οὐ τῷ δρῶντι, ἀλλὰ τῷ ἐπιτάξαντι βασιλεῖ τυχόν, ἢ οἰκοδεσπότῃ, ἢ ἄλλως ὁπωσοῦν προέχοντι. Τούτου προειλημμένου ἡμῖν, ἐνθυμητέον καί, ὅτι θεὸς ἐπιτάττων, καὶ θεῖον πρόσταγμα, τὸ ἐξ αὐτοῦ, μεγαλοποιεῖ. Τούτοις ἐπακτέον, ὅτι καὶ τεράστια ἐκεῖνος ποιεῖ, καὶ πέρα φύσεως, καὶ οὐ κατ' ἄνθρωπον οὐδένα, καὶ ὅλως φάναι, ὧν οὐκ ἔστιν οὐδὲ ἀκροθιγῶς ψαῦσαι ἀνθρωπικὴν διάνοιαν τά γε εἰς αἰτιολογίαν. Οὐκοῦν εἰ καὶ τῷ πυρὶ ἐνέργειαί τινες δίδονται φυσικαὶ ἀνέκαθεν, ἐκ καταβολῆς κόσμου συμπαραμένουσαι, ἀλλ' οὐκ ἔστιν αὐταῖς αὐχῆσαι, ὅτι οὐκ ἔστι τῷ ποιήσαντι θεῷ δύναμις ἀλλοιῶσαι καὶ μετασκευάσαι τὴν ἐν τῷ πυρὶ παντοίαν δύναμιν καὶ ἐνέργειαν· ἵνα μὴ ἀλαζονεύοιντο Πέρσαι πυρὶ λατρεύοντες ὡς πολυδυνάμῳ, καὶ μὴ ἂν καταδυναστευομένου ὑπὸ τοῦ θεοῦ. Διὸ ἐπιτάσσων ὁ θεὸς μεταβάλλει καὶ σβέννυσι μὲν τὰς φύσει ἐμπυρευομένας αὐτῇ δυνάμεις, ἐντίθησι δέ, ὅτε ἂν ἐθελήσῃ, καὶ ἀλλοίας τεραστίους ὑπερφυῶς. Τρέφει γοῦν ποτε τὸ οὕτω φθοροποιὸν πῦρ καὶ παμφάγον, καὶ ζωο || [Ms. fol. 40. b.] γονεῖ, θεοῦ κελεύοντος· καὶ μαρτυροῦσι σκυλάκια ὕδατι θερμῷ ἐντρεφόμενα, οὗπερ οὐκ ἔστι ψαύειν χειρί. Τὸ δ' αὐτὸ καὶ τὴν καῦσιν καταργεῖ, ἐς τὸ πᾶν θεοῦ κελεύοντος· καὶ χορηγοῦσι μαρτυρίας ἀπαραγράπτους οἱ τοῦ θεοῦ μάρτυρες μυρίοι ὅσοι ἐκεῖνοι, καταπατοῦντες τὸ πῦρ οὐχ ὑλικῇ στεγανώσει σωμάτων, ἀλλὰ μεταβολῇ πυρὸς καίοντος εἰς δρόσον ἀναψύχουσαν, καὶ τοῖς τοῦ θαύματος τοῦδε προκατάρξασιν ἱεροῖς νέοις συναναμέλποντες τὴν κατὰ τοῦ πυρὸς νίκην, καὶ χαρμόσυνα κατ' αὐτοῦ παιανίζοντες.

4. Δώσει τοίνυν ἅπας ἐλλόγιμος ἄνθρωπος, δροσῶδες ἀπεκβαίνειν πῦρ ἐπί γε τοῖς ἐμπεριειλημμένοις αὐτῷ, ἡνίκα θεῖον βούλεται πρόσταγμα· ἐπειδὴ καὶ πρέπει τοῖς καθαροῖς καὶ ἔξω παντὸς μιάσματος, κατευμεγεθεῖν τοῦ πυρὸς εὐλογώτερον, ἤπερ τὸ καθ' ἱστορίαν ἀμίαντον, οὗ πῦρ οὐκ ἔχει περιγενέσθαι, ὡς ἡ πεῖρα μανθάνειν δίδωσι. Καινὸν δὲ οὐδὲν πάντως, ἐκ φλογὸς κατὰ τὸν ἱερῶς ψάλλοντα δρόσον τοῖς ὁσίοις πηγάζεσθαι, εἴ γε καὶ δικαίου θυσία ὕδατι ἄλλως φλέγεται. Ἡ γὰρ οὐχὶ ἀκριβῶς ἀκόλουθον, τὸν ἐν πυρὶ δροσίζοντα, τὸν αὐτὸν καὶ δι' ὕδατος φλέγειν, καὶ παραχωρεῖν τοῖς ἐναντίοις μίγνυσθαι καὶ συνέρχεσθαι καὶ τὰ ἀλλήλων ἐνεργεῖν ἀντιμεταδόσεως λόγῳ, ὡς διδάσκεσθαι καὶ οὕτως ἡμᾶς, ἀγαθὸν εἶναι τὴν ὁμόνοιαν καὶ τὸ σύμφυλον αὐτῇ φιλάλληλον.

5. Περαίνεται οὖν ἡ τρίτη λύσις εἰς τὸ μὴ ἐνέργειαν ἀποτεταγμένως, τήνδε ἢ ἐκείνην, ἀλλὰ τὰς ἁπλῶς ἐνεργείας, ἃς ὁ θεὸς ἀπονέμει, ὥσπερ τοῖς ἄλλοις στοιχείοις, οὕτω καὶ τῷ πυρὶ μετασκευάσεως λόγῳ, ἐφ' οἷς ἂν εὐδοκήσειεν, ἀπομερίζεσθαι, ὅπῃ χρεών, ὡς αὐτὸς ἐπιτάξει· καθὰ καὶ νῦν τῶν ἐντεθεισῶν αὐτῷ δύο ἐνεργειῶν, τῆς τε κατὰ φύσιν καύσεως, καὶ τοῦ κατὰ θεῖον κέλευσμα ὑπερφυοῦς δροσισμοῦ, τὴν μὲν κατὰ τῶν Χαλδαίων ἐπαφῆκε, τῇ δὲ τοὺς πιστοὺς ἐδεξιώσατο.

6. Καὶ ἔστι μὲν καὶ ἀλλοία καινὴ πυρὸς ἐνέργεια, θεόθεν ἐπιταχθέντος, καίειν μὲν δηλαδὴ σφοδρῶς, οὐ κατακαίειν δέ, ὃ καὶ εἰς χωνείαν θεωροῦσιν οἱ τῶν θείων ἐξετασταί, καλλύνουσαν ὡς εἰς χρυσέαν λάμψιν τοὺς ἔνδον τοῦ τοιούτου πυρός. Ἀλλ' ἐγὼ τὴν χρυσοχόον ταύτην καῦσιν οὐ καταφάσκειν ἔχω τοῦ Χαλδαϊκοῦ· οἶδα γὰρ παραδεδομένον τὸ πάντῃ καινότατον, τὴν ἀπραξίαν αὐτοῦ καὶ ἀργίαν, δι' ἧς μὴ ὅτι γε χωνεύειν τοὺς ἐν αὐτῷ θεοφιλεῖς παῖδας, ἀλλ' οὐδὲ ὑποθερμαίνειν ἠπίστατο, διατεθειμένον, ὡς εἰ καὶ δρόσος αὐτοὺς περιεκέχυτο. Ἦν δὲ ἐκείνοις τὸ μέγα πῦρ ἐκεῖνο καὶ καθάπερ εἰ φῶς ἀμυδρόν, μεγάλῃ φλογὶ πελάσαν, ἀποσβέννυται. Καί γε ἔστιν ἀκολούθως ἔχον τὸ πρᾶγμα. Πίστεως γὰρ πῦρ καὶ ἡ ἐκεῖθεν φλόξ, ἅπερ οἱ παῖδες ἐπὶ τῷ θεῷ ἐπύρσευον, ἀξύμμετρα ἦσαν πρὸς τὸ Χαλδαϊκὸν καὶ ἀσύμβλητα· καὶ τοίνυν κατεμάραναν πῦρ ἐκεῖνο καὶ ἀνθρακιάν, τὴν κατ' αὐτό, ἑτέρῳ μείζονι, καὶ θειοτάτῳ, καὶ διὰ τοῦτο ἀστέκτῳ.

7. Ἐχρῆν ἄρα τοὺς ἐκκεκαυμένους τῷ κατὰ θεὸν ζήλῳ μὴ εἶναι καταπόνους αἰσθητῷ ἐκείνῳ πυρί, ἀλλὰ

καταχορεύειν αὐτοῦ, ὡς εἰ καὶ ψύχοντι ἐμβεβήκασιν ὕδατι. Ἔφριξε γάρ, κατὰ τὸν οὕτως εἰπόντα, καὶ εἶξε σώμασιν ἁγίοις, οἷς θεὸς ἐνῴκει, τὸ σύνδουλον πῦρ, καὶ οὐκ εἶχε τοῖς γνησίοις ἐκείνου θεραπευταῖς τὸ ταπεινὸν ἀνθίστασθαι· ἀλλ' ὡς οἷα κρυσταλωθὲν τῷ φόβῳ κατηργεῖτο, καὶ τὸ τῆς καύσεως οὐκ εἶχεν αὔχημα.

8. *Ταύτης δὴ καὶ τρίτης ἐπενηνεγμένης λύσεως,* **Ms. fol. 41. a.** *παρετέθη αὐτῇ καὶ ἑτεροία τετάρτη αὕτη. || Ἐνεργείας ἐστὶν ἐψαλμένας ἐνταῦθα νοῆσαι καὶ τὰς ἣν ὅτε πάλαι ποτὲ τῷ πυρὶ ἐνθεωρουμένας· οὐκ ἀπεικὸς δέ, εἰπεῖν καὶ ἐνοπτριζομένας μεγάλας καὶ θειοτάτας ἀπεκβάσεις ἐσύστερον τῶν γραφικῶν τῆς ἀληθείας τυπώσεων, ἃς ὑπογραφικῶς ἐσκιαγράφησεν ἐκεῖνο τὸ πῦρ, ἐν αἷς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπεικονίζετο γέννησις, καθ' ἣν τοῦτο δὴ τὸ πάμμεγα τεράστιον, τὸ τῆς θεότητος πῦρ, ὡς ἐν ἄλλοις ψάλλεται, τὴν παρθένον οὐκ ἔφλεξεν, οἷα ὄμβρου δίκην, ὃν προφητικὴ ὅρασις ἐθεώρησε πυρφορήσασα τὸν τῆς τριάδος ἕνα Χριστόν. Ἐνεργειῶν λόγῳ ταῦτα πυρίνων ἀῤῥήτων γεννήσεως ὑπερφυοῦς, δι' ἧς, ὅσα καὶ πυρὸς φλογίζοντος ἅμα καὶ ζωογόνον δροσίζοντος, πᾶσα μὲν ἐν τοῖς καθ' ἡμᾶς μοχθηρὰ ὕλη, ὁπόσην Χαλδαϊκῶς ἐχρῆν κατακαίεσθαι, κατεφρύγη καὶ ἐξεκαύθη, καὶ ὡς εἰς χοῦν λεπτυνθεῖσα ᾤχετο καὶ ἐξώλετο, πυρὶ ἀφανισθεῖσα τῷ προφητικῷ εἰπεῖν, καταναλίσκοντι πᾶσαν ἁμαρτητικὴν φαυλότητα. Ὁπόσον δὲ ἔδει περιεῖναι τῷ βίῳ καὶ σώζεσθαι εἰς δόξαν θεοῦ, τὴν διὰ πολιτείαν ἰσάγγελον, περιεποιήθη· καὶ ἔστι τοῦ λάχους τούτου ὁ περιούσιος ἐν ἡμῖν λαὸς τοῦ θεοῦ, ὁ καὶ αὐτὸς τῷ πυρὶ προσφυὴς ἐκείνῳ, καὶ δι' αὐτὸ μὴ καταναλισκόμενος, ἀλλὰ θείῳ βαπτίσματι φωτιζόμενος ἅμα καὶ δροσιζόμενος, καὶ οὕτω πυριλαμπὴς θειότερον ἐκφαινόμενος.*

9. *Ταύτας δὴ τὰς ἐναργῶς ἐν τοῖς ὕστερον ἐπ' ἐσχάτου τῶν αἰώνων ἐμφανισθείσας ἡμῖν ἐνεργείας ἐκτυποῦσα διὰ τῆς τῶν μεγάλων τριῶν παίδων καθαρότητος ἡ Χαλδαϊκὴ πυρκαϊά, καὶ εἰκονικῶς διαζωγραφοῦσα, ἐμέριζε τὴν μὲν κατὰ τῶν Χαλδαίων, οὓς καὶ διέφθειρε, τὴν δὲ ὑπὲρ τῶν ὁσίων παίδων, οὓς ἐδρόσιζεν. Εἰ δέ τι χρὴ τὴν ὑπόγυιον λύσιν κεφαλαιωσάμενον διαφωτίσαι σαφηνείᾳ πλείονι ἐνεργείας Βαβυλωνίου πυρός, ἡ ᾠδὴ λέγει, μερισθῆναι οὐ τὰς ἐν αὐτῷ ἐνούσας καὶ δι' αὐτοῦ ἐκείνου ἐνηργημένας, ἀλλὰ τοῖς ἐν ὑστέρῳ χρόνοις, ἵνα τότε μὲν ἐμφαίνοιντο αἱ τοιαῦται τῷ πυρὶ ἐνέργειαι θεοπτικῶς, ἐς δὲ τὸ μέλλον ὀφθαλμοφανῶς ἐκφαίνοιντο, καὶ οὕτω προσαρμόζοι ταῖς χρόνῳ ὕστερον θειοτάταις ταύταις ἐμπράκτοις ἐκβάσεσι τὸ πάλαι μὲν τυποῦσθαι, νῦν δὲ ἐνεργεῖσθαι κατὰ τὸν καὶ οὕτω ψάλαντα, ὅτε δηλαδὴ τὸ συλληφθὲν ἀφλέκτως ἐν τῇ παρθένῳ πῦρ τῆς θεότητος, ἀποτεχθείη ἐκεῖθεν πηγὴ ζωῆς, αὐχοῦσα μὲν καὶ τὸ φλογερὸν κατὰ πάσης ἀκάνθης διαβολικῆς, πλουτοῦσα δὲ καὶ τὸ δροσερὸν ἐπὶ τοῖς φυτοῖς τοῦ θεοῦ. Τοιαύτας ἐνεργείας, μετὰ χρόνους ἱλαρὰς μὲν τοῖς πιστοῖς, οὐ τοιαύτας δὲ τοῖς ἀπίστοις, καὶ οὕτω μεριζομένας ἑκατέροις ἀνάλογον καὶ μεριζούσας αὐτούς, τὸ πῦρ ἐκεῖνο προαπεικόνιζε, δυνάμει κρείττονι ἐνεργοῦν ἀξύμβατα τέρατα.*

10. *Αὕτη κ.* *ἡ ἐπὶ ταῖς τρισὶ λύσις ἡ καὶ τετάρτη καὶ τελευταία· οὐ γάρ τι πλεῖον ἡμῖν προσευπόρηται εἰς λύσιν τῆς πρώτης ἀπορίας, τῆς δέ γε μετ' αὐτὴν ἀνόπιν τοῦ λόγου ἐκτεθειμένης, ἥτις ὑπεκινήθη ἐκ τοῦ* ἑ κ ά τ ε ρ α δ ι ό ρ θ ω σ α ι, Χ ρ ι σ τ έ, ὁ θ ε ό ς. *Τοιοῦτος ὁ διαφωτισμός, δυσὶ λύσεσιν ὡς οἷα καὶ λυχνίαις καταλάμπων τὴν τοῦ ἀποροῦντος λογισμοῦ σκότωσιν, ὧν λύσεων ἡ μὲν ἐπιφαίνεται, ἡ δὲ καί τι βάθους ἔχει.*

11. *Καὶ ἡ μὲν ἀβαθὴς εἴη ἂν τοιαύτη· πολλάκις ὦ θεέ, ὕμνους ᾄδων σοι παραμιγνύω καὶ ἁμαρτίαν, ἐκεῖνο μὲν ὀρθῶς ποιῶν, τοῦτο δὲ πλημμελῶς. Χρὴ γοῦν, ὥσπερ τὸ πρῶτον διώρθωται, οὕτω κατορθωθῆναι καὶ τὸ δεύτερον, ἵνα μὴ θάτερον μὲν ἀσκαμβεύτως ἔχῃ, τὸ δὲ λοιπὸν ὑποσκάζῃ φαύλως· ἀλλ' ἑκάτερα εἶεν διωρθωμένα τῇ σῇ χάριτι, ἀνισασθέντα τὸ ἑτεροῤῥεπὲς ὑπὸ τοῦ σοῦ καλοῦ ζυγοστάτου. Τοιοῦτον τὸ ἓν θεράπευμα τῆς ἀπορίας τὸ ἀβαθέστερον, οὐκ ἂν δέ τις, οἶμαι, εἴποι, ὡς ἀμαθέστερον· τὸ δὲ ἕτερον ἔχει οὕτως. Ἔστιν ἐνίοτε λαλεῖν ἡμᾶς, καὶ μὴ εἰδέναι, τί λαλοῦμεν· ὥσπερ καὶ ἀναγινώσκειν μέν, μὴ εἰδέναι δέ, ἅπερ ἀναγινώσκομεν. Καὶ οὐ λέγω, κατὰ ἄγνοιαν, ἀλλὰ παρὰ τὸ μὴ ἔχειν τὸν νοῦν πρὸς τοῖς ἢ λαλουμένοις ἢ ἀνα || γινωσκομένοις·* **Ms. fol. 41. b.** *ὅτε καὶ ψιττακίζειν δοκοῦμεν, ἢ κατὰ κίσσας φθέγγεσθαι, ἢ καὶ κατὰ ὄνον ἐκείνην τὴν γραφικήν, τάχα δὲ καὶ ὡς ἐν ὀνείροις λαλεῖν, μενοῦνγε παραλαλεῖν, μήποτε δὲ ξένῃ γλώσσῃ βατταρίζειν κατὰ τοὺς μέθῃ κατόχους, οἳ πολλὰ νοὸς δίχα λαλοῦσι, βραχύ τι μαινομένων αὐτοὶ ἐλαττούμενοι. Οὐκοῦν καὶ ὁ ὑμνῳδῶν μὲν ῥεμβόμενος πρὸς ἄλλα, καὶ ταῦτα οὐ βιωτικά, οἷς διὰ τὸ ἐν αὐτοῖς ἄτοπον οὐ χαίρει θεός, ἁμαρτάνει, ψευδόμενος τὸ τοῦ θεοῦ σέβας, καὶ τὴν εἰς ἐκεῖνον κατὰ νοῦν ἀνάτασιν κοριζόμενος· καὶ τοίνυν οὐ κατορθοῖ ἐκεῖνος τὸ ᾆσμα, καὶ δι' αὐτὸ δέεται διορθώσεως καὶ αὐτός, καθὰ καὶ ὁ ἁπλῶς ἐφαμάρτως ἐνεργῶν. Ὡς γὰρ ὁ τοιοῦτος οὐκ ἔστι πρὸς τῷ ἀγαθῷ, ἡνίκα ἐνεργεῖ τὴν ἁμαρτίαν,*

καὶ ταῦτα θεὸν ἴσως καὶ εἰδὼς καὶ ὀρθῶς εἰδώς· οὕτως οὐδὲ ὁ ὑμνῶν μέν, μὴ ἀνατείνων δὲ ἑαυτὸν εἰς τὸν ὑμνούμενον κύριον· ὃς δὴ ἄνθρωπος διὰ τοῦτο καὶ εἰς κενὸν κατὰ τὴν εὐαγγελικὴν γνώμην κράζων τὸ κύριε, κύριε, εἰκότως λογίζεται οὐδὲ ὡς θηρίου σκύμνος ὠρυόμενος καὶ ζητῶν τροφὴν ἑαυτῷ, ἀλλὰ μᾶλλον ὡς εἰς χαλκὸν ἠχοῦντα, ἢ κύμβαλον ἀλαλάζον, ἢ κρόταλον εἰκῇ ψοφοῦν.

12. Διὸ καὶ ἑκάτερον εὐκταῖον τῷ τοιούτῳ διορθωθῆναι ἀνδρί, τήν τε ἀτοπίαν τῶν πονηρῶν λογισμῶν, καὶ τὴν ἀναμεμιγμένην αὐτοῖς ὑμνῳδίαν, καὶ οὕτως ἀχρειουμένην. Ἐξωθῶν γὰρ οὐχ ὥσπερ ἧλος ἧλον, τοῦτο δὴ τὸ παροιμιῶδες, ἀλλ' ὥσπερ ἁγιωσύνην ἁμαρτία, οὕτω καὶ πονηροὶ διαλογισμοὶ ἐντελεῖς ὑμνῳδίας, τὰς ἐξ ὅλης διανοίας, καὶ ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ψυχῆς. Καὶ δῆλον αὐτό, οἷς πολλάκις οὕτως ὑμνοῦντες, οὐδὲ μεμνήμεθα, εἴτε ψάλλομεν. Ἔνθα πῶς ἂν ψάλλοι τις ἐξ ὅλης ψυχῆς, ὅπου πᾶσαν αὐτὴν ἀπήγαγεν ἐκ θεοῦ, οὐδ' ἄχρι γοῦν, ὃ λέγεται, σημείου ἐκείνῳ κολλώμενος; Τοιαύτη τις ἔννοια ἐπιμαρτύρεται, οἶμαι, ἀκρίβειαν καὶ τραγῳδικῷ ἐκείνῳ ῥητῷ, τῷ· ἡ γλῶσσ' ὀμώμωκεν, ἡ δὲ φρὴν ἀνώμοτος. Εἰσὶ γὰρ οἱ προυλεῖς ἐν λόγοις ὄντες καὶ προπετεῖς τὴν γλῶσσαν, πριν ἢ βάψαι εἰς νοῦν καὶ ἐμβαθῦναι πράγμασιν· ἐξόμνυνται, ὡς οὕτω λαλεῖν, τὴν γλῶσσαν ἰδίᾳ τῆς φρενός. Εἶεν δ' ἂν τοιοῦτοι ὡς μάλιστα ὅρκοι, ὅσοι κατὰ ἔρωτα· διὸ οὐδὲ ἐῤῥῶσθαι παροιμιάζονται. Καὶ οἶδα μέν, ὅτι κατεγελάσθη πρὸς τῆς κωμῳδίας ἡ τραγῳδικὴ ἐκείνη γνώμη· φειδοῖ δὲ τῆς σοφίας τοῦ κερτομήσαντος ὀκνῶ τὴν ἀντίῤῥησιν, λέγω δέ, μυρίους ὅσους εἶναι λόγους, οἳ δίχα φρενῶν ἐκπέτονται, οὓς ἀφροσύνης ἂν λέγοιμεν ἔκγονα. Τοιοῦτον καὶ ἡ ὑμνῳδία, ᾗ παραμεμίγαται πονηροὶ διαλογισμοί, ἐνιαχοῦ δὲ καὶ πράξεις ἀλόγιστοι. Πρὸς τίνι γὰρ νομιστέον τηνικαῦτα εἶναι τὸν θεόν; Πρὸς τῷ λόγῳ τῆς ὑμνῳδίας, ψιλῷ κατ' αὐτὰς λέξεις; ἢ πρὸς τῷ πονηρῷ διαλογισμῷ; Ἀποδέχεται τὸ πρῶτον, ἀλλὰ τὸ δεύτερον ὑπερμισεῖ. Καλὰ τὰ τῆς γλώσσης, ἀλλ' ὁ νοῦς ἀντιφωνεῖ. Οὔπω φθάνει προσδέξασθαι τὸν ὑμνοῦντα μόνῃ γλώσσῃ θεός, καὶ ἀπωθεῖται τὸν αὐτόν, διότι τῷ κρείττονι, τῇ ψυχῇ, πονηρεύεται. Φιλεῖ τὸν μεμνημένον αὐτοῦ· ἀλλ' ὅτι οὐκ ἐκ ψυχῆς, μὴ ὅτι γε ὅλης, ἀλλ' οὐδὲ γοῦν ὅλως μέμνηται, οὐ πάνυ φιλεῖ, μήποτε δὲ καὶ βύῃ τὰ ὦτα πρὸς τὴν τοῦ ὕμνου κραυγήν, ἀφιεὶς τὸν ὑμνοῦντα τῷ θεραπευομένῳ δαίμονι.

13. Ἐφέλκῃ τὸν θεόν, ὦ ἄνθρωπε, οἷς ὑμνεῖς ἐκεῖνον· ἀλλ' οἷς διαλογίζῃ τὰ τοῦ πονηροῦ, ἀπάγεις τὸν παναγαθὸν σεαυτοῦ. Εὐλογεῖς τῷ στόματι, ἀλογίζῃ δὲ τῇ καρδίᾳ, ἐλευθεροστομῶν οἷον, καὶ οὕτως ἡμισεύων τὸ ἐν σοὶ λογικόν, οἷς ἡ μὲν σὰρξ ἐνεργεῖ, ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ. Θεραπεύεις τὸν θεόν, ἐπί τι βραχὺ ψάλλων καὶ μόνον· τῷ πλείονι δὲ ἡδύνεις τὸν ἀντικείμενον, ὃς χαίρει καταχορεύων σου, ὅτε οὕτω ψάλλεις· καί γε καλῶς. Δέον γὰρ ὂν διώκειν αὐτὸν ἐν τῷ ὀρθὰ ψάλλειν, καὶ ἐγκράζειν οὕτως αὐτῷ τὰ εἰς φόβον, σὺ δὲ ἀλλὰ παῤῥησίαν || αὐτῷ [Mo. fol. 42. a.] δίδως ἐγγίζειν πρὸς σέ, θεῷ μὲν ἀπῳδὰ ψάλλων, ἐκείνῳ δὲ φιλητά. Καὶ ἔοικας ὅμοιόν τι ποιεῖν, ὥσπερ θατέρᾳ μὲν χειρὶ χορδὰς ἐπέρχῃ, ψηλαφῶν αὐτὰς εἰς κροῦμα ἔμμουσον, τῇ δὲ λοιπῇ κατακροτεῖς ὄστρακα, καὶ οὕτω λυπεῖς τὸν ἀκροώμενον. Οὕτω γάρ τοι καὶ τὸν θεὸν βραχύ τι εὐφραίνων, οἷς ἐπιβάλλεις αὐτὸν ὑμνεῖν, εἶτα παροργίζεις, οἷς θορυβεῖς, ἄτοπα διαλογιζόμενος.

14. Γένοιτο οὖν καὶ σοί, καὶ ἡμῖν δὲ ἅπασιν, ὦ ἀδελφέ, διορθωθῆναι τὰ τοιαῦτα ἑκάτερα, καὶ οὕτως ἀθορύβητα μέλπειν, καὶ θεῷ φίλα καὶ πονηροῖς διαλογισμοῖς ἀνεπίμικτα, ἵνα καὶ ἡ γλῶσσα καὶ ὁ νοῦς συμφωνοῖεν ἐς θεῖον ψαλτήριον, ῥυθμιζόμενα ὑπ' αὐτοῦ τοῦ διορθωτοῦ τῶν ἡμετέρων θεοῦ· ὡς, εἴ γε μὴ αὐτὸς ἐκεῖνος ἐφίσταιτο, καὶ θύραν περιοχῆς καὶ φυλακὴν παντοίαν εὐδοκεῖ τεθεῖσθαι, πρῶτα μὲν τῷ τοῦ ἐντὸς ἀνθρώπου στόματι καὶ τοῖς αὐτοῦ χείλεσιν, εἶτα καὶ τοῖς τοῦ προφαινομένου θυλάκου, τῷ ἐκτὸς δηλαδὴ στόματι καὶ τοῖς χείλεσιν, ἃ δὴ καὶ αὐτὰ οὐκ ὀλίγης δέονται καὶ φυλακῆς καὶ περιοχῆς, οὐκ ἔστιν ἡμῖν ἐντελὴς οὐδὲ ἡ κατὰ βίον ὑμνῳδικὴ διόρθωσις, καὶ ἡ δι' αὐτῆς πρὸς θεὸν ἄρσις. Χρὴ γὰρ ἡμᾶς ἀεὶ δεδιέναι, μή, τοῦ ἔνδον στόματος καὶ τῶν κατ' αὐτὸ χειλέων ἀφυλάκτως ἀνοιγομένων, συνεισέρχωνται τοῖς ἀγαθοῖς ᾄσμασι καί τινα φαῦλα, ὁποῖα πολλὰ ἐμάθομεν, ὅτε μὴ ταῖς ψαλμῳδίαις ὀρθὸς ἐπιστατεῖ λογισμός· καθά που καὶ ἐν ἀσυντηρήτοις μάνδραις ἀνεῳγυίαις. οὐδὲν κωλύει καὶ λύκον ἔστιν οὗ τῇ τῶν θρεμμάτων ἀγέλῃ συνεισπηδῆν, καὶ λυμαίνεσθαι τὰ ἐντός· οὕτω δὲ καὶ πύλαις πόλεων, ὅσαι μὴ φυλάττονται πρὸς ἀκρίβειαν, συνεισέρχεσθαι τοῖς πολίταις καὶ οὓς ἡ ὀρθὴ πολιτεία μισεῖ.

15. Εὐχοίμεθα οὖν ψάλλειν καὶ στόματι καὶ ψυχῇ, καὶ αὐλοὶ οὕτως εἶναι θείου πληρούμενοι πνεύματος καὶ γέμοντες οὕτω θεοῦ, οἷς αὐτῷ μέλπομεν ὁλομελῶς τε καὶ ἐντελῶς, ἔχοιμεν ἐντροπήν, τῇ γλώσσῃ μὲν ἐγρηγορέναι, ὑπνοῦν δὲ τῷ λογισμῷ· καὶ ζῆν μὲν τῷ στόματι, τῷ δὲ λοιπῷ τοῦ κατ' ἄνθρωπον θνήσκειν. Εὐλογεῖ τὴν γλῶσσαν ὁ θεὸς ὑμνῳδοῦσαν· τί δὲ ἡμῖν ἐντεῦθεν ὄφελος, εἰ μὴ καὶ τὴν ψυχήν; Μὴ παρέχοιμεν

τοῖς ἀντικειμένοις γελᾷν καθ' ἡμῶν, οἳ καὶ αὐτοὶ θεοῦ υἱόν, τὸν σωτῆρα Χριστόν, κεκραγότες, ὅμως οὐ πρὸς αὐτοῦ ἦσαν. Μὴ ἐφιέντες τῇ γλώσσῃ λαλεῖν, αὐτοὶ ἀλλαχοῦ ῥεμβοίμεθα, καθάπερ εἰ καὶ ὕδατος ὀχετόν τις κινήσας, εἰς ὁδὸν ῥέειν, εἶτα ἐκεῖνος ἀποσταίη, ἑτέρωθεν πλανᾶσθαι τὸ ὕδωρ ἀφείς, ὅποι τύχοι. Οὐδὲ δεσπότης ἐπαινεῖται, αὐτὸς μὲν κατακοιμηθείς, ἀγρυπνεῖν δὲ μάτην οὕτω τὸν δοῦλον ἀφείς. Ἡ γὰρ οὐ δεσπότης μὲν ὁ ἐν ἡμῖν κοιμώμενος νοῦς, δουλεύει δὲ εἰς οὐδὲν δέον ἡ ἐν ψαλμοῖς λάλος γλῶσσα; Κάλλιόν ἐστιν, ὦ οὗτοι, ἐὰν οὕτω τῇ γλώσσῃ μόνῃ ψάλλωμεν, ἀποδημοῦντος τοῦ κορυφαίου λογισμοῦ, σαμβύκαις ψάλλειν καταμόνας, καὶ θαμβουρίοις, καὶ αὐλοῖς, καὶ λύραις, καὶ ὅσοις μουσικοῖς ὀργάνοις ὕμνουν οἱ παλαιοί. Διὰ τί δὴ κάλλιον; Ὅτι δὴ νοῦς ἐκείνοις ἐπιστατεῖ ἔντεχνος, ὁ κατ' ἐπιστήμην, καὶ ῥυθμίζει πρὸς τὸν σκοπόν· γλῶσσα δὲ ψαλμῳδός, ἧς ἀπάγει τὸν λογισμὸν ἡ τῶν ἐνθυμήσεων ἀτοπία, νοῦν οὐκ ἔχει οὔτε συνᾴδοντα, οὔτε μὴν ἐμμελῶς ῥυθμίζοντα.

16. Ἐπὶ πᾶσι τούτοις εἶεν διὰ ζήλου ἡμῖν καὶ μιμήσεως τῶν ἐχεφρόνων παίδων οἱ τὰ σπουδαιότερα τῶν μαθημάτων ἀποστηθίζοντες, οἷς πάνυ τι μέμηλε τὰ ἐξαγγελλόμενα. Ἔχουσι γὰρ τὸν νοῦν ὅλον πρός τε τῷ διδασκάλῳ καὶ πρὸς οἷς ἐξαγγέλλουσιν. Ὃ πάντως ποιητέον καὶ ἡμᾶς ἐν τῷ προσπηγνύειν τὸν νοῦν καὶ τοῖς ψαλλομένοις καὶ τῷ παμμεγίστῳ διδασκάλῳ ἡμῶν, ᾧ ψάλλομεν, ἵνα οὕτω μακαρίσῃ ψάλλοντας ἡμᾶς ὁμοίως τοῖς ἀναγεγραμμένοις παιδίοις, καὶ στραφῆναι ἡμᾶς εἰς ἐκεῖνα τοῦτό γε, εἴπῃ, καὶ εἰς κληρονόμους τῆς κατ' αὐτὸν βασιλείας ἐγγράφηται, καὶ οἷα καὶ υἱοὺς αὐτοῦ.

17. Εἰ δὲ καὶ θεὸν ὑμνοῦντες, ἢ τῶν τινας θεραπόντων θεοῦ αὐτοῖς, ἐκείνοις παρεστάναι || Ms. fol. 42. b δοξαζόμεθα, καὶ κατ' ὄψιν λαλεῖν, τί μὴ τὸν νοῦν ὅλον ἐκ τῆς ἔξω τύρβης τηνικαῦτα μετακαλούμενοι, καὶ εἰς ἓν συναγείροντες, νόες αὐτόχρημα γινόμεθα, συνόντες τοῖς ὑμνουμένοις, καὶ κολλῶντες αὐτοῖς τὰς ψυχάς, καὶ οὕτω μηδενὸς τῶν βιωτικῶν ἐμπαζόμενοι, μὴ ὅτι γε τῶν ἀτόπων, ἀλλ' οὐδὲ τῶν διὰ σπουδῆς ἁπάσης; Κακομήχανος γὰρ ἡμῖν ἐχθρὸς ἐγκάθηται, σοφιζόμενος, μὴ μόνον λογισμοῖς ἀτόποις ἀποβουκολεῖν ἡμᾶς τοῦ θεοῦ, ἀλλά που καὶ ταῖς χρηστοτέραις τῶν ἐννοιῶν, ἵνα μόνον ὁπωσοῦν τὴν ἱκεσίαν ἡμῶν ἐγκόψῃ, καὶ μεθοδεύσῃ, ἄλλα μὲν ἡμᾶς λαλεῖν, ἑτεροίοις δὲ τὸ νοερὸν τῆς ψυχῆς εὐκαίρως ἀκαίρως ἐνασχολεῖν. Ἡμεῖς δὲ ἀλλὰ καὶ ὕμνους ᾄδοντες, καὶ ἄλλως δὲ τῷ θεῷ καὶ τοῖς αὐτοῦ ἐντυγχάνοντες, τοξεύοιμεν κατὰ σκοποῦ ἑνός, τοῦ εἰδέναι, ἅ τε λαλοῦμεν, καὶ οἷς λαλοῦμεν, ἵνα τὸν δεινὸν ἀντίπαλον οὕτω κατατοξεύοιμεν, εὐστοχοῦντες τῆς ἄνω κλήσεως.

18. Ἐνθυμώμεθα δὲ καί, ὡς, εἰ βασιλεῖ ὁμιλοῦντες οὐκ ἔσθ' ᾧ τινι τῶν ἔξω περιελκόμεθα, οὐδὲ ἄλλα μὲν λαλοῦμεν, εἰς ἄλλα δὲ τὸν νοῦν παραπέμπομεν, τῷ παντὶ πλέον ἐν ταῖς θειοτάταις ὁμιλίαις τοιᾶσδε στοχαστέον προσοχῆς καὶ συμφωνίας καὶ εἰς ἓν συννεύσεως τῆς τε γλώσσης καὶ τῆς ψυχῆς. Ταῦτα, ὦ φίλοι ἀκροαταί, ἀρέσκοντα μὲν ὑμῖν συναρέσκουσι καὶ ἐμοί· εἰ δὲ ἀντιφωνεῖτε, ζητητέον ἄλλοθεν λύσεις κρείττονας. Εὑρήσετε δὲ πάντως, θεοῦ διδόντος, τοῦ ὑπεσχημένου εὑρίσκεσθαι τοῖς ζητοῦσι, καὶ ἀνοίγεσθαι τοῖς κρούουσιν.

Τοῦ αὐτοῦ ἔτι ἐν διακόνοις ὄντος πρόλογος τῶν Πινδαρικῶν παρεκβολῶν.

1. Ἅπαντι μὲν ποιητῇ μέμηλε τοῦ ᾄδειν, ὡς οἵ τε πρὸ Ὁμήρου ἱστοροῦνται ποιεῖν διὰ μουσῶν μέσων, καὶ εἴ τι κατ' ἐκείνας ἄλλο δαιμόνιον φῦλον πρὸς μέλος ἁρμόττεται. Καὶ αὐτὸς δὲ ὁ κορυφαῖος ἐν ἐκείνοις Ὅμηρος καὶ τὸ τοιοῦτον ᾄδειν, εἴτ' οὖν ὁ μεμελισμένος λόγος, ὃ δὴ καὶ ᾠδῆς ἐστιν ὅρος, παρήγαγεν, ἃς οἷα καί τις πρωτοτυπία, τοὺς ῥαψῳδούς, τοὺς στιχῳδούς, τοὺς ἀρνῳδούς, τοὺς κιθαρῳδούς, καὶ ὅσοι ἕτεροι τοιαύταις ἐναγλαΐζονται κλήσεσιν. Ὅπως δὲ ᾄδοντες ἦσαν ὡς ἕκαστοι, καὶ καθ' οἵας ἁρμονίας, ὧν προεῖχον τέσσαρες αὗται μάλιστα, ἡ κατὰ Ἴωνας, ἡ τῶν Δωριέων, ἡ Αἰολικὴ καὶ ἡ Λυδιστὶ (τὰς γὰρ ἀπ' αὐτῶν μίξεις, καὶ τῆς ἀρχαίας ἐν ἁρμονίαις ὁδοῦ ἀποπλανήσεις, καὶ ὅσαι δὲ ἀπὸ βαρβάρων ὡς εἰς κληρονομίαν παρενεγράφησαν τοῖς Ἕλλησιν, οὐ πάνυ τι ἐφίλουν οἱ εὐγενεῖς ᾄδειν), θεωροῦσιν ἐν τοῖς παλαιοῖς ἄνδρες πολλοί τε καὶ σοφοί, οὓς εἴ τις αἱροῖτο, ἐπερχέσθω τοῦ ψιλῶς εἰδέναι χάριν· ἐπιστήμην γὰρ ἐκεῖθεν ἀναλαβέσθαι πρὸς ἀκρίβειαν, οὐκ ἄν, οἶμαι, ῥᾴδιον εἴη (ὀκνῶ γὰρ εἰπεῖν, ὡς καὶ ἀδυνάτου ἐγγύς) τοῖς καὶ αὐτὰ τὰ δάκτυλα πρὸς ἐμμελῆ κίνησιν ἀρρύθμοις, καὶ οὐδὲ οἵοις τε οὖσι μουσικῆς κρατῆσαι τέχνης ὡς ἐξ ὑπαρχῆς, εἰ καὶ αὐτοὶ ἀνατετάμενοι, πρὸς ὄγκον ἢ κόμπον, μὴ μόνον κατὰ περιγείους μουσικῆς νόμους, ἀλλὰ καὶ κατὰ οὐρανίαν ἐμμέλειαν ᾄδειν ἂν τερθρεύοιντο, ὁποίαν τινὰ ὁ τὴν σοφίαν αἰθέριος Πυθαγόρας εἰς γῆν ἐκεῖθεν καταγαγεῖν, ἐσεμνύνατο, καὶ πρὸς αὐτὴν τὰ πλῆκτρα χειρίζεσθαι. Οὔκουν ἐν τοῖς

νῦν ἐπιστήμην ἐστὶν ἀναλαβέσθαι παλαιτάτην ᾠδικήν· ταὐτὸν γὰρ ἄρτι ἐνευστοχῆσαι τοῖς παλαιοῖς μεθοδευταῖς τῆς ᾠδῆς, ἔν γε τοῖς κρυφιωδεστέροις, καὶ αὐτόν τινα μελικὴν ἐκκαινῆς γλαφυρὰν ἐπιστήμην ἐξευρεῖν. Τὸ γὰρ ἀτριβὲς καὶ ἐκ μακροῦ ἀδιασάφητον καὶ σεσιγημένον τῶν μεθόδων, ὅθεν ἡ τέχνη κατέδυ ὡς οἷα καὶ τεθνηκυῖα, εἰς ταὐτὸν ἤγαγεν ἐν τοῖς καθ' ἡμᾶς τό τε ἐξευρεῖν ἀρχαιοπρεπεῖς ᾠδάς, καὶ τὸ συνιέναι, ὧν ἐπ' αὐταῖς βαθέα τεχνολογοῦσιν οἱ παλαιοί. Ἀλλ' οὕτω μὲν ποιητὴς ἅπας ᾠδικὸς κατὰ μέθοδον, ἣν εἴτε αὐτὸς ἐξευρὼν διωργάνωσεν, εἴτε καὶ ἑτέρωθεν παρειληφὼς ἠκριβώσατο.

2. Ἡ δὲ λυρικὴ διαχείρισις, ἐν ᾗ προλάμπει ὁ κατὰ τοὺς σεμνολογοῦντας μεγαλοφωνότατος Πίνδαρος, ἐξαίρετόν || (Ms. fol. 42. a.) τινα ἑτεροιότητα ᾠδικὴν ἔχει παρά γε τὰς παλαιάς, οὐ ποικίλως ἐγκροαίνουσα, καθὰ τρέχοι ἂν Ὅμηρος καὶ οἱ κατ' αὐτόν, ἀλλ' ὁδὸν ἁπλουστέραν ἑλομένη τινὰ καὶ ὀλιγοσχιδῆ, καὶ οὐδὲ ὡραϊζομένη πανηγυρικῶς, οἷς ποικιλείμων πρόεισι καὶ τανύπεπλος, ἄλλως δέ πως καινοφανέστερον σφιγκτὸν ἑαυτῇ πέπλον σεμνὸν καὶ οὐδὲ εὐπάρυφον ἐκφανῶς ἐξυφαίνουσά τε καὶ ῥάπτουσα, καὶ οὔτε τὸν αὐτῆς ἀνδρῶνα εἰς πολυκλίνους τόπους εὐρύνουσα, οὐδὲ μήν, εἴ τις παρ' αὐτῇ σεμνὴ γυναικωνῖτις, εἰς θαλάμους οὐδ' αὐτὴν διϊστῶσα, οἳ λίαν προσήκοιεν ἂν προσώποις γυναικικοῖς εἰς κόσμον διαπρεπῶς. Μισθοῦ γάρ τινος οἱ λυρῳδοὶ χοραυλοῦντες, καὶ ἀπολαμβάνοντες πρόσωπα, ἐν οἷς δώρων ἁλίσκονται, λαλοῦσι γλίσχρως μέν τοι πρὸς λῆψιν, καὶ τὰς γλώσσας ὡς οἷον ἐκδήσαντες τῶν τοιούτων, πονοῦνται πρὸς αὐτοῖς καὶ μόνοις· ὅθεν οὐκ ἔχουσι πολυειδῆ θαμὰ τροπῶν ῥητορείαν κατὰ τὸν πολύφωνον Ὅμηρον· ἀλλὰ κατὰ μισθωτούς τινας ἑνί τινι προσανέχουσιν ὡς τὰ πολλὰ προσώπῳ, καὶ ὡς πρὸς ὕδωρ αὐτὸ ᾄδοντες ταχὺ ὑποῤῥέουσι τοῖς μελίσμασι, καὶ τοῦ Ὁμηρικοῦ ὠκεανοῦ μακρὰν μένοντες, ἀγαπητόν, εἰ καὶ εἰς ἀξιόλογα λιβάδια καταστάζοιεν.

3. Αὐχοῦσι δὲ ὅμως καὶ ἐν τοῖς τοιούτοις πολὺ τὸ σεμνόν, ὅσοι τοῦ κατὰ τὴν τοιαύτην ποίησιν σκοποῦ πρὸς εὐστοχίαν κατατοξάζονται, ὧν ὑπέρκειται Πίνδαρος, πολλὰ μέν, ὥς γε αὐτὸς ἂν εἴποι, βέλεα φωνεῦντα ὑπ' ἀγκῶνος φέρων, οὐδὲν δέ τι τῶν τόσων βελῶν εἰς μάτην ἐπαφιείς, βαθὺς τὰς μεθόδους τῶν ῥητορειῶν, πόριμος ἐμπλατύνεσθαί τε καιρίως οἷς φράζει, καὶ αὖθις ἀποστενοῦν, τὸ σῶμα τοῦ λόγου ἰσχαίνων, ὅποι δέον ἐστί, καὶ τοῦτο πολυειδῶς, οἷον ποτὲ μὲν παρεκβαίνων, ἔνθα προγόνων ἄλση χώραν αὐτῷ ὑφαπλοῖ, περιϊέναι τὰ ἐκεῖσε κατ' ἀρετὴν κάρπιμα, ποτὲ δὲ στενολεσχῶν, ἔνθα ψίλωσιν εὑρίσκοι ἐν τοῖς ἐπαινουμένοις τοῦ ἀνθολογεῖν τὰ χρηστότερα· ποιῶν δέ φασι ταῦτα καὶ ἄλλοις, τὸ μὲν μῆκος τοῦ λόγου διὰ βαρεῖαν ὁλκὴν δωρεᾶς (οὐδὲ γὰρ ἐλύριζεν οὐδ' αὐτὸς ἀδώρητα), τὸ δὲ ὀλιγόμηκες διὰ βραχύτητα δόσεως, οἷα συμμετρῶν τοὺς λόγους οἷς ἐλάμβανε, καί, ὡς εἰπεῖν, πρὸς χεῖρας δωροφόρους λαλῶν, καὶ αὐταῖς τὸ σῶμα παρεξισῶν.

4. Ἔστι δὲ αὐτοῦ θαυμάζειν ὥσπερ τὰ βραχυλογικά, οὕτω καὶ τὰ τοῦ πλατυσμοῦ, καθ' ὃν εὐφυῶν μὲν ἐπαίνοις, ὅποι ἐγχωρεῖ, πλατὺς ῥέει· δυσπορίστως δὲ ἔχων ἐγκωμιάζειν, ἢ ἐπιτέμνει τὸν ἐπίνικον, σχάσας τὸ γραφεῖον, ὡς οἷα μηδὲ βάπτειν ἔχων αὐτὸ εἰς ἀντίχαριν χρυσοῦ ἤ τινος δωρεᾶς· ἢ ἀλλὰ παρεκβαίνει τὰ πολλὰ εἰς μακρόν, ὡς εἶναι ἔστιν οὗ τὴν παρέκβασιν, τὸ πάρεργον τοῦ ἔργου τῆς ᾠδῆς, μείζονα, καὶ προκοιλιοῦσθαι τὸ σῶμα τοῦ μέλους τῇ παρεκβάσει δίκην προγάστορος. Καὶ ἔστιν οὐδὲ τοῦτο ἁμάρτημα γραφῆς τῷ Πινδάρῳ, ἀλλὰ τέχνης μέθοδος παρεκβατική, χαρτὰ ποιούσης αὐτῷ, καὶ τὸ τοῦ λόγου ὅρμα ἐλαυνούσης μακροτέραν πρὸς ἔνδειξιν πολυμαθείας τε καὶ ἰσχύος γραφικῆς.

5. Διττῆς δὲ οὔσης τῆς παρεκβάσεως, καὶ τῆς μὲν ἀπηρτημένης πάντῃ καὶ ἀσυμφυοῦς πρὸς τὰ τοῦ νικητοῦ, τῆς δὲ κολλωμένης εἰς τὰ αὐτοῦ καὶ συμβαλλομένης εἰς τὸν τοῦ νικητοῦ ἔπαινον, αὕτη μὲν ὡς μέρος ἐστὶ τῆς ᾠδῆς, ἐκείνη δὲ ἄλλως ἀποσεμνύνει τὸν νικηφόρον, ἀρκούμενον, εἰ τοὔδαφος τῆς Πινδαρικῆς ᾠδῆς συγκατακείμενον καὶ αὐτὸν ἔχει προσώποις ἡρωϊκοῖς, ἢ καὶ ἄλλως, ἐὰν θεῖος καί πως οὕτω σύνναος ὁ νικητὴς ἐν μιᾷ ᾠδῇ γίνοιτο προσώποις μεγάλοις καὶ ὑπὲρ αὐτόν, καὶ τὰ τῆς τιμῆς συμμερίζοιτο. Λογιστέον δὲ εἰς παρεκβάσεων σύναρσιν καὶ τὰς τῶν φυλῶν ἤτοι φατριῶν μνήμας καὶ τὰς περὶ αὐτῶν ἱστορίας, ἔτι δὲ || (Ms. fol. 42. b.) καὶ τὰς τοπογραφίας, εἴ που καὶ αὐταὶ παραπέσαιεν, καὶ τὰ ἐκ μύθων δὲ καὶ ἱστοριῶν παραδείγματα, δι' ὧν ἡ παρεκβατικὴ μέθοδος τῷ Πινδάρῳ ἐξανύεται.

6. Δῆλον δέ, ὡς καὶ ἀσάφειαν ἐπιτηδεύεται ἐν πολλοῖς· καὶ οὕτω πλουτῶν ἐν τῷ γράφειν, ὅμως καὶ ταυτολογεῖ νόμῳ ῥητορικῷ, ποτὲ μὲν ἐν τοῖς ἔγγιστα, ποτὲ δὲ ποῤῥώτερον.

7. Κατείληπται δέ ἄριστα γνωμολογῶν, τὰ μὲν καὶ ἐκ παλαιτέρων παραποιῶν, τὰ δὲ καὶ αὐτὸς ἀποφαινόμενος. Φιλοτιμεῖται δὲ καὶ μύθοις καὶ ἱστορίαις, ἐκεῖνο μὲν ποιητικώτερον, τοῦτο δὲ πρὸς ἀλήθειαν, ἧς ἐφίενται οἱ σοφοί.

8. Καὶ μὴν εἰ καὶ δωρίζει, οὐχ ἥκιστα δὲ καὶ αἰολίζει, ὅμως οὐδὲ τῶν ἄλλων διαλέκτων ἀπέχεται λόγῳ κοινῆς, καθάπερ οὐδὲ γλωσσῶν τῶν ἰδίως. Ποιεῖ

δὲ αὐτό, μετεωριζόμενος εἰς πολυειδὲς μέγεθος λυρικῷ χαρακτῆρι· διὸ καὶ ἀττικίζων, φιλῶν δὲ καὶ τὴν σαφήνειαν τὴν τῶν Ἑλληνικῶν λαλιῶν, οἷον ψυχήν, ἵνα μὴ ἄψυχα γράφῃ καὶ πάντῃ ἀγλευκῆ, ἀνθολογήματος τοιοῦδε γλυκέος ἀποστερῶν τὰ οἴμβλα τῆς αὐτοῦ ποιήσεως, ὅμως βραχέα τοῖς τοιούτοις ἐντρέχων, ταχὺ μεταπηδᾷ, διαλέκτοις τε φίλαις αὐτῷ ἰδιάζων τοὺς λόγους, καὶ μὴν καὶ τοὺς κοινοὺς παρεκκλίνων σχηματισμούς, δι' αὐτὸ δὲ οὐδὲ τῇ γοργοτάτῃ κατακόρως χρώμενος, καὶ μάλιστα τῇ κατὰ κόμματα, καὶ ὅσῃ δὲ περὶ λέξεις γλισχρεύεται.

9. Καὶ τὴν σκωπτικὴν δὲ φιλῶν, πολύτροπον καὶ ταύτην διαχειρίζεται γλυκασμοῦ χάριν, πῇ μὲν κατὰ ὁμοτέχνων, πῇ δὲ καὶ ἑτεροίως. Ὡς δὲ καὶ ἐπιχειρηματικός ἐστιν ὅτιμάλιστα καὶ εὔπορος ἐπὶ πᾶν, καὶ ὡς ἀπρόσιτος μὲν καὶ θύρας ἐπιτεθειμένας ἔχων τοῖς ὅ φασι βεβήλοις τὰ εἰς ἀγροικίαν, τοῖς γε μὴν συνετοῖς ἀείδων χαρίεντα, οἳ τὸ λαβυρινθῶδες τῆς ἐν αὐτῷ φράσεως καὶ τοῖς πολλοῖς ἀδιόδευτον ἀπευθύνουσι, καὶ τὰς ἕλικας περιοδεύοντες ἕως καὶ ἐνδοτάτου, εἶτ' αὖθις ἀνελίττουσι, καὶ οἴκοι κατ' ἔμφρονα νοῦν ἀποκαθίστανται· καὶ ὡς ἱλαρύνει μὲν ἀκοήν, οἷς καὶ ξυνετὰ λαλεῖ καὶ πρὸς γλύκασμα, ἐκπλήττει δ' αὖθις, οἷς καὶ τὴν φράσιν κατὰ πολυτροπίαν στρυφνοῖ ἑτέρωθι, καὶ λέξεις δὲ τὰς ἐκ τριόδων ἀποῤῥίπτων, παρεμπλέκει που καί, ἃς ὁ τὴν ἀρχὴν ἀκούσας πάνυ ἐπαπορεῖ· ἔτι δὲ καὶ ὡς τοῖς ἐπιθέτοις πάνυ ποικίλος ἐστί, καὶ ὅσα δὲ ἄλλα πρὸς ἀρετὴν ποιήσεως ἐστὶν αὐτῷ ἐπιγράψαι, ἡ τῆς ἀναγνώσεως ἐκκαλύψει διέξοδος· ἧς προληπτέον καὶ ταῦτα πάνυ ἀναγκαίως εἴς τε σαφήνειαν πλείονα τῶν προσεχῶς δεδηλωμένων, καὶ εἰς θεωρίαν ἐντελεστέραν, ἣν οὐκ ἂν ἐρεῖ τις ἀπᾴδειν πρὸς τὰ τοῦ λυρικοῦ.

10. Ὁ προκεχειρισμένος εἰς παρεκβολὴν μελικός, οὗ τὸ τῆς μεταλλείας πολύσχημον φαίνεται, πολύνους ὢν ἐφ' ἅπασιν, ἐν μὲν διηγήσεσι καὶ ἑτέραις οὐκ ὀλίγαις ἐννοίαις ἀσαφέστερον διάκειται, καὶ ὡς αὐτός πού φησιν, ἑρμηνέων ἐς τὸ πᾶν χατίζει. Πᾶν ἐκεῖνος ἐνταῦθα λέγων, οὐ τὸ ἁπλῶς καθόλου, ἀλλὰ τὸ μεθ' ὑπεξαίρεσιν τῶν συνετῶν, ὅ ἐστι συνιέντων, ὡς λογιωτέρων, ὧν περιαιρεθέντων τῆς τῶν ἀκροατῶν ὁλότητος, τὸ ἐπίλοιπον, ἀλλὰ καὶ αὐτὸ πᾶν ἐστιν ἀπέριττον μέντοι κατὰ γνῶσιν, καὶ δι' αὐτὸ ἑρμηνέων χατίζει. Καὶ οὕτω μὲν ἐν ἄλλοις ὁ Πίνδαρος ἀσαφῶς ἐθέλει γράφειν, ὡς ἑρμηνέων δεῖσθαι εἰς τὸ πᾶν, καθὰ εἴρηται. Ὅτε δὲ θαυμαστῶς γνωμολογεῖν δεήσει, καὶ ἄλλως δὲ εἰπεῖν τι ἀστεῖον, τότε δὴ βιάζεταί πως εἰς τὰ πολλὰ ἠρέμα πρὸς σαφήνειαν ἑαυτόν, ὡς ἂν τὸ καλὸν εἴη κάλλιον παρ' αὐτῷ, καὶ μὴ λανθάνοι, ἀσαφείᾳ βαθείᾳ ἐπηλυγαζόμενον, ὅσα καὶ φῶς νέφει τινί.

11. Γίνεται δὲ αὐτῷ ἡ ἀσάφεια, ἣν ἐπίτηδες πολλὴν ἐπισύρεται, ἔκ τε συντάξεων ἀσυνήθων κατ' ἰδιότητα σχήματος φίλην αὐτῷ, ἃς ἀναστρέφειν χρὴ πρὸς ὀρθότητα φράσεως, καὶ ἐκ τοῦ χρῆσθαι ἀντὶ ὅλων τοῖς μερικοῖς. Ὁ ζηλοῖ οἷς μάλιστα καὶ Λυκόφρων ἐν τοῖς ὕστερον. Παραδείγματα τοῦ μὲν Λυκοφρονείου ζήλου ἐν τοῖς || ἑξῆς μυρία Πινδαρικὰ φανεῖται, Ms. fol. 44 a.
τοῦ δὲ τάσσειν ἀσυνήθως καθ' ὑποταγὴν τῶν ὀφειλόντων προτάττεσθαι, τό· ἐνίκησαν οἵ, ἤγουν οἵτινες ἐνίκησαν· καὶ τό· ἔπαθον αἳ μεγάλα, ἤγουν αἵτινες ἔπαθον· καὶ· καμόντες οἳ πολλά, ἤγουν οἵ καμόντες· καὶ· ἐν καὶ θαλάσσῃ· καὶ· ἐν καὶ τελευτᾷ· καὶ· τελεῖν μή τινα· καὶ ὅσα τοιαῦτα.

12. Ἔτι δὲ ἀσαφὲς αὐτῷ σὺν ἄλλοις καὶ τὸ ἐν στοιβῇ ἀποφάσεων μίαν παραλείπειν, ὡς νοουμένην κατὰ κοινοῦ καὶ αὐτὴν ἐκ τῶν ἐφεξῆς ἐκπεφωνημένων, οἷον· ἄδικον, οὔτε ὑπέροπλον ὕβριν δρέπων, ἤγουν· οὔτε ἄδικον ὕβριν, οὔτε ὑπέροπλον. Καὶ πάλιν· ναυσὶ δ', οὔτε πεζὸς ἰὼν εὕροις ἐς Ὑπερβορέους ὁδόν, ἤγουν· οὔτε ναυσίν, οὔτε πεζῇ ὁδεύσοις ἂν ἐς Ὑπερβορέους. Καὶ ἑτέρωθι δέ· νόσοι, οὔτε γῆρας οὐλόμενον κέκραται γενεᾷ, ἤγουν· οὔτε νόσοι, οὔτε γῆρας. Τοῦτο δὲ τὸ σχῆμα καὶ τοῖς ὕστερον ἐζήλωται, οἷον· ξίφος, οὐδὲ πῦρ, οὐδ' αἰκισμός, ἤγουν· οὐ ξίφος, οὐ πῦρ, οὐκ αἰκίαι. Τοιοῦτόν τι καὶ τό· βαρουμένη γαστὴρ οὐ μόνον πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία. Τὸ γὰρ ἐντελές· οὐ μόνον οὐ πρὸς δρόμον ἐπιτηδεία. Ἔχοι δ' ἂν οὕτω συμβιβάσαι τις καὶ τό· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. Ἀρτήσεως γὰρ ἔνδειαν τὸ πρῶτον ἔχειν δόξοι ἂν κόμμα, νοουμένης ἀπὸ κοινοῦ ἐκ τῆς κειμένης ἐν τῷ δευτέρῳ. Πινδαρικὸν δὲ καὶ τό· Διῒ σὺν Αἰακῷ, ἤγουν σὺν Διῒ καὶ Αἰακῷ. Καὶ ἐν αὐτῷ γὰρ ἀπὸ κοινοῦ λαμβάνεται, ὡς καὶ ὀπίσω τὸ τεθὲν ἔμπροσθεν, ἤγουν ἡ σὺν πρόθεσις.

13. Ἔστι δὲ καὶ διὰ τὸ λίαν περιφραστικὸν ἀσαφὴς ὁ Πίνδαρος, ὃ τεχνᾶται δεξιώτατα, εἰς ἑαυτόν τε τοῦτο ποιῶν καὶ εἰς τὰ τῶν ἄλλων.

14. Ὅτι δὲ ὥσπερ ἡ πυκνὴ περίφρασις παρ' αὐτῷ ἀσάφειαν ποιεῖ, οὕτω καὶ ἡ συντομία, καθ' ἣν καὶ στενολεσχεῖ που ὁ ἐν πολλοῖς πλατύνεσθαι τεχνώμενος·

15. *Καὶ ἡ καινότης δὲ τῶν διαλέκτων, δι᾽ ἧς καινοφραδής ἐστι καὶ ἀλλόκοτος εἰς ἀκοήν, ἡ τοῦ βιβλίου δηλώσει ἀνάγνωσις.*

16. *Καὶ ἐπιθέτων δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διεκπέφηνεν, ὡς ὅτε δίχα μυρίων ἄλλων τὸ γενναῖον* κρατησίμαχον *λέγει, καὶ* ἵππον κρατησίποδα *τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ* χαλκόποδες ἵπποι, *καὶ τοῦ* κραταίποδες· *καὶ* πόλεμον χαλκεντέα, *καὶ* λαὸν ἱππαιχμον, *ὡς πρὸς τὸ* ἱπποκορυστήν· *καὶ* φόβον ἀνδροδάμαντα, *ὡς εἴ τις εἴποι* λαοδάμαντα· *καὶ* Δία εὐρύζυγον *ἄλλως παρὰ τὸ* ὑψίζυγον· *τὸν δ᾽ αὐτὸν καὶ* ὀρεσίκτυπον *καὶ* ἐρισφάραγον *καὶ* ὀρσινεφῆ *καὶ* αἰολοβρόντην *καὶ* φοινικοστερόπαν· *καὶ Ἀθηνᾶν δὲ* ἐγχείβρομον *καλεῖ ἐπιθετικῶς, καὶ* αἰχμὴν δαμασίμβροτον, *καὶ* ἁλιερκέα Αἴγιναν, *ὡς εἴπερ ἔφη* ἀμφίαλον· *καὶ* κρατησιβίαν *χερσὶ τὸν ῥωμαλέον, καὶ* ἁρμασιδούπους *τοὺς ἱππικωτάτους, καὶ* ἐλασίχθονα Ποσειδῶνα *τὸν ἐννοσίγαιον, καὶ* ἑλικοβλέφαρον Ἀφροδίτην, *καὶ* ζωθάλμιον Χάριν, *καθ᾽ ἣν ζῶν τις θάλλει· καὶ* ἀγῶνα *δὲ* μνησιστέφανον, *ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον* μνηστῆρα στεφάνων *εἶπεν, ὥς που καὶ αὐλητικὸν νόμον* μνηστῆρα ἀγώνων *ἔφη, ἤγουν εἰς μνήμην ἄγοντα τοὺς ἀγῶνας· καθὰ καὶ* λαὸν μνηστῆρα πολέμου *δριμέως πού φησι τὸν μεμνημένον μάχης, παρὰ τό·* μνήσασθε δὲ θούριδος ἀλκῆς. *Πολλαχοῦ δὲ καὶ δριμέως γράφει, μηδὲ μιᾶς τῶν ῥητορικῶν ἰδεῶν ἀπεχόμενος, ὡς καί, ὅτε τοὺς ἐνδόξους* εὐωνύμους *φησί, καὶ* λιτὴν *δὲ Ἠῶ τὴν εὐκταίαν, καί, ὡς ἄν τις Ὁμηρικῶς εἴποι,* πολύλιστον, *εἴτε καὶ καθ᾽ ἕτερόν τινα* τρίλιστον. *Τοιοῦτον δέ τι καὶ τὸ* στάσιν ἀντιάνειραν *φάναι, Ὁμήρου* Ἀμαζόνας ἀντιανείρας *εἰπόντος. Ὅλως δὲ καὶ ἡ φιλοτιμία τῶν καινοφώνων ἐπιθέτων ἐπιτετήδευται τῷ Πινδάρῳ, τὰ πλείω ἐκ παραποιήσεων καὶ ὁμοιώσεων παλαιῶν. Καὶ δοκεῖ ὁ ἀνὴρ κἀνταῦθα μὴ ἐθέλειν ποιηταῖς ἑτέροις φανερῶς ἐπακολουθεῖν,* Ms. fol. 44. b. *εἰ δέ που καὶ ἄλῳ ἐφεπόμενος, ἔχειν || ἐκτροπάς τινας, δι᾽ ὧν ἄλλην τινὰ τρέπεται παρὰ τὰς λεωφόρους.*

17. *Ἔστι δὲ πρὸς τούτοις καὶ ἀλληγορικὸς ὁ ἀνὰ χεῖρα μελοποιὸς καθ᾽ ἑκατέραν ἀλληγορίαν, τήν τε κατὰ ῥήτορας, ἣν καὶ Ἑρμογένης οἶδε καὶ οἱ Ὁμηρίζοντες, καὶ ἣν πραγματεύονται οἱ τὰ μυθικὰ θεραπεύοντες. Εἰ δὲ σκληρῶς ἀλληγορεῖ τὰ πλείω, ἀλλὰ καὶ οὕτως ἡδὺς δοκεῖ, ὡς καὶ ἁπλῶς λυρικός, καὶ ὡς Πίνδαρος ἰδιότητα σώζων, ἣν αὐτὸς εἵλετο, οὐκ ἐκπίπτων ἄκων εἰς ψυχρίαν, ἀλλὰ σκοπὸν αὐτὸ προθέμενος, καὶ εὐστοχῶν εἰς γραφῆς ἰδιότητα δυσμίμητον· καθ᾽ ἣν καὶ τὴν τροπὴν πάνυ φιλῶν, ἧς ἄνευ οὐκ ἂν συσταίη οὔτε λόγος ῥητορικός, οὔτε ἄλλη τις ὁμιλία, ἐπεκτείνει καὶ τὰ τῆς τροπῆς δι᾽ ἀλληγορίας, ἐχούσης τι καὶ σκληρότητος, εἰς παράσημον ἑαυτῷ καὶ τοῦτο τιθέμενος.*

18. *Ἐμμετεργάζει δὲ καὶ ἐκφράσεσι, καὶ προθεωρίαις δέ που διαφωτίζει ῥητορικῶς τὰ γραφόμενα.*

19. *Παρεκβαίνει δὲ καὶ εἰς παλαιὰς ἱστορίας, οἷα καὶ πολυΐστωρ, ἔτι δὲ καὶ εἰς μύθους τρόποις πολλοῖς, ἐνίοτε καὶ ὑπὲρ τὸ μέτριον, χρώμενος ταῖς μὲν τῶν παρεκβάσεων οὐ κατά τινα ἐκφανεστάτην συνάρτησιν, ταῖς δὲ διὰ παραδειγματικὴν ἀνάγκην, τισὶ δὲ καὶ πρὸς γνωμολογικὴν πίστωσιν, ταῖς πλείοσι δὲ δι᾽ ἐγκώμια προγόνων ἢ πατρίδος ἢ πατριᾶς τοῦ νικητοῦ.*

20. *Οὕτω δὲ στρυφνῶς φράζει ταῖς ἐννοίαις κατὰ πολύνοιαν, ὡς ἔργον εἶναι πολλαχοῦ, μιᾷ τινι σταθερῶς ἐννοίᾳ ἐνευστοχῆσαι τὸν ἀναγινώσκοντα, διὰ τὸ οὕτω καὶ οὕτω νοεῖσθαι αὐτὴν κατὰ τὰ ἐν χρησμοῖς ἀμφίβολα. Πολλὰ δὲ τῶν τοῦ Πινδάρου καὶ γνωμικῶς δοκοῦντα λέγεσθαι, ὅμως καθ᾽ ἑτεροίαν ἐπιβολὴν εἰς ἰδίαν ἔννοιαν ἕλκονται. Ἔστι δὲ δεινὸς καὶ οὐ μόνον τὸ ἓν ἐπεκτείνειν παραφράσεσι καὶ περιφράσεσι καί τισιν ἑτεροίαις μεθόδοις, ἀλλὰ καὶ τὰ πολλὰ συναιρεῖν εἰς κομιδῆ βραχύ. Ὁμήρου γοῦν* χαλκέον οὐρανὸν *φαμένου, καὶ* θεῶν ἕδος ἀσφαλές, *καὶ* χρυσέον δάπεδον, *αὐτὸς ἐπιτεμὼν ταῦτα συνεῖλεν εἰς τὸ* χαλκεόποδα θεῶν ἕδραν *τὸν οὐρανὸν φάναι. Ἔστι δὲ καὶ ἐπιτυχὴς ταῖς γνώμαις καὶ ὑψηλός, οἷα μὴ μόνον εὐφυής, ἀλλὰ καὶ μεγαλοφυής.*

21. *Αἰολίζει δὲ τὰ πολλά, εἰ καὶ μὴ ἀτριβῆ δίεισιν Αἰολίδα, καὶ κατὰ Δωριεῖς δὲ φράζει, εἰ καὶ τῆς σκληροτέρας Δωρίδος ἀπέχεται, καθ᾽ ἣν παίζει ὁ Κωμικὸς ἔν τε ἄλλοις, καὶ ἐν τῷ* Μῶα πᾶα, *ὅ ἐστι* Μοῦσα πᾶσα. *Εἰ μή τις τοιοῦτόν τι ἐρεῖ παρ᾽ αὐτῷ εἶναι τό·* ἐπιτόσσαις, *ὅ ἐστιν* ἐπιτυχών, *καὶ* τόσσαι καλῶν, *ἤγουν* ἐπιτυχεῖν, *καὶ τό·* ἀμεῦσαι, *ὅ ἐστι* παρελθεῖν *καὶ* νικῆσαι, *οἷον·* ἀμεύσεσθαι Νάξιον Τίσανδρον· *ὅθεν καὶ* ἀμευσιεπῆ φροντίδα *φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν· καὶ* ἀμευσίπορον τρίοδον, *καθ᾽ ἣν ἀμείβεται πορεία, ὡς ἄγεσθαι εἰς ταὐτὸν παρὰ τούτῳ τὸ* ἀμείβειν *καὶ τὸ* ἀμεύειν. *Εἴη δ᾽ ἂν ὁμοίως παρ᾽ αὐτῷ ἀσαφὲς καὶ τὸ* αἶτος, *ὅπερ ἐστὶν* ἐνδιαίτημα, *καὶ τὸ* πέδοικος, *ὅ ἐστι* μέτοικος, *καὶ τὸ* πέδα στόμα φλέγει, *ἀντὶ τοῦ* κατὰ στόμα, *καὶ τὸ* πεδασχεῖν, *ἤτοι* μετασχεῖν. *Τὸ μέντοι* ἐρίξαι, *ἤγουν* εἰς ἔριν κινῆσαι, *οἷον·* οὐ ψεῦδος ἐρίξω, *ἤγουν* οὐ πρὸς ψεῦδος φιλονεικήσω, *οὐχ οὕτως ἀσαφές,*

οὐδὲ τὸ τιμῇ καὶ νικῇ ἀντὶ τοῦ τιμᾷ καὶ νικᾷ (ὧν ἀπαρέμφατα εἴη ἂν τιμῇν καὶ νικῇν), οὐδὲ τὸ ὄρνιξ, ὄρνιχος, δωρισθὲν καὶ αὐτό. Ἀλλὰ ἡ αἱμακουρία καὶ τὸ ἀκασκᾶ (ὃ δηλοῖ τὸ ἡσύχως, ὅθεν ἴσως καὶ ὁ παρ' Ὁμήρῳ ἀκάκητα) κατὰ τὰ πρὸ τούτων δεδώρισται, ὡς καὶ ἡ κατὰ ἔκθλιψιν ἀσυνήθη πέροδος, ἤγουν περίοδος· καὶ ὁ κεχλαδὼς δὲ ἡ μετοχὴ δοκῶν παρακεῖσθαι τῇ χλιδῇ, καινότατα παράκειται, τά τε || Ms. fol. 45. a. ἄλλα· καὶ διότι μὴ διὰ τοῦ ῆ προάγει τὴν χλιδήν, κατὰ τὸ δᾶμος, δῆμος. Οὕτω δὲ καὶ τὸ πρὰν Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ ῆ γραφήν. Ἔτι οὐ τέτριπται εἰς κοινὴν σαφήνειαν οὐδὲ τὸ λέγειν Πινδαρικῶς ἄποινα τὴν ἀγαθὴν ἀμοιβήν, ὅ ἐστιν ἀντίχαριν ἔπαθλον. Μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ ἁρμοῖ, ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται· ὡς καὶ παρὰ Λυκόφρονι γινόμενον, ὅθεν καὶ τὸ ἀρτίως, οἷον ἐλπίσιν ἀθανάταις ἁρμοῖ φέρονται. Καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ· ὥσπερ καὶ ἡ ἔλλειψις τὸ ἆς ἀντὶ τοῦ ἕως, οὗ χρῆσις καὶ παρὰ τῷ εἰπόντι· ἆς γόνυ χλωρόν, ἤγουν ἐφ' ἧς ἡλικίας, καὶ ἕως νεάζει τις. Οὕτω δὲ καὶ παρὰ τῷ Πινδάρῳ καὶ παρ' ἄλλοις ἡ ἔλλειψις καινοποιεῖ καὶ τὸ ᾧ, ἀντὶ τοῦ καθά, οἷον ᾧ τ' ἀπὸ τόξου ἱείς, ἤγουν ᾧ τρόπῳ ἢ νόμῳ, ἵνα λέγῃ, ὅτι ὡς τοξεύων κατ' εὐθὺ λόγοις ἐπαινῶν, καὶ μὴ πλαγιάζων παρεκβάσεσιν, ἵνα ᾖ τὸ ᾧ ἀπὸ τόξου ἱεὶς ταὐτὸν τῷ ᾗ, ὅπερ ἐστὶ θηλυκῶς, ἀντὶ τοῦ καθά. Ἀσύνηθες δὲ καὶ τὸ τὴν Τροίαν Τρωΐαν Πινδαρικῶς λέγεσθαι, κατ' ἔκτασιν τῆς ἀρχούσης, καὶ τὸ ἐκεῖθεν ἐπίῤῥημα Τρωΐαθεν. Ἐπὶ πλέον δὲ ἀσύνηθες καὶ τὸ ξυνᾶνα λέγειν τὸν κοινωνόν, ὡς ἀπὸ τοῦ ξυνὸς ὁ κοινός· ἵνα εἴη, ὥσπερ ἐκ τοῦ ἄλκιμος ἀλκιμάν, ὅθεν Ἀλκμάν, οὕτω καὶ ἐκ τοῦ ξυνὸς ὁ ξυνάν. Ἄκαστον γοῦν, τὸν βασιλέα Μαγνήτων, βίου ξυνᾶνα λέγει τῇ αὐτοῦ γυναικί.

22. Συχναὶ δὲ καὶ ἀποστροφαὶ παρὰ Πινδάρῳ, ἃς καὶ Ὅμηρος ἐν Ἰλιάδι φιλεῖ· ἔτι δὲ καὶ στροφαὶ ἐννοιῶν, ὃ καὶ ποικιλίαν παραποιητικὴν ἐν αὐτῷ ἐργάζεται. Εὕρηται δὲ καὶ περιαυτολόγος ἐν πολλοῖς φιλοτιμότερον, καὶ σκωπτικὸς δὲ τῶν ἀντιτέχνων ὁμοίῳ λόγῳ, καὶ ἀμφίγλωσσος δὲ ἐν οὐκ ὀλίγοις· ὅς γε πῆ μὲν τὴν εὐφυΐαν ἐπαινεῖ καὶ τὸ αὐτομαθές, ὡς καὶ αὐτὸς πολλὰ εἰδὼς φυᾷ, πῆ δὲ τὰ κατὰ μάθησιν διδακτά. Καὶ εὐδαιμονίαν δέ που πρὸς τοὺς ἐπαινουμένους μετρῶν, ποτὲ μὲν ταύτην λέγει, ποτὲ δ' ἐκείνην· οἷον ποτὲ μὲν πλοῦτον ἢ τιμήν, ποτὲ δὲ σὺν τούτοις καί τι ἄλλο ἀγαθόν.

23. Πλουτεῖ δὲ καὶ πολὺν ὄγκον αὐτῷ ἡ φράσις, καὶ οὐδὲ λαλεῖν ἐθέλει κατὰ τοὺς πλείονας· ἀλλ' ἔστιν αὐτῷ ἐξαίρετον τὸ ἐπὶ πᾶσι ξενόφωνον, τάχα που καὶ αὐτῷ θελήσαντι πατεῖν ἑτέρων ἴχνια, μὴ καθ' ὁμά, εἴποι ἂν Καλλίμαχος.

24. Φιλοτιμεῖται δέ ποτε, καὶ τοὺς ἀλείπτας τῶν ἀθλούντων παρεντιθέναι τοῖς μέλεσι, παρέκβασιν καὶ ταύτην τεχνώμενος, ὅτε ὡς εἰκὸς καὶ ἐκεῖνοι δωροῖντό τι μνείας χάριν τῷ λυρικῷ, φιλοῦντι τὸν χρυσόν, ὡς δειχθήσεται, ἴσως δὲ καὶ πλατυσμοῦ μέλους ἕνεκεν ὃς δὴ πλατυσμὸς καὶ εἰς πατριῶν, ὡς ἐῤῥήθη, καὶ πατρίδων ἐπαίνους ἐξοκέλλειν τὸν μελοποιὸν ἐν πολλοῖς ποιεῖ, καὶ εἴς τινα ἑτεροῖα, ὧν δόξοι ἂν εἰς λίαν περιττὸν ἐκ παρέργου αὐτὸς μεμνῆσθαι τοῖς μὴ εὖ ἐπεσκεμμένοις αὐτόν· ὡς καὶ ὅτε εἰς ἡρωϊκοὺς μύθους παρεκκλίνει κατ' οὐδὲν δέον, ἐν ᾧ δὴ τόπῳ καὶ ἀσάφειαν καινὴν πολλάκις ἔχει, οἷα δυάζων τὰ ἡρωϊκὰ πρόσωπα, ὁποῖόν ἐστι καὶ τὸ ἣν ὁ δεῖνα Κυρήνης στεφάνωμα, ἣν ἥρπασεν Ἀπόλλων. Ἐνταῦθα γὰρ ἐνοπτρίζει τῇ ἐστεφανωμένῃ Κυρήνῃ πόλει τὴν ἡρπασμένην ἡρωΐδα κόρην, τὸ κύριον, ἧπερ ἡ πόλις ὁμώνυμος. Πολλαχοῦ δὲ τοιοῦτον δυαστικὸν ἐμφάντασμα ποιεῖ, ἔχον καὶ αὐτὸ ἴδιόν τι πρὸς χαρακτήρισμα.

25. Τοιοῦτος δὲ ὢν τὴν ποίησιν, ὡς ἀμυδρότατα ὑπογράψαι τὸν ἄνδρα (χρῶσαι γὰρ τὸ σκιαγράφημα τοῦτο εἰς ἐντελές, εἴη ἂν πάνυ ἐργῶδες), ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, || Ms. fol. 45 b. παρ' οἷς φέρεται, ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. Ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ, κατὰ τὸ Ἐπαμεινώνδας, Κρεώνδας· κατὰ δέ τινας Δαϊφάντου ἢ Σκοπελίνου αὐλητοῦ, καὶ Μυρτοῦς. Ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί φασιν εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα, ἤπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ τῷ περιᾳδομένῳ Λάσῳ, τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. Ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν διωνυμίας λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι. Ἄλλοι δὲ πατέρα Πινδάρου εἴτε πατρωὸν τὸν Σκοπελῖνον εἶπον γενέσθαι. Εἰσὶ δέ, οἳ καὶ οὐ Μυρτώ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην, μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Ἀβίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας.

Τέθνηκε δέ, ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. Ἔσχε δέ φασι θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, καὶ υἱὸν δὲ Διόφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἡ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι
Ἔκλαυσαν, πινυταὶ Πινδάρου θυγατέρες,
Ἀργόθεν ἦμος ἵκοντο, κομίζουσ᾽ ἔνδοθι κρωσσοῦ
Λείψαν᾽ ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

Ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ, πῶς ἐν Ἄργει θανὼν ὁ Πίνδαρος, εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἐστὶν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα, καὶ θανὼν κατ᾽ αὐτὸ τὸ Ἄργος, ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. Τῷ δὲ ῥηθέντι υἱῷ Διοφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ, ὅς φασι καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

26. Εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιούς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ἢ νεώτερος πρεσβυτέρου. Τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. Ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συῤῥακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ᾽ ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν Σικελίαν. Καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. Λέγεται γάρ, ὅτι Πίνδαρος ἐρωτηθείς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει; ἔφη, διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

27. Αἴδεται δὲ καί, ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. Διὰ δὲ τὸ θεοφιλὴς δόξαι, καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω φασὶν αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ, καὶ τὸν ἱερέα δὲ βοᾷν ἐν ταῖς θυσίαις· Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ· ἢ καὶ ἄλλως· Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. Κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεών, κηρύσσει καθ᾽ ἡμέραν· Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. Καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών·

Πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾗ πρῶτον ἐβάσθην
ἀγαπατὸς ἐν σπαργάνοις,

ὅ ἐστιν ἐλέχθην, ὡς ἀπὸ τοῦ βάζω, ἢ καὶ ἄλλως εὐάσθην, εὐφημήθην, ὡς ἀπὸ τοῦ εὐάζω. Λέγεται δὲ καί, ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου. Διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή·

Ὦ Πάν, Πάν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων
φύλαξ.

|| Τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο· Ms. fol. 46. a.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος
Ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
Μάρτυς ὁ Μαινάλιος κερόεις θεός, ὕμνον ἀείσας
Τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

Λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο νεβρείους μὲν αὐλούς, τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. Δῆλον γάρ, ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. Ἡ δὲ χέλυς, ὅ ἐστιν ἡ κιθάρα, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. Ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ᾽ ὀλίγα γεγράψεται), καθ᾽ οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. Ὁ δὲ ἑσμὸς δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. Δασύνεται γὰρ ἀπὸ τοῦ ἕζω. Κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ περὶ ζώων ἱστορίας ἀφορισμός. Τὸ δὲ κηρόδετον μέλι ἀφομοιοῦταί πως τῷ παρ᾽ Αἰσχύλῳ κηροπλάστῳ δόνακι, ὅς δηλοῖ τὸ σύριγγα. Μαινάλιος δὲ θετὸς ὁ Πὰν ὡς Ἀρκαδικός. Ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρει. Κερόεις δὲ ὁ αὐτός, ἐπεὶ κερασφόρος ἐπλάττετο, διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντός, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. Ὅτι δὲ κέρατα ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαί, δηλοῖ ὁ γράψας ὑψικέρατα πέτραν, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. Ὕμνον δὲ ἀείσας ταὐτόν ἐστι τῷ ᾄσας παιᾶνα, τόν, ὡς δεδήλωται, Πινδαρικόν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. Δόνακες δὲ νόμιοι, τουτέστι φίλοι τοῖς νέμουσι· καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμούς, ἃ τῷ Πανὶ παντὶ φίλα εἰσί. Καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. Λέγεται δὲ καί, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, εἰ μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. Ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· Πότνια θεσμοφόρε· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ

φασι καὶ Ἴστρος ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ, καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα, κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτόν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. Καὶ οὕτως οἰωνισάμενος, ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους, ἢ Ἀπολλοδώρου, ὅν φασι καὶ προϊστάμενον κυκλίων χορῶν, καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ, παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστωθὲν διακοσμήσαντα περιβοηθῆναι. Τινές δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. Ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνήμη τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

28. *Ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι, κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ. Λέγεται δὲ καί, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σφῶν βασιλεύς, ἀπέσχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον* || *τό·* (Ms. fol. 46. b.) *Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. Τοῦτο δέ φασι καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. Καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας, ἐφύλαξε τὴν οἰκίαν, ἣ καὶ εἰς Πρυτανεῖον ὕστερον ἀπετελέσθη.*

29. *Φέρεται δὲ λόγος, καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος, αἰτῆσαι Πινδάρῳ, οἷα φίλῳ, τὸ ἐν ἀνθρώποις ἄριστον· καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. Τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα, ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὄν, καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶθα ἕωθεν οὐκ ἔτ' ἦσαν, ὡς θανάτῳ ἀπεληλυθότες. Καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν), ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν· αὐτοὶ δὲ προυκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. Ἀλλὰ ταῦτα μὲν οὕτω παρεῤῥίφθω, οὐδ' αὐτὰ εἰς κενόν.*

30. *Τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου, φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·*

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὖδει Θήβης
Κλειδίκη, εὐτηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ,
Γείνατο, ναιετάουσα Κυνὸς Κεφαλῆς παρὰ χώρῳ,
Οὐκ οἶον· ἅμα τῷ καὶ Ἐρίτιμον, εἰδότα θήρην,
Εἰδότα πυγμαχίην τε παλαισμοσύνην τ' ἀλεγεινήν.
Τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθονὶ κάτθετο μήτηρ,
Εἴρετι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
Χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
Τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
Ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
Τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
Ὅς ῥα οἱ κατέλεξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
Εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
Ἀλλὰ τὸ μὲν μετόπισθεν. Ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
Ἤϊα καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
Καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠΰκερως Πὰν
Πινδάρου αἰὲν ἄειδε, καὶ οὐκ ἐμέγηρεν ἀείδων.
Ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
Αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
Τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
Τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
Ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. Ἔμελψε δὲ κῦδος ἀγώνων
Τῶν πισύρων, μακάρων παιήονας † ἀναδεδεγμένος,
Καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,
Ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
Τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
Κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

31. *Οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθείς, τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφοῖς δὲ ἐρωτηθεὶς τί πάρεστι θύσων, παιᾶνα, εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. Πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί. Πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; οὐ μόνον εὖ* || *πράττοντος, ἔφη, δεῖσθαι, ἀλλὰ καὶ πράξαντος εὖ.* (Ms. fol. 47 a.) *Τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων, ᾄδειν οὐκ ἐπίσταται; καὶ γὰρ οἱ ναυπηγοί, ἔφη, πηδάλια ποιοῦντες, κυβερνᾶν οὐκ οἴδασι. Τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστήν, διὰ τί,*

δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων, αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια, ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

32. *Ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει, ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδάς, ὡς κορυφαῖον χοροῦ ἄριστον.*

33. *Εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ Κωμικῷ προςτέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.*

34. *Ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. Εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προςόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡςεὶ τετρακιςχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι, καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. Εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἀλλ' αὐτὸ παραχρήσεως εἶδος ἐστί, καθ' ἣν καὶ τὸ ὑμνεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τὸ· ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις. Δῆλον δέ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη, τουτέστιν ἰδέαι, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. Μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος, παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδός, καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. Οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει· ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. Σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. Ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ ἀναξιφόρμιγγες ὕμνοι, καὶ ἑξῆς. Εἰ δ' ἴσως ταὐτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἰδιόν τι ἀποκεκλήρωται. Ὡς δὲ λύρα εἴρηται ἢ παρὰ τὸ λύειν ἀράς, οἷς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς λύτρον καταλλακτήριον εὑρεθῆναι ὑπὸ Ἑρμοῦ, ὃς χέλυν, ὅ ἐστι λύραν, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης, δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς, οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.*

35. *Ἰστέον δὲ καί, ὅτι, τεσσάρων ὄντων περιωνύμων ἀγώνων Ἑλληνικῶν, οἳ καὶ ἱεροὶ ἐκαλοῦντο, οὓς οἱ νικῶντες ἠξιοῦντο λόγου τοῖς λυρικοῖς, πρώτους ἐξέθεντο οἱ τῷ Πινδάρῳ φίλοι πρὸς ἀνάγνωσιν τοὺς Ὀλυμπιονίκας, διὰ τὸ τοῦ Ὀλυμπικοῦ ἀγῶνος πάνυ ἔνδοξον, οὗ τὴν θέσιν σεμνολογοῦντες τῶν τινες παλαιῶν, εἰς τὰ κατὰ Πέλοπα καὶ Οἰνόμαον αὐτὴν ἀναφέρουσιν, ὡς ἐκεῖθεν χρόνου ἀρξαμένου τοῦ τῶν Ὀλυμπίων ἀγῶνος· πρὸς ὃ οἱ δυςαρεστούμενοί φασιν, ὡς αἰσχρὰν οὕτως οὖσαν τῇ αἰτίᾳ τὴν θέσιν οὐκ ἂν διεφύλαξαν οἱ ἀρχαῖοι, οὐδ' ἂν παρέμεινεν εἰς οὕτω μακρὸν ἱερὸς λεγόμενος ὁ ἀγών, ἐφ' οἷς οὐ τοιοῦτός ἐστι διὰ τὸ κατ' αἰτίαν αἶσχος, ἐφ' ᾗ τέθειται, ἥπερ ἐστὶν ἔρως Ἱπποδαμείας καὶ φόνος Οἰνομάου περίεργος. Ἕτεροι δὲ εἰς Ἡρακλῆν ἀνάγουσι τὴν τοῦ Ὀλυμπικοῦ ἀγῶνος καταβολήν, ‖ καθὰ καὶ ὁ Πίνδαρος ἐν-* Ms. fol. 47. b. *δοξότερον αὐτὸν κοσμεῖ. Ἐπεὶ γὰρ τὴν Αὐγέου κόπρον καθήρας οὐκ ἔτυχε τῶν ἐπηγγελμένων, συναγαγών φασι στρατόπεδον, τόν τε Αὐγέαν ἀπάγει τοῦ ζῆν, καὶ τὴν Ἦλιν παρίσταται, ἤγουν πορθεῖ. Καὶ πολλὰ λάφυρα περιποιησάμενος, ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασι. Καὶ τὸ ἔθος ἐκεῖθεν διέμεινεν. Οἱ δὲ μηδὲ πρὸς τοῦτο εὐαρεστούμενοί φασιν, ὡς οὐδὲ αὕτη ἔμεινεν ἂν ἡ διάθεσις, ἐπεὶ δυςχερείας πραγματικῆς ἦν ὑπόμνησις· ἀλλὰ μᾶλλον Ἴφιτός φασι καὶ Εὐρύλοχος τοὺς Κιῤῥαίους καταπολεμήσαντες λῃστάς, τὴν παράλιον τῆς Φωκίδος κατέχοντας, καὶ πολλὰ ἐξ αὐτῶν λάφυρα συναγαγόντες, ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια κατεβάλετο, τὰ Πύθια δὲ ὁ Εὐρύλοχος. Καὶ παρέμεινεν ἡ θέσις αὕτη, ὡς ἀπὸ ἐνδόξου αἰτίας ἔχουσα τὴν ἀρχήν.*

36. *Ὅτι δὲ κατὰ πενταετηρίδας ἐτελεῖτο τὰ Ὀλύμπια, διὰ τὸ πάνυ πόῤῥωθεν συλλέγεσθαι τῶν ἀθλούντων πολλούς· καὶ ὡς αἱ τοιαῦται πενταετηρίδες καὶ Ὀλυμπιάδες ἐλέγοντο ἐκ τῆς Ὀλυμπίων πανηγύρεως, ἣν ἐπὶ Ὀλυμπίῳ ἦγον Διΐ, τῷ τοῦ Ἡρακλέος πατρί· καὶ ὅτι, ὅπερ τοῖς ὕστερον πέντε ὁμοῦ ἰνδικτοι, τοῦτο ἑκάστη τῶν Ὀλυμπιάδων τοῖς πάλαι· καὶ ὅσοι δὲ ἆθλοι τὸν Ὀλυμπιακὸν συνετέλουν ἀγῶνα, δηλοῦσι μὲν καὶ οἱ παλαιοὶ σαφῶς, καὶ ἡ προκειμένη δὲ παρεκβολικὴ πραγματεία ἐκφανεῖ ἅπαν τοιοῦτον ἄξιον γνώσεως.*

37. *Νῦν δὲ ῥητέον, ὅτι τὸ λεγόμενον πένταθλον οὕτω περιγράφεται μέτρῳ ἰαμβικῷ·*

Ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος.

Καὶ ἑτέρως δὲ ἡρῴῳ μέτρῳ·

Ἅλμα ποδός, δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωή,
Καὶ δρόμος, ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τελευτή.

38. *Ἔτι ἰστέον καί, ὅτι τὸ ἐν τοῖς ἐπινίκοις Πινδαρικὸν μέτρον τριὰς ἐκαλεῖτο. Ἦν δὲ ἐν τῷ καθόλου*

τοιαύτη τριὰς ποίημα, ἐν ᾧ, καθὰ καὶ ἐν τοῖς τοῦ Κωμικοῦ δηλοῦται, ἔστι στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδός· περὶ ὧν καὶ οἱ τῆς ῥητορικῆς τέχνης ὑπομνηματισταὶ διαλαμβάνουσι σαφέστατα. Δῆλον δέ, ἔνθα εἰσὶ τὰ τρία ταῦτα, ἡ στροφὴ δηλαδή, ἡ ἀντίστροφος καὶ ὁ ἐπῳδός, ἐκεῖ καὶ χοροί εἰσι, στρεφόμενοι, καὶ ἀντιστρεφόμενοι, καὶ διὰ μέσων ἐπᾴδοντες, καὶ τὸ στάσιμον· εἴτε κύκλιοι οὗτοί εἰσιν, οὓς οἱ ᾄδοντες ᾀσματοκάμπται σκώπτονται τῷ Κωμικῷ, εἴτε καὶ ἑτεροῖοι· ὧν καὶ αὐτῶν ἴδμων πάντων ὁ Πίνδαρος, οὐδὲν δὲ ἧττον αὐτοῦ καὶ ὁ κοσμῶν αὐτὸν χοροποιὸς Αἰνέας, περὶ οὗ πρὸ βραχέων εἴρηται. Ὅτι δὲ οἱ Πινδαρικοὶ ἐπινίκιοι τῇ προσεχῶς δεδηλωμένῃ τριάδι ἐναλλάγδην συντελοῦνται κατ' ἀκολουθίαν εὐσύντακτον ἐναρμόνιον, ἣν οὐκ ἔστι παραβῆναι· καὶ οἵοις ποσὶ καὶ μέτροις ἡ τοιάδε τριὰς ἑκασταχοῦ ἀπαρτίζεται, σαφέστατα ἐκτίθενται οἱ ὑπομνηματισάμενοι, οἷς καὶ ἔστιν εὐμαθῶς ἀκολουθεῖν τοὺς περιελθόντας ἐπισκεπτικῶς τὸ τοῦ Ἡφαιστίωνος μετρικὸν ἐγχειρίδιον. Ἀλλ' ἐκεῖνα μὲν ἑτέρου ἔργου· ἐνταῦθα δὲ τὸ προκείμενον ἐπέλευσις οὐκ ἀσυνήθης, τὰ ἐκ τῶν Πινδαρικῶν ἐπινικίων συλλέγουσα χρήσιμα εἰς εἴδησιν εὔχρηστον τοῖς καὶ γράφειν καὶ ἄλλως δέ πως νοεῖν ἐθέλουσι, καὶ τοῦτο οὐ κατὰ ὑπομνηματικὴν ἐξήγησιν, ἀλλ' εἰς ὅσον ἐκ πλατυτάτου λειμῶνος ἀνθολογῆσαι, ὅσα οὐκ ἂν πατοῖτο ἢ ἄλλως ἐξαθερίζοιτο τοῖς γε φιλοκάλοις καὶ εἰδόσι τὰ τῶν Μουσῶν στεφανώματα.

Τοῦ αὐτοῦ μητροπολίτου Θεσσαλονίκης λόγος προεισόδιος τῆς ἁγίας τεσσαρακοστῆς.

1. *Εὖ* οἶδα, ὅτι ἐμπορίας χάριν πνευματικῆς, ὦ ἀδελφοί, καὶ νόμῳ τοῦ ἐντεῦθεν κατὰ θεὸν κέρδους, (Mo. fol. 48. a.) || φοιτᾶτε καὶ νῦν εἰς τὸ θεῖον τοῦτο τῆς ἀρετῆς ἐργαστήριον, ἀλλάξοντες, εἴτ' οὖν συναλλάξοντες ἀγώγιμα, ὁποῖα φιλεῖ ὁ τὰ τοῦ θεοῦ πραγματευόμενος ἄνθρωπος, οὗ καὶ μέρος καὶ ζηλωτὴς καὶ μιμητής, ῥητέον δ', ὅτι καὶ μαθητής, ἄλλως δὲ ἄρα καὶ διδάσκαλος ὁ εὐαγγελικὸς οἰκοδεσπότης, ὃς διαπωλήσας ἅπαντα, ὅσα ὑπῆρχεν αὐτῷ, τὸν πολύτιμον μαργαρίτην ἐπρίατο. Καὶ οὕτω μὲν καὶ διὰ τοῦτο ὑμεῖς ἥκετε εἰς τὸ θεῖον τοῦτο ἀνάκτορον, ληψόμενοι ἐντεῦθεν ἐξ ἡμῶν, ὡς οἷα βαρυπλούτων, τὰ ὑμῖν εἰς τὴν προκειμένην εὐσταλῶς ἐμπορίαν χρήσιμα, ἵνα διὰ τῶν τοιούτων ὡς οἷα καὶ δανεισμάτων μεθοδευθείητε εἰς τὸ ψυχικὸν ἐμπόρευμα, καὶ πλουτισθείητε τὰ φίλα καὶ τῷ θεῷ καὶ τοῖς αὐτὸν θεραπεύουσιν. Ἐγὼ δέ, εἰ καὶ μὴ τὰ θεῖα εὐπεριουσίαστος, ἀλλ' οὖν φιλοκερδὴς ὢν ἐν δέοντι, καὶ τὸ ἱερὸν τάλαντον ἀπαναινόμενος δωρεὰν καταβάλλεσθαι, ζητῶν δὲ ἀγαθοῦ τραπεζίτου δίκην αὐτὸ διαχειρίζεσθαι, καὶ τόκον αὐτοῦ ἀπολαμβάνειν ἐμοὶ ἀρέσκοντα, οἷα μὴ εὐλαβούμενος τὸν λογιστεύοντα, εἰ μὴ ἑκατοστὰς ἢ ἡμιολίας, ἀλλὰ πολλῷ πλείω τούτων ἀπαιτῶ εἰς κέρδος, οὐκ ἂν οὕτω ῥᾳδίως πεισθείην ἐκδοῦναι τὸ ζητούμενον· ἀκριβώσομαι δὲ αὐτό τε λαβεῖν, εἰ καὶ μὴ αὐτίκα, ὅμως δ' οὖν μετ' ὀλίγον, καὶ ὠφέλειάν μοι τῷ ἀρχαίῳ προσεπιδοθῆναι, ὅπερ ἐστὶ καὶ τόκος ἐπὶ τῷ κεφαλαίῳ τοῦ δανείσματος, ἐπιβαρύνων ὑμᾶς καὶ ἀνάγκῃ ἐπαχθοῦς προστίμου, εἰ μὴ οὕτω ποιήσετε. Καὶ ἔστι μοι ἐκεῖνο ἡ ἐντολή, ἣν ἐπιφορτίζονται οἱ τὰς θείας παραινέσεις τιθέμενοι παρ' οὐδέν.

2. *Εἰ* τοίνυν οὕτως ἐκουσιάζεσθε λαβεῖν, ἃ ζητεῖτε, καλῶς καὶ ἐπιτυχῶς ὑμῖν τὰ τῆς ὁδοῦ ἤνυσται· εἰ δὲ ἄλλως ὀχλήσαντες ἤλθετε τὸ πνευματικὸν ταμιεῖον, εἰς μάτην θυροκρουστεῖτε. Καὶ ἰδού, ὁ κατὰ πνεῦμα ταμιουχῶν ἐγὼ λέγω ὑμῖν, ὡς οὐκ οἶδα ὑμᾶς. Ἀλλὰ γὰρ αἰσθάνομαι ὑμῶν κατατιθεμένων, εἴπερ ἐκδανεισθῇ τὸ ὑμῖν ζητούμενον, αὐτό τε μετ' οὐ πολὺ προσενεγκεῖν τὸ κεφάλαιον ἀκριβεῖ ζυγῷ, τῷ κατὰ δικαιοσύνην, καὶ τοῦ ἐκεῖθεν καρπώματος οὐκ ὀλίγον περίσσευμα.

3. *Μήπου* δὲ καὶ πολλαπλάσιον καὶ ἐπὶ τούτοις ἀνοίγω τὸ παρ' ἐμοὶ γλωσσόκομον, καὶ προφέρω κέρματα οὔτε κίβδηλα, οὔτε εἰκόνι γεγραμμένα μὴ βασιλικῷ, καὶ εὖ δὲ κεκωδωνισμένα, καὶ λήψεσθε αὐτά, καὶ ἐμπωλῶντες κερδήσετε, οὐ τὸν ἐκ Σάρδεων, ὃ λέγεται, ἤλεκτρον, οὐδὲ τὰ Ἰνδικὰ χρυσία, οὐδ' ὅσα τῆς κάτω τύρβης, περὶ ἣν τρίβονται οἱ τῆς γῆς ἄνθρωποι, ἀλλ' αὐτὴν βασιλείαν οὐρανῶν. Ἐντίθημι δὲ ὑμῖν εἰς νοῦν καί, ὡς οὐκ ἐμὸν τὸ προβεβλημένον χρυσίον καὶ ἀργύριον, καί, ὅλως εἰπεῖν, τὸ ἐκδανειζόμενον, ἀλλ' αὐτοῦ τοῦ μεγάλου θεοῦ, ὃς τοῦ κατ' αὐτὸν θησαυροῦ ταῦτα εἶναι φησίν, ἐμόν ἐστιν, εἰπών, τὸ χρυσίον, καὶ ἐμὸν τὸ ἀργύριον, ἀκολούθως δὲ καὶ πᾶν ἄλλο σύστοιχον τούτοις. Καὶ τοῦτο ὑμῖν εἰς νοῦν θέμενος, παρακαλῶ, μὴ ψεῦσαί με τῆς ἀγαθῆς ἐλπίδος, μηδὲ ἀπατῆσαι τὸν οὕτω μεγάλα δανείζοντα, ἵνα μὴ καὶ ἐμὲ τῷ παμμεγίστῳ δεσπότῃ ἔνοχον ποιήσητε,

ὡς τὰ ἐκείνου, ὅπως ἂν καὶ τύχοι, καταπροϊέμενον, οὐδὲ ὑμεῖς ἀκατάγνωστοι μενεῖτε καὶ ἀβλαβεῖς. Πάνυ γὰρ φιλοκερδὴς ἐκεῖνος διέγνωσται, καὶ διὰ τοῦτο πανταχοῦ σπείρων καὶ εἰς πολλούς, καὶ μὴ ἐθέλων μηδὲ ψῆγμα τοῦ κατ' αὐτὸν δανείου διεκπεσεῖν εἰς κενόν, μηδὲ κεραίαν μίαν γοῦν τινα καταργηθῆναι τῶν συμφωνιῶν, ὅσαι ἀποτείνονται πρὸς αὐτὸν δανείζοντα.

4. Ὅτι γοῦν ἀρέσκεσθε κἀνταῦθα, καὶ ἀναιτίους καὶ ὑμᾶς καὶ ἐμὲ τηρῆσαι διατείνεσθε, ὅτε τὸ μέγιστον λογοθέσιον καὶ ὁ φρικτότατος ἐκλογισμὸς τῶν δεσποτικῶν διατεισμάτων γίνεται, καὶ τῆς ἐν τῷ βίῳ πραγματείας ἡμῶν καὶ πάσης ἄλλης οἰκονομίας, ἰδού, λαμβάνετε τὰ ζητούμενα. Εἰσὶ δὲ αὐτὰ βασιλικοῦ χαράγματος ἐκτυπώματα, εἰκονίζοντος οὐ θνητάς τινας κεφαλάς, ὁποίας τὰ τῶν ἐκ γῆς μετάλλων || [Ms. fol. 18 b] πλεῖω γράφουσιν, ἀλλ' αὐτοῦ θεοῦ, τοῦ πάντων ὑπερκειμένου ᾧ δὴ χαρακτῆρι προσέχοντες ἐκματτόμεθα τὸ τύπωμα, καὶ κατ' εἰκόνα τοῦ πρωτοτύπου γινόμεθα. Ἱερὰ ταῦτα καὶ χρήματα καὶ κτήματα, κοινῶς δὲ καὶ τροπῆς δίχα εἰπεῖν, πράγματα· θεῖα κειμήλια τὰ δάνεια ταῦτα. Ἐκκλησιαστικὰ νομίσματα μὲν φάναι, εἰ καὶ καλὸν εἰς ὀρθολεξίαν, ὅμως οὐ πάντη λαμπρόν. Νομοτεθήματα δὲ μᾶλλον φάναι, σαφέστερόν τε καὶ προςφυέστερον. Σωτήριοι χαρακτῆρες καὶ οὐ δήπου κατὰ τοὺς ἐπιῤῥήτους, οἷς ἐπαγγελία, θεοῦ μὲν ἀφιστᾶν, κολλᾶν δὲ τῷ δαίμονι. Τί μὴ λέγω τὸ πάντων σεμνότερον; Ὁ θεὸς ἐχάραξε ταῦτα, ὁ θεὸς ἐτυπώσατο· οὗ ἔργον καὶ πλάκες ἐκεῖναι θεόγραφοι, ἐφ' ὧν ἐστι θεωρῆσαι, ὡς, εἰ καὶ ἐν κιβωτῷ ἐδικαίωσεν ἐκείνας ἀποτεθεῖσθαι, κατὰ σύμβολον ἐκεῖνο βαθὺ τοῦ κεκρυμμένα εἶναι τότε τὰ τῆς ὕστερον θείας ἐπιφανείας, ἀλλὰ ταῦτα μὲν εἰς ἐμφανὲς προέθετο, διὰ τὸ ἀπὸ παλαιᾶς τῆς τότε σκιᾶς ὕστερον ἀναλάμψαι τὸν τῆς ἀληθείας ἥλιον.

5. Τούτου δὴ τοῦ δανείου ὅσα μὲν θεοῦ αὐτοῦ, τοῦ καὶ ἐν νόμῳ καὶ ἐν εὐαγγελίοις λαλοῦντος, καὶ ὅσα τῶν αὐτοῦ θεραπόντων, τῶν καὶ πολλῶν καὶ πολυειδῶν τὴν σοφίαν καὶ τὴν πνευματικὴν χάριν, εἰς χρυσίον θετέον εὔροιζον, ᾧ ῥύπος οὐδεὶς ἐγκαταμέμικται. Καὶ γάρ τοι καὶ οἱ τὰ γραφικὰ σκάλλοντες καὶ ἀνευρίσκοντες μέταλλα, θεῷ καθοσιοῦσι τὴν χρυσίαν μετάληψιν, διὰ τὸ κατ' αὐτὴν οὐ δεκτικὸν ἰοῦ τινος, καὶ διὰ τοῦτο φθορᾶς δυςέντευκτον· τὸν μέντοι ἄργυρον εἰς δευτερεύουσαν, θείαν μέντοι καὶ αὐτήν, ὕλην ἀπέταξαν. Ὅσα δὲ κοπῆς ἑτεροίας, ὀρθῆς μέντοι τεχνάσματα, καί, ὡς οὕτως εἰπεῖν, κέρματα, μήτε χρύσεον στιλβούσης καὶ οὔτε φλόγεον, μήτε φαινούσης πρὸς ἀργύρου λευκότητα, ἣν θεῷ ἀνατιθέαμεν, τῷ τῶν φώτων πατρί, ἀλλὰ τὰ τοιαῦτα εἰς λοιπὰ μέταλλα ἐκδεκτέον ὑμᾶς, οὐδ' αὐτὰ τῇ κατὰ θεὸν ἀσύμφορα πράγματα καὶ ἀξύμβολα, ὡς οἱ τὰ θεῖα σοφοὶ τεθεωρήκασιν, οἳ καὶ αὐτοὶ πολλὰ τῶν τοιούτων μετάλλων ἀπώναντο, ἀγαθοῖς ἐμπόροις αὐτὰ χειρίσαντες.

6. Παραλαμβάνετε δὴ μετὰ σκέψεως ἀκριβοῦς ἐπί τε δανείῳ καὶ ἐπὶ τόκῳ, τοῖς ἀνατεταγμένοις, τὰ ἐκ τοῦ θεοῦ δι' ἡμῶν τῶν αὐτοῦ γαζοφυλάκων δάνεια, καὶ ἔχετε πρῶτον ἰδοὺ τὸ τῆς ἀγάπης τάλαντον, ὃ πολλάκις ἐκδοὺς ὑμῖν οὐκ οἶδα, εἰ ἀπωνάμην αὐτοῦ, ὡς οἷα καταχωσθέντος καὶ ἀφανισθέντος καὶ οὕτω ψευσαμένου τὸ χρύσεον, ἀγάπης λέγω, τῆς ἀπραγματεύτου, τῆς ἀνυποκρίτου, τῆς ἀψευδοῦς, τῆς ἀπεριέργου, τῆς ἀπαραποιήτου, τῆς μὴ ἐν προσχήματι καὶ ἐξεπιπολῆς, ἀλλ' ἐνδομύχου καὶ ἐῤῥιζωμένης ἐν ψυχῇ, ὡς μηδὲ μίαν ἀνάγκην λαίλαπος ἔχειν κατακαυχᾶσθαι αὐτῆς, ἀνασπωμένης τοῦ ἐν ἡμῖν θείου κήπου ἀγάπης, τῆς μὴ προσώπῳ μὲν γελώσης, τῇ δὲ καρδίᾳ μελετώσης διασπᾶν τὸν φιλούμενον· ἀγάπης, ἣν ὁ θεὸς καὶ παραδίδωσι καὶ φιλεῖ, τὴν ἐξ ὅλης διανοίας καὶ καρδίας καὶ ψυχῆς, δι' ἣν καὶ τὰ τῇδε πάντα παρήγαγε, δι' ἣν ἥνωται ἡμῖν, διδάσκων οὕτω τὴν πρὸς ἀλλήλους ἕνωσιν ὡς μέρη καὶ μέλη θεοῦ ὄντας, εἰς μίαν συναρμολογούμενα συμφυΐαν τε καὶ συνάφειαν.

7. Ταύτην πραγματευσαμένοις ὑμῖν ὁ σύμπας ὅμιλος τῶν ἀρετῶν ἐφέψεται, ὡς ἄλλοτε σαφῶς ἐδείξαμεν διασκευασάμενοι. Αὕτη, ὅσα καὶ ἀρχή, ἅπασαν ἀγαθοπραξίαν ἐν ὑμῖν ἐκφανεῖ. Ταύτην ὁ ἔχων εἰς ἐντελὲς φορτηγεῖ τὰ τιμαλφέστατα. Οὐκ ἔφθη τις ἀγάπην εἰπεῖν, καὶ συνεξεφωνήθη αὐτῇ ξύμπαν καλόν. Ἀγάπης παρεισδυομένης εἰς ψυχήν, συνεισέρχεται καὶ λοιπὸς ἅπας ὅμιλος ἀρετῶν. Εἰ δὲ αὐτὴ ἐκεῖθεν ἐκκέκλεισται, δῆλον ὅτι ἔρημος ἡ ψυχὴ ἐκείνη παντὸς ἀγαθοῦ.

8. Ἕνωσις πρὸς τὸν υἱὸν ἡ ἀγάπη, ἐπεὶ καὶ τῶν αὐτοῦ ἐντολῶν ἐκπληρωτική. Εἰ γὰρ ἀγαπᾶτέ με, φησί, τὰς ἐντολὰς ἂν ἐποιεῖτε τὰς ἐμάς. Οἰκείωσίς ἐστι πρὸς τὸν πατέρα κατὰ τό· ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου. Ἀγαλλίασίς ἐστιν ἔνθεος καὶ ἀληθὴς χαρὰ κατὰ τό· εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν. Μήτηρ αὕτη ἀρετῆς ἁπάσης, ὡς ἕτερος ἡμῖν καιρὸς || [Ms. fol. 19 a] οὐκ ἠγωνίσατο εἰς ἀπόδειξιν, ἀλλὰ καὶ ἀπόνως καὶ σαφῶς καὶ ἀναντιῤῥήτως ἔδειξε. Χρυσέας ἀρετῶν ἀλύσεως κρίκος ὁ πρῶτος, βαλβὶς δρόμου τοῦ εἰς ἀρετήν, βαθμὶς προέχουσα τῆς εἰς οὐρανὸν ἀνόδου, εἰρήνης θεμέλιος, ἀταραξία ψυχῆς, πολέμων διώκτρια, καὶ τοσοῦτον, ὥστε, εἴπερ αὕτη διὰ τῆς οἰκουμένης ἐπολιτεύετο, οὐκ ἂν οὐδαμοῦ ἔρις, ἡ τοῦ πολέμου μήτηρ, ἐπαῤῥησιάζετο, ἀλλ' ἀντὶ τοῦ ἐν ὅπλοις πληθυσμοῦ

ἀρότροις ἂν ἦν ἡμῖν περιουσιάζεσθαι, καὶ οὐδ' ἂν ἐσμικρολογοῦντο οἱ χαλκεύοντες, λεπτοτομοῦντες ἐπὶ φόνοις τὸν σίδηρον. Εἶχε δὲ ἄν, ὡς οὕτω φάναι, καὶ χάριν τοῖς τέκνοις ἡ μήτηρ γῆ, ὅτι μὴ συχνὰ ἐκείνην πολυπραγμονοῦσι καὶ ἀνασχίζουσιν ἐπὶ σιδηρέοις μετάλλοις, οἷς οἱ ἐξ αὐτῆς διαφθείρονται, ἀγάπης καὶ μόνης οἱ κατὰ βίον ὀρθοὶ σκοποί, καὶ τὰ ἐπ' αὐτοῖς ἔργα, δι' ὧν συνίσταται βίος. Ποῖα δὴ ταῦτα; Ἡ κατ' ἄνθρωπον πολιτικὴ συμβίωσις, τὰ βουλευτήρια, οἱ νόμοι, τὰ παιδευτήρια, τέχνη πᾶσα καὶ ἐπιστήμη, γάμοι, ἐμπορίαι, πανηγύρεις, ὅσαι τε ἄλλως κερδῷαι, καὶ ὧν σέβας θεῖον προηγεῖται.

9. Φύσεως δῶρον ἡ ἀγάπη, καὶ ἐν αὐτῇ πρώτη μετὰ θεὸν θεωρεῖται, δι' ἧς τὰ νεογνὰ οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ζώοις τοῖς ἄλλοις περιέπονται οὕτως ἀγαπητικῶς, ὡς καὶ θάνατον αἱρετώτερον εἶναι τοῖς γειναμένοις, ἤπερ ἀποστερηθῆναι τῶν φιλτάτων. Ἰνδάλλεταί τις ἀγάπη καὶ ἐν φυτοῖς, καὶ οἴδασιν αὐτὸ οἱ τὸ ἐν φοίνιξι τοῖς φυτοῖς καθιστορήσαντες, ὡς οὕτως εἰπεῖν, ἀῤῥενόθηλυ. Ἐνθεωρεῖται καὶ τῇ κατ' ἄνθρωπον πλάσει χυμὸς φίλιος ὁ κατὰ αἷμα, οὗπερ ἀναδιδομένου φοινίσσεται τοῖς αἰδουμένοις τὸ πρόσωπον εἰς ὡραϊσμόν. Πάντως δὲ τὸ τοιοῦτον φίλιον σύστοιχον ἀγάπη ἐστί, καθὰ συστοιχοῦσι καὶ ἡ ἀγάπη καὶ τὰ φιλικά· καὶ ὅτε δὲ τῷ ὁμοίῳ χαίρειν φαμὲν τὸ ὅμοιον λόγῳ καθολικῷ, ἀγάπην οἶμαι κἀνταῦθα τινὰ ὑπολαλοῦμεν. Ἡ γὰρ οὐκ ἀγαπητὸν ἡ χαρά; Καὶ ὁ παραδοὺς δὲ τὸ πάντα τοῦ εἶναι ἐφίεσθαι, ἀγάπην τινὰ παρελάλησε διὰ τῆς ἐφέσεως.

10. Τίς οὖν οὕτω θηριώδης, ὡς τὸ πάγκοινον τοῦτο καλὸν ἑαυτοῦ ἀπάγειν, καὶ ἐθέλειν μονάζειν, εἰς ἔλεγχον τοῦ μήτε πολιτικὸς καὶ κοινωνικὸς εἶναι, καὶ οὐδὲ ἄνθρωπος; Ἡμερότητος δὲ τὸ καὶ ἀγαπᾶν, καὶ οὕτως ἀνταγαπᾶσθαι· ὅθεν φανερόν, ὡς ὁ μὴ ἀγαπῶν οὐδὲ ἥμερός ἐστιν. Εἰ δὲ μὴ τοῦτο, πῶς ἂν εἴη ἄνθρωπος ὁ κυρίως, ὅτι μὴ μόνον κατά γε σχῆμα, οὗπερ τυχεῖν κατὰ τὸν γραώδη μῦθον καὶ ἡ τοῦ γελοίου πιθήκου ἐθελήσασα φύσις, ἐξήμβλωσε τὴν ἐγχείρησιν; Συναγελαστικόν τι καὶ οἱ ἀγαπῶντες. Ὁ δὲ μὴ τοιοῦτος λέγεται μὲν παρὰ τοῖς ὀρθῶς ὀνοματοθετοῦσι μονίας· οὐκ ἂν δὲ σκώπτοιτο ἀφυῶς, ὅτι μονιός ἐστιν ἄγριος. Ἡμεροῦνται καὶ ὄφεις, καὶ ἐμφωλοῦσι πολλοὶ τοιοῦτοι ταῖς βιβλιακαῖς ἱστορίαις· οὐκ ὀλίγοι δὲ καὶ μέχρι νῦν ἐξημερούμενοι βλέπονται. Τίς ἂν οὕτως εἴη ἐξάνθρωπος, ὡς ἀγαπᾶν, εἶναι καὶ αὐτῶν ἀβέλτερος ὄφεων;

11. Ζηλωτὸν ἡ ἀγάπη καὶ αὐτοῖς ἀλιτηρίοις, ἐφ' οἷς κακουργοῦσιν· ἀγαπῶσι γοῦν ἐκεῖνοι, ὁ μὲν καταφερής, τὴν λαγνείαν, φόνον δέ, ὁ καθάπαξ φιλήσας ἀνὴρ αἱμάτων εἶναι· καὶ τὴν κλεπτικήν, ὁ περὶ αὐτὴν δεινός· καὶ ἄλλοι ἄλλα φαῦλα μυρίοι αὐτοὶ μυρία ὅσα ἐκεῖνα. Λέγω δὲ ἀγαπᾶν ἐνταῦθα οὐ τὸ κύριον, οὐ τὸ φίλον θεῷ, οὐ τὸ πρὸς ἀκρίβειαν, ἀλλὰ τὸ διάστροφον καὶ τὸ ἐναρέτῳ ἀντίστροφον. Διπλοῦν γάρ, ὥσπερ ἡ ἀγάπη, οὕτω καὶ τὸ ἀγαπᾶν. Ἀγαπᾷ τις, ὡς ὁ θεὸς ἔθετο νόμον, ὃ νῦν σὺν θεῷ ἡμεῖς διδάσκομεν· ἄλλος δέ τις ἀγαπᾷ, ὡς ὁ ἀντικείμενος ὑποτίθεται, ἀντινομοθετῶν τῷ θεῷ. Οὕτω πρὸς τοῖς εἰρημένοις ἀγαπᾷ καὶ ὁ ἁπλῶς ἀδικῶν τὴν τοιαύτην διάθεσιν. Ἦν δὲ οὐδὲ αὐτὸ κυρίως ἀγάπη· οὐ γὰρ ἂν ἐψέγετο. Ἀγαπᾷ καὶ ὁ νόμοις ἐπεμβαίνων τὴν τοιαύτην παραβασίαν. Οὐκ ἂν δὲ εἴη κυριολεκτικῶς ἀγαπῶν· ἀλλὰ μορφάζει τὸ κατὰ κακίαν εἰδεχθὲς εἰς εὐπρόσωπον, ὀνόματι σεμνῷ περιπέττων τὴν κατ' αὐτὸν μοχθηρίαν, καὶ τῷ θεῷ ἀντονομάζων, ὃς παρὰ τῷ μεγάλῳ Δαυῒδ ἀγαπᾷ μὲν τὴν δικαιοσύνην, τὴν δὲ ἀνομίαν μισεῖ, οὐ μὴν ἀγαπᾷ. Καὶ ὅμως δηλοῦσι καὶ ταῦτα, τὴν ἀγάπην εἶναι πρᾶγμα παμφίλητον, εἴγε καὶ οἱ πονηροὶ τὴν κατ' αὐτοὺς αἰδούμενοι κλῆσιν ὑποτρέχουσι τὴν ἀγάπην, καὶ πρὸς ἑαυτοὺς τάττουσιν αὐτήν, εἰ καὶ μὴ δύνανται. Γαλῆ τις ἕκαστος ἐκείνων, κροκωτὸν φοροῦσα μὴ πρέποντα· ἢ πίθηκος ὁ γελοῖος, ἐθέλων εἶναι περίβλεπτος, ὅτε τὰ ἄνθινα περιβέβληται, ἀφ' ὧν οἶμαι καὶ καλὸν αὐτὸν προςονομάζουσιν οἱ παροι||μιακῶς ὑποκοριζόμενοι.
Ms. fol. 49. b.

12. Ἔτι θείως μὲν ἀγαπῶμεν οἱ σῶα φρονοῦντες τὸν γάμον, ὃν ὁ θεὸς ἐν πρώτοις ἔφηνεν, αὐτὸς ἱερώτατον ζεῦξας, αὐτὸς εὐλογήσας· ὅτε καὶ παρέμεινεν ἐκεῖνος τῇ πρωτοπλάστῳ συζυγίᾳ μέχρι καὶ εἰς θάνατον, καὶ οὐκ ἐδυνάσθη ἀθέσμως ὁ καλὸς ἐκεῖνος συνδυασμός, ἐξ οὗ μέχρι καὶ νῦν τὸ κατ' ἀδελφότητα γνήσιον καὶ σώζεται ἐν ἡμῖν, καὶ ἐντίμους παῤῥησιάζεται. Ἄλλως δὲ ἀγαπῶσι, καὶ οὐ κατὰ τοιοῦτον γάμον, οἱ οὐκ ἔμφρονες φραγμοὺς αὐτοὶ ἀλλοτρίους ὑπερβαίνοντες, μήπου δὲ καὶ κατακλῶντες, ἢ ἄλλως βοθρεύοντες ἑαυτοῖς ὄλεθρον. Καὶ ἔστιν ἐκεῖνο μὲν τὸ ἀγαπᾶν εὐλογητόν, καὶ οὕτως ἡγιασμένον, καὶ τὸ τέλος αὐτοῦ θεῷ φίλον, καρπὸς γαστρὸς ἡδύς, γένος φωτεινόν, γόνος εὐπαῤῥησίαστος· τὸ δὲ δεύτερον, τὸ μὴ κατὰ γάμον, εἰ καὶ εἰς ὄνομα παραλαλεῖται γάμου, ἀλλ' οὖν ἑτεροίως διεκπίπτει, τοὺς νόθους προφαῖνον, καὶ τοὺς σκοτίους, καὶ τοὺς παρθενίους, καὶ τοὺς ὑποβολιμαίους, καὶ ὅσα τοιαῦτα τοῦ μὴ νομίμου γάμου ἀποτελέσματα καὶ ὀνόματα. Οὗτος ὁ γάμος ὁ ἱερός, ὁ κατὰ νόμους, ὁ πολιτικός, ὁ τῷ θεῷ φίλος.

13. Καιρὸς ἤδη πολὺς (ὑπὲρ ἐνιαυτοὺς γὰρ τούτους ἐξ θλίβει με παρανομούμενος, πῇ μὲν τὴν κατ'

ὀργήν, πῇ δὲ τὰ μετ' αὐτὸν διὰ ἀνθρώπων, οἳ ἀγαπῶντες τὸ κατ' ἄνθρωπον ἐξωτερικόν, μισοῦσι τὴν ἑαυτῶν ψυχήν, ἐξοκέλλοντες ἀποτελεσματικῶς ἢ εἰς τὴν ἀγελαίαν ἀδιάφορον μῖξιν, ἢ εἰς τὸ Πλατωνικὸν παίγνιον, οὗπερ βούλημα, κοινὰ εἶναι τὰ πάντα, ἤδη δέ που καὶ εἰς τὸ πάλαι ποτὲ Σκυθικόν· Σκύθαις γάρ φασιν οὐδὲν ἐπεχωρίαζεν ἴδιον, ὅτι μὴ ξίφος καὶ σκύφος) — οὐκ ἔστιν οὖν ἡμέρα μία, καθ' ἣν οὐκ εἰς ἐμὲ τρέχουσιν ἄνδρες τε καὶ γυναῖκες, ἀποκλαιόμενοι ζυγομαχίας αὐτῶν καὶ παροιστρήσεις γάμου, καθ' ὃν αὐτοὺς ὁ θεὸς συνέζευξε. Διΐσταται γυναικὸς ἀνήρ, καὶ ἢ πόρνῃ κολλᾶται, ἢ ἀλλὰ χρεμετίζει κατὰ ἐννόμου κοίτης ἀλλοτρίας· καὶ ἐγὼ μανθάνω καὶ λαλῶ μελαγχολῶν τὰ πολλά, καὶ ὁ ἀπόζυξ κερτομεῖ καὶ καταπαίζει μου, συνεφαπτομένων αὐτῷ τῆς μωκίας καὶ τῶν συμφατριαζόντων. Καὶ ὁ σεμνὸς Θεσσαλονίκης, ὁ πολυπροσκύνητος, ἐνταῦθα μικροῦ καὶ καταπτύεται, καὶ παίεται κατὰ κόρρης. Καί, οὐκ οἶμαι, τηνικαῦτα (εἰ μὴ ὁ τοῦ γάμου θεσμοθέτης κύριος ἐγγελᾷ, τοὺς τοιούτους ἐμβριμώμενος) αὖθις ἑτέρωθεν ἀνὴρ ἀναφαίνεται καταβοώμενος τῆς γυναικός, ὡς ἀποζυγείσης, καὶ οὐ μόνον καταμόνας ἔξω αὐτοῦ γενομένης εἰς τόπον χλόης θανασίμου μέν, ἐκείνῃ δὲ γλυκείας, καὶ ἐπὶ ὕδατος, τῆς αὐτῇ δοκούσης ἀναπαύσεως, ἀλλὰ καὶ προσβιβασθείσης, ἔνθα μὴ ἐπέτρεψεν ὁ θεός. Καὶ θυμοῦμαι κἀνταῦθα ἐγώ, καὶ ὀχλῶ εἰς οὐδὲν ἀγαθὸν τέλος· ὅθεν ἀμηχανήσας καὶ ὑπογνοὺς τὴν τῶν πολλῶν διόρθωσιν, χρῶμαι κατὰ τῆς τοιαύτης νόσου φαρμάκοις οὐ μόνον πνευματικοῖς, ἀλλά που καὶ κοσμικωτέροις, καὶ δοκῶ φορτικὸς διὰ πάντων.

14. Διὰ τί, διὰ τί οὐκ ὀρθῶς, ὦ ἀδελφοί, ἀγαπῶμεν οὔτε ἡμᾶς αὐτούς, οὔτε τὸν τῇ ἀγάπῃ ἐπιστατοῦντα θεόν; Καὶ ἔστιν ἐνταῦθα τὸ τοῦ κακοῦ χείριστον. Ἔστω γάρ, ὅτι περιφρονητέον τὴν ἐκκλησίαν. Τί δὴ μὴ ἀγαπῶμεν ἕκαστος ἑαυτὸν γοῦν, ὃ δὴ καὶ τοῖς ἀλόγοις ἐμφαίνεται, ἅπερ ἀγαπῶσιν ἑαυτά, ὡς ἐκ τῶν ὁρωμένων φαίνεται; Φεύγουσι γὰρ διωκόμενα, καὶ τὰς πληγὰς ἐκκλίνουσι, καὶ φαττόμενα θορυβοῦσι. Ταῦτα δὲ πάντα φιλοσωμάτων ἴδια, καὶ χαρακτῆρες τοῦ ἀγαπᾶν ζῆν.

15. Ἄγε δὴ καὶ σύ, ὦ τῆς γυναικὸς ἄνερ, ἀγάπα τὸ συμφυές, καὶ μή, ἀφιεὶς τὴν ὁμόζυγα, καὶ οὕτως ἡμισευόμενος, ῥέμβου πλανώμενος, ὅπου τὸ τῆς ψυχῆς ἐπιθυμοῦν περιέλκει σέ, ἵνα μὴ κακοῖς περικύρσῃς ἀπροόπτοις, ἅπερ οὐκ ἔστι διαφυγεῖν. Καὶ σὺ δέ, ὦ γύναι, ἢ τὸν ἴδιον μὲν ἀποστέρξασα, πρὸς ἕτερον δὲ ἀπονεύσασα, διδάσκου μὴ ἀποτέμνειν μὲν τὴν κυριακὴν κεφαλὴν σεαυτῆς, ἑτέραν δὲ ἐφιστᾶν, ἀσυμφυῆ καὶ ἀπροσκόλλητον διὰ τὸ ἀνευλόγητον. Μὴ γάρ τις οἰέσθω — ἔνορκος δὲ τοῦτο φημί — ἀποφυγεῖν τὴν ὀργὴν τοῦ θεοῦ, τήν τε ἐν βίῳ καὶ τὴν ἐς ὕστερον, χωρίζων, ἅπερ ὁ θεὸς ἥνωσε, καὶ οὕτω τὴν καλὴν συζυγίαν ἀχρειῶν, δι' ἧς τὸ κατ' εὐλογίαν θείαν σπέρμα τὸν βίον πληθύνειν τέτακται.

16. Ὃ δέ με οὐδὲν ἔλαττον ἐκτήκει, καὶ τῆς ἐν ἐμοὶ ζωῆς παρατρώγει, καὶ ὑφέρπον οὐ μόνον ἐκμυζᾷ καὶ βδάλλει τοῦ ζωϊκοῦ αἵματος, ἀλλὰ καὶ μικροῦ διασπαράσσει με, τὰ προαύλια, εἴτε προτεμενίσματα τῶν γάμων εἰσί, τὰ τῶν συζυγιῶν πρωτόλεια. Ἔθους γὰρ ἐνταῦθα τεταγμένου σεβασμίου, ἐπιβλέπεσθαι τὰ πρὸ τῶν γάμων, καὶ ἱερῶς ἐκλογίζεσθαι, || [Mc. fol. 56 a] ὡς ὀρθὰ μὲν ὄντα εὐοδοῦσθαι τῇ παραχωρήσει, ἐστρεβλωμένα δέ γε ἀποκωλύεσθαι, εἰσί τινες, οἳ ῥεύματι κατακυλιόμενοι ἐφέσεως ἰδιορρύθμου, εἰς ἀτοπίας βάραθρον τοὺς μὲν ἐπιτηρητὰς παρωθοῦνται, ἀφιέντες μελετᾶν καὶ μάτην σκέπτεσθαι· αὐτοὶ δὲ βιβάζουσι τοὺς ἐραστὰς ὡσεὶ καὶ ἀγελαῖα ζῶα, οἷς οὔτε λόγος, οὔτε νόμος, οὔτε τρόπος ἀνθρωπικός.

17. Καὶ εἶδον ἐγὼ πρὸ βραχέων συμπολίτας ἐμοὺς τῶν ἐνταῦθα τολμήσαντας ἀνομίαν, ἣν οὔπω μέχρι καὶ τήμερον οὔτε εἶδον, οὔτε μὴν ἄλλως ἔμαθον οὔτε ἐν τοῖς ὧδε, οὐδὲ μὴν ἀλλαχοῦ. Διαλαβόντες γὰρ ἄνδρα τινὰ καὶ γυναῖκα λογομαχουμένους, εἰ εὐλογητέοι ἔσονται, ὑπεξήγαγον οὐ μακρὰν τῆς πόλεως, καὶ ἀπατήσαντες ἁπλοῦν ἱερέα καὶ ἀβαθῆ τὰ εἰς γνῶσιν, ἔκλεψαν τὴν θείαν εὐλογίαν, καὶ συνέζευξαν ζῶα ταῦτα θεοῦ δίχα καὶ ζυγοῦ τοῦ συνήθους καὶ ζυγοδέσμου κανονικοῦ. Οὕτω γὰρ καὶ ἐγὼ καλεῖν ἐθέλω τὰ γραπτὰ τυπώματα, δι' ὧν συνδεσμοῦνται γαμικῶς ἄνθρωποι. Ὡς δὲ εἰς γνῶσιν ἦλθον ἐμοὶ ταῦτα, τῷ τάχα τοῖς τοιούτοις ἐπιστατοῦντι ζευγαρίοις, καὶ ἐμεμψάμην τὴν ζεῦξιν, ὤμοι τῆς ἀναιδείας, ἧς ἐπειράθην ἐκ φαύλων ζευγηλατῶν. Ἐγκραγόντες γὰρ πρὸς θράσος, καὶ οὐδὲ ἀπειλήσασθαι κατοκνήσαντες, εἶτα καὶ θεσμοθεσίαν νεαρὰν ἐξεφώνησαν οἱ καινοὶ κανονισταί, ὅτι „καὶ ἅπαξ καὶ δὶς κοπιάσαντες, καὶ τὸν ἱερολόγον μὴ ὑπακούοντα ἐξευρηκότες, ἀπηρτήσαμεν ἄλλως, ὅπερ ἠθέλομεν,“ ὅμοιόν τι φάμενοι, ὡς ἐὰν εἶπον, ὅτι „φυρασάμενοι ζύμην, καὶ ἀρτοποιήσαντες, εἶτα κλιβάνῳ περιτετυχηκότες οὐκ ἀρέσκοντι, μετεπηδήσαμεν εἰς ἕτερον.“ Ἄνθρωποι οὗτοι κλιβάνου πυρὸς ψαλμικοῦ ἄξιοι. Οἱ δὲ καί τι χεῖρον πολλῷ συνέπταισαν, μενοῦνγε ἄθεσμον εἰς τὸ παράπαν. Πρωῒ μὲν γὰρ ἡ μνηστεία ἐτελέσθη, αὐθωρὸν δὲ καὶ ὁ γάμος ἐγκρυφιασθεὶς ἐπληρώθη. Τοῦτο δὴ τὸ ἀποτρόπαιον οὕτως αὐτοῖς ἠρπάγη, τὰ τῆς ὥρας· οὕτω κατὰ τῶν κανόνων σπουδάσαντες,

ἔστησαν πρὸ τῆς πόλεως τρόπαιον· οὕτω κατὰ τῆς βασιλικῆς νεαρᾶς ἐνεανιεύσαντο σπεύσαντες, καὶ ἐτάχυναν τὴν ἁμαρτίαν, μὴ καὶ φθάσας ὁ κανὼν ἀντιπράξῃ αὐτοῖς. Καὶ ἔδοξαν μὲν οἱ ἐλεεινοὶ κρυβῆναι ἀπὸ τοῦ θεοῦ, τοῦ καὶ εἰς ἄβυσσον αὐτήν, καὶ εἴ τί που κατωτέρω, τῷ βλέμματι ἐμβαθύνοντος· καὶ λαθεῖν τὸν ἀλάθητον ἐνόμισαν ὀφθαλμόν. Ὁ δὲ προκύπτων ἀπ' οὐρανοῦ, καὶ εἶδε καὶ βλέπει καὶ ἀγανακτεῖ.

18. Καὶ τὸ ἐφεξῆς ὀκνῶ λέγειν. Ὁ δέ με μικροῦ παρέδραμεν· ἐλεγχόμενος ὁ ἐν τῷ τοιούτῳ κακῷ θερμότερος τοῦ κόσμου ἄνθρωπος, καὶ ὑπὸ τῶν περιεστότων τῆς ἐκκλησίας τέκνων ἀγχόμενος εἰς πνίγμα, διαλογικὸν ἐξανοίγει τὸ στόμα εἰς χάσμα καὶ πλατὺ καὶ βαθύ· καὶ κατὰ θυμομαχίαν ἀνατείνας τὼ χεῖρε, καὶ τῇ μὲν δακτύλῳ ἁψάμενος τοῦ κάτω στοιχείου τῶν ὀδόντων, τῇ δὲ ἑτέρᾳ τοῦ ὑπερκειμένου, καὶ μύζων βαρύ, ἐνεδείκνυτο ἐθέλειν σχίσαι, καὶ οὕτως ἀνευρῦναι τὸν ἄνω λάκκον εἰς πλέον τοῦ φυσικοῦ, ἵνα ἔχῃ ποταμοὺς ἐκεῖθεν ἐξερεύγεσθαι ἁμαρτημάτων παπαδικῶν. Καὶ εἰς τοσοῦτον ἐνδεικτικῶς αἰνιξάμενος, εἶτα συνέκλεισε μὲν τὰς τῆς βλασφημίας πύλας. Ἐξουδένωσε δὲ ὁ μέγας ἄνθρωπος τὸ ταπεινὸν τοῦ θεοῦ λάχος, ἀλαζονευσάμενος διαῤῥήδην, ὡς, εἰ μὴ ὁ δοὺξ ἤθροισεν, οὐκ ἂν οὐδὲ κατηξίωσεν εἰς ὄψιν τοῖς ἐκκλησιαστικοῖς ἐλθεῖν. Οὕτω κατὰ τῆς ἐκκλησίας ὑψηλὸς ὁ πρὸς ἀκρίβειαν οὐκ εὐώνυμος ἄνθρωπος, οὕτω περιφανὴς ὁ μέχρι τότε ἡμῖν ἀφανής.

19. Οὕτως οἱ τοῦ θεοῦ δοκοῦντες εἶναι, ἀγαπῶσι τοὺς ἀληθῶς τοῦ θεοῦ· οὕτως ἡ ἀγάπη νοθεύεται· οὕτως ἡ ἐκκλησία τιμᾶται παρὰ τοῖς ἐν ἡμῖν δογματικοῖς, οἳ τὴν μὲν ἐκκλησίαν τιμᾶν αὐχοῦσι καὶ σέβεσθαι, καὶ πρὸς αὐτῆς εἶναι, καὶ ἑτοίμως ἔχειν ὑπεραποθνήσκειν αὐτῆς, τοὺς δὲ ἐκκλησιαστικοὺς παρανοοῦντες ὡσεὶ καὶ οὐθέν, συνεξουθενοῦσι καὶ τὰ ἐκκλησιαστικά, φιλοσοφοῦντες, ὡς ἀπροσδεὲς μὲν πάντων τῶν ἐπὶ γῆς· ἐπὶ γῆς δὲ καὶ οἱ ἐκκλησιαστικοὶ καὶ τὰ κατ' αὐτούς. Τί γοῦν ἀξιωτέον λόγου, φασίν, ἀνθρώπους καὶ πράγματα ἐκκλησιῶν, ὧν ἀνθρώπων καὶ ὧν πραγμάτων οὐ προσδέεται ὁ θεός; Ὦ χθαμαλοὶ οὗτοι φιλόσοφοι, ὦ ἰδιῶται, ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, καὶ μηδὲν ὑγιές. Εἶτα πόλεις μὲν καὶ νῆες κατὰ τὸν εἰπόντα οὐδέν εἰσιν, ἔρημοι ἀνδρῶν οὖσαι τῶν κατ' αὐτάς· ναὸς καὶ ἐκκλησία θεοῦ ἀπροσλόγιστα

Ms. fol. 50. b.

κατὰ || τὸν θεῖον κλῆρον καὶ τὰ κατ' αὐτοὺς πράγματα.

20. Καὶ σὺ μέν, ὦ κατασοφιστὰ τοῦ γάμου, προσλογίζῃ σεαυτὸν τῷ οἴκῳ σου, καὶ τὸ πᾶν ἐν αὐτῷ συλλέγεις εἶναι· καὶ ἀληθῶς λέγεις. Καὶ τὸν μὲν βαλόντα λίθον κατὰ τοῦ τοίχου, τοῦ σοὶ διαφέροντος, ὀλίγα μέμφῃ· τὸν δὲ κατὰ σοῦ τὴν βολὴν τολμήσαντα κρίνεις καὶ κατακρίνεις. Ἡμᾶς δέ, τὴν ἐκκλησίαν, τὸν θεὸν ἀποστερεῖς τοῦ τοιούτου δικαίου· καὶ τὴν ἐκκλησίαν σεμνύνων οἷς λέγεις, περιυβρίζεις τὴν αὐτὴν οἷς πράττεις, σεπτὸν μὲν εἶναι τὴν ἐκκλησίαν ῥητορεύων, οὐ τοιοῦτον δὲ τὸ ἐκκλησιαστικὸν φῦλον. Ἀγνοεῖς ἄρα, ὅ τί ποτέ ἐστιν ἐκκλησία. Οὐ νοεῖν μοι δοκεῖς, ὡς ἕτερον μέν τοι ὁ ναὸς πρός γε ἀκριβολογίαν, ἕτερον δὲ ἡ ἐκκλησία. Ὁ μὲν γὰρ κτίσμα τεχνικόν, ἀφωρισμένον τῷ θεῷ· ἡ δὲ σύγκλητος ἱερὰ κλητοὶ θεῷ ἄνδρες, πρόβατα καλούμενα θεῷ κατ' ὄνομα. Ἐλεοῦμεν τοὺς κατὰ σὲ νοοῦντας, ἄνθρωπε, οἰκτείρομεν τῆς ἐλαφρίας, θαυμάζομεν τῆς ἀκαίρου πεισμονῆς, μεμφόμεθα οἷς λυπεῖς τὸν θεόν.

21. Οὐ μὴν ἀλλὰ καὶ οὕτως οἱ ἀμαθεῖς τὴν ἀγάπην ψεύδονται. Ἀλλ' ἡμεῖς τοῖς εἰδόσιν, ὁποῖόν τι ἀγαθόν ἐστιν, ἰδοὺ παρατιθέαμεν αὐτὴν ἐκδανείζοντες πραγματευτικῶς, ὡς ἀνόπιν λελάληται, ἵνα δι' αὐτῆς καὶ ὑμεῖς πλουτισθῆτε, καὶ ἡμᾶς προσωφελήσητε, βασανίσαντες ταύτην τὴν τοῦ θεοῦ, καὶ ὡς αὐτοῦ τραπεζῖται ἀγαθοὶ δοκιμάσαντες, εἶτα καὶ ἀντιπαραθέντες τῇ δαιμονιώδει, καὶ αὐτὴν μὲν παρεκκλίναντες, τὴν δὲ θείαν ἐγκολπωσάμενοι· ὅτι μηδεμία κοινωνία, ὥσπερ οὐδὲ φωτὶ πρὸς σκότος, οὕτως οὐδὲ ἀγάπη τῇ κατὰ τὸν πανάγαθον κύριον, πρὸς τὴν τοῦ παγκάκου δαίμονος.

22. Προβεβλημένου γοῦν ὑμῖν εἰς δάνος τοῦ κατὰ τὴν ἀγάπην καλοῦ, τοῦ χρυσέου, ἐγγὺς δὲ εἰπεῖν δι' αὐτὸ καὶ ἡλιώδους, προσθήσω εἰς ὅμοιον χρέος καὶ λοιπὰς τοιαύτας ὕλας, ἃς ὑπὸ κόλπῳ θέμενοι καὶ καταλλάξαντες, ὡς χρεών, κερδανεῖτε καὶ δι' αὐτῶν τὰ σωτήρια. Οὐκ ἔχω δὲ ἀπισχυρίσασθαι, οὐδὲ ἐγγυήσασθαι ἐμαυτόν, ὡς εὐπορῶ κάλλιόν τι καὶ δοκιμώτερον ἀναθεῖναι νόμισμα ὑμῖν τοῦ κατὰ τὴν ἀγάπην ἑπταπλασίως κεκαθαρισμένου. Πάντα γάρ, ὁπόσα ὑμῖν παραθῶμαι εἰς ἀνάληψιν, χρυσῷ τοιούτῳ συνανακέκρανται· κἂν εἰ καὶ χαλκέα δοκοῖεν εἶναι τινὰ τῶν παρατεθησομένων, ἀλλὰ καὶ αὐτὰ χρυσῷ ἀναμέμικται ἀγαπητικῷ, καὶ διὰ τοῦτο σεμνότητα ἔχει προλάμπουσαν.

23. Ἔχετε δὴ ἐξ ἡμῶν καὶ ἄλλο τάλαντον, παραγγέλλον εἰς ἔλεον, καὶ αὐτὸν πρό γε τῶν ἄλλων εἰς ἐμέ. Εἴητε γὰρ ἂν οὐκ ἐλεήμονες, εἴπερ γέροντα μέν, εἴπου τύχοι, πτωχόν, μεταιτήσαντα οἰκτείρετε, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ εἰς μετάδοσιν, καὶ αὐτὴν ἁδράν, ὅτε κατανυγῇ τὸ βουλόμενον τῆς ψυχῆς· ἐμὲ δὲ σαπρὸν γέροντα, πτωχεύοντα μὲν ἀρετῆς ἁπάσης, οὐκ ἀνάξιον δὲ οἴκτου τυγχάνειν, θλίβετε πολυτρόπως, οὐκ ἐνθυμούμενοι, ὅτι,

ἐφ' ὅσον ἐμοὶ ἐλαχίστῳ ὄντι οὐ ποιεῖτέ τι ἀγαθόν, οὐδὲ τῷ θεῷ ποιεῖτε. Καὶ οὕτω μὲν ἐλεητέον πρῶτον ἐμέ, τὸν ὑμέτερον εὐχέτην καὶ ἄμισθον ὑπουργόν, ἐφ' οἷς ἐστι χρεών, εἰ καὶ ἄλλως δύσχρηστον, ἐν οἷς ἀπαιτοῦμαι τὰ μὴ πρὸς ἰσχύος δουλεύματα· εἶτα συνελεεῖτε καὶ τοὺς λοιποὺς ἀδελφούς, εἰς ὅσον ἐστὶ δύναμις, διὰ ἀγάπην θεοῦ. Τούτῳ τῷ ταλάντῳ προσεπιφορτίζων καὶ τὸ ἐν λύπαις παρήγορον, ὅτε τις ἀδελφὸς ἀπαράκλητος εἴη, ποτνιῶμαι εἴς τι ὅμοιον καὶ ὑπὲρ τῶν κατ' ἐμέ· καὶ πλουτῶ μὲν ἐγώ, θεοῦ διδόντος, παρηγορίαις τοιαύταις.

24. Εἰσὶ δὲ ὅμως τινὲς μετρητοί, ἐφ' οἷς δυστυχῶ τὸ ἀνάπαλιν, ἄκανθαι ἡμῖν αὐτοὶ ὀξεῖαι, ἀχρειοῦσαι θεῖον λειμῶνα, πικρία παρεγχυμιζομένη μέλιτι, ὀξάλμη, δι' ἧς τὸ πνευματικὸν ὑγρὸν ἀποστειροῦται τὰ εἰς καρπογονίαν αὐτῷ πρέπουσαν· οἳ καὶ εὐδαιμονεῖν δόξαιεν ἄν, εἴπερ ἡμεῖς θανούμεθα, καὶ αὐτῷ οὐρανῷ πελάσαι νομιοῦσιν ἀναπτάμενοι, ἐὰν ὁ Τάρταρος ἡμᾶς ἕξει. Πρὸς οὓς εἴποιμι ἂν αὐτός, οὐ καλὰ γενέσθαι σφίσιν, ἐὰν αἱ καθ' ἡμῶν αὐτοῖς ἀποτελεσθῶσιν εὐχαί. Ἀρῶνται γάρ που ἐνθέρμως, ἰδεῖν κακὸν ἐλθὸν ἐφ' ἡμᾶς, καὶ αὐτίκα θανάτῳ κατενεχθῆναι αὐτούς· ὅπερ μὴ ἴδοιεν. Ἀλλὰ γένοιτο ζῆν καὶ ἡμᾶς καὶ αὐτούς, ἵνα βάλλωσι μὲν αὐτοὶ καὶ τιτρώσκωσιν, ὡς νῦν ποιοῦσι χαίροντες, ἐν κενοῖς, ἡμεῖς δὲ θαυμαζώμεθα, οἷς τε ἄβλητοι || μένομεν καὶ ἀνούτατοι, καὶ οἷς κερδαίνομεν δι' ὑπομονῆς. (Ms. fol. 51.a.) Προσθήσω δ', ὅτι καὶ παραμυθούμεθα, θεωροῦντες τὴν κατ' αὐτοὺς ἀδράνειαν, ἔτι δὲ καὶ εἴ πως ὀψέ ποτε χρόνου ὁ μέγιστος τῶν ψυχῶν ἰατρὸς δοίη ἀναφρονῆσαι αὐτούς, καὶ οὕτως ἀποκατασταῆναι εἰς σωτηρίαν· ἧς εἴπερ ἐλπίδα φοροῦσιν, οὕτω ζῶντες, ὡς ἄρτι βιοῦσι, ματαιάζουσιν οἱ πτωχοί, καὶ εἰς κενὸν ἐλπιδοκοπούμενοι πεποίθασιν εἰς ὀβολοὺς μεταδόσεως, εἴ τινά που καὶ ἐλεήσουσιν, ὡς ἐκεῖθεν κερδήσαντες τὰ σωτήρια.

25. Καὶ τοῦτο μὲν οὕτω μοι τέως προκείσθω. Ἰδοὺ δὲ καὶ ἄλλο τάλαντον εὔχρηστον καὶ φίλον Χριστῷ τῷ θεῷ προχειρίζομαι ὑμῖν· τὸ δέ ἐστι τὸ ἐν τῇ κατὰ τὸν βίον ἀναστροφῇ εὐδιάκριτον, ᾧ συναναφαίνεται αὐτίκα καὶ τὸ συγγνωμονικόν. Ἀμήχανον γάρ, θάτερον θατέρου δίχα συνίστασθαι. Μεταχειρίσεσθε δὲ καὶ αὐτὰ τεχνικῶς τοιούτῳ κανόνι. Λογίσασθε, ὦ ἀδελφοί, ὅτι οὐ πᾶς ὁ προσκόπτων ἐν ὁδῷ ψέγεται. Ἀλλ' ὁ μὲν ἀλλαχοῦ πλανώμενος τοῖς ὀφθαλμοῖς, καὶ πάσχων διὰ τοῦτο πρόσκομμα, σκώπτεται· ὁ δὲ διὰ τὸ ἀμφισφαλὲς τῆς ὁδοῦ σκαμβεύσας, οὐ πάνυ ἂν ψεχθείη, ἀλλὰ συγγνωμονηθείη παρά γε τοῖς ὀρθὰ διακρίνουσιν. Οὗτος ὁ λόγος ὁ βραχύς, αὕτη ἡ εὐσύνοπτος παραβολή, τοῦτο τὸ εὐπερίγραπτον ἐπιχείρημα ἔχει ὁδηγεῖν ὑμᾶς εἰς τὸ εὖ διακρίνειν καὶ αὐτίκα συγγνωμονεῖν, ὅπου χρεών. Ὁμοίῳ γὰρ τρόπῳ καὶ ὁ κατὰ βίον ἄνθρωπος οὐκ ἀεὶ μακάριος ἔσται, ὡς ἄμωμος ἐν ὁδῷ, καὶ κατὰ νόμον τὸν κυριακὸν πορευόμενος· ἀλλ' ἔστιν οὗ καὶ σφαλεὶς ὀκλάσει, καὶ προσκόψει, καὶ που καὶ πεσεῖται. Καὶ οὐκ εὐθὺς ὁ διακριτικὸς ἄνθρωπος καὶ οὕτω συνετὸς ἐπεμπηδήσει τῷ πεπτωκότι, καὶ ὕλην ἐπιτιμήσεων ἐπιφορήσει κειμένῳ, καὶ καταθάψει αὐτόν· διαιτήσει δέ, τῷ παθήματι κανονίσας, πνεύματι σοφίας καὶ συνέσεως· καὶ διερευνήσεται τὸ αἴτιον, παραμετρήσας αὐτὸ ποιότητι προσώπου καὶ βίου τοῦ κατ' αὐτόν, καὶ τύχῃ, καὶ περιπετείᾳ καιροῦ, καὶ ὅλως ταῖς ὅλαις, αἷς ὁ βιωτικὸς ὑπόκειται ἄνθρωπος· καὶ σταθμωσάμενος, εἰ μὲν τοῦ κόσμου ἐστὶ καὶ δίκης προΐσταται, μεταχειριεῖται μὲν τὸ πρᾶγμα, ὡς ὁ νόμος εὐθύνει. Οὐκ ἔστι δὲ ὅπως οὐκ ἐπιεικεύσεται καὶ αὐτὸς ὡς οἷόν τε, εἴ γε Χριστιανός ἐστι, καὶ ἑλληνίζει τὰ εἰς καλοήθειαν, οὐ μὴν πρὸς βαρβαρικὴν θηριωδίαν πέπλασται.

26. Καὶ οὕτω μέν, ἐὰν ἡ δίαιτα προβαίνῃ κοσμικώτερον· ἐὰν δὲ κατὰ πνεῦμα, οὐκ ἂν ἔγωγ' οὖν ἐμαυτὸν πείσω, μὴ οὐχὶ τὸν τοιοῦτον χρῆναι πλεονάζειν ἐν τῷ διακρίνειν καὶ συγγνωμονεῖν, μεθοδεύοντα τὸ πρᾶγμα ἐπιστημόνως, ὡς ὁ θεὸς ὑποθήσεται· εἰ μὴ ἄρα κατ' αὐτοῦ θεοῦ τὸ πταῖσμα πέφηνε. Τότε γὰρ οὔτε διακρίνειν, οὔτε συγγνωμονεῖν δέδοται. Καὶ μὴν καὶ ἐν τοῖς τοιούτοις ἔχει παῤῥησίαν ὡς τὰ πολλὰ καὶ ἡ διάκρισις καὶ ἡ ἐπ' αὐτῇ συγγνώμη, ὡς ὁ κατὰ πνεῦμα ἐπιστημοναρχῶν εὐμεθόδως τεχνᾶται. Ἢ τί ἄλλο τὸ Ἑβραϊκὸν φῦλον ἀφῆκε τῇ Χριστιανικῇ πολιτείᾳ, καὶ συμπαροικεῖν, καὶ ἐλέους τυγχάνειν, καὶ τρόπον τινὰ συζῆν; οἷς θρησκεύειν ἀφίεται, ὡς αὐτῷ φίλον, καὶ τῶν ἀναγκαίων πάντων μετέχειν, τῶν μὲν ἀφθόνως, τῶν δὲ ἐφ' ὅσον ἔξεστι. Καὶ μὴν διακρίσεως μὴ προϋπούσης, μηδὲ συγγνώμης ἐφεπομένης, οὐκ ἂν ἦσαν παρ' ἡμῖν οὔτε Ἰουδαϊκὰ φῦλα, οὐδὲ μὴν τὰ τῶν κακῶν Χριστιανῶν, τὸ δὲ μεῖζον οὐδὲ τὰ τῶν ἀθέων. Εἰ τοίνυν τοὺς τοιούτους (μυρίοι δὲ ὅσοι αὐτοί) διάκρισις βόσκει ἀσκύλτους καὶ συγγνώμη Χριστιανική, τί δήποτε τοὺς ἀγαθοὺς ἐν ἡμῖν ἀδελφούς, τοὺς ὀρθοὺς Χριστιανούς, ἀπάγομεν τῆς τοιαύτης ἀγαθῆς δυάδος, τῆς φιλοθέου συζυγίας, τῆς φιλοχρίστου ἀδελφότητος, λέγω δὴ τῆς κατὰ διάκρισιν καὶ συγγνώμην;

27. Ἐμεθύσθη ποτὲ ὁ τοῦ δευτέρου κόσμου προπάτωρ Νῶε, καὶ παραλυθεὶς τοῦ νήφειν ἔκειτο ἀκρατὴς ἑαυτοῦ, καὶ ὕπνῳ βαθεῖ θανών, οὐκ εἶχεν οὐδ' εὐσχήμως κεῖσθαι, ὅτι μηδὲ κατεκλίθη πρὸς θέσιν

ἔμφρονα. Κἀντεῦθεν παραφήνας, ἃ μὴ χρεών, ἐγελάσθη οὐ πολλοῖς, ἀλλὰ ὑφ' ἑνός τινος, οὗ μὴ προςῆκε, καὶ αὐτοῦ ἄφρονος. Οἱ μέντοι φρενῶν ἔσω οὔτε περιειργάσαντο ἰδεῖν, ἃ μὴ θέμις· ἀλλὰ καὶ ἔκρυψαν τὸν ἐν οὐ δέοντι ἀκατακάλυπτον. Ἀμέλει || (Ms. fol. 51. b.) καὶ αὐτοὶ μὲν εὐλογήθησαν ὑπό τε τοῦ κειμένου, ὅτε γέγονεν ἔξω οἴνου, καὶ ὑπ' αὐτοῦ θεοῦ τοῦ διακριτικωτάτου.

28. Καί μοι θεωρητέον τὸ πρᾶγμα καὶ οὕτως. Ἐμέθυσεν ἄνθρωπος μέγας ἐκεῖνος, ἠσχημόνησεν, ἐγελάσθη πρός τινος. Ἀφυπνισθεὶς ἐκείνου μὲν κατέγνω καὶ ἐπηράσατο, τοὺς δὲ ἀνομοίους ἐκείνῳ εὐλόγησε. Καὶ ἡ εὐλογία πολλὴ καὶ καλή· καὶ ὁ θεὸς ἐπινεύσας ἄνωθεν, ἐκεῖνον μὲν ἀφῆκε πάλιν εἶναι μέγαν, περίοπτον ἕως καὶ νῦν, καὶ εἰς αἰῶνα δὲ τοιοῦτον ἐσόμενον. Τῶν δὲ λοιπῶν οὓς μὲν ὁ μέγας ἐκεῖνος εὐλόγησεν, ἐκύρωσεν εὐλογητοὺς μένειν καὶ μνήμης ἀγαθῆς ἀξίους εἰς τὸ διηνεκές· τοῦ δὲ κατηραμένου κατεψηφίσατο καὶ αὐτός.

29. Τί οὕτω κρίνεις, ὦ κύριε; Ἀφῆκας κολάσαι τὸν μεθυστήν; Καὶ οὐ μόνον αὐτό. Ἀλλὰ καὶ πληροῖς ἐκείνου θελήματα, καὶ εὐλογεῖς μέν, οὓς ἂν ἐκεῖνος εὐλογῇ· καταρᾶσθαι δὲ κρίνεις τὸν ἐλεεινόν, ᾧ ἐκεῖνος ἐπέῤῥιψε τὴν ἀράν. „Ναί," φησί, „καὶ ἐποίησα οὕτω, καὶ σοφωτάτῃ κρίσει ἐποίησα, οὐ μόνον προςεσχηκὼς προςώπῳ ἐκείνῳ μεγάλῳ, ἀλλὰ καὶ τῇ κατ' αὐτὸν ἀγαθῇ ποιότητι καὶ τοῖς λοιποῖς, ὅσα ἐκεῖνον τὸν δίκαιον ἄνδρα περιέστησαν. Οὐκ ἦν ἐθὰς οἴνου ὁ ἄνθρωπος· ἀλλὰ τότε πρώτως ἐκβλύσαντι τῷ ὑγρῷ τούτῳ, ὅσα καί τινος πηγῆς, τῆς σταφυλῆς, προςηνέχθη καθὰ καὶ ὕδατι· καὶ ἐμπιὼν τοῦ οἴνου, ἅτε νηφαλίου πόματος, ἔπαθεν, ὅπερ οἶνος οἶδε ποιεῖν. Ποιεῖ δὲ πάντως ἐκεῖνος καρδίας μὲν εὐφροσύνην, ὅτε ἂν καταβαίη διὰ τοῦ οἰσοφάγου σύμμετρος· κάρον δὲ παραλυτικόν, ὅτε καταβὰς μέτρου πέραν, εἶτα ἀναβάς, τυραννήσει, κατασχὼν τὴν ἐν ἀνθρώπῳ ἀκρόπολιν. Οὔκουν μεθυστὴς ἄνθρωπος ὁ οὕτως ἅπαξ ἑαλωκὼς τῇ ἐξ οἴνου καταφορᾷ· ἀλλ' ἐμεθύσθη μέν, οὐκ ἐνεκάθισε δὲ αὐτῷ ἐντακεῖσα ἡ ἐκ μέθης ὀνομασία. Οὕτως ἐκ τοῦ ἐναντίου οὐδὲ ὁ εἰςάπαξ φρόνιμόν τι ποιήσας μὴ κατὰ ἐπιστήμην, ἀλλ' εἰς τὸ πᾶν ἄκων, φρόνιμος τοῖς ὀρθὰ κρίνουσι λέγεται· οὐδὲ μὴν ὁ ἐς μίαν ποτὲ ἀνδρικόν τι τολμήσας κατά τι παριπεσόν, τὴν τοῦ ἀνδρείου κλῆσιν ἀπηνέγκατο. Καὶ δικαίῳ δὲ φάκτῳ ἐπιβαλεῖ ποτε καὶ ὁ πάντων ἐκδικώτατος, εἰ οὕτω τύχοι. Ἔστι δὲ καὶ πάλιν ἄδικος, εἰ μετὰ τὸ ἓν ἐκεῖνο τοῖς προτέροις ἐπιμένειν ἀπισχυρίζεται. Καὶ ὁ ἐμὸς δὴ οὗτος Νῶε τὴν ἀρχὴν τῷ οἴνῳ διασεισθεὶς καὶ ταραχθεὶς μικρὸν ὅσον, καὶ ἀνέσφηλε, καὶ κατασταθεὶς ὡς πέτρα στεῤῥά, οὐκέτι ἐτινάχθη οὐδὲ κατέπεσεν· οὐδὲ κατεκαυχήσατο αὐτοῦ ὁ πρὸς ὥραν ἀνδρικὸς ἐκεῖνος οἶνος· ἀλλὰ θραυσθεὶς ἐναρέτῳ συμμετρίᾳ, οὐκ εἰς δεύτερον βλαπτικῶς αὐτῷ ἀνεφύη, ἀλλὰ συστατικῶς, ὡς ἡ αὐτοῦ φύσις ἐκ πρώτης καταβολῆς κελευσθεῖσα τέτακται. Διὸ οὔτε εἰς μέθυσον ἐνεγράφη, καὶ τὴν ἐμπνευσθεῖσαν δὲ ἄνωθεν αὐτῷ προφητείαν ἐφύλαξεν ἕως καὶ εἰς τέλος, καὶ τοῖς ἐμοῖς προπάτορσιν ἐγγέγραπται."

30. Ὁρᾶτε, ὦ ἀδελφοί, ὅπως αὐτὸς ὁ θεός, ὁ ὑπὲρ πάντας κριτής, ὅτι καὶ ὑπέρθεος, κρίνει, καὶ διακρίνει, καὶ οὕτω διαγινώσκει, οὐ πρὸς ἀποτομίαν, ἀλλὰ φιλανθρωπίαν ἐξ ἀγάπης πάντως. Τί δὴ οὖν μὴ καὶ ἡμεῖς, εἰς ὅσον ἐφικτόν, ἐξομοιούμεθα τῷ τοιούτῳ κριτῇ, ἀλλὰ πρὸς ἀπήνειαν καὶ δικάζομεν καὶ ἀποφαινόμεθα, καὶ τὰ πλείω, ἐφ' οἷς οὔτε πρέπει οὔτε ἄλλως χρή, πταίομεν πολλάκις; Ἀλλά τις περίστασις παρίσταται βοηθοῦσα ἡμῖν, εἰς ἣν ἀποβλέπων ὁ κρίνων δύναται μὴ καταφώσκειν δεινὰ τοῦ ἀδελφοῦ, μηδὲ ἀπηλεγέως αὐτοῦ καταφέρεσθαι. Τί οὐκ ἐνθυμούμεθα οἱ μάτην κατὰ τῶν ἀναιτίων πετροβολοῦντες, καὶ τοὺς ἀθώους λιθάζοντες, τὸν φιλανθρωπότατον ἐκεῖνον λόγον τοῦ εἰπόντος· ὅςτις οὐχ ἥμαρτε, βαλέτω λίθον ἐπὶ τὸ ἡμαρτηκὸς πρόςωπον; Μᾶλλον μὲν οὖν τί τοὺς μηδὲν μηδόλως ἡμῖν ἐξαμαρτάνοντας ἐθέλομεν καταχωννύειν λίθοις, οὔτε βλάπτοντες ἐκείνους οὐδέν, ἀλλὰ στεφάνοις καλλύνοντες, εἴτε ὑπομονῆς ἕνεκεν, εἴτε καὶ ὅτι πάσχουσι καὶ ὀνειδισμοὺς καὶ τὰ ἄλλα, δι' ὧν μακαρίζεται παρὰ τοῖς ἱεροῖς εὐαγγελίοις τοιοῦτος ἄνθρωπος;

31. Ἐμβαθύνατε οἱ διὰ τοῦ ἱερογραφικοῦ πελάγους ἐντέχνως νηχόμενοι, καὶ δράξασθε διορατικώτερον τῆς ἐννοίας τοῦ εὐαγγελικοῦ ῥήματος, τοῦ· ὅςτις οὐχ ἥμαρτε, βαλέτω λίθον ἐπὶ τὸ ἁμαρτωλὸν πρόςωπον. Μυστήριον τὸ πρᾶγμα ἐκπληκτικὸν ἀληθῶς, καὶ οὐκ ἔστιν ἐξισωθῆναι διάκρισιν ἄλλην πρὸς τὴν ἐνταῦθα προφαινομένην. Καὶ εἰκότως. Θεός τε γὰρ ὑπὲρ ἅπαντα καὶ νοῦν καὶ πράγματα, καὶ θεοῦ || (Ms. fol. 52. a.) διάκρισις ὑπὲρ ἅπασαν. Ἐδέξατο ἐπὶ τοῦ ὤμου ἁμαρτίαν κἀνταῦθα ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, ὁ ὑπερκάθαρος, ὁ ὑπέρφωτος, ἵνα ἐλεηθῇ τὸ πρόςωπον, ὑπὲρ οὗ ἐλάλησεν. Ὁ μὴ ἁμαρτών, φησί, βαλέτω λίθον ἐπ' αὐτήν. Καὶ πάντως εἶχον ἂν εἰπεῖν οἱ ἀκούοντες αὐθέκαστοι ἐκεῖνοι κριταί, ὅτι ἐὰν ὁ μὴ ἁμαρτὼν λίθον ἐγκελεύηται βαλεῖν κατὰ τοῦ πταίσαντος, σὺ δὲ ὡς θεοῦ υἱὸς ἀναμάρτητος εἶ, ῥίψον σὺ πρῶτος λίθον, καὶ φόνευσον τὴν παράνομον. Εἰδότες δέ, ὡς ἐμφράξει αὐτοῖς τὸ στόμα, ὑπαντήσας

αὐτίκα στεῤῥῶς ἐν τῷ εἰπεῖν, ὅτι „καὶ ἰδοὺ ἐγὼ θεὸς ὢν ἀναμάρτητος, οὐκ ἐπιῤῥίπτω λίθον ἐπὶ φόνῳ, καθὰ οὐδὲ ὀδόντα ἐκβαλῶ ἀντὶ ὀδόντος, οὐδὲ ὀφθαλμὸν ἐξορύξω ἀντὶ ὀφθαλμοῦ· ἄλλως δὲ ἠπιώτερον θεραπεύσω τὴν νόσον τοῦ πταίσαντος, ὅτι μηδὲ τῆς σκιᾶς ἐγώ εἰμι καθ' ὑμᾶς," ἐσίγησαν, καὶ τὸ τῆς ἀμηχανίας βάρος ὅσα καὶ λίθος ἐῤῥίφη ἐπ' αὐτούς. Καὶ ἰδοὺ ὑμῖν λίθος οὗτος εὐαγγελίου, θαῤῥῶ δὲ φάναι ἀσφαλῶς, καὶ μάργαρος, ἐπεὶ καὶ λίθου εἶδός τι καὶ ὁ μάργαρος, ὃν ὡς εὐαγγελικὸν πολυτίμητον εἰς κερδαλεότητα ἐμπορεύσεσθε.

32. Ἦν δὲ ἄρα ἐνταῦθα τὸ νικητικὸν τοῦ σωτῆρος ἐπιχείρημα κατὰ τῶν αὐστηρῶν ἐκείνων κριτῶν ἐκ τοῦ μείζονος. Εἰ γάρ φησιν, „ἐγὼ ὁ ἀναμάρτητος οὐ βάλλω λίθον κατὰ τῆς ἁμαρτωλοῦ, οὐδ' ἄρα ὑμεῖς καὶ οἱ καθ' ὑμᾶς, οἱ μηδένες πρὸς ἐμὲ διὰ τὸ ἐν ὑμῖν ἐφάμαρτον, ποιήσετε τὸ ἐν ἐφέσει λίθασμα· συγγνωμονήσετε δὲ δηλονότι εὐεπηβόλως κατὰ διάκρισιν, ὡς νῦν μὲν ἐγὼ αὐτὸς ὀφθαλμοφανῶς ἐνώπιον ὑμῶν κατάρχομαι νομοθετεῖν, σαρκοφόρος ὤν, ὁ καὶ ἐξ αἰῶνος ταύτῃ χρώμενος ἐπὶ σωτηρίᾳ κοινῇ· οἱ δὲ ἐμοὶ ἀπόστολοι καὶ κήρυκες ἀπ' ἐμοῦ λαβόντες νομοθετήσουσι," τοιοῦτον καὶ τοῦτο θεῖον τάλαντον, τὸ κατὰ διάκρισιν καὶ συγγνώμην, δι' οὗ πολὺ τὸ κέρδος ὑμῖν ἔσται, εἴποι δ' ἄν τις, ὡς καὶ ὑπεράπειρον, εἴ τί πού ἐστι λογιστεύσασθαι ὑπὲρ τὸ ἄπειρον.

33. Ἀλλὰ δοκῶ μοι, ὡς, ἐξ ὧν βλέπων κατανοῶ, ἄτεχνοί ἐσμεν οἱ πολλοὶ μεταχειρίζεσθαι τὸ τοιοῦτον καλὸν διὰ μικροψυχίαν τὴν ἐν ἡμῖν, ἔστι δὲ οὐ καὶ διὰ τὸ ἐν τοῖς συμπίπτουσιν ἀνεξέταστον, οὐ μὴν δὲ ἀλλὰ καὶ διὰ τὸ καχύποπτον καὶ ἐλαφρόν, ὀκνῶ γὰρ εἰπεῖν, ὡς καὶ διὰ τὸ φθονερόν. Ἐκ τοιούτων γάρ τινων ὡς τὰ πολλὰ αἰτιῶν ἀποτελεῖται τὸ ἀδιάκριτον, οὗ ἀποτέλεσμα τὸ ἀσύγγνωστον παρά γε τοῖς μὴ πεφυκόσι καὶ συνηγορεῖν, ἔνθα μὴ χρεών, πνευματικῶς, ἀλλ' ἐν ἀποτόμοις κατηγόροις ἀεὶ τάττεσθαι· οἳ δεινῶς ἐμπικραινόμενοι, καὶ θυμῷ σκοτούμενοι, καὶ οὕτω παραβλέποντες, οὐ μόνον δοκοὺς πλέον τοῦ δέοντος περιεργάζονται, ἀλλὰ καί, εἴ τί που κάρφος ἀδελφικόν, ὡς εἰς ὄρος ὀγκοῦσιν Ὀλύμπιον. Καί που δόξαν οὕτω, τὸν μὲν ὁπωσοῦν πτύοντα κατά τι ἐπαναγκάζον ἐκ φύσεως λογίζονται καταπτύειν ἐφυβριστικῶς, τὸν δὲ ἁπλῶς χρεμψάμενον καταχρέμπτεσθαι, ἀδιακρίτως αὐτοὶ κρίνοντες· τὸ δὲ καταστυλάζεσθαι στακτοῖς μύροις εἰς βορβόρου ἐπίχυσιν τίθενται. Οὐ προσεκύνησεν ἡμᾶς ὁ δεῖνα παρερχόμενος· ὕβρισεν ἄρα, ἢ ἄλλα καταφρονητικῶς διάκειται. Συνηθηκῶς οὐ προσεφθέγξατο, οὐκ ἐγέλασεν, οὐδὲ γοῦν ἐμειδίασεν· ἐχθρὸς ἄρα ἐστὶν ἡμῖν. Ὁ δεῖνα τόνδε καὶ ἐκεῖνον φιλοφρονησάμενος καὶ δεξιωσάμενος, ἡμῶν οὐκ ἐμνήσατο· ἄφιλος ἄρα ὁ τοιοῦτος καὶ ἄξενος καὶ οὐκ εὐπίληπτος. Ὁ δεῖνα ἠρέμα παρ' ἡμῶν ὑβριζόμενος ἀντιλαλεῖ· βλάσφημος ἄρα ἐστὶ καὶ ἐριθευτικὸς καὶ φιλόνεικος. Ὁ παπᾶς τυφθεὶς παρ' ἡμῶν ἐναγχος τὴν παρειάν, εἶτα ἐκδραμών, καὶ σήμερον ἀπαιτούμενος καὶ τὴν ἑτέραν στρέψαι, ἀνὰ πόδα χωρεῖ, ὀκνῶν φυσᾷν τὰς γνάθους εἰς ὑποδοχὴν ψοφώδους ῥαπίσματος, ἐπὶ κρότῳ καὶ ἡμετέρᾳ χαρᾷ καὶ γέλωτι· παραβάτης ἄρα τῆς εὐαγγελικῆς παραγγελίας ὁ ἄνθρωπος καὶ μνησίκακος. Λαλοῦμεν, καὶ ἀκούει· δόλιος ἄρα, καὶ διὰ τοῦτο προσεκτικός. Ἐγχειροῦμεν ζημιοῦν ἐκκλησίαν (θετέον γὰρ οὕτω εἰπεῖν), ὁ δὲ ἀντέχεται καὶ ἀνθίσταται· ὀξὺς ἄρα καὶ ἀφιλάδελφος καὶ οὐδὲ εὐαγγελικός ἐστιν. Ἡ γὰρ ἂν τῷ θέλοντι λαβεῖν τὸ αὐτοῦ ἱμάτιον καὶ τὸν χιτῶνα προσαπεδύσατο. Καθίζομεν λόχους· ὁ δὲ προορᾶται αὐτούς, καὶ οὕτω διαφυγγάνει τὸν ὄλεθρον. Περίεργος ἄρα καὶ περινενοημένος ἐστίν. Ἀπειλοῦμεν, μορμολυττόμεθα, ἐκφοβοῦμεν· ὁ δὲ περιφρονεῖ, καὶ που καὶ ἀνταπειλεῖται. Θρασὺς ἄρα ἐστί. Κατατοξαζόμεθα, σφενδονῶμεν, ἐπαφίεμεν αἰγανέας καὶ δόρατα· ὁ δὲ καὶ θωρακίζεται, καί που καὶ σύμμαχον προκαλεῖται τινά. Τολμητίας ἄρα ἐστὶ καὶ ὀχληρός. || Mc. fol. 82. b. Δικαιολογεῖται συκοφαντούμενος· ἀντιλογικὸς ἄρα ἐστίν. Ἀστράπτομεν κατ' αὐτοῦ· ὁ δὲ μύων τοὺς ὀφθαλμοὺς οὐ δεδίττεται, ἀλλὰ καὶ μετὰ τὴν ἀστραπὴν μηχανᾶταί τι αὐτὸς θεράπευμα ὄψεως· μελετητικὸς ἄρα ἐστὶ καὶ σκεπτικός. Ἀκούων δεινὰ πολλάκις, ἵσταται ἐνεός· ὕπουλος ἄρα ἐστὶ καὶ ἐνδόμυχος.

34. Τί φατε, ὦ τοιοῦτοι κριταί; Οὐκ οἴδατε, ὡς ἀδιάκριτά ἐστι ταῦτα πάντα, καὶ λογισμοῦ ἀσκέπτου γνωματεύματα, ἐν οἷς οὐδεμία ἐστὶ γνῶσις ἐπιστημονική. Ἄγε δή, ἐρωτήσω τούς, ὡς εἴρηται, γνωματευομένους· καί, εἰ δύνανται, ἀποκριθήτωσαν, καὶ ἀθωωσάτωσαν σφᾶς αὐτούς, ἐφ' ἧς ἀδιακρισίας ἁλίσκονται. Ἔστιν, ὦ χρηστοὶ τὴν κρίσιν, εἴτ' οὖν κατάκρισιν, ἀποκωλῦσαι τὴν φύσιν τοῦ μὴ ποιεῖν τὸν ἄνθρωπον ἢ πτύειν ἢ χρέμπτεσθαι; Εἰ δὲ σὺ κατὰ σοῦ τὸ πάθος, ὦ οὗτος, γίνεσθαι κρίνεις, τοῦτό ἐστι τὸ παρὰ σοὶ ἀδιάκριτον, ὥσπερ καὶ τὸ μυρίζεσθαι μὲν διά τινος, δοκεῖν δὲ βορβόρῳ χραίνεσθαι, καὶ τὸ μὴ προσκυνεῖσθαι μὲν πρός τινος ἁπλοϊκευομένου, ἐγκρίνειν δὲ αὐτὸ εἰς ὕβριν καὶ παίγνιον. Τί δὲ ἄλλα ἀνάγκη τῷ ἀνθρώπῳ ἔγκειταί ποθεν, τοὺς συναντῶντας εἰκῇ καὶ μάτην προσλαλεῖν καὶ προσγελᾶν ἄκαιρα; Ὁ δὲ δώτη μὲν διδούς, ἀδώτη δὲ μὴ διδούς, ἔχοι ἂν ποθεν ψόγον δίκαιον, οὐ μενοῦν, εἴπερ εὐδιάκριτον ἔχει διαγνώμην.

Μάλιστα μὲν οὖν καὶ διδούς τις ἁπλῶς, καὶ ὡς ἔτυχε, γελασθείη ἄν, ὡς ἢ παρὰ τὸ δέον φιλότιμος, ἢ μεταχειριστικὸς καὶ πραγματευτικός. Τίς δὲ ὑβριζόμενος οὐ λαλήσει πρὸς σωφροσύνην, ἐὰν φρονῇ;

35. Ἀλλὰ χρὴ πάντως ἀνέχεσθαι καὶ σιωπᾷν τὸν περιυβριζόμενον, καὶ μάλιστα τὸν παπᾶν (θεοῦ λέγεις ἀνοχήν), ὥσπερ καὶ τὸν ῥαπιζόμενον καὶ ἀλγοῦντα μὴ ἐκκλίνειν τὸν εἰς αὐτὸν πλημμελοῦντα. Φράξομεν, ὡς οἱ ἀδιάκριτοι βούλονται, τοῖς λαλοῦσι τὰς ἀκοάς, αἷς ἡ φύσις πύλας οὐκ ἐπέθηκεν· ἀλλὰ ζημιούμενοι χαρισόμεθα, ἐλλογώμενοι δὲ περιπεσούμεθα τοῖς ὀλοθρευταῖς ἑκούσιοι ἐς ὄλεθρον. Καὶ εἴημεν ἂν μωροί, οὕτω ποιοῦντες, καὶ μεμπτέοι καὶ τοῖς ἀδιακρίτοις αὐτοῖς, ἐὰν τοιοῦτοι ἀπεκβαίνωμεν, ὡς ἢ ἀναίσθητοι ἢ ἠλίθιοι. Πάσχοντες δὲ ἀπειλὰς καὶ πολέμους, οὐ θωρακισόμεθα, οὐ κατάφρακτοι γενώμεθα, οὐ προσλαβώμεθα καὶ τὴν δυνατὴν ἐπικουρίαν· ἀλλὰ τὰς χεῖρας δήσαντες, καὶ κατακύψαντες, ὃ δὴ λέγεται, εἰς καμάρωμα, ἐκπεσούμεθα τῆς κεφαλῆς. Καὶ λογισθείημεν ἂν ἢ αὐτοφόνται, ἢ ἀλλὰ κατεγνωκότες ἡμῶν αὐτῶν ἀπώλειαν· ὁ δὲ συκοφαντῶν προσκυνηθήσεται ὡς ἀληθῆ λαλῶν. Οὐκ εὔκολον ἅπασι τὸ πρᾶγμα. Οὐ φυλαξόμεθα δὲ καὶ ἄλλως παντοίως ἐκ τῶν κατεπιχειρούντων· κακῶς δὲ ἀκούοντες ἀντιβλασφημήσομεν ἐξ ἀνάγκης, καὶ πορνικῶς φλυαρήσομεν, ἃ μὴ πρέπει καὶ οὐκ ἔξεστι. Φρονούντων οὐδὲ τοῦτο, ἕως ὀρθῷ λογισμῷ τις διοικῆται.

36. Παρακαλῶ οὖν, ἀφέσθαι μὲν τοὺς ἀδιακρίτους τοῦ, ὡς αὐτοῖς δοκεῖ, γράφειν καὶ κρίνειν· ἁμιλλᾶσθαι δὲ εἰς ἴσον ἔρχεσθαι καὶ ζωγράφοις βάπτουσιν εἰς ἀκριβεῖς χαρακτῆρας, οὓς οὐκ ἔστι ψευδεπιγράφους εἶναι, καὶ κριταῖς ἐξεταστικοῖς καὶ οὕτως ὀρθοῖς, ἵνα καὶ ὁ θεὸς αὐτοὺς παραβάλλῃ ὁμοίαις κρίσεσιν. Ὡς εἴ γε στοχαστικῶς καὶ κατά τινα εἰκοτολογίαν καὶ ὑπόνοιαν ἐκ παρακούσματος ἐπιβάλλειν ἐθέλομεν ταῖς τῶν γνωρίμων ἡμῖν διαθέσεσι, καὶ οὐ διακρίνομεν, ὡς καὶ συγγνωμονεῖν, οἰχήσεται ἀφ' ἡμῶν τὸ κοινωνικόν, καὶ οὕτω πολιτικόν, καὶ φιλάλληλον· καὶ χρὴ τοῦ λοιποῦ ἕκαστον ἡμῶν ἐρημάζειν, ὡς μὴ μετ' ἀνθρώπων εἶναι, ἀλλά που κατὰ κοράκων ἀποπλανᾶσθαι, ἢ ἀλλὰ μηδὲ ἐν κόσμῳ εἶναι, ἀλλ' ἐξωκεανίζεσθαι.

37. Καὶ ταῦτα μὲν περὶ τῶν γνωριμωτέρων, οἳ καὶ κοινοῦ ἁλὸς ἐγεύσαντο, καὶ ἄλλως ὁμοῦ ἦλθον ξενικώτερον. Εἰ δέ τις μηδεμίαν ἔχων ἀφορμὴν ἢ ἀρχὴν γνωριμότητος, μηδὲ εἰδὼς ἀνθρώπου ἢ βίον ἢ ἀγαθοπραξίας ἢ κακὰς ἐνεργείας, κρίνει ἄνθρωπον, οὐδ' ἠκριβώσατο, καὶ κατακρίνει, καὶ αὐτίκα ἐθέλει καὶ εὐθύνας αὐτῷ ἐπιφέρειν, οὐδείς μοι πρὸς τὸν τοιοῦτον λόγος, οὐδὲ τὸ προτεθὲν ἄρτι τάλαντον τῷ τοιούτῳ ἀνθρώπῳ προβάλλομαι. Αὐτὸς γὰρ παντελῶς ἀμαθὴς διακρίνειν, καὶ οὐδὲ καθαρὸς ἐχέφρων· διὸ οὐδὲ πραγματεύσηται ἄν τι κέρδος ἐμοί, καὶ δι' ἐμοῦ τῷ ἐμῷ δεσπότῃ, οὐ θησαυροφύλαξ ἐγώ. Ἀλλ' αὐτὸς μὲν ἐρευνάτω δανειστὴν ἕτερον· ἐγὼ δὲ τὴν γάζαν τοῦ Θεοῦ || Ms. fol. 53. a. ἐκκενώσω ἀνθρώποις εἰδόσιν ἐπιστρέφεσθαι αὐτοῦ καὶ ποιεῖν τὸ αὐτοῦ θέλημα, οὐ μὴν ἀτενῶς ἀντέχεσθαι τοῦ καταγνωμονεῖν, ὡς καὶ δῶρον ἡγεῖσθαι αὐτὸ θεῖον καὶ οὕτως ἀναπόβλητον.

38. Ἔχω παραθεῖναι ὑμῖν καὶ ἄλλο τάλαντον, τὸ τῆς νηστείας, ἧς ἐναρχόμεθα τῆς ἀρχεγόνου ἡμῶν τιθηνοῦ, τοῦ καλοῦ βλαστήματος, ὃ πρῶτος ὁ παράδεισος ἐξέφυσεν, οὗπερ οἱ γενάρχαι ἀντεχόμενοι ἐγκρατῶς οὐκ ἂν ἐκεῖθεν ἀφωρίσθησαν, δι' οὗ καὶ πάλιν τὸ ἀνθρώπινον φῦλον ἐπανέρχεται εἰς ἐκεῖνον, εἴπερ ἐθέλει. Φιλονεικεῖ γὰρ αὕτη ἐπανάγειν αὖθις εἰς τὴν Ἐδὲμ τοὺς τοῦ Ἀδάμ, ἵνα ἐκεῖ συνδιάγῃ αὐτοῖς, ἔνθα τὴν ἀρχὴν ἐτάχθησαν· μάλιστα μὲν οὖν εἰς οὐρανὸν αὐτόν, ὅπου καὶ τὸ πλεῖον τῆς μετουσίας ἐστὶν αὐτῇ, εἰς ὃν ἀνάγει τοὺς ἐν τῷ φιλεῖν αὐτὸν ἐφιεμένους τοῦ αὐτῇ πρέποντος ἀνυψώματος, τοῦ κατὰ οὐρανόν.

39. Καὶ ποῦ γὰρ ἄλλοθι ἀπάθεια νοερά, ἡ τῆς νηστείας πρόθεσις, ἀλλ' ἢ ἐν οὐρανῷ καὶ τοῖς ἐκεῖ ἁγιωτάτοις τάγμασιν; Ἢ γὰρ οἴεταί τις, ἑτεροῖον εἶναι τῇ νηστείᾳ σκοπόν, ὅτι μὴ τὸ εἰς νόας ἀπολεπτῦναι τοὺς νηστευτάς, καὶ εἰς ἀπάθειαν ἀποκαταστῆσαι, εἰ καὶ οἱ ἐν ἡμῖν μόγις τὴν μετριοπάθειαν κατορθοῦσιν; Ἀγγελοποιὸν γὰρ ἡ νηστεία τρόπον τινά, οἷς διὰ ἰσαγγέλου βίου εἰς αὐτόχρημα νοῦν ἀπολεπτύνειν προτίθεται τὸν νηστεύοντα, εἰ καὶ ἐκεῖνος ὡς ἐπιπολὺ διὰ τὸ κάτω βρῖθον τοῦ σώματος καὶ γεῶδες ἀπροσφυῶς ἔχει τῇ τοιαύτῃ τῆς νηστείας προθέσει. Οἰκεία τοίνυν καὶ παραδείσῳ καὶ οὐρανῷ ἡ νηστεία, καὶ δύο οὗτοι τόποι πατρῷοι αὐτῇ καταγωγαί, φίλαι τῷ θεῷ, ψυχῶν ἀναπαύσεις, ἀπρόσβατοι δαίμοσι· διὸ καὶ ἀμφοῖν τούτοιν ἐγκαθιστᾷν ἡ νηστεία βούλεται τοὺς καλῶς αὐτῇ χαίροντας καὶ κατὰ σκοπὸν ὀρθόν, ὃς εὐοδοῦται διὰ μόνης ἀγάπης.

40. Οὐδὲ γὰρ οὐδὲ τὸ τῆς νηστείας καλὸν μέταλλον ἀνεπίμικτόν ἐστι τοῖς ἀγαπητικοῖς χρυσέοις εὑρήμασιν· ἀλλὰ καὶ αὐτῇ τὸ ἀγαθὸν τοῦτο ἀνακέκραται καθὰ καὶ τοῖς πρὸ αὐτῆς. Καὶ οἴδαμεν πάντες, ὅσοις μέτεστι τοῦ εἰδέναι, ὅτι διὰ νηστείας ἀγάπη περιγίνεται ἡμῖν, οὐ μόνον ἡ, ὡς ἄν τις εἴποι, ἐγκάθετος, ἀλλὰ καὶ ἡ μεταβατική, ἢ καὶ ἄλλως φράσαι, ἡ αὐτοπαθὴς καὶ ἡ ἀλλοπαθής. Λέγω δὲ ἐγκάθετον μὲν καὶ αὐτοπαθῆ ἀγάπην τὴν ἐμπεριωρισμένην τῷ νηστευτῇ

αὐτῷ ἐκείνῳ καὶ μόνῳ. Τοιοῦτος δὲ ὁ καταμόνας ἐπ' ἐλπίδι τῇ ἐν θεῷ κατοικῶν, καὶ ἐν ἐρημίᾳ διάγων, ἐν ᾗ μόνος αὐτὸν ὁ κύριος ἐπισκέπτεται. Ὁ τοιοῦτος γὰρ ἑαυτῷ μοναχοῦ ἐγκαθημένην ἔχει τὴν ἀγάπην, καὶ αὐτὸς μόνος πάσχει τὸ τελειοποιὸν τοῦτο πάθος, οὐκ ἐξαπλῶν τὰς τῆς ἀρετῆς ἀκτῖνας εἰς λάμψιν καὶ ἄλλοις, ὡς οὐδὲ ὁ ἥλιος, ἐν ὅσῳ κρύπτεται ὑπὸ γῆν.

41. Καὶ τοιαύτη μὲν ἡ ἐγκάθετος καὶ αὐτοπαθὴς ἀγάπη, ὡς τύπῳ φάναι καὶ παχυλῶς· ἡ δὲ μεταβατικὴ καὶ ἀλλοπαθὴς οὐ περιγράφει τὸ αὐτῆς καλὸν εἴς τινα ἕνα, πλατύνει δὲ αὐτομερίζουσα εἰς κοινόν, καθ' ὅσον οἷόν τέ ἐστιν. Ὁ γοῦν μὴ λανθάνων ἀνθρώπους νηστευτής, μηδὲ προθέμενος ἀναχωρητικῶς βιοῦν, καὶ οὕτω μὴ μόνον ἀνθρώπους, ἀλλ', εἰ δυνατόν, καὶ αὐτὸν ἥλιον ἀποκρύπτεσθαι, φαίνειν δὲ καὶ ἑαυτὸν καὶ τὸ κατ' αὐτὸν φῶς ἐν τῇ τοῦ βίου σκοτίᾳ, καὶ οὕτω περίβλεπτος εἶναι, εἰς τὸ θειότερον τῆς ἀγάπης ἀπονεύει, καὶ εἰς πλέον ἐξομοιοῦται τῷ θεῷ. Καὶ γάρ τοι καὶ ὁ θεὸς οὐκ ἀρκεῖται στρογγυλλόμενος εἰς ἑαυτὸν καὶ σφίγγων καὶ στενοχωρῶν τὸ αὐτάγαθον, ἀλλ' ἐξαπλοῖ ἐπεκτείνων· καὶ οὕτω πληθύνει τὰ εὐεργετούμενα ὡς ἑκάστοτε· ὅτι μηδὲ ἐπαύσατο, οἷα καθάπαξ ἐνεργήσας, ἀλλὰ καὶ ἕως ἄρτι ἐργάζεται.

42. Καὶ οὕτω μὲν ἡ νηστεία κρᾶμα χρύσεον ἀλλοίων τέ ἐστιν ἀρετῶν καὶ ἀγάπης αὐτῆς, δι' ἧς καὶ τὸ ἀπαθὲς μὲν τῶν τισι νηστευτῶν περιγίνεται, εἰς πλέον δέ γε τὸ μετριοπαθές. Καὶ ἔστι μακαριώτατον μὲν ἐκεῖνο κατορθούμενον, ὅτε τις δηλαδὴ ἐς τοσοῦτον ἀνδρεῖος γένηται κατὰ παθῶν καὶ ἀπρόσμαχος, ὡς μηδὲ τολμᾶν ἐμπαθῆ λογισμὸν προσβάλλειν αὐτῷ, μηδὲ κατορχεῖσθαι αὐτῷ τὸν ἐπιστατοῦντα τοῖς τοιούτοις δαίμονα. Διάκειται γὰρ ὁ τοιοῦτος ἄνθρωπος πρὸς τὰ πάθη, ὡς εἰ καὶ ἠγνόει, τί ποτέ ἐστι τὸ κακόν, καὶ ὡς εἰ μηδὲ ἄνθρωπός ἐστιν, ὑποκείμενος πάθεσι. Καὶ οὕτω μὲν αὐτὸς τῷ ὄντι μακαριώτατος· μακάριος δὲ καὶ ὁ δεύτερος, ὃς παλαίει μὲν καὶ στροβεῖται, οὐ καταῤῥίπτεται δέ· καὶ πυγμαχεῖ μὲν κατὰ τοῦ ἐμπαθοῦς τῆς ψυχῆς, περιγίνεται δὲ καὶ ἄγχει, ὡς οἷα καὶ Σαμψὼν λέοντα, καὶ ὡς ἐπὶ ἀσπίδα καὶ
Ms. fol. 53. b. βασιλίσκον ἐπιβαίνει, καὶ οὐ ψεύδεται τὸν ὄντως|| ἀνδρεῖον ἄνθρωπον, πρὸς βίαν κατὰ τὸν εἰπόντα κτώμενος τὴν ἀρετήν, καὶ παγκρατιάζων μὲν ἀεθλευτικῶς, οὐκ ἐκπίπτων δέ ποτε δεύτερος. Καὶ ἔστιν ὁ μὲν πρῶτος βασιλεὺς τῷ ὄντι κατὰ τῶν παθῶν, ὁ δὲ δεύτερος ὑποβασιλεύς. Διὸ καὶ ἐκεῖνος μὲν ἀνεκλόγιστός ἐστιν. Ἐπὶ τίνι γὰρ ἂν καὶ λογιστευθήσεται ὁ μηδέν τι δρῶν ἀπαρέσκον θεῷ; Ὁ δὲ ὑπόσχοιτο ἄν ποτε λόγους, ὡς εἰκός, τῷ τοιούτῳ βασιλεῖ, ὡς ἢ μὴ ταχὺ κυριεύων τῆς νίκης, ἢ καὶ ὑπερβαίνων τὸν τῆς ἀθλήσεως νόμον, ὅτε μὴ κατὰ διάκρισιν ἐνεργεῖ· ἧς διακρίσεως οὐκ εὐστοχοῦντές εἰσιν ὅτε οἱ νηστευταὶ πρὸς τῶν κανόνων εὐθύνονται. Ἀποτελεῖ δὲ καὶ ἐν αὐτοῖς τὴν τοιαύτην διάκρισιν ἡ πρὸς τοὺς ἀδελφοὺς ἀγάπη. Ταύτῃ γὰρ ἑαυτὸν κανονίζων ὁ ἐγκρατευόμενος ἐπί τε ἑαυτῷ καὶ τοῖς ἀμφ' αὐτόν, ἀήττητος ἀεθλευτὴς ἀπεκβήσεται, πῇ μὲν ὑπενδιδούς, πῇ δὲ βιαζόμενος· καὶ οὕτω καὶ αὐτὸς ἁρπάζων τὸ καλόν, ὡς τὸν μὲν ἀπαθῆ ἀγνοεῖν ἀπλύτητος λόγῳ, εἰ καὶ ἔστιν ἁμαρτία ἢ ἐξαμαρτάνειν, τὸν δὲ μετριοπαθῆ εἰδέναι μὲν ἐπιστημονικῷ κανόνι τοῦ καλοῦ καὶ τὸ μὴ καλόν, βιάζεσθαι δὲ τὴν βασιλείαν τῶν οὐρανῶν.

43. Οὕτω καθεσταμένου ἡμῖν καὶ τοῦδε τοῦ πραγματεύματος, προσεπιτίθημι καὶ τὸ κατὰ τὴν προσευχὴν τάλαντον, καὶ τὸ κατὰ τὸν ἔλεον τὸν πληρέστατον. Ἀνόπιν γὰρ βραχύ τι τοῦ κατ' αὐτὸν προεβαλόμεθα κέρματος. Τούτων δὲ τῶν δύο ταλάντων τὸ μὲν ἀπονεύει πρὸς θεὸν αὐτόν, εἰς ὃν ἀναβαίνειν αἱ ἀγαθαὶ δηλοῦσιν εὐχαί· τὸ δὲ πρὸς τοὺς ἐκείνου ἀδελφούς, τοὺς ἡμῖν μὲν ἐλαχίστους προφαινομένους, παριστατοῦντας δὲ ἄλλως τῷ θεῷ, ὑφ' ὧν καὶ αἱ εὐχαὶ πρὸς ἐκεῖνον διαπορθμεύονται.

44. Μυστήριον ἐκλαλῶ ὑμῖν ἱερατικόν, ἐν ᾧ καταμόνας εὐχόμενοι, ὅτε λειτουργοῦμεν τὰ θεῖα, θεοκλυτοῦμεν, διὰ μνήμης εἶναι τῷ ὑπεραγάθῳ κυρίῳ καὶ τοὺς μεμνημένους τῶν πενήτων, ὥστε ἡ ὥρα ἐκείνη τῆς εὐχῆς ἐκείνους προςλαμβανομένη παριστᾷ τῷ θεῷ ἔμπροσθεν τοῦ κατ' αὐτὸν ἁγιωτάτου βήματος, ὅσοι τῶν ἀδελφῶν αὐτοῦ μέμνηνται. Οἱ δέ γε μὴ τοιοῦτοι οὐκ ἐγγίζουσιν ἐκεῖ. Θυρωροὶ οὖν καὶ εὐπαῤῥησίαστοι παραστάται, θεοῦ θεράποντες οἱ τοιοῦτοι αὐτοῦ ἀδελφοί. Καὶ τοίνυν χρηστέον αὐτοῖς μέσοις, τά γε εἰς σωτηρίαν· οὐ δωρεάν, ἀλλὰ πρὸς ἀντίδοσιν, τὴν ἐκ θεοῦ. Ἃ γὰρ οἱ ἀδελφοὶ λαμβάνουσι, καὶ τῷ θεῷ μερίζονται, κἀντεῦθεν ἐκεῖνος ἀντιχαρίζεται, νόμῳ ἰδίῳ βιαζόμενος πρὸς ἀντάμειψιν. Δῆλον δέ, ὡς κἀνταῦθα ἡ ἀγάπη συμπαρεισδύεται, αὐτὴ ἀποτελοῦσα καὶ τὰ τοιαῦτα καλά.

45. Οὔτε γοῦν εὐχὴ ὁσιοῦται ὑπέρ τινων τοῖς γε μὴ ἀγαπῶσιν, οὐδὲ μὴν ἔλεος. Χρὴ δὲ ἐπιστῆσαι, ὦ ἀδελφοί, ὅτι ἔλεον ὑμῖν ὑποτίθεμαι, οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν κανονικόν, τὸν ἀπὸ δικαίου πονήματος, καὶ λοιποῦ δὲ οὐκ ἀποτετραμμένου περιουσιασμοῦ, τὸν μὴ ἀπὸ κλεμμάτων, τὸν μὴ ἐξ ἁρπαγῆς, τὸν μὴ ἀπὸ συκοφαντιῶν καὶ διαβολῶν, μήποτε δὲ οὐδὲ τὸν ἐκ τόκου ἀθέσμου. Ἐλεημοσύνη γὰρ ἡ ἐκ τούτων ἀπρόσδεκτος τῷ θεῷ, καθὰ καὶ ἡ ἐκ μισθοῦ πόρνης. Ὁ γὰρ

τοι ὀρθὸς καὶ ἀπηκριβωμένος ἔλεος ὑπερλίαν φιλεῖται τῷ ἐλεήμονι θεῷ, ἔλεον ἐθέλοντι, καὶ οὐ θυσίαν, τήν τε ἄλλην, καὶ οὐχ οὕτως οὐδὲ τὴν τῆς αἰνέσεως, εἴπερ ἐλέῳ μὲν καὶ αἴνεσις παντοία ἐπακολουθεῖ. Αἰνέσεις δὲ πολλὰς οἱ πολλοὶ ποιούμεθα ἐλέῳ ἀνεπιμίκτους.

46. Ἀλλὰ τί μοι παράγειν εἰς προχείρισιν ὑμῖν σμικρολογικῶς τοῦτο, καὶ ἐκεῖνο, καὶ ἄλλο, καὶ λοιπά τινα ἐπ' αὐτοῖς θεοῦ τάλαντα εὐαρίθμητα; Φέρε δὴ τὴν ὅλην γάζαν τοῦ μεγίστου βασιλέως ἡμῶν, αὐτοῦ τοῦ θεοῦ, τὸ θησαυροφυλάκιον, ἐν ᾧ πᾶν ἱερὸν κειμήλιον συνεσπείραται καὶ κατεσφράγισται, πιστεύσω ὑμῖν ἐξ οὗ ἔσται ἀναλέξασθαι ὡς πιστοὺς ὑμᾶς θεράποντας, ὁπόσα εἰς δάνειον βούλεσθε ἀφ' οὗ λαβόντες, αὐτοί τε ἀποπλήσετε τὴν θεῷ ἀρεστὴν ἀπληστίαν, καὶ τὸν τοῦ θεοῦ κορβωνᾶν ἀφήσετε πάλιν μεστὸν καθὰ καὶ πρότερον. Τὸ γὰρ παραδοξότατον ἅπαντες μὲν ἐκεῖθεν ἀρύονται οἱ τὰ θεῖα διψῶντες, καὶ σιτίζονται οἱ κατὰ θεὸν πεινῶντες· ἡ δὲ τοῦ θησαυροῦ ἀποθήκη ἀεὶ ἐμπέπλησται, καὶ τοῖς ἐθέλουσιν ἐξ αὐτοῦ λαμβάνειν μεμεστωμένη πρόκειται. Φύλαξ δὲ καὶ ταμίας τῆς τοιαύτης πλουσιωτάτης γάζης, τῆς καὶ παντοδαπανήτου καὶ ἀνελλιποῦς, ὕστερον μὲν ὁ τῶν θείων εὐαγγελιστῶν καὶ λοιπῶν θειοτάτων ἀποστόλων, ἔτι δὲ καὶ ἱερῶν κηρύκων πληθυσμός, || Mo. fol. 54. a. πρὸ δὲ αὐτῶν ὁ μέγας βασιλεὺς καὶ θεοπάτωρ Δαυΐδ, ὁ ἐκ τοῦ θεοῦ τὸν τοιοῦτον ἀπόκρυφον πλοῦτον πεπιστευμένος, οὐχ ὥστε ταμιουχεῖν αὐτὸν ἡλίῳ ἀνεπισκόπητον διὰ τὸ ἀμετάδοτον, ἀλλ' ἵνα ἐν ἀσφαλεῖ φυλάττων αὐτὸν ποθητὸν ποιῆται τοῖς χρῄζουσι. Χρῄζουσι δὲ πάντως αὐτοῦ οἱ τοῦ παμβασιλέως θεοῦ ἄνθρωποι, οἱ καὶ τὸν Δαυΐδ ποθοῦντες καὶ τὸν αὐτὸν βασιλεύσαντα κύριον.

47. Ἀλλὰ τίς ὁ θησαυρὸς οὗτος, ὁ καὶ ὀλίγος καὶ πάμπολυς, ὁ καὶ βραχὺς καὶ ἀναρίθμητος, ὁ τῇ ποσότητι μὲν σφιγκτός τε καὶ εὐπερίληπτος, τῇ δὲ ποιότητι πάμμεγας καὶ πάντα κόσμον ὀλβίζων ταῖς ἐξ αὐτοῦ ἀγαθοχυσίαις; Ἰδοὺ συνορᾶτε μετὰ προσοχῆς καὶ ἐπιστασίας ἀπηκριβωμένης, ὥστε συλλαβεῖν αὐτὸν ἐν βραχεῖ, καὶ εὐπεριλήπτως δράξασθαι ἐπὶ κέρδει βασιλείας αὐτῆς τῆς τοῦ θεοῦ· καὶ συναχθέντες εἰς νοῦν, καὶ τὰς ὡς οἷον εἰπεῖν γραμμικὰς τῆς ψυχῆς ἀποτάσεις εἰς κύκλον στρέψαντες, ἐντεῦθεν δὲ καὶ ἀποσφαιρώσαντες εὐμεθόδως ὡς πρὸς μίμησιν οὐρανοῦ, ἐν ᾧ θεὸς ὑπερκαθήμενος πάντα, ὅσα ἐθέλει, ποιεῖ, ἐμβλέψατε ταμιείῳ πολυχωρήτῳ, ἐν ᾧ τὸ τῶν ἀρετῶν ἁπασῶν κειμηλιοῦται πλήρωμα. Ἔστι δὲ τὸ πολυτίμητον, φάναι δὲ μᾶλλον πάντιμον τουτὶ δοχεῖον τῶν κειμηλίων τοιοῦτον· ἔκκλινον ἀπο κακοῦ, καὶ ποίησον ἀγαθόν. Σμικρὰ τούτου ἡ περιγραφή, ἀλλ' ἀμύθητος ἡ τῆς περιοχῆς δύναμις. Ἔν τι δοκεῖ παράγγελμα θεῖον αὐτὸ εἶναι· τὸ δέ ἐστι τὰ πάντα. Τούτῳ ἀρετὴ πᾶσα ἐγκρέμαται· μισγάγκειά τις αὕτη, ἐν ᾗ σύῤῥοια παντὸς ἀγαθοῦ. Ἐθέλω χρυσίτην εἰπεῖν αὐτό· εἴποιμι ἂν οὕτως οὐδὲν ὑψηλόν. Ἔστι γοῦν πάσης γραφικῆς χρυσίτιδος μεταλλεία ὑπερκάθαρος, ἐθέλουσα οὔτε πῦρ, οὔτε φύσας, οὔτε χόανα πρὸς ἀναχώνευσιν. Δεχὰς κυριακὴ αὕτη καὶ δεξαμενὴ καλῶν ἁπάντων, δοχεῖον ἐντολῆς ἁπάσης θείας, ὁποίαν ἂν εἴποι τις· πανσπερμία πνευματική.

48. Καὶ ἔστι διὰ βραχέων ὑμῖν, ὦ ἄνθρωποι τοῦ θεοῦ, πειράσασθαι τοῦ λεγομένου, ὡς ὁ θεὸς οἶδεν ἐμπνέειν „ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.“ Ἰδοὺ πλοῦτος οὗτος, ὦ θεῖε λαέ, ἀνεκδιήγητος· ἐκδανείζεσθε. Ἰδοὺ θάλασσα, καὶ πλέετε δι' αὐτῆς οἱ τὰ θεῖα φιλοκερδεῖς. Ἰδοὺ πηγή, καὶ ἀρύεσθε. Εἰ δὲ βραχεῖα προφαίνεται, ὅτι καὶ ὀλίγη προφέρεται, ἀλλὰ γεύσασθε, ἵνα γνῶτε, ὡς θᾶττον ἂν ἀποκάμητε ὑμεῖς πίνοντες, ἤπερ αὐτὴ οὐ μόνον οὐκ ἐπιλείψει, ἀλλ' οὐδὲ ἐλαττωθήσεται. Ἔκκλινον ἀπὸ κακοῦ φησιν, οὐ τοῦδε ἢ ἐκείνου, τοῦ ἑνός, τῶν δύο, τῶν τριῶν, τῶν τεσσάρων, τῶν πλειόνων, ἀλλὰ εἰς ἓν εἰπεῖν, ἁπάντων. Εἰ δὲ ἡ φράσις ἰσχναινομένη τῇ βραχυλογίᾳ μερικεύει τὸ πλουτοποιὸν ὄνομα, οὐκ ἔστιν ἐνταῦθα παῤῥησιάσασθαι σμικρολογίαν φιλόσοφον, δι' ἧς ἡ ἀοριστία ὑπονοεῖται, ἐν ταῖς τοιαύταις προφοραῖς μερικεύουσα τὴν ὁλότητα. Ὅμοιόν ἐστιν ἐνταῦθα εἰπεῖν· ἔκκλινον ἀπὸ κακοῦ, ἔκκλινον ἀπὸ πάσης φαυλότητος. Ἑνὸς γὰρ ἀποφυγὴ κακοῦ οὐκ ἂν ἔχοι ἔπαινον, ὅτε τὰ συγγενῆ ἀντεισέρχεται, καθὰ οὐδὲ ἐξάντλησις βορβόρου, ὅτε ἕτερος ἐπεισρέει. Ἔκκλινόν φησι τοῦτο, ὡς ἐπὶ ὁδοῦ, ἣν ὁ βαδίζων οὐκ ἐπιτυγχάνειν ἔχει οὗ θέλει καταλύματος. Βαδίζω οὖν φησιν οὐ κατὰ ἀρετήν, ἀλλὰ τὴν ἀπάγουσαν ἐπὶ τὸ κακόν. Ἔκκλινον, ὅπερ ἐστί, κατακλάσθητι τῆς τοιαύτης ὀρθῆς καὶ εὐθείας, καὶ πλαγιάσας γενοῦ τῆς ἀπαγούσης εἰς τὸ ἀγαθόν. Καὶ οὕτω δηλαδὴ σωθήσῃ.

49. Ποιεῖ δὲ τὴν τοιαύτην ἔκκλισιν ἡ κατὰ ἀρετὴν ἐνέργεια, ἡ κατὰ ἀγάπην θεῷ πρέπουσαν καὶ ἀρέσκουσαν, ἡ κατὰ δικαιοπραγίαν, ἡ κατὰ τὸ ἀπονήρευτον, ἡ κατὰ τὸ σῶφρον, ἡ δικαιοσύνη, τὸ ἀνδρίζεσθαι κατὰ πολέμου δαιμονικοῦ, τὸ ἀληθίζεσθαι, τὸ ἐλεεῖν, τὸ δικαιοπραγεῖν, τὸ βοηθεῖν τοῖς ἐνδεέσιν, ὃ καὶ αὐτὸ ἐλέου εἶδός ἐστι· τὸ μὴ περιεργάζεσθαι, ὅπου καιρὸς ἁπλότητος, τὸ συμβολαιογραφεῖν πρὸς ἀλήθειαν ὡς ἐνώπιον θεοῦ, καὶ φυλάττειν ἀνεξάλειπτα ἐν ἀληθευούσῃ ψυχῇ, ὅσα γράφεται, καὶ μὴ μάτην οὕτω σταυρικὸν

τύπον προβάλλεσθαι, καὶ οὕτω τρόπον τινὰ λέγειν καὶ ἡμᾶς· ἆρον, ἆρον, σταύρωσον τοὺς ἀδελφούς, οὓς ἀπατῶμεν || (Ms. fol. 54. b.) τῷ τιμίῳ σταυρικῷ προβλήματι· τὸ μὴ ἀποστερεῖν εἴτε κατὰ ἑτεροίαν ἀδικίαν, εἴτε μὴ ἀποδιδόντας τὸ λαμβανόμενον, εἴτε πρὸς δάνειον, εἴτε παραθήκης λόγῳ, εἴτε πρὸς χρείαν τινά· τὸ μὴ παρασπᾶσθαι γῆν ἀλλοτρίαν, καὶ αὐτὴν μήτε ἰδιωτικήν, τῷ παντὶ δὲ πλέον, μηδὲ ἀφωρισμένην τοῖς ἱεροῖς.

50. Τοῦτο δὴ τὸ ἱεροσυλικόν· Χρὴ γὰρ ἐνθυμεῖσθαι τὰ παρὰ τοῖς Ἕλλησι τεμένη, ὁπόσα ἐκεῖνοι μὲν ἀφιέρουν δαίμοσιν. Οἱ δὲ αὐτὸ εἰδότες, ὄμματα μόνον ἐπαφιέντες αὐτοῖς, ὡς εἰς θέαν ἁπλῆν εἴτε καὶ θαῦμα, πόδας οὐκ ἐπέβαλλον, ἀλλὰ παρέτρεχον εὐλαβῶς, καί, ὡς αὐτοὶ ἐνόμιζον, ἱεροπρεπῶς. Εἰ δέ γε ἄλλως ἐποίησαν, εἶχεν ἂν αὐτοὺς νόμιμος τοῖς τότε θάνατος. Τὸ δὲ μεῖζον· καὶ ἄνετοι ζώων ἀγέλαι τοῖς τοιούτοις ἐνετρέφοντο τεμενίσμασι, καὶ ἦσαν ἄσυλα καὶ αὐτά· καὶ πρότερον ἂν κατέφαγέ τις ἰδίαν σάρκα, ἤπερ ἐκείνων ἥψατο.

51. Νῦν δὲ ἀποθεοῦσθαι δοκοῦμεν, εἰ τὰ ἐκκλησιαστικὰ νοσφιζόμεθα. Πολὺς ἐν ἡμῖν ὁ λόγος τό· καὶ τί δήποτε ὁ θεὸς καὶ οἱ τοῦ θεοῦ ἅγιοι τῶν τοιούτων δέονται, οἱ μήτε σπείροντες, μήτε θερίζοντες, μήτε τρώγοντες, μήτε πίνοντες; Εἰ δὲ χάριν ἄλλων ταῦτα, ἵνα οἱ πένητές φασιν ἐκ τῶν τοιούτων ἀποτρέφωνται, ἰδοὺ ἡμεῖς πτωχοὶ οὐ καθέξομεν αὐτὰ καὶ θρεψόμεθα. Ὦ ἐλεεινοὶ τοιοῦτοι ἀδελφοί· οὐκ οἴδατε, θεοῦ καὶ τῶν θείων καταπαίζοντες· οὐδὲ ἐνθυμεῖσθε, μείζονας ἑαυτοὺς τοῦ θεοῦ καθιστῶντες, εἴπερ ὑμεῖς μὲν ἀποχαρισάμενοι τὰ δῆθεν ὑμέτερα φίλοις ἢ συγγενέσιν ἢ ἄλλως οἰκείοις, οὔτε θέλετε, οὔτε δύνασθε αὖθις αὐτὰ κτήσασθαι ἀναλαβόμενοι· τὸ μέν, ἵνα μὴ ψευδεῖς φανείητε καὶ ἄστατοι καὶ παλίμβολοι, τὸ δέ, ὅτι πτοεῖσθε τὸν τὰ τοιαῦτα κολάζοντα νόμον καὶ τὸ ἐξ αὐτοῦ τίμημα· τὰ δὲ τῷ θεῷ καὶ τοῖς ἁγίοις αὐτοῦ ἀποχαρισθέντα καθαρπάζοντες, οὐ λογίζεσθε παροργίζειν ἐκείνους, οὐδὲ εὐλαβεῖσθε δικαιοτάτην ἄμυναν ἀλλὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν, ὥσα καὶ ἀσπίδα στεῤῥάν, ὑποδύντες, τοξάζεσθε κατὰ τῶν αὐτοῦ ἱερέων καὶ ἱερῶν. Εὐχοίμεθα, μὴ πάλιν ἐκθυμώσωμεν αὐτόν. Εἰ γὰρ αὐτὸ γένηται, τότε μαθήσεσθε ἀπ' αὐτῶν ἔργων, οἷος ἐκεῖνος τὴν ἀγανάκτησιν· ὅς, καθάπερ οὐ φιλεῖ κλεπτόμενος, οὕτως οὐδὲ ἁρπαζόμενος. Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς· ἐχέτω οὖν ἕκαστος, ὅσον θεόθεν ἔλαβεν, ἵνα μὴ ἀδικῶν οὐ πάθοι εὐλογίαν.

52. Ἀλλ' ὅπερ ἐλέγομεν, ποιεῖ ἔκκλισιν κακοῦ καὶ τὸ ἀσυκοφάντητον, καὶ τὸ ἀβλάσφημον, καὶ ἡ ἐν δέοντι εὐλογία, καὶ τὸ μὴ καταμαρτυρεῖν ἐπὶ ψεύδεσι, καὶ τὸ χαίρειν μετὰ τῶν ἐπ' ἀγαθοῖς χαιρόντων, καὶ κλαίειν μετὰ τῶν ἐφ' οἷς χρὴ κλαιόντων, καὶ τὸ [μὴ] θηριωδῶς ἐπεξέρχεσθαι καὶ κολάζειν ἀφόρητα τοὺς πταίοντας· ἔτι δὲ καὶ τὸ ἀπορουμένοις τά γε εἰς συμβουλὴν ὑποτιθέναι τὰ ξύμφορα, καὶ οὕτως ὑπεξάγειν αὐτοὺς βόθρου ἀπωλείας, εἰς ὃν ἐμπίπτουσιν οἱ ἀπρομηθέστεροι.

53. Ἔκκλισις κακοῦ ἐπισημοτάτη καὶ ἡ τοῦ δανείου μέθοδος, πρῶτα μὲν ἡ θεοπαράδοτος, καθ' ἣν ἐπαινεῖται καὶ ὁ τὸ ἀργύριον αὐτοῦ μὴ διδοὺς ἐπὶ τόκῳ· δευτέρῳ δὲ λόγῳ ἡ νομική. Ὁ μήτε κατ' ἐκείνην, μήτε κατὰ ταύτην δανείζων, εἰ καὶ βαρὺς ὁ λόγος, ἀλλ' ὅμως λέγω, πεποιθὼς τῇ ἀληθείᾳ, ὅτι ἐπάρατός ἐστι καὶ ἐπίῤῥητος. Ἐγὼ δὲ συννοούμενος καί, ὅπως οἱ τοκογλύφοι, πολλῶν ὄντων τόκων (τίκτουσι γὰρ οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ζῶον ἅπαν, δίχα γε τοῦ κατὰ τοὺς γύπας φύλου· λέγεται δὲ καὶ γῆ τίκτειν καὶ θάλασσα· τίκτει δὲ καὶ νοῦς γεννήματα προσφυῆ· καὶ ὅλως πεπλάτυνται τὸ ὄνομα τοῦ τόκου) — οἱ δὲ ἰδίασαν αὐτὸ κατά τι ἐξαίρετον ἐπὶ τοῦ κατ' αὐτοὺς δυστόκου τόκου. Οὔτε ἡ φύσις οἶδεν, οὔτε ἡ κατ' ἄνθρωπον ὀρθότης, καὶ ὁ θεὸς δὲ ἀπηγόρευσε. Πλατὺ γοῦν αὐτοῖς καὶ πολὺ καὶ τρανὲς τό· δός μοι τὸν τόκον μου. Ποῖον, ὦ δανειστά; ὃν σὺ ἐγέννησας, ὃν δὲ ἡ παιδίσκη σου, ὃν δὲ ἡ θυγάτηρ σου ἢ ὁ βοῦς σου ἢ ἵππος; Οὔ φησιν, ἀλλὰ τὸν τοῦ ἀργυρίου μου. Θητικὸν δέ, ὦ ἄνθρωπε, τὸ ἀργύριόν σου, ὥστε καὶ γεννᾶν. Καταγελᾶν μου φησὶν ἔοικας, ὦ χρεῶστα. Σὺ δὲ δός μοι τὸν τόκον μου. || (Ms. fol. 55. a.) Τούτου δὲ εἰ μὴ βαρύτερον, ἀλλ' οὖν γελοιότερον νόημα δανειστοῦ, στερομένου ὧν ζητεῖ, τό· οἱ τόκοι ἀπώλεσάν με, μὴ διδόμενοι δηλαδή. Λοιπὸν ἄρα, ὦ τοκιστά, οὐκ ἔστι σοι κυριακὸν τοῦτο τὸ ἀγαθόν. Ὁ κύριος μὲν γὰρ οὐκ ἀπόλλει, ἀλλὰ καὶ πλουτίζει μείζοσιν ἐπιθήκαις, καὶ εὐδαιμονίζει καὶ τιμᾷ· ὁ δὲ τόκος οὗτος ἀπόλλυσι, καθά συ φῄς. Ἀπόλλυσι δέ σε μὲν τὰ ἐς ψυχήν, τὸν δὲ καταβαλλόμενόν σοι αὐτὸν τὰ ἐς ζωήν, ὡς μὴ ὤφελεν. Ἀλλ' ὅτε καὶ αἰδούμενός τις τόκον εἰπεῖν, ὠφέλειαν αὐτὸν καλέσει, πολυωνυμίας τόπον τοῦτον αὐτὸς ἐξευρών, τότε δὴ γελάσας τις πρὸς βαρύτητα, εἶτα καὶ παραφράσας ἐκ τῶν τοῦ ἁγιωτάτου Δαυῒδ ἐρεῖ· τίς ὠφέλεια ἐν τῷ ἀργυρίῳ σου, ἐν τῷ καταβιβάζειν σὲ εἰς διαφθοράν; Ὦ δόλιε τοκογλύφε ἄνθρωπε, μέχρι τίνος τοιοῦτος ἔσῃ; Δόλιον γάρ σε ἀποκαλῶ εὐθυβόλως καὶ ἀκολούθως τῷ συνδυάζοντι τὰ τοιαῦτα μεγάλῳ προφήτῃ καὶ βασιλεῖ, ὃς ὀνειδίζει τόπον, ἔνθα τόκος· καὶ τόκος καὶ δόλος παῤῥησιάζεσθον ἐπὶ τῶν πλατειῶν, ὡς ἐπακολουθοῦντος

πάντως καὶ δόλου τῷ τόκῳ. Ψεύδονται γὰρ ὁμολογουμένως τά τε ἄλλα καὶ τὴν κατὰ θεὸν ἀγάπην οἱ ἐπὶ ἀθέσμῳ τόκῳ δανείζοντες.

54. Ἀλλ' ἐπειδὴ καὶ ἄλλοτε πολλὰ παραινέσας ἐπὶ τῷ τοιούτῳ κακῷ, ἀνύσας ἔχω οὐδέν, ἀλλά που καὶ προσεπηύξησα τὸ δεινόν, καί μοι αἱ τῆς ψυχῆς ὠδῖνες τόκον διδασκαλικὸν ἐξέφηναν, οἷα καί τινα μύλην· σοὶ μόνῳ, μεγαλοδύναμε καὶ παντοδύναμε κύριε, ἀνατίθημι ἐξαμβλῶσαι τὸν ἀδρὸν τοῦτον τόκον, τὸ δαιμονικὸν γέννημα, τὸ τῆς πλεονεξίας ἀποκύημα, τὸ ἄγριον, τὸ μισάδελφον, τὸ καὶ μισόθεον καὶ θεομισές.

55. Ἔτι πρὸς τοῖς εἰρημένοις ἐκκλίνει κακὸν καὶ ὁ τὸν συκοφάντην ἀποπροσποιούμενος, καὶ ὁ τὸν ἐνδιαβάλλοντα παρωθούμενος, καὶ ὁ μὴ ἐρευνῶν ἀνθρώπων βίους εἰς οὐδὲν δέον καὶ μηδὲν αὐτῷ προσῆκον οὔτε κατὰ πνεῦμα, οὔτε κατὰ σάρκα· ὁ τὴν πραγματείαν ἀδολίευτος· ὁ μὴ τὸν κανόνα καταδουλούμενος· ὁ μὴ τοὺς νόμους καταπατῶν· ὁ τῷ πρεσβυτέρῳ αὐτοῦ καὶ τιμιωτέρῳ μὴ μόνον ὁδοῦ παραχωρῶν καὶ καθέδρας ὑπεξιστάμενος, πολλῷ δὲ πλέον μηδὲ καταναιδευόμενος τοῦ τοιούτου, ἀλλὰ καὶ λαλοῦντος αὐτοῦ σιωπῶν, καὶ ἀγαθὰ μὲν εἰπόντος πειθόμενος, πταίσαντι δέ τι συγγνωμονῶν διακριτικῶς· ἔτι καὶ ὁ τὸν ὁπωσοῦν πλανώμενον ἐπιστρέφων ἐφ' ὁποσονοῦν, καὶ ἐνάγων εἰς τὴν ὀρθήν· καὶ ὁ πρὸς τὸ ἐρωτώμενον ὀρθῶς ἀποκρινόμενος, καὶ μὴ κατὰ ὑπόκρισιν, ἣν τὸ μὲν ἀληθινὸν φῶς, ἡ αὐτοαλήθεια, ὁ θεὸς μισεῖ, ὁ δὲ τοῦ σκότους ἄρχων ὑπερφιλεῖ διὰ τὸ πρὸς αὐτὸν ὅμοιον.

56. Ἡ γὰρ οὐ σκοτεινὸν πᾶσα ὑπόκρισις, δίχα γε τῆς λογικῶς παραδεδομένης; οὐ μίμησις ψιλὴ ἀγαθοῦ, καὶ πλέον οὐδέν; Ὄργανον ἀπάτης αὕτη, ὑπόξυλος καλλονή, ἄγαλμα πονηρίας, ῥυπαρὸν μὲν τὰ ἔνδον καὶ ὑπομόχθηρον καὶ κίβδηλον, τὰ δὲ προφαινόμενα περικαλλές, καὶ οὐ κατά τι χολοβάφινον, ἀλλὰ ἀμυδρόν τι προλάμπον χρυσέᾳ στιλπνότητι. Λάκκος αὕτη κατηνθισμένος ἐπὶ ἀπωλείᾳ τῶν περιπεσουμένων ψυχῆς ἐκπορνευούσης μόρφωσμα· κακία ὕπουλος, ἀρετὴν ἐπιφαίνουσα διαβόλῳ αὐτείκελον· ψεῦδος ἔνσαρκον· λιμὴν φρίσσων λίθοις ὀξέσιν ὑφάλοις· παγὶς εὐπρόσωπος· χαροπὸν θηρίον, οὗ τῇ κατ' ὄψιν χαρᾷ τὸ τῶν ὀδόντων ἀντιφωνεῖ κάρχαρον. Ὀρθότητος αὕτη ἐμπαίκτρια, οἷς ἀεὶ πλαγιάζει, τὰ πολλὰ δὲ καὶ κύκλῳ περιπατεῖ ἀσεβῶν δίκην, κατὰ τὸν ψαλμῳδόν. Ἀγάπης κρυπτὸς ἐπίβουλος, οἷς ὑφειμένη, κατὰ τὸν εἰπόντα, ὡς ἔχιδνα λανθάνουσα, ἐκπίνει τὸν ἄνθρωπον. Ἀλώπηξ πλήρης μὲν δόλου, ἀπατῶσα δὲ τοὺς ἁπλοῦς, τὰ πλείω δὲ τοὺς εὐηθικωτέρους, οἷς νεκρικῶς ἑαυτὴν κατευνάζει. Αὕτη, πρὸς αἴνιγμα φράσαι, τὸ πᾶν ἐστι καὶ τὸ μηδὲν· ἐκεῖνο μέν, οἷς τεχνάζεται, τὸ δέ, οἷς ἐργάζεται. Βούλεται μὲν γὰρ θεῖόν τι εἶναι, καθότι καὶ ἅγιον ἀπεκβαίνει δὲ εἰς δαίμονα κακοποιὸν καὶ μὴ εἰδότα, ὅ τί ποτέ ἐστι τὸ ἀγαθὸν τῆς ὀρθότητος· ἢ καὶ ἄλλως, εἰδότα μέν, ὀκνοῦντα δὲ χρῆσθαι αὐτῇ.

57. || Ψευδάνθρωπος ἄνθρωπος ὁ ὑποκριτής, ὡς δὲ καὶ δαιμονῶν λεχθείη ἂν καὶ δαιμονάνθρωπος. Ms. fol. 55. b. Καὶ Ἄργος μὲν ὁ θρυλλούμενος, οἷα πανόπτης, οἴδαμεν ὁποίῳ λόγῳ τοιοῦτος εἶναι πλάττεται· ὁ δὲ ὑποκριτὴς ἄλλο τι φέρει ξενίζον. Ψεύδεται γὰρ ὅλῳ τῷ σώματι, τῇ ἐπικύψει τῆς κεφαλῆς, τῇ ἐννεύσει τῆς ὄψεως, τῷ μειδιάματι, τῷ γελάσματι, τῷ φιλήματι, τῇ λαλιᾷ, τῷ πτύσματι ὁ κατάπτυστος· συνόλως εἰπεῖν, τῷ παντὶ προσώπῳ, τῇ βαθείᾳ προσκυνήσει, τῇ τοῦ ἀσπασμοῦ ἐμπλοκῇ, τῇ τῶν χειρῶν ἐμβολῇ, τῇ τῶν τριχίνων περιβολῇ, τῇ μεταδόσει, ὅτε που καὶ ἐλεήσει τὸν ἐπαιτοῦντα· τῇ τῶν γονάτων κλίσει ὡς εἰς προσευχήν· τῷ παντοδαπῷ τοῦ βαδίσματος. Οὔτε γὰρ σεμνῶς βαδίζων, πρὸς ἀλήθειαν αὐτὸ ποιεῖ, οὐδὲ μὴν σπεύδων, ὅτε τινὶ βοηθεῖν προσποιεῖται. Τὰ μέν τοι περὶ γαστέρα, καὶ εἴ τι ἐχόμενον, πεφυλάχθω σιγῇ, ὦ ψυχή, οὕτω τὴν καλὴν ἀχρειοῦσα πλάσιν, καὶ τὸν καλὸν ἄνθρωπον ψεύδουσα.

58. Ἔχω δείξας ἤδη τρανῶς, οἶμαι, ὅτι ἐκκλίνει τὴν κατὰ ψυχὴν κακότητα καὶ ὁ μηδέν τι ποιῶν ὑποκριτικῶς, ἀλλὰ πρὸς ἀλήθειαν. Οὔτε γὰρ ἡλίῳ κοινόν τι πρὸς τὸ σκότος, οὔτε τῇ ἀληθείᾳ πρὸς τὴν ὑπόκρισιν· ἀλλὰ ἀμεσολάβητος αὐτοῖς ἐστιν ἡ ἀντίθεσις, οὐ γινώσκουσα σύμβασιν. Ἔτι μακρὰν ἐκκλίνει κακοῦ καὶ ὁ μήτε φίλους διασπῶν, καὶ τοῖς ἐχθροῖς δὲ σπονδὰς πραγματευόμενος. Ἐκεῖνο μὲν γὰρ φαῦλον ἔργον ἀνδρός, τὸ δὲ δεύτερον θεοῦ, τοῦ ζωοδότου, τοῦ τῆς ἑνώσεως· ὁποίῳ ἐντακτέος τόπῳ καὶ ὁ μὴ τὴν ἔχθραν προςυπανάπτων, καὶ σπουδῇ τὸν σπινθῆρα τοῦ μίσους ῥιπίζων, καὶ ἐκφλέγων ὡς εἰς πυρκαϊάν.

59. Τί δὲ ἄλλα ἐμαυτοῦ λαθόμενος καὶ τῆς ἐν ἐμοὶ δυνάμεως, πειρῶμαι τὰ τῆς προκειμένης γάζης ἀναγράφειν ἐξαίρετα, δι' ὧν ἔστι τὴν κακίαν ἐκφυγεῖν; Λάβετε τὴν γάζαν ὑμεῖς, καὶ περιιόντες αὐτὴν πολυπραγμονεῖτε, καὶ ζητεῖτε τὰ συνοίσοντα. Εὑρήσετε δὲ οὐδέν, ὅ τι τῶν ἁπάντων μὴ πρὸς χρησίμου ὑμῖν, καὶ ὠφελείας πνευματικῆς, καὶ καλοῦ παντός. Συντάξατε δὲ τῷ ἔκκλινον ἀπὸ κακοῦ καὶ τὸ συγκείμενον τάλαντον, οὗ χάραγμα θεῖον καὶ τῷ ὄντι βασιλικόν, τὸ καὶ ποίησον ἀγαθόν. Κατὰ γὰρ τὴν ἱερὰν ἀνάπτυξιν οὐκ ἂν εἴη ἀρκοῦν ἐκκλίνειν ἀπὸ κακοῦ, εἰ μὴ καὶ ἀγαθοπραξίαν ἀσκοίη τις.

60. Τοῦτο δὲ οὕτω φημὶ οὐκ εἰς ἁπλοῦν τι καὶ ἀσχιδὲς νόημα· διαστίζω δὲ οὕτως. Ὁ μὲν ἀρεταῖς ὢν κατακόσμιος, καὶ ἀγαθοῖς πᾶσιν ἔμφορτος, ἔχων δέ τι ὅμως ὡς ἄνθρωπος καὶ παράπηγμα κακίας, καὶ ἐκκλίνας τοῦ τοιούτου κακοῦ, ἀρκεσθείη ἂν οὕτω ποιήσας, καὶ οὐκ ἂν ἀκούσοι ποθὲν τό· καὶ ποίησον ἀγαθόν. Ἤδη γὰρ πεποίηκε· καὶ πεποιηκὼς οὐκέτι κοπιάσει ἄλλο τι προσεπικτήσασθαι, ὡς ἤδη τἆλλα μὲν πάντα κτησάμενος ἀγαθά, ἐν δὲ τῷ ἀκοῦσαι ποθέν, ὅτι ἕν σοι λείπει, ἐξευρὼν ἐκεῖνο, ἐξ οὗ τῇ προτέρᾳ κακίᾳ ὅσα καὶ φραγμῷ τινι ἀπετειχίζετο, καὶ ὡς ἐξ αὐτομάτου ἐγκαταστὰς αὐτοφυῶς τῷ ἀγαθῷ ἅμα τῇ ἐκκλίσει τοῦ κακοῦ. Εἰ δέ τις μὴ πλουτῶν ἀγαθοῖς ἀπολέξεται κακίαν ἐπηρεάζουσαν, δι᾽ ἧς πτωχεύει, πενόμενος παντὸς ἀγαθοῦ, ἐκεῖνος πάντως ἐκκλίνας ἀπὸ κακοῦ ἀνάγκην ἕξει, προσλαβεῖν τῷ τοιούτῳ θείῳ ταλάντῳ καὶ τὸ δεύτερον, ἵνα μὴ τοῦ ἀγαθοῦ λειπόμενος εἴη ἀτελὴς ἄνθρωπος, ἀγγεῖον θεῖον ὑπόκενον, οἶκος θεοῦ ἀνεπίξεστος, ἀνείδεος ὕλη, ἀγαθὸν οὐ καλόν, διὸ οὐδὲ ζηλωτόν, ὡς ἂν δὲ πρὸς ἀκρίβειαν εἴπω, καὶ πάσης μὲν ἀρετῆς τρόφιμος, μιᾶς δέ τινος ἀπεχόμενος διὰ κακίαν κωλύουσαν. Εἶτα ἐκκλίνας μὲν τὸ κακόν, καταστὰς δὲ εἰς τὸ νεόκτητον ἀγαθόν, ἀγῶνα Ms. fol. 56. a. καὶ αὐτὸς ἔχει καὶ ἀπαίτησιν μὴ μόνον || τοῦ ποιῆσαι ἁπλῶς, ἀλλὰ καὶ ποιεῖν ἐνδελεχῶς τὸ καλόν, ἵνα μὴ εὐπετῶς ἀποστερηθείη αὐτοῦ, ἀλλὰ στερεώσας αὐτὸ εἰς παράμονον, ἀντὶ τοῦ πρὸ βραχέων ἀτενοῦς, ὑπερτελὴς ἀρετῆς λόγῳ γένηται. Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ἅπας ἄνθρωπος, ἐκκλίνας ἀπὸ κακοῦ, αὐτίκα καὶ πεποίηκέ τι ἀγαθόν. Ποῖον ἐκεῖνο; Αὐτὸ δὴ τοῦτο τὸ ἐκκλῖναι ἀπὸ κακοῦ.

61. Ἐγὼ δὲ ἐνταῦθα παραποιῶν τὸ προφητικὸν καὶ βασιλικὸν κέρμα τοῦτο, οὐ μὴν παραχαράκτου δίκην, ἀλλὰ κατὰ μεταβολήν, ἀρέσκουσαν καὶ αὐτὴν τῷ παμβασιλεῖ θεῷ, θεωρῶ αὐτὸ καὶ ἄλλως πρὸς ἐμὸν οὐκ ἄρρυθμον θέλημα. Καὶ πείθω ἐμαυτὸν κατὰ ἑρμηνείαν ἀλλοίαν μέν, βελτιοῦσαν δὲ καὶ αὐτὴν τοὺς κατ᾽ ἐμὲ δειλούς, ἐκκλίνειν, ὥσπερ ἀπὸ κακοῦ πράγματος, οὕτω καὶ ἀπὸ κακοῦ ἀνθρώπου· εἶτα σπουδάζειν, ἢ ἐκεῖνον ποιεῖν καὶ ἀποτελεῖν ἀγαθὸν ἐπιστρεπτικῶς, ἢ ἀλλὰ γοῦν ἐμοὶ αὐτῷ ποιεῖν ἀγαθὸν τὸ ἐκκλίνειν ἀπ᾽ ἐκείνου, μὴ καὶ συνδιαστραφῶ. Εἰώθασι γὰρ ὡς τὰ πολλὰ αἱ μετὰ τῶν φαύλων ἀναστροφαὶ οὐκ εἰς καλὸν συντελεῖσθαι. Ἔστι δ᾽ ἐν τούτοις ὁρᾷν καὶ τό· ποίησον. Οὐ γὰρ εἶπε λάλησον ἀγαθόν, ἢ δίδαξον, ἢ ἐννοήθητι, ἢ τοιοῦτόν τι, ἀλλὰ ποίησον ἀγαθόν. Ὃ δὴ σκοπιμώτατον τέλος ὁμολόγηται εἶναι ἁπάσης καὶ λαλιᾶς καὶ διδασκαλίας καὶ ἐνθυμήσεως. Ὅτι δὲ τὸ ἐκκλίνειν ἀπὸ κακοῦ καὶ ποιεῖν ἀγαθὸν οὐδ᾽ αὐτὸ τῆς ἀγάπης κεχώρισται, ὁ καὶ γλυκὺς καὶ σοφὸς καὶ ἅγιος βασιλεὺς [φησι], παραθεὶς αὐτίκα τό· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὡς γάρ τινος ὑπειπόντος· δός μοι μέθοδον, ὦ διδάσκαλε βασιλεῦ, ὡς ἂν ἐξανύσω καὶ τὴν ἐξάλυξιν τοῦ κακοῦ καὶ τὴν συναπτῶς ποίησιν τοῦ ἀγαθοῦ, ὑποτίθησιν εὐθὺς ἐπιστημονικῶς, ὡς διὰ εἰρήνης, εἴτ᾽ οὖν ἀγάπης, τὸ τοιοῦτον ἐκπληρωθήσεται ἀγαθόν. Ἀγάπης γὰρ ἁδρομερές τι κόμμα καὶ ἡ εἰρήνη, οὐκ ἔλαττον ἤπερ ἡ φιλία, ὡς ἔστι κατασκευάσαι τὸν σκεψόμενον πρὸς ἀλήθειαν.

62. Εἰ τοίνυν οὐκ ἔστι δρασμὸς ἐκ κακοῦ καὶ ποίησις ἀγαθοῦ ἄλλως, εἰ μὴ δι᾽ εἰρήνης, τῆς τε ὅλλης, καὶ τῆς ἐν ἑκάστῳ ἡμῶν, καθ᾽ ἣν ἅπαν ἀνταῖρον ψυχικὸν πάθος δουλοῦται, καὶ οὕτως ὑποτάσσεται τῷ βασιλεῖ λογισμῷ· ζητητέον αὐτήν, εἴ που καὶ κρύπτεται. Καὶ πάντως εὑρήσομεν, εἰ ζητήσομεν. Πᾶς γὰρ ὁ ζητῶν εὑρίσκει, καθὰ μανθάνομεν πρὸς ἀλήθειαν. Εἰ δὲ ζητήσαντες καὶ εὑρηκότες, οὐκ ἔχομεν αὐτῆς δράξασθαι διὰ πολλὰ τὰ αἴτια, ὧν ὀκνοῦμεν ποιεῖσθαι μνείαν, μὴ καὶ εἰς οὐδὲν δέον ὀχλοκοπῶμεν, θορυβοῦντες τοὺς ἀγχινουστέρους ἀκροατάς· τότε δὴ καὶ διώξομεν αὐτὴν φεύγουσαν, ὅπερ ἐστὶ δραμούμεθα σπουδαίως εἰς αὐτήν, κουφίζοντος ἡμῖν τὸν δρόμον τοῦ κατέχοντος ἐν χερσὶν τὸ βραβεῖον τῆς ἄνω κλήσεως, τοῦ τῆς εἰρήνης δοτῆρος ἡμῖν τοῖς ἐπικαλουμένοις τὸ αὐτοῦ ὄνομα. Πάντως γὰρ ὁ καθάπαξ εἰπὼν τό· εἰρήνη ὑμῖν, καὶ τό· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, τοῖς ἐμοῖς δηλαδή, οὐκ ἂν ζητουμένην ἀποκρύψῃ αὐτὴν ἀφ᾽ ἡμῶν, ἀλλ᾽ ἐπιτάξει προελθεῖν εἰς ἡμᾶς, εἰ μόνον θεοκλυτήσομεν, εἰ δυσωπήσομεν, εἰ γενώμεθα ἐπάξιοι τυχεῖν εἰρήνης, τῆς τῷ θεῷ φιλτάτης· ἧς καὶ οἱ τυχόντες μακάριοι, καὶ οἱ πρόξενοι δὲ συμμακαρίζονται, ὡς υἱοὶ θετοὶ τῷ θεῷ. Μακάριοι γάρ, φησιν, οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

63. Καὶ ἐγὼ μὲν καὶ οἱ κατ᾽ ἐμὲ οὕτω φρονοῦμεν περὶ τῆς ἀγαπητικῆς εἰρήνης τοῦ θεοῦ, καὶ τῶν κατὰ τὴν τοιαύτην εἰρηνικῶν ἀνθρώπων. Οἶδα δέ τινας ἄλλως διακειμένους καὶ ἀχθομένους, εἴ τινας βλέπουσι φιλιουμένους κανονικῶς ἀλλήλοις, καὶ κατὰ θεὸν ἀγαπῶντας, καὶ πνευματικῶς εἰρηνεύοντας. Οἳ καὶ μαχαίρας βάλλοντες, τὰς τοιαύτας ἀποτέμνουσι συμφυΐας, καὶ οὐκ ἀνέχονται, μὴ ταράχους τῷ βίῳ ἐμπολιτεύεσθαι, καὶ ὀχλήσεις καὶ δίκας καὶ τύρβας καὶ ζημίας, ἤδη δὲ που καὶ κολάσεις· ὡς οἷα χαίροντες αἵμασι, καὶ τὰς τῶν παλαιῶν Λακώνων ποθοῦντες ἐν τοῖς τοῦ θεοῦ παῤῥησιάζεσθαι μάστιγας, καὶ τὰ κατὰ τὸν Μίθραν

ἀλόγιστα κόλαστρα, ἤδη δὲ καὶ τὰ Κελτικὰ θυέσιμα ἐκ μέθης παίγνια, καὶ τὰ κατὰ Σκύθας, παρ' οἷς Ms. fol. 56. b. || ἄνθρωποι ἀναῤῥιπτούμενοι ἐς ὕψος, εἶτα κατιόντες λόγχαις ὀρθαῖς πεπηγυίαις περιεπείροντο. Τοῖς δὲ οὕτω κατεργαζομένοις τὰ εἰρηνικὰ καὶ ἄλλως, ὡς ἔοικε, παρὰ τὴν κοινὴν καὶ συνήθη ἔννοιαν καὶ ὀρθὴν καὶ θεοπαράδοτον τὸ περὶ τῆς εἰρήνης Δαυϊτικὸν ῥητὸν ἐκλαμβάνεται. Ζητοῦσι μὲν γὰρ εἰρήνην οἱ τοιοῦτοι, ὅποι ποτὲ πολιτεύεται· καὶ ῥινηλατοῦντες εὑρίσκουσι μὲν παρὰ τοῖς πραγματευομένοις αὐτήν, οὐκ ἀφιᾶσι δὲ μένειν παρ' ἐκείνοις· διώκουσι δὲ τρόπον ἄλλον, οὐχ ἵνα καταληφθεῖσα φυλαχθῇ, ἀλλ' ἵνα ἐξ ἀνθρώπων γένηται· καί που καὶ ἐπαγάλλονται τῇ κατ' ἔννοιαν διπλόῃ τῆς διώξεως, οἷα κατασοφιζόμενοι δι' αὐτῆς. Διώκειν γὰρ καὶ ἐπὶ φιλίας μὲν τίθεται γραφικῶς· τὰ πολλὰ δὲ ἐπὶ μίσους. Οὕτω γὰρ μακάριοι παρὰ τῷ θεῷ, οὓς ὀνειδίσουσί τινες ἕνεκεν αὐτοῦ καὶ διώξουσιν. Ἀλλὰ τοὺς τοιούτους μὲν λάχοι τὸ φίλον αὐτοῖς μῖσος, ἵνα τῷ διαβόλῳ συγχαίροιεν, τῷ τῆς ἔχθρας ἄρχοντι· ἡμεῖς δὲ εἰρηνεύοιμεν ἐν ἡμῖν αὐτοῖς, ὡς ὁ θεὸς παραγγέλλει, καὶ πραγματευοίμεθα τοῦτο ἐξ ὅλης ψυχῆς.

64. Εὐχοίμεθα δὲ καὶ τῷ κρατίστῳ ἡμῶν αὐτοκράτορι ἐγγίνεσθαι πλείω δύναμιν ἐκ θεοῦ, περιποιήσασθαι αὐτὴν εἰς ἀκέραιον καὶ παντελὲς τῷ κόσμῳ ἐπὶ σωτηρίᾳ κοινῇ· ὅς, εἰ καὶ τινες ἴσως οὐκ ἐπιβάλλουσι νοεῖν, ὁποίαις ἐργωδίαις περιτροχάζεται, ἀλλὰ βλέποντες εἰς νοῦν οἴδασι πρὸς ἀκρίβειαν. Καὶ ἔχει μὲν ἀληθῶς τὴν οὐρανόθεν ἐπικουρίαν καὶ σύναρσιν εἰςαεί. Καὶ πῶς γὰρ οὐκ ἂν πλουτοίη αὐτὴν ὁ καὶ ἐκλεγεὶς ἐκεῖθεν ἀμέσως διὰ τῆς τοῦ θεοῦ σοφίας, ἣν ὑπερεπόθησε, καὶ εἰς βασιλείαν ἀναβιβασθείς, καὶ ἅμα βασιλικῷ τῷ στέφει καὶ τροπαίοις ὡραϊσθείς, ὧν ἡμεῖς τὸ πρωτόλειον; Πρέπον δὲ ὅμως, καὶ ἡμᾶς, τοὺς δι' αὐτοῦ μετὰ θεὸν ἠλευθερωμένους, καὶ ἰδοὺ ζῶντας, συνεισάγειν εὐνοϊκῶς τὸ ἡμέτερον δι' εὐχῶν, ὧν οὐκ ἂν εἴη παρήκοος ὁ θεός. Ἐπιστάμεθα γὰρ ὥσπερ, ὅ τί ποτέ ἐστιν ἡ εὐχή, οὕτω καί, ὅτι δικαίας εὐχῆς οὐκ ἔστιν ἀποστατεῖν τὸν θεόν. Ἡ θυμίαμα μὲν ἄψυχον πάλαι μὲν τὸ κατὰ νόμον ἐκεῖνον τὸν παλαιόν, καὶ νῦν δὲ τὸ καθ' ἡμᾶς ἁγιοπρεπὲς δέχεται, καθὰ πιστεύομεν (καὶ ἀποδέχεται, σύμβολον καὶ αὐτὸ θείων μυστηρίων τυγχάνον)· προσευχὴν δὲ κατευθύνεσθαι ἐωθυῖαν εἰς αὐτὸν οὐ προσδέξεται, τὴν καὶ ἔλλογον καὶ ἔμψυχον, κατά γε τὸ πρὸς ἀλήθειαν, καὶ ὀρθῶς ἐνδιάθετον;

65. Εὐχοίμεθα δὲ ἂν εὐλόγως ἄρτι καιρίαν πληγήν, ἵνα, καθὰ τὸ δούλειον ἐκεῖνο ποτὲ βάρος ἀπηνέχθη ἡμῶν, θεοῦ μὲν ἐθέλοντος ἄνωθεν, ἔτι δὲ καὶ ἀναβαλλομένου τὸν ἐφ' ἡμῖν ἔλεον, τοῦ δὲ αὐτοκράτορος βιασαμένου ἐκεῖνον θεοπειθῶς, καὶ καθελκύσαντος τὸ ἐκεῖθεν ἀγαθὸν εἰς ἡμᾶς, οὕτω καὶ νῦν τόν, ὡς ἄν τις εἴποι, αἱμοχαρῆ ζυγὸν (οἴδατε δέ, ὃν λέγω) τὸν βαρβαρικόν, τὸν ἄλλως μὲν ἀείδουλον, ἄρτι δὲ ζυγοῦ δίκην ἀναιδευόμενον, τραχήλοις ἐπιπίπτειν, οἷς οὐδέν τι δουλείας μέτεστιν, ἀπαγάγοι τῶν ἀσυνήθων αὐχένων, θραυσθέντα καὶ ῥαγέντα καὶ πᾶν τοιοῦτον παθόντα κακόν· δι' οὗ ἐπιλάθηται μὲν τοῦ ζυγὸς εἶναι, ἀποταχθήσεται δὲ εἰς πυρκαϊάν, ὁποίαν ἀποτελεῖ συμφορὰ δουλώσεως. Πάντως γὰρ ὁ τῆς περὶ ἡμᾶς ἐλευθερίας ἐκείνης θεὸς ὁ αὐτός ἐστι καὶ νῦν, οὕτω δὲ αὐτοκράτωρ ὁ αὐτός. Καὶ γένηται ἂν καὶ νῦν κατὰ τὸ ἀγαθὸν ἐκεῖνο, εἴπερ αὐτοὶ ἐθέλομεν, οὐκ ἐν χρόνου πλάτει, ἀλλὰ τάχιον· εἰ δὲ μή, ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ, ἢ κατὰ ἀστραποῦ τάχος, καὶ ὅ φασι πρὶν ἢ καὶ εἰς ἐντελὲς νοῆσαι ἢ εὔξασθαι· ἃ καὶ αὐτὰ ὁ θεὸς δύναται, ἀλλ' οὖν θᾶττον, ἤπερ ἐλπίζομεν. Καὶ ἔστιν αὐτὸ ἐκ τῶν καθ' ἡμᾶς ἐκείνων, τῶν ἐν τῇ αἰχμαλωσίᾳ, τεκμήρασθαι. Εἰ γὰρ τότε, ὅτε οὐδεμία πόθεν ἐλπὶς ἐνέλαμπεν, οὐδὲ τρίμηνος ὀρθοθεσμία τετέλεστο, εἰς ὁλόκληρον καὶ ἐῤῥύσθημεν, ὧν εἴχομεν, μεγάλων κακῶν, ὡς οὐκ ἂν οὐδὲ ἐλογίσατό τις· τῷ παντὶ πλέον ἐνταῦθα ἔσται ταχὺ ῥαστώνη τοῖς οὐκ εὖ πάσχουσιν, εἰ μόνον κατανυγῶμεν βαθέως, καὶ στόμασι πεπλατυσμένοις καὶ οὕτω πεπληρωμένοις θεοῦ ἐκβοήσομεν πρὸς ἐκεῖνον τὰ ἱλαστήρια. Οὕτω γὰρ κλινεῖ τὸ οὖς αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπιμελήσεται πάντων εἰς εὐζωΐαν, καὶ τοὺς ἐν ζυγοῖς ἀδικοῦντας, οὐκ ἀνθρώπων υἱούς, ἀλλὰ τὸ ἐν αὐτοῖς θηριῶδες καὶ ἀλόγιστον ψευδομένους τὸν ἄνθρωπον, ἀφανιώσει ῥοπῇ ζυγοῦ τοῦ ἄνωθεν· καὶ οὕτω τὰ πρώην ἡμῖν ἐμπολιτεύσει ἀγαθὰ εἰς δόξαν αὐτοῦ καὶ αἴνεσιν, τὴν εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ms. fol. 57.a. || *Τοῦ αὐτοῦ Εὐσταθίου Θεσσαλονίκης λόγος προλαληθεὶς τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς, ὡς ἔθος.*

1. *Μακάριος ὁ ποιήσας καὶ διδάξας.* Δύο τὸ ῥητὸν τοῦτο ἐννοίας προΐσχεται, ὧν μία μὲν αὕτη· μακάριός ἐστιν ἐν ἀνθρώποις ὁ πρῶτα μὲν ποιήσας, εἶτα καὶ λόγοις διδάξας τὰ ἐς ὁμοίαν ποίησιν, ὡς χρεὼν ὄν, τὸν μαθόντα ποιεῖν ἀγαθόν, οὕτω καὶ ἑτέροις διδάσκειν· οὗ δὴ ἀρετὴ τὸ ἔμμισθον πῆ μὲν ἀνθρωπίνως, πῆ δὲ ἐκ θεοῦ, ὡς τὰ πολλὰ δὲ ἐξ ἀμφοῖν· ὡς ὅ γε μὴ πεποιηκὼς ἔτι, ἀλλὰ διδάσκων εἰς ἔργον, οἷα καί τις θυμόσοφος, εὐλαβοῖτο ἂν εἰκότως, μήποθεν ἀκούσοι τό· ἆρά γε πεποίηκάς ποτε αὐτός, ὃ νῦν διδάσκεις; Καὶ οὕτως αἰσχυνεῖται κατακαλυψάμενος. Καὶ αὕτη μὲν ἔννοια μία τοῦ προτεθειμένου ῥητοῦ. Δευτέρα δὲ τό· μακάριος, ὃς ἂν ποιήσῃ, καὶ οὕτως ἐν μόνῳ τῷ πεποιηκέναι διδάξῃ καὶ ἑτέρους ποιεῖν ἀγαθὸν ὅμοιον.

2. Τούτων τῶν δύο ἐννοιῶν ἡ μὲν προβεβλημένη πρώτη ἀνθρώπῳ ἐπιπρέπει τῷ ἁπλῶς, ἴνδαλμα τέχνης οὖσα, καθ' ἣν οὐκ ἔχει τις ἄλλως διδάξαι, εἰ μὴ πρότερον ἐγγυμνασάμενος καὶ καταλαχὼν εἴσεται ποιεῖν, ὃ μέλλει διδάσκειν. Ἡ δὲ δευτέρα, καθ' ἣν ποιῶν τις αὐτίκα καὶ παιδεύει καὶ συνετίζει καὶ ἀποτελεῖ τινας ἐπιστήμονας, μηδέν τι διδάσκων, ἀλλ' ἠρεμῶν τὰ εἰς μεθοδικὴν ἀκολουθίαν, θειότερόν τί ἐστι, καὶ οὐ κατ' ἄνθρωπον τέχνης εἰδήμονα, καὶ ἀρχέγονον καὶ συγκαταβεβλημένον τῷ κόσμῳ ἐν ἀρχῇ, καὶ διὰ τοῦτο πρωτεῦον, καὶ οὕτω τιμιώτατον. Ἀρχῆθεν μὲν γὰρ ὁ θεὸς πεποίηκε, καὶ οὕτως ἐδίδαξεν, ἀγγέλους προϋποστήσας, γῆν κεντρίσας, οὐρανὸν ὑποστήσας, τοῖς διὰ μέσων μεστώσας, τοῖς πολλοῖς καὶ ποικίλοις καὶ δυσθεωρήτοις· ἐξ ὧν πεποιημένων εἶχεν ἂν συνετίζεσθαι ὁ μετ' αὐτὰ πᾶς ἄνθρωπος, εἰ καὶ μηδέν τι διδασκαλικῶς ποθεν παρήγγελτο. Ἐπεὶ δὲ τὰ ἐγκόσμια καλά, ἐφ' οἷς καὶ δι' ὧν αἰνεῖται θεός, οὐκ ἴσχυον αὐτὰ διδάξαι τὸν ἄνθρωπον, ῥεμβόμενον, ὅπως ἂν καὶ τύχοι, καὶ τοῦ πεποιηκότος καὶ οὕτω δεδιδαχότος μὴ ἐπιστρεφόμενον, ἵνα τῇ ἐς δυνατὸν ἐκμιμήσει πρὸς ἐκεῖνον ἐξεικονίζηται· τότε δὴ κατελθὼν ὁ ποιητὴς ἄνωθεν εἰς γῆν φειδοῖ τοῦ πλάσματος, καὶ τὸ λαλητὸν ζῶον ἐνδυσάμενος ἐπὶ σωτηρίᾳ τοῦ κατ' αὐτὸ γένους, γέγονε τῆς ἐκτεθειμένης πρώτης ἐννοίας, τοῦ καὶ ποιῆσαι αὐτὸ τὰ βελτιοῦντα τὸν ὄντως ἄνθρωπον, καὶ ἐπ' αὐτοῖς καὶ διδάξαι, καὶ παράδειγμα ἑαυτὸν θέσθαι τῆς κατ' ἄνθρωπον τελειότητος. Καὶ οὕτω μὲν ἅπας ὁ ποιῶν, καὶ διὰ μόνου τοῦ ποιεῖν διδάσκων, προτερεύειν κατὰ τὸ θειότερον δόξοι ἂν τοῦ καὶ ποιοῦντος καὶ διδάσκοντος, εἴτ' οὖν προάγοντος εἰς ἔργα, εἶτα καὶ τὸ διδασκάλιον αὐτοῖς ἐπάγοντος, καὶ ἐπιλέγειν τοῖς διδασκομένοις, ὅτι καθὰ ἐμὲ ποιοῦντα βλέπετε, οὕτω καὶ ὑμεῖς ποιεῖτε. Καὶ τοίνυν ὡσεπιπολὺ ἀροῦται καὶ σπείρεται εἰς τελεσφόρον ἡ τοῦ καθ' ἡμᾶς βίου ἄρουρα, οὕτω συζυγίᾳ διοικονομουμένου τῇ ἔκ τε τοῦ ποιοῦντος, ἔκ τε τοῦ διδάσκοντος.

3. Οὕτω δὲ καθεσταμένου δυσὶν ἐννοίαις τοῦ *μακάριος ὁ ποιήσας καὶ διδάξας*, προσεπιθεωρῶ τῷ δευτέρῳ καί τι παραδοξότερον. Ἔστι γὰρ ποιεῖσθαί τι ἀγαθὸν πρὸς ἀνθρώπου, καὶ διδασκαλίαν μὴ ἔχειν εὐθὺς ἡντιναοῦν, καὶ ἀναδραμεῖν μὲν εἰς τὰ πρὸ αἰώνων, εἰς τὴν ὄντως μακαριότητα, τὴν κατὰ τὸν ἀθάνατον θεόν· εἴγε ταὐτὸν μακάριον εἰπεῖν καὶ ἀθάνατον ἀτεχνῶς ἐστιν ὑπὲρ τὰ καθ' ἡμᾶς. Εἰργάζετο μὲν γὰρ ἀεὶ πάντως ὁ πρὸ τοῦ κόσμου θεὸς τὰ ἑαυτοῦ, ὃς καὶ ἕως ἄρτι ἐργάζεται· οὐκ εἶχε δέ τινα τὸν διδασκόμενον, ἀλλ' ἦν αὐτὸς αὐτόχρημα ἐν τοῖς αὐτοῦ. Καὶ ἰδού, προαιώνιός τις αὕτη δρᾶσις, μὴ ἐκδιδάσκουσα, ἧς ἐφικέσθαι οὐκ ἂν δύναιτο τοὺς ἀνθρώπινος, ὅτι μηδὲ ἀγγελικός.

4. Ἐνδείξεται δέ τις ὅμως αὐτὴν πρὸς ἀμυδρὰν ἔμφασιν, τοὺς ὕστερον μιμητὰς || τοῦ τοιούτου καλοῦ Ms. fol. 57.b. ἀσκητὰς διαχειρισάμενος· οἳ πρὸς τὸ δυνατὸν ἀνθρώποις ὅμοιον ἐκτυπούμενοι, καὶ παραβεβυσμένοι γωνίαις πνευματικαῖς, καὶ σπηλαίοις καὶ ὀπαῖς γῆς ἐγκατακεκρυμμένοι, καὶ μονίαι τοῖς ὄρεσιν ἐνδιαιτώμενοι, καὶ οὕτω ποιοῦντες τῷ προανάρχῳ θεῷ φίλα, οὐδένα διδάσκουσιν ἐμφανῶς, εἰ μὴ ἄρα ἐξ αὐτῶν οὐχ ἑκόντων ὀχετός τις ἐκτρέχει ὡς ἐκ πηγῆς ἀποῤῥύτου, ἢ καὶ διαύγεια ἐκλάμπει καθὰ καὶ ἀκτὶς ἐξ ἡλίου, ὁ μὲν ἀρδεύων διδασκαλικῶς, οἷς ἂν ἐπιδράμοι, ἡ δὲ φωτίζουσα, οἷς ἂν ἐπιλάμψοι. Προτίθενται μὲν γὰρ λανθάνειν οἱ κατὰ θεὸν ἀσκούμενοι, καὶ αὐτῷ μόνῳ ἀρέσκειν πειρώμενοι, καὶ οὕτω ποιητικοὶ τοῦ καλοῦ· οὐκ ἔχουσι δὲ κρύπτεσθαι καθὰ καὶ λύχνοι μοδίῳ σκεπόμενοι, ἀλλ' ἐμφαίνονται πολυτρόπως, θεοῦ ἀνακαλύπτοντος· ἐπεὶ μηδὲ ἥλιος ὑπὲρ γῆς θέων ἀφανίσαι ἂν ἑαυτόν, εἰ μὴ μάλα μυρία νέφη ἐπιπροσθοῦντα ἐπηλυγάζει τὸ κατ' ἐκεῖνον φῶς.

5. Καὶ ἰδοὺ καὶ τοῦτο τρίτον τι θεῖον διδασκάλιον ἐν ἀνθρώποις· ὑπεξῃρήσθω γὰρ τὸ αὐτοῦ θειότατον προαιώνιον ἀρχέτυπον. Ὑπονοεῖται δέ τι πρὸς τούτοις καὶ τέταρτον, ἀντίθετον τῷ ποιοῦντι μέν, οὐκ ἐκλαλοῦντι δὲ διδασκαλικῶς· καθ' ὃ λαλεῖ τις τὰ

ἀγαθά, πράττων οὐδὲν τοιοῦτον, ἀλλὰ παραιτῶν μὲν τὰ λῷονα, οἷς δὲ αὐτὸς πράττει, ἀσύντροχος ὢν οἷς λαλεῖ. Καὶ δηλοῖ τὴν τοιαύτην διδασκαλικὴν παράθεσιν ὁ παραδοὺς μέγιστος μυσταγωγὸς τό· πάντα, ὅσα ἂν εἴπωσιν ὑμῖν οἱ ἱερεῖς ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.

6. Τεσσάρων οὖν τούτων ἐκτεθειμένων ἡμῖν τῷ τέως, ἑνὸς μὲν τοῦ καταμόνας ποιεῖν τὰ πρὸς ἀρετήν, ἑνὸς βλέποντος, ὡς καὶ διδαχθῆναι· δευτέρου δὲ τρόπον ἄλλον μονάζοντος, τοῦ μὴ ποιεῖν μὲν ἀγαθά, διδάσκειν δὲ ἑτέρους αὐτά· τρίτου δὲ τοῦ ποιεῖν μὲν ἔργα Θεῷ ἀρέσκοντα, καὶ οὕτω πως ἀφώνως διδάσκειν, προφορὰν δὲ μὴ ἐκδιδόναι διδασκαλικήν· καὶ τετάρτου καὶ ἐντελεστέρου τὰ εἰς ἀρετῆς τελεωτάτην μάθησιν, τοῦ καὶ ἐργάζεσθαι τὰ δέοντα, καὶ γλώσσῃ προάγειν εὐμεθόδως προθέσει, τοῦ καὶ ἄλλως ἐπαγαγέσθαι πρὸς τὸ ἐνάρετον, καὶ οὕτω πληθῦναι τῷ Θεῷ θεράποντας, καὶ στρατολογῆσαι κατὰ δαιμόνων αὐτοὺς ὑφ' ἑαυτῷ στρατηγῷ (τὸ γὰρ λοιπὸν καὶ πέμπτον τό· μήτε ποιεῖν, μήτε διδάσκειν, σκορακιστέον ἐκ τῶν κατ' ἄνθρωπον, τῷ παντὶ δὲ μάλιστα ἐκ τῶν θείων. Δῆλον γάρ, ὅτι οὐδενὶ τῶν τοιούτων ἥρμοσται, ἀλλὰ φύλῳ τῷ κατὰ τὸν δαίμονα ᾠκείωται. Διαγραπτέον δὲ ἄλλως καὶ τὸ ἐν τοῖς τοιούτοις ἕκτον, τὸ ποιεῖν μέν, μὴ ἔχειν δὲ διδάσκειν, διὰ τὸ ἐν τοῖς μαθητευομένοις ἀνήκοον. Ἀπῴκισται γὰρ μακαρισμοῦ καὶ αὐτό· εἴ γε μακάριος μὲν ὁ λέγων εἰς εὐπειθεῖς ἀκοάς, ἀναλόγως δὲ οὐ τοιοῦτος ὁ πρὸς ἀνηκόους λαλῶν, καθὰ καὶ ὁ πρὸς πέτραν λυρίζων) — ἐκτεθειμένων οὖν τούτων, ὡς ἔφαμεν, τὸ μὲν ὑπερκείμενον καὶ οὕτω προύχιστον ἐν τοῖς προκειμένοις τοῖς ἐρημάζουσι τῶν ἁγίων ᾠκείωται, οἳ ἀποκαθήραντες εἰς αὐτόχρημα νοῦν ἑαυτούς, ἢ καὶ ὡς οἷον ἀποσφαιρώσαντες τὸ ἐν αὐτοῖς νοερόν, καὶ σημείοις οὕτω βραχυτάτοις καὶ ὡς εἰπεῖν ἀμερέσιν ἐφαπτόμενοι γῆς καὶ τῶν περὶ γῆν, πρὸς οὐδενὶ ἄλλῳ τὸν νοῦν ἔχουσιν, ἢ πρὸς μόνῳ τῷ Θεῷ, ἀκριβολογούμενοι τὰ σωτήρια, καί, ὡς ἄν τις εἴποι οὐκ ἀφυῶς, κιμβικευόμενοι ἀπλάστως τὰ εἰς ἀρετήν, οὐ προσλογιζόμενοι γένος, οὐ φυλὴν ἐνθυμούμενοι, οὐ φρήτρην ἐν λόγῳ ποιούμενοι, οὐ φιλίαν ἐν ἀριθμῷ τιθέμενοι, οὐ πολιτείαν, οὐ περιουσίαν, οὐ γνωριμότητα, οὐ κόσμον αὐτὸν ὅλον· ἀλλὰ μονάζοντες ἐς ἀκρίβειαν καὶ κατὰ τοὺς πρυτροπάδην ἔκ ποθεν κακοῦ φεύγοντας, ἵνα σφᾶς αὐτοὺς περισώζωνται, ἀρκούμενοι, ἐὰν τῇ τοῦ κόσμου φυγῇ μόνῃ αὐτοὺς ἀνθρώπους τελείους περιστήσωσι τῷ Θεῷ· φιλοσοφοῦντες, οὐδὲν αὐτοὶ ἐντεῦθεν αἰτίαμα ἐπισπᾶσθαι, εἰ μὴ ἄλλους ὠφελοῖεν ἀνθρωπίνης κοινωνίας νόμῳ. Κρίνουσι γὰρ ἐπαινετῶς ἕκαστον ἄνθρωπον ἄρκιον ἑαυτῷ εἶναι πρὸς σωτηρίαν, εἴπερ ἐθέλει, καὶ μηδεμιᾶς ἐπεισάκτου δεῖσθαι διδασκαλίας ἢ χορηγίας ἢ ὁδηγίας· ὅτι μηδὲ ἑτερο‖ζήλως ὁ Θεὸς ἐμέρισεν ἡμῖν τὸ ἡγεμονικὸν καὶ τὸν κατ' αὐτὸ πλοῦτον, ἀλλὰ πᾶσιν ἐπίσης οἷα καὶ πατὴρ εὔπαις καὶ φιλότεκνος τὸ καθ' ἡγεμονίαν καὶ ἀμβρόσιον καὶ νεκτάρεον ἐνεστάλαξε, δι' οὗ ἀθανάτως βιοῦν ἐξισχύομεν, εἴπερ βουλόμεθα. Ms. fol. 58. a.

7. Συνεπιλογίζονται δὲ οἱ τῆς μονήρους ποιήσεως ἀσκηταὶ οὗτοι, τοὺς βιοῦντας ἀποκρυπτόμενοι, καὶ οὕτω ποιοῦντες μέν, οὐ διδάσκοντες δέ, ἀλλὰ τὸ πᾶν τοῦ διδάσκειν καταπνίγοντες ἐν ἑαυτοῖς καὶ περιγράφοντες. Καὶ ὅτι, καθάπερ ὁ διοικονομούμενος ὑγιῶς ὀφθαλμοῖς, τοῖς πρὸς αἴσθησιν, οὐ προσδεῖται τοῦ χειραγωγοῦντος εἰς βάδισιν, οὕτως οὐδὲ ὁ νοῦν εἰληχὼς καὶ θεόθεν οὕτω πεφωτισμένος ζητοίη ἂν τὴν εἰς τὸ καλὸν ποδηγίαν ἑτέρωθεν, ἣν ὁ Θεὸς καὶ ἐνεδαψιλεύσατο καὶ ἐνδαψιλεύεται διὰ βίου, εἰ μὴ αὐτὸς ἕκαστος ἑαυτὸν ἀχλύει καὶ σκοτίζει, ἐπιπροσθῶν, καὶ οὕτως ἀποκρύπτων πάθεσι τὸν ἐν ἀνθρώπῳ θειότατον ἥλιον.

8. Καὶ οὕτω μὲν οἱ τοιοῦτοι κατὰ δαιμόνων ἀθληταί, ἀνθρώποις μὲν ἄγνωστοι, Θεῷ δὲ μόνῳ γνωστοί, πρηκτῆρες καὶ ποιηταὶ γίνονται ἀρετῆς· οὓς ὡς τὰ πολλὰ οἱ ἀνακεχωρηκότες τόποι ὁποῖα καὶ μέταλλα χρυσᾶ ἐνδομυχοῦσιν, ἐκπεφευγότα τὸ σκάλλεσθαι καὶ εἰς νόμισμα τυποῦσθαι ἀνθρώπινον, διὰ τὸ μὴ τῆς ἐπιπολῆς εἶναι, ἀλλ' ἐν βάθει γῆς τά γε εἰς ὅρασιν ὑποδύεσθαι, ἢ καὶ καταδύεσθαι. Οἷς δὲ τὸ ἀγαθὸν οὐκ ἐν βάθει κεῖται ψυχῆς, ἀλλ' εἰς γλῶσσαν καὶ μόνην ἐπιπολάζει, καὶ οὕτω προφαίνεται· οἳ ἑτέρους μὲν διδάσκουσι, σφᾶς δὲ αὐτοὺς ἀφιᾶσιν ἀδιδάκτους ἀλογίζεσθαι, κύμβαλα ἢ κώδωνες ἢ αὐλοὶ αὐτοὶ ὄντες, ὧν ἕκαστον φωνὴν μὲν ἀφίησι καί που καὶ πρὸς ἡδονήν, οὐ συνίησι δέ, τί ποτε καὶ βοᾷ — οἱ τοιοῦτοι ἔρημον μὲν ἢ ἑτεροῖον τινὰ παράβυστον τόπον οὐκ ἂν ἐπιζητήσαιεν. Πῶς γὰρ ἂν οἱ τῇ γλώσσῃ πανηγυρίζειν προθέμενοι, καὶ ἀγοράζοντες ἐπὶ ἀσπασμῷ, καὶ τὸ καλεῖσθαι Ῥαββὶ πρὸ παντὸς ἔργου ποιησάμενοι, καὶ τὸ μὲν κατ' ἀρετὴν πρακτικὸν συστείλαντες, μόνον δὲ τὸ λαλητὸν θεατρίζοντες;

9. Καὶ ὅμως οὐδ' αὐτοὶ τέλειον ἐπισπῶνται ψόγον, οἷα τὸ καλόν, εἰ καὶ μὴ ἡμισεύουσιν ἀκριβῶς, ἀλλ' εἰς μερίδα γοῦν τινὰ ἐγκολπούμενοι· καὶ εἴποι τις ἂν δεξιῶς, φέρειν αὐτοὺς οὐ φαῦλον γλωσσόκομον, ὑπόκενον δὲ πάντως ἀγαθοῦ κέρματος. Τὸ γὰρ ἐν ἀρετῇ κεφάλαιον, τὴν ἐπαινετέαν πρᾶξιν, ἀπονοσφίσαντες ἑαυτῶν, τὴν γοῦν ἐνάρετον λαλιὰν σφετερίζονται· καὶ

φιλοῦνται καὶ αὐτοὶ τῆς ἐναρέτου φωνασκίας, καθά που καὶ τῶν ὀρνίθων ὅσοι κατ' ἄνθρωπον λαλεῖν ὑποκορίζονται, καὶ εἰς τοσοῦτον μόνον ἀνθρωπίζονται. Καὶ ἄλλως δὲ φάναι, τὸ γλυκύτατον αὐτοὶ μέλι μυσαττόμενοι, οὗπερ ὁ γευόμενος ἐκεῖνος οἶδεν, ὅ τί ποτέ ἐστι τὸ τοῦ μέλιτος ἔργον, ἀλλ' οὖν καὶ ὀνομάζουσι μέλι, καὶ φυσιολογοῦσιν αὐτό, καὶ ἐντιθέασι γνῶσιν αὐτοῦ τοῖς ἀκροωμένοις, καὶ ἐπάγονται αὐτοὺς οὕτως ἐρᾶν τοῦ μέλιτος, καὶ τοῦτό γε δοκοῦσιν ἔχειν τι ἐπαίνου καὶ αὐτοί· σύες μέν, ὅ φασιν, ὄντες τὰ ἐς ἀποχὴν τοῦ πραγματειώδους μέλιτος, ὑποκρινόμενοι δὲ ἄλλως τὸ ἐν ἀνθρώποις φιλόκαλον διὰ τὴν χρηστολογίαν τοῦ γλυκάζοντος· ἢ τυραννούμενοι μὲν ἑκατέρῳ, εἰδότες δὲ καὶ ἐκλαλοῦντες πρὸς ἀλήθειαν τὸ μέλι, ὅπερ αὐτοὶ ἐκκλίνουσι· καὶ ὀρθὰ μὲν προϊέναι οὐκ Ms. fol. 58. b. ἔχοντες, ἀλλ' ὅσα καὶ καρκίνοι ῥαιβούμενοι, || ἑρμηνεύοντες δὲ τὴν ὀρθήν, ὡς ἔχει φύσεως· καὶ εἰς ὄψιν μὲν κακοπραγοῦντες μήποτε καὶ ὡς ἀσφάλακες, φιλοῦντες δὲ ὅμως τὸ φῶς, καὶ ἐνάγοντες εἰς αὐτό, καὶ διὰ τοῦτο προσοχῆς ὄντες ἄξιοι.

10. Διὸ καὶ ὁ σωτὴρ ἡμῶν, ὁ καὶ ποιήσας ἀληθῶς καὶ διδάξας ἀκριβῶς, καὶ εἰδώς, εἶναι τινὰ ὠφέλειαν καὶ ἐν τῇ ἁπλῶς ἀγαθῇ διδασκαλίᾳ, κἂν εἰ καὶ ἐκ στομάτων ἀλόγων ἦν αὐτὴν προφέρεσθαι, παραδέδωκε, μηδὲ τοὺς φαύλους ἱερεῖς ἀποπροσποιεῖσθαι, ἀγαθὰ τὰ κατὰ θεὸν διδάσκοντας. Δῆλον γάρ ἐστι καὶ τῶν ἄρτι εὐσεβῶν, ὅτι οὐδεὶς ἂν τολμῴη σχηματιζόμενος εἰς διδάσκαλον ἀπαρακαλύπτως ἀνέδην κηρύσσειν τὰ μὴ καλά, καὶ ἑτεροδιδασκαλεῖν, κἂν ἁπάντων ἀνθρώπων εἴη ὁ χείριστος· πεπληροφόρηται γάρ, μηδενὶ τῶν ὀρθῶς ἀκροωμένων ἀποκεκρυμμένα εἶναι τὰ τῷ θεῷ ἀρέσκοντα, ἀλλὰ τὴν ὀρθὴν πρὸς τὸ καλὸν ὁδὸν λεωφόρον ἐκκεῖσθαι, καὶ πᾶσι τρίβεσθαι, ὅσα καὶ πλατυτάτην ἁμαξιτὸν τοῖς εὐθέα βλέπουσι. Βλέπουσι δὲ πάντες οἱ πλείονες θεοῦ χάριτι, δι' οὗ ἔννοιαι κοιναὶ καὶ ἀξιώσεις τὰ θεῖα πρόκεινται παραγγέλματα.

11. Οὔκουν ἀποβλητέος διὰ ταῦτα οὐδὲ ὁ φαῦλος ἄνθρωπος, εἰ τὸν μὲν βόρβορον καὶ τὸν τῆς σαπρίας τρύγα πρὸς τῷ πυθμένι τῆς καρδίας καθιστᾷ, ὡς μήτε ὄψιν λυπεῖν, μήτε ὄσφραν προπέμπειν δυσέντευκτον, ἐξαναβλύζει δέ, εἴ τί που κρηναῖον ὕγρασμα ἡδὺ ἔνδον συλλείβεται· ἐπεί τοι καὶ τὰ γῆθεν ἐκβραττόμενα θερμὰ λουτρὰ κάτω μὲν ἐν ταῖς κατὰ γῆν κοιλίαις, ὅθεν ἐκκύπτουσιν, οὐκ ἂν εἶεν χρηστὰ ὡς εἰκός, ὅτε δὲ εἰς τὸν ἐκτὸς ἀέρα ἐκδράμωσι μεταρρύεντα, προσιτὰ καὶ σωτήρια γίνονται.

12. Ἄφες τὸν τὸ καλὸν λαλοῦντα λαλεῖν, ὡσεὶ καὶ παιδίον ἀναγνωστικὸν ἐν τοῖς ἱεροῖς, ὁποῖα τὰ βαιοφόρα νήπια· καὶ μὴ μόνον ἄφες, ἀλλὰ καὶ ἐπευλόγησον καὶ ἐρέθισον, ἵνα ἐμβραδύνων τοιούτοις λόγοις, καὶ ἄσχολος μένων, καὶ πρὸς μηδενὶ ἑτέρῳ τὸν λογισμὸν ἔχων, ἀλλ' ἢ μόνον χρηστολογῶν, ἀπέχηται τοῦ κακοπραγεῖν πρὸς καιρὸν γοῦν τινα. Τυχὸν δὲ καὶ διωρθώσατο ἑαυτόν, αἰσθόμενός ποτε, λόγον, ὡς οὕτως εἰπεῖν, ἄξιον ἐξ ἀναξίου προάγειν στόματος. Τίς γὰρ οἶδεν, εἰ καὶ αὐτὸς ἁγιασθείη τῷ συχνῷ τοῦ ἁγίου φθέγματος, ἐπακολουθήσας, καὶ οὕτω συνεθισθεὶς εἰς τὴν ἀρετήν; Καὶ προσθήσει τοῖς μαθηταῖς ἑαυτὸν ὡς οἷόν τι θεῖον ἀκροθίνιον, καὶ σωρὸν ἀπαρτίσει θεοφιλῆ, ὃς παρὰ ἕνα τοῦτον κόκκον σεσώρευτο εἰς ἐντελές. Ἢ τί κωλύει ἄνθρωπον οὕτω διδάσκοντα θεῖα καὶ ἐπαινετὰ καὶ πρὸς ἁπάντων ἀκροατῶν εὐλογούμενα, καὶ παντοίως δεξιούμενον; αἰδεσθῆναι ψεύδεσθαι διόλου ἑαυτόν, καὶ ἀπείπασθαι, διπλοῦν εἶναι ἀεὶ παρὰ τὸ δέον, καὶ ὀκνῆσαι, τῇ γλώσσῃ μὲν προλάμπειν, ἐσκοτῶσθαι δὲ τὰ ἐς τὴν ψυχὴν καὶ λόγους μὲν προφέρειν, δι' ὧν καταστέφοιτο ἄν, ἔργα δὲ προφαίνειν, ὧν τίμημα καὶ αὐτῆς κεφαλῆς ἀφαίρεσις;

13. Ἔχομεν καὶ ἱστορίαν παραδιδοῦσαν, ὡς οὐκ ἔστι ψέγειν οὐδὲ τὸν φθεγγόμενον μὲν ἐνάρετα, φρονοῦντα δὲ ἐπ' ἄλλοις οὐχ οὕτω. Καὶ τὸν μὲν ἐξύστερον ἱερὸν ἄνδρα ἐκεῖνον, ὃς ἐσφαλμένος ὢν τὰ ἐς || ἀσφαλῆ πίστιν, ὅμως ἀναγκαίως εἰς μέγαν προηνέχθη διδάσκαλον, Ms. fol. 59. a. κυρώσας αὐτὸς μὲν φρονεῖν, ἅττα ἂν καὶ φρονοίη, μὴ ἂν δὲ διαστρέφειν τὴν τοῦ θεοῦ ἐκκλησίαν, ἀλλὰ διδάσκειν τὰ ὀρθά, οὐκ ἂν εἰς πλέον πλάτος ἐκθείην καθιστορῶν. Τοῦτο δὲ προσθείην τῷ λόγῳ διὰ τὸ πάνυ τοῖς παροῦσι χρήσιμον, ὅτι καὶ ἐκεῖνος ὁ τὰ ἔσω μὲν οὐκ ἀγαθός, πάντῃ ἐπιστήμων κατὰ αἵρεσιν οὐκ ἐπαινουμένην, τὰ δὲ ἐκτὸς ἀγαθός, ἄλλος διδάσκαλος ὕστερον χρόνῳ διωρθώσατο, καὶ τὴν ἐν οὐ δέοντι διπλόην μονώσας, ὡς ἔπρεπεν, ἀπῆλθε φίλος παραστάτης θεῷ, τῇ γλώττῃ βελτιωθείς, καὶ δι' αὐτῆς ὅσα καί τινος ἀντλητῆρος ἐκχέας τὴν ἔνδον ἰλύν, δι' ἧς τὸ καλὸν τῆς διδασκαλίας ἠχρειοῦτο ὕδωρ. Εἰ δέ τις ἀνθυποφέρει, ἐκεῖνον μὲν οὕτω τῆς ἀγαθῆς γλώττης ὄνασθαι, μὴ ἂν δὲ εἶναι καὶ ἑτέρῳ τινὶ τοιοῦτον ἀποβῆναι, ἀποκληρωτικῶς λέγει, καὶ διὰ τὸ παράδοξον τῆς ὑπολήψεως ταύτης τάχα ἂν θέσιν φυλάττοι καὶ αὐτὴν ἀχρείαν καὶ ἀσυνηγόρητον. Οὔτε γὰρ ἀδυνάτου κατεπιχειρεῖν ἐθέλει δόξης, καὶ οὐδὲ ἀπενηνεγμένης εἰς ἀμάρτυρον ἀπέκβασιν. Δεῦτε γάρ, ὦ πάντες οἱ ἐξωτερικοὶ λογάδες, ὧν ἀλλοφύλων τὰ ἐς πίστιν ὄντων ὅμως διδασκαλίαις μυρίαις ὀρθῶς ἐχούσαις ἐμμελετῶσιν ἐπιλέγδην οἱ θεόφρονες

ἀναγνῶσται. καὶ αὐτὰς προάγοντες, βελτιοῦσιν ἕως καὶ ἄρτι τοὺς ἀκροατάς· ἃ μὲν ἐκεῖνοι ἄλλως ἐφρόνουν, παραθούμενοι, τὰ πολλὰ δὲ καὶ καταχωννύντες βυθῷ λήθης· ἃ δὲ πρὸς ὀρθότητα ἐλάλουν, ἐγκρίνοντες, καὶ ὡς ἐκ βαθυτάτης τέφρας τῆς τῶν ἀθέων φρονημάτων ζώπυρά τινα ἐπιμελῶς ἀναλεγόμενοι, δι' ὧν ἀνάπτονται καὶ φῶτα βιωτικὰ καὶ φιλοσοφίας φρυκτωρίαι σωτήριοι, ἵνα κατὰ τὸν ψαλμῳδὸν κἀνταῦθα ὡς ἐν σκότει ἐξανατελλόμενον εἴη φῶς τοῖς διορᾷν ἐθέλουσιν.

14. Ἐατέον οὖν διὰ ταῦτα καὶ τὸν ὁπωσοῦν τὰ εἰς ἀρετὴν διδάσκοντα φθέγγεσθαι, καὶ οὕτω βελτιοῦν τοὺς ἀκούοντας, καὶ ἀναπεμπτέον εὐχὰς τῷ θεῷ, ἐπαναχθῆναι καὶ αὐτὸν εἰς τέλειον πιστὸν ἄνθρωπον, καθὰ καὶ ἄλλους αὐτοῦ μαθητάς, οὓς ἐξ ἀλλοτρίου ἔστιν οὗ σοφίζει στόματος· ἐπεί τοι καὶ ἀνόμων ἡμᾶς ὑπερεδυνάμωσαν λόγοι κατὰ τὴν ἱερὰν ῥῆσιν καὶ ἐξήγησιν, τοιούτῳ δὲ λόγῳ καὶ χαλκέες ἀλλόφυλοι τὰ ὅπλα ἐστόμουν τοῖς τοῦ Ἰσραήλ, δι' ὧν οἱ νοητοὶ πολέμιοι καὶ ἔπιπτον καὶ πίπτουσι. Τοιᾷδε τινὶ ἐννοίᾳ καὶ τὸν μέγαν Μωϋσῆν ἐστόμωσαν ἐπ' ἀμφότερα ἥ τε φιλτάτη καὶ μήτηρ καὶ τιθηνός, ἡ πιστοτάτη Ἑβραία, καὶ ἡ ἄλλως φιλήσασα ἀλλόφυλος ἐξ Αἰγυπτίων βασίλισσα· νόημα πᾶν αὕτη, ἀλλόφυλον μέν, βασιλικῶς δὲ ὑπερκείμενον τῶν ὁμοεθνῶν.

15. Ἔχοι δὲ ἄν τις καὶ τοιῷδε λόγῳ προσβιβάζειν εἰς ἑρμηνείαν καὶ τῶν τοῦ ἱερωτάτου εὐαγγελίου τὸ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Εἰσελεύσεται μὲν γὰρ ὁ εὐαγγελικὸς ἄνθρωπος προσωποθέτως εἰς τὴν τοῦ θεοῦ αὐλὴν ἐπὶ νομῇ, καθ' ἣν ἐγκρίνει ποιμαίνεσθαι καὶ ὁ μέγας Δαυΐδ, οὐδὲν ὑστερούμενος, εἰ νέμεται τὰ θεῖα, οἷς καὶ ὁ κορυφαῖος ἐν ἀποστόλοις Πέτρος βόσκει τὰ κατὰ θεὸν ποίμνια. Ἐξελεύσεται δὲ καὶ εἰς ἐξωτερικὰς πεδιάδας, οὐχ ὥστε κραίνειν καὶ κατασκιρτᾶν καὶ θέειν πρὸς ἄλογον ἀγλαΐαν εἰς οὐδὲν δέον, ἀλλ' ἐπὶ ψυχοτρόφῳ νομῇ, ὁποίαν μυρίαν καὶ οἱ τῆς ἔξω σοφίας λειμῶνες φύουσι. Καὶ τὸ ψυχικὸν ταμιεῖον οὕτω μεστώσας ὁ τοιοῦτος πλουτισμοῖς, οὓς ὁ παμβασιλεὺς θεὸς φιλεῖ, ἐξαγάγοι ἂν ἐκ θησαυρῶν τούτων Ms. fol. 59. b. τῶν κατὰ ψυχὴν καινά τε καὶ παλαιά || καινὰ μέν, τὰ θεοπαράδοτα καὶ αὐτοῦ θεοῦ ὄντα· παλαιὰ δέ, τὰ καὶ δι' ἑτέρων, οἷς ἀποξενουμένοις αὐτοῦ ὅμως ἐνέλαμψε γνῶσις ἀγαθὴ ἐπὶ ὠφελείᾳ τῶν ἐφεξῆς ἐσομένων, ἵνα καὶ ἐξ ἀγρίων τούτων ἀνθέων καὶ ἐξ ἐκείνων ἡμέρων μελιτοποιῆται τοῖς κατὰ θεὸν τὰ χρήσιμα, καὶ μηδὲν τῶν ἐν κόσμῳ ἀσυντελὲς ἡμῖν εἴη πρὸς ἀρετήν.

16. Ἔτι δὲ καὶ ἄλλως τῷ τοιούτῳ νοήματι ἐπιβαλεῖν ἡ σάλπιγξ ὠφελεῖ τὰ ἐς μάχην, μηδέν τι αὐτὴ φρονοῦσα, ᾧ κλάζει· δοτέον οὖν, καὶ τὸν ἐν λόγοις μόνοις ἀγαθὸν διδάσκαλον σαλπίζειν κατὰ μάχης δαιμονιώδους, καὶ προσεκτέον οὕτως αὐτῷ. Κτυπεῖ καὶ τύμπανον ἔστιν ὅπου καίρια ἐν τῷ μηδέν τι αὐτὸ φρονεῖν· λογιστέον εἰς τοιοῦτόν τι καὶ τὸν ἑτέρως μὲν ἤθους ὄντα ἐξηχημένου, τὰ εἰς ἀρετὴν δὲ λαλοῦντα, καὶ οὕτως εὖ τὸν ἀκροατὴν ἁρμόττοντα. Ἡ σύριγξ, καὶ ὅσα λοιπὰ τῶν ὀργάνων ἔμμουσα, τέρπουσιν, οὐδὲν μὲν αὐτὰ ἐπιστάμενα, ὑπ' ἄλλων δὲ τεχνικῶς πρὸς ἡδονὴν ἁρμοττόμενα· τερπέτω τοίνυν ὡς τοιοῦτός τις καὶ ὁ τῶν διδασκαλιῶν ἐξηγητής, εἰ καὶ τὰ ἐς ψυχὴν ἀναρμόστως ἔχει. Τάχα γὰρ ὁ θεὸς κηδόμενος, τέως μὲν τὸ ἥμισυ τῆς κακίας ἀπήγαγε, τὸ στόμα ῥυθμίσας αὐτοῦ, σοφίαν λαλεῖν· ἐν καιρῷ δὲ καθηγήσεται, μελετᾷν καὶ τὴν καρδίαν αὐτοῦ σύνεσιν. Εἰ δὲ καὶ μηδέν τι τοιοῦτον ἐθέλομεν ἐπ' αὐτοῦ καραδοκῆσαι, ἀλλ' οὖν θαυμάσομεν αὐτὸν κατὰ τὴν λαλήσασαν ὄνον κελεύσει θεοῦ. Λογισώμεθα δὲ καί, ὡς ἴσως ἐκεῖνα λαλεῖ, ὅσα βούλεται μὲν κατορθοῖν, οὐ δύναται δὲ διὰ φαῦλον συνεθισμόν· ὅθεν καὶ ἐξ ὅλης ψυχῆς εἰκὸς διδάσκειν αὐτὸν τὰ κρείττονα, καὶ οὕτως ἐθέλειν ἀντισηκῶσαι τῇ ἀγαθωσύνῃ τῶν ἀγαθῶν τὸ κατ' αὐτὸν περιπόνηρον. Καὶ οὕτω μὲν οὐ πάνυ ἀπόβλητος οὐδὲ ἱερεύς, ὃς ἐν μὴ ἀγαθότητι ψυχῆς καὶ τῶν κατ' αὐτὴν ἔργων, θεῖα λαλεῖ, διδάσκων, ὡς θέμις. Ὁ δὲ ποιῶν μέν, οὐ λαλῶν δὲ γλώσσῃ τὰ πρέποντα, πολὺν καὶ αὐτὸς ἔπαινον ἐφέλκεται κατ' αὐτὸ δὴ καὶ μόνον τὸ ποιεῖν. Κρίνας γὰρ καθάπαξ δραστικώτερον λόγου τὸ ἔργον εἶναι, καὶ ὡς οἷον ἐξυμνεῖσθαι τοῖς σπουδαίοις ἔργοις κατανοῶν καὶ τὴν ἐπ' αὐτοῖς διδασκαλίαν, τοῦ ἐνεργεστέρου γίνεται μόνου· καὶ πράττων ἅμα καὶ διδάσκει· καὶ ἐνεργῶν αὐτὸς τὸ εὐλογητὰ ἐν τῷ κατ' ἀρετὴν ζῆν, τόν τε θεὸν εὐλογεῖ οὕτως ἐν τῇ ζωῇ αὐτοῦ, ψαλμικῶς εἰπεῖν, καὶ ἑτέρους παιδεύει, ὁρώμενος ἢ ἀκουόμενος. Ἀληθῶς γὰρ ὁ συνετὸς μαθητής, ἐκ τῶν διδασκαλικῶν ἔργων τυπούμενος, ἐν ταῖς πρακτικαῖς τῶν ἀρετῶν ὀλίγα ἢ οὐδὲν τῶν ἐπ' αὐταῖς διδασκαλιῶν προςδέεται.

17. Οἴδαμεν καὶ τέχνας τὰ πλείω μὲν ἔργοις εὐοδουμένας ἐν τοῖς μανθάνουσιν· ἐντρανίζων γὰρ ὁ τεχνούμενος τῷ καθηγητῇ, πρὸς τὸ κατ' ἐκεῖνον ἔργον εὐθύνεται. Εἰ δέ που καὶ σφάλλοιτο τοῦ εἰς ἀκρίβειαν, τότε δὴ καὶ λόγον εὑρίσκει ἐπανορθοῦντα διδασκαλικῶς. Παραδίδωσιν ἡ συχνὴ πεῖρα καὶ μαθητὰς καὶ διδασκάλους χειρώνακτας, ὧν παρείλετο καὶ τὰς διδασκάλους φωνὰς ἡ φύσις κωφευσάντων ἐκ γενετῆς·

καὶ ὅμως οἱ μὲν ἐδίδαξαν, οἱ δὲ ἔμαθον, οὐ λόγους προϊέμενοι καὶ εἰςδεχόμενοι, ἀλλὰ σοφίζοντες καὶ σοφιζόμενοι ἔργοις· ἅπερ οὐκ ἂν ἀφυῶς λόγων οὐσίας, ἢ λόγους ἀνεκλαλήτους, ἢ ζώσας ἐννοίας ὀνομάσοι τις. Ἐῶ λέγειν κατανεύσεις καὶ ἀνανεύσεις τὰ ἐν Ἄμμωνος, ἴσως δὲ καὶ ἑτέρωθι, δι' ὧν ἀφώνως ἐδιδάσκοντο τὰ θελητὰ οἱ χρησμοδοτούμενοι. Περιᾴ- Ms. fol. 60. a. ||δονται καὶ ἄλλως διδασκαλίαι τινὲς πράξεων ἐν ὑπουργίαις χειρῶν, δίχα λαλιᾶς. Καὶ δῆλον αὐτὸ ἐκεῖθεν, ὡς ἐξ ἑνὸς ἐμφῆναι τὸ πᾶν ὑποδείγματος.

18. Βασιλεύς τις τῶν πάλαι δεινὰ πάσχων ὑπὸ στασιαστῶν, καὶ τεχνώμενος ἐπικουρίας μέθοδον, ἐπέστειλεν ἀνδρὶ σοφῷ προκαλούμενος διδάξειν, ὁποίῳ δή τινι τρόπῳ ἐν ἀσφαλεῖ καταστήσεται τὴν ἀρχήν. Καὶ ἐπέμενεν ὁ βασιλικὸς ἀπόστολος, ἀπαιτῶν ἀντιγραφήν, εἴ πως παλινοστήσει ταχὺ ἐπὶ τὸν πέμψαντα. Ὡς δὲ αὐτὸς μὲν ἐνέκειτο, πάνυ ὀχλῶν, ὁ δὲ σοφὸς ὤκνει τὴν γραφήν, δεδιώς, οἶμαι, μὴ καὶ γράψας ἔκπυστον θήσει τὸ μυστηρικὸν διδασκάλιον, ὁτῳδήτινι τρόπῳ καὶ βλάψῃ τὸν ἐρωτήσαντα, προςλαμβάνεται τὸν ἀπεσταλμένον εἰς ὀπαδὸν· καὶ (ἔλαχε γὰρ ἀκμὴ θέρους εἶναι) παραδύεται εἰς βαθὺ λήϊον, καὶ γυμνώσας μαχαίριον, ἔκειρε σποράδας τῶν ἀσταχύων, ὅσοι ἐξεῖχον ἐς μῆκος ὑπὲρ τοὺς λοιπούς· καὶ τοῦτο ποιήσας ὑπεξῆλθε, καὶ ἀπῆλθεν οἴκοι, καθεστὼς ἐφ' οἷς ἦν καὶ πρῴην. Ὁ δὲ βασιλικὸς πάλιν ἦν δι' ὄχλου, ἀπαιτῶν, ὃ καὶ πρότερον. Ὡς δὲ τοῦ σοφοῦ μηδὲν μήτε λέγοντος, μήτε πράττοντος, ἐξωνείδισεν ὁ τοῦ βασιλέως, οὐ καλὰ πάσχειν γογγύζων, εἰ μηδὲ λόγου ἀξιοῖτο, μακρὰν τε οὕτω κατὰ σπουδὴν ὁδὸν στειλάμενος, καὶ τῆς ἐλπίδος ἐς τοσοῦτον ἀπαιωρηθείς· ἐνταῦθά γε ὁ ἔμπρακτος ἐπιλύτης τῆς βασιλικῆς ἀπορίας λακωνίσας, ὥςπερ ἔργῳ τῷ κατὰ τὴν ἐκτομὴν τῶν ἀσταχύων, οὕτω καὶ λόγῳ τῷ πρὸς ἐπίλυσιν, ἄπελθε, εἶπεν, ὅθεν ἐστάλης, καὶ τὸ τεθεαμένον ἀνάγγειλον. Καὶ αὐτὸς μὲν οὕτω φάμενος, ἔκλεισε τὸ βιβλίον τῆς λαλιᾶς. Ὁ δὲ ἀκούσας ἀπέκρινε μὲν τὸν σοφὸν ἄνδρα τῶν ὀρθὰ φρονούντων, οὐ φρενήρη γνωματεύσας ἐκεῖνον· ἐψεύσθη δὲ τῆς κρίσεως ἐς τὸ πᾶν. Ὁ γάρ τοι κύριος βασιλεὺς κατακύψας εἰς βάθος τοῦ ἠγγελμένου ἔργου, καθεώρακε τὴν ἀγχίστροφον καὶ βαθεῖαν διδασκαλίαν τοῦ σοφοῦ, καὶ τὴν διὰ χειρὸς ἔμφασιν τοῦ κατὰ ψυχὴν λόγου· καὶ ἀπελύσατο, τὴν τῶν προεχόντων ἀσταχύων ἀποτομὴν δίδαγμα εἶναι τοῦ χρῆναι κολούειν τοὺς τῶν πολιτῶν εἰς θράσος ἐπαιρομένους ὑπερηφάνως, καὶ οὕτως ἐξέχοντας. Καὶ τοῦτο διαγνούς, καὶ κατ' αὐτὸ ποιῶν, ἑαυτῷ τὴν βασιλείαν κατησφαλίζετο, μαθὼν οὐδ' αὐτὸς λόγῳ τὸ ποθούμενον διδασκάλιον, ἀλλ' ἔργῳ τῷ διὰ διδασκάλου σοφοῦ.

19. Οὐκοῦν φανερόν, ἵνα μὴ πλείω ἐν τοῖς τοιούτοις διατρίβωμεν, ὡς ἔστι διδάσκεσθαι ἡμᾶς τὰ καλά, καὶ ὅτε πράξεσιν ἐναρέτοις ἐμβλέπομεν, καὶ ὡς ἐγκωμίων ἄξιος καὶ ὁ ποιῶν τὸ καλὸν σιγηλῶς καὶ μονονουχὶ ἐν τῷ ἐργάζεσθαι, λέγων τοῖς θεωμένοις τό· ὡς ἐ γ ώ, ο ὕ τ ω κ α ὶ ὑ μ ε ῖ ς. Οὕτω κατὰ τὸ ἅγιον εὐαγγέλιον οἱ βλέποντες τὰ ἔκ τισι καλὰ ἔργα δοξάζουσι τὸν θεόν· καὶ οὕτω λάμπει τὸ ἀποστολικὸν φῶς ἐνώπιον τῶν ἀνθρώπων, ἔργων καλῶν ὑπαναπτόντων καὶ ἐκφαινόντων τὴν λαμπάδα τοῦ τοιούτου φωτός. Προςενθυμηθῶμεν ἐνταῦθα καὶ τὰς ἱερὰς εἰκονογραφίας, ἐξ ὧν καὶ αὐτῶν πολλὰ μανθάνομεν οὐ λαλιαῖς, ἀναμνήσεσι δὲ τῶν ἔργων, || ὧν κατὰ θεὸν ἔπραξαν Ms. fol. 60. b. οἱ τῶν εἰκόνων ἀρχέτυποι.

20. Τούτων δὲ οὕτω τεθεωρημένων, ἰτέον ἐπὶ τὸν ποιοῦντα, ναὶ δὲ καὶ διδάσκοντα. Ἔργου ἐκεῖνο ἐπαινετοῦ, λόγου διδασκαλικοῦ τὸ δεύτερον. Καὶ ἔστιν αὐτὸς ἐντελῶς μακάριος δυοῖν ὀργάνοιν, ἅπερ ἐκ τοῦ πανσόφου τεχνίτου θεοῦ πολυδύναμα ἔχομεν, ἀποτελῶν ἑαυτὸν καὶ εἰκόνα ἐκείνου καὶ οἶκον καὶ ναόν, καὶ εἴ τι ἄλλο τοιοῦτον ἐν ὀνόμασι βέλτιστον, καιριώτατα δὲ εἰπεῖν, ἄνθρωπον τὸν ὡς ἀληθῶς, καὶ μακάριον δέ, τὸν ὄντως καὶ τελείως καὶ ὑπὲρ πᾶσαν ἀνάβασιν. Καὶ τούτου τοῦ εἴδους εὑρίσκομεν συνοχέα, εἴπερ μιμούμεθα τὸν ὑπερουράνιον διδάσκαλον· ὃς ἄλλως μὲν πρὸ τῶν αἰώνων ποιῶν, ὡς οὐκ ἄν τις ἐννοήσασθαι λογισμῷ ἀνθρωπίνῳ ἐφίκοιτο, ὕστερον δὲ τῇ τοῦ κόσμου ποιήσει ἐπιβαλών, διδασκαλίαν αὐτίκα τότε τὴν ἀρχὴν ταῖς τῶν ἀνθρώπων ψυχαῖς προκατεβάλετο, τὴν ἐξ αὐτῶν τῶν ἔργων αὐτοῦ, τῶν πέρα δόξης, τῶν παντοδαπῶν, τῶν καὶ ἐλλόγων καὶ ὑπὲρ λόγον. Παιδεύουσι γὰρ ἄλλα μὲν ὁ οὐρανός, ἄλλα δὲ ἡ γῆ· καὶ ἑτεροῖα τὸ ἐν μέσῳ τούτων παντοῖον πλήρωμα. Ἐδιδάσκοντο γὰρ πάντως διὰ τούτου καὶ οἱ τότε ἄνθρωποι, ὡς, καθὰ ἐν τῇ κτίσει, οὕτω καὶ ἐν τοῖς κατ' αὐτὴν τὰ μὲν ὑπερῆρται, τὰ δὲ ταπεινῶς ἔχει· καὶ πρέπει, τὰ μὲν ἀνθρώποις ὑψηλὰ καὶ λαμπρὰ σεβάσμια εἶναι καὶ ἀθιγῆ τοῖς ταπεινοτέροις (ἐπειδὴ καὶ τὰ ἄνω τοιαῦτα) τὰ δὲ κάτω καὶ ταπεινὰ καὶ μὴ ὑπερλάμποντα στέργειν, ἣν ἔλαχον, τάξιν, καὶ τοῖς οἰκείοις ὅροις ἐμπεριγράφεσθαι. Καὶ νοῦς ἐντεῦθεν ὑποβάλλεται, ὅτι τὰ ὑπερκείμενα καὶ οὕτω τιμιώτερα ὑπὲρ τὰ κατώτερα καὶ ταπεινὰ οὐ μάτην καὶ εἰκῇ, οὐδὲ ἐξ αὐτομάτων ὑφοῦνται καὶ ἐλλάμπονται, ἀλλ' ἔκ τινος αἰτίου κρείττονος καὶ παντοδυνάμου, ἀνεσπακότος μὲν τὸν οὐρανὸν ἐν

ὑψηλοτάτῳ, ὑποθεμένου δὲ τὴν παμμήτορα γῆν ὡς ἐν συζυγίας λόγῳ, ἵνα ἐπαρδεύῃ μὲν ἐκεῖνος, αὐτὴ δὲ γεννῇ τὰ καθήκοντα, δαψιλευσαμένου δὲ ἄσβεστα λύχνα οὐράνια, ἵνα ἐν φωτὶ ἀεὶ διάγωμεν, ἡμέρας μὲν ἡλίῳ καταλαμπόμενοι, νυκτὸς δὲ — ἀλλὰ τότε πολυμέριστα πλουτοῦντες φῶτα, εἰς τοσοῦτον ἀμυδρῶς ἀνατέλλοντα δίχα γε τοῦ κατὰ σελήνην, ἐς ὅσον μὴ προκαλεῖσθαι ἡμᾶς ἐπὶ τὸ μεῖ γεωργικόν τι καὶ ἄλλως ἐνεργόν, ὡς ἀποκάμνειν ἀπαγορεύοντας ἐν τῷ διηνεκῶς ποιεῖσθαι, ἀλλ' ἔχειν ἐγρηγορότως μὲν διὰ τὴν τῶν ἐκεῖθεν φώτων χάριν, ἀναπεπαυμένως δὲ διὰ τὴν νύκτερον ἐπιπρόςθεσιν.

21. Ταῦτά τε οὖν ἐδιδάσκοντο, καὶ διὰ μέσων τούτων ἕτερα καὶ πλείω καὶ κρείττονα· προςεδιδάσκοντο δὲ καί, ὅτι νοῦν καὶ λόγον οἱ ἄνθρωποι σχόντες, καὶ τοῦτο ἐξαίρετον ὑπὲρ ζῶον ἅπαν ἄλλο εὐκληροῦντες ἔκ ποθεν κρείττονος ἑτέρου καὶ τοῦ καὶ λόγου, πάντων τῶν κατὰ κόσμον αἰτίου, τὰ τοιαῦτα πλουτοῦσιν ἀγαθά, ὡςεὶ καὶ κλῆρον καθήκοντα εἰς αὐτούς· ὃν καὶ ἐχρῆν ἐπιζητεῖν ἐςαεί, ὡςεὶ καὶ παῖς εὐγενὴς πατέρα τὸν ἴδιον. Καὶ οὕτω μὲν αὐτοὶ διδασκαλίας εἶχον σεσιγημένης, ἣν ὁ κόσμος αὐτοῖς ὑπέβαλλεν ὁρώμενος, καὶ ὡς ἔδει κατανοούμενος.

22. Ἐπεὶ δὲ τὸ ἔμπρακτον τοῦτο ἐκ θεοῦ διδασκάλιον οὐδέπως εὕρισκεν, ἔχοντας τὸν νοῦν πρὸς αὐτῷ, ἀλλὰ παρενόουν τὸν πρώτιστον νοῦν, ὃς καὶ τοὺς ἀγγελικοὺς νόας ὑπέστησε, καὶ τούς, ὅσοι τῶν βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένων εἰσί, καὶ εἰς ἀπόνοιαν οἱ πλείους δαιμονιώδη παρετρέποντο, [Ms. fol. 61. a] || καὶ οὐ μόνον ἄλλα τινὰ παρεφρόνουν, ἀλλὰ καὶ τὰ κτιστὰ καὶ φθαρτὰ εἰς θεοὺς ἀνῆγον θεομαχοῦντες — τότε δὴ ἐλεήσας τοὺς τοιούτους τῆς παροινίας, καὶ ποιήσας τὰ πάντα καὶ εὖ ποιήσας, εὐδοκεῖ ἐπ' ἐκείνῳ τῷ ποιῆσαι τὰ πρῶτα, εἶτα καὶ διδάξαι· καὶ τοῦτο πολυτρόπῳ μεθόδῳ ἐπιφιλοτιμησάμενος, ἀποστέλλει θεράποντας αὐτοῦ διδασκάλους τῶν θείων θελημάτων πολλούς· ἐν οἷς δίχα τῶν ἄλλων, τῶν καὶ σοφῶν καὶ πολυσχιδῶν, καὶ προφῆται γένους ἑκατέρου. Οὐδὲ γὰρ οὐδὲ τὸ θῆλυ ἀσυντελὲς οὐδ' ἐνταῦθα εἰς διδασκαλίαν θείαν ἀπέβη, ἀλλὰ πολλοὶ ἐδιδάχθησαν καὶ δι' αὐτοῦ.

23. Ἐπεὶ δὲ κατίσχυεν ὁ τῆς ἁμαρτίας εἰςέτι νόμος καὶ τὸ κατ' αὐτὴν ἔθος, καὶ οὐδὲ οὕτως ἐξηλείφετο, ἀλλὰ πᾶσα διδασκαλία καὶ ἔγγραφος καὶ ἄγραφος ἀργὸς ἦν· τότε δὴ ἀμεταβάτως καὶ οὐδὲ χθαμαλῶς διαβὰς ἄνωθεν εἰς τὰ ταπεινά, καὶ κοινωνήσας τῶν κατ' ἄνθρωπον, ὡς θεῷ ἔπρεπεν, ἐκάθισεν ἐπὶ θρόνου δόξης διδασκαλικῆς καὶ ἐκ παιδὸς ἕως καὶ εἰς ἡλικίαν τελείαν προσμείνας τῷ ποιεῖν καὶ διδάσκειν, ἐξήνυε τὰ εἰς σωτηρίαν ἡμῶν, μακαριώτατον τοῦτο ἐκτετελεκὼς πρᾶγμα, ἐξ οὗ διεβιβάσθη ὁ μακαρισμὸς καὶ εἰς πάντας ἄλλους, οἳ διαδεδεγμένοι αὐτὸν ποιοῦσι καὶ διδάσκουσιν ἀποστολικῶς, ὧν ἑκατέρῳ ἀμφότερα ἐνθεωροῦνται, εἰ καὶ ἄλλως ὡς οἷα δι' ἀλλήλων ἥκοντα. Ποίησίς τε ἀγαθοῦ ἅπασα εἰς διδασκαλίαν ἀποτελευτᾷ τῶν ἐθελόντων ζηλοῦν· καὶ διδασκαλία δὲ ἀγαθοῦ παντοία εἰς ποίησιν αὐτοῦ ἀφορᾷ, ὡς ἀπολήγειν τὸ μὲν ποιεῖν εἰς τὸ διδάσκειν, τὸ δὲ διδάσκειν εἰς τὸ ποιεῖν, καὶ οὕτως εἰς τέλος ἀμφοτέρων ἐκβαίνειν ἀμφότερα. Καὶ ἔστιν οἰκείωσις καὶ αὕτη φυλακική, μεταχωρούντων ἑκατέρων εἰς ἑκάτερα λόγῳ ἀντιστροφῆς, καὶ τελεσφορούντων ἄνθρωπον τὸν κατὰ θεόν.

24. Καθεσταμένου δὴ οὕτω καὶ τοῦ ἄμφω ταῦτα τὰ ἀγαθὰ δυάζοντος, τὸ δηλαδὴ καὶ ποιεῖν καὶ διδάσκειν, ἐπισκεπτέον καὶ τὸν πάντη ἔξαλλον, τὸν μήτε ποιοῦντά τι ἀγαθόν, μηδὲ μὴν διδάσκοντα· καὶ εἴη ἂν αὐτὸς οὐκ ἂν οὐδὲ ζῶον ἄλογον, οὐδέ τις ἑτέρα τῶν ἀλλοφύλων φύσεων, ἃ καὶ αὐτὰ λελόγωνται τρόπον τινά, οἷς εἰς θεοῦ αἶνον μετακαλοῦνται ψαλμῳδικῶς διὰ τὰ ἐν αὐτοῖς θαυμάσια. Λογίζοιτο δ' ἂν προςφυέστερον ὁ τοιοῦτος εἰς ἄνθρωπον ἢ λίθινον ἢ μαινόμενον, οἳ οὔτε δρῶσιν, οὔτε διδάσκουσιν οὐδέν, ἀλλ' ἢ μόνον ἐλεοῦνται τοῦ παρενηνέχθαι τῆς κατὰ φύσιν πλάσεως· ὧν ἐπιμᾶλλον δυςμίμητοι, ἐν οἷς ἡ ἄκρα πονηρία καὶ κοσμικὴ καχεξία. Δυςπραγεῖ καὶ εἰς πλέον, τὸ πάντων χείριστον. Εἰσὶ γάρ τινες εἰς τοσοῦτον κεκολοβωμένοι τῆς εἰς ἀγαθὸν διατριβῆς, ὥστε σὺν τῷ μηδὲν εὐηρεστημένον θεῷ ἢ ποιεῖν, ἢ διδάσκειν, ἐκκλίνουσιν εἰς τὸ μηδὲ ἄξιον, θεῷ μισητὰ καὶ διαπραττόμενοι καὶ ὑποτιθέμενοι, οὐκέτ' αὐτοὶ οὐδὲ ἄνθρωποι ὄντες, ἀλλ' εἰς δαίμονας τοὺς καὶ ἀρχεκάκους καὶ φαυλοποιοὺς καὶ πονηροδιδασκάλους ἀποταττόμενοι.

25. Ἐπεὶ οὖν οὕτω ταῦτα (καὶ οὐ διεξεπέσομεν, οἶμαι, τοῦ ὀρθῶς διελεῖν), φέρε δὴ ἐξετάσωμεν ἡμᾶς αὐτούς, ἀναβαίνοντες ἐκ τῶν ἐσχάτων ἐπὶ τὰ πρὸ αὐτῶν, καὶ θεωρήσωμεν, ἐν ποίῳ τῶν διαιρεμάτων τεταξόμεθα ἡμεῖς οἱ νῦν διδάσκοντες. Καὶ ὅτι μὲν εἰς ἔσχατον κακίας διεκπίπτοντες ἀποσυριχθησόμεθα, οὐκ ἂν εἴποιμι. Θαῤῥῶν γὰρ ἀποφάσκω ἐμοῦ τὸ ἔγκλημα τοῦτο. Οὐ γὰρ ἄν τις, οὔτε τὰ ἱμάτια διαῤῥήξας, οὔτε τὴν κεφαλὴν γυμνώσας, οὔτε τὸ μέτωπον παρατριψάμενος, οὐδὲ μὴν ἀναιδευσάμενος, ἐπικαλέσῃ || ἡμῖν οὔτε τὸ προσεχῶς ἀπόβλητον κακόν, τὴν ἔν [Ms. fol. 61. b.] τε πράξεσιν ἔν τε λόγοις δαιμονιώδη ἑτεροδιδασκαλίαν,

οὐδὲ μήν, ὡς οὔτε ἐποιήσαμεν, οὔτε ἐδιδάξαμεν ἀγαθὸν οὐδὲν ἐν τοῖς καθ' ἡμᾶς ὧδε, ὀκνηρίας ἢ ἀμαθίας λόγῳ, ἢ καθ' ἑτέραν, ἣν ἂν ἐξεύροι τις, αἰτίαν. Εἰ δέ τις διάβολος ὢν ἀποθρασυνθείη καθ' ἡμῶν ἐς τοσοῦτον ἀποφάνσεως, ἰδοὺ καιρός, καὶ αὐτὸς μὲν καταχασκέτω· ἡμεῖς δὲ παραβύσομεν τῷ χάσματι τὰ ἐκ θεοῦ ἐμφράγματα, οἷς καὶ στόματα λεόντων ἀργὰ ἐκεῖνος ποιεῖ ἀπεσθίειν τοὺς τεθαῤῥηκότας αὐτῷ.

26. Ταύτης δὲ τῆς διχιδοῦς φαυλότητος ἀποφασκομένης ἡμῶν, ἧς ὁ τόπος ἐν τοῖς ἀνωτέρω πέμπτος τις ἐτάχθη, καὶ μὴν καὶ τῆς μετ' αὐτὴν ἐν ἀριθμῷ ἕκτῳ, καθ' ἣν ὄντος τοῦ διδάσκοντος ἄπεστι τὸ διδασκόμενον σύστημα (ὀκνῶ γὰρ εἰς πλέον ἐπιμνησθῆναι αὐτῆς), ἐπιβαλοῦμεν ἀναγκαίως τῷ τετάρτῳ, καθὰ ὑπεσχήμεθα, καὶ ἐπελευσόμεθα, εἴ τί που καλὸν ἢ ποιοῦντες ἢ διδάσκοντες οὐ κατησχύναμεν τοὺς εἰς μαθητείαν ἐμπεπιστευμένους ἡμῖν. Καὶ ἐγὼ μὲν οἶμαι, πολλὰ καὶ πεποιηκέναι, καὶ εἰς διδασκαλίαν προτεθεικέναι· καὶ ὁ θέλων ἐνστάτης ἐμὸς γενέσθαι στομούτω τὴν γλῶσσαν, οἷα καὶ ξίφος, εἰς ἐμφανές, καὶ ἐγὼ ἀπαμβλυνῶ αὐτὴν οὐ τριχθὰ καὶ τετραχθὰ διαθρύψας, ἐνδυναμοῦντος θεοῦ, ἀλλὰ καὶ εἰς ἀτόμους ἀπολεπτύνας· οὐ γὰρ οὕτω παρακεχώρημαι ἀχρεῖος γενέσθαι δοῦλος αὐτοῦ, ὡς ἀσυντελὴς ἀποβῆναι κατὰ τὸ πᾶν, καὶ εἰς οὐδὲν τοῖς ἐνταῦθα χρήσιμος. Εἰ δὴ τοῦ διπλάζοντος καλοῦ μετέχειν ἐπαγωνίζομαι, τοῦ καὶ ποιῆσαι καὶ διδάξαι, οὐκ ἂν πάντως ὑπεκσταίην οὐδενὶ ἀντιπίπτοντι, ὡς οὐκ ἔστιν ἐμοὶ μερὶς καὶ μετὰ τῶν ποιούντων καὶ οὕτω διδασκόντων ἐν τῷ ποιεῖν. Ὅπου γὰρ τὸ διπλοῦν, ἐκεῖ πάντως καὶ τὸ ἁπλοῦν. Οὐκοῦν εἰ καὶ ἐποίησα καὶ ἐδίδαξα, τίς ἂν ἐχέφρων ἀποστερήσῃ με τῆς τοῦ ποιεῖν ἐνδοξότητος, ὃς καὶ αὐτοῦ περιέπομαι, καὶ τοῦ συνεφεπομένου δὲ ἀντέχομαι; Εἰ δέ τις τὴν ἐκτεθειμένην ἄρτι διπλόην ἀναπτύσσων, λογιστεύει τὰ καθ' ἡμᾶς, ὡς μὴ δυαζομένους εἰς ἀγαθόν (διδάσκειν μὲν γὰρ τὸ καλόν, οὐ μὴν δὲ καὶ ποιεῖν), ἀναβήτω καὶ εἰς τοιοῦτον ἀγῶνα, καὶ θεωρείτω με εἰς ἱερέα, κακοῖς μὲν ἅπασιν ἀποτελέσμασιν ἔμφορτον, διδάσκοντα δὲ ἀγαθά· καὶ ἐγὼ μὲν ἀπορῶ λήμματος ὁμολογουμένου τοῦ ἀγαθὰ καὶ διδάσκειν καὶ διδάξασθαι δέ, εἴπερ ὁ χρόνος τῆς ζωῆς παρατείνεται. Αὐτὸς δὲ δεικνύτω τὴν ἐν τοῖς ἐμοῖς ἔργοις κακίαν, ἵνα τὸ τέλειόν μοι ἀγαθὸν εἰς ἥμισυ καταστήσῃ. Καὶ εἰ μὲν ἀδυνατήσεις, ὦ σὺ ἐνστάτα, ἀπηνέγκω τὴν μέλαιναν· εἰ δὲ καὶ εὐτονήσεις τὰ εἰς ἀπόδειξιν, δικηγορήσει τηνικαῦτα κατά σου τὸ ἱερὸν εὐαγγέλιον, καὶ ἐπιτιμήσει ἄλλως τε πολλαχῶς, καὶ διὰ τοῦ χρῆναι πάντα μέν, ὅσα ἐγὼ διδάσκω, ποιεῖν σε, τοῖς δὲ ἐμοῖς ἔργοις μὴ ἐπακολουθεῖν. Παρακελεύεται δέ σοι καὶ τὸ ἐλέγξαι, καὶ ἐπιτιμῆσαι, καὶ παρακαλέσαι, καὶ οὕτω φρονίμως μεταχειρίσασθαι τὰ εἰς ἐμὴν διόρθωσιν, οὐ μὴν ὀφεωδῶς, καὶ ὡς ἂν χαίροιεν δαίμονες. Οἶμαι δέ, ὅτι καὶ ἄλλως αἰτιάσεταί σε ὁ ὀρθὸς λόγος, εἰ μὴ χθές που καὶ πρὸ τρίτης καὶ ἔτι μικρόν τι ἀνόπιν, ἀλλ' ἐξ αὐτῆς ἀρχῆς, ὅτε τοῦ ἱεροῦ τούτου λάχους || ἐγενόμην μέχρι καὶ τήμερον ἀνεξελέγκτως, λογοπραγεῖς με, τὸν καὶ διάκονον τῶν τοῦ θεοῦ μυστηρίων, καὶ ἱερέα, καὶ ἀρχιερέα, καὶ θύτην, καὶ μύστην θεοῦ, καὶ μυσταγωγὸν ἐν ὑμῖν, καὶ πατέρα κατὰ πνεῦμα, καὶ διδάσκαλον, καὶ ἁγιαστὴν ἐν θεῷ· καὶ πράγματα παρέχεις καὶ κατακραυγὰς καὶ ὀχλήσεις, καὶ δι' ὕβρεων ἄγεις, καὶ τὴν ἀδελφότητα ψεύδῃ, καὶ τῆς ἱερᾶς ἀποσχίζῃ συνάξεως, καὶ οὐδὲ τὴν αὐτὴν γῆν ἡμῖν ἀνέχῃ πατεῖν, οὐδὲ τὸν αὐτὸν ἀναπνεῖν ἀέρα, καὶ συναντήσας δέ που καθ' ὁδὸν ἐκτρέπῃ πλαγιάζων, καὶ σεαυτὸν ἀφορίζεις ἐξ ἡμῶν, καὶ δίδως οὕτως ἐπὶ τὸν νῶτόν σου τεκταίνειν τοὺς ἁμαρτωλοὺς δαίμονας, καὶ τὰς ψόας σου ἐμπιπλᾶν ἐμπαιγμάτων. Στῆθι μικρόν, ἔμβλεψον, λάλησον εἰς ἐμφανές, προβαλοῦ τὰ λυποῦντα, καταδίκασον, δικαιώθητι, καὶ τότε ποίει, ὅπερ ἐθέλεις· ὡς νικήσας μὲν βελτιώσεις ἡμᾶς, νικηθεὶς δὲ καὶ ἐπιγνοὺς τἀληθὲς βελτιωθήσῃ, ἀποκαταστὰς εἰς ἔμφρονα· ἄλλως δὲ διαβίου, ἡμῖν ἀπέχειν μανίας ἄντικρυς πάθος ἐξιστώσης φρενῶν.

27. Ἀλλὰ καταστήσαντες καὶ τοῦτο ἐνταῦθα, οὐ δεησόμεθα μακρῶν λόγων οὐδὲ εἰς τὸ πρῶτον, ὅπερ ἦν τὸ ἀγαθουργεῖν καὶ ἄτερ διδασκαλίας. Εἰ γὰρ ἐδείξαμεν, ὅτι καὶ ἐποιήσαμεν καὶ ποιοῦμεν, συναποδέδεικται δή πουθεν καὶ αὐτὸ τέως γε μήν, εἴπερ καὶ τοῦτο πέσοι ἐς ἀπόδειξιν. Ὁ θεὸς μὲν εἰδείη ἂν καὶ οἱ ἑκάστων φύλακες ἄγγελοι πάντα τὰ κακῶς ποιούμενα, ἄνθρωπος δὲ οὐκ οἶμαι εἴπερ ἅπας. Εἰ γὰρ τῶν σεμνῶς καὶ οὐδὲ κινόνος ἔξω πραττομένων τὰ πλείω διεκφεύγει τὰς τῶν πολλῶν αἰσθήσεις καὶ τὰς ἐντεῦθεν εἰδήσεις, σχολῇ γε ἂν τὰ σφοδρῶς ἡμαρτημένα, καὶ σκότου ἄξια, καὶ αἰσχύνην ἐπισυρόμενα, καὶ αἰδοῦς αἴτια, πρόοπτα γίνοιτο ἄν, καὶ ταῦτα τοῖς μήτε τῆς αὐτῆς ἑστίας, μήτε ὀρόφου τοῦ αὐτοῦ, μήτε τραπέζης μιᾶς κοινωνοῖς.

28. Καὶ οὕτω μὲν ἐγὼ ἀμφὶ τούτοις ἔχω, τυχὸν μὲν ὀρθὰ δοξάζων, ἴσως δὲ καὶ σφαλλόμενος· ὑμεῖς δέ, ὦ φίλον ἀκροατήριον, ὦ ἐν Χριστῷ ἀδελφοί, ὦ δοῦλοι θεοῦ καθὰ καὶ ἐγώ, ὦ καὶ φρονεῖν ἄκροι, καὶ κρίνειν τὰ πρακτέα ὀρθῶς δεξιοί, πρὸς τῶν ἀρετῶν, ἃς ἰδοὺ ἐπεμαρτυράμην ὑμῖν, πρὸς αὐτοῦ θεοῦ τοῦ ὑπὲρ ἅπασαν ἀρετήν, διακρίνατε καὶ ἀποφήνασθε καὶ

Ms. fol. 61. a.

διδάξατέ με, ὅπῃ τῶν ὑπηριθμημένων τόπων τετάξομαι· ὡς ἂν μαθὼν τὸν ἐμὸν τόπον, κατασταθῶ εἴς τι πάγιον ἢ γνώσεως ἢ ἀπογνώσεως, ὡς νῦν γε νομίζω σταθερῶς, ὅτι καὶ ἐποίησα καὶ ποιῶ πρὸς δύναμιν ἐμήν, καὶ ἐδίδαξα καὶ διδάσκω, καθὰ ἐνεχώρει. Δοκῶ μὴ μακρὰν εἶναι τοῦ καὶ ἐγὼ ἄνθρωπος εἶναι θεοῦ, ὡς καὶ ὑμῶν ἕκαστος· καὶ οὕτω δοξάζων ἀξιῶ ἐξ ἀνάγκης, ἀναλόγως τῇ κατ' ἐμὲ ἀνθρωπότητι ἐξευρίσκειν τὰ πρὸς ἐμὲ ὡς ἑκάστοτε συμπτώματα. Οἷόν τι λέγω; Ἐθέλω εὐλογῶν τινας αὐτὸς μὴ κακολογεῖσθαι, μηδὲ ἐν τῷ ἐπαινεῖν περιυβρίζεσθαι· βαρύνομαι, μὴ κλέπτων κλέπτεσθαι, μὴ ἁρπάζων ἁρπάζεσθαι, μὴ συμποδίζων σφάλλεσθαι, μὴ παλαίων καταῤῥίπτεῖσθαι. Οὐδὲν οὔτε ὑφαιροῦμαι, οὔτε ἀποσπῶ ἀλλότριον· ἀπαιτῶ οὖν, μηδὲ ἄλλους τοιοῦτόν τι πλημμελεῖν μήτε ἐπί τισιν ἄλλοις, μήτε ἐπὶ τοῖς ἐμοῖς. Ἐμὰ γάρ, φημι, καὶ οὐδὲ ἐπισφαλῶς, ἅ μοι ἐνεχείρισεν ὁ θεὸς εἰς προμήθειαν. Ἐλέγχω τοὺς ἀφαιρουμένους ἁρπάγδην τὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ· ζητῶ καὶ αὐτὸς ἔλεγχον, ἐὰν καὶ ἐγὼ εἴς τι ὅμοιον ἐμωράνθην. Ὀρογλυφοῦμαι προφανῶς ὑπὸ πολλῶν· τίνος γοῦν τῶν ἀπάντων κληρουχία ἐπι || βεβούλευται ὑπ' ἐμοῦ;

Ms. fol. 62. b.

29. Τά τε οὖν εἰρημένα ὁλοψύχως ἐθέλω καὶ μηδὲ συκοφαντεῖσθαι, μηδὲ διαβάλλεσθαι, ὅτι μηδὲ ἐγὼ τοιοῦτον ἐνεμαξάμην τραῦμα τῇ ἐμῇ ψυχῇ. Τραύματα γὰρ ἀκριβῶς ἀποφαίνομαι καὶ αὐτὸς ψυχικὰ τὰ ἐκ συκοφαντιῶν καὶ διαβολῶν, καὶ τραύματα οὐ τῶν πασχόντων, ἀλλὰ πολλῷ πρότερον τῶν ποιούντων. Οἱ μὲν γὰρ συκοφαντούμενοι καὶ διαβαλλόμενοι ἔχουσι στέφανον ἐκ θεοῦ, τοῦ βραβευτοῦ τῶν κατ' ἀρετὴν ἀγώνων, εἴτε κατάσχετοι γένωνται, εἴτε καὶ διεκπετασθῶσι τῶν παγίδων τῆς κακώσεως. Οἱ δέ γε τὴν διαβολὴν καὶ τὴν συκοφαντίαν ἐνηργηκότες, εἰ μὲν ἀπεστερημένοι τῶν στεφάνων ἀχρειοῦνται δι' αἰσχύνης, ὡς εἰ καὶ κατάχριστοι πίσσῃ ἐπόμπευσαν, ἀλλὰ τοῦτο μὲν βαρὺ οὐδέν· ἐκεῖνο δὲ πάνυ ἀλγεινὸν καὶ ἀφόρητον εἰς ὀδύνην, ὅτι τραυματίζονται τὰ ἐντός, τὰ μὲν τῆς συνειδήσεως πληττούσης αὐτούς, τὰ δὲ σπαραττούσης τῆς καρδιώξεως, εἰ μηδὲν ἀπετέλεσαν φίλον αὐτοῖς. Καὶ ἔστι προσφυῶς ἐπὶ τῶν τοιούτων εἰπεῖν, ὡς περιετράπησαν αὐτοῖς αἱ κατὰ τῶν ἀναιτίων βολαί, καὶ αἱ ῥομφαῖαι αὐτῶν εἰσήλθοσαν εἰς τὰς καρδίας αὐτῶν· καὶ ἃ μὲν αὐτοὶ ἐπαφῆκαν, ὡς βέλη νηπίων ἐλογίσθησαν, καὶ που τυχὸν οὐδὲ ἔπληξαν· ἃ δὲ ἡ δίκη κατ' αὐτῶν ἔστρεψεν, ἔσω καρδίας παρέκυψαν, καὶ τραύματα ἐνεβάθυναν.

30. Ἔτι ἐθέλω λαλῶν δίκαια μὴ ἐξουθενοῦσθαι, ἀλλ' εἰςακούεσθαι. Οὐ γάρ εἰμι ἐνταῦθα οὔτε χυδαῖος οὔτε τυχαῖος ἄνθρωπος, ἀλλ' ἐξάρχω διδασκαλικῶς· καὶ μαθητείας ἐπέχουσι τόπον ὑπ' ἐμοὶ διδασκάλῳ οἱ ἐνταῦθα πολῖται. Θείου τοῦτο πνεύματος δῶρον, τάξαντος κἀμὲ εἰς τοιοῦτον ἔργον, οὗ χάριν καὶ ἀπόστολος θεοῦ λογίζομαι καὶ αὐτός. Ἀπόστολος δέ, ὥσπερ καὶ πρέσβυς ἅπας, οὐ κρίνεται ἀνάξιος προσοχῆς, ἀλλὰ πρῶτα μὲν ἀκούουσιν αὐτοῦ οἱ συνειλεγμένοι κατ' ἐντυχίαν· εἶτα, ἐὰν πρός τινι ὠφελείᾳ καὶ λυσιτελείᾳ διεγνώκωσιν εἶναι τὰ λαλούμενα, ἐπακούουσι, καὶ πείθονται, καὶ ἐν εἰρήνῃ ἀποστέλλουσι τὸν λαλήσαντα. Τί οὖν μὴ καὶ ἐγὼ τοιούτου ἐπιτυγχάνω καλοῦ; Διδάσκω, καὶ χρὴ μανθάνειν ὑμᾶς· πρεσβεύω, ὑπακούσατε, καὶ τὸ ποιητέον κυρώσατε· ἀπέσταλμαι, προσέχετε. Εἰ δὲ τὰ λαλούμενα οὐκ ἀρέσκει, ἀπορήσατε, καὶ ἐπὶ τρυτάνης ταλαντευθήτωσαν αἵ τε ἀντιθέσεις καὶ αἱ λύσεις πρὸς ἀκρίβειαν· καὶ οὕτω τὸ ἐν ἡμῖν λογάριον ἢ παῤῥησιαζέσθω ἢ ἀλλ', εἴ τις ὑπόνοια κιβδηλεύσεως ἐπὶ τῷ πνευματικῷ ὕπεστι κέρματι, ἀλλ' ἕκαστος ὑμῶν ἔχει τὴν κατὰ πνεῦμα Λυδίαν λίθον, καὶ δύναται δι' αὐτῆς βασανίζειν, ὅσον ἐν τοῖς τοιούτοις νοήμασιν ἀῤῥύπαρον. Καὶ οὕτω μὲν ἐν καλῷ καταστήσεται τὰ τῆς εἴτε πρεσβείας, εἴτε μαθητείας. Πρὶν ἢ δὲ τοιοῦτόν τι γενέσθαι, μάταιος ὄχλος ὁ ἀποδυσπετῶν εἴτε πρὸς διδάσκαλον, εἴτε πρὸς ἄγγελον. Οὐκ ἀπεστάλην, ὦ οὗτοι, κόλαξ ἐνταῦθα, ὡς προσφέρειν ἅπασι μαλθακοὺς λόγους καὶ οἵους τέρπειν μόνον καὶ διαχέειν. Τοῦτο γὰρ σχοινοβατεῖν ἐστι χορευτικῶς καὶ ὀρχηστικῶς· ἄλλως δὲ εἰπεῖν ὑψηλότερον, ἐχθραίνει τὸν θεὸν τῷ τοιούτῳ διδασκάλῳ. Κόλαξ μὲν γὰρ ἅπας ψεύδεται, κοινὸν δὲ οὐδὲν ψεύδει τε καὶ θεῷ· οὐκοῦν ὥσπερ οὐδὲ ὁ ψευδής, οὕτως οὐδὲ ὁ κόλαξ φιλόθεός ἐστι.

31. Μέμνημαι καὶ || αὐτὸς οὔ τι νέον γε, ἀλλ' ἐκ μακρῶν χρόνων ἀδείας κολακικῆς, δημοσιευθείσης ἐν τῇ μεγίστῃ τῶν πόλεων, ὅτε τις ἐπίτριπτος κόλαξ μυρία τολμήσας παράσημα, εἶτα καὶ εἰς θεοῦ υἱὸν ἐνέγραψε τὸν κολακευόμενον· ὁπηνίκα ὁ ἐκ τῆς Ἀτθίδος λαμπτὴρ τοὺς πατριαρχικοὺς ἰθύνων οἴακας, ἐπαμφαίνειν ἄνδρα ἐκεῖνον, μέγαν μὲν καὶ ἀξίᾳ καὶ γένει καὶ λόγῳ, εἴ τις οἶδε μαθὼν τὸν πάλαι Ἰκανάτον, ὃς καὶ ἐνταῦθα προεκάθισε δουκικῶς, σμικρόνουν δέ, οἷς θεοποιούμενος ἐπίστευε καὶ συνετίθετο, ἄλλως δέ γε καὶ ἀναίσθητον, εἴπερ κατατρωγόμενος κόλαξι, θηρίῳ ὑπούλῳ, οὐκ ᾐσθάνετο.

Ms. fol. 63. a.

32. Γράφειν μεθοδεύει ὁ κόλαξ εἰς εὐεργέτην τὸν ἅρπαγα, τὸν ἔκδικα δρῶντα εἰς εὐθυδίκην, τὸν ὀρογλύφον προσθέτην γηδίου, τὸν τοκογλύφον μεγαλόδωρον, τὸν ὑβριστὴν ἐπαινέτην. Τὰ ὅλα συντελεῖν εἰς

ἐν, πρὸς ἀντονομασίαν ἔκτοπον ἕλκεται, δι᾽ ἧς ἀρετῶν ὀνόμασιν αἱ κακίαι σεμνύνοιντο ἄν· οὗ τί ποτε ἂν εἴη χεῖρον, εἴγε ὑπάγονται καὶ οἱ τοιοῦτοι τὸ οὐαί; ὁποίου κληρονομοῦσι καὶ οἱ τὸ πικρὸν καὶ οἱ τὸ σκότος φαύλως ἀντονομάζοντες. Ὢ πόσα καὶ οἷα καὶ ἡλίκα τὰ ἐκ τῶν κολάκων δεινά. Φῦμα περὶ τὸν κολακευόμενον, καὶ ῥαγὲν ὄδωδεν ἀποτρόπαιον· καὶ ὁ κόλαξ νάρδου πιστικῆς ὄζειν τὸ τραῦμά φησιν. Τὸν ἀδρανῆ, καὶ οἷον ἀνέμῳ καταπνέοντα σκελίζεσθαι, εἰς ἀνδρίαν ἐπαίρει· καὶ ἔποχον ἵππῳ ἀναπείσας γενέσθαι, εἶτα καταπεσόντα οὐ μέμφεται, ἀλλὰ τὴν ἐφεστρίδα αἰτιᾶται τοῦ πτώματος. Κἂν τραῦμα ἐκεῖθεν πάθοι τὸ σῶμα, τὸν χιτῶνα ψέγει, ὡς οἷα τραχὺν, καὶ οὕτω τὴν σάρκα τρίψαντα· κἂν ἀποῤῥυῇ αἷμα, τάσιν μέλους εἰς μέμψιν προβάλλεται, δι᾽ ἧς φλεβίου ῥαγέντος αἷμα ἐξέκυψεν. Ἐξ ἀνθρώπων ὁ κόλαξ γινόμενος, οὐκ εἰς ἀγαθόν τι ζῶον, ἀλλ᾽ εἰς κόρακα μεταπλάττεται. Ἢ γὰρ οὐ ταὐτόν τι τὰ ἐς κακίαν, κόλακα καὶ κόρακα εἰπεῖν, κατὰ τὸν ὀρθῶς πάλαι ποτὲ σκηψάμενον, καὶ ὀρθῷ τραυλισμῷ τὸν κόλακα φωνῇ κόρακος ὑποκορισάμενον; Πολλή τις αἰσχύνη, ῥύπον μὲν ἐπὶ προσώπου φανέντα ὕδατι ἀποπλύνειν, μή πως ὁ φυσικὸς ἀχρειωθείη χαρακτὴρ τοῦ εἴδους· κόλακος δὲ ἀνέχεσθαι, ῥυπαρῶς παραζωγραφοῦντος οὐ μόνον τὸν ἔξω ἄνθρωπον, ἀλλὰ καὶ τὸν ἐντός. Μὴ γὰρ οὐκ ἀπόλλυσιν ὁ κόλαξ καὶ ψυχὴν αὐτὴν, χρώματα τρίβων ἔκφυλα, οἷς χριομένοις ὑπογραφόμενος ἀχρειοῦται ὁ καλὸς ἄνθρωπος; Ὁ πρὸς κολακείαν λαλῶν δαίμονι ἐξυπηρετεῖται, ὃς καὶ αὐτὸς θωπείαις ὑποσαίνων ἁμαρτάδας ἐπαλείφει κομμωτικῶς, καὶ ὡς εἰς εὐμορφίαν ἀρετῶν ἐξωραΐζειν ὑποκρίνεται, ἀγαθὰ ἐπιγράφων ὀνόματα.

33. Μὴ ἐμὲ γοῦν οὗτος λάβοι λογισμός ποτε, ὡς ἀγεννῶς κολακεύειν καὶ ἀπατᾷν καὶ ψεύδεσθαι τὸν διδάσκαλον. Πιστός μοι μάρτυς ὁ Θεός, ἐφ᾽ οἷς ἀεὶ πραγματεύομαι, φίλον εὑρίσκειν οὐκ εἰδότα κολακεύειν, ἀλλ᾽ ἐξελέγχειν. Καὶ ἀγαπῶ τὸν τοιοῦτον, καὶ τοῦτό γε εἰμὶ σοφὸς, καθὰ γνωματεύει καὶ ὁ πάνσοφος παροιμιαστής. Οὐκοῦν καὶ συ ἕκαστος τῶν ἐμοὶ φίλων, ποίει τὸ καλὸν οἰκόθεν· τοῦτο δὴ τὸ πρῶτον. Ποίει δὲ καὶ τὸ ἑτέρωθεν, ὑποτεθὲν ὡς εἰκός· καὶ μὴ, φεύγων τὸν ἔλεγχον, ὃν ἀγαπᾷ ὁ σοφὸς ἀνὴρ, θέλε κολακεύεσθαι, καὶ οὕτω παραγράφεσθαι.

34. Ἀλλ᾽ ἐπειδὴ, ὅπερ ἐφάμην, οὐκ ἀπέσταλμαι κολακεύειν, λείπεται δὴ, || Ms. fol. 63. b. ὀρθότητος εἶναί με ἔλεγχον. Ἀνδρὸς δὲ τοιούτου ἔργον, ἀληθίζεσθαι πρὸς τὰ παραπίπτοντα, ποικίλα ὄντα καὶ ἀδιεξίτητα, ὧν πατὴρ ὁ μακρὸς χρόνος, δαίδαλα φύων καὶ πράγματα καὶ νοήματα· οἷς ὁ ἐνδιατρίψας εἰς ἀπαρίθμησιν, θαῤῥείτω τοῦ λοιποῦ, καὶ ἀστέρας ἔχειν μετρεῖν καὶ ὕμμον αὐτήν. Καὶ οὕτω μὲν ὡς ἐπὶ πλεῖστον ψιλὴν ἀνυποστόλως αὐτὴν καθ᾽ αὑτὴν διαχειρίσεται τὴν ἀλήθειαν καὶ πᾶς μὲν ἄνθρωπος, μᾶλλον δὲ ὁ πεπαιδευμένος, ἐπὶ ἔτι δὲ πλέον ὁ ἐν ἱερωσύνῃ, μάλιστα δὲ καθ᾽ ὑπεροχὴν ὁ ἀρχιερεύς. Περιπετείας δέ τινος ἐπιγενομένης, καὶ ἐπαινέσεται ἀκροατὴν ἢ ἄνθρωπον ἢ δῆμον ὁ τοιοῦτος διὰ καλοῦ τινος ἐπίδοσιν· καὶ ἔστιν αὐτὸ οὐ κολακεία. Πλείστη γὰρ ὅση διαφορὰ τοῦ κολακεύειν καὶ τοῦ πνευματικῶς ἐπαινεῖν, τοσαύτη, ὅση καὶ ἀληθείας πρὸς ψεῦδος, καὶ σπουδῆς πρὸς παίγνιον. Ἀληθεύει μὲν γὰρ ὁ πνευματικὸς ἐπαινέτης, παρεργάζεται δὲ ὁ κατὰ κολακείαν. Ἔστι δὲ ὁ ἔπαινος, ὃν ἐγὼ ἄρτι ἐκτίθεμαι, λόγος εὐλογητικὸς τῶν κατ᾽ ἀρετὴν ζώντων. Καὶ αὐτὸς ἢ ἐν στενολεσχίᾳ, ἢ ἀποτάδην, ὡς ὁ διδάσκαλος διακρινεῖ· ὥσπερ αὖ πάλιν ψόγος, ὁ τῷ τοιούτῳ ἐπαίνῳ ἀντίθετος λόγος, δυσφημῶν τὸν μὴ ἀρετῶντα. Οὗ καὶ αὐτοῦ στοχαστέον ἐν καιρῷ τὸν κατὰ πνεῦμα διδάσκοντα, πραγματευόμενον, πῇ μὲν μέλιτι καὶ λοιποῖς ἡδύσμασιν ἀνακτᾶσθαι τὴν θεοφιλῆ ὄρεξιν, πῇ δὲ πικράσμασιν ἰατρευτικοῖς καὶ λοιπαῖς δριμύτησιν ἐπανάγειν τὸ καχεκτοῦν εἰς ὑγίειαν· ὧν τῷ μὲν πρώτῳ ἀνάλογον διεκπίπτει ὁ ῥηθεὶς ἔπαινος, ψόγος δὲ τοῖς δευτέροις.

35. Τούτων προεκτεθειμένων, ἔχω συναγαγὼν ἤδη ἐντελῶς, ὡς οὐκ ἔξεστί μοι κολακεύειν ὑμᾶς τοὺς ἐμούς, οὓς ὠφελεῖν ἐθέλω, οὓς εἰς ἀγαθὸν καταρτίζειν, οὓς ἐνάγειν πρὸς ἀλήθειαν. Δέδοικα γάρ, μὴ καὶ θεομαχῶ, κολακεύων ἐν τῷ διδάσκειν, καὶ οὕτω ψευδόμενος. Κολακεύσω μὲν γάρ ποτε· ἀλλ᾽ ὅτε ποππύζω πρός τινα, ὡσεὶ καὶ ἵππον ἀγριούμενον, ἢ καὶ καταψῶ θηρίον ἀτίθασσον· οἷς προσθετέον καὶ ἀφύκτους ἐχθρούς, εἴ ποθεν κατασκήψαιεν. Καὶ μὴν ἐγώ — ἦν ποτε καιρὸς ἐκεῖνος ἀπευκταῖος, ὁ κατὰ τὴν αἰχμαλωσίαν — καὶ ὤκνουν κολακεύειν, καὶ ὁ Θεὸς ἵστατο παρ᾽ ἐμοὶ καὶ διὰ τοῦτο· εὐδοκίμουν γὰρ τἀληθῆ λέγων εὐμεθόδως. Εἰ δέ ποτε καὶ χολήν τινα τοῖς δεσπόταις ἐκείνοις ὑπεκίνουν, ἀλλὰ καὶ αὐτοῖς ταχὺ τὸ πῦρ ἐσβέννυτο, τῇ ἄνωθεν δρόσῳ μαραινόμενον.

36. Ἔτι προσεπιζητῶ, καὶ σοφοὺς εἶναι καὶ ἐμὲ καὶ ὑμᾶς. Ἐσόμεθα δὲ τοιοῦτοι οὐ πόνῳ πολλῷ, οὐ βιβλίων ἐπελεύσεσιν, ἐφ᾽ οἷς ὀφθαλμοὶ κάμνουσιν, οὐ διδασκάλων αὐστηρίαις, ὧν αἱ χεῖρες ἀλγεινοὺς ἐντρίβουσι μώλωπας, οὐχ ὕπνου ἀργίαις, δι᾽ ὧν καὶ αὐτῶν πολὺ τὸ σῖνος τοῖς ἀγρυπνοῦσιν, οὐ ποδῶν καμάτοις ἐξ ὁδοιποριῶν, οὐ δαπάναις ταῖς τε ἄλλαις καὶ ὅσαις ἐκθεραπεύονται λίχνοι διδάσκαλοι, οὐκ ἄλλοις τούτοις, ὧν μυρίων ἡ κατὰ σοφίαν ἐφίεται ἀγωγή. Ἀλλὰ

χρὴ μόνον ἐθελῆσαι καὶ ἐπινεῦσαι ἡμᾶς, καὶ αὐτίκα σεσοφίσμεθα ἐντελῶς.

37. Σοφίζει δὲ οὕτως ἡμᾶς ἀγαπώμενος ὁ ἔλεγχος. Ἔλεγχε γάρ φησι σοφόν, καὶ ἀγαπήσει σε, ἀφορμὴν ἐντεῦθεν λαβὼν τοῦ καὶ σοφώτερος εἶναι. Ms. fol. 64 a. Ὢ διδάσκαλος οὗτος εὐπόριστος, || ὢ σαφής, ὢ γοργός, ὢ δώροις ἀνάλωτος, ὢ καὶ διδάσκων ἅμα καὶ ἰατρεύων, τὸ μέν, οἷς μεθοδεύει τὰ σωτήρια, τὸ δ', ὅτι τῆς ψυχικῆς καχεξίας ἀποκενοῖ· ὢ καὶ πρὸς χάος ἄβυσσον κατάγων καὶ πρὸς οὐρανὸν ὑψῶν ὁ αὐτός, τὸ πρῶτον, οἷς ταπεινοποιεῖ ἐκ μεταμέλου, τὸ δεύτερον, οἷς ἀνάγει τῇ ἐκ μετανοίας καθάρσει πρὸς τὸν ὕψιστον κύριον. Εἰ δέ τις ἁμαρτάνων τὸν τοιοῦτον ἔλεγχον σκορακίζειν ἑαυτοῦ πειρᾶται, ὁ τοιοῦτος φριξάτω, εὐλαβούμενος, μή ποτε καὶ αὐτὸς αἰτιαθείη δεινῶς, ὡς τοὺς δικαίους ἐλέγχους μώλωπας ἑαυτῷ ἡγούμενος.

38. Ὢ ἁμαρτωλὸς ἐγώ, καὶ εἴ τις ἕτερος κατ' ἐμέ. Τί δήποτε κεκαυτηριασμένοι τὴν συνείδησιν, οἷς οἴδαμεν ἁμαρτάνοντες, τὸν ἐκ τοῦ λόγου καυτῆρα δυσωπούμεθα; Ἐπαινῶ καχέκτας ἐκείνους, οἳ καὶ νοσεῖν αἰσθάνονται, καὶ ἀνέχονται καιόμενοι πρὸς ὑγίειαν. Ὁ στραβίζων ἐμφανῶς, ἐὰν ἀκούσῃ, εὐωπὸς εἶναι, γελᾶσθαι κρίνει, καὶ τὸν ἐπαινεῖν δοκοῦντα μέμφεται. Οὕτω δὲ καὶ ὁ κυλλοποδίων, εἴπερ ὀρθὰ βαδίζειν λέγοιτο. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων κατὰ σῶμα πηρώσεων. Ἡμεῖς δέ, ὧν πρῶτος ἐγώ, ἁμαρτίαις ἐζοφωμένοι, καὶ μανθάνοντες, φῶς εἶναι καὶ ἡλιῶδες ἀπαστράπτειν, διατί οὐ νοοῦμεν, ὅτι γελώμεθα; Ἐθέλομεν δὲ συνεχῶς αὐτὸ ἀκούειν εἰς ἔπαινον. Εἰ δὲ ὁ παράβλωψ καὶ χωλός, καὶ ὅσοις ἄλλοις ἡ κατὰ σῶμα ἡμάρτηται πλάσις, θυμὸν ἀναλαμβάνουσιν, ὅτε ποτὲ σκώπτονται, καί τις οἴεται διὰ ταῦτα, καὶ τὸν ἐλεγχόμενον καὶ οὕτω χολούμενον δεόντως ἀγανακτεῖν, ὡς οἷα περιυβριζόμενον, γινωσκέτω, οὐ καλῶς οἴεσθαι. Οὐ γὰρ ταὐτὸν σκώπτεσθαι καὶ ἐλέγχεσθαι. Τὸ μὲν γὰρ σκῶμμα παίζει κυριολεκτούμενον, ὁ δὲ ἔλεγχος σπουδάζει καὶ διορθοῖ.

39. Οὐ τοίνυν οὐδὲ ἡμεῖς διδασκαλικῶς ἐλέγχοντες, καὶ μήτε ὀνειδιστικῶς, μηδὲ πρὸς ὕβριν, ἀλλὰ πρὸς διόρθωσιν σφάλματος καὶ ἀνέγερσιν πτώματος, ἢ ἁλισκόμεθα σκώμματος, ἢ ὀνειδίζομεν. Ἀλλ' ὥσπερ οἱ τοὺς ἐκτραπέντας τῆς ὀρθῆς ὁδοῦ ἐπανάγοντες εἰς αὐτήν, καὶ διδάσκοντες τὴν ἀποπλάνησιν, καὶ τὴν σκοπιμωτάτην ἐνστατικῶς ὑποδεικνύντες, οὐκ ἐπιτίθενται, οὐδ' ἀτιμάζουσιν, οὐδὲ ὀνειδίζουσιν· οὕτως οὐδὲ οἱ ἐξελέγχοντες πρὸς παραίνεσιν, λυπηρόν τι ποιοῦσιν, ἀλλὰ θεῷ ἀρέσκον ἔργον ἀποτελοῦσι, νόμοις ὀρθοῖς καὶ κανόνων εὐθύνησιν ἐμβιβάζοντες τοὺς ἐξ αὐτῶν παροιστρήσαντας.

40. Πρὸς τί μοι ἀποτέλεσμα ταῦτα; Εἰς τὸ πάντας ἡμᾶς χρῆναι ἀλλήλους ἐλέγχειν, καὶ ὑπ' ἀλλήλων ἐλέγχεσθαι πνευματικῶς καὶ ἀδελφικῶς, καὶ οὕτω μὴ τυφλοὺς περιπατεῖν ἐν βίῳ, ἀλλ' ἐξακριβοῦσθαι τὰ κατὰ θεὸν διαβήματα, καὶ οὕτω σοφοὺς ἀπεκβαίνειν κατὰ τό· κύριος σοφοῖ τυφλούς· οἳ δηλαδὴ ὡς ἐν σκότῳ, τῷ βίῳ τούτῳ, ἀναστρεφόμενοι, ὀρθὰ ποδηγετοῦνται θεόθεν, καὶ ὑπὸ φώτων λαμπροτάτων ἐξανύουσι τὰς πορείας, ὧν θρυαλλίδες εὐγενεῖς καὶ αἱ κατὰ τοὺς πνευματικοὺς ἐλέγχους διδασκαλίαι.

41. Ἐπὶ δὴ τούτοις προκαλοῦμαι εἰς ἀνδρικὴν εὐγένειαν τοὺς σὺν ἐμοὶ πολίτας, καὶ εἰσάγω μνήμην, ἀφίεσθαι τῶν καὶ ἀπείρων καὶ ἀκαίρων ἀπειλῶν, τοῦ παρὰ ὥραν βρυγμοῦ τῶν ὀδόντων, τῶν ἐν κενοῖς γλωσσαλγιῶν, ἐνθυμουμένους τὸ περιᾳδόμενον, ὡς ἀνδρῶν μὲν τὸ ποιεῖν, γυναικῶν δὲ τὸ λαλεῖν.

42. Ἐγὼ οὖν ἐκτέτηκα, οὕτω συχνὰ καταβροντώμενος ἀπειλαῖς, καὶ ταῦτα ταῖς ἐμοὶ μεγίσταις, ἀδελφοί. Ὁ εἷς, οἱ δύο, οἱ τρεῖς, οἱ τούτων πλείους, οἱ παρὰ τὸ δέον || θερμοὶ ἐς ὀργήν, οἱ τὰ μὲν ἐς ἀγάπην ψυχροί, τὰ δὲ ἐς φιλίαν μήποτε καὶ νεκροί· ἄφετέ με Ms. fol. 64 b. ζῆν τὸν βραχὺν χρόνον, ὃν βιώσομαι, ἢ ἀλλὰ τάχιον ἀπαγάγετέ με τοῦ βίου. Ἄφετε τηρεῖν μοι τὴν πτέρναν, εἰδότες, καίριον εἶναι, εἰς ὄλεθρον ἐμφῦναι τῇ καρδίᾳ, καὶ σπαράξαι σπλάγχνα, καὶ λάπτειν αἵματος. Λάβετε κατὰ νοῦν, ὅτι ἓξ ἤδη που καὶ δέκα ἐνιαυτοί, ἐν οἷς καθ' ἡμῶν ἀκονῶντες ὀδόντας ὀξύνετε. Μέχρι τίνος ἀνέξεσθε οὕτω κάμνοντες; Ἰδοὺ ὁ μετὰ τὸν μέγιστον δικαστήν, τὸν οὐράνιον, μέγιστος ἐν τοῖς ἐπὶ γῆς — ἀκτέον παρ' ἐκείνῳ τὸν κακὸν ἀρχιερέα, τὸν σκύλλοντα ὑμᾶς, τὸν βλάπτοντα, τὸν ἀδικοῦντα, τὸν ἁρπάζοντα, τὸν ἅπαν κακὸν ποιοῦντα. Καὶ ἐκεῖνος ἐξαιρήσεται τὸ μέγα πρόσκομμα, καὶ ὑμεῖς ὀρθὰ οὕτω βαδίσετε. Ἔστω τις χάρις καὶ ἐξ ὑμῶν, ὅτι τῆς Ῥωμαΐδος δι' ὑμῶν ἀπαλειφήσεται ὁ πάντων κακῶν αἴτιος Εὐστάθιος. Ἐκφήνατέ με, τὸ ὕπουλον κακόν· ἀνακαλύψατέ με, τὸν οὐ πασίδηλον ὄλεθρον. Εὑρήσετε χάριν παρά τε θεῷ καὶ ἀνθρώποις, ἀπαγαγόντες τοιοῦδε τύπου ἁγίου τὸν ὡς ὑμεῖς κρίνετε ἐναγῆ. Οὐκ ἐντρέπων ὑμᾶς ἅπαντας, ὦ ἀδελφοί, ταῦτα λέγω. Ἠκρίβωκὼς γὰρ ἔχω, καθὰ τοὺς μετρητοὺς φιλέχθρους, οὕτω καὶ τοὺς λοιποὺς φιλοθέους, τοὺς φιλεκκλησίους, τοὺς φιλαρχιερεῖς, τὸ πᾶν εἰπεῖν, τοὺς ἐν θεῷ φιλαδέλφους· οὓς καὶ δυσωπῶ ἐπεύχεσθαι τῇ πόλει ταύτῃ τὰ βελτίονα, ἵνα μὴ καὶ ἐνταῦθα κακῶν ἀνδρῶν ὀλιγίστων οὐκ εἰς ἀγαθὸν ἀπολαύσωσι τὰ ἡμέτερα. Θεέ,

πανάγιε βασιλεῦ, καὶ βασιλεῦ ἔνθεε· ἐπιβλέψατε ἐφ' ἡμᾶς, καὶ κατασειομένους στερεώσατε, ἵνα ἢ ἐν ἀσφαλεῖ στησώμεθα προσφαινόμενοι, ἢ ἀλλὰ καταπεσόντες κεισόμεθα εἰς ἀνέγερτον. Δυοῖν γὰρ θάτερον, ἢ καλῶς ζῆν, ἢ τεθνάναι καλῶς, ἐφιέμεθα καὶ ἡμεῖς, ὡς ἄνθρωποι καὶ ἐμπαθεῖς καὶ περιπαθεῖς. Ταῦτα εἰπών, οἷς οὐκ ἂν εἴποι τις μὴ καὶ διδασκαλίαν πυκνὴν παρενεσπάρθαι, ἧς ἕνεκεν ὀφειλετικῶς ἐνταῦθα συνηνέχθημεν, σιγήσομαι τοῦ λοιποῦ, ἕως ἂν ἐξ ὑμῶν μάθοιμι ἀποφαντικῶς, ὅποι τῶν ἠρωτημένων τόπων κατατάξετε ἡμᾶς, τοὺς ἴσως μὲν χρείους, καθά τις ἔφη σοφός, ἴσως δὲ ἀχρείους. Τότε δὲ ἀκούσαντες λαλήσομεν, ἢ πεφεισμένως, ἢ ἀφειδέστερον.

43. Τῷ τέως δὲ ἀναφωνῶ συνήθως ὑμῖν, διασκευάζεσθαι πρὸς τὸν ἐπιόντα τῆς νηστείας ἁγιασμόν, καθ' οἵους τρόπους κόλαξ ὑπεθέμην ὑμῖν. Οὐκ ἔχω γάρ τι ἐκείνων φράσαι κάλλιον ἢ ἀκριβέστερον· ἄρτυμα δὲ ἔστω ὑμῖν τοῦ θεαρέστου νηστεύματος μὴ μόνον ἡ ὀλιγοσιτία καὶ τὸ ἐγκρατῶς αὔταρκες, τὰ τοῖς πλείοσιν εὐχερῆ, ἀλλὰ καὶ μάλιστα ὁ πρὸς τοὺς δεομένους ἔλεος ὁ κατὰ δύναμιν· ὃν οὐδ' αὐτὸν ἀποπροσποιεῖται ὁ πάγκοινος ἐλεήμων θεός, οὐκ ἐν τῷ πολλῷ μόνῳ τὸ μέγα τῆς ἐλεημοσύνης τιθέμενος, ἀλλὰ καὶ ἐν τῷ ὀλίγῳ τῷ κατὰ ἰσχύν, καὶ ἐν αὐτῷ δὲ τῷ ὀλιγίστῳ, εἰ καὶ αὐτὸ ἱλαρῶς καὶ διακριτικῶς δίδοται. Ὁ δὲ ἐν τοῖς τοιούτοις εἰς νόστιμον ἅλας λογίζεται, μηδ' αὐτὸ ἐλλειπέτω.

44. Ἔστι δὲ ἐκεῖνο ἡ ἀγάπη, τὸ καὶ εὐπόριστον ἀγαθόν, εἴπερ ἐθέλομεν ἀναβλέπειν καὶ ψηλαφᾶν, Ms. fol. 65. a. || καὶ δυσπόριστον, εἴγε καταμύομεν καὶ διερευνώμεθα· περὶ ἧς μυρίους ὅσους λόγους χέαντες, οὐκ οἶδα, εἴπερ τὰς εἰς φιλίαν ἀτέγκτους ψυχὰς ὑγράναμεν, καὶ εἰς κάρπιμον διηνοίξαμεν. Ταύτης ἐπιλειπούσης, μάτην πονήσομεν καὶ εὐχόμενοι, καὶ νηστεύοντες, καὶ γονυπετοῦντες, καὶ ἀγρυπνοῦντες, καὶ ἔλεον προβεβλημένοι, καὶ δάκρυα προχέοντες· οὐ γὰρ ἂν εἴη, τὸν θεόν, τὴν αὐτοαγάπην, προσδέξασθαί τι ἐκ τῶν τὴν ἀγάπην ἐξουθενούντων, καὶ οὕτω καταποντιζομένων καὶ τὴν ἐξ ἐκείνου βοήθειαν. Πονηροὶ οἱ μὴ ἀγαπῶντες· πονηροὺς δὲ ὁ φίλιος οὐ προσίεται. Ἄδικοι οἱ μὴ ἀγαπῶντες· ἀδίκοις δὲ οὐκ ἐπιλάμπει ὁ τῆς δικαιοσύνης ἥλιος. Οὐδὲν ἀγαθὸν παρὰ τοῖς μὴ ἀγαπῶσιν· ὁ δὲ θεὸς ἀγαθῶν ἁπάντων αἴτιος. Κοινωνία οὖν οὐδεμία τοῖς τοιούτοις πρὸς τὸν θεόν. Βοηθητικὸν ἡ ἀγάπη, ἐπικουρεῖ, συμμαχεῖ, θερμῶς ὑπερπονεῖ. Πονεῖται ὁλοψύχως ὑπὲρ τῶν ἀγαπωμένων, καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ αὐτῶν· πάντα πάσχει, πάντα ποιεῖ, πάντα ὑπομένει ὁ ἀγαπῶν.

45. Τί ἂν ὠφελοίη ζῶν, ἢ τίς αὐτοῦ χρεία ἐν βίῳ; Ὁρᾶτε πρὸς τὸ καὶ πρῶτον καὶ μόνον καὶ μέγιστον ἐν τοῖς ἄρτι παράδειγμα, τὸν αὐτοκράτορα, ὃς ἀγαπῶν τὸν κόσμον, οἷα καὶ εἰς θεὸν αὐτῷ ἐπικεκλημένος μετὰ τὸν ὑπερουράνιον, οὐσίαν ὥσπερ ἑαυτῷ τοὺς ὑπὲρ ἡμῶν πόνους ὁρίζεται, καὶ εἰς τοῦτο γεγεννῆσθαι κρίνει, τὸ ὑπὲρ τοῦ κόσμου πονεῖσθαι, καὶ τοὺς κόπους αὐτῷ μὴ ἐγκόπτεσθαι διὰ βίου, μὴ ἡμέρας, μὴ νυκτός, μὴ χειμῶνος, πηγνύντος καὶ αὐτὴν ὑγρότητα τὴν ἐν μέλεσι ζωϊκοῖς, μὴ θέρους φλέγοντος· ὡς ἔργον εἶναι, ἰδέσθαι αὐτὸν σχολὴν πράξεων τῶν ὑπὲρ ἡμῶν ἄγοντα, μὴ ὅτι γε ὡς ἀναπαύσασθαι, ἀλλὰ μικροῦ μηδὲ εἰς ἄνετον ἀναπνεῦσαι. Ἰδοὺ γὰρ καὶ νῦν ἡμᾶς μὲν ὁ χειμὼν ἐνέκλειε παραβύων ὡς εἰς φωλεῶν καταδύσεις τοὺς ἐν ἡμῖν οἰκίσκους, καὶ ἕκαστος ὡς οἷα καὶ ὑπὸ ταρτάρου ὄντες, κρυεροὶ διήγομεν, καὶ νάρκην ἐπάσχομεν· καὶ ἦν ἡμῖν ὄκνος, καὶ προκύπτειν εἰς ἀέρα, τὸν ὡς εἰπεῖν κατοικίδιον, ὃς καὶ περικέχυται τὰς αὐλάς· καὶ ἐτεχνώμεθα ποδῶν ἱλαρὰ προκαλύμματα, καὶ κνημῖδας τρυφώσας, καὶ ἀμπεχόνας μαλλοῖς βεβριθυίας. Πολλοὶ δέ τινες καὶ πῦρ μαλακὸν περιειργάζοντο, δι' οὗ σώματος ἀνθρωπίνου ψῦχος χειμέριον ἐκπορίζεται· ὁ δὲ μαλακώτερος, προσβολὰς φέρειν τοιαύτας, καὶ λουτρῶνος ἐγίνετο ἂν ἀντίπαλον πρὸς τὸ δριμὺ τοῦ ἔξω περιέχοντος. Καὶ τοιαύταις μὲν ἡμεῖς μεθόδοις τὸ τοῦ ἀέρος λυποῦν ἀπεκρουόμεθα. Ὁ δὲ αὐτοκράτωρ, εὐθὺς ἤδη ἐκ μακροῦ καὶ μικροῦ μετὰ τὰ βρεφικὰ σπάργανα τῶν οὕτω φρικαλέων καταστημάτων γενόμενος, καί, ὃ δή τις ἀστείως ἔφη, πάλαι ποτὲ μέτωπον αὐτὸς ὅλος εἶναι διαγνοὺς τά || γε εἰς Ms. fol. 65. b. καρτερικὴν γυμνασίαν τοῦ ὑπομένειν ῥᾳδιουργίας ἀέρων τοιαύτας, ὅτε φερεπονίας καιρός, περιβεβλημένος ἢ προβεβλημένος οὐδὲν περιττόν, ἀλλ' ἢ τὴν πρὸ παντὸς ἔργου μετὰ θεὸν θαλπωρήν, καὶ τὸ διαθερμαίνεσθαι εἰς τὸν ὑπὲρ ἐκείνου ζῆλον, καὶ ὡς οἷα πυρφορεῖσθαι ταύτῃ πρὸς ἐκδίκησιν τὴν κατὰ τῶν ἐκείνου ἐχθρῶν, παρ' οὐδὲν θέμενος τὰς καὶ ἀπειλὰς καὶ βολάς, ὁποίας ὁ χειμὼν εἰς ἄκρον ἐξησκήσατο, ἐκτρέχει κατὰ σπουδήν· καὶ ἅμα ἐμπηδᾷ τοῖς ἀλλόφροσι καὶ ἀλλογλώσσοις πολεμίοις, καὶ εὐοδοῦται εἰς τὰ ἐξαίσια· ὧν ἔναγχος εὐαγγέλια ἐπ' ἐκκλησίας ἀνεγινώσκοντο, δεῖγμα καὶ αὐτὰ τῆς ἐκεῖθεν ἀγάπης, δι' ὧν κοινωνοὺς ἡμᾶς καὶ τῶν τοιούτων χαρμοσύνων προσλαμβάνεται ὁ μὴ μόνον εἰς φυγὴν ἀμετάστρεπτον τοὺς ἐχθροὺς κλίνας, καὶ καταστρέψας τὸ ἐν αὐτοῖς μάχιμον, ἀλλὰ καὶ τὴν κατ' αὐτοὺς γῆν ἐρημώσας τῶν οἰκητόρων, καὶ χώρας πολυτενοῦς αἰχμαλωσίας ἀπαγαγών, καὶ ἐγκαταστήσας τοῖς καθ' ἡμᾶς εἰς δουλείαν, ἧς αὐτοὶ κατάξιοι καὶ ἐπώνυμοι.

46. *Τοιοῦτον ἡ βασιλικὴ περὶ ἡμᾶς ἀγάπη, τοιοῦτος ὑπὲρ ἡμῶν καὶ τῶν καθ' ἡμᾶς ἐκκαίει ζῆλος τὸν αὐτοκράτορα· οὕτως ἐκεῖνος καὶ λόγοις διδάσκων τὰ βέλτιστα, ὧν κεφάλαιον ἡ ἀγάπη, ἐπισφραγίζει τὴν διδασκαλίαν καὶ ἔργοις, ἀρχέτυπον ἐφ' ἅπασιν ἀρετῆς ἑαυτὸν προϊστῶν. Τοῦτον μιμησώμεθα κἀνταῦθα, ὅσον δύναμις, ἐπεὶ καὶ ἐκεῖνος ἐκμαγεῖον παντὸς ἀγαθοῦ τυπωθείς, τὸν μέγιστον σωτῆρα ἡμῶν εἰς μίμησιν εἰκονικῶς προστησάμενος, καὶ τὸν ἐκείνου δωρεὰν ὑπὲρ ἡμῶν θάνατον εἰς νοῦν τυπούμενος, θνήσκειν ἑαυτὸν ὑπὲρ ἡμῶν προτίθησι. Διὸ καὶ χαίροι ἂν πάντως, μανθάνων καὶ ἡμᾶς ἀγαπητικοὺς ἐν καλῷ, ἐπεὶ καὶ διδάσκαλος ἡμῖν καὶ παντὸς ἐπιστημονάρχης ἀγαθοῦ θεόθεν προβέβληται. Διδασκάλου δὲ ἀφθόνου ἴδιον, χαίρειν, οἷς εὐδοκιμοῦσιν οἱ διδασκόμενοι. Τοὐναντίον μέντοι θλίβοιτο ἄν, εἴπερ αὐτὸς μὲν κινδυνεύει δι' ἡμᾶς τὰ ἐς πόλεμον, ᾧ καὶ θάνατοι παρομαρτοῦσιν· ἡμεῖς δὲ κατ' ἀλλήλων ἀνιστώμεθα μάχιμοι, καὶ οὕτως εἰς οὐδὲν δέον βροτολοιγοὶ ἀπεκβαίνομεν.*

47. *Ἐνθυμώμεθα πρὸς τούτοις καὶ τὸ κατάντημα τοῦ προκειμένου νηστευτικοῦ σταδίου, τὴν κοσμοσωτήριον πασχάλιον, τὴν κυριακὴν ἀνάστασιν, τὴν καὶ ἄλλως μὲν ἐξανάστασιν ἡμετέραν ἐκ παραπτωμάτων πολλῶν καὶ τῶν τῆς κοινῆς δὲ καὶ τελευταίας καὶ φρικτῆς, προοιμίων ἐπισφράγισμα ἐκφανέστατον. Ἀνασκάλλωμεν τῇ διανοίᾳ τὴν εὐκταίαν ταύτην κυριώνυμον, καθ' ἣν σκοπὸς ἡμῖν καίριος, αὐτὸν ἐκεῖνον τὸν παμβασιλέα σωτῆρα ἐνοικίσασθαι ἐς ψυχήν, προκαθηραμένους δηλαδή, καὶ συρφετοῦ παντὸς τὸν κατὰ νοῦν ἐν ἑκάστοις οἶκον σαρώσαντας.*

48. *Προςλογισώμεθα καὶ ἄλλως μέν, ὃ καὶ ἑτέρωθι ἔφαμεν, πῶς ἂν ἐν ἡμῖν χωρήσῃ ὁ μέγιστος ἄρχων, ὁ ||* [Ms. fol. 66. a.] *παμβασιλεὺς θεός, αὐτοῖς ὀπαδοῖς τοῖς περὶ αὐτόν, ἐὰν οὕτω γέμωσιν ὑμῶν αἱ οἰκίαι φαύλων περιουσιῶν καὶ σκευῶν, ὡς μὴ δεδόσθαι οἴκησιν αὐτῷ. Μάλιστα δὲ προςεπιλογισώμεθα, ὡς εἰ καὶ πᾶσαν ὕλην ἑτέραν ἀπαγάγωμεν τοῦ κατὰ ψυχὴν οἴκου, φιλοκαλήσαντες ἑαυτοὺς ἀπειροκάλως, καὶ εἰς ἀῤῥυπάρους καὶ καθαρείους καταστήσομεν, ἓν δὲ καὶ μόνον ἐνδομύχως ὑφεδρεῦον ἐάσομεν, τὴν τῆς δικαίας καὶ ὀρθῆς καὶ ἀπραγματεύτου καὶ ἀκιβδήλου ἀγάπης ἀντίπαλον ἔχθραν, πῶς ἂν τὴν αὐτοαγάπην, τὸν κύριον, εἰςοικισώμεθα; Οἶμαι, οὐκ ἄν.*

49. *Ἐξελάσωμεν οὖν πρῶτα τὸν τοῦ τοιούτου βασιλέως ἐχθρὸν ἀφ' ἡμῶν, τὸ ἀλόγιστον λέγω μῖσος, πρὸς δέ γε καὶ τὴν αὐτοῦ στρατιάν, τὰς ἐπιβουλάς, τὰς διαβολάς, τὸ ἐφ' οἷς οὐ πρέπει κρυψίνουν, τὸ ἀγκύλον ἦθος, τὰς πολυελίκτους καμπάς, τὸ κακόγλωσσον ψεῦδος, τὸ ἐπὶ φιλίᾳ ὑποκριτικόν, τὰς λεοντώδεις ἁρπαγάς, τὰς ἀετώδεις κλαγγάς, ἐφ' οἷς καὶ ἀδικοῦμεν, τὸ κατὰ τῶν ταπεινῶν ἀδελφῶν καὶ δεινὰ βροντᾶν καὶ ὄλεθρον κεραυνοβολεῖν, τὰ ἄλλα πάντα, δι' ὧν στρατολογεῖται μῖσος ἀντίπαλον ἀγάπῃ τῇ κατὰ θεόν. Τούτου τοῦ πολυκεφάλου βλάβους ἐξαιρεθέντος ἀφ' ἡμῶν, ἅπαν ὠφέλιμον ἀντειςελεύσεται. Νέφος ἐστὶ τὸ φαῦλον μῖσος, ἐπιπροςθοῦν τῷ τῆς δικαιοσύνης ἡλίῳ, καὶ μὴ ἀφιὲν αὐτὸν ἐπιλάμπειν ἡμῖν. Ἐκνεφίας ἐστί, μᾶλλον μὲν οὖν Τυφῶν βιαιότατος, βυσσόθεν ἀναμοχλεύων τὴν τοῦ καθ' ἡμᾶς βίου θάλασσαν, καὶ τὴν κατὰ θεὸν γαλήνην καὶ εἰρηναίαν διαγωγὴν καὶ ἡσυχαίαν κατάστασιν ἀπάγων ἐξ ἡμῶν. Τραχύτης ἐστίν, ἅπαν ἀχρειοῦσα λεῖον καὶ εὐθές, δι' οὗ πρὸς θεὸν εὐοδούμεθα. Εἱρκτή ἐστι ζοφερά, κατακλείουσα, ὡς οὐκ ἂν εὔξαιτό τις, καὶ οὐ μόνον ἀποφραγνῦσα καὶ κωλύουσα βιοῦν ἀνθρωπίνως, οὓς ἂν ἔνδον ἀπολάβοι, ἀλλὰ καὶ φωτὸς ἀποστεροῦσα, οὓς ἐναπείργει.*

50. *Τί πολλὰ λέγειν εἰς παραβολὴν αἰνιγματώδη; Δαίμονος ἔργον τὸ ἀκανόνιστον μῖσος, οὗπερ ἀφεκτέον πάντως τοὺς τοῦ θεοῦ. Ἀκανόνιστον δὲ μῖσος ἔφην, διαστελλόμενος αὐτὸ τοῦ ἑτέρου, ὃ καὶ τῷ Δαυῒδ εἰς καύχημα ἐπιλέγεται. Μισεῖ γὰρ ἐκεῖνος, οὓς ἐχρῆν μὴ ἀγαπᾶσθαι· οἱ δέ εἰσιν οἱ λόγοις μίσους κυκλοῦντες, καὶ δωρεὰν πολεμοῦντες. Οὔτε κρύπτει τὸν τοιοῦτον αὐτοῦ νοῦν, ἀλλὰ καὶ ψάλλει τὸ νόημα, τέλειον μῖσος λέγων μισεῖν αὐτούς, οὓς καὶ εἰς ἐχθροὺς αὐτῷ γενέσθαι. Εἴη δὲ ἂν τοιοῦτον Δαυϊτικὸν μῖσος, ὃ καὶ ἐντὸς οἴκου ῥεῖ δεόντως ἐς ψυχήν, καὶ ἐκτὸς ἀμέμπτως ἐπιφαίνεται. Τελειουμένου γὰρ τοῦ ἐν ἡμῖν συνθέτου ἔκ τε τοῦ προφαινομένου καὶ τοῦ νοερῶς κρυπτομένου, καλῶς ἂν μῖσος ψαλμικὸν ἑρμηνεύοιτο τέλειον, τὸ καὶ ἔσω μένον καὶ ἐν τοῖς ἔξω προῆκον, καὶ εἰς τοσοῦτον παραυξηθὲν δι' ἀμφοῖν, καὶ ἔχθραν ὑποκινῆσαι πρέπουσαν ἄνω θεοῦ, ὁποῖον καὶ ὁ Δαυῒδ, καὶ ὁ Ἠλίας, καὶ ὁ Φινεές, καὶ ὁ μέγας Μωσῆς, καὶ οἱ λοιποὶ ζηλωταί, οἱ κατὰ τῶν κακῶν πολέμιοι. Ἑτεροίου δὲ μίσους ἀπαλλαγείημεν ἐν τοῖς κατ' ἀλλήλων συρφετοῖς, ἐὰν ὦμεν Χριστιανοί, τηροῦντες αὐτὸ κατὰ τῶν τοῦ πονηροῦ ὄφεως μαθητῶν τε καὶ μαχητῶν, καὶ αὐτοῦ δὴ ἐκείνου, ὃς ἔχθραν τηρῶν κατὰ τοῦ ἀνθρωπίνου σπέρματος, καλῶς ἂν αὐτὴν ἐκεῖθεν ἔχοι κατ' αὐτὴν ἀνακάμπτουσαν.*

51. *Ταύτην τὴν ἔχθραν τὴν κατὰ τοῦ ἀρχεκάκου καὶ ἀεὶ πολεμίου παγιώσαι ὁ θεὸς ἐν ἡμῖν ||* [Ms. fol. 66. b.] *παραμόνιμον, καὶ ἐνδυναμώσαι ἡμᾶς εἰς τὸ νικᾶν ἀεὶ ἐκεῖνον, τὸ κακὸν μεσότοιχον, ὃν καταβαλόντες γενησόμεθα τῆς*

φίλης οἰκήσεως, ἧς ἀποτειχίζειν ἡμᾶς ὁ πονηρὸς καὶ βούλεται καὶ τεχνᾶται πάντοτε. Φίλη δὲ οἴκησις, ἁπασῶν φιλτάτη, ὡν ἂν εἴποι τις, ἡ ἐν παραδείσῳ, διὰ τοῦ σὺν θεῷ καὶ ἐν θεῷ καὶ μετὰ θεοῦ εἶναι, χάριτι τῆς πάντων κυριευούσης παναγιωτάτης τριάδος, ᾗ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ περὶ ὑποκρίσεως.

1. Ὁ προθέμενος, χαρακτῆρα τῆς οὔτε εὐτέχνου, ἀλλὰ καὶ φαυλοτάτης διατυπώσεσθαι ὑποκρίσεως, αὐτίκα πάντως καὶ κατὰ ψεύδους αὐτοῦ χωρεῖ, τοῦ καὶ πολυειδοῦς καὶ δι' αὐτὸ πολυσχιδοῦς, ὅπερ εἰς ἰδέας πολλὰς διαβαῖνον καὶ κατ' αὐτὰς διαιρούμενον, ἔχει τι στρεβλὸν σκέλος καὶ τὸ ὑποκριτικόν· ὥστε κατὰ δύο κακιῶν ὁ τοιοῦτος ἀεθλεύει, ὃ καὶ ἡμεῖς ἄρτι ποιοῦμεν, τοῦ τε ψεύδους καὶ τῆς ὑποκρίσεως· ἣν ἡ μὲν παλαιὰ εὕρεσις ἐπ' ἀγαθῷ μεθώδευσε τεχνικῶς καὶ οὕτως ἐπωφελῶς τῷ βίῳ, οἱ δὲ τῆς ἀρετῆς ἐπίβουλοι δαίμονες ἐν ὑστέροις χρόνοις κακῶς τεχνησάμενοι, ἐς ψυχοβλαβὲς καὶ αὐτὴν ἐνέργημα μετεποίησαν. Ἦν μὲν γάρ, ὅτε θεάτροις ἐνευδοκίμουν πρὸς ἔπαινον οἰκεῖον οἱ ὑποκριταί, σοφίαν αὐτοὶ ἐπικοσμοῦντες, ἣν ἐτέχνουν οἱ τῆς τραγῳδίας διδάσκαλοι, ἀνατρέχοντες εἰς παλαιγενεῖς ἱστορίας ἐκεῖνοι, δεξιὰς παιδεύειν σεμνῶς, καὶ τὰ κατ' ἐκείνας πρόσωπα ὡς οἷον ἐξανιστῶντες, καὶ εἰς θέαν προάγοντες δι' ἀνδρῶν, ὡς οὕτως εἰπεῖν, ἐκπροσωποποιούντων ὑποκριτικῶς ἐκείνοις ἔν τε πιθανότητι πλάσεως ῥητορικῆς καὶ εἰκονογραφίᾳ προσώπων, καὶ ἐν τοῖς ἐκείνων πάθεσί τε καὶ λόγοις, ὅσα καὶ κατόπτροις, εὐθετίζοντες πρὸς ἀρετῆς καλλονὴν τοὺς καὶ θεωμένους καὶ ἀκροωμένους, καὶ τῇ τοιαύτῃ ἀνειδωλοποιήσει (δοτέον δὲ καὶ προσωποποιΐᾳ εἰπεῖν, ἤδη δὲ καὶ ὑποκρίσει) διδασκάλια ἐν βιβλιογραφίᾳ ἐκκαλοῦντες, δι' ὧν καὶ αὐτῶν εἰσέτι καταρτίζεται βίος ὁ καθ' ἡμᾶς.

2. Ἦν γοῦν ἐκ τῆς τοιαύτης τέχνης μανθάνειν τοὺς τότε ἀνθρώπους, ἔστι δὲ καὶ τοὺς νῦν, τύχης μεταβολὰς παντοίας καὶ ἠθῶν ποικιλίας καὶ βίων ἀμυθήτους διαφοράς. Ἐδίδαξαν, καὶ μὴν ἔτι διδάσκουσιν αἱ βασιλικαὶ δυσπραγίαι, ἃς ἡ ὑποκριτικὴ τέχνη λογογραφεῖ, μὴ χρῆναι πιστεύειν τῷ περιόπτῳ βίῳ, ἐστηρίξεσθαι διόλου ἐν περιωπῇ, ἀλλά που εὐλαβεῖσθαι καὶ κατακύλισμα. Ἔμπαλιν δὲ τούτων ἐγνώρισαν ἡμῖν αἱ τῶν χαμαιριφῶν προσώπων παρυψώσεις, ἃς καὶ αὐτὰς ἡ ὑπόκρισις ἐκείνη διεχειρίσατο εἰς ἐπίδειξιν, οὐ φρενήρη ἄνθρωπον εἶναι, ὃς πεδινὸς ὢν ἀπογινώσκει τὴν σὺν θεῷ οὐράνωσιν. Ἔγνωμεν ἐκεῖθεν καί, ὁπόσα φαῦλα τοὺς ἥρωας ὁ φθόνος διέθετο, εἰκότα ὄντα διαβαίνειν τῷ χρόνῳ καὶ εἰς τοὺς ὕστερον. Καὶ ἡ τοιαύτη γνῶσις βελτιοῖ τοὺς εἰδότας. Οὐκ ἀφῆκαν αἱ παλαιαὶ ὑποκρίσεις ἐκεῖναι οὐδὲ τὴν φιλίαν ἀπαρασήμαντον, ἀλλὰ διέστειλαν καὶ αὐτὴν ὀρθῶς, μὴ ἔχουσαν ἐν καλῷ καθιστᾶν λιμένος τοὺς περὶ βίον θαλαττεύοντας, εἰ δὲ καὶ στρεβλωθῇ, θανατοῦν πρὸς ὥραν τοὺς ἀθλίους πεφιλημένους.

3. Τί δέ μοι ἐπεξελθεῖν κατὰ μέρος τοῖς τοιούτοις εἰς πλέον ἀγαθοῖς, δέον ὂν ὑποκρούσασθαι τοῖς εὖ εἰδόσιν, ὡς τὸ τῆς τοιαύτης ὑποκρίσεως εἶδος παντοίαν ἱστορικῶς ἀρετήν τε καὶ κακίαν τοῖς ἀρχαίοις ἐξέθετο εἴς τε πρόοπτον καὶ εἰς ἐπήκοον, ὡς τὴν μὲν ἐκείνους αἱρεῖσθαι, τὴν δὲ ἀποπροσποιεῖσθαι; Ὃ δὴ καλὸν || ἐκεῖθεν κατέβη καὶ εἰς τοὺς μετέπειτα, ἵνα (Ms. fol. 67 a.) μὴ μόνον ἐκ τῶν ζώντων ἐρανιζώμεθα τὴν τοῦ ἀγαθοῦ μάθησιν, ἀλλὰ καὶ νεκροῖς ὁμιλοῦντες δι' ὑποκρίσεως ἐκείνης, τὴν κατ' ἀρετὴν ζωὴν προσεπικτώμεθα. Καὶ τοιαύτη μὲν ἦν ὅτε ἡ ὑποκριτικὴ ἐπίδειξις, μίμησις οὖσα προσώπων τε καὶ πραγμάτων ἔλλογος, καὶ ἀνθολόγημα τῆς ἐν ἐκείνοις ποιότητος ἐπὶ παιδεύσει τῶν ἐντυγχανόντων. Καὶ ἦν ὁ τότε ὑποκριτὴς ἀρετῆς ἁπάσης διδάσκαλος, παρεισάγων μὲν εἰς τὸ θέατρον καὶ τύπους κακιῶν, οὐχ ὥστε μὴν μορφωθῆναι τινὰ πρὸς αὐτάς, ἀλλ' ὡς ἐκτρέψασθαι· εἰπεῖν δὲ καὶ ἄλλως, ψευδόμενος ἐκεῖνος τὸ πρόσωπον, ἀληθιζόμενος ἦν τὸν διδάσκαλον· καὶ εἶχον οἱ θεαταὶ πορίζεσθαι τηνικαῦτα ψεῦδος καὶ ἐκεῖνο ἐπαινετόν, οὗ τὸ μὲν παχὺ καὶ πρὸς αἴσθησιν οὐδὲν οὐδόλως ἦν πρὸς ἀλήθειαν, τὸ δὲ πρὸς ἔννοιαν τὴν ἐκλαλουμένην ψυχῆς ἦν τι μόρφωμα.

4. Ἔστι δὲ τὸν ὑποκριτὴν ἐκεῖνον εἰπεῖν καὶ ὡς οἷον λόγον αὐτόχρημα. Τὸ γὰρ καθ' ὑπόκρισιν σῶμα ψευδόμενος εἰς τὸ πᾶν, ταῖς γοῦν διδασκαλίαις οὐσίωτο, καὶ πως ἐῴκει κάτοχος ἐκεῖνος εἶναι ψυχαῖς ἡρωϊκαῖς, ὑφ' ὧν ψυχαγωγικῶς ἐμπνεόμενος ἐδίδασκε τοὺς ἀκροατάς. Τάξοι δὲ ἄν τις αὐτὸν καὶ ὡς εἰς ὑποβολέα, λόγους ἀλλοτρίους εὐθυβόλως πορθμεύοντα τοῖς ἀκροωμένοις· ἢ καὶ ὡς οἷον διπρόσωπον θατέρῳ τοῖν προσώποιν ἐνεργοῦντα, εἰ καὶ μὴ κατὰ τὸν περιᾳδόμενον Ἰανὸν· ἢ καὶ διπλοῦν τινα, εἰ καὶ ἄλλως, ἤπερ οἱ Μολιονίδαι. Φαντάσηται δ' ἄν τις ἐκ τῷ τοιούτῳ

καὶ τὸν τερατευόμενον μεταγγισμὸν μετεμψυχώσεως λόγῳ· ὁ δὲ τὸν νοῦν ἀπέριττος καὶ ὡς εἰς ἐντολέα τὸν τοιοῦτον ἐγγράψεται, καθυπουργοῦντα προσώποις ἡρωϊκοῖς, ὡσεὶ καὶ λόγους ἐκείνων καὶ ἔργα πρὸς μίμησιν ἐξεμάττετο· οὐ κρίνων μὲν κατ' ἐκείνους, ταὐτὸν δ' εἰπεῖν, διακρίνων ἢ ἐπικρίνων, καὶ οὕτω κριτικῶς ὁρίζων, αὐτὰ δὴ τὰ ἐκείνων, ἵνα καὶ ποιῇ καὶ λέγῃ, ἅπερ ἂν ἐκεῖνοι αὐτόχρημα.

5. Ἡ γὰρ ἂν κριτὴς ἀσυνθέτως ἐλέγετο. Νῦν δέ, ὥςπερ ἐστὶ πρὸς τὸν δοῦκα καὶ πρὸς τὸν πρακτῆρα καὶ πρὸς τὸν ἐν μεγίστῃ ἀρχῇ ὁ ὑποπράκτωρ καὶ ὁ ὑποδοὺξ καὶ ὁ ὕπαρχος, τοῦτο καὶ πρὸς κριτὴν ἐκεῖνον κορυφαῖον οἷον ὄντα διὰ τὸ πρωτόθετον ὁ ὑποκριτής· ἀναλεγόμενος μὲν καὶ αὐτὸς κριτικῷ τρόπῳ ἔργα καὶ λόγους, ἡρωϊκὰ καὶ ἄμφω, οὐ μὴν ἀναμφιλέκτως αὐτὰ ἐκεῖνα τὰ πρὸς ἀπηκριβωμένην ἀλήθειαν, ἀλλ' ἐοικότα, καὶ τάχα ἂν οὕτως ἔχοντα, καὶ ὑπαγόμενα τοῖς ἐκείνων ἤθεσι, καὶ ὡς ὑπό γε κρίσει ὄντα τῇ κατ' ἐκείνους· ὡς ἔχειν πείθειν τοὺς ἀκροατὰς οἴεσθαι, εἰ καὶ μὴ αὐτότατα, καθά τις ἔφη, ἀλλὰ γοῦν τοιαῦτα εἶναι ἂν καὶ τὰ πρωτότυπα ἡρωϊκά, οἷς ἡ ὑποκριτικὴ ἐλλάμπεται μέθοδος, καὶ εἰς τοσοῦτον, ὡς καὶ τολμῆσαι ἂν τὸν οὕτω ῥητορεύοντα φάναι, ψυχὰς ἡρωϊκὰς ἀναγομένας λαλεῖν καὶ ποιεῖν διὰ μέσων τῶν ὑποκριτῶν τὰ εἰς κηληθμόν, ὡς οὕτως εἰπεῖν, τῶν θεατῶν. Οὐ ποιητικὸν ἴδιον παρ' ἄλλοις μὲν αἱ ἀοιδαὶ Μοῦσαι, παρὰ δὲ τῷ κορυφαίῳ ἐν μελικοῖς αἱ Κηληδόνες, ἄλλο τέρας αὐταὶ παρά γε τὸ τῶν Σειρήνων. Ὁ δὲ οὕτω τολμηρὸς ῥήτωρ καὶ τὴν ἔντεχνον παλαιὰν ὑπόκρισιν ὁρίσηται ἂν ἀγοήτευτον ψυχαγωγίαν, βελτιοῦσαν τὸν βίον, καὶ τὸν αὐτὴν μετιόντα ὑποφήτην ψυχῶν ἡρωϊκῶν πρὸς βίου λυσιτέλειαν, ἢ βιβλίον || ἱστορίας ζῶν καὶ λαλοῦν, ἢ καὶ ἡρώων ὑποθρηστῆρα, οἷς καὶ τεθνεῶσιν ὁ νοῦς δι' αὐτοῦ περὶ γῆν σαίζεται. [Ms. fol. 67. b.]

6. Καὶ οὕτω μὲν ἀγαθὸν παλαιὸν καὶ ἡ ὑπόκρισις, καὶ ὁ κατ' αὐτὴν τεχνίτης. Ἐπεὶ δὲ οὐκ ἦν μὴ καὶ τὸ καλὸν ἐκεῖνο καπηλευθῆναι, καὶ πρῶτα μὲν ἀχρειωθῆναι κατὰ παράμιξιν φαυλότητος, εἶτα καὶ παντελῶς ἀμαυρωθῆναι, ὡς ἀντὶ τέχνης εὐχρήστου εἰς ματαιοτεχνίαν, εἴτε κακοτεχνίαν διεκπεσεῖν, ἀνύει ταῦτα ὁ πολύτροπος βίος· καὶ κατά τι φθόνου τέχνασμα τῇ ἀγαθουργῷ ἐπιβουλευσάμενος ὑποκρίσει, πρῶτα μὲν ἐπινοεῖται τὰ Σατυρικά, μίγματα ἐκεῖνα πράξεων καὶ λόγων τῶν ἐν προσώποις ἡρωϊκοῖς, ὧν τὸ κρᾶμα γέλωτι καὶ σπουδῇ παραμέμικτο. Καὶ ἴσασιν αὐτὰ οἱ ἐντετυχηκότες παλαιοῖς πονήμασιν, ὧν ὀλίγα τινὰ περιφέρεται.

7. Μετὰ δὲ τὰ Σατυρικὰ σπουδαιογελοῖα εὐδοκίμησε τὸ Κωμῳδικὸν ὑποκριτικόν, οὐκέτι προσώπων ἡρωϊκῶν ἀντεχόμενον, εἰ μή που ἐν παρέργῳ· τὰ πολλὰ δὲ συρφετοῖς ἐγκαλινδούμενον, καὶ οὕτω καταπατούμενον, καὶ ἂν κεισόμενον εἰς παφόραμα, εἰ μὴ καλλιῤῥημονοῦντες οἱ κωμῳδοὶ ἐπήγοντο τὰς τῶν θεατῶν ἀκοάς, καὶ οὕτοι πλατυνάμενοι περιεσώθησαν εἰς ἀνάγνωσιν τοῖς ἐλλόγως βιοῦσιν· οἳ τοῦ ἐκεῖθεν μυελοῦ κερδαίνοντες ἀποῤῥιπτοῦσι τὰ ὀστᾶ, καὶ ἄλλο δὲ πᾶν, ὅσον μὴ νόστιμον, εἰς ἐξουθένωσιν.

8. Καὶ οὕτω μὲν τρεῖς αὗται παλαιαὶ ὑποκρίσεις, τῇ μὲν μεταχειρίσει διάφοροι, ἐλλόγιμοι δὲ ἄλλως καὶ ἐπαγωγοί, ἀνθήσασαι ἀνέκαθεν χρόνου, καὶ καρπὸν δὲ ἐνεγκοῦσαι πᾶσαι, ἡ μὲν παλαιὰ θαυμάσιον, ἡ δευτέρα δὲ καὶ ἡ τρίτη οὐδ' αὐταὶ πάντῃ ἀπόβλητον, ἐξώλοντο· ἀνεφάνη δὲ τετάρτη μετ' ἐκείνας, οὔτε ἔλλογος, οὐδὲ μὴν ἀγαθὴ ὅλως εἰς ψυχήν, καὶ διὰ τοῦτο ἐρεθίζουσα τοὺς φιλοῦντας τὸ ἀληθές, ὁμόσε χωρεῖν τῷ κατ' αὐτῆς ψόγῳ, καθὰ πρώτην ἀράξαντες λόγου βαλβίδα ὑπεκρουόμεθα. Καὶ οἷα μὲν τὴν ἀρχὴν ἐν ἀνθρώποις ἐπολιτεύσατο, οὐκ ἂν εἰπεῖν ἔχοι μικρὸς ἀκρίβειαν. Ἐπολιτεύσατο δὲ ἂν πάντως, καθὰ οὐκ ἀγαπᾷ ὁ θεός.

9. Ἔτι θετέον εἰς ὑποκρίσεως τόπον καὶ τὴν κατὰ τὸν ἀρχέκακον ὄφιν ἐκεῖνον ψευδαπάτην, τὴν ψίθυρον. Νῦν δὲ ἀκμάζειν ἔοικεν, εἴτε σφριγᾶν καὶ ὀργᾶν καὶ τεθηλέναι εἰς καρπὸν σαπρόν. Ἐμὲ τοίνυν αὐτόν, τὸν ἄρτι τοῦδε τοῦ κακοῦ ξυγγραφέα, ἐξόλλυσιν ἡ μιαρά. Καὶ γάρ τοι κατακώχιμος ὢν μυρίαις κακίαις, μήπου δὲ καὶ ἁπάσαις, διαλελώβημαι καὶ ὑπὸ ταύτης, ὡς οὐκ οἶμαι, εἴ τις ἄλλος τῶν κατ' ἐμέ. Δέον γοῦν ποτε χολᾶν, ἐφ' οἷς πραγματικῶς διάκειμαι, ἀνακαγχάζω, ἐπικρύπτων ἐμαυτόν, ὡς ἐγὼ οἶδα. Δέον ὂν ἀφορίζειν τινὰς ἀπ' ἐμοῦ, ἀγκαλίζομαι τοὺς τοιούτους πραγματευτικώτερον· δέον δικαιολογήσασθαι, ἀλλὰ ἐχεμυθῶ εἰς κρίμα ἐμοί. Τὸ πᾶν ἐν βραχυτάτῳ εἰπεῖν· ψεύδομαι τὸν ὀρθὸν ἄνθρωπον τὰ πολλά. Μὴ γάρ μοι γένοιτο ἐς τὸ παντελές, μή, ὦ θεὲ σῶτερ, ὁ καὶ εἰς ἐμὲ θεὶς τὴν χεῖρά σου. Ἓν γοῦν ἐκεῖνο οὐχ ὑποκρίνομαι, τὴν ἁγιότητα, ἧς ἀφιστάμενος οὐ μόνον, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης, ἀλλ' εἴπερ ἦν εἰπεῖν, καὶ ὅσον ἐκ τῶν ὑπεργείων εἰς τοὺς ἐννοουμένους ἀντίποδας. Ἐκφαίνω ἐμαυτὸν ἰδοὺ περιπόνηρον. Οὔτε γὰρ εἰς ἀπλαστίαν ἐμαυτὸν ψευδογραφῶ κατὰ τοὺς πλείους τῶν περὶ ἡμᾶς, ὁ καὶ τοὺς ἀβαθεῖς ἀνθρώπους εἰς μαμ || μακούθους καὶ πολυώρους καὶ μελιτίδας ἐγγράφων· οὐδὲ μὴν ἐπίσης ἅπασιν ὡς ἐς φιλίαν ἀδιακρίτως προσφέρομαι ἀρέσκου δίκην. Ἀλλὰ στέργων ὀρθῶς ἀεὶ τὴν κατὰ θεὸν ἀγάπην, ὅμως καιροῦ καλέσαντος καθυλακτῶ τοῦ κακοῦ, εἴποι ἂν ἐκεῖνος ὁ [Ms. fol. 68. a]

κακός, ὅς τὸν ἐπαινετὸν ἔλεγχον εἰς βαϋσμὸν τίθησι καὶ οὐκ ἂν οὔτε συναλλάξαιμι, οὔτε ἀσπαζομένῳ προςενωθείην, κἂν διαῤῥαγείη ἐπικαλῶν μοι τὸ μνησίκακον. Κλαῦσαι δεῆσαν, οὐκ ἂν ἐκγελάσω σαρδάνιον. Ἔστι μοι καὶ χαρμονῆς ἐλλόγου καιρός, ὅτε οὐκ ἂν συναγαγὼν τὰς ὀφρῦς, καὶ τὰ χείλη συσφίγξας, πνίξω συστείλας τὴν χαρὰν ἐντὸς ὑποκριτικῶς. Οὐκ ἂν ὑποκρινάμενος ἐπαινέσαιμι, ὃν οὐ φιλῶ, ψευδόμενος γλώσσης χάριν κολακικώτερον, ἐπεί τοι καὶ τὴν κολακείαν παραφυάδα οἶδα φαύλου στελέχους, τῆς ὑποκρίσεως. Οὐ προςποιήσομαι οὐδὲ τὸ ἐγκρατευτικόν. Βέλτιον ἡγήσομαι κατάσχετος μέθῃ ἐκφανθῆναι, ἤπερ ψευδογραφηθῆναι πρὸς νηστευτήν. Πεπληροφορημένος τὴν χεῖρα θέρους τοῦ ἐκ θεοῦ, οὐκ ἐπικρύψομαι τὸν καρπόν.

10. *Συνόλου δὲ ἀποφήνασθαι· ἀπεχθῶς ἐγὼ διάκειμαι περὶ τὴν ὑπόκρισιν, ὡς οὐκ οἶδ', εἴ τις ἀνθρώπων. Λέγω δὲ αὐτό, οὐκ ἀποσεμνύνων ἐμαυτὸν Ἀστυδάμαντος δίκην, ὃ λέγεται, ἀλλὰ πρὸς ἀφίλαυτον ἀκρίβειαν. Πάνυ γὰρ μισῶ τουτὶ τὸ κακόν, καὶ εἰς ὅσον δύναμις, παρεκκλίνω ἀπ' αὐτοῦ. Εἰ δὲ τυχὸν ἐναντιοφωνίας ἐν τούτοις ἁλίσκομαι, πῆ μὲν κατηγορῶν ἐμαυτοῦ τὸ ὑποκριτικὸν ἦθος, ὡς φθάσας ἀνθωμολογησάμην, πῆ δὲ ἀπαρνούμενος τὸ αὐτό, ἀλλ' ἰδοὺ δικηγορῶν ἐμαυτῷ λέγω πρὸς ἀλήθειαν, ὅτι ἄλλως μὲν μεταδιώκων τὸν τῆς ἀνυποκρισίας ἥλιον, ἐκφεύγω τὸ τῆς ὑποκρίσεως σκοτεινόν· ὅσα δὲ διωμολογησάμην δρᾷν ὑποκριτικῶς, ἀλλ' ἐκεῖνα οἰκονομίας εἰσὶ καὶ παρ' ἐμοὶ μέθοδοι, ὁποίαν ὁ ὀρθὸς παραγγέλλει κανών, λόγους τε κριτικοὺς οἰκονομεῖν ἐκεῖνος διαταττόμενος, καὶ χείλη ἐν καιρῷ ἀνοίγειν, καὶ τὸ τῆς παῤῥησίας ἄκαιρον ἀπολέγεσθαι, καὶ ὅλως ταῖς περιπετείαις τῶν πραγμάτων εἰς δέον ἁρμόττεσθαι. Ὅπερ εἴ τις ὑποβαλεῖ διαιρέματι ὑποκριτικῷ, οὐκ ἂν φθάνοι καὶ πᾶσαν σεμνότητα καὶ κοσμιότητα καὶ παίδευσιν, δι' ὧν τῇ τῶν κακῶν ἀποχῇ ἐνάγονται ἄνθρωποι, καθυπάγων εἰς ὑπόκρισιν. Δῆλον γάρ, ὡς ἡ μὲν κατ' ἄνθρωπον φύσις εὐόλισθος οὖσα, καὶ τὸ ἁμαρτητικὸν εὐπετῶς ἔχει καταῤῥιπτεῖσθαι, ὅπῃ μὴ χρή· ὁ δὲ τῆς ὀρθότητος κύριος ὑπερείδων αὐτήν, δύο ταῦτα ἐξανύει ἀγαθά, καταπίπτειν τε κωλύων ἐν τῷ ὑπερείδειν καὶ συγκροτεῖν, καὶ πεσοῦσαν ἐξανιστῶν. Καὶ οὐ δήπουθεν ὁ ἄλλως μὲν ἕτοιμος εἰς κακίαν, τῇ δὲ κατὰ νοῦν διοικήσει ἐξορθούμενος, λέγοιτο ἂν ὑποκριτής.*

11. *Ὑποκριτὴν γὰρ οἴδαμεν εἶναι τὸν ἐν ἀγαθῇ προςποιήσει καὶ φαντασίᾳ τῇ ἔξωθεν εὐχρηστεῖσθαι δοκοῦντα, καὶ ὡς εἰς μύρον θεῖον καθεστάναι τὰ δὲ ἐντὸς ἀχρεῖον καὶ ὀδωδότα· καὶ θεῖον μὲν δολίως προφαινόμενον, δαιμόνιον δὲ τὰ ἐς κρύφιον. Εἰ δὲ τοιοῦτος ὁ ὑποκριτής, πῶς ἂν εἴη ὅμοιος ὁ τῇ κακίᾳ παλαίων; καὶ πολεμούμενος μὲν ὑπ' αὐτῆς, νικῶν δὲ αὐτὴν ἐγκρατῶς· καὶ κολακευόμενος μέν, ἀπανείων δὲ καὶ καταπτύων αὐτῆς, ὅτε φιλεῖν αὐτὸν ἐθέλει. Ἀλλὰ ταῦτα μὲν οὕτω καθεστάσθω μοι, τάχα μὲν ἀμεμφῶς ἔχοντα, ἴσως δὲ καὶ ἄλλως.*

12. *Οἱ δὲ ὑποκριταί, ὧν καὶ φθάσας πεπείραμαι καὶ εἰσέτι πειρῶμαι, τοιαύτην ἔχουσι καταγραφήν. Ὑποποιοῦνται πρὸ τῶν ἄλλων τὸ φίλιον, ποππύζοντες τὸν παρατυγχάνοντα, θώπτοντες, αἰκάλλοντες ὡς || οἷα καὶ τινα κυνάρια σαίνουρα, κνυζώμενοι, προκυλινδόμενοι ποδῶν, λείχοντες μικροῦ καὶ ἴχνη, πρὸ τῶν φιλουμένων βαΰζοντες εὐνοϊκῶς δῆθεν, πάντα ποιοῦντες, πάντα λέγοντες, δι' ὧν ἂν ἐφελκύσωνται ἄνθρωπον, προςανέχειν αὐτοῖς ὡς ἑταίροις φίλοις· κλαίοντες, οὐ μόνον, ὅτε δάκρυον ὁ φιλούμενος ἐκρήξει θλιβερόν, ἀλλὰ καί, ὅτε που χαίρων αὐτὸς πάθῃ, καὶ ὁπηνίκα δὲ οὕτω συμβὰν ὀφθαλμία ἐπιγενομένη λυπήσει τὴν ὄψιν ὡς εἰς δάκρυον, ὃ πήγνυται καὶ εἰς λήμην. Πάντῃ γὰρ πάντως μεθοδεύουσι, τῷ γελωμένῳ συσχηματίζεσθαι, ἀκριβούμενοι τὴν πρὸς ἐκεῖνον εὐφυῶς τύπωσιν· καὶ οὕτω μὲν κλαίοντες, χαίροντες δὲ ἀστείως μὲν ἴσως, ὅτε χαρὰν ὁ θωπευόμενος ἔχει· τὸ δὲ καὶ ἄλλως, ἢ κέρχνειν ἢ βήχειν ἠρέμα ἐπέλθοι ἐκείνῳ. Ὑποποιησάμενοι γάρ, δοκεῖν ἄγχεσθαι γελῶντα ἐκεῖνον, συνδιατίθενται τῷ καγχασμῷ εἰς ὁμοιότητα· ψύλλης δὲ ἐνδακούσης, ὡς ἐπισημήνασθαι, ἢ μυίας ἐπιπετασθείσης, ἕτοιμοι καὶ ὁπλοφορεῖν κατὰ τῶν ἐνδακόντων οἱ θῶπες. Εἰ δέ πως ὑπώπιον ἢ πρόςκομμα πάθοι βληχρόν τι καὶ ἀμυδρόν, σπένδουσιν Ἀσκληπιῷ καὶ Πανακείᾳ, συνεπικαλούμενοι καὶ τὴν Ἰασὼ πρὸς θεραπείαν. Ὅτε δὲ καὶ εἰς πταρμὸν ἐξανεμωθῇ, βαβαὶ τῶν προςκυνημάτων καὶ τῶν εὐφημιῶν. Ἀγωνιῶσι, καὶ κροκύδα ἢ ἄχνην τινὰ ἐφιζάνουσαν ἰδόντες τῇ τοῦ φίλου ἀναβολῇ. Καθημένῳ παρίστανται ἀτενεῖς, τὰς χεῖρας ἐπαλλάξαντες πρὸ τοῦ κόλπου, ὡςεὶ καὶ βασιλέως ἔμπροσθεν, ἐθέλοντες οἶμαι καὶ ὀπίσω συνδῆσαι περσικώτερον αὐτάς, ἵνα τὸ δουλοπρεπὲς εἰς πλέον ἐμφήνωσιν. Ἐξαναστάντος αὐτοὶ σκύλλονται, ἀπορούμενοι, ὅ τι δράσαιεν ἢ ἐξ ἐπιταγῆς, ἢ ἄλλως. Ὁδεύοντι παρομαρτοῦσιν, ὅσα καὶ ὑπηρροὶ θεράποντες, φιλονεικοῦντες τὴν πρόοδον. Μακαρίζουσι τοὺς γειναμένους τὸν ἄνθρωπον. Εἴ τι λαλήσει, φαντάζουσιν αὐτόν, ὀλίγον μὲν τί ἐστιν, ἐὰν εἰς Δημοσθένην, οἱ δὲ καὶ εἰς αὐτὸν Ἑρμῆν. Τοξεύων, εἰς Ἄβαριν εἰκάζεται τὸν περίκλυτον· τρέχων, εἰς Βορεάδας ἀνάγεται· μικρὸν γάρ, εἴπερ εἰς Περσέα, τὸν καθά τις ἔφη ἀρβυλόπτερον.*

Ms. fol. 68. b.

Ἅιδων, Ὀρφέως ἐμμελέστερος εἶναι ἀκούει. Καλὸν εἶναι μανθάνει καὶ ὑπὲρ Νιρέα τὸν περιᾳδόμενον. Καὶ ἐπὶ πᾶσιν εὐδαιμονεῖν τὸν κόσμον φασίν, ὅτι τοιοῦτον εἴληχεν ἄνδρα εἰς ἐπικόσμημα. Ἔν τι ἀξιοῦσιν εἶναι ἀσάλευτον εἰς ὑπερύψωσιν φιλικήν, τὰ θεοποιῆσαι, καὶ εἰς ἱερὰν στήλην ἀναστῆσαι τὸν ἄνθρωπον. Τὸ μέντοι θεῖον καὶ θειότατον καὶ θέσκελον καὶ θεοείκελον καὶ τὸ θεοειδὲς καὶ τὸ θεομίμητον, καὶ εἴ τι τοιοῦτον σεμνὸν ὄνομα, συχνὰ κατεπᾴδουσι τοῦ ἀνδρός. Ἔτι λουομένῳ παραστατοῦσιν· ὑπνοῦντος ἀποσοβοῦσι τὰς μυίας προμηθικῶς· πτύσαντος οὐκ ἀξιοῦσι πατηθῆναι τὸν σίελον, μὴ σικχὸν αὐτὸν εἶναι φιλοσοφοῦντες, ἀλλ' ἡδὺν βλέπεσθαι. Ἀναβαίνοντα εἰς ὑποζύγιον ἀναβάλλουσι κουφίζοντες, καὶ παρακολουθοῦντες ὅσα καὶ μυῖαι γλυκάσματι, οὐκ ἐθέλουσι πείθεσθαι εἰς ἀνάκαμψιν. Ἀφηγοῦνται καὶ διαβολάς, ὧν δῆθεν ἐπιφερομένων τῷ φίλῳ αὐτοὶ προέστησαν ἀντίμαχοι καὶ ἀνέτρεψαν, καὶ αὐτὰς οὐκ ἀληθευούσας, ἀλλὰ πλαττομένας, οἱ ἐπίτριπτοι. Ὑβρίζοντες αὐτοὶ οὕτω πλαγίως τὸν κολακευόμενον, σοφίζονται καὶ βίου κοινωνίαν καὶ περιουσίας ἀπομερισμόν, βίκους οἴνου περιφοροῦντες ἐκείνῳ, καὶ ὀπώραν ἄλλοτε ἄλλην, καὶ
Ms. fol. 69. a. τρύβλια πεμμάτων μεστά. Καὶ ἐσθίοντα || μὲν καὶ πίνοντα συνεπωθοῦσιν εἰς πλησμονήν, τὸ μὲν φαινόμενον ἐπὶ συστάσει ζωῆς, ἄλλως δὲ οἶμαι, ἵνα καταγελῷεν αὐτοῦ εἰς βορότητα καὶ οἰνοφλυγίαν. Μὴ ἐμφορουμένου δὲ δοκοῦσι μὲν ἄχθεσθαι, χαίροιεν δὲ ἂν μᾶλλον, ὅτι αὐτοὶ πλησθήσονται δαψιλῶς. Τὸ δὲ καινότερον· καὶ μυστηριάζονται, καὶ κρύφια οἰκεῖα ἢ δράσαντες ἢ πλάσαντες, ἐκκαλύπτουσι, καὶ αὐτὰ χείριστα, καὶ ὡς οἷα τεθαῤῥηκότες φίλῳ λαλεῖν καὶ παρατιθέναι τὰ ἐν ψυχῇ ἅπαντα, προκαλούμενοι τὸν ἐλεεινὸν κἀνταῦθα εἰς ὁμοιότητα, ἵνα καὶ ἐκεῖνος τῶν τινα παρ' αὐτῷ ἀποῤῥήτων ἐκφήνῃ. Καὶ ταῦτα μὲν ποιοῦσιν αὐτοί, καὶ τούτων ἕτερα πλείω καὶ χείρω, ἕως ἂν καταγοητεύσωσι τὸν δελεαζόμενον, πείσαντες θαῤῥεῖν ἐκείνοις, καὶ προσανέχειν ὅσα καὶ φίλοις ὀρθοῖς. Ὅτε δὲ θηρασάμενοι ἔσω παγίδος τὸ οἰκτρὸν ἐκεῖνο στρουθίον κατάσχωσι, τότε δὴ τὸ τῆς ὑποκρίσεως ἀπαγαγόντες νέφος, ἐκλάμπουσι, τῇ πρὸς ἀλήθειαν φιλίᾳ καὶ οὕτω κακίᾳ περιφανέστατοι.

13. Καὶ οἷα διατίθενται τὸν ἄνδρα, ἐγώ τε οἶδα, ὦ ἀδελφοί, καὶ ὑμεῖς οἴδατε, καὶ πρὸ ὑμῶν οἴδασιν οἱ βιβλιογραφήσαντες, καὶ ὁ κόσμος δὲ ἅπας· διὸ καὶ περιττὸν ἂν εἴη, ἐκθέσθαι τὰ καὶ ἄλλως μηδὲ ἀκοῆς ἄξια. Ἀράχνης ἄν τις οὕτω κώνωπα περιλαβών, οἷς δικτυοῦται, κακουργοίη περὶ τὸ ζωΰφιον. Ἀλλὰ τοῦτο μὲν εἰς εὐτέλειαν πέφρασται. Λέων δὲ οὕτως ἂν ἐπιβρίσῃ προβάτῳ, καὶ συσχὼν διασπάσηται τὸ ζῶον, ὡς ἐκεῖνοι τὸν οἰκτρὸν φίλον διασπαράττουσι χαίροντες, μενοῦνγε μέλποντες εὐφρόσυνα, ἵνα καὶ ἐπ' αὐτῶν ὅσα καὶ κυναρίων μέλπηθρά τινα θεωροῖντο· οὐδὲ γὰρ ἐπαισχύνονται, ἀλλὰ καὶ φιλενδεικτοῦσιν ὡς ἐπὶ χορῷ καὶ μολπῇ, τοιαῦτα πλημμελοῦντες οἱ καὶ θρασεῖς καὶ τάλανες· τὸ μέν, ὅτι τολμῶσι κατὰ φιλίας, τὸ δέ, ὅτι οὐδέν τι δρῶσι μακαριστόν.

14. Οὐκοῦν οὔτε σαίνουσι τοῦ λοιποῦ τὸ φίλιον, οὔτε κλαυθμοῦ καὶ χαρᾶς μερῖται φαίνονται, οὐδὲ ἀμύνειν ἢ θεραπεύειν προσποιοῦνται, καὶ τοῦ τιμᾶν καὶ εὐλογεῖν τὸν πρώην φίλον καὶ εὐδαιμονίζειν ἀπέχονται. Αἴρειν δὲ αὐτὸν ἐπὶ χειρῶν ἀναβολέων δίκην τοσοῦτον ἀπέχουσιν, ὥστε καὶ βοθρεύοντες καταβάλλουσι, καὶ ἐπέχουσι δέ· καὶ εἴ τι ἐχορήγουν τῷ φίλῳ πρὸς δεξίωσιν, εἰ δὲ καὶ μυστήρια ἐκειμηλιώσαντό που φιλικὰ οἱ πρὸ τούτων ἐξερευγόμενοι μυστηριακά, καὶ αὖ πάλιν ἀντεισδεχόμενοι, οὐδ' ἂν πηγαία χύσις ἠχεροῦν ἐκβράσοι ῥᾷον ἀναβάλλουσα τὸ κατ' αὐτὴν ἀρχικὸν ὕδωρ, ὡς ἐκεῖνοι ἐξεμοῦσι τὰ παρατεθειμένα κρύφια. Ταῦτα δὲ πάντα διατί καὶ τίνος ἕνεκα; Ὅτι φαυλότατόν τι παραπεσὸν πρᾶγμα, οὐδὲ ὀβολοῦ ἀξιούμενον, ἐλύπησε τὸν ὑποκριτὴν παρεωραμένον, ὡς ἂν αὐτὸς εἴποι, ἀξιῶν δεσποτικῶς ἐς τὸ πᾶν τῷ κολακευομένῳ προσφέρεσθαι, καὶ μηδενὸς ἀποτυγχάνειν ἐξ ἐκείνου, ὧν ἐφίεται· ὃ πάντως οὐκ ἔστιν ἐν τῷ βίῳ πρὸς οὐδενὸς γίνεσθαι, ὅπου γε πᾶς ἄνθρωπος οὐδὲ τοῦ οἰκείου κρατεῖ διόλου βουλεύματος, ἀλλά τι κυρώσας ἐν σταθερῷ, τὴν σήμερον αὔριον μεταβαλών, ἀπεχειροτόνησε τὴν οἰκείαν πρόθεσιν. Τί δέ φημι αὔριον; δέον εἰπεῖν, ὅτι αὐθωρόν, τά τε ἄλλα, καὶ διότι οὐ πάνυ ἀπᾷδον πρὸς ἀλήθειαν, τὸ τὰς φρένας πρὸς τύχας κεκτῆσθαι ἡμᾶς.

15. Καὶ οὕτω μὲν τὰ ἐς φιλίαν κακουργοῦσιν οἱ τῆς ὑποκριτικῆς αἱρέσεως, ὅτε μεταχειρίσασθαι τὸ κατ' αὐτὴν πρόθωνται. Καὶ ἤρκει μὲν ἐνταῦθα φαύλους ἐληλεγμένους αὐτοὺς ἀφεῖναι βάλλειν ἐς κόρακας. Ὁ
γὰρ || τηλικούτου καταπανουργευσάμενος ἀγαθοῦ, κατὰ Ms. fol. 69 b.
ποίου ἑτέρου εὐλαβηθήσεται μὴ ἀνδρίσασθαι; Ἐπισκεψώμεθα δὲ ὅμως καὶ ἐπ' ἄλλοις τὴν αὐτῶν μοχθηρίαν, ὅπῃ ἐπιτιμίας ἀφώρισται ἐντυγχάνοντας· οὐδεὶς γὰρ τὴν τοιαύτην ἀγνοεῖ μοχθηρίαν, ὅπῃ ἐπιτιμίας ἀφώρισται· ἀλλ' ὥστε συναγαγεῖν τι καὶ αὐτοὶ πρὸς κατάκρισιν, καὶ προσεπιβαλεῖν τῷ κατ' αὐτῆς μεγίστῳ κάδδῳ ψῆφον μίαν γοῦν τινα μέλαιναν, τὴν διὰ γραφῆς ταύτης, ὅμοιον ὡς εἰ καί τινος ἀλετηρίου λάϊνον ἀμφιεσαμένου χιτῶνα, ὃν αὐτῷ ἡ κακία ἐξύφανεν, εἰς ἐπίσημον ἐντάφιον περίβλημα προσεπιῤῥίψει καὶ αὐτὸς ἐκ παρόδου λιθάριον εἰς ἀφοσίωσιν ἔθιμον.

16. Θεωρητέον οὖν τὸν ὑποκριτήν, ὁποῖός ἐστι καὶ ἐν τῇ πολιτικῇ κοινωνίᾳ, ὅτε τύξεώς που περιφανοῦς ἐπιτεύξεται. Ἅμα εἶδεν αὐτὸν ἡ ἀγορὰ ἢ τὸ βουλευτήριον, καὶ εὐθὺς περιθέμενος τὸ τῆς εὐσχημοσύνης, εἶτ' οὖν εὐλαβείας καὶ προσοχῆς καὶ ἀκριβείας προσωπεῖον, βουλεύει μὲν βουλὰς ἀγαθάς, ἀγορεύει δὲ τὰ συνοίσοντα· καὶ ὁμιλῶν μὲν ἐπιλέγεται νοῦν, ὅς προφερόμενος ὡς εἰς θεοῦ φωνὴν ἀπηχεῖται· πράττων δὲ ἀφορίζει τὸν μῶμον ἐξ ἑαυτοῦ, ὡς καὶ φθονεῖσθαι τοῖς γε βασκάνοις. Καὶ διαιτῶν μὲν οὐκ ἂν ἐς πρόσωπον ἀποβλέψῃ, οὐδ' ἂν κατακαυχήσηται αὐτοῦ δῶρον· μέσος δὲ ἄλλως γινόμενος πράγμασι, τὴν ἐνάρετον συντηρεῖ σύμβασιν λόγῳ τῷ κατ' ἀρετήν. Κρίνων δὲ ἀπορθοῖ τὴν γνώμην εἰς εὐθύτητα θεοφιλῆ. Ἐπανασώζει ἅπαν ἀφαίρεμα, παῤῥησιάζει τὸ δίκαιον, περιγράφει τὸ ἄδικον, κολάζει δεόντως, ἐπιεικεύεται πρεπόντως, καθείργνυσι κραταιῶς, ἀφίησιν ἐπιεικῶς. Εἴποις ἂν ἐκεῖνον ἀρετῆς ἀφίδρυμα. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις προςποιεῖται ὁ ἄνθρωπος τὴν ὀργὴν καὶ τὸ ταπεινὸν καὶ ἀληθευτικόν· τὸ ταπεινόν, οἷς θεραπεύει πρόπαντας· τὸ ἀληθευτικόν, οἷς οὐκ ἂν φαίη τι ἀγαθόν, μὴ οὕτως ἔχον. Πραγματεύεται δὲ ἐπιμάλιστα τὴν καλὴν ταύτην δυάδα, ἀποδυόμενος τοὺς ἐν μεγίστῳ βαθμῷ, καὶ ἐπιδειξάμενος αὐτὴν ἐν ἐκείνοις, καὶ τεθεραπευκώς. Καὶ ἀνυψωθεὶς χρυσαῖν οἷα πτερύγοιν τῇ κατὰ τὴν ἀλήθειαν καὶ ταπείνωσιν, φιλεῖται πρός τε τῆς βουλῆς, πρός τε τοῦ δήμου. Κἀντεῦθεν ἅπαν πρᾶγμα πολιτικὸν ἥκει εἰς χεῖρας αὐτῷ, οὐχ ἥκιστα δὲ καὶ τὰ ἰδιωτικά. Φιλεῖ γάρ, εἰ καὶ μὴ ἐςαεί, ἐς γοῦν τὸ πολύ, τῷ ἐπιμελομένῳ τοῦ κοινοῦ προςεπιβάλλεσθαι καὶ ἡ τῶν ἰδίᾳ καὶ καθέκαστα ἐπιστροφή. Φοιτῶσι γοῦν παρ' αὐτὸν μυρίοι ὅσαι, καὶ ὅσαι ὧραι, κοινωσόμενοι περὶ πραγμάτων παντοίων, τῶν κατὰ γάμους, τῶν κατὰ ἐμπορίας, τῶν κατὰ συναλλάγματα παντοδαπά. Καὶ ἔστιν αὐτοῖς ὁ ἐπέτειος ἀγαθὸς οὗτος, ὃν οὐκ ἂν τὸ ἐπιὸν καταλάβοι ἔτος ἀγαθυνόμενον· εὔχρηστος ἐφ' ἅπασι, μηδὲ μιᾶς φαυλότητος ἁλισκόμενος. Καὶ τοίνυν ἀναβαίνει ἐς ὅσον καὶ ὅσον τῇ εὐκλείᾳ, καὶ φήμης πτεροῖς κουφιζόμενος οὐκ ἀναῤῥιχᾶται πονήρως, ἀλλ' εὐμαρῶς αἰθέριος ἄνεισιν, ὡς οἷον πετόμενος. Ἐπὰν δὲ πάντας ἐφελκύσηται τῷ κατὰ πονηρίαν μεθοδεύματι, καὶ πρὸς αὐτῷ ἐκεῖνοι γένωνται, καὶ τὸ ἀγαθὸς ὁ δεῖνα πανταχοῦ τῶν ἐκεῖσε διαφημισθείη· τότε δὴ τὸν παλαιὸν Δηόκην ἐκεῖνον ἀναπολήσας τάχα εἰς νοῦν, ὃς τοὺς ἐγχώρους θέλξας τῇ δικαιοπραγίᾳ καὶ τῇ τῶν κοινῶν ἐπιμελείᾳ, καὶ ἀποκαταστὰς οὕτως εἰς ἄρχοντα, εἶτα ἐπέβαλε κρατερῶς, οἷς οὐκ ἔδει, μεταβάλλεται καὶ αὐτὸς ἐφ' ὁμοίοις. Καὶ οἷα διατίθεται ἢ τὴν πόλιν, ἣν ἂν λάχοι περιέπειν, ἢ τὴν κώμην, καθ' ἣν αὐλίζεται, ἢ τὴν κωμόπολιν, ἧς ἀπότροφος ηὔξηται, || ἀναλεκτέον μὲν ἐκ τῶν ἱστοριῶν καὶ τῶν συγγραφῶν, προςεπιλεκτέον δὲ καὶ ἀπὸ τῶν ὡς ἑκάστοτε· μυρία γὰρ καὶ τοιαῦτα προτεθεωρημένα, καὶ εἰςέτι νῦν βλέπεται. Ἡμῖν δὲ εἰπεῖν ἀρκέσει, ὡς ὀφθαλμῶν ὀξέων δέεται τοῦ λοιποῦ ὁ οὕτως ἀνειλημμένος, ἀναβλεπόντων τρανὲς ἐπ' αὐτὸν μετὰ τὴν ἀνάληψιν, χρεία δὲ καὶ εὐχῶν, εἴ πως ἐκεῖθεν ἐφορεύει βλέπων τὰ ταπεινά. Ms. fol. 76.a

17. Μεταβατέον δὴ ἐκ τῆς κορυφαίας ταύτης περιωπῆς πάλιν ἐπὶ τὰ κατωτέρω καὶ ταπεινότερα, διαπλοκῆς χάριν ποικιλτικῆς τῆς ἐν λόγῳ, καὶ ἐνδιατριπτέον αὐτοῖς ἐφ' ὁποσονοῦν ἐν τῷ καθόλου συλληπτικῶς, ἵνα μὴ ἐς μακρὸν ἀγλευκεῖ πραγματείᾳ ἐνδιατρίβωμεν, ἐπείπερ καὶ φορτικοί, ὥσπερ τὰ μισητά, οὕτω καὶ οἱ περὶ αὐτῶν λόγοι. Εἰσὶν ἐν τοῖς ἑκασταχοῦ τόποις καὶ χειροτέχναι τοιοῦτοι. Οὐκ ἐθέλει γὰρ τὸ κακὸν οὐδὲ τῶν σμικροτάτων ἀπέχεσθαι, ἀλλὰ διὰ πάντων ἀνυποστόλως χωρεῖ. Ὑποκρινόμενος γὰρ ὁ σοφιστὴς τῆς κακίας, μᾶλλον μὲν οὖν ὑποσυλῶν τὰ τοῦ θεοῦ ῥήματα, παραπνεῖ ἐκ τῶν ἐκείνου τοῖς δαιμονοφορήτοις θεραπευταῖς τό ὁ ρ ᾶ τ ε, μ ὴ κ α τ α φ ρ ο ν ή σ η τ ε μ η δ ὲ γ ο ῦ ν ἑ ν ὸ ς τ ῶ ν μ ι κ ρ ῶ ν τ ο ύ τ ω ν, εἴτε ἀνθρώπων, εἴτε καὶ τεχνυδρίων. Διὸ καὶ οἱ ταῖς τέχναις παρυφεστῶτες ὑποκριταί, ἀγαθοπραξιῶν κατάρχοντες, ὅσα καὶ δελεασμάτων, καὶ τινας ἀγαθοὺς ἢ καὶ ἄλλως περιφανεῖς δι' αὐτῶν θηρασάμενοι, καὶ ἐπαγωγοὶ φανέντες, αὐτίκα συνεπάγονται καὶ τοὺς ἑτεροίους. Εἰώθαμεν γὰρ οἱ ἄνθρωποι ταῖς τῶν χρηστῶν ἀνδρῶν χαίρειν μιμήσεσι, πολλοὶ δὲ καὶ ταῖς τῶν ἁπλῶς μειζόνων. Ἐπειδὰν δὲ πλείους ἐπαγάγωνται, καὶ οὐδαμοῦ φαύλη περὶ αὐτοὺς ὑπόληψις προφαίνηται, μεταβάλλονται καὶ αὐτοί. Καὶ οἱ πρῴην ἀληθευτικοὶ καὶ ἀπράγμονες, καὶ ὅλως μὴ βαρύνοντες τὸ φυλετικόν, μηδὲ τοὺς μισθοὺς παρατείνοντες, καὶ τὰ τεχνικὰ δὲ ἀκριβοῦντες, καὶ οὕτω χρηστοὶ πιστευθέντες εἶναι, μισοῦσι μὲν ὄνομα κεκτῆσθαι καλὸν ὑπὲρ πλοῦτον, γίνονται δὲ βδελυρίας ἁπάσης καὶ κέρδους αἰσχροῦ ἥττονες· καὶ μᾶλλον, εἴπερ ἀρχιτεκτονεῖν λάχωσι καὶ δημοσίων προΐστασθαι, ἄλλα τε πλημμελοῦντες ἀνόσια, καὶ τοὺς ὑπουργοὺς κολοβοῦντες, ὧν μισθοῦνται· οἳ φέρουσι μὲν βαρέως κολουόμενοι τοῦ μισθοῦ, ὑπομένουσι δὲ τοὺς τοιούτους ἐργολάβους, δεδιότες οἷα βαρεῖς ἐργεπιείκτας, εἰ μὴ τοῦ κέρδους ἐκχωροῦσιν αὐτοῖς. Καὶ μὴν καὶ οἱ ἐν τοῖς τοιούτοις εἰςέτι πλέον μικροϋποκριταί, οἳ τοὺς χάλικας δηλαδὴ παραφοροῦντες, καὶ τὸν πηλὸν ἢ τὴν τίτανον

ὀργαζόμενοι, τὰς ἀρχὰς μέν, ὅτε γνωρισθῶσι τοῖς ἐργοδοτοῦσιν, εὐήθεις καὶ ἁπλοϊκοὶ τυποῦνται τὴν θέαν, μικρὸν δὲ ὅσον ἐξαλλάσσουσιν ἑαυτοὺς εἰς τὰ ἔμπαλιν.

18. Οὕτω κἀνταῦθα σμικροπρεπὴς ἡ τοιαύτη κακία, ἵνα, ὥσπερ ὑπὸ παντὶ λίθῳ σκορπίους καταδαρθάνειν φαμέν, οὕτω καὶ ὑπὸ παντὶ σχεδόν τι ἀνθρώπῳ ὑπόκρισιν ἐνδομυχεῖν λέγωμεν· ἣν εἴ τις ἐλλόγως δυςφημεῖν προςθήσεται, εἴποι ἄν, ὡς ἀρετὴ δαιμονός ἐστι, κακίας κάλλος ὕπουλον, πραγματεία αἰσχροκερδής, ἔσθ' ὅπου δὲ καὶ ἀκερδὴς θεοῦ προνοίᾳ· βδελυρία παρακεκαλυμμένη, σκιαγραφία χρηστότητος, ἀγαθότης ψευδεπίγραφος, ἀπωλείας λάκκος ἠνθισμένος, ὡς καὶ λανθάνειν· γελῶν θάνατος, πικρία μελιτόεσσα, σκότος ψηλαφητὸν μὲν ἄλλως τοῖς μὴ ἐχέφροσι, || Ms. fol. 70. b. φευκτὸν δὲ τοῖς βαθυγνώμοσι· θὴρ σαρκοβόρος προβάτου, περιτεθειμένος κῴδιον· Ἅιδης, οὗ προλάμπει ζωῆς φῶς ἐπιπολάζον βαθεῖ σκότῳ, ἀλώπηξ λογίῳ τὸ δύςνουν ἐπικοσμοῦσα· ἰὸς γλυκάζων μὲν τῇ προφορᾷ, πικράζων δὲ τῇ φθορᾷ· γλυκεῖα σφαγή, ἄλυπος ὄλεθρος, λόχος θανατηρός, ἄοπλος, νὺξ οὐκ ἀναπαύσιμος, σκιὰ θανάσιμος, ἔχιδνα ὑφειμένη αἱμοχαρής· δράκων τἄλλα μὲν βροτολοιγός, καὶ οὕτω σκληρός, μαλθακὸς δὲ τὰ εἰς χρυσὸν κατὰ τὸν θρυλλούμενον χρυσοφύλακα. Δίχα γὰρ ἄλλης φαυλότητος καὶ χρυσομανὲς τὸ ὑποκριτικὸν φῦλον, καὶ λίαν πάνυ κερδαλέον· καὶ οὐκ ἂν οὐδενὸς ἑτέρου πρίαιτό τις τὴν αὐτοῦ εὔνοιαν, ὅτι μὴ χρυσοῦ, καὶ αὐτοῦ συνεχῶς ἐπαντλουμένου· ὡς, εἴπερ λείψοι ποτέ, συνεπιλέλοιπε καὶ ἡ εὔνοια· καθὰ καὶ τῇ λυχνίᾳ, ἐπιλειπούσης τῆς ἐξαπτούσης ὕλης, συναπῆλθε καὶ τὸ δι' ἐκείνης λαμπρόν.

19. Τοῦτο τὸ κακὸν ἐνεδρεύει καὶ τοῖς τοῦ γάμου καλοῖς. Γυνὴ γὰρ ὑποκρινομένη τὸ τῆς συζυγίας εὐάρμοστον, οἰστρηλατεῖται εἰς μοιχικόν.

20. Τοῦτο τὰς προδοσίας ἐξεῦρε, τάς τε ἄλλας, καὶ τὰς τῶν πατρίδων. Ὀρθῶς μὲν γὰρ ἀγαπῶντες, ὁ φίλος, ὁ κοινωνός, ὁ ὁμογενής, ὁ πολίτης, σώζουσι τοὺς φίλους, τοὺς συναλλάκτας, τοὺς τοῦ αὐτοῦ γένους, τοὺς πατριώτας· νοθεύσαντες δὲ τὴν ἀγάπην καπηλικῶς, τὰ πολλὰ μὲν ἐπὶ κέρδει, κατά τι δέ που σπάνιον καὶ δόξης χάριν, καταγίνονται τῆς φιλίας, καὶ κοινωνίας ἁπάσης, καὶ γένους, καὶ τῶν τῆς αὐτῆς γῆς.

21. Ὑποκρίσεως ἀποτέλεσμα καὶ τὰ ἐγκρυφῆ λῃστευτικά. Μὴ θαῤῥοῦντες γὰρ οἱ φονικοὶ τὴν ἀντιμέτωπον μάχην, ὑποκάθηνται ἄλλως· καὶ ἐν προςποιήσει τοῦ μὴ φαύλου αἴφνης γυμνοῦσι ἑαυτοὺς μὲν τοῦ ὑποκριτικοῦ προςωπείου, τὰ ὅπλα δὲ τῶν θηκῶν, καὶ δρῶσιν οὕτω τὰ σφίσι θελητά.

22. Ὑποκρίσεως νέφος καὶ τοὺς ἐπιβούλους πευθῆνας ἐπηλυγάζον, μέγα κακὸν ἐπιπέμπει καὶ τοῖς στρατεύμασι καὶ ταῖς πόλεσιν.

23. Ὑπόκρισις φιλίας καὶ τὴν περίκλυτον Σεμίραμιν κατεπῆρε τοῦ μηδὲν ἠδικηκότος Περσικοῦ βασιλέως, ἀλλὰ καὶ ὑπερφιλήσαντος. Ὑπόκρισις ἡ τοῦ Σίνωνος τὸ μέγα κατὰ τῶν Τρώων κακὸν ἐκορύφωσεν. Ἀλλὰ μή τις ἐνταῦθα σεμνύνων τὰ κατὰ τὸν δούρειον ἵππον, σόφισμα, λεγέτω, οὐ μὴν νομιζέτω ὑποκριτικὴν ἐξανύσαι τὸ ἔργον ἐκεῖνο· εὐκρινέστερον δὲ εἰπεῖν, μὴ σοφίαν αἰτιάσθω ἐκείνου τοῦ ἀριστεύματος, οὐ μὴν ὑπόκρισιν. Εὖ γὰρ οἶδεν ὁ οὕτως ὑποκρουσόμενος, ὅτι παντὶ ἔργῳ δεινῷ ἐξανυομένῳ, εἴτ' οὖν κατὰ πονηρίαν, εἴτε φρόνησιν, ὧν μήτηρ ἡ δεινότης πεφιλοσόφηται, παρέπεται καί τις δόλος, ὁμοίως δὲ καὶ σόφισμα. Σοφίσματι δὲ καὶ δόλῳ οὐκ ἄν τις ἀπισχυρίσηται μὴ οὐχὶ καὶ ὑπόκρισιν τά γε πλείω παρακολουθεῖν. Καὶ εἰ μὲν ἀγαθὸς ὁ δόλος, ἀγαθὸν καὶ τὸ καθ' ὑπόκρισιν παρακολούθημα· οὕτω δὲ καὶ ἐπὶ σοφίσματος. Εἰ δὲ φαῦλα καὶ ἄμφω, καθά που οἶμαι καὶ τὸ κατὰ Σίνωνα, εἴη ἂν τοιαύτη καὶ ἡ κατ' αὐτὸν ὑπόκρισις, καθὰ καὶ ἡ κατὰ τὸν περίπυστον ἐν μεγαλοψυχίᾳ Μεγάβυζον. Εἰ δέ τις αὐτὰ εἰς φιλοτιμίαν καὶ ἀνδρικὴν τόλμαν ἐγγράψεται, ἵνα καὶ ἡ ἀκόλουθος ὑπόκρισις ἐνάρετος εἴη, ἔστω μὲν αὐτὸ οὕτως ἔχον. Ἐγὼ δὲ οὐκ ἂν || Ms. fol. 71. a. κατ' ἐκείνους ἐσινάμην ἐμαυτόν, κατακόψας μικροῦ δεῖν, καὶ τῶν καιριωτάτων ἐκκρουσθείς, δόξης χάριν κενῆς.

24. Ἀλλὰ τί μοι πλείω ἐπέρχεσθαι παραδείγματα ὑποκριτικά, ἐπιῤῥέοντα συχνὰ ἐκ παλαιτάτων ἀκουσμάτων τοῖς ἱστορεῖν προτεθειμένοις; δέον εἰπεῖν συνεπτυγμένως καὶ οὐδὲ μακρὰν ἀληθείας, πλήρη νῦν τὸν κόσμον εἶναι ὑποκρίσεως· ὅς γε καὶ αὐτὸ τοῦτο τὸ κόσμος εἶναι ψεύδεται παρ' ἡμῖν διὰ τοὺς τοιούτους, ὡς βλασφημεῖσθαι, καθὰ τὸ τοῦ μεγάλου θεοῦ ὄνομα διὰ τοὺς μὴ ἐνθέους, οὕτω καὶ τὸ τοῦ κόσμου διὰ τοὺς ἀκόσμους· ὁποῖοι καὶ τὸ ἔθνος τῆς ὑποκρίσεως, οἳ τὴν ἀκοσμίαν ὑπὲρ πᾶν ἄλλο φῦλον τεχνῶνται, παραποιοῦντες τὸ τῆς φύσεως κόσμιον. Ἐπ' ἄλλοις γὰρ πεπλασμένοι κοσμίως, ὡς ὁ κοσμοποιὸς θεὸς ἀπεφήνατο, ἄλλως αὐτοὶ μεταπλάττουσιν ἑαυτούς, δῆλον, ὡς εἰς τὸ ἔμπαλιν. Ἄκοσμοι αὐτοὶ ἄρα πρὸς ἀλήθειαν, καὶ δι' αὐτὸ ἔξω κόσμου ἄλλον τρόπον, ἤπερ οἱ πνευματικῶς ἀναχωρηταί. Αὐτοὶ μὲν γὰρ τῷ κατ' αὐτοὺς ἐξωτερικῷ εἰς ὑπερκοσμίους ὑπερανοικίζονται· οἱ δὲ ὑποκριτικῶς ἔξω τοῦ κόσμου Ἁρπυίαις ἑαυτοὺς παρατιθέασιν, ὡς ἐξωκεανίζεσθαι.

25. Ἀλλ' ἐνταῦθα μνησθεὶς τῶν ἁγίως καὶ θεοφιλῶς ἔξω τοῦ κόσμου ἀνδρῶν, τῶν ὕπερθεν γῆς καὶ πάντων τῶν κατ' αὐτήν, τῶν ὑπερνεφέλων, τῶν αἰθερίων τὸν νοῦν, τῶν ἀειλαμπῶν τὴν νόησιν, τῶν φλογέων ἀγγελικῶς, τῶν ἐκ θεοῦ καὶ κατὰ θεὸν φώτων, ὧν καὶ αἱ γλῶσσαι πύριναι ἀποστολικῶς καὶ ἡ λοιπὴ δὲ ἅπασα διαρτία, οἷς τὴν κακίαν καταναλίσκουσιν, ἐμπιπρῶντες ὡςεὶ καὶ ἄχυρα· οἳ κόσμον ἀφέντες καὶ τὰ ἐν κόσμῳ, πρὸς αὐτῷ θεῷ ἐγένοντο· διορῶμαι στύλους μὲν ὀλίγους πυρὸς ἀσκητικοῦ ἐν ἡμῖν προφαίνοντας, γνόφους δὲ μυρίους ὅσους ὑποκριτικούς, ἀποφραγνύντας καὶ διατειχίζοντας τοὺς νεφελουμένους, ὡς μὴ ἔχειν ποθὲν καταλάμπεσθαι. Προςεπιβλεπέτω δὲ καὶ καταιγίδας ἀποῤῥηγνυμένας ἐκεῖθεν, ἵνα καὶ τὸ φῶς ἐκείνων σβέσωσι, καὶ τὸ πᾶν τοῦ ἐν ἡμῖν βίου ἐν ἀλαμπεῖ καταστήσωνται.

26. Ὦ κάκιστον θηρίον, ὑπόκρισις· τί δή ποτε πρὸς τῇ λαϊκῇ τοῦ θεοῦ ἀγέλῃ ἐνάλλῃ καὶ τῇ ἱερᾷ, ἐξ αὐτοῦ θεοῦ ἀφαρπάζειν πειρωμένη αὐτήν, μᾶλλον μὲν οὖν ἄλλως ἐπαπορῆσαι, οὐκ ἂν οἶμαι, μὴ δεόντως; Τί δή ποτε τὴν ὅλην φαρέτραν ἐκκενοῖς, τοὺς ὡσιωμένους τῷ θεῷ βάλλον; ὧν οἱ μὲν ἐν βίῳ δι' αὐτὸ δὴ τὸ βιωτικὸν οὐχ οὕτως ἐπιβουλεύονται οὐδὲ βάλλονται, οἱ δὲ τὸν βίον ἀπειπάμενοι φυλαδόν, καὶ πάντων ὑπερπετασθῆναι τῶν κάτω προθέμενοι, ὧν μέρος καὶ ὁ πρὸς αἴσθησιν γάμος καὶ τὰ κατ' αὐτὸν σαρκικά (ὁ γάρ τοι λοιπὸς γάμος, ὁ κατὰ πνεῦμα, οὐκ ἔστιν ἀνδρὶ Χριστιανῷ οὐδενὶ ἀπόῤῥητος, οὗπερ ἐφίενται νοερῶς οἱ φιλόκαλοι, τῷ τῶν ψυχῶν καθαρῷ νυμφίῳ ἑαυτοὺς παρθενικῶς ἀφοσιοῦντες) — οἱ τοίνυν πρὸς ἀλήθειαν τοιοῦτοι ὅσιοι τοῦ θεοῦ ἄσπονδον ἔχθραν ἐξανάπτουσι τῷ κοινῷ πολεμίῳ, γινομένῳ πρὸς αὐτοῖς ὡς μάλιστα, καὶ φιλοτιμουμένῳ τὸ ἀντίπαλον, καὶ οὕτως ἀνθάμιλλον. Καὶ τὸ αἴτιον, ὅτι γυμνωθέντες οἱ τοιοῦτοι τῶν τῆς παχυτέρας ζωῆς ῥακέων, ὃ δὴ λέγεται, ἀπαρακαλύπτως εἵλοντο κατὰ τοῦ ἀντικειμένου τοξάζεσθαι ὑπὲρ πάντα τὸν λοιπὸν ἄνθρωπον· καὶ τὴν τοῦ βίου παρεκδύντες τύρβην, καὶ ὡς ἐκ πόλεως ταύτης, καθ' ἣν ἔστι πολεμικῶς πυργηροῦσθαι, προποδίσαντες οἷα καὶ εἰς πεδιάδα, ἐν ᾗ οὐκ ἂν ὑπίδοιτό τις λόχον αὐτόχρημα, στρατιῶται θεοῦ εἶναι τάσσονται, φύλακες τῶν ἄλλων πάντων ἀνθρώπων, ὀφειλόντων μὲν καὶ ἐκείνων μὴ ἀπονυστάζειν, οὐ κατ' αὐτοὺς δέ, τοὺς ἤδη ταξαμένους τὰ ὑπὲρ τοὺς λοιπούς. Me fol. 71. b. Αὐτοὶ μὲν γὰρ τοῦ θεοῦ || κραταιοί, σφόδρα ἐξηρμένοι τῆς γῆς, καὶ διὰ τοῦτο φερέγγυοι, κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀνθίστασθαι, τῶν καὶ πολλῶν, ψαλμικῶς καὶ τοῦτο εἰπεῖν, καὶ ἐξ ὕψους πολεμούντων οἱ δὲ ἄλλοι κάτω ἔτι βαροῦνται, καὶ οὐκ ἐς τοσοῦτον εἰσὶν ἀξιόμαχοι, κἂν ἄλλως τῷ κατὰ θεὸν ζήλῳ καὶ τῷ οὕτως ἐνδομύχῳ πυρὶ ἀναπτόμενοι, οὐκ εἰς ἄνθρακας, οὐδὲ εἰς φλόγα τὴν τυχοῦσαν, ἀλλ' ὡς εἰς ἀστραπάς, αἳ πληθυνόμεναι ταράσσουσι τοὺς ἐχθροὺς τοῦ θεοῦ, ὑπεραναβαίνωσιν οὐκ ὀλίγοι τοὺς διόλου μελαμφόρους, ἐξανύοντες καὶ κατορθοῦντες, ἃ μὴ ἐτάξαντο. Οὓς οἶμαι καὶ δεδιότες, ὅσοι τῶν μοναζόντων εἰς ὑπόξυλα ἑαυτοὺς ἀγάλματα κατ' ἀρετὴν ἀνεστήλωσαν, καὶ μὴ φέροντες, εἴπερ αὐτοὶ μὲν ἐστρατεύσαντο, ἄλλοι δὲ ἀποφέρωνται τὰ ἔπαθλα (καὶ αὐτὸ πάντως ὀρθότατα), εἶτε, αὐτῶν ἀποῤῥιψάντων μικροῦ τὴν πανοπλίαν τοῦ πνεύματος, ἐκεῖνοι αὐτὴν ἀντενεδύσαντο εἴς τε εὐπρέπειαν καὶ εἰς ὀχύρωμα, ἐκτρέπονται εἰς ὑπόκρισιν· καὶ περιβαλόμενοι ταύτην εἰς ἐπίκρυψιν ὡς οἷά τι ἐλαφρὸν ἁγιοποιὸν ὅπλον, φενακίζουσι τοὺς ἁπλουστέρους, ὅτι ἔνοπλοι τοῖς ἐχθροῖς δαίμοσιν ἀντικαθιστάμενοι, καὶ οὕτως ἀποσοβοῦντες ἐκείνους, ἀποσοβοῦσι τὴν ἀρετήν, καὶ πᾶσαν ἐκείνην εἰςοικίζονται, ὡς εἰ καὶ ἀνέκαμψαν εἰς πρεσβυγενῆ ἀρχέγονον πλάσιν, δι' ἧς οἷα καὶ ἐν παραδείσῳ διαιτώμενοι, ἀνενόχλητοι τῷ ἐπιβούλῳ τῶν ἀνθρώπων δαίμονι ἐκβεβήκασι.

27. Καὶ ἴδοις ἂν αὐτοὺς οὐκ ἂν μὴ οἵους τε ὄντας, ἀπατῆσαι πάντα ἄνθρωπον, πεπλασμένους ὅλους ἐκ ποδῶν ἕως κεφαλῆς. Οὐ μόνον γὰρ ἐπίτηδες νήλεποι καὶ ἀνιπτόποδες περιέρχονται, καὶ ῥύπου γέμοντες ἀπὸ ἄνωθεν ἕως κάτωθεν, ἀλλὰ καὶ λοιπὴν κάκωσιν τεχνῶνται περὶ τοὺς πόδας, ὁποίαν εἰκὸς περινοεῖσθαι αὐτούς, κυρώσαντας καθάπαξ παραλλαγὴν τοῦ θείου πλάσματος. Βάδισμα δὲ περιποιοῦνται μορφαστικῶς, ὁποῖον μυρμηκίζων τροχαλὸς πάσχοι ἂν γέρων, ἔμφασιν οὕτω πέμποντες, παραλελύσθαι τῆς κατὰ φύσιν τονώσεως τῇ ἐγκρατείᾳ, καὶ παρασχεδὸν ἥκειν τοῦ νενεκρῶσθαι. Καὶ μὴν αἱ χεῖρες ἐνταῦθά γε ἄλλα μαρτυροῦσι. Πεφυσημέναι γὰρ ταῖς εἰς κόρον τροφαῖς, ἀντιφωνοῦσι τῷ οὕτως ἀρετῶντι. Τὰ μέν τοι περὶ τὸ πρόσωπον, ἀλλ' αὐτὰ ἑτεροίᾳ τύρβῃ ψεύδους ἐμφαίνεται. Ὁ μὲν γὰρ πώγων ἢ ἀμελούμενος δυςπρόςωπτός ἐστι διὰ τὴν ἐγκρατευτικὴν ῥύπωσιν καὶ τὴν ἐκεῖθεν εἰδεχθῆ πίλησιν; ἢ κτενιζόμενος εἰς εὐπρέπειαν, ἐκεῖθεν ἐκκρεμάμενον φέρει τὸ πᾶν τῆς ἀρετῆς, στεγάζοντος αὐτὴν σεμνῶς τοῦ κατὰ τὸν μύστακα πέπλου, οἷα καὶ ὀρόφου λαχνήεντος. Τὰ δὲ ὕπερθεν εἴ που καὶ αὐτὰ κατὰ τὰς χεῖρας τέτροφεν εἰς ὡραϊσμόν, ἀλλ' ἔχει καὶ κατὰ τούτων ὁ ἀσκητὴς τεχνητὸν ὦχρον, δι' οὗ πολυειδῶς ἑαυτὸν ἀφανίζων βέβαπται. Οἱ δὲ ὀφθαλμοί, τὸ καλὸν τῆς ψυχῆς

ἔνοπτρον, ὁ λύχνος τοῦ σώματος, ὁ ἐν τῷ κατ' ἄνθρωπον οὐρανῷ ἥλιος, αἱ τοῦ κατ' αἴσθησιν ἐν ἡμῖν φωτὸς πύλαι, ὁ τοῦ προσώπου κόσμος, ἀλλὰ καὶ αὐτοὶ ἀχρειοῦνται τῷ ὑποκριτῇ, κνυζόμενοι ἀκαίρῳ σκυθρωπότητι, συστέλλοντες τὸ ἱλαρὸν καὶ οὕτω νεφούμενοι, οὐ σκεδαννύντες τὰς ὀπτικὰς ἀκτῖνας, ὡς πανταχοῦ θέειν, καὶ ἀκαρεῖ χρόνῳ τῶν ἄνω καὶ κάτω καὶ πέριξ δράττεσθαι θειότερον, καὶ οὕτω τὴν θέαν μὴ ψεύδεσθαι· ἀλλὰ κατὰ γῆς μόνης αὐγὰς βάλλοντες εἰς ἔνδειξιν ἀκουσίαν τοῦ μόνην γῆν εἶναι τὸ οὕτω κατάβλεπον. Καὶ μὴν || Ms. fol. 72 a. ἐχρῆν, οὐρανοβάμονα ταξάμενον εἶναι ἄνω βλέπειν συμβολικῶς, καὶ οὕτως αἴρειν ὀφθαλμοὺς εἰς ὄρη, ὅθεν καταπέμπεται τοῖς ὀρθῶς ἀναβλέπουσιν ἡ βοήθεια.

28. Οὐκ ἀφίησι δὲ ὁ τοιοῦτος οὐδὲ τὸ στόμα εὖ ἔχειν τοῦ κατὰ φύσιν ἐνεργεῖν, ἀλλὰ παραποιεῖ αὐτό, τὰ πολλὰ μὲν σιωπῶν κατὰ τήν, ὡς ἄν τις πυθαγορίζων εἴποι, ἐχεσίγησιν· ὅτε δὲ καὶ φθέγξασθαι αὐτῷ εὐαρεστηθείη, νυκτερίδων δίκην ὑποτρίζων, ὡς μὴ αἴσθησιν ἐμποιεῖν τινὶ τοῦ λαλεῖν· εἰ δὲ καὶ διαρθροῦν δέοι τὸ προφαινόμενον ἠρέμα, καὶ τότε ὑποψοφῶν, ὡς εἰ καὶ εὐλαβεῖτο, μὴ συνεκπνεύσοι καὶ τὴν ψυχήν. Ἔνδειξις ταῦτα τῷ τοιούτῳ ἐναρέτῳ τοῦ πεπνίχθαι τὰ ἐντὸς αὐτῷ ἐν ἀσιτίᾳ καὶ λοιπῇ καχεξίᾳ, ὡς μὴ τόνον ἐντεῦθεν ἔχειν αὐτῷ μηδὲ τὴν ἐκπνοήν. Λαλιᾶς δὲ τοιαύτης ὁποῖος τις ἂν εἴη νοῦς; Πλατὺς μὲν γάρ πως ἂν γένηται τῷ οὕτω δυςλάλῳ καὶ δι' αὐτὸ στενολεσχοῦντι, γλυκὺς δὲ οὐκ ἂν οὐδόλως ὁ καὶ δυςαίσθητος. Ὠφέλειαν δὲ ἡλίκην ἔχοι ἄν, εἴσεται ὁ ἀκούσας, ὃς μὴ εἴην ἐγώ. Πραγματεύεται δὲ ἄρα ἐν τούτοις ὁ ψευδάνθρωπος τὴν τῆς ἰδιωτείας ἐπίκρυψιν. Ἄγροικοι γὰρ πάντη πάντως οἱ τοιοῦτοι, πραγματευόμενοι τὸ σιγηλὸν καὶ τὸ ὀλιγοῤῥημονεῖν, διὰ τὸ ἐκεῖθεν ἀνεξέλεγκτον· ὡς οἵ γε σοφοὶ μοναχοί, καὶ γραμμάτων ἄνθρωποι, καὶ ἀρετῆς ἄνδρες, καὶ μύσται χρηστῆς παιδεύσεως, τήν τε φωνὴν τοροῦσι, τρανότερον λαλοῦντες, καὶ τὸ φθέγμα καλλύνουσιν, ἐννοίας ἐμμούσους ποταμῶν δίκην ἐξερευγόμενοι, ὧν τὰ ὁρμήματα εὐφραίνουσι πόλεις θεοῦ· καὶ τοῖς ὀφθαλμοῖς λάμπουσι, καὶ τοῖς προσώποις εἰς ὡραϊσμὸν θεῖον ἐρεύθονται· καὶ τῷ ὅλῳ κατὰ φύσιν ἀναστήματι τὸ θεῖον πλάσμα ἐπαληθιζόμενοι, καὶ ταῖς πράξεσιν εἰς θεοῦ μίμησιν εἰκονίζονται. Οὐ μὴν κατὰ τοὺς παρ' ἡμῖν ὑποκριτικῶς τυποῦνται, οἳ τὸ ἀκατάληπτον μεθοδεύοντες κομμωτικῶς, ὑπογράφουσι τὴν ἔμπρακτον ἀρετήν, εἰ καὶ μὴ ἔχουσι διόλου αὐτὸ ἐξανύειν, ὅτι μηδὲ δυνατόν.

29. Πλεονάζουσα μὲν γὰρ ἡ ἀρετή, καὶ πραγματειώδης ἀληθῶς οὖσα, καὶ σπουδαζομένη κατὰ πάντα τρόπον, ὡς ἅπτεσθαι δι' αὐτῆς ἀνδρικῶς ὁποῖα καὶ λέοντα τὸ κατὰ ψυχὴν ἄλογον, πνίγοι ἂν ἐντὸς μοχθηρίαν, μὴ ἔχουσαν ἐκφανθῆναι, εἴ τις που ἐνδόμυχος κρύπτοιτο· καθὰ καὶ ὀδμὴ δυςαπόφορος ἀρωμάτων παραβεβλημένων εἰς πλῆθος οὐκ ἂν ἔχοι φιλενδεικτεῖν τὴν φαύλην ὄσφραν. Ὅτε δέ τινι τὰ μὲν ἐντὸς ἁπάσης ἀκαθαρσίας γέμει τῆς διὰ κακίαν, ἔξωθεν δὲ ἀρετῆς προφαίνοιτο χάσμα ἐπίπλαστον, πῶς ἂν ἐκεῖ τικτῇ τὸ ἀληθῶς ἐνάρετον, οὗ μηδόλως μέτεστι τῷ ἀνδρί; Ἀμέλει καλῶς ὁ τὴν ἐνάρετον πρᾶξιν ψευδόμενος, καὶ ὡς οἷον ἐψιμιθιωμένος κατ' αὐτήν, καὶ προςθέτῳ ἐρυθήματι καλλυνόμενος, οὐ κρύψεται τὴν αἰσχρίαν διὰ παντός, ἀλλὰ ταχὺ ἐπιγνωσθεὶς ἐκφανεῖται, καὶ διαδείξει ἑαυτὸν ἀπατεῶνα καὶ ψευδεπίγραφον. Ἔχει δὲ διπλόην ὁ τοιοῦτος ἐκφάνσεως. Ἢ γὰρ ἀνύσας ἤδη τεχνικῶς τὴν ὑπόκρισιν, καὶ ἰσχύσας ἐξαπατῆσαι τοὺς τετυχηκότας, καὶ λογισθεὶς ἐν ἁγίοις, ἀπολούεται τὴν ὑπόκρισιν τοῦ λοιποῦ· καὶ καθαρὸς οὕτω γενόμενος, ἐκφαίνει τὸ ἐν αὐτῷ δαιμόνιον, καὶ πληροφορήσας τοὺς θεαθέντας, ὅτι κατετάχθησαν ὑπ' αὐτοῦ σκηνοβατήσαντος, τὴν ἁγιωσύνην διαδείκνυται, ὅπερ ἦν ἐκφύσεως καὶ φαύλης βιώσεως. Ἢ ἀλλὰ εὐλαβηθεὶς τάχιον τὴν ὅλως ὑπόκρισιν τοῦ καλοῦ, ὡς καὶ αὐτὴν βαρεῖαν καὶ καταπατοῦσαν αὐτὸν πρὸς ὁμοιότητα τοῦ ἐν ἀγεννεῖ τῷ σώματι πρὸς ὁπλιτικὴν || Ms. fol. 72 b. σκηνὴν ἐνδεικνυμένου τὰ τῶν καταφράκτων στρατιωτῶν (οὐδὲ γὰρ οὐδὲ ἐκεῖνος εὐρύθμως διόλου ἔχει κινεῖσθαι, περιβεβλημένος βάρος ὁπλίσεως πολυτάλαντον), ἀποῤῥίπτει μὲν καὶ αὐτὸ τὸ πρόσχημα τῆς ἀρετῆς ὡς βαρὺ καὶ ἀβάστακτον, ἀποκαθίσταται δὲ δραπετεύσας ἐκεῖθεν ταχὺς εἰς τὸ προφανῶς ἐφάμαρτον.

30. Καὶ οὕτως ἑκάτεροι δοῦλοι τῆς ὑποκρίσεως, ὅ τε παράμονος καὶ ὁ φυγάς, ἀποσώζουσι καθαρὰν εἰκασίαν πρὸς τὸν πρωτοφανῶς ὑποκριτήν, τὸν παλαίτατον δηλαδή. Ἐκεῖνός τε γὰρ ὁ τυχών, εἴ που καὶ λάχοι ἄνθρωπος ὢν καὶ μιμησάμενος ἡρωϊκὰ πρόσωπα, εἶτα μετὰ τὴν σκηνὴν εἰς τὸν πρώην ταπεινὸν ἄνθρωπον ἀνέκαμπτε· καὶ ὁ καθ' ὑπόκρισιν δὲ μοναχὸς τὴν ἀρετὴν παίξας ἐφ' ὁποσονοῦν, ἐκεῖνος αὖθις μένει ὁ καὶ πρὸ τῆς σκηνοβατήσεως ἁμαρτωλός. Ἀποκληρούσθωσαν δὴ καὶ οἱ τοιοῦτοι ἄνθρωποι τῇ παιγνήματι θυμέλῃ, καὶ ὑποτακτικοὶ μὲν ὄντες τετάχθωσαν εἰς ἁπλῶς θυμελικούς, καὶ αὐτοὺς οὐκ ἐμμελεῖς· ὑπερκαθήμενοι δὲ λογιζέσθωσαν ὡς εἰς θυμέλης προάρχοντας, οἳ καὶ γελάσθωσαν τῶν οὐ σπουδαίων ὑποκρίσεων, ἔννοιαν τοῖς πεπειραμένοις ὑποβάλλοντες, οἷοι μὲν ἅμα τῇ κουρᾷ ἐξεφάνησαν, οἷοι δὲ μετὰ χρόνον οὐ πολὺν ἀπεδείχθησαν. Ὑπεκρίναντο μὲν γάρ, τὸν βίον

πρόπαντα φυγεῖν, ἀκολούθως δὲ καὶ τὰ παρεπόμενα, ἐν οἷς καὶ οἱ πρὸς γένους καὶ οἱ ἄλλως γνωστοί. Ἐπάξαντο δὲ καὶ ἀτυφίαν καὶ ἐκτοπισμὸν καὶ τὸ ὅλως ἄβιον, διὸ οὐκ ἂν καὶ μετάδοσιν. Τίνος γὰρ ἂν μεταδοῖεν οἱ μηδὲν ἔχειν προσποιησάμενοι, καὶ μηδὲ ἄνθρωπον βλέπειν ἄλλον κυρώσαντες, ὅτι μὴ μόνους ἑαυτούς; Μικρὸν δὲ τῇ σκηνῇ ταύτῃ ἐμμελετήσαντες, καὶ τὸ δρᾶμα ἐπιδειξάμενοι, ὡς αὐτοὶ ἐχορήγησαν, ἑαυτοῖς καὶ τοῖς ἀβαθεστέροις θεαταῖς εὐηρεστηκότες, ἓν μόνον τῆς δραματουργίας παρακατέσχον εἰς τέλος οἱ πλείους, τὴν προφαινομένην πένθιμον μελανίαν· τῶν δὲ λοιπῶν ἀπέσχοντο, μή, ὅπερ ἔπαιζον, μείναντες, καὶ μηδὲ εἰς τὰ πρότερα γοῦν ἀποκαταστάντες, ἀλλὰ μεταποιηθέντες εἰς χείρονας, τὸν κόσμον ἐς τοσοῦτον οἰκειωσάμενοι, ὡς ἐκείνου μᾶλλον εἶναι δοκεῖν, ἢ τοῦ ἁγίου φροντιστηρίου.

31. Τοπρὶν μὲν γὰρ ἢ βίου ζήτησις ἡτισοῦν ἀπῆγεν αὐτοὺς τῆς ἀγορᾶς, ἢ ἐντροπὴ προφάσεως. Ὤκνουν γὰρ τὴν ἐν τοῖς πολλοῖς θέαν· οἱ πλείους μὲν διὰ τὸ τῆς κατὰ κόσμον ἀναβολῆς οὐκ ἀξιοθέατον, πολλοὶ δὲ καὶ διὰ κακουργίαν αἰσχύνουσαν, ὧν δή τινας καὶ κάθειρξις ἐπέκρυπτε κακουργοῦντας, καὶ οὕτω λαγχάνοντας τὸ οὕτω κρύπτεσθαι οὐ καθ' ἑκούσιον· ὅτε οὔτε τῆς συγγενείας ἦσαν πάντως ἐπίστροφοι, οὔτε τῆς συνηθείας· ἐπεὶ μήτε ὁ τέχνῃ σχολάζων ζωῆς χάριν ἄδειαν ἔχει τὰ τοιαῦτα ἐπισκέπτεσθαι, οὐδὲ μὴν ὁ κρυπτόμενος ὁπωςοῦν. Ἀλλ' ἐπειδὰν ἕκαστος αὐτῶν ὑποκρινάμενος, εἰς τὸ πρότερον ἦθος ἀποκατασταίη, ἐπιτείνει αὐτὸ εἰς ἐμμέλειαν οὐκ εὐάρμοστον. Ἐπανελθὼν γὰρ τῆς κατὰ πνεῦμα φυγῆς, φαντιᾷ, καὶ ταῖς προόδοις ἐλλάμπεται· καὶ τὸ μονότροπον ὡςεὶ οὐδὲν λογισάμενος, πολιτεύεται πρὸς βίον ἀπόβλεπτον, φιλοτιμούμενος, καὶ τὴν συγγένειαν πληθῦναι καὶ τὴν γνωριμότητα. Καί γε πληθύνει αὐτά, ῥυθμίζων ἑαυτὸν οὐ καθ' ἑτέραν ἀναλογίαν, ἀλλὰ τὴν εἰς πολλαπλάσιον.

32. Καὶ τοὺς τρόπους τοῦ πληθυσμοῦ τοῦδε προφέρειν μυσάττομαι, ὧν εἷς πρὸ παντὸς ἔργου ἡ τῶν τέκνων ἐπίκτησις, ὧν τὰ μὲν σαρκικὰ ἐῤῥόντων· ἐγὼ

Ms. fol. 13. a.

δὲ λέγοι τὰ κατὰ πνεῦμα, ὁποίοις ὁ μέγας || μὲν Ἀβραὰμ ἄλλως χαίρει, ἑτεροίως δὲ ὁ Ἀβραμιαῖος οὗτος γέρων, ὃς χάριν αὐτῶν δυςκολίαν ὑποκρινάμενος βιοτῆς, καὶ τὸν ἀρχιερέα ὑποποιησάμενος, καὶ γελάσας μὲν οὖν, καὶ εἰς ψυχῶν ἀνάδοχον ἐπικριθείς, καὶ οὕτω διαβὰς ἀδεῶς εἰς τὰ κατὰ βίον σωματικά, καὶ τῇ τῶν τέκνων εἰςποιήσει πλατυνάμενος, ἅπερ ὅσα καὶ μήτηρ ἡ γραῦς ὑπόκρισις ὑπὸ τῷ καλῷ γέροντι ἔτεκεν, εἶτα καὶ τὸν ἐνδόντα τεκνοποιεῖν ἀποπροςποιεῖται, ὡςεὶ οὐθὲν ἐνώπιον αὐτοῦ ἐκεῖνον λογισάμενος. Οὕτω δὲ μετὰ τὴν ἐκ φυγῆς ἐπανέλευσιν ἐκκοσμίου λογικὴν ἀποκαταστὰς ἀκριβοῦται, καὶ τὸ μὴ ἄτυφον μένειν. Καὶ ποῦ γὰρ ἂν εἴη ἀτυφία παρὰ τοῖς ἀπολεξαμένοις μὲν τὴν ταπεινότητα, καὶ δὲ τὴν αὐτῇ ὀπαδὸν ὑπακοήν, ἑλομένοις δὲ τὸ αὐτόνομον καὶ προτακτικόν;

33. Οὐκοῦν συχνὸν τοῖς ὁσίοις μετὰ τὴν ἐκ φυγῆς κάθοδον εἰς τὰ κοσμικὰ πάτρια οὐ τὸ εὐλόγησον, οὐ τὸ ὡς κελεύεις, οὐδὲ τὸ ναί, τίμιε πάτερ, ἀλλὰ τὰ τούτων ἀνάπαλιν. Τῆς γὰρ ὑποταγῆς ἀλλαξάμενος τὴν ἐπιταγήν, εὐλογεῖ μέν, ἀλλὰ κατὰ πρόςωπον τὰ πολλὰ διαβόλοις· κελεύει δὲ τοῖς ὑπακούουσιν ὅσα καὶ τύραννος· ἀπαναίνεται δὲ προκαλούμενος εἴς τι ἐνάρετον, αὐτὸς ἑαυτὸν κανονίζων, αὐτὸς ἑαυτῷ ἀρέσκων, ἑαυτοῦ καὶ μόνου τὸν κόσμον τιθέμενος, φάναι δὲ καὶ ἄλλως, ἑαυτὸν μόνον τῷ κόσμῳ προςλογιζόμενος· οὗπερ ἐκτοπισθεὶς εἰς βραχὺ ἐπανέδραμε ταχὺ πρὸς αὐτόν, ὅσα καὶ παῖς παρὰ φίλην τιθηνόν· ἄλλως, ἤ περ ἔδει, ἀναχωρήσας ὁ κοσμικὸς ἀσκητής, καὶ ἀντὶ τοῦ ἄνω χωρῆσαι ὡς εἰς αὐτὸν θεόν, ἀνόπιν χωρήσας, οἷα οὕτως ἑρμηνευόμενος τὴν ἀναχώρησιν πρὸς τοῦ φαύλου διδασκάλου δαίμονος, καί πως οὕτω φιλοσοφήσας κυνικὸς γενέσθαι, οἷς κύνεον τρόπον ἀναλαβὼν εἰς τὸν οἰκεῖον ἔμετον ἐπανέστρεψε. Μή που δὲ καὶ ἀλλοτρίοις ἐμέτοις ὁ τοιοῦτος προςανεχρώσθη μετὰ τὴν ἐπάνοδον, τήν τε πρώην φαυλότητα ἐξευρών, καὶ ἄλλην προςεπικτησάμενος.

34. Πρὸς γὰρ τοῖς ἄλλοις οὐκ ὀλίγοι καὶ τέχνας καὶ ἐμπολὰς μετὰ τὴν κουρὰν προςεπιλαβόντες, ἐπανέρχονται εἰς τὸν βίον, καὶ ἐκεῖθεν ἔμφορτοι, καὶ ἄλλα δὲ προςεπιφορτίζεσθαι δεξιοὶ διὰ τὸ ἐκ τέχνης ποριστικόν. Οἱ δὲ τοιοῦτοι πῶς ἂν εἶεν ἄβιοι, ὅπερ ἐξ ἀρχῆς προέθεντο; Βίος μὲν γὰρ ἅπας ὁ κατὰ κόσμον χρηματιστικός, ὡς ἐγχωρεῖ, ὁ μὲν οὕτως, ὁ δ' ἄλλως, καὶ οὕτω κτητικός. Ὁ δὲ ἀκτημονεῖν ἐπ' ἀληθείᾳ κυρώσας, καὶ ἀπραγμάτευτος εἶναι, καὶ ἀρκεῖσθαι τοῖς παραπίπτουσι, τί ἂν ὅλως δέοιτο κόσμου καὶ αὐτίκα βίου; Ἀκτημοσύνης ὄρεξις ἐρημοῖ φροντιστήριον.

35. Ἀλλὰ τούτοις μὲν περιττὸν ἐμπλατύνασθαι. Ἱκανῶς γὰρ αὐτὰ ἐν ἄλλοις περιειργασάμεθα πρὸς ἀλήθειαν συγγραφικήν. Ἐγὼ δὲ καί τι ἀρετῆς ἀνυποκρίτου εἴδωλον, εἴτε βρέτας, εἴτε κεράμβηλον (εἰκόνα γὰρ ἐπὶ τῆς ἐπαράτου εἰπεῖν κατοκνῶ) ἐκθήσων ἥκω θεομισές. Κατεπιχειροῦσι καὶ τῶν οἰκείων σαρκῶν ἔστιν οὗ οἱ τὴν ἀρετὴν προςποίητοι, καί πως οὕτω συμβολογραφοῦσιν οἱ ἐξώλεις, ἄξιοι κατακοπῆς εἶναι, ἀπάργματα οἷον μυσαρὰ ταῦτα τῇ κατὰ σφᾶς ὁσιοῦντες

θεῷ, τῇ ὀρέξει, ὧν θεὸς καὶ αὐτὴ λέγοιτ' ἄν, καθὰ καὶ ἡ κοιλία. Καὶ οἱ μὲν μαχαιριδίῳ ξέοντες ἠρέμα τὴν ἐπιπολὴν τῆς σαρκός, ὅποι διακρίνουσιν αὐτοί· οἱ δὲ καὶ ὀνύχων ὀξύτητα ἀποσύροντες, ἄλλοι δὲ || (Ms. fol. 73. b.) καὶ ῥίνῃ κατακονῶντες, πλάττονται τοῖς θεωμένοις, εἴτε ἰδίᾳ τέκνοις, εἴτε κοινῇ λαοῖς, πληγὰς ταύτας ἐκ δαιμόνων αὐτοῖς ἐπιτεθεῖσθαι νύκτωρ εὐχομένοις. Τερατεύονται δὲ ταῦτα, ἵνα καὶ ἐκπλήξωσι τῇ θέᾳ εἰς ἁγιωσύνης ἔνδειξιν, καὶ οἶνον δὲ οἶμαι καὶ ἔλαιον οὕτως ἐφελκύσωνται εἰς ἰατρευτικὴν ἐπίθεσίν τε καὶ ἔνθεσιν. Φιλοτιμοῦνται δὲ οἱ αὐτοὶ καὶ φθειρῶν πληθυσμούς, ὡς καὶ ἔξω τῶν ῥακέων ἕρποντα προφαίνεσθαι τὰ ζωΰφια. Καί που καὶ ἑτέρωθεν ἐρανίζονται, τυχὸν μὲν καὶ δι' ἐμπολῆς, ἴσως δὲ καὶ δωρεάν. Διὰ τί καὶ τοῦτο; Ἵνα τῆς ἀγέλης ταύτης τεθαυματωμένοι ζώοις περιουσιασθήσονται, δι' ὧν ἔσται κέρδος αὐτοῖς τὸ μάλιστα κατὰ σκοπὸν τοῖς ὑποκριταῖς. Ἐῶ τοὺς σιδηροφόρους, οἳ δι' ἡμέρας τεθωρακισμένοι μὲν ἔνδον, προφαίνοντες δὲ ὅμως τὸν θωρακισμὸν εἰς ἐπίδειξιν, ἐν τῷ κνήθεσθαι καὶ τοὺς φθεῖρας πολυπραγμονεῖν, καὶ ἄλλως δὲ διασείεσθαι, καὶ πολυτρόπως μηχανᾶσθαι τὴν θέαν· ἀλλὰ νύκτωρ ἀποβάλλονται τὸ τοιοῦτον βάρος, ὡς ἂν ἐλαφροὶ ὦσι κατακοιμᾶσθαι. Τοὺς δὲ καὶ αἵματι χρίοντας τὴν κοίλην τοῦ σιδηρέου κυκλώματος περιφάνειαν, ὡς δοκεῖν αὐτὸ παρατρώγειν τῶν τοῦ ἀσκητοῦ σαρκῶν, καὶ οὕτως αἷμα οἷον ἐξαποπτύειν, ἐξολέσοι ὁ θεός, οἷα αἵματι χαίροντας· ὡσεὶ καὶ αἱμάτων ἦσαν ἄνδρες, ὧν ψάλλων ὁ Δαυῒδ ῥυσθῆναι εὔχεται.

36. Ἐμοὶ δὲ ἔπεισι μνησθέντι καί τι γελοῖον εἰς πλέον ἐκθέσθαι φικτὸν τοιόνδε, εἰς πεῖραν ἐληλυθὸς πλατεῖαν ἦν ὅτε τοῖς Μεγαλοπολίταις, ὃ καὶ ἡμᾶς ἐκπλῆξαν παρέμεινεν εἰς μνήμην διηνεκῆ. Ἐγένετό τις ἡσυχαστικῆς ἀρετῆς ἀνὴρ ἐπίτριπτος ἐραστής, ἰθύνοντος τὴν Ῥωμαϊκὴν λῆξιν τοῦ παμμάκαρος Ἰωάννου τοῦ Κομνηνοῦ, σιδήρῳ μεσολαβούμενος σφίγγοντι, σπῖλος ολος ἐκεῖνος, γλοιὸς μυσαρός, ῥύπος ἀνέκπλυτος· διὸ καὶ ὀδωδὼς ἐκεῖνος εἰς δυσπρόσιτον, οἷς ἀκαθαρσίᾳ ἐστεγανοῦτο, ἄλλα τε ῥήματα εἰς ἐπωνυμίαν ἐκληρώσατο κωμῳδούμενος, καὶ ληρούμενος δὲ ἐπεκαλεῖτο· καὶ ἐξενίκα τοῦτο εἰς κλῆσιν. Ἐκεῖνος δὴ ὁ τῷ κατ' ἀρετὴν σχηματισμῷ τὴν ἀρχὴν μὲν ἄγγελος εἶναι πεφαντασμένος, τῇ δὲ ὕστερον πρὸς ἀλήθειαν ἀποδείξει δαίμων εἶναι διεγνωσμένος, ἤδη δὲ καὶ ὕπερθεν ἐκείνου ἐνηνεγμένος, οἷς παχύτερον ἐπλημμέλει πρὸς σάρκας, καὶ κρεάτων οἰκείων ἀπέλευσιν ἐσοφίζετο, τῇ τοῦ σιδήρου δῆθεν παρατρίψει διαβιβρωσκομένων εἰς βάθος, ὅσα καί τι ξύλον ὑπὸ πρίονος. Καὶ τὸ σόφισμα μιαρὸν τῷ ὄντι, καὶ οὐ μόνον πραγματικῶς, ἀλλὰ καὶ τῷ τρόπῳ τοιῷδε ὄντι. Πνεύμονα ζωϊκὸν ἢ καὶ ἧπαρ ἀπολαμβάνων, καὶ εἰς λεπτότητα κατακνίζων χλοώδη, ὁποῖα τὰ μεμασημένα, καὶ προσπλάττων, ὅποι παρείκοι τοῦ σιδήρου, εἰσεδέχετο τοὺς ὁμιλητάς· καὶ μετὰ βραχεῖαν λαλιὰν διεσείετο ἠρέμα, ὡς εἴπερ ὠδυνᾶτο δακνόμενος. Εἶτα τὴν χεῖρα καθιεὶς ἔνδον, ὅποι τὸν πνεύμονα ἐκεῖνον κατέχρισε, καὶ κνησάμενος ἐξῆγε τὴν ἐξάγιστον ὑπουργὸν εἰς φῶς, καὶ ἐπιφωνήσας ὀδυνηρῶς τὸ τὰ κρεατά μου, διετίναξεν αὐτὴν πρὸς τέχνην· ὡς τὸ μὲν τοῦ μύσους καταπεσεῖν εἰς γῆν, ὄζον ἤδη καὶ σήψεως, τὸ δὲ ἐναπομεῖναι τῇ περὶ τοὺς ὄνυχας σήραγγι· ἣν ἀποπλυνάμενος ὡσεὶ καὶ βορβορώδη χείμαῤῥον, ἔπεμπε πολὺ θαῦμα τοῖς μήπω εἰδόσιν ὁ μὴ μόνον καταβρώσεως ἀληθοῦς τῆς ὧδε, ἀλλὰ καὶ σκωλήκων τῶν ἐκεῖ ἐπάξιος.

37. Τίνος ἂν οἱ τοιοῦτοι φείδοιντο, εἰς τὸ οἰκεῖον σῶμα κακουργοῦντες; Ποῖα ἀποπροσποιήσονται μολυσμὸν οἱ οὕτως αἱμοχαρεῖς; Ποῖος ἂν ἐφαρμόσοι ψόγος ἀνδράσιν, οἷς ἀγαθὸν || (Ms. fol. 74. a.) αἱματηρὰ βαφὴ αὕτη, ὅσα καὶ γυναιξὶ φῦκος; Τίς τὸ σιδήρεον τοῦτο γένος ἀξίως ἀποτρέψεται, οὗπερ ἡ πραγματεία χρυσωθῆναι δι' ὑποκρίσεως, καὶ οὕτως ἀποτελευτῆσαι εἰς χρύσεον λόγῳ ἀποπτώσεως, κἂν γοῦν εἰς ἀργύρεον;

38. Ἔτι σεσημείωνται παρὰ τοῖς ἀνέκαθεν ἁγίοις ὀλίγοι μεγάλοι στυλῖται, οἱ οὐρανοβάμονες, οἳ ὅσα καὶ διὰ κλιμάκων, τῶν στύλων, προσέσχον τῷ οὐρανῷ. Ἡ δὲ νῦν γενεὰ οἷα καὶ δένδρα συχνὰ ἐν ξυλόχῳ πολλαχοῦ γῆς τὸ στυλιτικὸν φῦλον ἀναδίδωσιν, οὐ ζωῆς ὂν αὐτὸ ξύλον, οὐδὲ γνώσεως ξύλον, ἀλλὰ παρά τι βραχὺ ξύλον αὐτόχρημα, καὶ οὐδὲ κατὰ Δωδωναῖον ἐκεῖνο, οὗπερ ἦν τις λόγος, ἀλλὰ ἑτεροῖον καινόφωνον, ἐξ οὗ μόνον ἔστι τρυγᾷν τὸ εὐλόγησον. Εἰ δὲ καὶ διδασκαλίαν ἐν τοῖς ἄρτι στυλίταις ἐπιζητοίη τις, πρόφασις τῷ ἰδιώτῃ στυλίτῃ γίνεται τοῦ μὴ ἔχειν λαλεῖν, ἢ καταπνέων ἄνεμος λιγυρὸς καὶ σκεδάζων τὸ τῆς φωνῆς ἔναρθρον, ἢ ἀσκητική τις ἰσχνότης, δι' ἣν στενοχωρεῖται ἡ λαλιά. Τῆς δὲ κατὰ θεωρίαν ἀρετῆς οὕτω διεκπίπτων, ὅμως τὴν κατὰ χεῖρα κερδῷαν πρᾶξιν εὖ μάλα ὁ τοιοῦτος κατορθοῖ, δι' ἧς ἀνιμᾶται τὴν κάλαθον, ὅτε κατ' αὐτῆς κέρμα κτυπήσει. Καὶ τοιαῦτα μὲν αὐτῷ τὰ ἐν τῷ φανερῷ· τὰ δὲ ἐντὸς οἶδεν ὁ τὰ ἐν κρυπτῷ βλέπων πατήρ. Οὕτω δὲ ἔχοντες οἱ ἀνατεταγμένοι, τὰ τέκνα τῆς ὑποκρίσεως, οἱ μιμηταὶ τοῦ δαίμονος (τὰ γὰρ λοιπὰ τῶν κατ' αὐτοὺς ὑποκρίσεων εἴδη οὐκ ἄν, οὐδὲ εἰ μυρία κάμοι τις γράφων, δύναιτο περιηγήσασθαι), παράγουσι τοὺς ἁπλουστέρους εἰς πλατεῖαν

κατάγνωσιν τῆς μοναχικῆς βιοτῆς, καὶ γίνονται ὑπόδικοι τῷ θεῷ βαρείας κολάσεως, ὅτι δι' αὐτοὺς βλασφημεῖται ἡ πρὸς μίμησιν αὐτοῦ ἁγιωτάτη πολιτεία, οὐ μόνον ἐν ἔθνεσιν, ἀλλὰ καὶ ἐν τῇ Χριστιανικῇ ὀρθότητι.

39. *Ἔχομεν ἤδη ἀμυδρῶς ὑποκρουσάμενοι καὶ ἐμφήναντες, οἱ ἀδελφοί, ὁποῖόν τι κακὸν ἡ ὑπόκρισις, τὸ τοῦ κακοῦ ψεύδους ἁδρὸν τμῆμα, ἡ ἐκτροπὴ τῆς ὀρθότητος, ἡ ἀχρειοῦσα τὸν ἀληθῆ ἄνθρωπον, τὸ ἀγεννὲς τῆς ἀρετῆς ὑποκόρισμα. Φεύγοιμεν οὖν αὐτὴν οἱ τῆς ἀληθείας θεραπευταί, εἰδότες, μηδὲν κοινὸν ἀληθείᾳ καὶ ψεύδει, ᾧ συνδυάζεται φαύλη σύνοικος, ἡ ὑπόκρισις, πολυτεκνοῦσα ἐν κακοῖς· ἣν οὐδὲ ἐπ' ἐχθροῖς ἐνδείκνυσθαι ὅσιον τούς γε ἀγαθοὺς Χριστιανούς. Εἰ γὰρ καὶ οὐ παῤῥησιάσεταί τις, ἐφ' οἷς ἐχρῆν, πρὸς τὸν ἐχθραίνοντα, οὐδὲ δικαιολογήσεται, εἰπεῖν δὲ τὸ ὅλον, οὐκ ἐπαληθεύσει, παραδεικνὺς ἑαυτὸν ἐφ' ἅπασιν, ἀλλ' αὐτὸ οὐχ ὑποκριτική ἐστι μέθοδος, δεινότης δὲ γεννῶσα φρόνησιν, καθ' ἣν στοχαζόμενός τις ἐναρέτως ἐν δέοντι καιροῦ καὶ προσώπου καὶ λοιπῆς περιστάσεως, κατακαλύψει μὲν καὶ κρύψεται τὸ ἐπερχόμενον τῷ στόματι, λαλήσει δὲ τὰ πρόσφορα, μετροῦντος τὸν λόγον αὐτῷ καὶ ἀκριβοῦντος καὶ τάττοντος καὶ πρὸς οἰκονομίαν σοφίζοντος τοῦ μεγάλου διδασκάλου θεοῦ, ᾧ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*

Εὐσταθίου μητροπολίτου Θεσσαλονίκης πρὸς τοὺς ἐπεγκαλοῦντας αὐτῷ μνησικακίαν, εἴποτε ἀναμνησθείη, κακώσεως γενομένης ποθὲν αὐτῷ.

1. *Σοφόν τι χρῆμ' ἄνθρωπος. Παλαιᾶς τουτὶ μούσης γνωμάτευμα, ἐφ' οἷς ὑφαντικὴν ἐκείνη ποικιλίαν ἐθαύμασεν· ἐκεῖθεν δὲ λόγῳ παραποιήσεως ἀναπέφηνε τὸ σοφόν τι χρῆμα ζωγράφου χεῖρα εἶναι. Καὶ καλὰ μὲν καὶ ἄμφω ταῦτα καὶ οἷα προστίλβειν χρυσεόν τι, ἔνθα προγράφονται, καὶ τηλαυγὲς τιθέναι τὸ τοῦ ἔργου τοῦδε πρόσωπον. Χρὴ δὲ πρός* (Ms. fol. 74. b.) *γε τοὺς ἁπλοϊκωτέρους ἀκροωμένους προς || τεθεῖσθαι, ἢ γοῦν ἀλλὰ προσεπινοεῖσθαι τὸ τεχνικὸν ἐν ἀμφοῖν· Σοφόν τε γὰρ χρῆμα ποικιλτὴς ἄνθρωπος, πρὸς τέχνην ὑφαίνων τὰ πρὸ χειρῶν, ὅπερ ὁ ἐξωτερικὸς εἰπεῖν βούλεται· καὶ ζωγράφου δὲ χρὴ σοφόν τι χρῆμα, εἰ μὴ ἄρα τῇ τῆς τέχνης ἀρετῇ ψεύδοιτο παραγράφουσα.*

2. *Ὅτι γοῦν καὶ ἡ καθ' ἡμᾶς πάμφορος πόλις αὕτη γραφέων εὐπορεῖ, οὐ πάντων πρὸς τέχνην, ἀλλά που καὶ φαύλως γραφόντων ἀνθρωπικοὺς χαρακτῆρας καὶ ἀχρειούντων, καὶ ἄλλας μὲν εἰκόνας, ἐν δὲ καὶ ταῖς τὴν ἡμετέραν, ἥκω μεταγράψων τὴν γοῦν αὐτὸς ἐμαυτοῦ, πρὸς ἀρχετυπίαν ἀκριβῶς ἔχουσαν. Καὶ τοῦτο οὐ πρὸς φιλαυτίαν (τί γάρ μοι μέλον σκιαγραφίας, εἰ ψεύδοιτο μὲν τὸ στερέμνιον, βλάπτειν δὲ λέγει οὐδέν;), ἀλλ' ἵνα μὴ παραβλέποντες οἱ τὰ ἡμέτερα ζωγραφοῦντες, καὶ εἰς λοιπὴν ἀτεχνίαν ἐκπίπτοιεν· ὅπερ εἰςμάλιστα δάκνει με, εἴ περ ἄλλως πεπαιδευμένοι τὰ εἰς τὴν γραφικήν, καὶ τρανὲς δὲ ὡς ἑκάστοτε βλέποντες οὐ βλέπουσι, καὶ τοιαῦτα πρὸς ἀκρίβειαν, καὶ νοοῦντες ἐκβαίνουσιν εἰς ἀλλόκοτον.*

3. *Ἐξενίκησε δέ με, καὶ εἰς τόδε ἀντιγραφῆς παρήγαγεν, ὅτι μὴ μόνον ἐν τῇδε τῇ πόλει τὴν εἰκόνα ἡμῶν, τὸ Δαυϊτικὸν εἰπεῖν, ἐξουδένωσαν οἱ εἴτε γράφοντες, εἴτε διαγράφοντες ἡμᾶς, ἀλλὰ τὴν φαυλεπίφαυλον αὐτῶν εἰκόνα, καθ' ἣν ἡμᾶς οὐκ ἀνεστήλωσαν, λέγω, ἀλλ' ἐστηλίτευσαν, ἕως καὶ εἰς τὴν μεγίστην τῶν πόλεων περιήγαγον. Ἔστι δὲ τὸ τούτων δείκηλον· μνησίκακος ἀνήρ, ἐπιγεγραμμένος εἰς ἀρχιερέα Θεσσαλονίκης τὸν ἄρτι. Πρὸς ὃ δὴ βρέτας (παικτέον γάρ τι κατὰ τῆς φαύλης τέχνης) τὰ πρῶτα μὲν ἐντρανίσας ἐγέλασα· εἶτα συναγαγὼν ἐμαυτὸν εἰς νοῦν, καὶ ἐθαύμασα, ὅπως ὁ παναίολος χρόνος παράγει μὲν καὶ τὰ καινοφανῆ, γεννᾷ δὲ ὅμως οὐκ ὀλίγα ὡς οἷον ἐν ἀνακάμψει καὶ πρὸς παλαιὰς ὁμοιότητας, καὶ αὐτῶν τὰς μὲν οἵας ἐπαινεῖσθαι, τὰς δὲ λήθης ἐσχάτης ἀξίας. Καὶ ἅμα ἐνενοησάμην τὰς τῶν ἀποκαταστάσεων θρυλλουμένας πεντακοσιοστύας, ὧν ἔργον φασίν, ἐπεὶ παραδράμοιεν, ἐπανατρέχειν εἰς τὰ φθάσαντα ὡς οἷα καὶ παραδείγματα, καὶ ποιεῖν αὖθις ἀγαθά τε καὶ κακὰ ἐκεῖνα, ὅσοις ὁ προλαβὼν τῶν πεντακοσίων ἐτῶν ἑλκυσμὸς ἐνδιέτριψε.*

4. *Χρόνος οὖν πάλαι ποτὲ διέβη, καθ' ὃν ἄλλα τέ τινα φαύλως ἐθεωρήθησαν, καὶ τὸ σύννουν δὲ καὶ φυλακτικὸν ἑαυτοῦ, καὶ μὴ ῥᾳδίως τοῖς βλάπτεσθαι ἐθέλουσιν ἀναχρωννύμενον, εἰς οὐκ ἀγαθὸν ἐνεγράφη τοῖς γε παραθεωροῦσι. Καὶ δὴ καὶ νῦν χρόνος οὗτος ἐξεφάνη, γράφων εἰς χαρακτῆρα ὅμοιον καὶ ἡμᾶς, ὅτι προσέχομεν ἡμῖν αὐτοῖς καὶ σκεπτόμεθα, μὴ βαλλώμεθα, καὶ φυλαττόμεθα τὰ τῆς διαβολῆς ἀμφίβληστρα, καὶ ἀνακαθαίρομεν, εὐθετίζοντες τὰ πτερά, εἴ πως, ὧν πεπειράμεθα, παγίδων ὑπερπετόμενοι σῳζοίμεθα.*

5. *Φέρε δὴ χρώματα τρίψας, δι' ὧν ἔχοιμι ἂν ἐμαυτὸν μεταγράψαι εἰς ὅπερ εἰμί (οὐ γὰρ λανθάνομαι*

κατόπτρῳ κεχρημένος, ἐν ᾧ χαρακτὴρ ἐμὸς ἐμφαίνεται, ὃν ἡ ψυχὴ ἑκάστων γράφουσα ἐν τῷ βάπτειν εἰς συνείδησιν προΐστῃ, ὥστε καὶ ἄλλοις βλέπεσθαι, καὶ διακρίνεσθαι τὰ κατ' ἦθος, καὶ οὕτω περιποιεῖσθαι μὲν τὰ ὀρθῶς ἔχοντα, διορθοῦσθαι δὲ τὰ ὡς ἑτέρως ἐκπίπτοντα), διακριβώσομαι τὸ ἐμὸν παρὰ τοῖς ἐνταῦθα εἰκόνισμα, τὰ μὲν ἄλλα πάνυ ἀπηκριβωμένον || Ms. fol. 75. a. κατὰ τοὺς ἐμὲ πρὸς ἁμαρτίαν γράφοντας (φαίνω γὰρ ἰδοὺ ἐμαυτὸν ἄλλως μὲν ὁτιμάλα διεστραμμένον, καὶ ἀγαθῷ μηδενὶ ἐλλαμπόμενον εἰς εὐπρόσωπον)· τὸ μέντοι μνησίκακον ἐς τὸ πᾶν διαγράφω, καὶ ἐξαλείφω τῆς εἰκόνος, ἣν ἀνέστησάν μοι τὰ καλὰ τέκνα τῆσδε τῆς πόλεως.

6. Οὕτω δή μοι προθεμένῳ σκοπόν, μεταχρῶσαι τοῦτό γε τὸ μέρος τῆς κονίας, ἣν οἱ δεινοὶ ζωγράφοι τῷ ἐμῷ χαρακτῆρι προσέπλασαν, θεωρητέον ἂν εἴη πρὸ τῶν ἄλλων, δι' ὧν ἐκεῖνο τὸ τῆς εἰκόνος ἁμαρτωλὸν ἐπιτυχίαν εὑρήσει, ὅτι οὐ πάντως, οὐδὲ ἐξ ἀνάγκης ταὐτόν, πρὸς ἔννοιαν συνθέτως τε προσενεγκεῖν ὀνόματά τινα, καὶ αὖ πάλιν ἐξαγγεῖλαι κατὰ παράθεσιν. Ἀλλ' ὥσπερ οὐκ εἰς ταὐτὸν ἀεὶ νοήματος ἔρχονται λέξεις ἀφωρισμέναι ἰδίᾳ καὶ αὖθις παρατιθέμεναι (οὐ γὰρ δήπουθεν καταμόνας γραμματεύς τις λεγόμενος, καὶ αὖ πάλιν ἰδίᾳ ταχύς, ἤδη καὶ γραμματεὺς ταχὺς ἀναγκαίως ἐκβαίνει· οὐδ' ἂν ὁ καὶ ἱππεὺς ἁπλῶς, καὶ κατ' ἰδίαν ἀγαθός, ἤδη καὶ εἰς ἀγαθὸν ἱππέα κατ' ἀνάγκην συνδραμοῦνται), οὕτως οὐδ' εἰς ταὐτὸν ἄγεται σκιαμαχεῖν εἰπεῖν, ὑφ' ἓν ἀγαγόντα ῥῆμα τὸ τῆς σκιᾶς καὶ τῆς μάχης ὄνομα, καὶ αὖθις τὸ ὑπὸ σκιᾷ μάχεσθαι· ἀλλὰ τοῦτο μὲν καὶ εὐτυχεῖται καὶ ποθεῖται, ὁ δὲ σκιαμαχῶν εἰς ψόγον ἀποτάσσεται, ὃν οἶδεν ἡ παροιμία εἰς ταὐτὸν ἥκοντα τῷ ἀέρα δαίροντι. Οὕτω δὲ καὶ τὸν μὲν χειροδίκην ἡ συνθετικὴ κόλλησις τῆς τε χειρός, τῆς τε δίκης, ψεκτικῶς παραδειγματίζει· τὸν δὲ ἐν χεροῖν τὴν δίκην ἔχοντα ἐπαίνοις ἀποκληροῖ. Τὸν ὅμοιον τρόπον σκηπτοῦχος μὲν κατὰ συναίρεσιν λέξεων ὁ βασιλεύς· σκῆπτρον μέν τοι διαλελυμένως ἔχει καὶ ὁ ἐν Ἰθάκῃ ῥικνὸς καὶ ῥυπαλέος ἐπαίτης Ὀδυσσεύς. Οἴδαμεν ἀνδράποδα μὲν τὰ δοῦλα πρόσωπα· διαλύσας δέ τις τὴν λέξιν, καὶ ἀνδρῶν πόδας εἰπών, δραπέτας ἐντεῦθεν εὗρε τοὺς δούλους. Καὶ μὴν βοηλατεῖ μέν τις γεωργοῦ δίκην· βοῦς δὲ ἐλαύνει ὁ ληϊζόμενος. Καὶ φίλος μὲν καλὸς ἀρετὴν ἔχει· ὁ φιλόκαλος δὲ ἀλλοῖός τέ ἐστι κατὰ νοῦν, καί ποτε καὶ κακίαν παραφαίνει, ὁποίαν καὶ λέγειν ὀκνοῦσιν οἱ σώφρονες. Καὶ καλὰ μὲν σφυρὰ ἐπιπρέπει καὶ ἀνδράσιν, ἡρωϊκῶς ἀνδριζομένοις, ὅτε διΐστανται· ἡνωμένα δὲ εἰς ἓν γυναῖκα κοσμοῦσι τῷ καλλισφύρῳ. Ἱερᾷ δουλίᾳ βαρύνεταί τις, καὶ ἔστιν ἱεροπρεπής· ὁ δὲ συντεθειμένος εἰς ἱερόδουλον οὐ πάνυ ἐκπρέπει. Θερμὸν ἔργον δρᾷ ὁ αὐθαδιζόμενος· θερμουργεῖ δὲ κατὰ θέσιν ὁ ἀνδριζόμενος. Δοκεῖ ταὐτόν τι λαλεῖσθαι διὰ τοῦ ἀρτιεποῦς καὶ τοῦ ἄρτια βάζοντος· ἀλλ' ὁ χρησάμενος τὸν μὲν διαλελυμένον εἰς τὸ βάζειν ἄρτια ἐπαινετὸν οἶδε, ψέγει δὲ τὸν ἀρτιεπῆ ὡς ἐπίκλοπον. Οἱ δὲ τῆς τοιαύτης μεθόδου πατέρες, οἷς ἑτεροιότης || Ms. fol. 75 b ἐν διαλύσεσι λέξεων, καὶ αὖ πάλιν ἐν συνθέσεσι τῶν αὐτῶν πεφυλλοκρίνηται, οὔτε τὸν πατροτύπτην εἰς ταὐτὸν ἄγουσι τῷ τύπτοντι πατέρα, εἴγε πατροτύπτης μὲν ἐν εἴδει κακίας, ὁ καὶ πατραλοίας· πατέρα δέ τις ἔτυψέ που καὶ ἀγνοῶν. Οὐδὲ μὴν τὸν ἱματοπώλην καὶ τὸν πωλοῦντα δὲ ἱμάτιον ξυνάγουσιν εἰς ἔννοιαν ἰσοδύναμον, οἷα τὸ μὲν ἱματιοπωλεῖν εἰς τέχνην ἀφορίζοντες, πωλεῖν δὲ ἱμάτιον εἰδότες καὶ τὸν εἰσάπαξ τὸ τοιόνδε χειρισάμενον.

7 Φημὶ δὲ οὖν, οὕτω πως διαφέρεσθαι πρὸς ἄλληλα τήν τε καθ' ἓν ὄνομα μνησικακίαν, καὶ τὸ ἐν διχασμῷ φράσεως μεμνῆσθαι κακοῦ. Μνησικακεῖν μὲν γὰρ οὐκ ἄν ποτε λέξῃ τις χρηστολογικῶς, οὐδ' εὐλογοῖτο ἂν ὑπ' οὐδενὸς ὁ μνησίκακος· κακοῦ δὲ μεμνῆσθαι τινά, οὐκ ἀνάγκην πᾶσαν ψέγεται. Καὶ δῆλον ἐκ τοιῶνδε τινῶν ἐγχειρήσεων. Κακίας ἁπάσης σκοπὸς τῆς κατ' ἦθος, καταχαυχᾶσθαι μὲν ἀνθρωπίνης ψυχῆς, καὶ ἐθέλειν ἐπεμπηδᾷν αὐτῇ πρὸς κάκωσιν, ἐξ ἧς καὶ φερωνυμεῖται· οὐ μὴν καὶ δύναμις αὐτῇ ἐξανύειν, ὅπερ προτίθεται, εἰσαεί. Τῶν γάρ τοι σπουδαιοτέρων καὶ πεπαιδευμένων ἀνθρώπων τοῖς μὲν οὐδὲ τὴν ἀρχὴν προσβάλλειν θαῤῥεῖ, τὰ τοῦ πνεύματος ὑποστελλομένη ὅπλα, οἷς πυκάζεται ὁ κατ' αὐτῆς στρατιώτης. Τοῖς δὲ ἐντρέχει μὲν πρὸς ἀναίδειαν, καί που καὶ ἐν χρῷ μάχης γίνεται· ἀποκρούεται δὲ ὅπλοις ἁγιότητος, ποτὲ μὲν εἰς λίαν ταχύ, ποτὲ δὲ καὶ μετὰ πληγήν, εἴτε πληγάς, ἃς ὁ ὀρθὸς λόγος ἔν γε τοῖς πειθομένοις τὰ εἰς ἰατρείαν ἤπια φάρμακα ἐπιπάσας ἐθεράπευσε.

8. Τοιοῦτον δὴ καὶ ἡ μνησικακία. Οὖσα κακία γάρ, καὶ κακιῶν ἡ χειρίστη, πολλοὺς μέν, οἳ πάλαι κατέστρωνται εἰς πλάτος ἱστορικόν (τοὺς γὰρ ἔξω που βίβλων κειμένους, καὶ ὡς εἰς πλῆθος ἄμμου κεχυμένους, οὐκ ἂν μετρεῖν ἔχῃ τις), ἐλόχησε, καὶ ὑφερπύσασα ἐς ψυχήν, καὶ λαθοῦσα τὴν ὕφεσιν, ἐξέπιεν αὐτῆς ἅπαν τὸ ζωτικόν καὶ εἰς θάνατον ἐκτήξασα, τοῦ τε σώματος παρείλετο, καὶ τὴν ὑπὲρ τὸ σῶμα ἐς



χάος ἔῤῥιψεν. Οὐ γὰρ ἂν εἴπῃ τις, ὡς τὸ μνησικακεῖν ψυχὴν μὲν ἔχει βλάπτειν, σωμασκεῖ δὲ ἄλλως τὰ ἔξω· ἀλλὰ μετὰ τὸν φθόνον, ἢ καὶ κατ' ἐκεῖνον, καὶ τοῦ σώματος ἀφαιρεῖται· καθὰ καί τις κλέπτειν προθέμενος οὔτε τὸν οἰκοδεσπότην ἀφίησι χαίρειν, καὶ τὸν οἶκον δὲ ὑφάψας ἀπήγαγε.

9. Καὶ τοιοῦτον μὲν ἡ μνησικακία, καθὰ καὶ πᾶσα κακία, δάκνουσα μὲν ὀξεῖ καὶ κύων τινάς, εἰ μὴ αὐτὴν ἐκφοβοῖεν· σοβουμένη δὲ εἰς τὸ παντελές, εἴ τις ἀπεναντίας ἵσταται πρὸς αὐτήν. Ἀνθίσταται δὲ πάντως ὁ περιορῶν τὰ κατὰ βίον ἅπαντα, καὶ μήτε ἐκ τῶν κατὰ ῥοῦν φέρεσθαι μαλακῶς ἔχων, καὶ εἰκῇ τοὺς οἴακας, ὅπως ἂν καὶ τύχοι, διασαλεύων, μήθ', ὅτε ἀνάῤῥουν αὐτῷ χωρεῖ τὰ πράγματα, τὴν εὔροιαν ἀποβιαζόμενος καὶ ἀπομαχόμενος εὐπλοεῖν· ἀλλὰ πάντα κάλων καὶ πᾶσαν τέχνην ζωῆς ἀνάπτων εἰς τὸν μέγαν κυβερνήτην θεόν, οἷα καὶ δῶρον ἐξ ἐκείνου λαχὼν τὸ ἐπαμφοτερίζον τῆς προαιρέσεως. Καὶ εἰ μὲν βούλοιτο θεός, καὶ αὐτὸς μεθέξει γινόμενος, οἷς ἀνατρέχει πρὸς ἐκεῖνον, ἀποματτόμενος τὰ ἐκείνου καλά· εἰ δὲ μὴ ἐθέλει, διεκπίπτων || (Me. fol. 76. a.) ἀλλοῖος, ὡς ἡ προαίρεσις ἑτεροιουμένη διέκρινε.

10. Καὶ οὕτω μὲν δύναταί τις ἢ μνησικακεῖν, εἴπερ αἱρεῖται, ἢ ἀμνησικάκως ἔχειν, εἰ προέλοιτο. Κακοῦ δὲ μεμνῆσθαι τῇ μελέτῃ μὲν καὶ τῇ προθέσει καὶ προαιρέσει καὶ ἐφέσει καὶ σπουδῇ, καὶ εἴ τι τοιοῦτον ἐστὶν εἰπεῖν, ἰσχὺν ἔχει ὁ μὴ πάνυ κακὸς ἄνθρωπος. Φύσει μέντοι οὐκ ἂν δύναιτό τις, τέλειος ὢν τὴν ἀνθρωπότητα, καὶ μνήμην πλουτῶν καὶ ἀνάμνησιν. Μυρίοις γὰρ συμπτώμασιν αἱ τῶν κακῶν μνῆμαι εἰς ψυχὴν παρεισδύονται, ἀπευχομένου μέν, ὡς εἰκός, τοῦ καλοῦ ἀνθρώπου, κακοῦ μνήμην ἀναβῆναι εἰς τὴν καρδίαν αὐτοῦ, μὴ ἔχοντος δὲ βοήθειάν τινα ὀχυρὰν προβαλέσθαι, δι' ἧς τὴν τοιαύτην ἀνάβασιν ἀποκρούσεται.

11. Εἰ τοίνυν μνησικακίας μὲν πόλεμον ἔστι διακρούεσθαι, εἴ τις ἐς τοῦτο κατὰ σπουδὴν ὁπλίζοιτο, κακοῦ δὲ μὴ μεμνῆσθαι, εἴτ' οὖν ἔκ ποθεν κακώσεως, οὐδ' ἂν ἐθέλων τις εἰς τέλος δύναιτο· τί δήποτε τὸν ἐνθυμούμενον ἔκ τινος περιπετείας, ὅτι κακόν ποθεν πάθοι, ἐς μέμψιν μνησικάκου συντιθέαμεν; καὶ ταῦτα γνόντες, ἤδη παχὺ μεσότοιχον κεῖσθαι, ᾧ διΐστασθον τὸ μνησικακεῖν καὶ τὸ μεμνῆσθαι κακοῦ ἢ κακώσεως. Ἔτι διατί κακὸν μέν, ὃ μήπω πάθοι τις, ἀλλ' ἐν τῷ μέλλοντι κεῖται, ὑφορώμενος καὶ πτοούμενος καὶ φυλαττόμενος, οὐ λογίζεται εἰς ἁμαρτωλὸν ἄνθρωπον; Κάκωσιν δὲ ἀναπολῶν, ἧς πεπείραται, καὶ αὐτὸ κατά τινα τύχην χρώζεται εἰς ἁμαρτητικόν; Καὶ μὴν ἄμφω ψυχικῆς φαντασίας, ὅσα καὶ μητρὸς ἀποτίκτονται. Ταύτης γὰρ καὶ ἡ ἐπὶ τῷ μέλλοντι προμήθεια, καὶ ἡ τοῦ παρῳχηκότος ἀναπόληψις. Ἔτι, ᾧ μέμνηταί τις εὐεργεσιῶν, ἐκείνῳ μνήμην ἔχει καὶ κακώσεων. Μέμνηται δὲ ἀμφοῖν τῇ ψυχῇ. Ἀφαιρετέον ἄρα ψυχῆς τὸν τούτοιν ἐπιλησόμενον, καὶ μεταπλαστέον οὕτως εἰς ἄψυχον.

12. Εἰ δέ τις φιλοκαλῶν ἑαυτὸν εἰς ἀντιλογίαν ἐρεῖ, ὥςπερ δὴ τῇ τοῦ εὐεργετεῖσθαι μνήμῃ συνεκτρέχει τὸ ἀντευεργετεῖν, οὕτω δὴ καὶ τῇ μνημοσύνῃ τοῦ κακοῦσθαι συμπαρομαρτεῖν καὶ τὰ τῆς ἀντικακώσεως, κἀντεῦθεν συντρέχειν ἀλλήλοις τὸ μεμνῆσθαι κακοῦ καὶ τὸ μνησικακεῖν, λαλεῖ μέν τι παχυλῶς ὁ τοιοῦτος, οὐ μὴν λεπτότερον ἀκριβοῦν οἶδε, καὶ διάκρισιν ἢ κανόνα διαρθροῦν, ὅθεν ἐγκρίνονται μὲν τὰ εἰς ἀρετήν, ἀποκρίνονται δὲ τὰ εἰς φαυλότητα· οὐδὲ ἐμβαθύνει. Ὅμως ἐγκυμονοῦσιν οἷα καὶ μητέρες τινὲς αἱ ποιότητες. Εὐεργεσίας γοῦν μνήμη, ἀγαθὴ ποιότης οὖσα, ἡ μέν τις καὶ γεννᾷ ὅμοια, καθότι καὶ χάρις χάριν ἐστὶ τίκτουσα· ἡ δὲ ἐν μόνῳ τῷ ἐθέλειν ἐστίν, ὅτε ὁ εὐεργετηθεὶς κεναῖς χερσὶ διοικεῖ τὰ καθ' ἑαυτόν. Ἔστι δέ ποτε καὶ στειρεύουσά τις εὐεργεσία, ὁποία ἡ τῶν ἀχαριστούντων, τῶν ἐπαράτων, τῶν ἰουδαϊζόντων. Καὶ τὸ μὲν πρῶτον ἐν τούτοις ἐστὶ τὸ ἀντευεργετεῖν· δευτερεύει δὲ τὸ ἐν τῷ θέλειν, ὅτε μὴ ἔχει ἀποβαίνειν καὶ πρὸς ἐνέργειαν. Τὸ δὲ λοιπὸν καὶ τρίτον, τὸ μήτε ποιεῖν, μήτε ἐθέλειν, καί που καὶ αἱρεῖσθαί τι πρὸς βλάβην τοῦ εὐεργετηκότος, ὁ Ἰσκαριώτης ἀπεκληρώσατο.

13. Καὶ τοιαῦτα μὲν τὰ τῆς || (Me. fol. 76. b.) εὐεργεσίας, τῆς ἢ τικτούσης ἐς φῶς, ἢ ἐν σπέρματι καὶ μόνῳ θεωρουμένης, ἢ καὶ παντελῶς στερίφης, εἰ δ' ἄρα ποτὲ καὶ τέκῃ, μύλην ἀποτικτούσης, ἢ εἴ τί που ἄλλο τὴν ἀληθῆ ἐγκυμόνησιν ψεύδεται. Ἡ κακοποιΐα δὲ — ἀλλὰ καὶ αὐτὴ κατὰ λόγον, ὃν ἔχει καὶ ἡ εὐεργεσία, ἢ διὰ κακοῦ ἀναμνήσεως ἐρεθίζει τὸν πεπονθότα πρὸς ἄμυναν ἐνεργῆ· καὶ ἰδοὺ καὶ αὐτή, ὡς οἷα κυσαμένη, ἔτεκε μετ' ἰσχύος τὴν ἐκ τοῦ παθόντος ἀντικάκωσιν. Ἢ μιμνήσκεται μὲν καὶ ἐφίεται ἀμύνης· μὴ δυναμένη δὲ δρᾶσαι κάκωσιν, ἵστησι τὴν ἐπιθυμίαν ἐν τῷ βούλεσθαι, καὶ πέττει τὸν χόλον· καὶ τὰ κύματα θραύουσα, οὐκ ἐξαφρίζει εἰς θυμὸν ἀκρατῆ. Καὶ οὕτως ἐξ ἀναλόγου δευτερεύει, καθάπερ εὐεργετοῦντος ἀνδρὸς κατ' ἐνέργειαν ὁ ἱστάμενος ἐν μόνῳ τῷ ἐθέλειν εὐεργετεῖν, οὕτω καὶ τοῦ μνησικάκου ἐνεργοῦντος τὴν κάκωσιν ὁ ἐθέλων μέν, ἐπέχων δὲ εἰρέτι. Λοιπὸς δὲ καὶ τρίτος κἀνταῦθα, ὥσπερ ἐν τοῖς κατὰ εὐεργεσίαν

ὁ ἐπίῤῥητος καὶ ἐπάρατος (ὁ μήτε ἐνεργῶν τὰ εὐεργετικά, μήτε μὴν αἱρούμενος, ἀλλὰ καὶ προςεπιβλάπτων), οὕτω καὶ ἐν τοῖς εἰς κάκωσιν ὁ ἄλλως ἐξ ἐναντίου καὶ ἐπαίνων ἄξιος καὶ εὐχῶν, ὁ μετὰ κάκωσιν δηλαδὴ ἐφθακυίαν μήτε ἐνεργήσας τὰ εἰς ἄμυναν, μήτε μὴν ἐθέλων, ἀλλ', εἴ ποτε καὶ μεμνῴτο, χοῦν τῷ κακῷ ἐπιφορῶν, καὶ εἴ τί που ἐξοζέσει κακίας, χωννύων αὐτὸ εἰς λήθην, καὶ μυσαττόμενος καὶ τὴν μνήμην αὐτήν.

14. *Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει* (ἔχει δὲ πάντως οὐκ ἄλλως), ἔσφαλται ἄρα τοῦ εἰς ὀρθὸν βαίνειν ἀληθείας ὁ τὸ μ ε μ ν ῆ σ θ α ι κ α κ ο ῦ εἰς ταὐτὸν ἄγων τῇ ἁμαρτάδι τῆς ἀντικακώσεως. Δῆλον γάρ, ὡς οὔτε ὁ μνήμην εὐεργεσίας ἀναλαβὼν πάντη πάντως εὐεργετεῖ, οὐδὲ μὴν ὁ κακώσεως μνησάμενος, ἤδη καὶ εἰς βόθρον τοῦ ἀντικακῶσαι ὤλισθε.

15. *Κεφαλαιώσασθαι δὲ τὸ χῦμα τοῦ τόπου τοῦδε*· μεμνῆσθαι μέν τινος ἀγαθύνοντος καὶ αὖ πάλιν κακοποιοῦντος ἀντικειμένως ἔχουσιν, οὕτω δὲ καὶ τὸ εὐεργετεῖν· ὃ δή τινες οἴονται μνήμης ἀγαθῆς ἀποτέλεσμα, καὶ τὸ κακοποιεῖν δέ, ὅπερ οἱ νοεῖν δεινοὶ τόκον οἴδασι τοῦ μνήμην ἀπόθετον ἔχειν κακώσεως, εἰς ἀντίθεσιν ἀσύμβατον ἀφορίζονται· πρὸς δὲ τούτοις καὶ τὸ ἐθέλειν μὲν εὐεργεσίαν ποιεῖν, μὴ ἐξισχύειν δέ, καὶ πάλιν ἑτέρωθεν τὸ βούλεσθαι μὲν ἀντικακῶσαι, μὴ ἔχειν δέ, καὶ ταῦτα εἰς μοῖραν ἀντίπαλον ἰδιάζουσι. Καὶ εἰσὶν ἀγαθῆς μὲν συστοιχίας τὸ μεμνῆσθαι ἀγαθοποιΐας, καὶ τὸ δι' αὐτὴν εὐεργετεῖν· καὶ τρίτον τὸ ἐθέλειν, εἰ καὶ μὴ αἱ χεῖρες δύνανται συνεπιλαμβάνεσθαι. Τῆς ἑτέρας δὲ φατρίας, ὅση λογίζεται εἰς ἐναντίωσιν, τὸ βαρέως μεμνῆσθαι κακώσεως· καὶ δεύτερον εὐθύς, τὸ δι' αὐτὴν αὐτίκα εἶναί τινα κακωτικόν· καὶ ἐπὶ δυσὶ τούτοις τὸ προαιρεῖσθαι μέν, ἀτυχεῖν δὲ ὁποιςοῦν τὴν προαίρεσιν. Καὶ οὕτω μὲν τῶν ἑκατέρωθεν βαθμίδων αἱ ὑψηλότεραι, ἡ μὲν εὐκταία κατ' ἀρετὴν τοῖς προςβαίνουσιν, ἡ δέ, ὁποίαν ἀπεύχεται ὁ φρονῶν, ἔσχατον αὐτὸς βαθμὸν αἱρούμενος, ἥπερ ἀναβαίνειν, ὅθεν ἔστι κατακρημνισθῆναι εἰς ὄλεθρον· οἱ μέντοι τούτων πυθμένες ἀνάπαλιν ἔχουσι. Καὶ τὸ μὲν ἔξω μνήμης βάλλειν τὸ εὐεργέτημα, καὶ ἀχάριστον εἶναι, καί που || (Ms. fol. 77. a.) καὶ δυσνηρῶς ἐμφύεσθαι τῷ εὐεργετηκότι, ὡς καὶ ὑποτρώγειν ἐθέλειν τῶν αὐτοῦ σαρκῶν, ὃ δὴ καὶ κάτω ἔσχατον ὑποστάθμης λόγῳ ἐν τῇ ἐπαινουμένῃ συστοιχίᾳ ἔκειτο, φαυλεπίφαυλόν ἐστιν ὄντως καὶ μεμισημένον τῷ καὶ πρώτῳ καὶ μεγίστῳ διδασκάλῳ, οὗ τῆς μαθητείας ὁ νενοσηκὼς αὐτὸ Ἰσκαριώτης ἐξέπεσεν. Ἑτέρωθεν δέ γε τὸ μνήμην μὲν π[άσχε]ιν κακώσεως, ἀμελεῖν δὲ ἀντικακώσεως, εἰς ὃ δὴ περιέστη ὡς οἷα καὶ εἰς τρυγίαν τινὰ ἡ κακίστη συστοιχεία τοῦ μεμνῆσθαι κακωθῆναι, καὶ τῇ μνήμῃ ταύτῃ κακοποιεῖν, ἢ ἐθέλειν κακοποιεῖν, ἀρίστη τέ ἐστι, καὶ θεῷ φίλη, καὶ ἁμαρτιῶν ἐξαλειπτική, ὅτι καὶ αὐτὴ ἀπαλείφει τῆς ψυχῆς τὸ ἐν μὴ δέοντι ἀμυντικόν. Αἴτιον δὲ τοῦδε τοῦ συμπτώματος, ὅτι τὸ μὲν πάντη ἐπιλελῆσθαι ἀγαθοποιΐας ἐνήλλακται πρὸς τὰ ἀνωτέρω συστοιχοῦντα χρηστά, εἰς ὅσον ἄῤῥητον, καὶ διὰ τοῦτο μισεῖται, καὶ εἰς κακίαν ἀπογράφεται· τὸ δέ γε πόῤῥω βάλλειν τὸ ἀμυντικόν, καὶ ἐθέλειν μηδὲ μεμνῆσθαι, εἴ τί που πάθοι κακόν, εἰ δέ που καὶ μνησθείη, ἀποκλείειν τὴν ἐς ψυχὴν εἴςοδον τῇ ἀμυντικῇ κακοποιΐᾳ, τοῦτο τοῖς ἀνωτέρω δυσὶν ἁμαρτήμασιν ἐς τὸ παντελὲς ἀντιπίπτει, καὶ τὴν πρὸς αὐτὰ φατρίαν ἐκκλίνει· καὶ ἀποκληροῦσα ἐκεῖνα τῷ δαίμονι, οἰκειοῦται αὐτὴ τῷ θεῷ, καὶ εἰς ἀρετὴν ἀπολεπτυνθεῖσα κούφη πτερύσσεται πρὸς τὸν ὕψιστον.

16. *Καὶ ἔχει οὕτω φύσεως τὸ πρᾶγμα*, καθὰ καὶ φιλόσοφος οἶδε κανών. Δυοῖν γὰρ τούτοιν ἐναντίοιν, λήθης τε τοῦ ἀγαθύνειν, καὶ αὖ πάλιν ἐπιλησμοσύνης τοῦ κακοποιεῖν, ἐπεὶ τὸ ἕν, φαῦλον ὄν, ἔλαχεν ὑπὸ τὰ χρηστὰ πεσεῖν σύστοιχα, τὸ ἄρα λοιπόν, θεῖον ὄν, αὐτὸ τὴν ἑτέραν συστοιχίαν ὑπέδυ τὴν φαύλην. Καί πως ὁ μὲν μὴ βουληθεὶς συνιέναι τοῦ ἀγαθῦναι, κατὰ τὸν ψαλμῳδὸν εἰς ἄκανθαν λογίζεται λῃΐῳ παραπεφυκυῖαν εὐφόρῳ, τῷ κατὰ τὴν εὐεργετικὴν συστοιχίαν· ὁ δὲ μὴ ἀνταποδιδοὺς τοῖς κακώσασιν, εἰς ῥόδον ἐγκρίνεται, ὃ τὰς ἀκάνθας ἐκφυγὸν τοῦ μ ν η σ ι κ α κ ε ῖ ν ἀγαθὸν ἄλυπον πρόκειται. Οὐκοῦν καὶ ἔστι πρὸς ἀστειότητα φάναι, ὡς βαίνουσι, καλὸν μὲν ἐκεῖνο σῶμα, τὰ εὐεργετικὰ σύστοιχα, ὡς οἷα φαύλῳ ποδί, τῷ τοῦ ἀχαριστεῖν, κακὸν δ' αὖθις ἐκεῖνο, τὸ μ ν η σ ί κ α κ ο ν, ἀγαθῷ ποδί, ἐπεμβαίνειν ὀκνοῦντι πρὸς κάκωσιν. Φράσαι δὲ ἄλλως· παραπέπηγε κἀνταῦθα, ὥςπερ ἀρεταῖς κακία, οὕτω καὶ ἀρετὴ φαυλότητες. Μεμνῆσθαι μὲν γὰρ τοῦ εὐεργετήσαντος, καὶ μὴν ἀντευεργετεῖν κατὰ ἔργον, ἔτι δὲ καὶ ἐθέλειν εὐεργεσίαν ἀντιδοῦναι, συστοιχοῦσι κατ' ἀρετήν. Φαύλη δὲ προαίρεσις ἀνθρωπίνη παρέπηξε τούτοις δένδροις καλοῖς, φυτὸν φαυλότατον, τὸ ἀχάριστον, ὅπερ ἀποτίκτειν οἶδεν ἡ λήθη τῶν εὐεργεσιῶν.

17. *Καὶ οὕτω μὲν συστοίχοις ταύταις ἀρεταῖς* κακία μία παρυπέφυκε, βαρεῖα δ' ἑτέρωθεν μνήμη κακώσεως, καὶ ἡ ἐπ' αὐτῇ ἀντικάκωσις κακοποιῆσαι. Ἀλλὰ ταῦτα τρία κακὰ σύστοιχα παρὰ θύραν, ὅ φασιν, ἥκουσιν ἀρετῇ μιᾷ, τῇ τοῦ μὴ ἐθέλειν ὅλως μεμνῆσθαι κακώσεως· || (Ms. fol. 77. b.) ᾧ δὴ ἀγαθῷ ἐμαυτὸν ἐγὼ ἀποκληρῶ· καὶ

οὔτε ἂν εὑρεθείη κακοῦ κακόν τινι ἀνταποδούς (τοῦτο δὴ τὸ χείριστον), οὐδὲ μὴν ἐθέλων μέν, ἀδυναμίᾳ δὲ ἀπαιωρῶν τὴν ἄμυναν· ὅπερ ἀρετῆς ὑπόκρισιν ὑποβάλλειν βούλεται τοῖς μὴ ἐμβαθύνουσιν.

18. Εἰ δέ τις ἔχει λέγειν τοῦτο δὴ τὸ δημοτικόν, τὸ πόθεν ἄρα τοῦτό γε δῆλον; πρῶτα μὲν ἐπεξελθέτω, οἷς βεβιώκαμεν, ἐν οἷς οὐκ ἂν εὑρέσθαι δύναιτο τὸν ἐξ ἡμῶν πεπονθότα τι πρὸς ἄμυναν. Εἶτα καὶ τοῖς ἔναγχος ἡμετέροις ἐνδιατριψάτω παθήμασιν, ἐν οἷς οὐδεὶς ἤκουσεν ἡμᾶς ἀποπτύσαντός τι πρὸς βλάβην τῆς καθ' ἡμῶν διαβόλου γλώττης ἐκείνης, οὐδὲ ἐς τὸ τυχόν. Εἰ δ' ἀμφιβάλλει αὐτός, καὶ τί ἂν εἴχομεν ἀντιβλάψαι τὸν τῆς πνευματικῆς ἀγέλης ἀποσκιρτήσαντα ἐφ' ἡμετέραις κακώσεσιν; οἶδα μέν, ὅτι κερτομοῦσι πυνθανόμενοι, ἅπερ οἴδασι πρὸς ἀκρίβειαν. Εἰ δὲ καὶ ἐτεὸν ἀπὸ σπουδῆς, ὃ λέγεται, ταῦτ' ἀγορεύουσι, παραβαλλόντων ἐφ' ἡμᾶς ἡσυχαίτερον ἐπὶ μαθήσει· καὶ ἡμεῖς ἐξηγησόμεθα, ὁποίοις ἐνισχημένοι κακοῖς οὐκ ἐξελαλήσαμεν εἴς τε τὸν βλάπτειν ἐπὶ δικαίοις δυνάμενον.

19. Οὕτω δὴ καταστήσας τὰ εἰρημένα, ὡς οὐκ ἄν, οἶμαι, ῥᾳδίως ἀντιλογηθῆναι, λαλήσω καὶ ἄλλως περὶ ταὐτῶν ἐπιτομώτερόν τε καὶ σαφέστερον, δεικνύς, ὡς οὐ ταὐτά, μιμνήσκεσθαί τε κακοῦ καὶ μνησικακεῖν ἀγαθοποιΐας. Ὁ δεῖνα μέμνηται· ἀγαθὸς ἄρα ἐστί. Κακώσεως ἦλθε τινὶ μνήμη· ἄρα μνησίκακος ὁ ἀνήρ. Τίς ὁ τὸ πρῶτον εἰπών; τίς ὁ τὸ δεύτερον; Προβαλλέτωσαν ἑαυτοὺς εἰς μέσον, ἵνα καὶ γελῷντο εἰς ἐμφανές. Μέμνηταί τις οἴκου λαμπροῦ· οἰκοδόμος ἄρα ἐστίν, οἷς μέμνηται. Πλοίου μνήμην ἔχει, πρὸς τέχνην οἰακιζομένου, καὶ οὕτω παρακρουομένου τὰ πέριξ κύματα· οἰακοστρόφος ἄριστος ἄρα τῇ μνήμῃ ὁ ἀνήρ. Μέμνηται τοῦ φορτικοῦ Φαλάριδος· οὐκοῦν εἰ μέμνηται, τυραννεῖ. Μέμνηται, κατὰ κρημνοῦ πεσών τις καὶ ἐκτραχηλισθείς· πταίει ἄρα εἰς ἑαυτὸν ὁ ἄνθρωπος. Ἀνασκάλλει τῇ διανοίᾳ, κακὸς αὐτός ποτε γεγονώς, οἷς ἥμαρτε, καὶ τῇ μνήμῃ ἄχθεται· μνησικακεῖ γοῦν ἑαυτῷ. Οὔτε ἐκεῖνα σοφά, καὶ ταῦτα δὲ κωμῳδίας ἄξια· οἷς οἶμαι συντακτέον καὶ τό· μέμνηταί τις κακώσεως ὁπωσοῦν· ἔστιν ἄρα μνησίκακος.

20. Ἔτι ὁ τὴν μνησικακίαν ἀτέχνως μνήμην κακοῦ ἢ κακώσεως ἁπλῶς ὁριζόμενος, οὐ μόνον τὰ ἐς ῥητορείαν πλημμελεῖ, καίριόν τι μέρος τοῦ πανηγυρίζειν ἀπάγων αὐτῆς, τὸ ψεκτικόν (ὅπερ οὐκ ἂν συνίσταιτο, ἀπαγομένης ἐκ βίου τῆς τῶν κακῶν μνήμης)· ἀλλά γε καὶ τὸ δυνανίζειν παραγράφει, καὶ τούς τε ἄξονας ἀποξέει, καὶ τὰς κύρβεις ἀπαλείφει, καὶ τὴν ἀδικίαν παῤῥησιάζει. Αὐτὸς μὲν γὰρ οὐκ ἐθέλει, μνήμην εἶναι κακοῦ εἰς τὸ πᾶν. Τὸ δέ γε δικανικόν εἰσιν οἵπερ ὡρίσαντο, μηδὲν ἕτερον εἶναι, ἢ τό· ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερον χαλεπήνῃ, διὰ μνήμην πάντως κακοῦ ὑπάρξαντος· ἀτελῶς μὲν ἐκεῖνοι φάμενοι, οὐ μακρὰν δὲ σκοποῦ πάντη πεσόντες.

21. Χρὴ τοίνυν, ὡς ἔοικε, τοὺς δικάζοντας ἅμα ἐντρανίσαι κατηγόρῳ, καὶ ἐξαναστῆναι τοῦ θρόνου, καὶ ἢ ἀφεῖναι τὸ βῆμα καὶ ἀναχωρῆσαι, ἢ ἀλλὰ γράψασθαι μνησικακίας τὸν ἄνθρωπον, ὅτι μεμνημένος κακώσεως ἥκει λύσων κατὰ νόμου δίαιταν τὴν πλοκὴν τοῦ κακοῦ, καὶ διαστησόμενος εἰ|| ῥηνικῶς. Ms. fol. 78 a Εἰ δὲ καὶ παράγγελμα θεῖον ὑπόκειται, τυφθέντα τινὰ ἐς παρειὰν στρέψαι καὶ τὴν ἑτέραν, γένηται δὲ ἡ πρώτη πληγὴ οὕτω βαρεῖα, ὡς μηδὲ πλαγιάζειν ἔχειν τὴν λοιπήν, καὶ ὁ πληγεὶς εἰδὼς καὶ μνήμην ἔχων, ὃ πάθοι, οὐ στρέφει ἑαυτὸν καὶ εἰς ἕτερον πλῆγμα, ἤδη δὲ καὶ ὑποβρύχοιτο στενάζων τῷ βαρυαλγήματι· εἴπομεν ἂν ἐκεῖνον ἁμαρτωλόν, ὡς εἰδότα, ὃ πάσχει, καὶ οὕτω μνησίκακον; Γελοῖον τὸ πρᾶγμα καὶ ὁρισμός.

22. Ἔτι οὔτε ἀνήρ, ἐς τὴν ἔννομον συζυγίαν ἠδικῆσθαι εἰδώς, λάθοιτο ἂν τῆς οἰστροπλῆγος οἶμαι συννόμου, οἷα ἐκεῖνον διέθετο· ἐφ' οἷς καὶ φυλάττοιτο ἄν, μεμνημένος διὰ βίου παντός, μὴ καὶ ἀνακυκλήσασα ἡ κακία διαζεύξῃ τὴν καλὴν ἁρμονίαν. Οὔτ' ἂν διδάσκαλος, οὐδὲ μὴν οἰκοδεσπότης, κακοὺς ἐξευρηκότες, ὁ μὲν τὸν μυούμενον, ὁ δὲ τὸν τρεφόμενον, ἀμελοῖεν ἂν λήθης λόγῳ τῶν πλημμελούντων· καὶ οὐκ ἤδη οὐδ' αὐτοί, παρατριβομένου τοῦ κατὰ μνήμην χρώματος, γράφοιντο ἂν εἰς μνησικάκων εἰκόνας. Ἀλλ' ὁ μὲν ἔσται καλούμενος φιλοσύζυγος, ὁ δ' ἀγαθὸς διδάσκαλος, ὁ δὲ συνετὸς οἰκονόμος, ὧν οἰκοδεσποτεῖ. Τὸν δὲ ὅμοιον λόγον καὶ ὁδοιπόρος φαῦλον ὁδοῦ κοινωνὸν ἐξευρών, καὶ συχνὰ ὑφορώμενος τὸν ἄνδρα κατὰ μνήμην, ἐχέφρων ἂν καλοῖτο, καὶ οὐ μνησικακῶν. Ἔμπορος δὲ συλλαβόμενος μέτοχον, καὶ φωράσας ὑπούλως τὸ κοινὸν ἐκμυζῶντα, ἐλέγξει μὲν καὶ μέμψεται καὶ φυλάξεται· οὐκ ἂν δὲ εἰς μνησικακίαν ἀπάγοιτο. Οἴδαμεν τυμβωρύχους, καὶ μισοῦμεν ἀεί, καὶ ἐκκλίνομεν ὡς κακούς, καὶ οὐδ' ἂν παυσαίμεθα τοιοίδε ὄντες, ἕως ἂν ἐκεῖνοι τοιοῦτοι μένοιεν. Εἰ γοῦν τις ἐθέλει μνησικάκους λέγειν ἡμᾶς, τολμάτω καὶ λεγέτω καὶ γελάσθω. Ἡ δ' αὐτὴ καὶ ἐπὶ τῶν ἄλλων κακιῶν ἔφοδος. Κλέπτει γείτων· ὑποπτεύεται. Μνησίκακος ἄρα ὁ τὸν κλέπτοντα ὑπειδόμενος. Ἐφόνευσεν ἕτερος, ἱεροσύλησεν ἄλλος,

ὁ δέ τις ἐθεομάχησεν. Εἰ δὴ μισοῦνται, μνησικακοῦνται. Παραλογίζεται ὁ φρονῶν οὕτω, καὶ αὐτὸς ἑαυτὸν ἀπατᾷ.

23. Ἔτι εἴπερ τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη καὶ γνῶσις ἐστίν (ἔστι δὲ πάντως), εἴη ἂν ἡ αὐτὴ καὶ τοῦ εὐεργετεῖσθαι καὶ τοῦ κακοῦσθαι. Ὁ τοίνυν ἀξιῶν ἐκριζοῦσθαι παντάπασιν τῆς κατ᾽ ἄνθρωπον ψυχῆς τὸ μεμνῆσθαι, ὡς κακῶς ποθεν ἔπαθε, συνεκσπάσοι ἂν καὶ τὸ κάλλιστον φυτόν, τὴν τῶν εὐεργεσιῶν μνήμην, καὶ τὸν ἐν ἡμῖν ἐρημώσει παράδεισον· καὶ οὐκέτι ἄν τις εἰδείη αἰσθήσεσθαι, ὥςπερ τοῦ κακωθῆναι, οὕτως οὐδὲ τοῦ εὐεργετηθῆναι. Ἡ γὰρ αὐτὴ ἄμφω οἶδεν ἐξ ἀναμνήσεως. Εἰ δέ τις θατέρου μνήμην οὐκ ἔχει ἀναλαμβάνειν, οὐκ ἂν οὐδὲ τοῦ ἑτέρου. Καὶ οὕτως ἡ κατ᾽ ἄνθρωπον τελειότης ἐκλέλοιπεν.

24. Ἔτι τὸ μεμνῆσθαι κακοῦ εἰς πολλὰ ἐθέλει
Ms. fol. 78. b. ἀ||πλοῦσθαι· οὐ γάρ ἐστιν ἀσχιδές. Ἔχει τις μνήμην, ὡς νοσήσοι ποτέ (εἰ δή τι κακὸν ἡ νόσος) ὡς περιπέσοι μαινομένῃ θαλάσσῃ καὶ πειρωμένῃ κατασπάσειν πρὸς ᾅδην· ὡς πληγείη ξίφει πρὸς βαρεῖαν κάκωσιν, οὐκ ἀλλοτρίῳ, ἀλλὰ τῷ ἀνὰ χεῖρας ἔκ ποθι τύχης τινός· ὡς βαθεῖ βόθρῳ ῥιφεὶς ἐκ προσκόμματος· ὡς παρασυρείη ποταμοῖο ῥεύματι· ὁ τοίνυν τοιαῦτα παθών, εἴτε εἷς ἐκεῖνος, εἴτε πολλοί, οὐκ ἂν πάντως, εἰ μέμνηνται κακοῖς ἐγκύρσαντες, τῇ τοῦ μνησικακεῖν κατηγορίᾳ ὑποπεσοῦνται, εἰ μή τι ἀκύρως οἱ κακῶς ἀγορεύοντες ὀνομάζειν βούλοιντο. Οὐκοῦν ἀναλόγως ἐκ τοῦ αὐτοῦ τόπου οὐδ᾽ ὁ μνημονεύων, παθεῖν τι πρός του κακόν, κακολογοῖτ᾽ ἂν μνησίκακος, ἀλλά τις μνήμων, ὥςπερ, ἂν πεπόνθοι, κακῶν, οὕτω καὶ τῶν ἀνάπαλιν. Εἰ δέ γε καὶ ἄμυναν ἐκεῖνος μελετᾷ, καὶ τίσασθαι τυρεύει, καὶ κακὸν ἀνταποδοῦναι κακοῦ, ἐκεῖνό ἐστιν, ὦ οὗτοι, μνησικακεῖν.

25. Ἔτι ἐντεθησαυρισμένου τῷ κατὰ ψυχὴν ταμιείῳ θεόθεν καὶ τοῦ τῆς μνήμης καλοῦ εἰς μυρίαν εὐεργεσίαν, ἣν ἐκθέσθαι βιβλιογραφίας εἴη ἂν ἔργον μακρᾶς, τίς ἂν οὕτω κατεπιχειρήσοι στεγανῆς ταύτης ταμιειουχίας, ὡς ὀργάνῳ λήθης ἐξορύξαι τὸ φύλαγμα, καὶ ἀπώσασθαι μὲν τὸ καλὸν τῆς μνήμης πτερυξαμένης ἄνω που πρὸς Ὄλυμπον, ἀντεισαγαγεῖν δὲ τὴν κίβδηλον λήθην, τὴν τὸ καλὸν πλάσμα τοῦ θεοῦ ἀπανθρωπίζουσαν;

26. Ἐγὼ οὖν μεμνήμην, θεὲ σῶτερ, ἀεί· κεκλήμην οὕτω εἰδώς τε καὶ ἐπιστήμων, καὶ διακρίνειν μαθών, καὶ τὸ ὅλον εἰπεῖν, ἄνθρωπος· καὶ μὴ ἐκστραφείην εἰς λήθαργον, μηδὲ μεταπλασθείην εἰς μαμμάκουθόν τινα, ἢ μελιτίδην, ἢ τὸν ἕτερον Κόροιβον, ἢ εἰς πολύωρον· μηδὲ κορυζῴην, ὡς μηδὲν εἰδέναι κρίνειν, ἀλλ᾽ εἰς ἀνδρείκελον μεταπεπλάσθαι, καὶ τὸν λογικὸν ψεύδεσθαι. Δοίης δέ μοι πρὸς τῇ μνήμῃ τῶν ἐκ φύσεως καὶ τὸ μὴ κατεργάζεσθαι, μηδὲ εἰς κακοποιὸν ἄμυναν τρίβεσθαι, καὶ οἷον ἀπολεοντοῦσθαι κατὰ τῶν ἐχθρῶν, ἐρεθιζόμενον ὁποίᾳ καὶ ἀλκαίᾳ τινὶ ταῖς τοῦ θυμουμένου τῆς ψυχῆς ὑποκινήσεσι, δι᾽ ὧν θυμὸς ῥιπιζόμενος εἰς μέγα κακὸν ἀνάπτεται, καὶ αὐτὸ ἢ μονῆρες κατά τι ὕπουλον, ἢ καὶ ἐπαμφοτερίζον διὰ τὸ ἀντερείδειν φιλονεικότερον· καί με συντηροίης ἐν τῷ μὴ ἐθέλειν ἀνταποδιδόναι, καὶ συνετίζοις φυλάττεσθαι τοὺς κακοὺς καὶ ἐκκλίνειν, ὡς φεύγει τις ἀπὸ ὄφεως, μὴ καὶ ὡς ἔχιδναι ὑφειμέναι παρέρπωσι καὶ λήθωσι πίνοντές με καὶ κτείνοντες.

27. Ἔτι ὁ ἀξιῶν μηδαμῇ μηδαμῶς μεμνῆσθαι, εἴ τις ὅλως πάθοι||κακόν, κἀκεῖνα δοκεῖ προςαξιοῦν. Ms. fol. 79. a.
Ἐπικράνθης ἀψινθιζόμενος· οὐκοῦν περιτυχὼν μέλιτι ἐκλαθοῦ, εἰ πικρόν ἐπί σοι τὸ ἀψίνθιον. Νενόσηκας, ἀῤῥώστως παθὼν περί τι μέλος, καὶ ἤλγηκας· ἀλλ᾽ εἰς ὑγίειαν ἐπαναχθείς, μηκέτ᾽ ἐν θυμῷ ἔχε, εἰ κακὸν ἡ νόσος. Ἐγὼ δὲ τῷ τοιούτῳ μὲν λόγῳ, καὶ ὅσοι τοιοῦτοι (πολλοὶ δέ εἰσι) προςσχοίην οὐκ ἄν· τεχνώσαιμι δέ, τὸν νοῦν ἀπερείσας εἰς τὰ τοῦ μέλιτος, καὶ τὸ κατὰ μνήμην πικρὸν ἐκχυμίσας ἀντιθέτῳ γλυκάσματι. Οὕτω δὲ καὶ τῇ νόσῳ προςενεχθείς, οὔτε κατ᾽ αὐτῆς λυττήσω σκιαμαχῶν, οὔτε τὸ κατὰ νόσον ἠλγηκὸς μέρος, ἐξ οὗ κακῶς εἶχεν ἡ ψυχή, ἐκτέμοιμι, χορδεύσας, ὅ φασιν, ἐμαυτόν· ἀνάμνησιν δέ ποτε σχὼν ἐκείνου τοῦ ἄλγους, ἀντιπαραθήσω τὸ τοῦ ὑγιαίνειν ἡδύ, καὶ τῷ χαρτῷ πάθει ἐξωθήσω τὸ ἀηδές. Ὁμοίως δὲ πάντως, τῶν κακοποιούντων εἴ που συμβαίη ἐπιμνησθῆναί με, τοῦ καρδιακοῦ θησαυροῦ ἀναλεξάμενος τὰ ἐκ τῆς νίκης καὶ τοῦ περιγενέσθαι καλά, τὴν μνήμην μὲν ἐκείνων ἀφορίσω, φιλήσω δὲ τὰ ὕστερον ἀγαθὰ ἂν ἀντισηκούντων καὶ ῥοπὴν καθελκόντων ἀγαθήν, εἰς Ἁρπυίας ἀνερείψεται τὸ οὐκ ἀγαθὸν ἐκεῖνο μνημόσυνον. Πρὸς τούτοις ἐπανακρίνω τοὺς ἐμοὶ σοφιστικώτερον ἐπικειμένους, καὶ οὔκουν ἀξιώματι περὶ μνησικακίας προτεινομένους, ἀλλὰ τυφλὸν οἷον αἴτημα προϊσχομένους, ὃ δυςχερὲς ἂν εἴη δεδόσθαι πρός γε τοῦ ἐπιστήμονος.

28. Ὁ παιδεύσας με καὶ διδάξας ἱερὸς καὶ μέγας ἐκεῖνος ἀνήρ, τὰ μὲν ἐπετίθει πληγὰς ἐλλόγους, καὶ ὧν ἄνευ οὐκ ἂν εἴη τῆς ὀρθῆς γενέσθαι τὸν εἰς ἀτραπὸν παιδεύσεως εἰσαγόμενον· τὰ δέ που (εἰρήσθω γὰρ τἀληθές· καὶ θυμοῦ ὑποβάλλοντος, ἔξω κανόνος (ἐξῆν γάρ) θλίβων ἐῤῥύθμιζε. Τί οὖν οὐ μνήσομαι μάλιστα μὲν τῆς ἄλλης ἀκουαγωγῆς, καὶ μακαριῶ

τὸν ἄνδρα, μνήσομαι δέ που καὶ τῆς δριμυτέρας, καί, ὥς ἐμοὶ ἐδόκει τότε, παρεξηυλημένης καὶ οὐκ ἐμμούσου, καὶ μεθοδεύσω καὶ αὐτὴν εἰς μνήμην εὐχάριστον; Καὶ οὔπω τοῦτο μνησίκακον. Ἦν δ' ἂν μνησικακίας τῆς ὄντως, εἰ μὴ σὺν ἀστειότητι ἐμμελῶς ἐμεμνήμην, ἀλλὰ δριμυττόμενος ἐνηλλόμην ἐκείνῳ, φανταστικῶς ἀμυνόμενος.

29. Μεμνήμεθα καὶ (οὐ μόνος ἐγώ, ἀλλὰ τὸ σύμπαν ἀκροατήριον), οἷα κακὰ ἡμῖν ὁ πάντων ὕπατος καὶ πρῶτος διδάσκαλος θεὸς ἀφῆκεν ἔναγχός που ἐκ τῆς Λατίνης γῆς ἐπειςφρῆσαι εἰς κάκωσιν, καὶ οὐδ' ἂν ἐκλαθοίμεθα. Τί δὴ οὖν μεμνημένοι κεκακῶσθαι, μνησικακοῦμεν θεῷ, λεγέτω τις, εἰ βουλομένῳ εἴη αὐτῷ. Κἀμοὶ μετὰ χεῖρας τὰ τοῦ λόγου ὅπλα, καὶ δίπαλτος ἂν ἐπιτεθείη αὐτῷ ἕως καὶ εἰς νίκην λαμπράν. Στρέψαι δὲ καὶ ἄλλως τὸ αὐτὸ νόημα· οὐκ ἂν ἐπιλήσεται ὁ θεὸς τοῦ κακοὺς εἶναι τοὺς κακούς, καὶ ὅμως οὐκ ἂν πρός τῶν μισοκάλων κατηγορηθείη μνησίκακος. Ἐγκλεισθείησαν τοῖς τοιούτοις τὰ στόματα. Εἰ δὲ καὶ εἰδώς, λόγῳ δῆθεν μνήμης, ἅπερ ἐκεῖνοι ἐξαμαρτάνουσιν εἰς αὐτόν, ἐπάξεται κάκωσιν, τίς οὕτως ἀνάπλεως τόλμης, ὡς ἐντεῦθεν τὸ μνησίκακον αὐτῷ ἐπιλέξαι; Φραγείη καὶ Ms. fol. 78 b. τὸ τοιοῦτον στόμα, || καθὰ καὶ τὸ μεμφόμενον τοὺς δικάζοντας, εἴπερ αὐτοὶ μὲν τὰ πολιτικὰ γνωματεύοντες, τοὺς ἀεὶ κακοὺς καὶ μνήμην ἑαυτῶν ἐνδελεχῆ ἐνοικίζοντας ταῖς τοῦ δικαστηρίου ψυχαῖς μετέρχονται μνήμῃ τοῦ δέοντος, οἱ δὲ παρανοοῦντες μνησικάκους εἶναι τοὺς τῆς δίκης ὑποφήτας ὁρίζονται· θεῖον ὄντως χρῆμα καὶ ὄνομα παραχαράττοντες, ἢ παραποιοῦντες, ἢ ἀποκλέπτοντες· ὅπερ οὐκ ἂν φιλοῖεν οὔτε θεῖοι ἄνδρες, οὔτε θεὸς αὐτός, ὃς μὴ φιλεῖν πολλάκις κλεπτόμενος ὀρθότατα πεφιλοσόφηται.

30. Φέρε δὴ καὶ κατά τι πλαστὸν ἐπιχειρήσας νόμῳ ῥητορείας, ἐντρέψω καὶ οὕτω τοὺς ἐμοὶ μὲν ἐθέλοντας εἶναι σοφοὺς τὰ ἐς κακίαν, ἐμὲ δὲ μωραίνειν ἀξιοῦντας εἰς τοσαύτην ὀνομάτων ἐπάλλαξιν, καὶ ἀναισθητεῖν, καί που καὶ εὐχαριστεῖν αὐτοῖς, οἷα οὕτω σοφίζουσί με, ὃ δὴ καὶ λανθάνων τοὺς μὴ ὀξὺ βλέποντας ποιῶ. Χάρις γάρ μοι ἐκ θεοῦ πολλή, καὶ χαίρω πρὸς ἀλήθειαν, ὅτι καταπυκτευόμενος οὐκ ἀποθραύομαι τῆς ἀρτιότητος· καὶ παλαιόμενος οὐ καταβάλλομαι· καὶ ὀρθὴν ἐλαύνων καὶ σκελιζόμενος, ἢ καταθέσει σκανδάλων, ἢ καὶ ὅτε τις κυρηβάσει, κατὰ τὸν οὕτως εἰπόντα, οὐ κατακάμπτομαι· καὶ λίθων δὲ παραῤῥιπτομένων εἰς πρόςκομμα, οὐ καταῤῥιπτοῦμαι· καὶ ἀνορύξει δὲ βόθρων περιτυγχάνων, τῶν μὲν ὑποχασκόντων καὶ πλατὺ καὶ βαθύ, τῶν δὲ καὶ ἐπικαλυπτομένων, ὡς δοκεῖν εὐθεῖαν εἶναι τὴν σφαλεράν, ὑπερπέτομαι ἐπὶ χειρῶν αὐτοῦ. Ἐκεῖνος γὰρ αἴρων, καὶ τῷ αὐτοῦ ἀγγέλῳ, τῷ μεγάλῳ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ, περὶ ἐμοῦ ἐντελλόμενος, διαφυλάσσει με ἐν ἁπάσαις ὁδοῖς αὐτοῦ. Εἰ δὲ τοῖς ἀνεῳγόσιν, ὡς πέφρασται, λάκκοις ἢ λέοντες ὑφεδρεύουσιν, ἢ σκόλοπες ὀξέες ἐμπεπήγασιν, ἢ εἴ τι τοιοῦτον ὀλέθριον ἄλλο — ἀλλ' ἐκεῖνος κἀνταῦθα τοῖς ἐχθροῖς τὸ ὕπουλον κακὸν περιτρέπει, κηδόμενος πάντως, εἴτ' οὖν φειδόμενος τῆς ἡμῶν ἀσθενείας, μὴ καὶ προςκόψαντες ἢ ἀπολώμεθα, ἢ παρενεχθῶμεν εἰς τὸ βλάσφημον, καὶ μηδὲ οἱ ἐπιχαίροντες ἡμῖν, γέλωτι κατὰ τὸν εἰπόντα ἐκθιάσωσι, τέλεον ἐγκαυχησάμενοι. Καὶ οὕτω μὲν ἐγὼ χάριτας ὁμολογῶ, τὰς μὲν ὅλας τῷ βοηθῷ θεῷ· εἰ δέ τι χάριτος διαβαίνειν ἐθέλει καὶ εἰς τοὺς ἐμοὶ ἐπέχοντας, οὐκ ἂν οἶμαι ῥᾳδίως πιστεύειν ἔχῃ τις, εἰδὼς διακρίνειν, ὅ τι ποτέ ἐστι τὸ εὐχάριστον, καὶ ὡς οὐκ ἂν δύναιτο εὐχαριστεῖν ὁ βλαπτόμενος. Ἀγαπητὸν γὰρ καὶ τὸ στέγειν ἀνοιμωκτὶ καὶ σιγᾷν· τὸ δὲ καὶ ὑπερεύχεσθαι, θεῖον μὲν καὶ ἀνυστὸν ὁτιμάλα Χριστιανοῖς ἀγαθοῖς, οὔπω δὲ καὶ πάντως εὐχάριστον. Καὶ τοῦτο μὲν τοιοῦτον.

31. Ἡ δέ μοι ἐπηγγελμένη τοῦ κατὰ ῥητορείαν πλαστοῦ ἔφοδος τοιαύτη τίς ἐστιν. Ὑποτεθείσθω δίοδος κρύπτουσα δεινοὺς ὁδοιδόκους λῃστὰς ἀνθρωπίνου φύλου, καί τις ἐκεῖθεν ὁδοιπορῶν ἀπέριττος ἄνθρωπος περιπεσέτω τοῖς λοχίταις, καὶ παθέτω δεινὰ ὅσα, ἐν οἷς καὶ τὸ || ἀποθραυσθῆναι τῶν καιριωτέρων ἐν Ms. fol. 80 a. μέλεσιν. Εἰ δὴ τῶν τις ἐκείνων οὐκ ἀγαθοεργῶν ἀνακτησάμενος οἴκτῳ τὸν κατεαγότα, παρεῤῥιμένον ἀναλάβηται, καὶ δεξιώσεται ἄλλοις τέ τισι, καὶ οἷς βελτιούμενον τὸ κατακλασθὲν εἰς ἀρτιότητα τὸν βεβλαμμένον ἐπανάγει (κωλύει γὰρ οὐδέν, καὶ εἰδέναι τὸν λῃστὴν ἐκεῖνον φάρμακα, οἷς ἔστιν ἀκεῖσθαι τὰ τοιαῦτα), καὶ ὁ θεραπευόμενος λόγους εὐχαρίστους προάγει, καὶ τούτοις τέως ἀμείβεται τὸν πατάξαντα, τέλος δὲ καὶ ἐπανακληθείς, εἰς ὅπερ ἦν, θεοκλυτεῖ ἐπευχόμενος, καὶ ὑπισχνεῖται τὰ λῷονα, καὶ πρὸ ποδῶν ῥίπτων ἑαυτὸν τοῦ ἀκεσαμένου ἐς γνήσιον, ἀμφιπλέκεται τοὺς πόδας, καί γε καταφιλεῖ· ὁ τοίνυν τοιοῦτος ἀμνηστῆσαι ἂν ἔχοι καὶ ὧν πάθοι ποτὲ κακῶν. Καὶ ἀπαλεῖψαι μὲν αὐτὰ τῆς κατὰ ψυχὴν δέλτου, ἀνάγραπτον δὲ φέρειν μόνον τὸ ἀκεσώδυνον, οὐκ οἶμαί γε, καὶ οὐκ αὐτὸς ἐγώ, ἀλλ' οὐδὲ ἄλλος, ὅςτις ποτ' οὖν. Λέγω δέ, ὡς πρῶτα μὲν καθ' ἑκάστην θεραπείαν τοῦ σώματος, εἶτα καὶ ὅτε που ἐντύχοι τῷ θεραπεύσαντι, καὶ κατὰ λοιπὴν δὲ ἀνάμνησιν προτρέχοι ἂν αὐτοῖ ἡ μνήμη τῆς κακοποιΐας ἐκείνης, ἧς ἀνακεκόμισται. Μάλιστα

μὲν οὖν κατὰ τὰ συνατεζυμωμένα ἢ συντετηκότα τῶν σωμάτων, καὶ οὕτω δι' ἀλλήλων ἥκοιτα, συμφύροιτο ἂν καὶ τῇ τῆς θεραπείας μνήμῃ ἡ τῆς κακοποιΐας. Καὶ ἀποκαταστὰς ὁ ἄνθρωπος εἰς τὸ τῆς φύσεως εὖ, οὐδ' οὕτως ἂν ἔχοι λαθέσθαι, ὧν πάθοι. Καί που τῷ ληστῇ Ἀσκληπιάδῃ χρόνῳ ποτὲ περιτυχὼν ἀσπάσεται μὲν ἡδέως, περιπτύξεται, κατακλύσει ῥεύμασιν ἐπαίνων, ποτνιάσεται δὲ καὶ εἰς ξενίαν αὐτῷ ἀφικέσθαι. Καὶ ἐκεῖνος ἀφίξεται, καὶ χαρίτων συναπολαύσει καὶ φιλοτησίας λαμπρᾶς. Ἤδη δὲ καὶ ξένια τὰ μὲν δώσει, τὰ δ' ἀντιλήψεται. Εἰ δὲ καί τις ἐν τούτοις τὸν φιλόφρονα ξεινοδόκον, τὸν ἦν ὅτε παραλυθέντα καὶ αὖθις συνδεθέντα εἰς ὑγιές, ἔροιτο, τίς αὐτῷ καὶ πόθεν ἥκει ὁ τοιοῦτος ξένος; οὐκ ἂν οὕτω δεινὸς αὐτὸς ἀποβαίη σοφιστής, ὡς μὴ παραπλῆξαι καὶ μνήμην ἐκείνου τοῦ κακοῦ, οἷς ἐρεῖ. Ἐρεῖ δὲ πάντως, ὅτι „ἄλλος μὲν ἔχθιστος ἐμοὶ ὁ ξένος οὗτος ἦν ὅτε ὑπεξέβη, καὶ τὸν ἐν ᾅδου πορθμέα ναυστολῆσαί με κάτω προὐκαλέσατο· καὶ ἤδη καὶ θατέρῳ τοῖν σκελοῖν ἐπιβὰς ἐγὼ βαρὺς νόσῳ, τὸ πορθμεῖον ἐσκάμβευσα. Ὕστερον μέν τοι γαληνιάσας ἐπ' ἐμοί, καὶ τοῦ βάρους ἀνακουφίσας, καὶ τὸν πορθμέα Χάρωνα παραιτησάμενος αἰδοῖ τῆς τε γῆς τοῦ τε ἡλίου, ὃν ἔμελλεν ἀπαγαγεῖν με πρὸ ὥρας, περιήγαγεν, εἰς ὅπερ εἰμὶ ἄρτι, καὶ τοῦδε χάριν φιλοφρονοῦμαι τὸν καλὸν τοῦτον ἄνθρωπον.“ Ταῦτ' εἰπὼν ὁ ξενοδόχος, καὶ οὕτω διακείμενος (ὑπόκειται δὲ ἀληθῶς οὕτω διατεθεῖσθαι), ἆρα μνησικακοίη ἄν;

32. *Ἰδού, πάλη ἐν λόγοις· καὶ ὁ βουλόμενος ἀντεπεξίτω μοι. Ἔχοι δὲ ἡ παλαίστρα κόνιν ἁπαλὴν ὑπεστρωμένην, εἴ πως καταπεσὼν ἀναπηδήσει σῶος, καὶ ἀναστὰς αὐτὴν ἀποψήσεται, καὶ ἐστήξεται, μὴ κατα-* Ms. fol. 80. b. *θρυφθεὶς τῷ πτώματι. || Φημὶ γάρ (οὐκ ἂν ἀντιλεγοίμην), ὡς ὁ εὐχαριστῶν πρὸς ἀλήθειαν οὐκ ἂν μνησικακεῖν λέγοιτο. Οὐ τοίνυν ἁπλῶς μνησικακία οὐ κακοῦ τινος μνήμη, ἀλλὰ ἡ πρὸς ἐντρέχειαν ἀμυντικήν, ἢ τὴν αὐτίκα, ἢ τὴν εἰσέπειτα, ὥσπερ καὶ ἄμφοι ἡμῶν ἀπαγάγοι θεός, καὶ οὐ μόνον, ἀλλὰ καὶ παντὸς ὀρθοῦ Χριστιανοῦ. Εἰ δέ τις ἀντιθήσει, ὡς „ἰδοὺ κἀνταῦθα οἱ δοκοῦντες ληστεῦσαι πρὸς κάκωσιν ἀγαθὰ ποιοῦσιν, ἐπὶ σοὶ ἄρτι τὸ χαῖρε, Ῥαββί, προσφωνοῦντες, ὑποκυρτοῦντες, ἢ, καθά τις ἔφη, καριδοῦντες ἑαυτοὺς προσκυνητικῶς, αἰτούμενοι τὸ συμπαθές, προκαλούμενοι συγχώρησιν·“ ἐν πρώτοις μὲν ἴστω μαθὼν ἐξ ἡμῶν, ὡς τοῦτο πολλάκις ἔνορκοι μεθοδεύσαντες οἱ τὰ τοιαῦτα σοφοί, καὶ ἡμᾶς εὐκόλους ἐξευρηκότες καὶ εὐστρέπτους εἰς κάμψιν, μετ' οὐ πολὺ δεινοτέροις ἡμᾶς περιῆλθον σοφίσμασι· καὶ εἶπον μέν, ὡς ἰδοὺ οἱ τρώσαντες ἐξιώμεθα, καὶ μακρὰ τοῦ διαβόλου καταλέγομεν· μετ' ὀλίγον δὲ ἀφυλάκτοις οὖσιν ἐπεισπεσόντες, πλείω καὶ βαρύτερα ἐνέπηξαν τραύματα, καὶ οὐδὲ θεραπεύσιμα· καὶ τὸν ἐξωθούμενον κλέπτην καὶ λῃστὴν διάβολον διὰ μικρᾶς μέν τινος ὀπῆς ἀφῆκαν μόγις ἐξελθεῖν, τῇ δὲ ἀνακάμψει διὰ μεγάλης θύρας παῤῥησιαστικῶς ἀντεισήγαγον.*

33. *Ἔπειτα ἐνθυμείσθωσαν οἱ καθ' ἡμῶν μὲν ψεῦσται μνήμονες, ἡμῶν δὲ ἀφορίζοντες τὸ ἀγαθὸν μνημονικόν, τὸ καλὸν δῶρον τῆς φύσεως, ὅτι πολλάκις ἐγὼ κατεῤῥητόρευσα οὐ πάνυ τι ἀφυῶς τῶν στρεβλῶν προσκυνημάτων, ὡς οἷα καὶ τινων κυριγμάτων ἀναῤῥηγνύντων τὰς τῶν ἀφελῶν γαστέρας, καὶ τὰς ψευδεῖς γονυπετήσεις ἐθεώρησα ὁρεῖ καὶ τέχνας παλαιστρικῶν ἀνδρῶν, τεχνωμένων κνήμαιν ἀμφοῖν περιπλέγδην ἐμφύεσθαι, καὶ καταῤῥιπτεῖν τὸν ἐπιβουλευόμενον. Τὸ δέ γε συμπαθεῖν τοῖς εἰςαεὶ τοιούτοις καὶ συγχωρεῖν δι' ὑποψίας ἄγω, τί δήποτε παρ' αὐτοῖς νοεῖν βούλεται. Συμπαθεῖν μὲν γὰρ καὶ συγχωρεῖν οὐκ ἂν τὸ σύν τινι παθεῖν καὶ σύν τινι χωρεῖν εἰς τόδε τι. Ἐγὼ δὲ οὐκ ἂν οὕτω παθεῖν, οὐδ' ἂν οὕτω χωρεῖν ἐθέλοιμι, ὅτι μηδ' ἄλλος τῶν φρονούντων εἰς ἀγαθόν. Τίς γὰρ ἂν ἐχέφρων ἕλοιτο παθεῖν σύν τινι τὸ τῆς γνώμης ἄστατον, ἢ χωρεῖν, ταὐτὸν δ' εἰπεῖν, ὁρμᾶν σύν τινι, πρὸς ἅπερ ὁ συνετὸς ἀπεύχεται; Οὕτω γοῦν ὑπόπτως ἔχων πρὸς τὸ ἁπλῶς καὶ συμπαθεῖν καὶ συγχωρεῖν, διαιρῶν τὴν καθ' ὁμωνυμίαν σύγχυσιν, καὶ διευκρινῶν ἐν ὀρθότητι, γνωματεύω κατ' ἐμὴν ἐπίκρισιν, ὡς θελήματι μὲν ἀγαθῷ συγχωρεῖν, καὶ κατὰ πάθος εὖ ἔχον συμπαθεῖν καὶ στέργω καὶ εὔχομαι· καὶ προκαλούμενος χωρῆσαι καὶ παθεῖν ἑποίμην ἄν, καὶ πάσχοιμι, ἐς ὅσον ἐξαρκοῖ, καὶ οὐκ ἂν ἐλεγχθείην, μὴ οὕτω καὶ συγχωρῶν καὶ συμπαθῶν. Καί μοι μάρτυρες τούτων οἱ τῆς πόλεως ταύτης ἀγαθοὶ ἄνδρες, || οἷς πλειστάκις προ-* Ms. fol. 81. a. *καλουμένοις εἰς ἀγαθὰς ὁδοὺς καὶ εἰς χρηστὰ πάθη καὶ συνεχώρησα καὶ συνέπαθον· τὰ πολλὰ δὲ καὶ οὐ πρὸς δύναμιν, ἀλλ', ἀποστολικῶς εἰπεῖν, εἰς ὑπερβολήν. Καὶ οὕτω μὲν συγχωρῶ καὶ συμπαθῶ· διαφωτίσαι δὲ τὰς λέξεις ταύτας εἰς τὸ καίριον, συνεξορμῶ καὶ συμπάσχω τοῖς χωροῦσι δηλαδὴ καὶ πάσχουσιν, ὅσα χρεών· ἑτέρως δὲ συγχωρεῖν καὶ συμπαθεῖν, εἰς ἅπερ ἐθέλουσιν οἱ πολλοί, ἀπεύχομαι. Μὴ γάρ μοι δυςπραγηθείη, παθεῖν σὺν ἐκείνοις, καὶ σὺν ἐκείνοις χωρεῖν, εἰς ὅσα μὴ πρέπουσιν· ἀλλὰ τἀναντία γένοιτό μοι, πάσχειν τε καλῶς, καὶ χωρεῖν τὴν κατὰ θεὸν ὁδόν, καὶ μὴ συμφέρεσθαι φαύλοις, καὶ συμπάσχειν, ἅπερ αὐτοί· ἐν οἷς καὶ τὸ ἀναιτίως ἐπικεῖσθαι, οἷς οὐ θέμις,*

καὶ μελετᾷν δεσμεῖν, εἴ τίς που δίκαιος, διὰ τὸ δύςχρηστος εἶναι τοῖς μὴ καλῶς διαχειριζομένοις τὰ πρακτέα.

34. Φέρε εἴπατε πρὸς αὐτοῦ τοῦ θεοῦ· εἰ μὴ ὁ φιλάγαθος ὁ αὐτόχρημα θεῖος νόμος ὁ αὐτοκράτωρ ἐπεκάμφθη φιλανθρώπως ἡμῖν, καὶ ταῦτα μηδέν τι ἀπολογησαμένοις, μὴ καὶ τὴν θεόθεν ὀξεῖαν ἐπικουρίαν ἀμβλυνοῦμεν, οἷς ὑπὲρ ἡμῶν αὐτῶν λαλεῖν ἔσχομεν (γογγύσαι γάρ τι παρ' αὐτῷ κατὰ τῶν ὑπεναντίων, καὶ εἰς μιασμὸν ἡμῖν ἐλογίσθη στόματος), ποῦ ποτ' ἂν ἦμεν ἄρτι; Ποῖ δὲ τύχης ἑστηκότας ἡμᾶς ἔβλεπον ἂν οἱ ἄνθρωποι; Οὐ τοίνυν, οἷς ὁ ἔνθεος βασιλεύς, θεοῦ λαλήσαντος, εἰς τὴν αὐτοῦ καρδίαν ἡμῖν ἐπένευσε, ταῦθ' ἡμᾶς ἀθωοῦσιν. Ἀλλ' ἐκεῖνος μὲν καὶ δι' ἡμᾶς ὑμνητός, καὶ εὐλογητὸν καὶ θεῷ καὶ ἀνθρώποις τὸ αὐτοῦ ὄνομα. Ἐγὼ δὲ ἀγαπῶν ἀγάπην, τὴν ἀναγκαίαν, τὴν πάνδημον, οὔτε κατὰ κακίαν ὑμῖν ὅλως προςενέξομαι, οὐδὲ μὴν ἀφελῶς πάντη κατὰ πίστιν ἀφύλακτον, οὐδέν τι λόγου ὑφορωμένην, ἀλλὰ μετὰ συνέσεως ἐμβριθεστέρας ὡς οἷόν τε, καὶ οἷα τοῖς πολυπαθέσιν ἡμῖν ἐπιπρέπει πρὸς τοὺς ἄγαν ἐστυμμένους καὶ αὐστηροὺς καὶ ἐντρεπτικοὺς τῆς ἡμῶν, ὅτε καλέσει καιρός, ἀφελείας τε καὶ ἁπλότητος· ἣν τοῖς ἀληθέσι φίλοις (οὐ γὰρ δήπου καὶ τοῖς τυχοῦσιν) ἐμφανίζομεν προάγοντες εὐηθέστερον, ἀνακεκαλυμμένῳ προσώπῳ αὐτοῖς ἐμβλέποντες, οὐ νεφελοῦντες φῶς ὄψεως, οὐ τοξοποιοῦντες ὀφρῦς, οὐ σεμνοπροςωποῦντες, ἃ δὴ τοῖς περιέργοις πολίταις φαντάζομεν· εἰ δὲ καὶ δέοι φίλοις λαλῆσαι, οὐκ ἀποτορεύοντες λέξεις, οὐδὲ σμιλεύοντες ἐννοίας, οὐδὲ βυσσοδομεύοντες τὰ εἰς φράσιν, ἀλλ' ἀγροικικώτερον διακείμενοι, καὶ τὴν σκάφην σκάφην, ὅ φασιν, λέγοντες, καὶ ἀμαθέστερον φθεγγόμενοι πρὸς σαφήνειαν, οὐ μὴν τεχνητὴν ἐπίκρυψιν, ἣν ἐπισκευάσεται ὁ κατὰ τῶν ἄλλως ἀκουόντων εἰρωνευόμενος.

35. Εἰ δέ τις ἡμᾶς αἰτιᾶται τῆς τοιαύτης στρυφνότητος, ἐρήσομαι τὸν ἄνδρα, πῶς ποτε μειδιᾶσαι θαῤῥήσομεν εἰς γαλήνιον διάχυσιν ἐντυχίας, ὅτε βλέ-
Ms. fol. 61. b. πομεν || ἀνθρώπους, οἳ καὶ εἰς καγχασμὸν ἀπρεπῆ καὶ εἰς ὄρχησιν Κορυβάντιον τὸ ἡμῶν ἐγγράψονται μειδίαμα, γελοῖοι αὐτοὶ ὄντες, καὶ μὴ διαφορὰν εἰδότες τοῦ μειδιᾷν, ἢ σαρκάζειν, ἢ καγχάζειν, ἢ γέλωτος, ὧν ποῤῥωτάτω πάνυ τὰ κατ' ἔννοιαν ὁρίσματα; Πῶς δὲ καὶ πρὸς χάριν ἱλαρὰν ἀστεΐσομαι καὶ σώφρονα, κατὰ ἰδέαν λόγου θετέον δριμεῖαν, ὁποίαν παραδίδωσιν οὐ μόνον ὁ γράψας τὸν οἶνον αἷμα σταφυλῆς, ἀλλὰ καὶ ὁ πλούσιος καὶ γλυκὺς ῥήτωρ Δαυΐδ, ψωμοῖς ἐοικότας βάλλεσθαι τοὺς κρυστάλλους ψάλλων ἐκεῖνος, καὶ τὴν χιόνα διαπεπτάσθαι ὡςεὶ καὶ ἔριον, τὴν δὲ ὁμίχλην ὡςεὶ σποδὸν πάσσεσθαι· πλάττοντος δὲ καὶ τῷ ψύχει πρόςωπον, οἷς παρενοχλεῖ τοῖς τῶν ὁδευόντων προςώποις. Ἐῶ γὰρ πρός γε τὸ παρὸν τὰς λοιπὰς γλυκύτητας, ἐν αἷς ἡ ἱερὰ καὶ θεία γραφὴ καὶ αἰνίσσεται, ὡς καὶ ὅτε μέλι ἐξ ἐσθοντός φησιν ἐξελθεῖν, καὶ τὸ δόρυ στρατηγικὸν παχὺ εἶναι ὡςεὶ καὶ ἀντίον ὑφαινόντων· καὶ ἄστρα δὲ οἰκίᾳ ἐμπεριπατεῖν, ἔνθα ἐς τοσοῦτον ἀραιὰ ἡ τοῦ στεγάσματος ἐπισύνθεσις, ὡς φαίνεσθαι τοῖς ἔνδον διορῶσι τὴν ἀνωτάτω κατ' ἄστρα κίνησιν. Οἷς ἐντακτέον καὶ τὸ ἀκάνθας ἐν χειρὶ φύεσθαι τῇ τοῦ μεθύσου, καὶ τὸ γονεῖς μὲν ἀκανθοφαγεῖν, αἱμωδίαν δὲ τοῖς τέκνοις ἐμφύεσθαι. Ποῦ δὴ ἀλλὰ τοιαῦτα γοῦν τινα τολμήσαιμι ἄν, εἴ γέ που καὶ εὐπορήσαιμι πρὸς γλύκασμα φθέγγεσθαι, ὅπου τὸ τοῦ μητροπολίτου ἀστεΐευμα δοκεῖ ταῖς ἐσφαλμέναις ἀκοαῖς λαλιά τις εἶναι οὐ διθυραμβώδης καὶ ἀτηρά (εἴθε γὰρ ἦν τοῦτο), ἀλλὰ παροίνιος κατά γε τὰ περιᾳδόμενα σκόλια;

36. Ἐξομολογοῦμαι ὑμῖν, ἀδελφοί, ὡς οὕτω τοὺς ἐμοὺς λόγους ἐθέλω στρογγύλεσθαι, παρηκόων ἀνδρῶν ἀκροωμένων, ὡς οὐδ' ἂν εἴπερ ἔμπροσθεν βασιλέως ἐνθέου λαλῶν πρὸς χρείας εἶχον σκέπτεσθαι, καὶ μὴ λαλεῖν ἀτημέλητα. Καὶ μὴν οἶδα ἐγὼ καὶ ἐπὶ τῆς πάλαι καὶ τῆς νῦν ἁγίας βασιλείας οὕτως ἐν βαρεῖ συλλόγῳ λαλήσας, ὡς διαχέαι τοὺς ἀκροωμένους, καὶ εἰς ἐμαυτὸν ἐπισπάσασθαι. Ἀλλ' ἐν τοῖς καθ' ἡμᾶς τούτοις ὑποκώφοις (ὀκνῶ γὰρ εἰπεῖν ὑποξύλοις) οὐκ ἔστι τοιοῦτον οὐδέν· ἀλλὰ περιΐστανται μελετῶντες ἠρέμα, τί ποτ' ἂν ἡμῶν λάβοιντο, ἀγεννῆ, ὅ φασιν, φαλάγγια, δυςτυχῆ μυῖαν λοχῶντες, εἴ πως ἐγγιζούσης δράξονται. Τί δή ποτε, ὦ σοφοὶ καὶ ἀκροαταὶ καὶ θεαταί, μέμφεσθε, εἴπερ ἀνὴρ γέρων καὶ οἰδὲ πάνυ μακρὰν ἐςκορακισμένος λόγου, ἡρωϊκὰ σκηνοβατούμενα πρόςωπα βλέπων, Πρίαμόν τινα γέροντα καὶ Ἀτρείωνας, τοὺς ἀντιπάλους ἐκείνῳ βασιλεῖς, καὶ τινα Ὀδυσσέα, καὶ ἄλλον, Αἴαντα, διερμηνεύει πρὸς τοὺς παρεστῶτας ὑμᾶς δηλαδή, μὴ ἀληθῆ ταῦτ' εἶναι, ἀλλὰ σκηνῆς ποιητικῆς παίγνια, ἢ σκιὰς ἀληθείας, εἰπεῖν σεμνότερον· καὶ τὸν μὲν προφαινόμενον Πρίαμον ἄνθρωπον ἀποδεικνύει δυςγενῆ ποθεν, καὶ που καὶ δοῦλον, τοὺς ἐξ Ἀτρέως δὲ ταριχεμπόρους μέν, δεξιοὺς δὲ λογολεσχεῖν ἐπὶ θεάτρου μεγαλοῤῥημόνως καὶ εὐσταλῶς οὕτως, ὡς παρεμφαίνειν βασιλικὰ πρόςωπα· τὸν δὲ τινα ἔκ που ματρυλ || λείου ἐξωρμημένον, καὶ εὖ εἰ- Ms. fol. 62 a.
δότα κατ' ἀγορὰν στωμύλλεσθαι, καὶ εἰς ῥωποπερπερήθραν σκώπτεσθαι παραφαίνειν ὑποκριτικῶς τὸν

λόγιον Ὀδυσσέα· Αἴαντα δέ, τὸν προφαινόμενον μέγαν, καὶ καθά τις ἔφη πελώριον, εἶναι μὲν ἄλλως ὀλίγον καὶ οὐτιδανόν, ἐμβεβηκότα δὲ ὑψηλαῖς ἐμβάσιν, ἢ καὶ ἄλλως ξυλοβάμονα, τῷ τέως ὄντα ὑπεξῆρθαι τοῦ δαπέδου μετέωρον, καὶ οὕτω σκιάζειν τὸν βουγάϊον· τί γοῦν ὑμᾶς παραλυπεῖ τὰ τοιαῦτα διώκοντα; Ἢ γὰρ οὐ τοιοῦτος ἐγώ, διελέγχων ἑρμηνευτικῷ λόγῳ διὰ γνώσεως ἀκριβοῦς τὰ ἐν ἡμῖν σμικροπρεπῆ σκηνικά, καὶ διαφωτίζων τὰ μεγαλοφανῆ μὲν κατ' ὄψιν, πάνυ δὲ σμικροπρεπῶς ἄλλως ἔχοντα, καὶ διεκφαίνων τὴν ὑπόκρισιν, καὶ τὰς φαντασίας διαρθρῶν, ὡς ἂν ἕκαστος πρὸς ἀλήθειαν διεκφαίνοιτο, καὶ γινώσκοιτο πρὸς ἀκρίβειαν, καὶ μὴ γελῴη τοὺς βλέποντας, ὡς ἄλλος μὲν ὤν, ἑτεροῖος δὲ τοῖς πολλοῖς φανταζόμενος;

37. Ἢ γὰρ δίχα τῶν ἄλλων σκηνοβατήσεων οὐχ οἱ πλείονες προσωπείῳ φιλίας ἄχθονται μὲν ἔξω, εἴ τινα λυπούμενον ἴδοιεν, τὰ δ' ἐντὸς κροτοῦσι, σκιρτῶσιν, ὀρχοῦνται, καὶ προσποίητον ἔλεον παραυγάζοντες βαρύνονται ἐπὶ τοῖς ἐν λύπαις, οὐχ ὅτι τοιοῦτοι, ἀλλ' ὅτι ζῶσιν ἔτι, καὶ οὐκ ἀπάγχονται; Οὐκ ἐκδανείζουσι μὲν ἐπὶ ἀνεγέρσει πτώματος τοῦ κατὰ πτωχείαν, τόκου δὲ τοῦ ἐντεῦθεν βαρύ τι καταῤῥιπτοῦσι, μικροῦ δέον καὶ εἰς τὸ λιμῷ θανεῖν οἴκτιστα. Καὶ οὕτω σχήματι ἐλέου εἰς ἑαυτοὺς τὸ πτωχικὸν ἐπαγόμενοι, καὶ περιπτυσσόμενοι ὡς εἰς ἀγάπην, εἶτα κατὰ ἀπάτην σφάττουσιν ἀνηλεῶς, οὐ προσκυνοῦντες καὶ εὐλογοῦντες τοὺς ἐντυγχάνοντας· εἶτα μικρόν τι προσελθόντες καὶ ἐκ προσώπου γενόμενοι, τὰ χείριστα κακολογοῦσι, μορφάζοντες μὲν φίλον ἄνθρωπον, τοῖς δὲ ἔργοις λυσσητῆρας κύνας ὑπογράφοντες. Τί μὴ λέγω τὸ βαρύτερον; Οὐ τιθέασι τὰς γλώσσας εἰς οὐρανόν, θεὸν τὸν οὐράνιον ἐπομνύμενοι, καὶ αὐτὸ οὐκ ἐπὶ ἀληθείας ἐνδείξει, ἀλλ' ἐπὶ κρύψει, ὧν πονηρῶς βουλεύονται; Τοιούτους ἐγὼ κακοὺς ὑποκριτὰς ἐξευρίσκων, καὶ ἐπ' αὐτοφώρῳ κλέπτας τοῦ ἀληθοῦς ἐξελέγχων, καὶ ἄλλο μέν τοι φαινομένους ἀποδεικνύς, ἀλλοίους δὲ τὰ ἔσω διακειμένους, καὶ τοῦτο οὐκ εἰσάπαξ, ἀλλὰ καὶ σήμερον καὶ αὔριον καὶ ἐς τὴν ἄλλην καὶ ἐπὶ ταῖς ἐφεξῆς, μικροῦ δὲ λείπομαι εἰπεῖν, ἐσαεί, καὶ οὕτως αἰεὶ καὶ αὐτὸς μεμνημένος τοῦ κακοὺς εἶναι τινάς, συντίθεμαι ἀφιλοσόφως εἰς τύπον μνησίκακον. Καὶ οὐκ εἶπον τὰ σοφώτερα, ἐφ' οἷς οἱ πολλοὶ ἄροτρον μὲν ἀγαθῆς ἐργασίας χειρίζονται, στρεβλοῦντες δὲ αὐτό, φαύλας τε ἀνασχίζουσιν αὔλακας, καὶ σπόρον οὐκ εὐλογούμενον καταβάλλοντες, τὰ πλείω μὲν παραθεωροῦνται ὑπ' ἐμοῦ, ἔστι δ' ὅτε καὶ ἀναδιδάσκονται λεπταλέᾳ φωνῇ, ἃ ποιοῦσι. Καὶ αὐτίκα ὁ διδά||σκων ἐγὼ [Ms. fol. 62. b.] οὐ μόνον οὐ λυσιτελῶ εἰς οὐδέν, ἀλλὰ καὶ ἀποκερδαίνω τῆς ἀκαθῆς ὁμιλίας τὸ καλεῖσθαι μνησίκακος. Τούτων δὴ τῶν πολλῶν σιγηλὸς ἄρτι ἐγώ, οἷα καὶ εἰσαῦθις τόπον εἰς ἀγάπην συντηρῶν τὴν καθήκουσαν. Φιλίαν γὰρ τὴν ὄντως ὀκνήσοι τις ἂν ὑποσχέσθαι ἀνθρώποις, οἷς ἀπώμοτον καθάπαξ γέγονε φιλιοῦσθαι· ὡς, εἴ γε μὴ τοῦτο ἦν, ἀλλ' ἐκαραδοκεῖτο διαπεσεῖν καὶ τοῦτον αὐτοῖς τὸν ὅρκον, οὐκ ἂν ὄκνος ἦν τῷ φρονοῦντι παρέχειν ἑαυτὴν πατεῖν καὶ τοῖς τοιούτοις.

38. Ἵνα δὲ τούτου ἀφέμενοι ἀναθλίψωμεν τὸν λόγον εἰς τὸ σεμνῶς ἤδη λεχθέν, καὶ τῶν προτέρων ἐξώμεθα, ἐθέλω σοφισθῆναι πρὸς τῶν εἰδότων καὶ μαθεῖν, ὅπως ἂν τῆς βασιλικῆς ἐλεημοσύνης ἀναμνησθείς, οὐκ ἂν ἔχοιμι ἀναλαμβάνειν εὐθὺς μνήμην καὶ τῶν πραγμάτων, ἐφ' οἷς ἔκ τε θεοῦ ἔκ τε βασιλέως ἐνθέου τὸ τοῦ ἐλέους ἀμβρόσιον ἐπεβρέχθη μοι. Πῶς δὲ οὐκ ἂν ἄμφω ταῦτα εἴην ἀναπολῶν εἰς νοῦν, ὅτι τε πολλὰ μὲν οἱ δῆθεν ἐμοὶ ὄντες, καθ' ἡμῶν ἀόπλων ὄντων ἐτοξάσαντο, καὶ ὡς ὁ θεὸς σκεπάσας ἡμᾶς ἀτρώτους ὑπεξήγαγε, καὶ τὰς ἰοχεαίρας γλώσσας ἀπήμβλυνε, στρέψας ἔμπαλιν; Ἔγωγ' οὖν φημί, ὡς οὐκ ἔστι φρονοῦντά με καὶ μεμνημένον τοῦ ἐπ' ἐμοὶ βασιλικοῦ ἀγαθοῦ μὴ συνεπιμεμνῆσθαι ἅμα καὶ τῶν ἑτέρωθεν κακιῶν, ἐφ' αἷς μετάδρομον ἐμοὶ τὸ καλόν. Εἰ δέ τις καὶ πρὸς τοῦτο ζυγομαχεῖν βούλεται, ἤθελον αὐτὸν τῆς βορειοτέρας Θρᾴκης γενόμενον, τὴν ἠχὼ μαθεῖν, ὅση τις τῶν ἐκεῖ περιῆλθε βομβοῦσα τὰ καθ' ἡμῶν, ἐξ ἧς ἐμβεβροντήμεθα· καὶ ἔγνω ἂν ὁ τοιοῦτος, οἷον ἡμεῖς μεμνημένοι ψιλῶς, ὁποῖον λαγχάνομεν ὄνομα οὐ καλῶς. Μεμνημένοι γὰρ κακωθῆναι, παραγραφόμεθα διὰ μόνον αὐτὸ εἰς μνησίκακον. Ἀλλ' οὕτω μὲν ἐγὼ διαφωτίζων τὰς σκιάς, καὶ τὰς φαντασίας τῶν ψευδεπιγράφων τὰ εἰς ἀρετὴν διευκρινῶν, καὶ τοὺς δοκοῦντας φιλαδέλφους ἀνακαλύπτων, ὡς ὑποκρίνονται τὸ καλόν, καὶ τοὺς ἐπαράτους τόκους ἐξαμβλίσκειν ἐπιχειρῶν, καὶ τὴν διαβολὴν καταβάλλων, καὶ τὸ ψεῦδος δαίμοσιν ἀποκληρῶν, οἷα τὸν νοῦν ἔχων πρὸς τῷ τῆς ἀληθείας θεῷ, καὶ τἄλλα δὲ κατὰ συστοιχίαν τοιαύτην διοικονομούμενος, καὶ μηδέποτε λανθανόμενος, ἀλλὰ μεμνημένος τοῦ βελτιοῦν τοὺς κακούς, κρημνίζομαι, ὅποι χρὴ βοθρεύεσθαι τὸν ἐπάρατον μνησίκακον.

39. Ἔχω δὲ ὅμως τὸν μέγαν Ἠλίαν τὸν οὐρανοβάμονα, καὶ πρὸς Παύλου τὸν ὅλον πῦρ, οἷς τε πυρὶ θυμοῦ κατὰ πνεῦμα ἔζεε, καὶ πῦρ δὲ κατῆγεν ἄνωθεν, καὶ ἐμπύριος ἀνεφέρετο, ὑπὲρ ἐμοῦ λαλοῦντα, καὶ ἄλλως τὰ κατ' ἐμὲ διατυποῦντα, ἐφ' οἷς μεμνημένος πρακτέων φαύλων, οὐ μόνον παραινῶ συμβουλῆς

τοῦτό γε πάντως λόγῳ καὶ νόμῳ, ἀλλά που καὶ ἐξελέγχω, ὑπονοῶν μέν, ὡς μισηθήσομαι κατὰ τὸν σοφὸν εἰπεῖν παροιμιαστήν, ἐφ' οἷς οὐ σοφοὺς ἐξελέγξω, οὐκ ἀνιεὶς δὲ ὅμως οὕτω ποιεῖν. Ἔσφαττε μὲν γὰρ ἐκεῖνος ἱερεῖς, οὓς || (Ms. fol. 83. a.) ἐκληροῦτο ἡ αἰσχύνη· οὐκ ἐνεγράφη δὲ βίβλῳ μνησικακούντων, ἀλλὰ ζηλωτὴς ἦν ὁ θερμότατος. Ἐξεκέντει καὶ ὁ Φινεές, εἴ τις που κακὸς ἦν· καὶ ὁ ἐκκεντῶν σειρομάστης ὑμνεῖται, καὶ οὐκ ἦν οὐδ' ἐκεῖνος μνησίκακος· ζήλῳ δὲ θείῳ καὶ αὐτὸ ἐπεγράφετο. Ἔχασκε γῆ καὶ κατέπινε κακούς, ἐκδικοῦσα τοὺς μεμνημένους, ὅτι κακοὶ ἐκεῖνοι· καὶ οἱ τὴν μνήμην ἔχοντες οὐκ ἐψέγοντο. Ἡμεῖς δὲ φεύγοντες μόνον τοὺς καθ' ἡμῶν Ἰεζάβελ, καὶ μόγις οὕτω περισωζόμενοι, καὶ μεμνημένοι φυλάττεσθαι τοῦ κακοῦ, παρανοούμεθα εἰς μνησίκακον.

40. Καὶ μὴν μνήμη κακοῦ ἡ μέν τίς ἐστιν ἐφ' ἡμῖν, ἣν ὅσα καὶ μηχαναῖς ταῖς ἰδίαις ὀρέξεσι κειμένην σαλεύομεν ἀνασκάλλοντες· ἡ δέ τις κακοῦ μνήμη οὐκ αὐτόχρημα καὶ ἀεὶ ἐφ' ἡμῖν ἐστίν, ἀλλὰ φύσις αὐτὴν ἀπόθετον ἐν τοῖς κατ' αὐτὴν ταμιείοις τηρήσασα τυγχάνει, ἀνακινοῦσα, ὅτε τι λάχοι παραπεσεῖν. Οὕτω κακοῦ τις πεπειραμένος, καὶ ἐκλαθόμενος μέν, περιτετυχηκὼς δέ ποτε τῷ λυπήσαντι, καὶ λόγῳ δέ τινι ὡς εἰκὸς ὑπομνησθεὶς πρὸς ἐνθύμιον, ἀνακαινίζει τὸ ἤδη γεγηρακὸς τῆς μνήμης, ἢ καὶ ὡς οἷα τεθνηκὸς ἀναζωοῖ. Καὶ τοῦτο μὲν οὐκ ἔστι μνησικακεῖν εἰπεῖν. Πῶς γὰρ ἂν εἴη μνησίκακος ὁ μνήμην μὲν ἀναλαβὼν κακοῦ, ἠρεμῶν δὲ εἰς ἀντίποινον; Εἰ δ' ἄλλως ἐπὶ φθάσαντι δεινῷ ἐρεθίζοιτο πρὸς ἄμυναν, κακὰ μελετῶν, ἀλλὰ τοῦτο μνησικακεῖν ἐστὶ κατὰ τὸ πάντη ἀναμφίλεκτον. Οὐκοῦν ὃ μὲν ἡ φύσις κἀνταῦθα ποιεῖ, ἄψογόν ἐστι, καὶ οὐδὲ εἰς κακίαν πίπτει, ἀλλ' εἰς ἀναμνηστικὴν τάττεται κίνησιν. Ὃ δὲ ἡμεῖς περιεργασόμεθα, μνησίκακον ἐκεῖνο, καὶ ζωϊκῆς μὲν ἄλλως ἀκολουθίας, οὐ μὴν τῆς κατ' ἄνθρωπον ἀρετῶντα καὶ τῷ κρείττονι ὁσιούμενον. Λέγω δὲ ζωϊκὸν ἐν τούτοις τὸ ἐπὶ κακώσει ἀμυντικόν, ὃ καὶ οἱ παλαιοὶ ἐκτίθενται, τὸν βοῦν εἰπόντες κέρατι παίειν, εἴ τις αὐτὸν ἐρεθίζει, τὸν ἵππον ὁπλῇ, τὸν ἀετὸν γαμψοῖς ὄνυξι βλάπτειν, κέντρῳ τὸν σκορπίον, τὸν ἐλέφαντα προνομαίᾳ, ὀδόντων ἀκωκαῖς τὸν λέοντα. Καὶ οὕτω μὲν ζωϊκὰ καὶ τὰ τοιαῦτα καὶ τὸ ἐπὶ φθάσαντι κακῷ ἀμύνασθαι. Ἐγὼ δὲ οὐ ζηλῶ ἐπὶ τούτοις· ἀλλὰ διὰ τὸ μέγα παράδειγμα τοῦ ὑβριζομένου μέν, εὐλογοῦντος δέ, καὶ πάσχοντος μέν, οὐκ ἀπειλοῦντος δέ, καὶ ὅσα ἄλλα τοῦ στοίχου τούτου εἰσίν, ἐκτρέπομαι τὸ ἀντικακοῦν. Καὶ μὴν οἱ σπουδαιότεροι δι' ἐπιεικείας καὶ καθυφέσεως καὶ ἀοργησίας καὶ πραϋθυμίας, βαρυτέραν ἐπινοοῦνται ἄμυναν. Τίς γὰρ μείζων ἄμυνα τῆς διὰ θεοῦ, ἣν δηλοῖ καὶ ὁ τῷ ὀνόματι κύριος τοὺς δωρεὰν κυκλοῦντας αὐτὸν ἀμυνόμενος;

41. Ἀλλ' ἰδού, φασι, καὶ σὺ ἐμβλέπων ἡμῖν ἀπαντῶσιν εἰς ὁμιλίαν ἐκτρέπῃ τοῦ καθεστῶτος, καὶ εἰ μὲν λαλῶν ἦσθα, σιγᾷς, διακε || (Ms. fol. 83. b.) χυμένος δὲ τὸ πρὶν πρὸς ἱλαρότητα, συννεύεις εἰς ἑαυτόν, καὶ στύφεις τὸ πρόσωπον. Μνησικακεῖς ἄρα. Οὐκ, ὦ 'γαθοί, ἀλλ' ἀσφαλίζομαι, ἀλλὰ φυλάττομαι, ἀλλὰ τεχνῶμαι, μὴ καὶ λόγος τις προδραμών, ἢ σχῆμα παρατυπωθὲν ἀφελῶς, ἢ βλέμμα περιεργασθέν, πρός τινος τῶν ἐπ' ἐμοὶ ῥᾳδιουργῶν πράγματά μοι πάλιν παρέξει. Ἐπὶ δὲ τούτοις οὐκ αὐτὸς αἰτιατέος, ἀλλ' ὑμεῖς, δι' οὓς ἐγὼ εὐλαβὴς οὕτω καὶ δειλὸς καὶ ὕποπτος, ἢ κυχυπόπτης, δυσωπούμενος ὡσεὶ καὶ ἡλίου καυστηρὰς ἐμβολὰς τὰς ἐκ τῶν πολλῶν ἀστραπάς.

42. Ἔτι φημί, ὡς ἔστι μνήμη κακοῦ ἀπαθής, ταὐτὸν δ' εἰπεῖν, ἄλυπος· εἰ δὲ τοῦτο, καὶ ἀνοίκειος τῷ τῆς μνησικακίας λόγῳ, εἴπερ ὁ μνησικακῶν οὐκ ἔστιν ἔξω λύπης, ὅτε κακίας τις ἔκ τινος μέμνηται. Εἰ δή τις οὐκ ἐμπαθῶς μνημονεύει κακώσεως, πῶς ἂν εἴη ὁ τοιοῦτος μνησίκακος; Οἶδα πολλὰς ἐγὼ μνήμας κακοῦ, αἷς καὶ γέλως ἐφέπεται· καὶ οὐκ ἂν οὐδὲ αἱ τοιαῦται ἀνάγοιντο εἰς μνησίκακον, οἷα τὸν πάσχοντα ἱλαρύνουσαι καὶ διαχέουσαι, κἀνταῦθα μόνον ἑστηκυῖαι, καὶ οὐκ ἀποτελευτῶσαι εἰς ἄμυναν.

43. Προάγομαι, καὶ μύθῳ κατὰ τῶν προκειμένων χρήσασθαι. Καρκίνος πλαγίαν ἀεὶ τρεπόμενος, τήν τε ἐς δεξιὰ καὶ τὴν εἰς τὸ ἔμπαλιν, καὶ τὴν ἐξ αὐτοῦ γονὴν οὕτω ῥαιβουμένην βλέπων τὰ εἰς πορείαν, δεινὰ ἐποίει ἀγανακτῶν, καὶ τοῖς ἐκγόνοις ἐπιτιμῶν ἐνέκειτο, εἰ οὕτω δόχμιοι φέρονται, καὶ οὔ ποτε τὴν εἰς τὸ πρόσθεν οἴδασι τρίβον. Ὃς δὴ μῦθος οὗτος γελᾷ, εἰ παραινεῖ τις ἑτέροις, κατορθοῦν ἐκεῖνα, ἐφ' οἷς αὐτὸς ἀλιτρὸς ἐκβαίνει ἀεί. Καὶ ὁ γέλως οὗτος διαβαίνει καὶ ἐς τὰ καθ' ἡμᾶς. Κακώσεων γάρ τινων προϊσχόμενοι μνήμην οἱ τῆς καθ' ἡμῶν ὄντες μέμψεως, καὶ ἀεὶ τοῦτο λαλοῦντες, καὶ κατακεχωσμένοι ἐς αὐτὸ τὸ μνησίκακον προφανῶς, εἶτα δὴ τολμῶσιν αὐτὸ ἐπιγράφειν ἡμῖν. Τί λαλεῖς, ἄνθρωπε; Τραυματίζεις, καὶ καταῤῥέει αἷμα τοῦ τραύματος, καὶ ἡ πληγὴ βαθεῖα τῷ πεπονθότι, καὶ κέκραγε μόνον ἐκεῖνος, καὶ οὐ θαυμάζεις, ὅτι μὴ ἀντιπέπληξαι πρὸς ἄμυναν, ὅπως ἂν καὶ δύναιτο ἐκεῖνος· ἀλλὰ καταμέμφῃ, καὶ μνησίκακον ἐπικαλεῖς, οἷα τὴν φύσιν ἐλέγχειν ἐθέλων, εἰ κατὰ τὸν αὐτῆς νόμον ὑποκινεῖ τὸν ἀλγοῦντα παθαίνεσθαι. Εἰ δὲ καὶ πληγεὶς εἰς τραῦμα ὁ τοιοῦτος ὑποκλέπεταί σε εἰς τὸ ἐφεξῆς, καὶ ἐκτρέπεται, τί τοῦτο

καινόν; Οὐκ ἂν οὐδὲ ὄνος εἰς τὸ αὐτὸ δὶς προςκόψῃ. Πολλοῖς δὲ καὶ ἑτέροις τῶν ἀλόγων ἡ τοιαύτη παροιμία ἐπιμερίζεται φανταζομένοις, καὶ οὕτω φυλαττομένοις τὸ φθάσαν κακόν. Πῶς ἂν οὖν ἄνθρωπος, ὁ ἔσω λόγου, ἔξω ταύτης πεσεῖται, κακοποιηθεὶς ὁπωςοῦν, καὶ οὐδὲ εἰςάπαξ, ἀλλ' ἐπὶ πλεῖον; Οἶμαί γε, ὡς οὐκ ἂν ἐκεῖνος ὀρθοῦ ἔχοιτο λόγου, πλεονάζων ἐν τῷ ὁμοίως πάσχειν, καὶ μένων ἐς τὸ πᾶν ἀνάλγητος, καὶ || προςκόπτειν ἐςαεὶ ἀνεχόμενος. (Ms. fol. 84. a.) Εἰ μέντοι τὸ τοῦ κακοῦ προςκόμματος αἴτιον ὁ βόθρος τυχὸν ἢ ὁ λίθος ἀπέλθοι, ὁ μὲν εἰς πλάγιον τῆς τρίβου ἀφορισθείς, ἢ καὶ ἄλλως που ἀρθείς, ὁ δ' ἀνάπλεως γενονὼς καὶ μεστὸς καὶ οὕτω ναστός, τότε δὴ οὐκ ἂν ἔτι οὔτ' ἄνθρωπος, οὔτε μὴν ζῶον ἀλλοῖον ὑποκλέποιτο τὸν τοῦ προςκόμματος τόπον, ἀλλ' ἐκδοῖεν ἂν ἑαυτὰ τῇ ὁδῷ εἰς διατριβὴν οὐ καχύποπτον.

44. Δότε δὴ οὖν μοι καὶ ὑμεῖς περίπατον εὔοδον· ὑπεξέλετε τὰ παγιδώματα, σχάσατε τὰ σκάνδαλα, στερεώσατε ἀναπληροῦντες τὰ ὑποβοθρεύματα· καὶ οὕτως ὑμᾶς τε τὸ ἐκ θεοῦ κρίμα ἐπιλείψει, καὶ ἐμὲ τὸ δεδιέναι καὶ ὑφορᾶσθαι τὰ τῆς ὁδοῦ. Οἶδεν ὁ θεός, ὁ τὰ πάντα ἐξακριβούμενος, οἴδασι δὲ καὶ οἱ τῶν καθ' ἡμᾶς ἐπιστήμονες, ὡς οὐδὲν ἐξ ἡμῶν εἰςπαίει κακὸν εἰς οὐδένα. Οὐκ ἂν δὲ οἶμαι οὐδὲ οἱ καταλέγοντες ἡμῶν ἔχοιεν ἂν προσενεγκεῖν τι πρᾶγμα εἰς ἔλεγχον. Εἰ δὲ καὶ θετέον ἐπὶ προϋπάρξασι θεμελίοις τοῖς ἐξ ἡμῶν, ὄροφον αὐτοὶ κακώσεως ἔθεντο μνησικακίας οἰκείας λόγῳ. Τί δὴ ἀφιλοσόφως αἰτιῶνται νῦν, μνησικακεῖν ἡμᾶς, μεμνημένους, ὅτι μνησικάκοις ἀνθρώποις περιπεπτώκαμεν, τὸ οἰκεῖον κακὸν αὐτοὶ ἐπικλῶντες ἡμῖν;

45. Ἔτι ἀποφαίνομαι πάλιν θαῤῥῶν, οὐ ταὐτὰ νοεῖν μνήμην κακοῦ καὶ μνησικακεῖν, ἀλλ' ἐκεῖνο μὲν φύσεως ἀρετὴν εἶναι καὶ τελειότητα, περισωζούσης τῇ ψυχῇ τὸ τῶν παθημάτων, εἴτ' οὖν νοημάτων μόνιμον, ὅθεν καὶ τῇ μνήμῃ τὸ τῆς λέξεως ἔτυμον. Τὸ δέ γε μνησικακεῖν ψυχῆς φαυλότητα τίθεμαι μαχίμου καὶ ὀλοθρευτικῆς. Καὶ τοίνυν μέμνηται κακωθείς, ὅ τι περ οἶδα, καὶ εὐεργετηθείς ποτε. Μνησικακεῖν δὲ οὔτε οἶδα ὂν ἔργον ἐμόν, οὐδὲ μὴν ἐθέλω, καθάπερ οὐδὲ φιλονεικεῖν μάχιμον, οἷα καὶ συνειδώς, ποίῳ διδασκάλῳ μαθητής, εἰ καὶ ἀφυής, ἐπιγέγραμμαι, ὅτι δηλαδὴ τῷ εἰρηνικῷ καὶ πράῳ καὶ καθηγουμένῳ τῶν βουλομένων εἰς τὸ φιλάνθρωπον. Εἰ δέ τις ἑτεροιότης ἐν ἐμοὶ ἀγάπης πρὸς τόνδε τοῦδε τινός, καὶ ἑτέρου πρὸς ἄλλον, καὶ πολλῶν πρὸς πολλούς, οὔκουν ἔστιν, οἰκ ἔστιν ἄλλως εὑρέσθαι παρ' οὐδ' ᾡτινοῦν ἔχον τὸ πρᾶγμα.

46. Κοινωνοῦμεν ἀλλήλοις ἄνθρωποι πάντων τῶν εἰς χρῆσιν βίου, καὶ ὅμως οὐ τὸν αὐτὸν τρόπον ἐφ' ἅπασιν· ἀλλὰ ξένῳ μὲν ἀρκέσει ὁδοῦ ὀρθότητα πυθομένῳ καθυποδεῖξαι δακτύλῳ, γνωστῷ δέ τινι προςεπιθήσειν χρὴ καὶ λαλιὰν ἱλαράν, καί τι καὶ προόδου φιλοτιμήσεσθαι, καὶ τρύφος δὲ ἄρτου ἀποταμέσθαι καὶ δοῦναι, εἴγε πάρεστιν. Εἰ δέ τις ἐπὶ πλεῖον γνωρίζοιτο, ἐπιταθήσεται ὁ φίλιος καὶ εἰς κοινωνικὴν τράπεζαν. Ὁ μέντοι λόγῳ φιλίας ἐγγυτάτω κολλώμενος, ὕπερθεν τῶν τοιούτων ἁπάντων ἐστήξεται, οὐ μόνον τἆλλα τῷ φιλουμένῳ κοινούμενος, ἀλλὰ καὶ μυστηρίων ἐπιστήμην ἔχων τῶν τοῦ φίλου. Καὶ βίου μερισμὸν μὲν εἰπεῖν, οὔπω μέγα, ὅλου δὲ αὐτοῦ μετουσίαν καὶ εἰςποίησιν. Καὶ καινὸν οὐδὲν ταῦτα, εἰ καὶ πατὴρ ἀγέλῃ παίδων περιεστοιχισμένος, οὐ || τὰς αὐτὰς (Ms. fol. 84. b.) ἅπασιν ἀναπτύσσει πλάστιγγας, ῥέπει δὲ οὕτως ἢ οὕτως, ὡς τὸ τῆς ψυχῆς ποθοῦν καθέλκει, καὶ τῷ δοκοῦντι τῆς ὁλκῆς, ἀ[γάπης μέτρ]ῳ μετρεῖ τὸ φυσικὸν ἰσόῤῥοπον.

47. Τί δὴ οὖν τὸν μὲν ἐκπυροῦντα φλόγα ἐπὶ ἐμπρησμῷ οἴ[κου], εἰς δραστήριον ἄνδρα καλλιγραφεῖτε, τὸν δὲ ὑπανάπτοντα λύχνον, φυλακῆς χάριν, εἰς κακοῦργον ἐγγράφετε; Τί τὸν ὀρθὸν διδάσκαλον ἄλλως ἀντιδιδάσκετε; Τί τὴν στάθμην παράγετε; Τί τὴν σταφυλὴν ἀχρειοῦτε; Τί τὸν κανόνα στρεβλοῦτε; Τί κατὰ τῆς καθέτου χωρεῖτε; Τί τὸν δικαιοῦντα ζυγὸν μέμφεσθε; Τί δὲ ἐμὲ καὶ μόνον ἐν ἀνθρώποις ἕκαστος ἐθέλετε μετρεῖν, πρὸς ὃν ὑμεῖς προβάλλετε σταθμόν, καὶ λογοπραγεῖτε τὰ ἐν ἐμοὶ τῆς φιλίας ζυγά; Καὶ αὐτοὶ μὲν ἄνω κάτω τρυτανίζεσθε, ὅπῃ τύχῃ· ἐμὲ δὲ συναλλάσσειν ἐπιτάσσετε πρὸς ἰσότητα ῥοπῆς, ἔνθα μὴ ἔστιν εὑρεῖν, τί παρ' ὑμῖν καθεστὼς ἐν ταυτότητι. Εἰ γάρ που καὶ πρὸς βραχὺ αἱ πλάστιγγες ὑμῖν φυλάξουσι τὸ ἀῤῥεπές, ἀλλ' οὐκ ἔφθη τις οὐδὲ κατὰ μόνην ἐπαφὴν ὄψεως αὐτὸ ἰδεῖν, καὶ εὐθὺς τὸ ἀντίθετον τῇ καθ' ὑμᾶς φιλίᾳ τυραννεῖ τὴν ἡμετέραν πλάστιγγα, καὶ βαρυνομένην κάτω ἀχρειοῖ, ζητοῦσαν, ποῦ ποτε καθεστήξεται. Καὶ μέγα μὲν ἡμῖν ἐπικλᾶται κατηγόρημα, ὅτι μὴ πρὸς ὀρθότητα ἐπιβάλλομεν τοῖς τε περιδόξοις τῆς πόλεως ταύτης, τοῖς τε ὑποδεεστέροις, ἀλλὰ φύρδην καὶ ἀκρίτως αὐτοῖς προσφερόμεθα. Ἔχομεν δὲ ἡμεῖς οὐδ' ἐνταῦθα ἐπιδιορθοῦν τὸ ἐν ἡμῖν κριτικόν. Τὸ δὲ αἴτιον ὁ περιῤῥέων ἡμᾶς εὔριπος καὶ τὸ ἀείστροφον ἀνεμούριον. Οὐ φθάνει γάρ τις τῶν ἡμετέρων πολιτῶν ἔντιμον ἀποψήφισθαί τινα σήμερον, καὶ αὔριον ἐκεῖνος ἄτιμος ἅμα γραφείς, καὶ ἀχρόνως ἀπαλειφείς. Πλούσιος ἄρτι σεμνολογεῖται· καὶ μετὰ μικρὸν πενέστατος, τὴν φιλανθρώπου θύραν κοπτόμενος.

Εὐγενὴς ἐν τῇ καθεστώσῃ τοῦ χρόνου στιγμῇ· καὶ μετὰ λεπτὸν κακηγορεῖται γένους κατάγειν οἷον, καὶ ἀποτροπιάζεσθαι, καί ποτε καὶ δοῦλος, ὃ δὴ λέγεται, ἀντ' ἐλευθέρου φανείς. Ἀρεταίνειν τις καιρῷ ποτε μαρτυρεῖται· βραχὺς δὴ χρόνος, καὶ καταλέγεται εἰς ἐξάγιστον, ὡς εἴπερ ὄναρ ἐσκιάζετο. Πρὸς ποίοις γοῦν τὸν νοῦν ἕξομεν δόγμασι καὶ θελήμασιν, εἰ οὕτω πρὸς ἐναντιότητα σχίζονται; Ἐθέλω στέργειν τοὺς ἐπαινουμένους· καὶ πριν ἢ ἐγκαθίσαι αὐτοὺς ἐς ψυχήν, ἀπανίστανται.

48. Καὶ τροπῆς οὕτω καὶ στροφῆς πλημμελουμένης ἐν ἄλλοις, ἐγὼ τοῦτο πάσχειν διαβάλλομαι, καὶ βαρυνόμενος ἐπὶ τῷ κακῷ, μνησικακεῖν κακολογοῦμαι, καί που καὶ τὸ τῆς σελήνης φαντάζομαι, ἣν ἡ μυθικὴ μήτηρ μέμφεται, ὅτι εὐπάρυφον ζητοῦσα στολήν, οὐκ ἔχει ἐφ' ἑνὸς μεγέθους μένειν, ἵνα καὶ τύχῃ, οὐ θέλει, ἀλλὰ βραχύ τι πλήθουσα, τὸ λοιπὸν τοῦ (Ms. fol. 85. a.) κατ' αὐτὴν χρόνου ἐξαλλάσσεται εἰς ἀπερίληπτα || μεγέθη φωτισμοῦ. Καὶ πού φημι καὶ αὐτὸς τοῖς ἐμοῖς, ὡς ἀποκατάστητε εἰς ἕν τι τέλειον· ὁρίσατε ὑμᾶς αὐτοὺς εἰς ἓν ἀσχιδῶς καὶ ἀμετακινήτως· καὶ οὕτω καὶ ἡμᾶς ἀπαιτεῖτε πρός τι ὡρισμένον. Ἕως δὲ ὑμεῖς εὐρίπους ἑλίσσετε, καὶ πρὸς ἕκαστον ἄνεμον στρέφεσθε καὶ ἀντιστρέφεσθε, ἀφίετε ἡσυχάζειν ἡμᾶς, καὶ βαρύνεσθαι, καὶ μνήμην ἔχειν, οὐ βλέπομεν κακοῦ, καὶ λυπεῖσθαι, καὶ ἐπέχειν τὸ εὐπροσήγορον· ἐπεὶ καὶ τὸ θαῤῥεῖν, ὡς ἀγαπώμεθα, ἐποχήν τινα ἔχει.

49. Ὁμολογῶ, ἀδελφοί (εἴθε δὲ καὶ γνήσιοι, δυσκόλως ἔχει), εἰς ἐντυχίαν τὴν ἁπλῶς ἐξομολογοῦμαι σκυθρωπὰ βλέπειν, ὅτε που θηρίοις ἐντύχω, δεδοικώς, μή ποτε κατ' ἐμοῦ πηδήσωσιν. Ὀκνῶ καὶ αὐτὴν λαλιάν, μὴ καὶ ἀφυπνίσω ἐχθροὺς εὕδοντας. Ὅλως δὲ εἰπεῖν, οὐκ εἰμὶ ἐκεῖνος ὁ πρώην τοῖς κακὰ μηχανωμένοις, εἴτε λαλοῦμεν, εἴτε σιγῶμεν. Ἐξήλλαγμαι, πᾶσι μὲν οὔκουν, τοῖς δέ γε, εἴτε φιλοφρονούμεθα, εἴτε χρηστολογοῦμεν, εἴτε συμπράττομεν, εἴτε συνεφεπόμεθα, εἴτε τι ἄλλο ποιοῦμεν ἀγαπητικὸν καὶ ἐμμελές, διατιθεμένοις ἔμπαλιν, ὥσπερ ἐξ ἐπιτεχνήσεως. Ὀκνῶ τὰς καρδιακὰς πύλας ὅλας ἐξανοίγειν, εὐλαβούμενος λόχον. Φείδομαι τῆς ἁπλότητος διὰ τοὺς ἑλικτούς. Οὐ θαῤῥῶ γυμνοῦν τὸ πρόσωπον διά τινα ἢ σφῆκα ἢ θρήνην, εἴτε καὶ αὐτὴν μέλισσαν, τὴν ἄλλως μὲν γλυκεῖαν, τῷ δὲ κέντρῳ πικραίνουσαν. Συστέλλω τὰς χεῖρας, εἰ δεξιούμεναι δρύπτονται. Παρέλκω καὶ τὸ μέλι διὰ τὰς ἐπιβούλους μυίας. Οὐ προφαίνω γλύκασμα, οἷς ἡ ἀντίδοσις πικρά. Καὶ ἔχει καὶ τοῦτο οἶμαι λόγον τινά· ἀντὶ τοῦ μάννα χολὴ τῷ μεγίστῳ ἡμῶν δεσπότῃ ἄλλαγμά ποτε ἦν. Εἴπατε γοῦν, εἰ μετὰ τὴν τοιαύτην χολὴν εἰςαῦθις ἐῤῥέχθη μάννα τοῖς, ὡς ἂν εἴποι τις, ἐγκρυσιχόλοις ἐκείνοις; Ἀλλ' οὐκ ἂν οὔτε αὐτὸ εἰπεῖν ἔχοιτε, οὐδ' ἂν μνησικακεῖν βλασφημοίητε τὸν θεόν, ἐπειδὴ εἰς διαρκὲς οὐ μαννοδοτεῖ. Ἄπαγε τῆς ἁμαρτίας. Μάλιστα μὲν οὖν ἐννοήσεσθε, ὡς αὐτὸς μὲν οἶδεν ἐκείνους κακοὺς μένοντας· οἱ δὲ οὐκ ἀλλοιοῦνται εἰς τὸ δεξιώτερον. Κἀντεῦθεν ἐν μετεώροις μὲν ὁ τῶν ἀγγέλων ἄρτος κειμηλιοῦται, οἷς ὁ κοινὸς τῶν ἀγαθῶν ταμίας ἐπιμετρεῖ αὐτόν· οἱ δὲ πρὶν δι' αὐτοῦ τρυφήσαντες πεινῶσιν ἐπιεικῶς.

50. Ἐπάγομαι πυθέσθαι περὶ τοῦ Ἰσκαριώτου μαθητοῦ, εἴτε σέσωσται, εἴτε καὶ μή; Καὶ ἤδη δοκῶ ἀκούειν ὑπηχουμένην ἀπόφασιν, ὡς οὐ σέσωσται ὁ ἄνθρωπος. Καὶ ἐπάγω, πῶς δή ποτε τοῦτο; Καὶ μὴν μεταμέλου κέντρον ὑπέδυ ἐκεῖνον, καὶ κατένυξε, καὶ δὴ καὶ ἐποίησεν, ὅσα διέκρινε, τυφλὰ μὲν καὶ ὠδινήσας καὶ ἀποτεκὼν || ἐκεῖνος, οὐ τέλεον δέ, ὅμως (Ms. fol. 85. b.) ἄγονος ἀπεκβιάς, ὡς μὴ οὐκ ἐνδείξασθαι κατάγνωσιν ἁμαρτάνοντος αὐτὸς ἑαυτοῦ. Τί δὴ οὖν ὁ τὸ γλωσσοκόμον, ὁ καὶ αὐτὸς λογὰς ἐν μαθηταῖς, παρακέκρουσται εἰς ἀπώλειαν, καὶ ἐθέλει ἐλέγχειν τὸν θεὸν ὡς ἐπὶ ἀμύνῃ; Ἀλλ' ἰδού με καὶ τὸν τῆς ἀπορίας ταύτης δεσμὸν αὐτοὶ ἐπιλύεσθε. Φατὲ γάρ, ὡς δεόντως ἐκεῖνος ὁ ἐρωτήσας, εἴπερ αὐτός ἐστιν ὁ παραδιδοὺς τὸν διδάσκαλον, καὶ ἀκούσας τὸ σὺ εἶπας, καὶ οὕτω καταμηνύσας ἑαυτοῦ τὸ δεινόν, καὶ ὅμως μὴ μεταγνούς, ἀλλὰ καὶ φιλήσας τὸ μισητόν, ἄγονος ἔμεινεν ἀρετῆς, καὶ δένδρον ἀπεφάνθη εὐερνὲς μὲν ἄλλως, καὶ οἷον ἐπαγγέλλεσθαι καρποὺς εὐγενεῖς, ἀτελεσφόρητον δὲ ἀληθῶς εἰς εὐφορίαν καὶ ἀξίνης ἐπάξιον καὶ καταβολῆς εἰς πῦρ καὶ καῦσιν.

51. Εἰ δέ τις πρὸς ταῦτα εὐφυῶς ἀνθυποφέρει τό· ἀλλ' ἡμεῖς, εἰ καί τι τυχὸν φορτικὸν προέβη, ὡς αὐτὸς οἴει, ἐκθεραπεύομεν ἐκεῖνο τιμαῖς, προπομπαῖς, κεφαλῶν κλίσεσι, χρηστοῖς προςρήμασι, δι' ὧν πάντων φιλία χαρακτηρίζεται, οὐκοῦν μνησικάκου ἀποτέλεσμα μὴ πρὸς ἡμῖν ὡς καὶ πάλαι εἰκαίως σοι τὸν νοῦν ἡμεῖς πρὸς μὲν τὸ δῆθεν παραγραφικὸν τό· εἴ τί που καὶ τετέλεσται φορτικὸν καθ' ἡμετέραν δόκησιν, οὔτε αὐτοὶ ἐς πέλαγος ἀποδείξεως ἐκκυβιστῶμεν, οὔτε ὑμᾶς ἐς τοιαύτην ἐργωδίαν ἀφίεμεν ἀποδύεσθαι· κείσθω δὲ τὸ πρᾶγμα, ἢ ὡς οἴδαμεν ἄμφω, ἐγώ τε δηλαδὴ καὶ ὑμεῖς, εἴτε ὡς νομίζομεν. Ἐγὼ δὲ ἀντισταθμῶν ταῖς ὑμετέραις τὰς ἐξ ἐμοῦ πρός γε τὸ παρὸν ἀντιχάριτας, πυνθάνομαι· τί δὲ ἐγὼ μειονεκτῶ τῶν καθ' ἡμᾶς; οὐκ ἐπαλλάττω περιάγων τὰς χεῖρας πλέγδην ὡς εἰς δεσμὸν δουλόσυνον ἐφ' ὑμῖν; οὐ κατακλίνω κεφαλὴν καὶ τράχηλον; οὐ προςλαλῶ γλαφυρώτερον;

οὐκ ἐπισφραγίζω τοὺς λόγους ὀρθαῖς εὐχαῖς; Τί δὴ οὖν χρέους ὑπέρπλεον ἐμοὶ πρὸς ἀπότισιν; Εἰ δ', ὅτι προπομπαῖς οὐ χαίρομεν, βαρύνομεν τοὺς θριαμβικούς, ἔστι μοι καίριον εἰπεῖν, ὡς τοσοῦτον χρόνον εἰμὶ μεθ' ὑμῶν, καὶ οὔπω με οἴδατε. Οὐ μέμνησθε, ὅπως ἐγὼ κατεῤῥητόρευσα μυριάκις τῶν οὕτω δοξομανούντων. Οὐκ ἀναπολεῖτε εἰς νοῦν, οἷα πολλάκις ὡμίλησα εἰς ἐπήκοον· ἐν οἷς καί, ὅτι μάτην χαίρει πολυόχλοις προόδοις ὁ τὴν τελευταίαν πρόθεσιν ἐνθυμούμενος, καθ' ἥν, εἴ που καὶ τύχοι αὐτῆς, ἐν φέρτρῳ νεκρικῷ μετέωρος αἰρόμενος, οὔτε αἰσθάνεται, ὧν ἐκτιμᾶται, καί που καὶ ὑπὸ πλειόνων ὕβρεσι καταλούεται, οἷς ἔξεστι, καὶ τῷ νεκροφόρῳ σκίμποδι πελάζουσι κατὰ κόῤῥης τε τύπτειν τὸν προκείμενον, καὶ τὴν ῥῖνα ὀχλεῖν δακτύλοις ἐς ὕβριν, καί που καὶ ἐνάλλεσθαι κακοπραγμόνως· ὁποῖα πολλὰ οἴδαμεν ἐπὶ ἀλιτηρίων, οἳ καὶ μετὰ || Ms. fol. 86. a. θάνατον βαρὺν κότον τρέφοντες οὐκ ὀκνοῦσι, κωφὴν γαῖαν αἰκίζεσθαι.

52. Ὁ τοίνυν τοιαῦτα νοήματα εἰς τὴν καρδίαν ἀνάγων (ἀνάγει δὲ πάντως ὁ θνητὸν ἑαυτὸν γνωματεύων, καὶ μὴ τυραννῶν, φρονεῖν τὰ ὑπὲρ ἄνθρωπον) πῶς ἂν ἀποδέχοιτο θριάμβους τιμητικοὺς καὶ σκινδαλμοὺς δόξης, εἰς βραχύ τι ὥρας εἰδωλοποιουμένους, καὶ αὖθις λυομένους, ὡς οὐδ' ἂν σκιά τις εἰς ἀνυπόστατον; Ἐγὼ δὲ καὶ ἄλλως μυσάττομαι τὰς τοιαύτας ὀχλοκόπους προόδους, εὐδίας μὲν αἰθριαζούσης, διὰ τὸ πολὺ τῆς κόνεως, ἣν ἡ γῆ λεπτυνομοῦσα, ὅτε πολλοῖς ὀχλεῖται ποσίν, ἀναπέμπει καὶ κατ' αὐτοῦ προσώπου καὶ τῶν ἐν αὐτῷ τιμίων, ὅπερ ἐγὼ καθαρείως διακεῖσθαι καὶ ἀνεπιβουλεύτως ἔχειν φιλοτιμοῦμαι· ὅτε δέ ποτε ὁ κονίσαλος μὲν εἰς πηλὸν φυρᾶται καὶ αὐτὸν κάθυγρον, καὶ οἷον κεφαλῆς μὲν οὔκουν μόνης, τοῦ παντὸς δὲ κατεπιβουλεύειν σώματος, οὐδὲ τότε οὐδ' ὑπὸ τῶν φιλτάτων ἐθέλω τυραννεῖσθαι εἰς προπομπὴν ὀχληράν. Ἀρκοῦσι γὰρ καὶ οὓς ὁ θεὸς ἀναγκαίως ἐπέταξεν ἢ προηγεῖσθαι, ἢ συνεφέπεσθαι. Τί δὴ γοῦν βαρὺ ἐς πολύ, ἐὰν τοὐμὸν τοῦτο θέλημα συνιστῶ, ἀποδυσπετῶν εἰς τὸ μὴ ἐμόν; Ὅτι δὲ καὶ τὰς βαθυτάτας προσκυνήσεις τῶν οὕτως ὑγρῶν κατακύπτειν ἐν οὐδενὶ λόγῳ τίθεμαι, ἀλλὰ καὶ ἀπολογίζομαι, ἀνθομολογοῦμαι καὶ αὐτό. Τὸ δὲ αἴτιον οὐ μόνον, ὅτι τὰ τοῦ θεοῦ ἀνθρώποις οἱ πολλοὶ ὁσιοῦνται οὕτως, ἐφ' οἷς οὐ χρεών, ἀλλὰ καὶ ὅτι πεπείραμαι πολλὰ τοιαῦτα καὶ παικτικῶς ἐν ἀνθρώποις ῥᾳδιουργούμενα. Πρὸ δέ γε τῆς πείρας ἔχω διδαχθεὶς καὶ τὴν ἐπὶ τῷ σωτῆρι Χριστῷ κλίσιν γονάτων ἐκείνην τὴν ἐν μυκτηρισμῷ, οὗ ἕνεκεν οἱ φαῦλοι ἐκεῖνοι προσκυνηταὶ καταλέγονται.

53. Ἴσως δὲ οὐκ ἀπᾷδον, καὶ λόγον ὑμῖν ἐρεῖν, ἐξ οὗ πρώτου τὸν τοιοῦτον νοῦν ἐκέρδανα, πείρᾳ διαλαβών, ἣν συγγραφῆς ἁπάσης πρόδρομον οἴδαμεν. Διδασκάλω ἤτην σοφώ, καὶ ἄμφω ἄνδρε, ὁ μὲν ἐμοὶ τεταγμένος εἰς ἀγωγήν, ὁ δὲ ἕτερος χρηστὸς αὐτῷ κατὰ συνήθειαν. Καὶ ἦν ἀμφοῖν ἅπαν πρᾶγμα φίλιον, τὰ οἴκοι, τὰ θύραζε, καὶ ὅλως εἰπεῖν, τοῦ βίου τὸ πᾶν. Ἧκε δὴ καιρὸς τρυγητοῦ, καὶ ὡς ἑκάτερος κἀνταῦθα εἴθιστο, συμπροῆλθον τῆς μεγίστης τῶν πόλεων εἴς τινα χωρία, οὐ πάνυ μέν, ἀνακεχωρηκότα δὲ μετρίως τῆς Μεγαλοπόλεως προαστείων δίκην· ὧν τὸ μὲν τῷ γεραιοτέρῳ πατρόθεν ἀφώριστο, τὸ δ' ἕτερον ἀντεπαρεκάθητο, συγγενείας λόγῳ προσῆκον τῷ 'μῷ καθηγητῇ. Καὶ ἡ θέσις ἑκατέρων ἀντιπρόσωπος, τοῦ μὲν ἐκεῖθεν, τοῦ δ' ἔνθεν κειμένου τῆς διὰ λίθων μαρμάρων στρωτῆς ὁδοῦ, ἧς ἐπιπολῆς ἱερὸς νεὼς τῷ μεγαλωνύμῳ μάρτυρι Γεωργίῳ μέχρι καὶ νῦν ἵδρυται· οὗ προεστὼς ἐξ ἀνατολῶν κίων μάρμαρος ἐκ λευκοῦ ἀνεστήλου κατὰ κεφαλῆς ὡς οἷα καὶ κιονόκρανον μαρμάριον πίνακα, στίλβοντα ἡλιῶδες, ᾧ σταυροῦ τύπος τίμιος ἐγκεχάρακτο. Καὶ ἦν ἐκ τοῦδε τοῖς ἐκεῖ κλῆσις παρώνυμος πινα || Ms. fol. 86. b. κι. Καὶ ὁ κίων μὲν ἐκεῖνος χρόνῳ μακρῷ πεισθεὶς κελεύοντι τρομαλέος ὀθενοῦν γίνεται, καὶ πίπτει (χρόνος οὗτος οὐ μακρός), καὶ θραυσθεὶς οὐκέτι ἀνίσταται. Συναπῆλθε δὲ αὐτῷ καὶ ὁ κιονίκτης σταυρός· καὶ ὅμως τοὔνομα τῷ τόπῳ ἐκεῖθεν σώζεται, καὶ καλεῖται Πινακίδιον. Ὄνομα τοῦτο κενὸν πράγματος, ἐγκαταχωσθέντος τοῦ ἔργου ὀλέθρῳ, οἷα καί τινι τάφῳ, καὶ τύπον οἷον κενηρίου περισώζοντος. Εἰς δὴ τόπον τοῦτον παρεγενέσθην ἄμφω οἱ σοφοί, καὶ καθιζήσαντες ἐπὶ τὴν λιθόστρωτον ἐπὶ καχλήκων, οἳ σωρηδὸν ἐκεῖ ἐστοιβάδαται· καὶ ὑπὸ συκῇ γεγονότες, ἧς ἀπετελεῖτο σκιά τις ἀμφιλαφὴς καὶ οἵα σκέπειν ἀλύπως τοὺς ἐπ' αὐτῇ ἐνδοιάζοντας, ὡμίλουν ἀλλήλοις, τὰ πλείω μὲν καταμόνας, ὡς ἢ φιλοσοφεῖν αὐτοσχέδια, ἢ βίου τρίβους περιηγεῖσθαι. Ἤθελε δὲ αὐτοῖς ἡ φιλόσοφος ἀστειότης καί τι πρὸς χάριν ᾄδειν, καταμωκωμένους τῶν ὅσοι κατὰ τὰς ὁδοὺς προφοροῦνται ὧδε καὶ ὧδε, πλανύττοντες ἐν πράγμασι, καὶ βίου τοῦτο δίασμα περιστρέφοντες, ὥστε τρέφεσθαι. Τῶν δὲ ἀγελαίων ἐκείνων ὁδιτῶν ἀστείους μυκτῆρας ἀκροωμένων οἱ μὲν σεμνότεροι καὶ εἰδότες τὼ λαλοῦντε ἄνδρε, ἐσιώπων καὶ προσεκύνουν, καὶ οὕτω τιμῶντες ἀπηλλάττοντο· οἱ δὲ κατὰ νεότητα θερμοὶ ἀντεφώνουν ἠρέμα, καὶ ἡ τοῦ λόγου χάρις ἀπεγέννα τινὰς ἐν ἐκείνοις χάριτας, ἱλαρὰς μέν, οὐκ ἔξω δέ τινος ἀγροικίας, ὁποίαν ὁ γεωργικὸς ἀκόρητος βίος οἶδε τημελεῖν. Πολλοὶ δὲ καὶ εἰς τὸ συνάμωρον ἐκκλίνοντες

ἐβλασφήμουν καὶ αὐτοὶ ἀδιαφόρως, ὡς ἡ τρὺξ ὑπελάλει ἔνδον ζέουσα· καὶ ἦν τοῖς σοφοῖς ἐκεῖθεν γέλως μειδιάματος μὲν σφοδρότερος, μῶμον δὲ οὐκ ἐπισυρόμενος. Παρίστατο ἐπὶ τούτοις καὶ νεανίας οὐκ ἀγεννής, γραμμάτων τῶν μὲν ἤδη γεγευμένος, τῶν δὲ μελλων, καὶ δολιχὸν εὐτυχῆ τοῦτον ἀνύσαι καραδοκούμενος. Ἐθάῤῥησε δὴ καὶ ἐκεῖνος, ἐπεί, καθ᾽ Ὅμηρον εἰπεῖν, νεοίη καὶ ἐκεῖνον ἐξενίκησεν, ἐκβαλεῖν ἔπος τι κέρτομον κατὰ τοῦ γεραιτέρου. Καὶ ὃς ἱλαρότητι γλυκερᾷ θυμὸν ἀψινθώδη συγκερασάμενος, ἀρθῆναι τὸν γραμματικὸν ἐννοεῖται μετέωρον ἠρέμα ἐπὶ ἀγκαλῶν γενναίου ἀνδρός· καὶ αὐτίκα ὁ μὲν ἅμα νεύματι αἴρεται, καὶ ῥάβδος τῶν ἐκείνου γλουτῶν κατηνέχθη ἐστρίς. Ἐπὶ τοσοῦτον ὁ μέγας ἄρχων τὴν ἐπεξέλευσιν ἐμετρίασε. Τοῦ δὲ ὅμως αἰδὼς περιῆλθε τὸ πρόσωπον, ἀντιλάμψασα τῷ ἐκ φύσεως κάλλει τῷ ἐρυθροδάνῳ τοῦ ἐρυθήματος. Ὡς δὲ τὸν ἀστεῖον ἀναιδῆ ἐς τοσοῦτον αἰσχύνας ἐξανέστη ὁ καλὸς γέρων, καὶ τὸ λιθόστρωτον διέβη, καὶ τοῖς αὐτοῦ ἤγγιζε, συνομαρτοῦντος καὶ τοὐμοῦ διδασκάλου, καὶ δυσωποῦντος ἐπὶ τῷ νεανίᾳ εἰς ἔλεον, ἐκεῖνος εἰς οὐδὲν οὐδὲ παρανοίγων τὰ χείλη, ὡς οὐκ ἀΐοντι ἐοικώς, ὃ δὴ πεποίηται, κατέκλινε τὴν στάσιν εἰς οὐδὸν ξύλινον ἀγροτικόν, ὁποῖος καὶ τὸν σοφὸν || [Ms. fol. 87. a.] Ὀδυσσέα ἐδεξιοῦτο οἴκοι ἐπαναζεύξαντα. Ἐντεῦθεν ὁ παῖς ἑαυτὸν δεσμεῖ τῷ πρὸ τοῦ στήθους πλέγματι τῶν χειρῶν. Καὶ πρῶτα μὲν παρίσταται κατηφής, ἐθέλων καὶ ἔνδακρυς εἶναι· εἶτα καὶ τῷ ἐδάφει πιστεύει τὴν κεφαλὴν ἱκετευτικῶς, οὐ φόβου ὑποκινοῦντος εἰς πάθος, ἀλλὰ τῆς κατὰ ψυχὴν ἀστειότητος. Λαλεῖ δὴ καὶ οἰκτρὰ ὡς ἐῴκει (τάδ᾽ ἦσαν σκηνή), συνεκλαλεῖ δὲ καὶ ὁ ἐμὸς διδάσκαλος, ἀλλ᾽ αὐτὸς ἐνδιακειμένως· καὶ πείθουσιν ἄμφω τὸν σοφὸν εἰς ἀγαθὰ νοοῦντα, ὁ μὲν ἱερὸς ἀνὴρ ἐν ἁπλότητι, ὁ δὲ νέος ἐνδομύχῳ στυφούσῃ γλυκύτητι. Ὡς δὲ ἐμαλάχθη ἑκατέρωθεν ἐκεῖνος, καὶ κατένευσεν ἔλεον, καὶ δὴ καὶ ἐξέγερσιν τοῦ νέου ἐκ τοῦ κατὰ γῆς κεῖσθαι, γίνεται τῆς ἐνεργοῦς ἐν ἀστειότητι μηχανῆς ὁ παῖς· καὶ τὴν κεφαλὴν εἰς γῆν εὖ μάλα κορυφαίαν ἐρείσας, καὶ τὰ ἑξῆς νωτιαῖα εἰς πλέον ἐπικυρτώσας, καὶ γυρώσας ἑαυτὸν ὡσεὶ καὶ τόξον ῥαιβόν, εἶτα τὼ πόδε εἰς μετέωρον ἐπάρας κατὰ τὸν ἱστορηθέντα χειρονομεῖν σκέλεσι, καὶ οὕτως ἀναστὰς ἐκ τοῦ κεῖσθαι κύμβαχος, καὶ συστήσας ἑαυτὸν εἰς ὄρθιον, καταράσσει τὰ ὀπίσω κατὰ τοῦ θαυμασιωτάτου γέροντος, καὶ βίαιος ἐπεισπεσών, ἐκεῖνόν τε καταῤῥίψας ἔσω τοῦ ἀγροικικοῦ οἰκίσκου, ὑπτιάζει, καὶ αὐτὸν ἐπιπίπτει κατὰ σχῆμα ὅμοιον, καὶ πλήττει τοῖς καθ᾽ ἑαυτὸν πρανέσι τὰ κατ᾽ ἐκεῖνον ὕπτια, κεφαλὴν μὲν τοῖς ἐκείνου ποσὶν ἐκκλίνας, αὐτὸς δ᾽ αὖ τῆς ἐκείνου πυράγρας τρόπον λαβόμενος. Ἐπὶ τούτοις γέλως μὲν ἦν οὐδαμόθεν, ἀλλὰ πάντες ἐτεθήπεσαν, εἰ οὕτω παῖς ἐκεῖνος ἄνδρα τοιοῦτον κατεσοφίσατο· καὶ ἤλπιζον κολαστικὴν παίδευσιν. Ὡς δὲ ὁ ἥρως ἐκεῖνος διεχέθη ἐπὶ τῇ νεωτερικῇ δεξιότητι, καὶ τὸ οἷα εἰκὸς προδρομὸν τοῦ κατὰ πρόσωπον ἐκείνου νέφος ἱλαρότητι γλυκείᾳ περιῤῥαγὲν ἀπῆλθεν, ὑπερησθέντες τὸ περιεστηκὸς στίφος αὐτοί τε ἐχάρησαν, καὶ τὸν παῖδα συνέλυσαν.

54. Τίς δὴ οὖν ἐγγυήσεται, μὴ καὶ ἡμᾶς καταχλευάζεσθαι τοιούτοις προςκυνήμασιν; Ἐπὶ τούτοις εἴ τις ἐπαποροίη, ὅ τί ποτε τοῦ λοιποῦ ποιητέον, εἰ πάντα ἡμῖν ὕποπτα, λελύσεται τὸ ἄπορον οὕτως, ἀδελφοί· ὃ ἐγὼ ποιῶ, ποιεῖτε, καὶ μὴ φιλοτιμεῖσθε πλεῖον, οὗπερ ἡμῖν ἐγώ. Ὅτε δὲ θεῷ καὶ τοῖς ἁγίοις αὐτοῦ εὔχοισθε, τότε δὴ ἐξὸν ὑμῖν, εἴγε καὶ δύνασθε, ὅλους εἰς γῆν καταῤῥέειν, καὶ οὕτω κατάγειν ἄνωθεν τὸν θεῖον ἔλεον· ἡμᾶς δὲ ἄφετε ἀνθρώπους εἶναι, καὶ τιμᾶσθαι ἀνθρωπικῶς, εἴ που καὶ χρεών. Εἰ δὲ καὶ ταῦτα εἰπὼν περὶ τῆς ἀναμαρτήτου τῶν κακῶν μνήμης, ὕποπτος ἔτι ἐς μνησικακίαν εἰμί, ἐπειδὴ μεμνημένος, μὴ πᾶν, ὅ τι βούλεσθε, ὑμῖν ἐφίημι, ἀλλ᾽ ἐγὼ τοῦ ταῦτα δοξάζειν οὐκ ἀποστήσομαι.

55. Λέγω δὲ πάλιν ἀναλαβών, ὡς οὐκ ἄν, οὐδὲ εἰ μυρία δεινά ποθεν ἀκούσομαι, ἀνασχοίμην καταθέσθαι, ταὐτὸν εἶναι (συνῃρημένως λέγειν) μνησικακεῖν, καὶ αὖ πάλιν ἐν διαλύσει μεμνῆσθαι κακοῦ. Ἀλλ᾽ ἐκεῖνο μὲν καμήλου τίθεμαι καὶ τῶν ὅσα τοιαῦτα, καὶ ἀνθρώπου || [Ms. fol. 87. b.] δὲ ψευδομένου τὴν θείαν πλάσιν, καθ᾽ ἣν εἰς ἀγαθοποιΐαν εἴργασται· αὐτὸς δὲ μέμνημαι ἀπονήρως, εἴ τι που κακὸν ἢ σύμβαμα ἢ παρασύμβαμα προέβη ἐπ᾽ ἐμοί. Καὶ πως εἰς φαντασίαν ζωϊκὴν ἐμοὶ τὰ τῆς τοιαύτης μνήμης ἀποτελευτᾷ, συναποληγούσης εὐθὺς τῷ φαντάσματι. Οἶδα γὰρ εὖ μάλα, ὡς δαιμονᾷ ἐκεῖνος ἄνθρωπος, καὶ ἐν ἑαυτῷ φέρει τὸν αἰώνιον κακόν, τὸν οὐδέποτε ἀγαθοποιόν, τὸν ἀεὶ πολέμιον· ὅς, εἴ τί που ἐςάπαξ πάθοι ἀβούλητον, λαβὴν ταύτην ἔχων κακύνει διὰ βίου τὸν βρ·χὺ βλάψαι φθάσαντα.

56. Οὐκοῦν μνησικακεῖν εἶναι οἶδα τὸ ἀποδιδόναι μετὰ κάκωσιν ἀνταπόδομα, ὃ δὴ τῶν ἀμυνομένων ἐστί, καὶ ἄλλως δέ, ὡς ὁ μελικὸς ἅγιος βασιλεὺς ὑποβάλλει λέγειν τὸ ἀνταποδιδόναι τοῖς ἀνταποδιδοῦσι κακά· τό δέ γε ἁπλῶς μεμνῆσθαι κακώσεως τήν τε φύσιν ἔχει συνήγορον, εἴτε συνέριθον, καὶ φρενήρη χαρακτηρίζει ψυχήν. Ἐβλάβην· μνήσομαί ποτε. Τοῦτο φιλοτιμία φύσεως. Μνησάμενος οὐ βλάψω· τοῦτο ἐπιεικὲς καὶ θεοφιλές. Εἰ δὲ καὶ τὰ βλάψαι

ὑποβλέψομαι, ὅτε προπέσοι τῆς ὄψεως, ἀλλ' αὐτὸ εὐλαβὲς καὶ φυλακτικόν, καὶ οὐδὲ πόῤῥω συνέσεως. Εἰ γὰρ ὑπὸ παντὶ λίθῳ κατακοιμᾶσθαι δοκεῖ σκορπίος παρά γε τοῖς ἑαυτοὺς φυλασσομένοις (οὐ δήπουθεν γὰρ ἁπλῶς ἀληθὲς τὸ πάντα λίθον σκορπιοφόρον εἶναι), τῷ παντὶ μᾶλλον ὑποβλέποιτ' ἄν τις λίθον, ὅθεν σκορπίοι τινὲς ἢ προέβησαν, ἢ προέκυψαν· πρὸς οἷς δὴ λίθοις οὔτε ποσὶ γυμνοῖς ἐγγίσει τις, οὔτε κατακοιμήσεται, κἂν ὅτι μάλιστα οἱ τὴν σοφίαν ἁπλοῖ μνησικακεῖσθαι καὶ τοὺς τοιούτους λίθους φιλοσοφοῖεν. Οὐ τοίνυν οὐ μόνον οὐκ αἰδοῦμαι λέγων, μεμνῆσθαι κακόν, εἴ τί που πάθω· ἀλλ' ἐν πολλοῖς καὶ εὔχομαι τοιοῦτος εἶναι, ἵνα μὴ κατὰ τὸ πάλιν καὶ πάλιν ἀφύλακτα κακούμενος, οὐκέτι οὐ μὴ ὑπάρξω, ἀλλ' οἰχήσομαι καὶ καταγελώμενος, οἷα ἐς τὸ πᾶν ἀπροόρατος.

57. Τί με διδάσκεις, ὦ 'γαθέ, ἃ μὴ μανθάνειν πέφυκα; Τί δὲ ἄγειν ἐθέλεις, ὅποι μὴ ἔστι προβῆναι; Τί με τὸν ὀρθὸν κατακάμπτεις; Τί τὸν ἀνακεκαλυμμένως βιοῦντα διαστρέφεις εἰς ὕπουλον; Οὐκ ἔχω καταθέσθαι, ὡς ἀμνήμων ἔσομαι εἰς τὸ πᾶν· ἀλλὰ καὶ μέμφομαι τὸν αὐτὸ ἀξιοῦντα· καὶ ἔστι κατά γε τὸν ἐμὸν λόγον δεινὸς πολέμιος, ὃς καὶ λοχήσας πολλάκις μνημονικῶς, καὶ εἰς φανερὰν δὲ μάχην θρασὺς προπηδήσας, πεπραχὼς δέ τι καὶ κατὰ τοῦ πολεμηθέντος, εἰ καὶ μὴ μέγα, εἶτα τὸν ἐπηρεασθέντα ἐθέλοι ἐκλαθέσθαι, ὅ τι πρὸς ἐκείνου πάθοι, ἀδηφαγῶν οἷον τὴν ἀγάπην, καὶ μὴ ἐθέλων ἄρκιον αὐτῷ εἶναι, σπονδὰς τέως εὑρέσθαι, καὶ εἰρηνεύειν, καὶ μὴ πάσχειν ἄμυναν. Δῆλον γάρ, ὡς ἀξίωμα ὁ ἄνθρωπος προβάλλεται, ὅπερ οὐκ ἂν ὁμολογοῖτο δεκτὸν εἶναι.

58. Πολέμιε ἄνθρωπε (λαλῶ δέ, ὦ οἶδα, πρὸς μόνην
Ms. fol. 99. a. πράγματος μνήμην, οὐ μὴν σπαράττω μνη||σικάκως τὸ νόημα), ὦ τοίνυν τὰ πρὸ τούτων πολέμιε· οὐκ ἀποστέργω σπεισάμενος, ἀλλὰ φυλάττεσθαι μελετῶ, καὶ οὐκ ἤδη, ὡς σὺ ἂν εἴπῃς, μνησικακῶ· ἀλλ', εἴ με χρὴ κατά τινα τέχνης κανόνα ὄνομα θέσθαι, φυλαξίκακός εἰμι, εὐμαθέστερον δὲ εἰπεῖν, δειλός, εὐλαβής, τὸν νοῦν ἔχων πρὸς ἐμαυτῷ ἐστυμμένως εἰς ἀσφάλειαν. Ἐγὼ δέ πως καὶ τιμῶ τὸν καὶ ἐχθράναντα, καὶ φοβερόν μοι ἐσπευκότα γενέσθαι. Ποιοῦμαι γὰρ ἤδη τὸν ἄνδρα, καθὰ προὔθετο, καὶ ἐν μεγαλείῳ ἐκεῖνον τίθεμαι, καὶ οὕτω προσέχω ἐμαυτῷ γραφικῶς, καὶ συντηροῦμαι, μήποτέ τις λόγον καὶ πάλιν καθίσας, οἷα φίλεχθρος, ἐρεῖ, ἅτι ἴσχυσε κατ' ἐμοῦ. Οὐκ εἰμι, ὦ ἀδελφέ, παντελῶς ἄνθρωπος τύρβης, οὐδὲ τῶν πάνυ τυχαίων, ἀλλ' ἔχω τι καὶ ἐπικόσμημα τῶν κατ' ἄνθρωπον, ὅ τί ποτέ τις ἐκεῖνο λογίσεται τῶν εὖ εἰδότων τὰ καθ' ἡμᾶς. Ὡς ἐν δὲ τὸ πᾶν εἰπεῖν, ἔχω καὶ αὐτός. Εἰ δὴ πρὸς τὸν ἔχοντα ἕρπειν ὁ φθόνος ἐθέλει, τίς ἄν με πείσῃ, μὴ οὐχ ὑφορᾶσθαι τὴν τοιαύτην ὕπουλον ἕρψιν, καὶ ταῦτα ἐφ' οἷς ἤδη καθείρπυσέ μου πρὸς δόλον, καὶ οὐχ ἅπαξ, οὐδὲ δίς; Οὐκ ἄν, οὐδ' εἰ μυριάκις καταλέγῃ τις ἐμοῦ τὸ μνησίκακον, μεταστήσωμαι τοῦ τὸν φθόνον φυλάττεσθαι, καὶ τὸν ἕτερον μέν, ὃς οὔπω προὔφηνεν ἑαυτόν, μάλιστα δέ γε τὸν παῤῥησιασάμενον.

59. Ἐγὼ δὲ καὶ ἐκεῖνο οἶδα, ὡς ἡ μνησικακία μὲν κακία πάντως, καὶ κακιῶν ἡ χειρίστη, καὶ οὐκ ἔστιν ἀντιπεσεῖν· τὸ δὲ εἰρηναίως καὶ ἀπαθῶς μεμνῆσθαί τινα, εἴ τί που φθάσας κεκάκωται, γλίχομαι ἰδέσθαι τὸν οὕτω σοφόν, ὡς ἐξονομάσαι, ποῖ φαυλότητος τέτακται, κακίᾳ δὲ ποίᾳ παρωνυμεῖται· ἵν' οὕτω καὶ αὐτός, εἴ γέ που καὶ δυνήσομαι, κατεπιχειρήσω τῆς φύσεως, καὶ ἐξωθήσω τὸ μνημονικὸν αὐτῆς, ὃ κακοῦ μὲν μέμνηται, ὅτι καὶ καλοῦ, καλοῦ δὲ αὖ πάλιν, ὅτι καὶ κακοῦ. Ἔνθα καὶ διοριστέον, ὡς ὁ μὲν καλοῦ μεμνημένος, ὅπερ εὕρηκέ ποθεν, ἀντευποιήσει, χάριτος ἀντιστροφῇ χάριν ἀντιτικτούσης· καὶ ἔστι τοῦτο ἀνθρώπου ἀρεταίνοντος. Ὁ δὲ κακοῦ μεμνημένος, εἴτ' οὖν κακώσεως τῆς ἔκ τινος, εἰ μὲν σπουδαιότερον βιοῖ, μέχρι τοῦδε ἑστήκοι ἄν, καὶ εἰς οὐδὲν προχωροίη πλέον, ἢ τὸ φυλάττεσθαι, μέχρις ἂν ὁ ἐν τοῖς πρακτέοις γνώμων ἢ ἐγκρίνῃ φιλικὴν ἁρμονίαν τῇ μακρᾷ δοκιμασίᾳ, ἢ ἀποκρίνῃ ἐς τὸ ἐκδιδράσκειν τὸν ἐχθραίνοντα. Ὃ δὴ καὶ τὸν μακάριον Δαυῒδ ἔσωζεν ἐκ τοῦ ἀθλίου Σαούλ, οὐ μνησικακοῦντα πάντως (πρᾳότατος γὰρ ὁ προφήτης), φυλαττόμενον δὲ ἐκ τοῦ κακοῦ προμηθέστερον.

60. Καὶ τοιοῦτος μὲν ὁ ὡς ἐῤῥέθη μεμνημένος κακοῦ, ἄνθρωπος ὢν ἐκεῖνος ἐμμέριμνος καὶ ἀσφαλὴς καὶ πλουτῶν ἐν συνέσει, καί γε καὶ αὐτὸς ἔμπροσθεν καὶ ὄπισθεν βλέπων, εἴτ' οὖν τοῖς φθάσασι τὰ εἰσέπειτα ἢ τεκμαιρόμενος, ἢ καθ' ὑπόνοιαν φαντασιούμενος· ὁ δ' ἄλλως μεμνημένος κακοῦ πρὸς ἄμυναν, εἴτε μίαν τινά, εἴτε καὶ διαφόρους, τοῦτο δὴ τὸ δαιμονιῶδες, μνησίκακος ἀκραιφνὴς ἐκεῖνος, καὶ || πολὺ Ms. fol. 99. b.
διάφορος τῷ ἄλλως μεμνημένῳ κακοῦ κατά γε τὸ φύσει τέλειον τῆς ψυχῆς. Ἔστι δὲ ἄρα ὁ ἀληθῶς μνησίκακος οὐκ ἀπεσχοινισμένος οὐδὲ τοῦ χαιρεκάκου. Ἐκεῖνός τε γὰρ ἡδύνεται κακοποιῶν, καὶ ὁ μνησικακῶν δὲ οὐκ ἂν εἴη μὴ χαίρων ἐν τῷ μνησικακεῖν. Τί δή ποτε οὖν, ὦ εἴ τινές που λοχᾶτε ἀμφίβολοι· ἆρα οἱ κατάρχοντες κακῶν ἐπὶ ἀνθρώπῳ οὐδὲν αἰτίῳ δύναιντ' ἂν ἐκφυγεῖν τὸ καλεῖσθαι χαιρέκακοι; Οὐκ ἔγωγε οἶμαι. Εἰ δὲ τοῦτο, οὐκ ἂν οὐδὲ τοῦ

μνησικακεῖν οἱ τοιοῦτοι ἀπέχοιντο ἄν. Τί δὴ οὖν ἑτέροις τὰ σφῶν αὐτῶν ἐπικλῶσι; Καί που καὶ αὐτοὶ δημοκοπικῶς φασι πρὸς τὸν οὕτω ψευδωνυμούμενον, ὡς τὰ ἡμετέρα σά, καὶ ἡμεῖς γελῶντες ἐπεγχανούμεθα.

61. Ἔπεισί μοι, ὦ φίλον ἀκροατήριον, καὶ εἰςέτι λαλῆσαι πρὸς μνησικακίας διάρθρωσιν. Μέμνηταί πως καὶ βρέφος κακώσεως, τιθηνούσης αὐτὸ καὶ οὕτω τῆς φύσεως, καὶ πληγὲν ἅπαξ χειρί, καὶ ἰδὸν αὐτὴν εἰςαῦθις ὁπωςοῦν ἐπαρθεῖσαν, συστέλλεται λόγῳ μνήμης τινός, καὶ ἡ φαντασία σφίγγει αὐτὸ δειλαινόμενον. Καί, οἶμαι, οὐκ ἤδη μνησικακεῖ ἐκεῖνο, εἴπερ ἡ μὲν μνησικακία κακία πάντως, βρέφος δὲ ἅπαν κακίας ἀνεπίδεκτον. Οὔκουν μνησικακεῖν ἐξ ἀνάγκης ἐστὶ τὸ μεμνῆσθαι κακώσεως. Μνήμην ἔχουσι τοῦ κακοῦσθαι καὶ οἱ παιδαγωγούμενοι, καὶ βελτιοῦνται τῇ μνήμῃ, ἐναγόμενοι τῇ εἰςάπαξ κακώσει πρὸς τὸ μὴ καὶ ἐφεξῆς ἐφάμαρτον. Καὶ ἔστι καὶ ἡ τοιαύτη τοῦ κακωθῆναι μνήμη οὐδ᾽ αὐτὴ μνησικακία, φύσεως δὲ συντήρησις εἰς παιδείας ἀσφάλειαν. Οὐκοῦν καὶ ἡλικία πᾶσα ἡ κατ᾽ ἄνθρωπον τῆς αὐτῆς ἀκολουθίας ἕξεται, καὶ ἐν οὐδεμιᾷ μνησικακίας ἔσται ἀπόδειξις ἡ τῆς κακώσεως ἀνάμνησις. Ἔπαθέ τις ἐξ ἀπροόπτου πληγὴν ὁποιανοῦν παροδεύων, καὶ ἀναλαμβάνει τάχα μνήμην, οὗ πάθοι· καὶ οὐδ᾽ αὐτὸς μνησικακεῖ, ὅτι μηδὲ εἰς ἀνταπόδομα καταστρέφει, καὶ οὐδὲ πολυπραγμονεῖ τὸν πλήξαντα. Εἰ δὲ καὶ φυλάσσεται τὸ τῆς πληγῆς δίσσευμα, οὐκ ἔχει τὸν μεμψόμενον.

62. Ἤδη που καὶ φιλία ἡ ἀληθὴς οἶδε ποτὲ δαίμονος φθόνῳ καὶ κάκωσίν τινα, καὶ τὸ ἐντεῦθεν ἀκολούθως καὶ μνήμην αὐτῆς, καὶ ὅμως οὐδαμοῦ παρείςδυσιν ἐκεῖ ἔσχε τὸ μνησίκακον· ἀλλὰ τὸ μὲν πταιστὸν τῆς ἐν ἀνθρώπῳ φύσεως κατέσεισε τὴν φιλικὴν οἰκοδομὴν καὶ ἐκάκυνε, κανὼν δὲ φιλικὸς τὸ κατασεισθὲν ὑπήρεισεν αὖθις, καὶ εἰς ἑδραῖον ἠσφαλίσατο. Ἅμα γὰρ ὁ φίλος ὑπεμνήσθη πρός τι κακὸν ἐξοκεῖλαι, καὶ εὐθὺς ἐπανελθὼν εἰς τὸν τῆς ἑταιρίας λιμένα κατῆρε. Καὶ ἰδοὺ μνήμη κακοῦ αὕτη ἀναπέφηνεν ἐπανάκλησις ἀγαθοῦ.

63. Ἔστι καὶ νεμεσητικῶς μεμνῆσθαι κακοῦ τινα τοῦ γε ἐπ᾽ ἄλλῳ, μενοῦνγε καὶ πολλοὺς τῶν σωφρόνων ὡς ἑκάστοτε· οἳ ἀγαθόν τι παρηνομημένον μαθόντες, καὶ τὸ κακὸν μυσαχθέντες, βαρύνονται || κατὰ τοῦ (Ms. fol. 89. a.) παρανόμου, καὶ οὔτε συνοδεύουσι τῷ τοιούτῳ, ἀλλὰ κἂν εἴ που σχίσμα ὁδοῦ ξυναγάγῃ αὐτοὺς εἰς ἕν, ἐκτρέπονται τὸ συνάντημα, καὶ εἰς τοσοῦτον ἀμύνονται νεμέσεως λόγῳ τὸ κακόν, οὐδέν τι προςεπιβλάπτοντες. Εἰ δὴ μνησίκακοι οὗτοι, γνωματευέτωσαν οἱ ἐν ἡμῖν σοφοί, παρ᾽ οἷς ταὐτὸν κακοῦ μνήμη καὶ μνησικάκημα. Μέμνηται κακοῦ καὶ ὁ τιθέμενος ἐξομολόγησιν. Τολμάτωσαν οὖν ἀποῤῥιπτεῖν καὶ τὸν τοιοῦτον εἰς μνησίκακον· ψεγέτωσαν δὲ ἐφ᾽ ὁμοίᾳ κακίᾳ καὶ τοὺς τῶν ψυχῶν ἀναδόχους, καὶ ὁπλιζέσθωσαν οὕτω κατ᾽ αὐτῆς ἐξομολογήσεως. Ὁ γάρ τοι καταρτίζων ψυχάς, κακιῶν μεμνημένος παλαιῶν, ἐνεργεῖ τὰ σωτήρια, οὐ μνησικακῶν. Ἢ γὰρ ἂν ἑτέρους ὠφελῶν αὐτὸς ἐβλάπτετο, καὶ σωτηρίαν ἄλλοις πραγματευόμενος ἀπώλειαν ἀπεκέρδαινε, μεμνημένος δὲ κακίας, ἵνα φαρμάκῳ μετανοίας ἐκκενώσῃ τὸ ἐκ κακιῶν δηλητήριον. Οὔκουν οὐδ᾽ ὁ τοιοῦτος μνησίκακος, ὦ τὰ πάντα ὑμεῖς μνησίκαλοι.

64. Ἔστιν εὑρεῖν κακοῦ μνήμην καὶ ἱστορικήν, ἐξ ἧς ὅσα καὶ μητρὸς προΐενται γνώσεις τινὲς καὶ συγγραφαί, ἀπομνημονεύουσαι κακὰ πεπραγμένα πρὸς τούτων ἢ ἐκείνων, οἳ ταῖς βίβλοις ἐμπεριειλήφαται. Εἰ τοίνυν κακῶν μέμνηνται μὲν καὶ οἱ ἱστοροῦντες, οὐ καταλαλοῦνται δὲ μνησίκακοι, καὶ οὐδὲ συγγραφεύς, εἴπου μνήμας τοιαύτας ὑποκινεῖ, καταφάσκεται εἰς μνησίκακον, τί δὴ παίζειν χρή, τὴν ἁπλῶς τοῦ κακοῦ μνήμην εἰς μνησικακίαν ἀνάγοντας; Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Εἰ ἐμὲ ἐδίωξαν, φής, ὦ σῶτερ δέσποτα· οὐκοῦν μνησικακεῖς, εἴγε διωγμὸς μὲν ἅπας εἰς κάκωσιν προςλογίζεται, ὁ δὲ μνησθεὶς κακοῦ τοιούτου μνησίκακός ἐστιν. Ἀλλὰ τοῦτο μὲν θεὸς ποθεν ἴσως ἀκούει πρὸς ἀντίθεσιν, καὶ δύναται αὐτὸ ἐπιλύσασθαι. Εἰ δὲ καὶ ὁ Δαυῒδ ψάλλων περί τινων, ὡς κακὰ εἶπον αὐτῷ, καὶ ὡς λόγοις μίσους ἐκύκλωσαν αὐτόν, καὶ ἐπολέμησαν αὐτῷ δωρεάν, ψεχθείη ποθὲν οἷα μνησίκακος, εἴγε μέμνηται κακωθείς· ἀπολογήσεται καὶ αὐτὸς μετὰ τοῦ πνεύματος, καὶ ἀθωώσει ἑαυτόν, ἐφ᾽ οἷς ἐξελέγχεται.

65. Ἡμεῖς δέ φαμεν, καὶ ὡς οὔτε πατήρ, οὔτε διδάσκαλος, οὐδὲ μὴν ποιμὴν δυνήσεται, ὁ μὲν ἔκγονα, ὁ δὲ φοιτητάς, ὁ δὲ τρίτος θρέμματα ἐπιστρέψαι, πρὸς ὅπερ ἑκάστοις πρόκειται ἀγαθὸν τέλος, εἰ μὴ μέμνηται καὶ κακῶν, ἃ παῖδες ἢ μύσται ἢ ποίμνια κακοῦσι, θλίβοντα τοὺς ἐπιστατοῦντας, τὸν πατέρα, τὸν διδάσκαλον, τὸν ποιμαίνοντα. Εἰ δὴ οὖν καὶ αὐτὸς ἐγὼ πῇ μὲν πατὴρ κατὰ πνεῦμα, πῇ δὲ καὶ τροπῆς ἔξω διδάσκαλος, ἤδη || δὲ καὶ ποιμήν, ὁποίους (Ms. fol. 89. b.) ὁ θεὸς ταῖς ἑαυτοῦ ἱεραῖς μάνδραις ἀποστέλλει ἐπιστατήσοντας· εὔλογον μοι, καὶ μνήμην ἔχειν κακῶν τινων, ἅπερ ὡς εἰκὸς ἐξαμαρτάνουσιν οἱ ὑπὸ πατρότητα θείαν, οἱ ὑπὸ παίδευσιν κυριακήν, οἱ ὑπὸ ποίμανσιν ἀποστολικήν. Τί δὴ παραιροῦμαι τῆς ὕλης, ἐξ ἧς ἀνακύπτει τὰ διδασκαλικά; Δῆλον γάρ, ὡς

διδασκάλοις τοιούτοις οὐ πανηγυρίζειν ἐπαινετικῶς δέδοται ἀεὶ τοὺς παιδευομένους ὑπερεξαίρουσιν εὐλογητικῶς· ἀλλ' ἔστιν οὐ καὶ ἐξονειδίζειν προφέρουσι τὰ φαῦλα, ἐξ ὧν αὐτοὶ δακνόμενοι τὴν ψυχήν, εἰς τὸ διδασκαλικὸν ἑαυτοὺς καθιᾶσι θέατρον. Οὕτως ὁ ἐκ Καππαδοκίας ἀνασχὼν φανότατος ἥλιος Βασίλειος, οὕτως ὁ συνανασχὼν αὐτῷ λαμπρὸς φωσφόρος Γρηγόριος, οὐκ ἄλλως δὲ οὐδὲ ὁ χρυσόῤῥους Ἰωάννης, καὶ μὴν οὐδ' ἕτερος, ὅστις οὖν τὰ θεῖα λαλῶν, οὓς μὲν κατευθύνοντας εἰς ὁδὸν κυρίου ἑώρων, εὐλόγουν, κἀντεῦθεν θάῤῥος ἐνεποίουν καὶ ἐπὶ τὰ ἑξῆς τοῦ ἀγῶνος κατὰ τοὺς ἀλείπτας, οἳ τοῖς ἀγωνιζομένοις ἀμφεστῶτες τὰ τῆς νίκης μεθώδευον. Καὶ κατορθοῦντας μὲν εὐλόγουν· εἰ δέ που φαύλως ἐκείνους ἔβλεπον διατιθεμένους, καὶ ἀχρειοῦντας τὴν ἀλειπτικὴν ἀρετήν, καὶ οὕτω τοῖς διδασκάλοις κακύνοντας τὴν ψυχήν, οὐκ εἶχον εὐλογητικῶς τοῖς τοιούτοις προςφέρεσθαι, ἀλλ' ἐκακολόγουν, ἀλλ' ὀνείδεσιν ἔπλυνον, ἀλλὰ προέφερον τὰ ἡμαρτημένα εἰς πλατυσμὸν ἐλέγχου, ἀλλ' ἐθριάμβευον, καὶ ταῦτα οὐ μνησικάκως, ἀλλ' ἐπιστρεπτικῶς, εἴ πως αἰσχυντηλοὶ ἀποφανθέντες ὀρθὰ βαίνουσιν. Εἰ δὲ καὶ ἔδακνον, οἷς ἔλεγον (ἔδακνον δὲ ἂν πάντως καὶ πλέον, εἴπερ ἐὰν πληγαῖς ἐπέστρεφον), διδασκαλικὸν ἄρα καὶ τοῦτ' ἦν, οὐ μέν τοι κακωτικὸν ὡς εἰς ἄμυναν, ἵνα καὶ πληθυνόμενον εἰς μνησικακίαν ἐγγράφηται.

66. *Θεωρητέον οὖν, εἰ καὶ ἐγὼ ἐν τῷδε τόπου τετάξομαι, ὃς καὶ καλοῦ μεμνημένος, οὗ τέλος ἡ εὐλογία, καὶ κακοῦ δέ, οὗ τὸ ἔμπαλιν, ἔχω μὲν καὶ τοὺς εὐλογημένους, διὰ τὸ καλοκάγαθον· ἔχω δὲ καὶ τοὺς ἀνάπαλιν ἐκπίπτοντας, διὰ τὸ οὐ μισόκακον. Καὶ τοῖς μὲν ἡδὺς κρίνομαι διὰ τὴν εὐλογίαν, τοῖς δὲ δακνηρὸς διὰ τὸ μὴ ἔχειν ἐπαινεῖν, πλὴν εἰ καὶ φόρτον ἐπάγω, καὶ κακοποιεῖν δοκῶ. Ἀλλ' οὐκ ἀποστήσομαι διακείμενος οὕτως, πρινὴ ἀπογνῶ τῆς ἐκείνων διορθώσεως. Τότε δὲ καθεδοῦμαι ἄφωνος καὶ ἐνεός, οὐκ ἐμπαζόμενος, ὅπως ἄν με χαρακτηρίζῃ τις, εἴ τις πρὸς ἐμπάθειαν, εἰ βούλεται, μνησικακοῦντος, εἴτε πρὸς* Ms. fol. 90. a. *ἦθος βαρύμη||νι καὶ σκληρὸν καὶ ἀτέραμνον. Εἰ γὰρ τοῖς ἀκροωμένοις παιδευτικῶς οὐκ ἐπικείσεται ἀνάγκη, πρὸς τῷ διδασκάλῳ ἔχειν τὸν νοῦν, ὀρθοτομοῦντα τὸν ἀληθῆ λόγον, εἰ καὶ τοῖς ἔργοις φαύλως ἔχει, ὃ κωλύει οὐδὲν εἰς παίδευσιν ἀρεταῖς κατὰ τό· ἃ λέγουσιν ὑμῖν οἱ ἱερεῖς ποιεῖν, ποιεῖτε, καὶ τὸ ἐχόμενον· σχολῇ γ' ἂν ἔμφρων διδάσκαλος ἕψεται τοῖς τοιούτοις, καὶ ἀντικαθεστηκότος πρεσβύτου φιλέψιος γένηται.*

67. *Εἴην λέων, τὸ ἐπισκύνιον ἢ ἐξαίρων ἢ καθειμένος, καὶ μὴ κατὰ τὴν λυρικὴν Σειρῆνα πίθων ὁ καλός. Καλοίμην αὐστηρὸς καὶ στιφρός, καὶ μὴ πλαδῶν καὶ ἔκλυτος. Φανοίμην ὀφρυόεις ἐπὶ σεμνότητι, καὶ μὴ κορυζῶν, καὶ μύξῃ κατάῤῥυτος διὰ τὸ κατ' ἀγροικίαν παιδνόν τε καὶ ἀφελές. Μισῶ Πρωτέα τὸν πολύμορφον. Φιλῶ τὸ κατὰ θεὸν μονότροπον. Ἀποτροπιάζομαι τὸ κατὰ τὴν Ἔμπουσαν πολυφάνταστον. Ζηλῶ τὸ κατ' ἄνθρωπον ἁπλοῦν καὶ ἀποίκιλον. Μὴ σφαῖρα λογιζοίμην κατὰ πρανοῦς, ἧς ἀεὶ τὸ οὕτως ἄστατον, ἀλλὰ κύβος, οὗ τὸ στάσιμον καὶ ἔξω ψόγου τετράγωνον. Οὐκ οἶδεν ἡ φύσις τρικέφαλα τέρατα· πῶς οὖν εἰδείη ἂν ἑκατογκέφαλα; Οὐδὲ τὸ τοῦ Ἰάννου διπρόςωπον ἀκαταιτίατον. Ἕν μοι πρόςωπον εἴη διὰ παντός, ὃ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ θεὸν πνέουσι. Μὴ ὀρχοίμην μήτε πρὸς πυῤῥίχην, μήτε κορυβαντιῶν· ἀλλὰ ῥιζοίμην, μόνιμος βεβηκώς, ἐφ' οὗ χρεών, φυτὸν οὐράνιον ἔκ ποθεν παραδείσου τοῦ κατὰ τὴν μεγίστην σοφίαν. Ἐκήπευσέ με ὁ θεὸς ἐνταῦθα, οὐκ οἶδ', εἴτε ἔγκαρπον, εἴτε καὶ ἄλλως ἐψιλωμένον τῶν τρεφόντων. Ἑστήκοιμι οὖν, ὡς ἐτάχθην, καὶ μὴ ἄνω κάτω γεγονώς, οἷς ἀνασκαλεύομαι, συναχρειώσω καὶ τὰ κοινωνοῦντα μοι ἐς ὁμοειδές. Ἄλλο λαὸς ὁ ἁπλῶς, καὶ ἄλλο λαὸς ὁ ἱερός. Οὗτος μὲν ἄνω, ἐκεῖνος δὲ ἀλλὰ ὑποβεβηκώς.*

68. *Τί δὴ οὖν με καθέλκειν βούλεσθε, τὸν μὴ πεφυκότα κατακάμπτεσθαι, εἰς ὃ μὴ δίδωσιν ὁ κανών, ὁ εἰς ὀρθὸν ἀποξέων με; Ἐπαίχθη καὶ ὁ μέγιστος δεσπότης ἡμῶν, καὶ οἱ ἐμπεπαιχότες δικαιολογοῦνται καὶ εἰςέτι τά γε σφίσι δοκοῦντα· ὀνίνανται δὲ οὐδέν, ὡς καὶ συντετάχθαι τοῖς ἐκλεκτοῖς. Ἀλλ' ὅτε δή τις καὶ τῶν οὕτω κακοεργῶν πρὸς ἐκείνου γένηται καθαρῶς, καὶ ἀποείπῃ τὰ πρότερον, τότε δὴ καὶ προςίεται τὸν τοιοῦτον ἐκεῖνος, καὶ μηδὲ πρότερον κακὰ ποιῶν ἐπ' αὐτῷ, εἰ καὶ κακὸν αὐτὸν εἶναι οἶδε. Πῶς γὰρ ὁ ζωογονῶν ἐκ γενετῆς, ὕστερον ἀγαθὰ ἐπιῤῥέει, οὐχ ὁποῖα ὁ εὐαγγελικὸς φιλεῖ πλούσιος ἀποπληροῦν τῇ ψυχῇ, ἀλλὰ καὶ τὰ πολλῷ μείζω ἐν ἰσοκλήρῳ τοῖς αὐτοῦ μαθη||ταῖς; Οὕτω δὲ καὶ πάντα τὸν ἐξ αὐτοῦ* Ms. fol. 90. b. *ἀποσκιρτῶντα, εἴπερ ἐν ὅλῃ ψυχῇ ἐπανέλθῃ, οὐχ ὡς ἀρχέκακον ἀμύνεται, ἀλλ' ὡς ἰδιόκτητον ἀγαθὸν παραδέχεται. Καὶ μὴν ὁ οὕτω σωτὴρ ἄλλον τρόπον ἐξολοθρεύει πάντα τὸν πορνεύοντα ἀπ' αὐτοῦ.*

69. *Τοιούτων ἐγὼ παραδειγμάτων ζηλωτής, εἰ καὶ ἀφραίνων λέγω. Καὶ τοῖς μὲν ὀρθοῖς συνεξορθῶ ἐμαυτόν· εἰ δέ τις εἴη στρεβλός, οὐ διαστρέφω μὲν εὐκόλως οὕτως· εὔχομαι δέ, μὴ ἀποτελευτῆσαι εἰς ὅμοιον. Οἶδα χρεώστης εἶναι τοῦ ἀδικούμενος μὴ ἀνταδικεῖν. Μὴ εἰδέναι δέ, ὡς ἠδίκημαι, οὐκ ἀφίησιν ἡ καθάπαξ ἀπογραφομένη καὶ τὰ τοιαῦτα μνήμη. Δακνόμενον*

δάκνειν, ἡ παροιμία ἐφίησιν. Ὁ δὲ εὐλαβὴς λόγος οὔκουν ἀφίησι· παραλύων δὲ τὴν συνάφειαν τὴν δάκνειν δάκνεσθαι, κλείει τὸ στόμα τῷ δακνομένῳ, μήποτε ἀντιδακὼν βλέψῃ ὁποῖά τι δάκος ἀποτρόπαιον. Εἰ δέ γε ὁ τῷ δήγματι πιεσθεὶς πάθοι λυσσῶδές τι ἐντικέν, καὶ παράσημος ἐκεῖθεν μένει, τοῦτο δὴ τὸ μένειν μνήμην ἀντικινοῦν ἀντίδειξιν μὲν οὐκ ἐνεργεῖ, ἀνάμνησιν δὲ μόνην συγγραφικήν, οὐ πεπόνθοι ὁ ἄνθρωπος.

70. Οὔκουν πάντῃ πάντως κακιστέα ἡ τοῦ κακοῦ μνήμη· ἀλλ' ὅσον μὲν αὐτῆς ἀνὴρ ἀμυντὴς ἀπομερίζεται, σκορακιστέον, εἰς ὅσον ἔξεστιν· ὁπόσον δὲ ἡ κατ' ἄνθρωπον ἁπλῶς ἀπομνημόνευσις ἐκληρώσατο, ἔγωγ' οὖν οὐκ οἶδ', εἴ τις ἀπαλεῖψαι δύναιτο τῆς ψυχῆς. Εἰ δέ τίς που καὶ τοιοῦτον ἄνδρα ἴσως ἱστόρησεν, ἴτω πρὸς παραδοξίαν, καὶ θαυμαζέτω, καὶ ζηλούτω αὐτός, εἰ δύναται· ἐγὼ γὰρ οὔτε ῥᾷον καταθείμην ἄν, καὶ ἀκολούθως οὐδὲ θαυμάσομαι, ὅτι μηδὲ ζηλοῦν δυνήσομαι, οἷα λογιζόμενος, μνήμην ἐμπεφυτευμένην ἀνθρώπῳ εἶναι παντὶ καλοῦ μέν, ἵνα πρὸς αὐτὸ ῥυθμίζηται τὸ κατὰ βίον ἦθος, κακοῦ δέ, ἵνα τὸ φαῦλον ἐκκλίνηται. Καὶ οὕτως ἔχοι ὁ ἄνθρωπος ἐκλογὴν μὲν τοῦ κρείττονος, ἔκκλισιν δὲ τοῦ εἰς ἀβελτηρίαν ἀπάγοντος, ἥ τις δὴ μνήμη ὡς τὰ πολλὰ καὶ ἄκοντί τῳ ἐπιπετάννυται, καὶ ὡς οὐκ ἂν προέλοιτο, καί που καὶ οὐδὲ πρὸς ἡδονήν. Ὡς γὰρ τῇ ὄψει ὅρασις οὐχὶ αἱρετή ἐστιν, οὗ περιπίπτειν εἴωθε, καὶ τῷ τῆς ἀκοῆς αἰσθητηρίῳ ἀποτρόπαιον ἄκουσμα, καὶ τῇ γεύσει δὲ παρεγχυμίζεταί ποτε τὸ μὴ φιλητόν, παρεισκρίνεται δὲ καὶ τῇ ὀσφρήσει τῶν τι μὴ ῥᾳδίως προσιτῶν· οὕτω καὶ μνήμη φιλεῖ μὲν τῶν καλῶν εἶναι, παρεισδύεται δέ που καὶ τὰ μὴ καλὰ οὔκουν αἱρουμένοις τισί. Τίς γὰρ ἂν προέλοιτο τοῦ καλοῦ καὶ ἡδέος τὸ πάντη ἔμπαλιν; Οὐκοῦν καλῶς οὔτε καταθήσομαι, οὔτε θαυμάσομαι, ὅπερ ἀνόπιν ἐλάλησα.

Ms. fol. 91. a. 71. Καὶ μήν, εἴ γε θησαυ || ροφυλάκιον οἷόν ἐστι φύσεως ἡ μνήμη, ἐν ᾧ ταμειουχεῖται πολλὰ μὲν κακά, πολλὰ δὲ καὶ ἐσθλά, καὶ ἐξ οὗ καὶ αὐτοῦ προάγονται καινά τε καὶ παλαιά, τὰ μέν τινα ἐπὶ ὠφελείᾳ τῇ αὐτόθεν διά τὸ καλόν, τά δὲ καλὰ μέν, λυσιτελῆ δὲ ἢ πρὸς παράδειγμα τοῦ φυγεῖν, ἢ πρὸς παραμυθίαν τὴν διὰ συγκρίσεως, ἢ πρὸς φυλακὴν καὶ συντήρησιν· πῶς ἄν τις ἱεροσυλήσας τὸν πολυτίμητον τοῦτον φυσικὸν θησαυρόν, μόνην τὴν τῶν κακῶν αὐτὴν καθ' αὑτὴν ἀπαγάγοι μνήμην, εἰ μὴ ἄρα τόπος τίς ἐστι καὶ ἐν αὐτῇ καὶ μεσότοιχον, δίχα μερίζον τά τε καλὰ μνημόσυνα καὶ τὰ ἐναντία, ὡς ἔχειν τινὰς τὰ μὲν φαῦλα ὑφελέσθαι καὶ ἐξελεῖν, καὶ οὕτω κενεαγγίαν ποιῆσαι τινά, τὰ δὲ ἀγαθὰ μένειν ἐπὶ χώρας ὠφεῖναι, ὡς πλουτεῖν οὕτω τὴν φύσιν, ἐφ' ἥμισυ κολοβωθεῖσαν τοῦ λοιποῦ ἀγαθοῦ, καὶ διεκπεσοῦσαν τοῦ μεστοῦ καὶ ναστοῦ ἢ πλήρους; Ὃ δήποτε λόγος πάσχειν τὰ ὄστρακα. Μὴ γάρ ἐστι δειχθῆναι, ὡς οὐκ ἀγαθὸν καὶ ἡ τῶν κακώσεων μνήμη, ὅτε μή τις τὸ θεῖον παραχαράττει νόμισμα.

72. Ἐγὼ μὲν οὖν ἤθελον καὶ κατὰ τοὺς ἱστορημένους μνήμονας, οἵ περ ἀπεκληροῦντο τισὶν ὀπαδοὶ ἐν πολέμοις, εἴ πως ὑπομιμνήσκοιεν ἐκκλίνειν τὰ κινδυνώδη, εἶναι καὶ ἐμοὶ τοιοῦτον τινά, ὃς ἐν καιρῷ λαθόμενόν με κακοῦ τινος ἀφύκτου παρένυττεν ἄν, ἐν θυμῷ τιθεὶς μοι φυλάττεσθαι, μὴ καὶ πάλιν ταὐτοκάκως πείσομαι· καὶ οὕτω μὲν ἐγὼ ἐπραγματευσάμην ἂν τὴν ἐν καιρίῳ μνήμην τοῦ κακοῦ. Μνησικάκῳ μέν τοι ἀνθρώπῳ ἄλλως ἐπιθυμία μνήμης, ὁποία καὶ ἡ κατὰ τὴν πίνναν τὸ ὄστρακον. Ἐκείνη τε γὰρ φιλεῖ τὸν πιννοφύλακα, ὅτι περ ἀνεῳγυῖαν αὐτὴν πιέσας ταῖς χηλαῖς, ὁπηνίκα δι' αὐτῆς ἰχθύδιον παροδεύει, ἐρεθίζει, καὶ συστέλλειν ποιεῖ τὰς οἷον τοῦ ὀστράκου παλάμας, καὶ οὕτω χειροῦσθαι τὸ ὀψάριον εἰς βρῶμα ἑαυτῇ τε καὶ τῷ καρκινιδίῳ, δι' οὗ πορίζεται τὰ ἐς τροφήν. Καὶ ὁ μνησικακῶν δὲ οὕτω φιλεῖ μνήμονα, ὃς ἐκλαθομένῳ ὑποκινεῖ μνήμην κατά τινος, καὶ ὡς οἷον εὕδουσαν ἀφυπνίζει πρὸς ἀνθρώπου ἔνσχεσιν καὶ ὄλεθρον· ὃς δὴ τοιοῦτος μνήμων ἀπαλιφείη, μὴ ὅτι γε τῆς κατὰ ψυχὴν ἡμῖν δέλτου, ἀλλά γε καὶ τῆς τῶν ζώντων. Ἔστι μνήμη δικαίου καὶ μνημόσυνον αἰώνιον, εἰς ὃ ἔσται ὁ δίκαιος. Τί γοῦν; Οὐκ ἔστι καὶ τῶν μὴ δικαίων μνήμη; Ἔστιν ἀλλοῖον, καὶ πάντως ἀναγκαίως. Καὶ οὐκ ἤδη που ὁ τῶν ἐκδίκων μεμνημένος ἀνδρῶν ἐγγράφεται εἰς μνησίκακον, ἐπεὶ κατὰ φύσεως ἀπογραφὴν καὶ τῶν μὴ τοιούτων ὡς εἰς ἀνάγνωσιν μέμνηται.

73. Ἵνα || δὲ μὴ τὸν ἀκριβῆ λόγον ἐπὶ πολὺ ἀναρτῶ· φέρε διαγραψάμενος ἐμαυτὸν σκιαγραφίας λόγῳ ἀμυδρᾶς, εἶτα καὶ ὁρίσομαι τὴν μνησικακίαν ὑμῖν, ἐκ τῶν ἔξωθεν ὑφελκυσάμενος λόγῳ παραποιήσεως. Ζῇ τῶν τις ὁπωσοῦν ἦν ὅτε λυπησάντων ἡμᾶς· οὐ πικραίνομαι. Προσεπικοσμεῖ τὴν αὑτοῦ ζωὴν καὶ τὸ εὖ· οὐ φθονῶ, ἀλλὰ γλυκαίνομαι, θαῤῥῶν καὶ αὐτὸς τὸ τοιοῦτον θεόθεν ἀγαθόν. Ὑγιαίνει· οὐ θλίβομαι. Στέρεται· ἀναπληρῶ, εἴ τί που ἔχω. Πένεται· ἐπιδίδωμι τὸ πρὸς ἰσχύος. Ζητεῖ τὸ δυνατόν· οὐκ ἀνανεύω. Προσλαλεῖ· ἀμείβομαι φιλοφρόνως. Παίει· ἐπεύχομαι βελτιοῦσθαι. Ὑβρίζει· προσποιοῦμαι κωφεύειν. Σιγᾷ· σιωπῶ. Ἀντιπαρέρχεται παραβλώψ·

Ms. fol. 91. b.

καὶ πῶς ἂν ἐγὼ οὐ τοιοῦτος ἔσομαι; Αἰτεῖται συμπάθειαν· δίδωμι μετὰ τῆς εὐχῆς ὁλοψύχου. Κλίνει κεφαλήν· ἀντιπροςκυνῶ. Δεσπότης ἐγὼ παρ' ἐκείνῳ· αὐθέντης ἐκεῖνος παρ' ἐμοί. Εὐπρυςήγορος αὐτὸς εἰς ἐμέ· οὐδὲν ἧττον ἐγὼ ἐπ' αὐτῷ. Ἐπὶ δὲ τούτοις, εἰ καὶ φιλίαν ζητεῖ τὴν ἐν χρῷ καὶ τὸ σύσσιτον καὶ ὁμωρόφιον, ὀκνῶ.

74. Ὑποτιθεμένης γοῦν τοιαύτης διαγραφῆς, ἐφ' οἷς ἐγὼ διατίθεμαι πρὸς τοὺς βλάπτοντας, γίνομαι τοῦ προτεθειμένου ὅρου, καὶ λέγω, μνησικακίαν εἶναι κότου πέψιν, ὑποσμύχοντος δεξιῶς, πότε ἂν βλάψαι τὸν ἐγκοτούμενον. Κότος ἄρα σύνεστι τῷ μνησικάκῳ, ζητῶν βλαπτικὸν ἀποτέλεσμα. Ἔνθα δὲ οὐκ ἔστιν ὅλως μνήμη κοτήεσσα, μνημοσύνη δὲ ἄλλως ἀνακινοῦσα φαύλου τινὸς φαντασίαν ἁπλῆν, οὐ μὴ ἐπὶ κακώσει τινός, αἰδέσεται, οἶμαι, ὁ φρονῶν καὶ ἐγγράψαι τοῦτο εἰς συστοιχίαν κακίας· εἰ δὲ μὴ τοῦτο, οὐδὲ εἰς μνησικακίας αὐτὸ θήσει παράπηγμα.

75. Καὶ ἄλλως δὲ κάλλιον, ἀλλοφύλῳ σφύρᾳ κατακροτῆσαι τὸ ἐμὸν τοῦτο κατὰ κακίας ξίφος. Ὁ χόλος, εἴτ' οὖν θυμός (εἰ δέ τις εἰπεῖν βούλοιτο, καὶ ὀργή) οὔτε ἐν κινήσει τυγχάνων ἔτι καὶ βρασμῷ, εἰς ἀκραιφνῆ ἁμαρτίαν ἐγγράφεται, οὔτε μὴν παυσάμενος μὲν κινήσεως, μὴ ἐλλοχῶν δὲ καὶ ἐνεδρευτικῶς ἐγκαθήμενος. Ἀλλ' ὅτε ἂν καὶ ἐς τοσοῦτον ἀλλοιωθείη καταπεφθείς, ὡς μὴ ἔχειν θλίβειν ὅλως τὸν ἤδη χολωθέντα, μήτε μὴν ταράσσειν καὶ ἐνοχλεῖν, ὥςτε καὶ θέλειν ἐξεμεῖσθαι· τότε δὴ οὐδ' ἂν χόλος ἔτι λέγοιτο, τῷ παντὶ δὲ πλέον οὔτε μήνιδος κληρώσεται κλῆσιν, ἀλλ' οὐ κότου. Ποῦ γὰρ μῆνις, ποῦ δὲ κότος, ὃ μήτε παραμένει, μήτε ἔγκειται; Καὶ ἄλλως δὲ γοργότερον τὸ αὐτὸ σφυρηλατῆσαι· μνησικακεῖν λέγοιτ' ἂν τὸ καταπέψαι μὲν αὐτίκα τὸν χόλον, μετόπισθε δὲ κατακρύπτειν αὐτὸν κότου δίκην, ἕως ἂν Ms. fol. 92. a. βρασθείη ἐκζέ||σας πρὸς ἀποτέλεσμα.

76. Καὶ οὕτω μὲν ἐφαντάσαντο καὶ οἱ τὰ ἐς πίστιν τυφλοί, ὅ,τι δήποτε ἡ τῆς μνησικακίας φαυλότης βούλεται. Οἱ δὲ τρανέστερον εἰς τὸ τῆς ἀληθείας φῶς ἀναβλέψαντες, καὶ ἡμᾶς ποιεῖν οὕτω διδάξαντες, οἷς ἔψαλται· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά· ὁρίζονται προφανῶς, μνησίκακον εἶναι, ὃς ἂν ἀνταποδοίη κακώσεως κάκωσιν. Καὶ τοῦτο μὲν τοιοῦτον. Ἀλλὰ προςεπιδοτικοί μοι καὶ ὑμεῖς, ὦ πατριαρχικοὶ παῖδες, οἱ τοῦ μεγάλου πατρὸς Ἰσαάκ, εἰπεῖν τι καὶ ὑμέτερον, ἐξ οὗπερ ἀνακύπτει φιλόσοφος λόγος, ὁρίζων τὸ μνησικάκημα. Φατὲ γὰρ οὕτω· μήποτε μνησικακήσει ἡμῖν Ἰωσήφ, καὶ ἀνταποδῷ ἡμῖν ἀνταπόδομα πάντα τὰ κακά, ἃ ἐνεδειξάμεθα αὐτῷ. Ταῦτά τε οὖν ἀριδήλως τὸν τῆς μνησικακίας ὅρον διεκφαίνει τοιοῦτον εἶναι, ὁποῖον μικρόν τι ἀνόπιν ὑπεκρουόμεθα. Καὶ αὐτὸ δὲ τὸ μὴ μνησθῇς ἀνομιῶν ἡμῶν ἀρχαίων, τοιοῦτόν τι παρεμφαίνει τοῖς ἐμβαθύνουσι κατὰ νοῦν. Ἔστι γὰρ ἐκεῖθεν ἐρανισάμενον φάναι, ὡς ἅπας ὁ ζητῶν μὴ μνησικακηθῆναι, οὕτως ἂν ποτνιάσηται τὸν συνάνθρωπον· μὴ μνησθῇς, ὦ ἑταῖρε, ἁμαρτημάτων παλαιτέρων εἰς ἀνταπόδοσιν δηλαδή, ὡς οἷα μνησίκακος. Καὶ εἴη ἂν καὶ οὕτω μνησικακία μνήμη παλαιῶν ἁμαρτημάτων ἐπὶ ἀνταποδόσει ὁμοίᾳ.

77. Ἀναλεκτέον δὲ εἰςέτι ἐκ τῶν ἔξω καὶ μὴ καθ' ἡμᾶς ἀκανθῶν εἰς ῥοδόεντα, ὡς ἂν εἴποι τις, λόγον καὶ τό· μὴ μνησικακήσῃς, εἰ σὺ φυλακὴν κατέλαβες. Ἀξιοῖ γὰρ καὶ οὗτος λόγος, τὸν κακοῖς περιτυχόντα μὴ μεμνῆσθαι, ὃ πάθοι, πρὸς ἄμυναν. Καὶ οὕτω μὲν καὶ τοῦτο· Ἄλλος δέ γε θυραῖος νοῦς, δι' οὗ παραγγέλλεταί τις, μὴ μνησικακεῖν τὴν ἡλικίαν, ὑφ' ἧς ἐνεοττοτροφήθη, ἐμφαίνει καὶ αὐτὸς μνησικακίας ὑπογραφήν. Τὸ δὲ ἐντεῦθεν ἐγὼ θερμότερόν τι λαλῶν, φαίην ἄν, ὡς οὐδὲ τὸ μεμνῆσθαι τινὸς κακοῦ, μὴ ἁπλῶς, ἀλλὰ καὶ πικρότερον, προςκρούειν ἂν ἐξ ἀνάγκης ἔχοι τῇ ὀρθότητι· εἴ γε καὶ Δαυὶδ οὕτω μνησθεὶς πολυπραγμονεῖ, λογιστεύων τὸν κύριον, τί ἐπληθύνθησαν οἱ αὐτὸν θλίβοντες· καὶ εὔχεται δέ, τῶν τοιούτων ἐξώτης γενέσθαι (πολλοὶ δὲ καὶ ἕτεροι σὺν αὐτῷ, ψυχὰς αἰσθητικὰς εὐτυχηκότες) ὀστέων σῆτας, διὰ τὸ ἐμμέριμνον, καὶ μὴ ῥᾳδίως ἐπιληστικὸν τῶν κακώσεων.

78. Εἰ δὲ (τὸ πλέον εἰπεῖν) καὶ παραδέδοται ἡμῖν εὔχεσθαι, καταπατεῖν ἐχθρούς, οὐ μόνον ἀσάρκους, ἀλλὰ δὴ καὶ ἐνσάρκους, ταὐτὸν δὲ φάναι, ἀοράτους καὶ ὁρατούς· τίς ἡ ἀδιόριστος, καὶ οὐκ εὐδιάρθρωτος παραγγελία τοῦ μὴ χρῆναι || μεμνῆσθαί πη κακοῦ τὸ Ms. fol. 92. b. σύνολον; Οὐκ ἄδηλον γάρ, ὡς ὁ ποτνιώμενος λυτροῦσθαι ὁρατῶν ἐχθρῶν, ἐν οἷς καὶ οἱ κακώσαντες ἀκατάλλακτα, μέμνηται πάντως κακοποιΐας. Ἅμα γὰρ εὐχὴν ἡ καρδία ἐξηρεύξατο λυτρώσεως τοιούτων ἐχθρῶν, καὶ αὐτίκα εἰς νοῦν ἐκεῖνοι ἀνέβησαν. Καὶ ἰδοὺ καὶ τοῦτο μνήμη κακοῦ ἀνεπιτίμητος, οὐ σιωπωμένη, οὐδ' ὑπ' ὀδόντα στρεφομένη κατὰ τοὺς τονθορύζοντας, ἀλλ' ἐκλαλουμένη τορώτερον εἰς ἀκρόασιν.

79. Τὸ δὲ δὴ καὶ τῶν τοιούτων δριμύτερον· ἔστι ποτὲ μεμνῆσθαι κακοῦ τινὸς πρὸς ἄμυναν, καί, ἀνακεκαλυμμένως εἰπεῖν, πρὸς ἀντικάκωσιν· καὶ οὔπω οὐδὲ τοῦτο εἰς τὸ πᾶν μνησικακίας ὅρῳ ὑπάγεται.

Τοιοῦτοι δὲ πάντως οἱ πολέμου νόμοι ἀναγκαίως, καὶ ὡς οὐκ ἂν εἴη ἄλλως, ἠρεθισμένοι ἐπ' ἀλλήλοις κατά τε πόλεις, κατά τε ἔθνη, ὅσοι, προϋπαρξάντων τινῶν οὐκ ἐνδίκως τοῦ νεωτερίσαι καὶ στασιάσαι καὶ βλάψαι, μέμνηνται στερεῶς τοῦ κακοῦ, καὶ οὐ πρότερον ἀνιᾶσι τῆς τοιαύτης μνήμης, πριν̀ μελετῆσαι τὰ εἰς ἄμυναν. Καὶ τοῦτο κατὰ τὸ πάλιν καὶ πάλιν συχνὰ ζωπυρούμενον, πυρὰν ἀνῆψε πολέμου, οὐκ ἂν σβεννυμένην, ἕως ἂν τὸ τῆς εἰρήνης λαθικηδὲς ἄνωθεν ἐπομβρηθὲν μαράνῃ τὴν τοιαύτην παμφάγον πυρκαϊάν.

80. *Εἰ δὴ τὸ τοιοῦτον μνημόνευμα καὶ ἡ κατ' αὐτὸ ἄμυνα οὐκ ἔστιν ἀναντιῤῥήτως μ ν η σ ι κ α κ ε ῖ ν, ἀλλ' ὅμοιον φαίνεται, ὡς εἰ καὶ θῆρα συνεχῶς ἀγριούμενον καὶ ἐμπηδῶντα εἰς ὄλεθρον ἀπαμύναιτό τις, καὶ τοσαυτάκις, ὁσάκις ὁ θὴρ ἀγριωθείη πρὸς κάκωσιν· τί δὴ τὸν πολύτλαν ἄνθρωπον καὶ θηρίοις ὑπούλοις κύκλῳ στοιχιζόμενον ἐθέλομεν ἠλιθιοῦσθαι, καί που καὶ παραβλέπειν, ἕως ἂν τὸ ἄφυλακτον πλήσῃ τῶν τούτου σαρκῶν τὰ στόματα τῶν ἐθελόντων λαφύσσειν καὶ κατεμπίπλασθαι, δέον ἀφιέναι τὸν οὕτως ἐλεεινὸν μιμνήσκεσθαι, καὶ φυλάττεσθαι, καὶ ἀνύειν αὐτὸ δὴ τοῦτο καὶ μόνον, τὸ διαδιδράσκειν τὰς παγῖδας, αἷς μυριάκις ἐνσχεθεὶς ἀεὶ πτοεῖται κάκωσιν;*

81. *Τοιοῦδε τόπου ἐγχείρημα κἀνταῦθα πάλιν ἀναγκαίως, δίχα γε ἄλλων πλειόνων, κείσθω καὶ ὁ ἐς ἔννομον γαμικὴν συνάλλαξιν πρὸς φαύλου κοινωνοῦ παροινούμενος. Οὐκ ἔστι γὰρ ὅτε οὐ μεμνήσεται τοῦ ἀντιζυγοῦντος κακοῦ καὶ αὐτός, καὶ μελετήσει καὶ ἐνεδρεύσει, ἕως τὸν κακὸν ἢ συλλήψεται, ἢ καί, πριν̀ λαβέσθαι, ἄλλως ἀπαγάγῃ τοῦ ζῆν. Καὶ οὐ δήπου ἀναμφιλέκτως εἰς μ ν η σ ί κ α κ ο ν οὐδ' αὐτὸς ἐγγραφήσεται (πῶς γάρ;), ὃς καὶ δικαιοῦται, δράσας οὕτω.*

82. *Οὐκοῦν ἀναπέφηνεν ἐκ τούτων φανερῶς, μηδὲ εἰς ἄμυναν ἁπλῶς οὕτω ἀδιάρθρωτον ἀνάγεσθαι τὸ μ ν η σ ι κ α κ ε ῖ ν, ἀλλ' εἴς τινα θηριωδῶς δακνηρὰν πρὸς ἀντισήκωσιν, οὐ πάνυ οὔτε ἀναγκαίαν, οὔτε δικαίαν τοῖς γε ζῶσιν ἐν Χριστῷ, ἀλλ' ἣν ἐπαινοίη ἄν τις ἐθέλων ὀφθαλμὸν ἐκκόπτειν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα καταγνύειν ἀντὶ ||* [Ms. fol. 93. a.] *ὀδόντος, καὶ ἀντὶ χειρὸς ἀπαράσσειν χεῖρα, καὶ ὅσα τοιαῦτα· οἷς οὐκ ἂν εὐαρεστοῖτο ἀνὴρ ἐπιεικής, ὃς καὶ ἐγχειρήσας ἀμύνασθαι, εἶτα τὸν ἐχθρὸν ὑπὸ ξίφει θέμενος, εἴτε χειρὶ σφετέρᾳ, εἴτε τῇ κατὰ νόμον, παρίεται τὴν ψυχήν, καὶ χαυνοῦται τὰ νεῦρα, καὶ ἀφίησι τὴν ἁμαρτίαν τῷ κατακύπτοντι ἐς σφαγήν.*

83. *Εἰ δὲ καὶ κανὼν ἐξωτερικὸς γνώμην ἀπευθύνει, ὅτε τις πάθοι, ἃ κακῶς δέδρακε, τότε δὴ εὐθεῖαν δίκην γενέσθαι — ἀλλ' ἐγὼ οὐκ ἂν ζηλώσαιμι οὐδὲ τὸ τοιοῦτον, ἐκ δὲ τοῦ τῆς ἀ μ ν η σ ι κ α κ ί α ς ὅρου πορίσομαι τοπικῶς καὶ τὸν τῆς μ ν η σ ι κ α κ ί α ς διορισμόν. Εἰ γὰρ ἀ μ ν η σ ι κ α κ ε ῖ ν ἐστὶ τὸ ἀ δ ι κ ο ύ μ ε ν ο ν μ η δ ὲ ν ἀ ν τ α δ ι κ ε ῖ ν, μ η δ ὲ ἀ ν τ ι β λ ά π τ ε ι ν β λ α π τ ό μ ε ν ο ν, εἴη ἂν ἐξ ἐναντίου μ ν η σ ι κ α κ ε ῖ ν τ ὸ ἠ δ ι κ η μ έ ν ο ν τ ι ν ὰ ἢ β ε β λ α μ μ έ ν ο ν ἐ θ έ λ ε ι ν, ἤ δ η δ ὲ κ α ὶ ἐ ν ε ρ γ ε ῖ ν ἐ ν τ ῷ π ο ι ή σ α ν τ ι τ ὸ τ α υ τ ο π α θ ἐ ς. Λεγέτω γοῦν τις, καὶ ἀπαριθμείσθω ἀδικίας καὶ βλάβας, ἃς ἐγὼ πλημμελῶ ἐπὶ τέκνοις, ἅπερ εἰς πατραλοίας ἐπ' ἐμοὶ κατέγραψαν ἑαυτούς, ναὶ πρὸς τῶν αὐτοῖς φιλτάτων, ναὶ πρὸς τῆς ὑπερουσίου τριάδος, ναὶ πρὸς τῆς ὀρθῆς ἡμῶν πίστεως. Καὶ οὐ μόνον διορθώσομαι, τοιοῦτος ἀπελεγχθείς, ἀλλὰ καὶ προδοὺς ἐμαυτὸν ἔσομαι παθεῖν ἅπαν χείριστον.*

84. *Εἰ δὲ κατακύπτω βλέπων εἰς γῆν, μὴ καὶ σκανδάλοις περιπέσω· εἰ δὲ κατακλείω τὸ στόμα, μηκέτις ὄφις ἀκοντίας ἐνερεύξηταί μοι τὸ θανάσιμον· εἰ δὲ τὰ βλέφαρα συνάγω, καί πως μυωπάζω, δυςωπούμενος ἀστραπὰς ἐκ τῶν πολλῶν κατασπινθηριζομένας ἐπ' ἐμοί (οἱ δήπου γὰρ καὶ ἐξαλλομένας κατὰ σκηπτούς, ὅτι μηδὲ ἔστιν αὐταῖς ὕλη πρὸς ἔξαμμα, εἰ μὴ ἄρα πρὸς μόνον ἀμυδρόν τι ἔκκαυμα)· εἰ δὲ τοξοποιῶ τὰς ὀφρῦς, οὔτε γελοῖα φρονῶν, καὶ ἐμαυτὸν δὲ σκεπτόμενος κατὰ τὸ γ ν ῶ θ ι σ α υ τ ό ν, καὶ σύνοφρυς ἐντεῦθεν γινόμενος καὶ κατ' ἐμαυτοῦ δεινός, ἐπείπερ ἁπλοϊκευόμενος περιπίπτω κακοῖς· εἰ δὲ διακριτικὸν τάλαντον διατείνας τὸ κατὰ συνείδησιν, ἐντίθημι θατέρᾳ μὲν πλάστιγγι τὰ ἐμὰ φιλικά, τῇ ἑτέρᾳ δέ, ὅσα τούτοις ἀνάπαλιν, καὶ ἡ ῥοπὴ γίνεται πρὸς τὰ κατ' ἀδελφότητα μᾶλλον, ἤπερ τὰ μὴ τοιαῦτα· εἰ δὲ μεμνημένος παθημάτων, ἐπὶ μὲν τοῖς χρηστοτέροις ἱλαρύνομαι, τὰ δὲ λοιπὰ χροΐζουσί με σκυθρωπότερον, καὶ πρὸς ὠχρίαν βάπτουσιν· εἰ δέ, οὓς μὲν θαῤῥῶ, ἀσπάζομαι, καὶ δεξιὰν ἐμβάλω δεξιαῖς, καὶ προςεφέλκομαι, ἐφ' οἷς δὲ οὔ μοι θάῤῥος, ἑτέρως ὁσιοῦμαι τὴν συνάντησιν ἀνθρωπικώτερον, κοινωνίας λόγῳ τῆς ἁπλῶς· εἰ δ' αὖ πάλιν, οὗ μὲν ἄρτον ἔφαγον ἐν ἐνδείᾳ, ἐκεῖνος εὐεργέτης ἐμοὶ κρίνεται, καὶ σεμνολογικῶς ||* [Ms. fol. 93. b.] *προφέρεταί μοι διὰ στόματος, ὃς δὲ μυρίαν σχὼν ἔνθεσιν ἐξ ἐμοῦ, πτέρναν ἐστρέβλωσεν εἰς πτῶμα ἐμόν, ἀλλ' αὐτὸν οὐκ ἔχω προτιθέναι, καὶ ἐπίπροσθεν ἄγειν τοῦ θρέψαντος· εἰ δὲ τῷ μὲν κατ' ἐμοῦ ὁπλιτεύσαντι συστέλλων τὰς χεῖρας εἰρηναίως προςφέρομαι, τῷ δὲ ἐπι[θο]ρήσαντι καί τι φιλοφροσύνης προβάλλομαι· εἰ δὲ τῷ μὲν εὐλογοῦντι γαληνιᾷ μοι τὸ βλέμμα, τὸν δὲ σκώπτοντα ὅσα καὶ βαρὺν διδάσκαλον ὑποφρίττω· εἰ*

δὲ τοῖς μὲν ἐμβριθῶς ὁμιλοῦσιν ἐξομοιοῦμαι, μὴ καὶ παιγνήμων δοκῶ τοῖς οὕτω σεμνοπροςώποις, τοῖς δ' αὖ γελῶσιν οὐκ ἔχω προςέχειν ὡς αὐτόχρημα ἱλαροῖς, δεδιώς, μὴ καὶ σαρκάζουσιν, ἢ καὶ Σαρδόνιον ὑποσεσήρασι (πολλὰ γὰρ ἐγὼ καὶ διὰ τοὺς τοιούτους ἔπαθον) — εἰ δὴ τοιαῦτα ἢ δρῶν ἢ πάσχων ἐκφαίνομαι, ἀλλαξάτω τις ἐν ἐμοὶ τὰ τῆς φύσεως, καὶ ἀλλοιωθήσομαι· ἄλλως γὰρ οὐκ ἂν ἔχοιμι ὑποθέσθαι τὸ κατ' ἐμὲ εἴτε ἀκριβές, εἴτ' οὖν εὐλαβὲς καὶ δειλόν.

85. *Μέσον διαβαίνω παγίδων πολλῶν.* Τί οὖν με κωλύετε, ὑποβλέπεσθαι ταύτας, ὧν εἰς κακὸν πολλάκις πεπείραμαι; Οὐ συντρίβω ταύτας ἐν τῷ μεμνῆσθαι, ὅπως κακῶς ἔσχασαν κατ' ἐμοῦ· ἀλλ' ὑπερπηδῶ, ἢ παρεκτρέχω, ἵνα κατ' ἄλλου μέν τινος χάσκωσιν ἔμπρακτα, κατ' ἐμοῦ δὲ εἰς κενόν, ὡς εἰ καὶ λύκος, κατὰ τὴν παροιμίαν, οὕτω διῴστῃ τὸ στόμα εἰς ἄπρακτον. Προσῴζεσαν οἱ μώλωπές μοι, οὓς ἐκ πολλῶν τραυμάτων ἀνεμαξάμην, βεβλημένος τε καὶ τετρωμένος ὀργάνοις πολέμου πολλοῖς, τοῖς μὲν ἀγχεμάχοις, τοῖς δὲ πλείοσι τηλεβόλοις. Τί δὴ ὀκνεῖτε, περιϊέναι με τοὺς μώλωπας, καὶ καθέκαστον ἐπιτιθέναι ἀκεσώδυνον παραμύθιον; Εἰ δὲ ταῖς θεραπείαις συνεκτρέχουσι μνῆμαι (αὐτίκα γὰρ πάντως ἀνάγκη μεμνῆσθαι, ὡς ἐνταῦθα μὲν βολὴ ἐκ τόξου, ὅπερ ἐνέτεινεν ὁ δέ τις ἐπ' ἐμοί· ἐνταῦθα δὲ δόρυ προὔκυψε, δι' οὗπερ ὁ δεῖνα προὔτυψεν· ἐκεῖσε δὲ λίθου κακουργία ἐνεωτέρισεν, ὃν ἐξεσφενδόνησεν ὀνομάκλυτός τις, ὡς καὶ συνθραῦσαί με· ἄλλοθι δὲ καταφορὰ ξίφους, πελεκίζειν σάρκας φιλονεικοῦσα), καὶ οὕτως ἀνακαινίζεται μνήμη κακώσεων· τί ἂν ἐνταῦθα ποιήσω, ἄνθρωπος μὴ ψευδόμενος τὰ τῆς πλάσεως, δι' ἧς μοι καὶ τὸ τῆς μνήμης καλὸν εὐποιοῦν συμπέφυκεν;

86. Ἐθρασύνατο ἐγχειρίδιον κατ' ἐμοῦ, καὶ εἴρπυσεν ἔσω σαρκός, καὶ οὕτως ἠγριάνατο. Τί οὖν ψέγομαι, εἰς τὸ μαχαίριον ἐκεῖνο βλέπων; Οὐ θραύω μέν, οὐδ' ἄλλως ὁπωςοῦν αὐτοῦ κατεπιχειρῶ· μέμνημαι δέ, αὐτὸ εἶναι τὸ κακόν, δι' οὗ μοι τραῦμα βαθὺ ἐντακὲν ἐνέμαξε πλατεῖαν οὐλὴν εἰς παράσημον. Ἔπληξέ με δόρυ· καὶ αὐτὸ πρὸς μὲν τοῦ ἐχθροῦ εὐλογεῖται ἴσως, οἷα ἐμβαθῦναν εἰς πληγήν. Ὁ δὲ πεπληγμένος πῶς ἂν ἔχοι λαθέσθαι, οἷον ἐκεῖνο γένοιτο κατ' αὐτοῦ; Βέλος ἐπιπετασθὲν ἐνεπάγη μοι· τί δὴ οὖν ἐξελκυσθέν, Ms. fol. 94. a. καὶ μηδὲ θραυ || σθέν, ἀξιοῖ τις, μηδὲ γινώσκεσθαί μοι, βέλος αὐτὸ εἶναι, δι' οὗ πέπληγμαι, καὶ οὕτω βιάζεται μνήμης ἐπαινετῆς ἄνδρα τῆς [ψυχ]ῆς ἀπαλεῖψαι νοερὰν δύναμιν;

87. Οὐ θέλεις, ὦ οὗτος, μεμνῆσθαί με κακοῦ. Οἶδα κ[αγώ], ἐπεὶ μηδὲ ζῆν. Ἀλλ' ἐγὼ καὶ ζῴην, καὶ τὴν παρεπομένην μνήμην σῴζοιμι. Σαφέστερον δὲ εἰπεῖν· βίου μὲν ἔξοδοι δυςτυχοῦσιν ἀμφότερα ταῦτα, φίλον τε ἐκλανθάνεσθαι, καὶ μηδὲ τὸν κακώσαντα εἰδέναι. Ζῶν δέ τις ἐς ὑγίειαν, οὐκ ἂν οὐδέτερον ἀποβάλοιτο. Ἔτυψά σέ, φησιν. Ἀνθρώπινον τοῦτο, καὶ φέρε γενναίως, εἰ πρὸς τοῖς θείοις λόγοις ἔχεις τὸν νοῦν, καὶ μή με ἀντιτύψῃς, μὴ καὶ μνησικακήσῃς. Καλά σοι, ὦ ἀδελφέ, ταῦτα ἕως ὧδε· καὶ συλλαλήσει καὶ ὁ θεός. Λέγειν δέ, ὡς μηδὲ λάβῃς ἐς νοῦν τὸ πλημμεληθέν, ἀλλὰ τοῦτο μετάστασις ἀνθρώπου ἐκ τοῦ κατὰ φύσιν, καὶ ὡς οἷον μετάπλασις, καὶ ἀτεχνῶς ὀργὴ θεοῦ. Ἐκακώθην, καὶ ἐσίγησα. Οὐ μὴν καὶ τὴν μνήμην ἐξήλειψα, ὅτι μηδέ ἐστι τοῦτό γε ἐνεργηθῆναι, εἰ καὶ πάνυ τις βούλοιτο. Ἡ γὰρ ἔχοι ἄν τις ἐγγυήσασθαι καὶ τὰ ἐν ὕπνοις, ἐν οἷς ἔστι σκιασθεῖσαν μνήμην κακώσεως, ἕωθεν διεζωγραφῆσθαι εἰς ψυχὴν ἀκριβῶς τὴν τοῦ ἀνανήψαντος; Καὶ οὐδεὶς ἄνθρωπος δυνατὸς οὕτω τὰ ἐς σοφίαν, ὃς ἐνυπνίου φανέντος, καὶ κάκωσιν ἤδη λαθεῖσαν φαντάσαντος, εἶτα καὶ ἐκλαλουμένου πρὸς ἥλιον λάμψαντα, ὃ δὴ παλαιὸν ἔθος ἦν, μνησικακίας ἢ τὸν ὄνειρον ἢ τὸν ὀνειροπολήσαντα γράψεται, εἰ καί τις ἐντεῦθεν μνήμη καὶ εἴδησις συνεξέδραμεν. Οὐ γὰρ ταυτόν ἐστι, κακῶς διακεῖσθαι πρός τινα, καὶ μνησθῆναι, κακὸν εἶναι τινά. Τὸ μὲν γὰρ ἀμύνης ἔργον, τὸ δὲ ψιλῆς γνώσεως. Ἦν ἄρα ταυτόν, ἀργυραμοιβοῦ ἀφελέσθαι τὴν βάσανον λίθον, καὶ ἀνθρώπου διάκρισιν τὴν ἔν τε καλοῖς ἔν τε κακοῖς. Οὐκοῦν διακρίσεως ἔργον τῆς κατὰ πνεῦμα, μεμνῆσθαι, ὥσπερ εὐεργεσίας ἐπὶ ἀνταποδόσει, οὕτω δὲ καὶ κακώσεως οὐκ ἐπὶ ἀμύνῃ, ἀλλ' ὥστε ἐκκλίνειν τοὺς κακούς.

88. Κακῶς ποιεῖν, θεὲ σῶτερ, μὴ ἂν ἐθέλοιμι, τὸν κακὸν δὲ εἰδέναι, ὥστε καὶ ἐκφεύγειν, εὐτυχοίην διὰ σοῦ. Οἶδα κακὸν τὸν ὄφιν, καὶ οὐδ' ἂν λαθοίμην, οὐχ ὥστε μὴν καὶ ἀντικαθίστασθαι, ἀλλ' ὡς μακρὰν αὐτοῦ γίνεσθαι. Εἰ δέ ποτε καὶ ἀντιδότου τῆς ἐξ αὐτοῦ δέομαι, ὀψέ μοι τοῦτο γίνοιτο, καὶ μηδὲ προςφεροίμην αὐτόχρημα ἔχιδναν, ἀλλὰ κατὰ εἰδοποίησιν μεταποιητικήν.

89. Ὦ νόμοι, ἀμνησίκακοι μὲν δι' αἰῶνος, οὐκ εἰδότες δὲ φιλεῖν τοὺς κακοὺς διὰ τὸ καθ' ὑμᾶς φιλάνθρωπον· αἱ κολάσεις ἐκεῖναι πρὸς δίκην αἰώνιοι, ὧν μνησικακίαν οὐκ || ἂν κατειπεῖν τολμήσῃ τις· Ms. fol. 94. b. συνάρασθε ἡμῖν καὶ τοῦ λόγου, συλλάβεσθε, ὅτε ἂν λέγοιμεν, ἀμνησικάκως μὲν ἔχειν, μεμνῆσθαι δὲ κακώσεως. Ὑμεῖς μὲν γὰρ θλίβετε τοὺς κακούς· ἡμεῖς δὲ μόνον μεμνήμεθα, εἴ τί που πάθοιμεν ἐξ οὐκ ἀγαθοῦ ἀνθρώπου, οὗ καὶ ἐξαιρεθείημεν. Βαρὺ

δὲ πάντως οὐχ ἡ μνήμη τοῦ κακοῦ, ἀλλ' ἡ ἐπεξέλευσις.

90. Εἶτα, ὦ λογισταὶ τῶν ἐμῶν, ἐγὼ μὲν μεμνημένος, ὡς κακὸν πάθοιμι, κληροῦμαι ὄνομα φορτικόν· ὑμεῖς δὲ οἱ ἀναιτίως ἀλογιζόμενοι καθ' ἡμῶν, τῶν καὶ ὠφελούντων τὰ πλείω, ποίας ἑαυτοὺς ἀξιοῦτε κλήσεως; Ἀκούσομαι πρῶτον, εἴ γε καὶ λαλήσει τις τεθαῤῥηκώς, καὶ τότε ἀντιλαλήσω, ἅπερ ὑποβαλεῖται τὸ λογιζόμενον τῆς ψυχῆς. Ὄφιν ὁρῶ τηρητικὸν πτέρνης τῆς κατ' ἐμέ. Ποῖος οὖν οὕτω γεννάδας κατὰ τῆς ἐν ἐμοὶ φοβερᾶς εὐλαβείας, ὃς ἐκτεμεῖ τῆς ψυχῆς τὸ καὶ ὑφορᾶσθαι καὶ φεύγειν, ἔνθα χρεία καὶ τοῦ ἄλλως ἐμοὶ αὐτῷ βοηθεῖν, εἴτε αὐτοχειρίᾳ, εἴτε καὶ κατὰ πρόσκλησιν ἐπικουρικήν; Λέων ἐπ' ἐμοὶ ἐνεδρεύει, καὶ ἀνάγκη πᾶσα, ἑτέραν τραπέσθαι. Μεγαλόψυχος οὖν καὶ εὐκάρδιος ὁ ἀξιῶν, μὴ δεδιέναι, ἀλλὰ πελάζειν θηρίῳ ὑποκαθημένῳ πρὸς θάνατον. Τί δὲ οὐ λέγεις, ὦ ἀδελφέ, μνησίκακον καὶ τὸν μετὰ βλάβην διδάσκοντα καὶ παιδεύοντα τοὺς κακώσαντας, καὶ οὕτω μεμνημένον, ὅτι κεκάκωται; Ἢ πάντως ὀκνεῖς εἰπεῖν τοῦτο, εὐλαβούμενος ψεύσασθαι;

91. Τήλεφος ὁ ἐκ Μυσίας ἐπλήγη· Ἀχιλλεὺς ὁ καὶ τρώσας ἰάσατο. Μέμνηται ὁ Μυσὸς τοῦ κακοῦ. Ἐνταῦθα μνήμη συνεκτρέχει τὸ τῆς ὑγείας ἐνθύμιον, καὶ συνεισάγει τὸ εὐχάριστον. Οὐδὲ αἱ ἀνακωχαὶ τῶν πολέμων μνησικακίαι. Καὶ μὴν ἐν αὐταῖς φιλία σήμερον, καὶ μετ' ὀλίγον μάχης κακία. Καὶ ἰδοὺ ἡ κατὰ ἀνακωχὴν φιλία μνήμην μὲν κακοῦ εἶχεν, οὐ μὴν καὶ ἐμνησικάκει, οὐδὲ κότον ἔχειν ἐδόκει· ἀλλ' ἐν τῷ μνήμην ἔχουσι καὶ αἱ ἀποσκοπεύσεις καὶ πᾶσα φρουρὰ προδοκῆς ὁδοῦ, αἱ κατ' ἐλπίδα κακοῦ.

92. Οὐκοῦν καὶ ἐγώ, εἴ που γνοίην ἔχειν ἀσπόνδους ἐχθρούς, φυλάξομαι κατ' ἀγχίνοιαν αὐτοὺς ὡς κακούς, καὶ νεάζων ἀεὶ τῇ μνήμῃ. Οὐκ ἤδη μνησικακῶ, ἀλλ' ἔχω πάντοτε μνήμην φυλακτικὴν κακοῦ, ὅτι κἀκεῖνοι πάντοτε κακοί, οὐχ ὡς μεμνημένοι κακοῦ, ἀλλ' ὡς ἀληθῶς αὐτὸ τοῦτο μνησίκακοι· ὡς, εἴγε μὴ τοῦτο, τίς ἂν ἕλοιτο ἑαυτὸν ἀπεσθίειν ἐν τῷ μεμνῆσθαι κάκης ἐς τὸ διηνεκές, καὶ τήκεσθαι μερίμναις, καὶ εἰς βρυγμὸν ὀδόντων τάττεσθαι, καὶ βυσσοδομεύειν ὑποταρτάρια, καὶ ψεύδεσθαι τὸ ζῆν ἀνθρωπικῶς, καὶ ὑποῤῥέειν, καὶ ἀμαλδύνεσθαι τυφεδόνι φροντίδων καὶ μεθόδων τηκεδόνι, δι' ὧν ἄν τις ἀποθηριοῖτο, ἢ καὶ Ms. fol. 95. a. εἰς Τίμωνα || μετανθρωπίζοιτο;

93. Καὶ μὴν ἐγώ, εἴ τις παρ' ἐμοὶ κριτῇ δίαιτα εὐτραπέλου βίου προέκειτο, καὶ αὖ πάλιν τοῦ κατὰ περίνοιαν οὐκ ἀναγκαίαν καὶ σύννοιαν, προὐθέμην ἂν καταδιαιτῆσαι τοῦ ἐστυμμένου κατὰ τὸ σύμ[βιον] καὶ περινενοημένου καὶ συνηγμένου εἰς τὸ ἀμειδές· ἐπεὶ καὶ δυοῖν ἐκείνοιν, Ἡρακλείτου τε καὶ Δημοκρίτου, ὧν ὁ μὲν ἀρίδακρυς ἐξέβαινεν ἐπὶ τοῖς ὡς ἑκάστοτε ἥκουσιν αὐτῷ πρὸς πεῖραν ἀνθρωπίνοις συμβάμασιν, ὁ δὲ γέλωτα κατεῤῥήγνυε τῶν παρ' ἀνθρώποις πραγμάτων, πρὸς τῷ Δημοκρίτῳ μᾶλλον εἰμί, ὅτι καὶ πρὸς αὐτῇ τῇ φύσει τῇ κατ' ἄνθρωπον, καθ' ἣν ἰδιότης ἀνθρώπου τὸ γελαστικόν. Τὸ δακρύειν γὰρ οὔτε εἰς ἴδιόν τι ἀποκληροῦται, καὶ τὰ τῆς φύσεως δέ που παραποιεῖ· διόπερ οὐδὲ φιλεῖται αὐτῇ ἐς γνήσιον, ἀλλ' εἴ που, κατὰ πάθος, καὶ οὐ μάλα καθ' ἑκούσιον.

94. Οὐκ ἔστιν, ὦ ἄνθρωποι, μνησικακεῖν τὸ μνήσασθαι ὅλως κακοῦ, καὶ εἰπεῖν, ὡς ὁ δέ τις ἐκάκωσέ με, καὶ ὅμως ἐλεῆσαι ὁ θεὸς καὶ αὐτὸν παιδεύοντα, καὶ ἐμὲ παιδευόμενον, ὅπερ ἐγὼ ποιῶν ἔχω τὸν θεὸν ὑπὲρ ἐμοῦ· ἀλλὰ μνησικακεῖ πάντως ὁ τῇ μνήμῃ σύντροχον ἔχων τὴν ἐπιβουλήν. Τί βιάζεσθε τὸν καὶ ἁπλοῦν καὶ καλὸν Ἰακὼβ ἐγγράφειν εἰς μνησίκακον, εἰ τὸν ἀδελφὸν Ἠσαῦ μεμνημένος ὑφορᾶται, καὶ τὸν ἐξ ἐκείνου κίνδυνον ὑφορώμενος εὐλαβεῖται, καὶ ὑποστέλλεται, καὶ οὐκ ἔχει λαθέσθαι, ὁποῖος εἰς αὐτὸν ὁ ἀδελφός, βαρύμηνις δηλαδή, καὶ κακίαν ταμειουχῶν ἀπόθετον; ὡς, εἴ γε λάθοιτο, οὐκ ἂν φθάνοι πίπτων, καθάπερ οὐ βούλεται.

95. Ἔστι καὶ οὐχ αἱρετὴ μνήμη κάκης, ἀλλὰ τυχαία, ὡς εἰ καὶ ἰκτῖνος παραπετασθεὶς ἀναμνήσει, ἅρπαξ εἶναι ὀρνυφίων, καὶ οὕτω προκαλέσεταί τινα συρίξαι καὶ ἐπισυναγαγεῖν παραφαινόμενά που νεόττια. Οὕτω καὶ ῥοῖζος πολλάκις καὶ συριγμὸς ἀνέμνησέ τινα βέλει κακωθέντα ἢ ὄφει, ὡς ἔπαθέ τί ποτε κακόν, ἢ ἐξ ὄφεως ἢ πληγῆς, καὶ ἐπέστρεψε τὸν ἄνθρωπον εἰς ἐμμέριμνον.

96. Εἰ γοῦν δίδοτε ταῦτα, τί δὴ μόνον ἐμὲ νοσφίζεσθε τοῦ καὶ νοεῖν καὶ ἐμμερίμνως ἔχειν καὶ δεδιέναι περὶ ἐμαυτῷ, ὅς, εἰ μὲν ἀμύνεσθαι μελετῶ τοὺς ἐχθρούς, εἴην ἐχθρὸς τῷ θεῷ· εἰ δὲ ἐκκλίνω τὴν ἐξ ἐκείνων βλάβην, ὑμεῖς μὲν γράφετέ με, ὅπως ἂν αἱ μηλίδες ὑμῖν ὑπουργοῖεν; Ὁ δὲ διακρίνων — ἀλλ' ἐκεῖνος ἡγήσεταί με καὶ ἀποφανεῖται βεβηκότα καὶ ἀσφαλῆ, καὶ νοῦν ἔχοντα καὶ ὀφθαλμοὺς ἐν τῇ κεφαλῇ (τοῦτο δὴ τὸ τοῦ γραφικοῦ σοφοῦ ἴδιον)· ὃς δὴ παρεξετάζειν μὲν ἐμαυτὸν οὐκ ἔχω, ἵνα καὶ πρὸς ἐκεῖνον γραφοίμην ἀκριβῶς· ἐς ὅσον μέντοι ἰσχνὸν σκιαγραφούμενος, οὐκ ἐν ψυχῇ τίθεμαι τὴν ἐφ' οἷς κακοῦμαι ἄμυναν, οὐδέ μοι πρᾶξις διὰ βίου τοιαύτη κεφαλαιοῦται || ὅς γε καὶ τὸν ἐπὶ τούτοις ἀμυνόμενον Ms. fol. 95. b. μάταιον καὶ ἡγοῦμαι καὶ ἀποφαίνομαι, οὐ μόνον ὡς

ἀλαζόνα κατακρίνων, ἀξιοῦντα παντὸς ὕπερθεν εἶναι τοῦ θλίβοντος, ἀλλὰ καὶ ὡς οὐδὲ πάνυ φρενήρη. Ἔοικε γὰρ ὁ τοιοῦτος οὐκ εἰδέναι, ὡς ἄμυνα πᾶσα οὐκ ἐξ ἀνάγκης ἔχει τὸ δρᾷν μόνον, ἀλλά που καὶ ἀντιζυγοῦν εὑρίσκει τὸ πάσχειν, καὶ αὐτὸ πολλάκις μονάζον. Εἰκὸς γάρ, καθά τις εἶπεν, ἐ γ χ ε ι ρ ο ῦ ν τ α κ α ὶ π ρ ά τ τ ε ι ν κ α κ ῶ ς. Καὶ μυρίους οἴδαμεν, οἳ ἐκδραμόντες ἀμυνεῖσθαι, φθάσαντες ἔπεσον, μηδέν τι μέγα δράσαντες· καὶ τὸ πτᾶμα ἦν ὡς δεινόν. Διόπερ ὁ φρονῶν οὔτε ἐπ' ἀδήλῳ πράγματι πολλὰ κυβεύσει, καὶ οὐδὲ τὸ θεῖον ἑαυτοῦ ἀπαγάγῃ, ὃ τοὺς πάσχοντας καὶ μὴ ἀμυνομένους ἐκδικεῖν φιλεῖ.

97. Οὐκοῦν, καὶ ὅτε ἐν χρῷ γέγονα χρόνου, καθ' ὃν ἐγνώσθη μοι τὰ κατ' ἐμοῦ φαυλισθέντα, ἐξὸν ὄν, καὶ λαλῆσαι, καὶ ὡς εἰκὸς ἀντιβλέψαι, ὅμως ἐσίγησα ταπεινωθείς, ὡς εἰ καὶ ἐκωφώθην σφόδρα· καὶ πάντως ἔδει οὕτω με διατεθῆναι, εἰδότα, ποίου δεσπότου δοῦλός εἰμι, οὐκ ἐθέλοντος, ἡμᾶς τοὺς αὐτῷ δεδουλωμένους ἀντεπεξάγεσθαι τοῖς ἐκφλυαρίζουσι τὰ ἡμέτερα, μενοῦνγε τὰ τῶν ἐλπίδων πείσματα εἰς τὴν κατ' αὐτὸν πέτραν ἀνάπτειν, καθ' ἧς οὐδεὶς ἐνεργήσει σάλος τὰ ἑαυτοῦ. Εἰς γὰρ τὸ πᾶν εἰπεῖν, ὀψέ ποτ' ἂν ὁ κοινὸς ἀγαπήσῃ δεσπότης δοῦλον ἀμυνόμενον, καὶ μὴ ἐξηρτημένον τῆς αὐτοῦ δυνάμεως, καθὰ δηλοῖ καὶ ὁ ψάλλων, ἐπὶ τῷ ὀνόματι κυρίου ἀμύνασθαι τοὺς ὅσοι κυκλοῦντες ἐκύκλουν αὐτόν. Ἄλλως δὲ καὶ πῶς ἂν ἀμυνεῖται ὁ στρέφων εἰς νοῦν, οἵου μακαρισμοῦ ὁ τοιοῦτος ἔξω πίπτει, μὴ τὸ χαῖρε συνθέων, καὶ προτιθεὶς ἑαυτὸν τοῖς ἢ παίειν ἢ πατεῖν ἐθέλουσι; Κακοῤῥημονεῖται ὁ κατὰ θεὸν ἄνθρωπος· καὶ τί τοῦτο πρὸς αὐτόν, εἰ φορεῖ τὰ τῆς γραφῆς; Ὀνειδίζεται· καὶ τί ἂν αὐτὸν βλάψοι ὁ τοιοῦτος ψόγος, οὐκ ἔχων διαβαίνειν εἰς ψυχήν, εἴ τις ἀκούει στεγανώτερον; Διώκεται· καὶ μέχρι τίνος; Οὐ γὰρ δήπου καὶ ὑπὲρ τὰ Γάδειρα. Εἰ δὲ καὶ τοῦτο, ἐγγὺς αἱ τῶν μακάρων ἱστορούμεναι νῆσοι, καὶ καταπαύσει εἰς αὐτάς.

98. Ἀκουστέον τοῦ εἰπόντος· μ α κ ά ρ ι ο ί ἐ σ τ ε, ὅ τ α ν ὀ ν ε ι δ ί σ ω σ ι ν ὑ μ ᾶ ς κ α ὶ δ ι ώ ξ ω σ ι, καὶ τὸ ἑξῆς ὅλον, ἐν ᾧ κεῖται καὶ πᾶν ῥῆμα κατήγορον ψευδές τε καὶ ἐπαγόμενον ἕνεκεν τοῦ θεοῦ. Ἢ γὰρ οὐ ταῦτα πάντα καθ' ἡμῶν βέβρεκται, νέφους ὑπερκρεμασθέντος ἡμῶν, ὅπερ ἀτμίδες καὶ ὑγροῦ μὲν ἡμεδαποῦ βίου, καὶ μίσους δὲ ἀλλοτρίου, ὕψωσαν καὶ συνέστησαν εἰς πύκνωμα; Ὠνειδίσθημεν, ὅσα καὶ προσενεγκεῖν αἰσχύνην ἔχει. Ἐδιώχθημεν τό γε ἧκον εἰς τοὺς μισήσαντας· οἷς οὐκ εἶναι τὰ ἐνταῦθα χωρητὰ ἐνίσταται, ὡς ἡμῶν δῆθεν τὸ πᾶν πληρούντων, || (Ms. fol. 96 a.) καὶ τὴν ἐνταῦθα οἰκουμένην ποιουμένων ἀοίκητον τοῖς λοιποῖς. Καὶ μὴν οὐδὲν ἡμῶν εὐπεριγραπτότερον. Πηλίκον γὰρ καθέξει τόπον φύλλος εἷς, ὁποίῳ καὶ ὁ μέγας Δαυῒδ εἴκασεν ἑαυτόν; Ἐῤῥέθη καὶ καθ' ἡμῶν ῥῆμα, οὐ τόδε τι ἁπλῶς, ἀλλὰ πᾶν. Οἴμοι γάρ, ὧν ἠκούσαμεν, ὧν τὰ πολλὰ οὐδὲ ὀχεῖσθαι δύναται εἰς γλῶσσαν σεμνὰ φράζειν μεμαθηκυῖαν. Εἰ δὲ μὴ ψευδῶς ἐκεῖνα λελάληνται, ἀλλὰ πρὸς ἀλήθειαν, οὐκ ἔχω μὲν κατηγορικὴν ἀπόδειξιν ἔτι μεμαθηκώς· ἰδοὺ δὲ βῆμα πάλης· καὶ εἰ στεφανωθείη κατ' ἐμοῦ ὁ προβῆναι τεθαῤῥηκὼς εἰς ἀντίπαλον, ἐκπέσοιμι καὶ τοῦ θεόθεν μακαρισμοῦ, καὶ τοῦ ἔχειν ζωήν. Εἰ δὲ καὶ τὸ ἕ ν ε κ ε ν ἐ μ ο ῦ ἁρμόττει ἐνταῦθα (θεοῦ γάρ μοι ἕνεκεν αἱ τοιαῦται πάθαι καὶ τῆς κατ' ἐκεῖνον καὶ δίκης καὶ ἀληθείας), οὐκ ἐθέλω τέως ἐπαγωνίσασθαι, μὴ καὶ ἀποδεικνὺς τὰ φορτικά, ὑπὲρ ὧν ἐπιστάτης προεστὼς ἐξέκαυσα ἐγχώριον κατ' ἐμοῦ πυρκαϊάν, ἀκούσω ποθέν, ὡς ἰδοὺ ὁ ἔξαρχος τοῦ μ ν η σ ι κ α κ ε ῖ ν ἐνισχόμενος τῷ πάθει ἁλίσκεται, παράμουσον τοῦτον λόγον, καὶ οὐκ εὐγενῆ οὐδὲ δραστικόν, ἀπήχημα γλώσσης ᾀδούσης ἀνάρμοστα καὶ οἵας βατταρίζειν εἰδέναι, καὶ μηδὲν λαλεῖν καίριον.

99. Οὕτως ἐγὼ οὔτε ἀμύνασθαι τεχνῶμαι, καὶ παντὸς δὲ τοιοῦδε προσώπου καὶ πράγματος ἀκαιρίαν καταφρίζω καὶ σκαιότητα καὶ σπουδὴν ὑπόκενον, κρίνας καὶ ἐκεῖνο πρὸς ἐμαυτοῦ, ὡς οἱ κακολογοῦντες τινὰ μὴ πάνυ ἐστερημένον τῆς ἐν λόγῳ διαγωγῆς, εἰς ἐλέγχοντα δοκοῦσι τετάχθαι. Πῶς δὲ τοιοῦτος ἀγαπητὸς ἂν εἴη τῷ λόγον ἔχοντι κατὰ τὸ ἔ λ ε γ χ ε σ ο φ ό ν, κ α ὶ ἀ γ α π ή σ ε ι σ ε. Προστίθημι μέντοι κἀκεῖνο πρὸς ἀκρίβειαν, ὡς, ἔνθα μὲν φίλος ἐλέγχει, ἐκεῖ πάντως καὶ ἡδὺς ὁ ἔλεγχος, καὶ διδασκαλικός, καὶ οὕτως ἐπιστρεπτικός· ὅπου δὲ ἐχθρὸς ὁ ἀνταράττων τὰ εἰς δριμὺν ἔλεγχον, ἀλλ' ἐκεῖσε ἡδονὴν μὲν ὁ ἔλεγχος οὐκ ἐπισύρεται, ἐπεὶ δὴ μηδὲ φιλικοῦ πρόεισι στόματος, μέλι ἀποῤῥέοντος, ἀλλὰ ἐξερευγομένου, ὅπερ ὁ λαλῶν οἴεται πρὸς κακοῦ εἶναι τῷ ἀκούοντι. Οὐκ ἐστέρηται δὲ ὅμως οὐδ' ὁ τοιοῦτος ἔλεγχος τοῦ προσφυὴς εἶναι. Ὡς γὰρ ὁ μελετῶν ὑγιαίνειν ἐς σῶμα, τιμήσεταί ποτε καὶ πρὸ τοῦ μέλιτος τὸ πικρὸν ἀψίνθιον, οὕτω καὶ εἰς ψυχὴν εὐεκτεῖν ἐθέλων, ἐρανίσεται τὸ ὠφελοῦν, ὥσπερ ἀπὸ φιλικῆς λαλιᾶς, οὕτω δὲ καὶ ἀπὸ τοῦ πρὸς ἔχθραν λαλοῦντος. Οὐκοῦν καὶ ὥσπερ ἐκ φίλου εὑρίσκει τὸ κατορθοῦσθαι εἰς εὐθὺ ἀρετῆς, οὕτω καὶ ἀπὸ δυσμενοῦς· εἰ καὶ ἐκεῖνο μὲν γλυκέως, ὑποπίκρως δὲ τοῦτο. Λογιεῖται γὰρ εὖ μάλα ὀρθῶς ὁ || (Ms. fol. 96 b.) ἀκούων κακῶς, ὅτι ἀληθεύοντος μὲν τοῦ ἐχθροῦ κερδαίνει σωτήριόν τι ὁ κακολογούμενος, διότι φέρει θριαμβευόμενος, καὶ κατανύσσεται ἐς ψυχήν, καὶ φεύγει

τὴν εἰς τὸ κακὸν ἐπιμονήν, λέγων καὶ αὐτὸ τὸ εἶ οὕτω γνωστὸν γέγονε, καὶ θεραπείαν τινὰ ἔχων τὴν ἐν κόσμῳ κατάκρισιν. Καὶ οὕτω μέν, εἴπερ ἀληθεύει ἐκτιθεὶς ὁ ἐχθρὸς τὰ τοῦ μισουμένου κακά· εἰ δὲ καὶ ψεύδοιτο, ἀλλὰ καὶ τόδε κέρδος· μέγα τῷ κακολογουμένῳ, καὶ οὐ μόνον, ὅτι, ὡς οἴδαμεν, μακαρίως πάσχει καταμαρτυρούμενος οὕτω ψευδῶς, ἀλλὰ καὶ εἰς τὸ μέλλον ῥυθμίζεται, διανοούμενος, ὡς εἰ καὶ μὴ ποιήσας χρωματίζεται οὕτως, οἷος ἂν εἰκονισθείη παραπεπτωκὼς εἰς ἁμάρτημα. Οὕτως ἐγὼ φρονῶν περὶ ἀμύνης, οὐκ ἂν γενοίμην τοῦ ἀμύνεσθαι, μὴ καὶ ἀπαγάγοιμι ἐμοῦ αὐτοῦ τὸ σώζεσθαι.

100. *Ἀλλὰ μή μοί τις ἐνταῦθα σοφιστικὰ παίζειν ἐθέλων ὑποφερέτω, καὶ χάριτας ἐποφείλειν χρῆναι ἀναφανδὰ τοῖς κακοποιοῦσιν, εἴπερ τὸ τοιοῦτον κακὸν καὶ εἰς ἰατρείαν τοῖς εἰδόσι φέρειν ἐγγράφεται, καὶ εἰς διδασκαλίαν, καὶ εἰς εὐεργέτημα, καὶ εἰς ὅσα τοιαῦτα· μηδὲ ἀξιούτω ἡμᾶς τὸ κακόν, ὃ τὴν μνησικακίαν παρονομάζει, μεταγράφειν εἰς ἀγαθόν, καὶ ἀντονομάζειν, ὡς δῆθεν καλόν· ἵνα οὕτω χρεὼν εἴη, καὶ διδασκάλοις ἐγγράφεσθαι τοὺς κακοποιοῦντας, ὡς οἷα πρὸς ἀρετὴν ἐπιστρέφοντας τὸν κακούμενον, εἴπερ εὖ ἐκεῖνος φρονοίη, καὶ τὴν κάκωσιν ἀνάγοι πρὸς παίδευσιν, ἀναλογιζόμενος, ὡς οὐκ ἀγαθὰ πράξας εὑρίσκει τοὺς κολάζοντας, λέγων που καὶ αὐτὸς καιρίως, ὅτι τὰ ἔργα τοὺς λόγους εὑρίσκεται, καὶ ὡς νοσημάτων ψυχῆς τοιοῦτον φύεται νοσήλιον φάρμακον.*

101. *Μὴ δὴ τοιαῦτα τινὰ ὑποκρουέσθω τις παίζειν ἐθέλων καὶ γελοῖα σοφίζεσθαι. Πρῶτα μὲν γὰρ ὁ τοιοῦτος ἀκούσεται, ὡς, εἴπερ ἀγαθὸν αὐτόχρημα τὸ κακοποιεῖν, τί δήποτε ὁ κακὸν ποιῶν αὐτὸ τοῦτο ποθὲν ἐλεγκτικῶς ὀνειδιζόμενος ὀκνεῖ ἀκούειν, καὶ δυσχεραίνει τὸν λόγον, καὶ οὐ χαίρει μανθάνων οἰκεῖον ἔπαινον; ἀλλὰ ἢ βύει τὰ ὦτα πρὸς τὸν ὄνειδον, ἢ ἀκούει μέν, ἀντερεύγεται δὲ γογγυσμούς, καὶ ὑβριζόμενος, ὅτι κακοποιεῖ; Ἔπειτα δὲ προσακούσεται καί, ὅτι λαλεῖ μὲν ὁ οὕτως ἀξιώσας πρᾶγμα τολμηθῆναι δυνάμενον, καὶ παραλαλεῖ ἐπιείκειαν· δυνάμεθα γὰρ οὕτω ποιεῖν, καὶ ὀνομάζειν τὸν ἐχθρὸν μὲν ἄλλο τι σεμνόν, καὶ ἐντάττειν αὐτὸν μὲν εἰς εὐεργέτου τόπον, τὸ δὲ τῶν μωλώπων ἐξοιδοῦν καὶ ὕφαιμον εἰς πάχος εὔτροφον τιθέναι, φιλίῳ χυμῷ χρωζόμενον τὸ κατὰ ἐρύθημα, τὰ δὲ ῥαπίσματα εἰς φιλήματα, τὰς βλασφημίας εἰς εὐλογίας, τὰ καταπτύσματα εἰς μύρων χεύματα, τοὺς ἐκ τριχῶν ἑλκυσμοὺς εἰς κτενίσματα, ἐφ' οἷς πλόκαμοι πρὸς κάλλος κέχυνται. Καὶ δυναταὶ μὲν αἱ τοιαῦται μετωνυμίαι· οὐκ οἶδα δέ, εἰ ἐκφευξεῖται ὁ οὕτως ἀντονομάζων εὐτραπελίας ἔγκλημα, καὶ τὸ εἴρων εἶναι, καὶ κλέ||πτειν εἴτε ἑαυτὸν εἰς νοήματα, καὶ τὸ ἐν ἀνθρώποις κοινωνικὸν ἐξαλλάττων οὕτω,* Ms. fol. 87. a. *καὶ ἀλλοφωνῶν, ὡς εἰπεῖν, καὶ ἀντιφράζων ἀλλόκοτα. Μήποτε δὲ ἐπ' αὐτοῦ καταπαιχθήσεται τό· ἡ γλῶττα εἶπεν, ἡ δὲ φρὴν ἀσύνθετος καὶ ἀσύντροχος. Τυχὸν δὲ ταχθήσεται καὶ αὐτὸς μετὰ τοῦ παίξαντος τό· τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν; καὶ τὰ ἐφεξῆς. Ἢ γὰρ οὐ τοιοῦτον παίγνιον καὶ τὸ φάναι· τίς οἶδεν, εἰ τὸ καταπτύειν ἀσπάζεσθαί ἐστι, καὶ τὸ ῥαπίζειν δεξίωσις, καὶ ὅσοις τοιούτοις ἐναγλαΐσεται ὁ ἀξιῶν, τὰς κακοποιΐας εἰς αὐτόχρημα εὐεργεσίας λογίζεσθαι;*

102. *Οὐκ ἂν οὖν δυναίμην, ὥσπερ ἀντονομάζειν, οὕτως οὐδὲ εἰς αὐτὸ τοῦτο διδάσκαλον τιθέναι τὸν ἐμοὶ κακῶς προσφερόμενον. Οὐδεμία γὰρ τῶν διδασκαλικῶν κακώσεων εἰς κακίαν ἐγγράφεται· αὐτὸ δὲ διὰ τὸ κακοποιεῖν κακίας τε ὀνόματι ἐπιγράφεται, καὶ οὐδὲ θεῷ φιλεῖται. Καὶ ἀγαθὰ μὲν πάντα τὰ ἐκ διδασκάλων δριμύττοντα, ἡ κακολογία, ἡ τῆς κακώσεως ἀπειλή, τὸ τῆς ἀπειλῆς προαγόμενον εἰς ἔργον, οἱ παραβλῶπες ἐντραπισμοί, τἆλλα. Οὐ γὰρ κατὰ κακίαν, ἀλλ' ἀρετῆς παίδευσιν ἐπιτετήδευται. Διὸ καὶ προστρέχομεν τοῖς οὕτω διδάσκουσι, καὶ μισθοῦ τὰς ἐξ ἐκείνων κακώσεις ἀλλαττόμεθα, καὶ ἑκόντες ἐπαχθιζόμεθα τὰ βαρύτατα· κἂν εἰ μὴ οὕτω πάσχοιμεν, ἐκτρέχομεν ἐκείνων τῶν διδασκάλων, τῶν ἀκράτως μὲν γλυκαινόντων, πικραίνειν δὲ οὐκ εἰδότων· γινόμεθα δὲ ὑπὸ ἄλλοις, οἳ τῷ ἠπίῳ συγκιρνῶσι τὸ δάκνον, καὶ οὕτω λύπην ἐνσπείροντες, εὐκαρπίαν προκαλοῦνται τὴν ὕστερον. Καὶ τοιαῦτα μὲν τὰ τῶν πικρῶν διδασκάλων, ὧν τέλος ὁ αὐτόθεν γλυκασμός. Οἱ δέ γε κακύνοντες πικραίνουσι μέν, οὐχ ὥστε μὴν διδασκαλικῶς γλυκᾶναι, ἀλλ' ἐξολέσαι. Εἰ δέ τις γενναίως φέρων καὶ ἀμνησικάκως γλυκύτητα πάσχει κατ' ἀρετήν, ἀλλὰ τοῦτο μὲν κατὰ θεόν, καὶ διὰ θεόν, καὶ θεοῦ, καὶ τέλος ἐστὶν ἀρετῆς τῆς ἐν ὑπομονῇ· ὁ δὲ πικραίνων οὐκ ἐπαίδευσεν, ἀλλὰ τό γε εἰς αὐτὸν ἧκον ἀνάλωσε.*

103. *Μή μοι γοῦν σοφιστικῶς εἰς διδάσκαλον ἐγγραφέτω τις τὸν ἀντικείμενον, καὶ οὗπερ σκοπός, οὐκ ἐπιστρέψαι παιδευτικῶς τὰ μὲν λόγοις, τὰ δ' ἔργοις εἰς ἀρετήν, ἀλλὰ ὑπεξαγαγεῖν βίου, ὡς εἰ καὶ θὴρ ὠμηστὴς ἢ καὶ σκηπτὸς ἀναλώσει τινά. Τούτοις προσεπάγω καιρίως, οἶμαι, ὡς, ἐὰν καὶ παρ' ἐχθρῶν ὠφελεῖσθαι τοὺς σπουδαιοτέρους ὀρθῶς τε ἐγνωμάτευται, καὶ δεξιῶς μεμελέτηται, ἀναιροῦμεν οἱ τὰ εἰρημένα γνωματευόμενοι τὸ εἶναι ποτὲ καὶ τῆς ἔχθρας μέγα τι προσωφέλημα. Εἰ γὰρ τὸν ἐχθρὸν εἰς*

εὐεργετοῦντα τάξομεν, καὶ εἰς διδάσκαλον μεταγράψομεν, (Ms. fol. 97 b.) οὐκέτι ἀ||ποφαντέον, ὡς ἔστι καὶ ἐξ ἐχθρῶν ὠφέλειαν σχεῖν, ἀλλὰ μᾶλλον, ὡς ἄρα πέφυκε καὶ ἐξ εὐεργετούντων καὶ διδασκόντων ὠφελεῖσθαι τινάς. Καὶ οὕτως ἐκ τοῦ βίου οἰχήσεται μὲν γνωμάτευμα χρησιμώτατον, ἀντεισαχθήσεται δέ, ὃ μὴ καὶ ἀκούσας τις ἐκγελάσηται.

104. Καί οἶδα μέν, ὡς ὑποκρούσεταί τις, καὶ εἰςέτι χαριστέον εἶναι τοῖς ἐχθραίνουσιν, εἴπερ ὅλως ὑπωςοῦν ὠφελοῦσιν. Ἀκούσοι δ' ἂν ὁ τοιοῦτος ἔκ γε ἐμοῦ, ὡς, εἰ καὶ οἶδα τούτοις χάριτας, ἐφάμαρτος ὢν καὶ βελτιούμενος ὑπ' αὐτῶν εἰς ἐπιστροφήν, ἀλλ' οὐ δή που τῷ λόγῳ τούτῳ σύνοιδα, καὶ ἀγαθοὺς αὐτοὺς εἶναι εἰς ἐμέ, ὅτι μηδὲ προτίθενται τὴν ὠφέλειαν. Ἀλλ' αὐτοὶ μὲν εἰς κάκωσιν βάπτουσιν, ἡ δὲ κάκωσις, θεοῦ μεταποιοῦντος, ἀλλοιοῦται εἰς τὸ λυσιτελές· ὅθεν οὐδ' ἂν αὐχήσαιεν κατὰ τοὺς διδασκάλους, ὡς ἄρα τόνδε τινὰ κακώσαντες ἐδίδαξαν εἰς ἀγαθόν. Ἀλλ' ὁ μὲν διδάσκαλος θαῤῥούντως ἂν ἐναγλαΐσηται τῷ δεδιδαγμένῳ, καὶ προβαλεῖται, ὅσα δριμυξάμενος οἷα ἐδίδαξεν ἀγαθά· ὁ δὲ μεμαθητευμένος προςκυνήσει, καὶ οἱ ἀκούοντες μακαρίσουσιν. Ὁ δὲ κακοποιήσας οὐκ ἂν ἐναβρυνεῖται ὁμοίως οἷς δέδρακεν, ὡς οὐδ' ἂν αἱ νόσοι ἀγαθολογήσωσιν ἑαυτάς, εἴ γε πολλοὺς κακύνουσαι, πρὸς ἀρετὴν ἐπιστρέφουσιν. Οὔκουν ταὐτόν ἐστι τὸ διδάσκειν καὶ οὕτως εὐεργετεῖν, καὶ τὸ κακοποιεῖν καὶ οὕτω δοκεῖν εὖ ποιεῖν. Ἀλλ' ἐκεῖνο μὲν ἀγαθὸν τῷ ὄντι, εἰ καὶ ὁ διδαχθεὶς ἀπεκβαίη ἐπίῤῥητος· τοῦτο δὲ φαῦλον, εἰ καὶ ὁ κακωθεὶς γένοιτο ἅγιος διὰ τὸ φερέπονον. Καὶ ἐκεῖνο μὲν αὐτοάγαθόν τι, τοῦτο δὲ αὐτοκακίας ἔργον. Εἰ δὲ καὶ ἀγαθόν τι δοκεῖ, ἀλλὰ φαντάζει τὴν ἀγαθότητα, ὡςεὶ καὶ πίθηκος ἄνθρωπον, ἢ καὶ τὸ ἐν χελιδόνι τεχνοειδὲς τέχνην οἰκοδομικήν. Τάχα δὲ θετέον τόν, ἐν οἷς βλάπτειν ἐθέλει, ἐπωφελοῦντα εἰς τὸν πλήξαντα μὲν ἐπὶ φόνῳ, ἰασάμενον δὲ ἢ ἀπελεύσει αἵματος, ἢ πληγῇ τομῶντος τραύματος· ὃν εἰκονίσοι μὲν ἄν τις εἰς εὐεργέτην σκιαγράφου δίκην, οὐκ ἂν δὲ διαζωγραφήσοι καὶ εἰς ἐντελές. Μενοῦν γε καὶ περιτυχών ποτε, ἀποτρέψεται ὡς ἐχθρόν, καί που καὶ ἀμυνεῖται, ὡς δύναμις. Ἀλλ' ἐγὼ τοῦτο μὲν οὐκ ἂν οὐδὲ ἐνθυμοίμην, εἰ μὴ θεὸς αὐτὸς ἐξέληταί μου τὸ φρονεῖν. Ἀμνησικακῶν δέ, ὡς ἐκεῖνος ἐντέλλεται, ἄλλο μὲν εἶναι φημὶ διδάσκαλον καὶ εὐεργέτην, ἄλλο δὲ τὸν ὡςανεὶ διδάσκαλον καὶ ὡς οἷον εὐεργέτην, καὶ εἶναι τιμιωτάτους μὲν τοὺς πρώτους, ὑστερεῖν δὲ εἰς πρεσβεῖον τοὺς λοιπούς.

105. Μὴ οὖν αἱρετιζέτω τις, καὶ ἐκεῖνα καὶ ταῦτα συνάγειν εἰς ἕν, ἀλλ' ἐάτω μὲν φεύγειν, ὅςτις ποτ' ἂν καὶ εἴην ἐ||γώ, (Ms. fol. 98 a.) τὸ φευκτόν, εἴτε κατὰ τὸν τῆς ἐρήμου, ἣν καὶ ἐφίλει ἐκεῖνος, εἴτε κατὰ τοὺς δειλούς. Ἐάτω με φρονεῖν καὶ νοεῖν καὶ εἰδέναι διαφορὰς ἠθῶν, καὶ τί μέν ἐστιν ἀδελφὸς ὁ ἁπλῶς, τί δὲ φίλος, τὸ ἐν τοῖς καθ' ἡμᾶς μὲν εἰκαῖον καὶ ῥᾷον καὶ πολύχοον, τοῖς δὲ σπουδαιοτέροις μάλα πεπονημένον καὶ μονάζον, καθ' ὃ καὶ κοινὰ τοῖς φίλοις τὰ πάντα γίνεται. Οὐ γάρ ἐστι κατὰ τὸ τυχὸν φίλον ἄνθρωπον εἶναι πάντα, οὐ μὴν οὐδὲ ἀδελφόν. Ἀλλὰ χρὴ μὲν οὕτως εἶναι· ἡμεῖς δὲ οὐ ποιοῦμεν οὕτως, ἀλλ' ὀνόμασι καὶ μόνοις ὁσιούμεθα, ὥςπερ τὸν ὁμόγνιον, οὕτω καὶ τὸν φίλιον. Ἔστιν οὖν μοι τὸ ἀξίωμα, τὸν μὲν εὐεργετοῦντα ὑπεραγαπᾷν, τὸν δὲ κακοποιοῦντα φέρειν, ὡς δυνατόν, καί πως ἀγαπᾷν, καὶ ὑπερεύχεσθαι· τὰ πλείω μὲν στῆσαι τὴν κάκωσιν, καὶ ῥαῖσαι τῆς ἀγανακτήσεως, παρενσπείρειν δέ που καὶ εὐχὰς τὰς ὑπὲρ αὐτοῦ, καὶ λέγειν τό· μὴ στήσῃς αὐτῷ, κύριε, τὴν ἁμαρτίαν ταύτην. Καὶ μὴν τοῦτο φίλον μὲν τῷ κακοποιοῦντι ἁπλῶς ἀκουόμενον. Φιλοίη γὰρ ἄν, εἴπερ, ἐν οἷς κακόν τι ποιεῖ, ἀγαθὸν εὑρίσκει τὸ ἐκ τῆς εὐχῆς. Πλὴν ἀλλὰ ἐμβαθύνων τῷ λόγῳ, βλεπέτω τὴν τοιαύτην εὐχήν, μή τι καὶ βαρύτητος ἔχῃ. Στῆσαι γὰρ ἐνταῦθα δοκεῖ λέγεσθαι τὸ σταθμώσασθαι, εἴτ' οὖν ταλαντεύσασθαι, καί, ὡς εἰπεῖν, ζυγοστατῆσαι. Καὶ λέγοι ἄν· κύριε, μὴ πρὸς ἀξίαν σταθμώσῃ, μηδ' ἀνάλογον τρυτανεύσῃς τουτὶ τὸ ἁμάρτημα· ἀλλ' εἰ καὶ δεήσει ἀνασταλῆναι τοὺς φορτικούς, παίδευσον μὲν καὶ ἐπίστρεψον καὶ ἐκφόβησον ὡς ἐπὶ ἀναστολῇ, καὶ γνώρισον αὐτοῖς τὴν δύναμίν σου, μὴ πρὸς ἀντάξιον δέ, καὶ σαφέστατα εἰπεῖν, ἰσοστάσιον.

106. Ἀλλ' ὅπερ ἔλεγον, μή τις ἐθελέτω παρανομεῖν εἰς τὸ καθεστηκὸς κοινωνικὸν διὰ τοῦ ἀντονομάζειν τὰ πράγματα. Εἰ γὰρ τὸν κακύνοντα εἰς εὐεργέτην ἐπιγράφομεν, οἷς ἀνεξικακοῦντες ὠφελούμεθα, ἐξ ἀκολούθου καὶ τὸν φίλον, εἴ ποτε συμβουλευσάμενος οὐκ εὐστοχήσει τὰ ἐς φιλικὴν ὑποθήκην, μετονομάσομεν εἰς ἐχθρόν, εἴ τί που βλαβησόμεθα. Τοῦτο δὲ μηδὲ λαλοῖτο. Οὐ γὰρ ἐκ τῶν ἀποτελεσμάτων οἶδε τὰ ἔργα χαρακτηρίζεσθαι, ὡς ἐμάθομεν. Εἰκὸς γάρ, καὶ ἀγαθοῦ τέλους φαυλοτάτην εἶναι τὴν καταρχήν, εἰ καὶ αὐτὸ εὐτυχῶς τετέλεσται, καὶ πέρατος δὲ πράξεως οὐκ ἀγαθῆς χρηστότατον εἶναι τὸ κατάρξαν, εἰ καὶ ὁ πράξας δεδυστύχηκεν. Οὐκοῦν καὶ ὁ χρηστότατος φίλος ἀεὶ χρηστός, κἂν εἰ καὶ συνέβη τῷ φιλουμένῳ βλάβη τις δι' αὐτόν· καὶ ὁ κακύνων δὲ κληρονομεῖ διόλου φαύλης κλήσεως, ἕως ἂν μένοι κακός, εἰ καὶ εἰς εὐεργεσίαν

οὕτω συμβὰν ἀπετελεύτησεν ἡ ἐξ αὐτοῦ κάκωσις. Λέγω δ' ἐνταῦθα θαῤῥούντως, καὶ ὡς οὐ λέγει φίλος· ἐκάκωσα, καὶ μὴ ἔχε μνήμην. Ἀλλὰ κάκωσιν οὐκ οἶδε φίλου τὴν ἐκ προθέσεως, κἂν ὅτι μάλιστα δεινὰ ἐξ ἐκείνου πάσχῃ. Οὐδέποτε φίλος κακολογεῖ τὸν ὅμοιον, Ms. fol. 98. b. οὐδέποτε βλασφημεῖ, οὐκ ἐχθαίρει, || οὐκ ἐρίζει, οὐ δοιάζει ἑαυτὸν τοῦ φίλου, οὐ συμπλάττει διαβολάς, οὐ κατηγορεῖ· ψυχὴ δὲ ἄφιλος καὶ οὐδὲ εὐμήχανος τῶν τοιούτων γίνεται. Εἰ δέ ποτε μὴ εὐστοχήσασα ἐθέλει λέγειν τῷ πολεμηθέντι· μὴ μέμνησο, ἀλλὰ διόλου φίλος ἔσο· παίζει, ἐφ' οἷς ἀξιοῖ, ἀσφαλὲς δὲ λέγει οὐδέν. Ἀκούσεται γὰρ ὁ τοιοῦτος πρός γε τοῦ βλαφθέντος· ὡς γνώριμος μὲν ἔσῃ καὶ συνήθης, φίλος δὲ οὐκ ἄν. Φίλος γὰρ ἅπας ἀναμάρτητος ὀρθῷ λόγῳ καὶ κανόνι πρὸς τὸν φιλούμενον. Εἰ δέ που καὶ προσκόψοι, ἀλλὰ τὸ σφάλμα οὐκ εἰς ἀνέγερτον ἐκεῖνον καταῤῥιπτεῖ. Προσακούσεται δὲ ὁ τοιοῦτος, καὶ ὅτι κατὰ τοὺς πολιτογραφομένους λογισθήσεται καὶ αὐτός· καὶ καθὰ τακτός τις ἐς πόλιν τέως μὲν οὐκ αὐτόχρημα πολίτης ἐστίν, ἀλλὰ δήπου ξένος· ἐγγραφεὶς δὲ εἰς φρήτρην, θέσει τέκνον γέγονε πόλεως, καὶ δευτερεύει τῶν ἰθαγενῶν, ὡς ἔπηλυς, οὐ μεταλαγχάνων τῶν ἴσων τοῖς ἄλλοις πρεσβείων, εἰ μὴ ἄρα συντελέσει, ἀριστεύσας τυχόν, ἢ πρεσβείαν τιμήσας, ἢ ἐπιδούς· οὕτω καὶ σοὶ τέως μὲν ἀγαπητὸν ἔσται τὸ ὁμωρόφιον· εἰ δὲ χρόνος εὐμαρὴς ἐκφήνῃ τὰ τῆς φιλίας κανονικῶς, τότε δὴ καὶ εἰς αὐτόχρημα φίλον τετάξῃ, ὃς ὁμοψυχίαν φιλεῖ· ἄλλως δὲ καλῶς ἂν εὐλαβοῖτό τις τὸ ἐν σοὶ ἀδοκίμαστον, τά τε ἄλλα, καὶ ὅτι ταῦτ' ἴσως μαθὼν ὁ πρώην ἑταῖρος ὁ χρόνιος, ὁ ἀεὶ φίλος, ὁ καθαρός, ὁ ἐπωφελής, ἀποπηδήσοι ἂν φίλου τάσσοντος εἰς ἓν αὐτόν τε καὶ τὸν νέηλυν· καὶ ὅτι οὐδὲ σοφόν, τὸ ἐξ ἄκρας ἔχθρας πιστεύειν εἰς φιλίαν ἄκραν ἀχρόνως ἀποκαθίστασθαί τινας. Ἀποφαίνομαι γὰρ οὐκ ἐνδοιάζων, ὡς οὐδενὶ τῶν τῆς θείας τραπέζης ἡδυσμάτων ἐπιχαίνειν ὁ λίχνος δαίμων φιλεῖ, καθὰ τῇ ἀγάπῃ καὶ τῇ συστοίχῳ ταύτης φιλίᾳ· καὶ χασμᾶται ἀεὶ κατὰ τοῦ τοιούτου καλοῦ. Καὶ ἔνθα μὲν ὁ θεὸς ἐπικουρεῖ, ἀπωθούμενος τὸ θηρίον, λύκος ἀποβαίνει, μάτην χανών. Ἄλλως δέ γε ἀνύει, τὰ μὲν ὀψέ ποτε, ὅπου καθὰ πόλις ὀχυρὰ ἡ φιλία πέπηγε· τὰ δὲ καὶ ῥᾳδίως, ἔνθα κατὰ ψάμμου τὰ φιλικὰ τεθεμελίωται.

107. Χρὴ τοίνυν δοκιμάζειν, ὥσπερ τἄλλα πνεύματα, οὕτω καὶ τὸ τῆς φιλίας, καὶ μὴ προσφέρεσθαι τῷ τυχόντι πείρας ἄτερ, ἀλλ' ἐξετάζειν, καὶ συχνὰ περιβλέπεσθαι, καὶ πάντα ποιεῖν, δι' ὧν ἂν ὁ φίλος διακριθήσεται, εἰ στερέμνιος, εἰ ἀληθής, εἰ μὴ χοροβατεῖ σκηνικῶς· εἰ στεγανοῖ τὰ χείλη, ὡς μήτε κακολογίας ἐκεῖθεν ἐκπέτεσθαι, μήτε αὖ μυστήρια προπηδᾶν· εἰ δύναται φέρειν ἐλαφρῶς φίλον βαρυνόμενον κατ' αὐτοῦ· εἰ μὴ πρὸς κέρδος φιλεῖ, τοῦτο δὴ τὸ τοῖς πλείοσιν ἐπιπολάζον· εἰ μὴ θερμός, εἰς ἐργωδίαν ἐκτρέχειν, ὡς πράγ || ματα παρέχειν τῷ φίλῳ· εἰ μὴ Ms. fol. 99. a. πρόεισι καχύποπτος· εἰ πρὸς ἄλλους φιλίαν συνηλλαχώς, ἔμεινε καὶ κατώρθωσεν· εἰ καὶ κινδύνους ὑπομένειν ἡτοίμασται· εἰ τῷ φίλῳ ἐπαρκέσει, καιροῦ καλοῦντος, ἐν οἷς ἄρα καὶ δέοιτο· εἰ τυρευομένην ἐπιβουλὴν καταμηνύσει μαθών· εἰ τοῖς τοῦ φίλου καταπίπτουσι παρέξει ἀντίληψιν· τὸ πᾶν εἰπεῖν, εἰ τοιοῦτος ἔσται τῷ φίλῳ, οἷος ἂν αὐτὸς ἑαυτῷ, φάναι δὲ κατὰ τὸν εἰπόντα σοφόν, ἄλλος αὐτός. Οὕτως ἐγὼ δοκιμάζειν αἱροῦμαι τοὺς ἤν ὅτε βλάψαντας, καὶ δοκιμάσας, ἐξευρὼν εἰς ἓν αὐτοῖς ἥκω, καὶ συνανακίρναμαι τὰ ψυχικά, καί εἰμι ἐγὼ ἐν αὐτοῖς, καθὰ παραγγέλλομαι· εἶεν δὲ καὶ αὐτοὶ ἐν ἐμοί. Ἄλλως δὲ εὐλαβοῦμαι, ὑποστέλλομαι, ἤδη δέ που καὶ διαστέλλομαι, καὶ ἐγγίζων αὖθις ἀνὰ πόδα χωρεῖν ἐθέλω· καθά που καὶ στρουθίον δειλόν, ὅτε κόκκον σίτου ἰδών, καὶ ἐπ' ἐκεῖνον δραμὸν μικρόν, καὶ κατόπιν χωρεῖ, μὴ καὶ εἰς παγίδα πέσοι.

108. Ἔπαθον ἐγὼ πολλὰ τοιαῦτα· ἐδελεάσθην, ἠπατήθην, παρεκρούσθην, ἀπεπλανήθην, δοκῶν φιλίαν κερδῆσαι. Οἴ μοι τῆς ἔχθρας, ἣν εὗρον. Φαντασάμενος, ῥόδοις ἀγάπης περιτυχεῖν, φεῦ ὁποίαις ἀκάνθαις περιεπάρην, οὐ τριβόλοις, οὐ παλιούροις, οὐ βάτοις, ἀλλὰ κυνοσβάτοις, αἳ κέντροις ὀξυτάτοις φρίσσουσι. Πλεονάκις ὕπουλος φιλία κατεκαυχήσατό μου, καὶ οὕτως ἐπαιδεύθην τὸ ἀκριβές. Ἤλπισα μυριάκις τὰ εἰς φιλίαν· καὶ ἡ ἐλπίς, ὃ δὴ καὶ λέγεται τοῖς σοφοῖς, ἐλλιπὴς ἀπέβη μοι· κἀντεῦθεν δέδοικα τὸ τῶν ἐλπίδων ἀτελεσφόρητον, ὡς ἐὰν καί τις εὐλαβοῖτο σκιάς. Καὶ ὁ μὲν τὰς ἐλπίδας φάμενος ἐγρηγορότων ἐνύπνια, οὐκ ἔσθ' ὅπως εὑρήσει τὸν ἢ ἀντιλέξοντα, ἢ κάλλιον φράσοντα. Ἐγὼ δὲ ἀλλ' ἐκεῖθεν ἐρανισάμενος, καὶ τοῦ γνωματεύσαντος ἀπονάμενος, λέγω καὶ αὐτός, ὅτι, καθὰ βλεφάρων ἐξ ὕπνου ἀνάπτυξις ὀνείρων ἐστὶν ἐκπέτασις, οὕτω ψυχῆς ἀνάνηψις κενῶν ἐλπίδων ἀπέλευσις καὶ ἀπάλειψις. Διὸ πολλάκις μὲν ὀνειροπολήσας ἀγάπην, εἶτ' οὖν ἐλπίσας, τοσαυτάκις δὲ ἀνανήψας, καὶ τὸ ἐλπισθὲν μὴ εὑρὼν ὡς ἀπεληλυθός, ἀπήλειψα τῆς κατὰ ψυχὴν δέλτου αὐτό, καὶ οὐκέτι ἤλπισα· καὶ ἐκεῖθεν ἕως καὶ εἰς δεῦρο δειλιῶ τὰς ἐλπίδας, καὶ δοκιμάζω, ἕως ἂν ἡ κατ' αὐτάς, προσφυῶς εἰπεῖν, σκιὰ εἴς τι στερέμνιον ἀποτελεσθήσεται· οὗ προφανέντος ἀνέκυψεν αὐτίκα

τελεία φιλία, καὶ περιλάμψασα πᾶσαν ἀπήγαγε νεφέλην ὑποψίας, καὶ ὁ φίλιος παῤῥησιάζεται. Πρὸ δέ γε τοῦ τοιούτου μεταστήματος ἐμμένειν χρὴ πάντα ἄνθρωπον τῇ πολιτικῇ καταστάσει. Ἔστι δὲ αὕτη, ὡς ἐν βραχεῖ περιγράψασθαι, τὸ πάντας ἀγαπητικῶς ἔχειν ἀλλήλοις τε καὶ τοῖς ἔξωθεν, τὸ κοινωνεῖν, ἐφ' οἷς ἕκαστοι χρήζουσι, τὸ συνεπιλαμβάνεσθαι, τὸ ἐπαρκεῖν, τὸ μὴ ἐρι || θεύεσθαι, τὸ μὴ κακολογεῖν, τὸ μὴ ἐπιτρίβειν συκοφαντικῶς, ταὐτὸν δ' εἰπεῖν, διαβολικῶς. Ἔλαθον δὲ ἐμαυτὸν ἐξαπλώσας τὸ ἕν· εἰς γὰρ τὸ ἀγαπητικῶς ἔχειν τἆλλα πάντα ὡς οἷον σφαιροῦνται ἀγαθά, τά τε εἰρημένα, καὶ ὧν οὐ γέγονε λόγος, οἷς καὶ τὸ ἀμνησικακεῖν συντέτακται. Εἰ δὴ ταῦτα φρονῶ (φρονῶ δὲ οὕτω, θεοῦ διδόντος), πέσοιμι ἔξω τῆς τῶν πτερύγων τοῦ θεοῦ σκέπης, εἴπερ ξίφος ἀμύντης ἠκόνησά ποτε, μὴ ὅτι γε εἰς ἀρχιερωσύνην ἐπαναβάς, ἀλλὰ καὶ ὅτε τοὺς κρημνοὺς καὶ τὰς ὑπωρείας τοῦ τοιούτου ὕψους διέβαινον. Εἰ δὲ τυπτόμενος καὶ ἀλγῶν ἐγόγγυσα, καὶ ἢ τὸ φεῦ μοι, ἢ τὸ οὐαί, ἢ ὅσα τοιαῦτα, ὑπέμυξα, καὶ ὦ κύριε, βοήθει ἐλάλησα, ἐξεβόησα δέ που καὶ τραχύτερον· δαιμόνιοι, τί μοι ἐπέχετε μηδὲν πταίοντι; ἀλλὰ ταῦτα, οἶμαι, οὐκ ἄν με χρωματίζοιεν εἰς μνησίκακον, οὐδὲ γράμμα τοιοῦτον χρώσαιεν ἐπ' ἐμοί, ὡς οὐδέ τις ὀξυγράφον κάλαμον βάψας ἐς ὕδωρ, ἔχοι ἂν ἐντυπώσασθαι γράμματα. Καὶ ἐγὼ μὲν εὔχομαι, τὰ ἐς μνήμην κακοῦ τοιοῦτος εἶναι διὰ βίου, οἷος εἰμί, παραξέσαι τὸ τοῦ Λυρικοῦ. Ὃς δὲ μὴ ἀρκέσεται, ἢ βλαπτέτω με, εἰ χώραν αὐτῷ διδοίη ὁ θεός, ἢ ἐπαράσθω τὰ χείριστα, εἴγε θαῤῥοίη ἐξικνεῖσθαι τὴν τοιαύτην αὐτοῦ εὐχὴν εἰς τὸν ὕψιστον· ὅπερ ἐγὼ οὐκ ἂν πτοηθείην, εἰδὼς εὖ μάλα, ὡς εὐχὴ μὲν δικαία θαῤῥεῖ τὴν ὑψοῦ ἀνάβασιν, καὶ ἀναλαμβάνεται εἰς ἀκοὰς θεοῦ, ἡ δὲ μὴ τοιαύτη μάτην ἀναῤῥιχᾶται, ὅποι μὴ ἔστιν ἀναβῆναι αὐτήν.

Me. fol. 99. b.

Τοῦ αὐτοῦ λόγος προεισόδιος τῆς ἁγίας τεσσαρακοστῆς.

1. Οὐκ εὐπορῶ συνιδεῖν, ὦ ἀδελφοί, ὅπως ἂν τοὺς λόγους ἡμῖν ἁρμόσωμαι σήμερον. Τριχῇ γὰρ διασχίζων τὸ τῆς ἄρτι συνελεύσεως αἴτιον, οὐκ ἂν ἐγγύας δοίην ἀσφαλεῖς, δυνήσεσθαι πρὸς τὰ τρία ἐξαρκέσειν, ὡς ἐγώ τε ἐπιθυμῶ, καὶ ὡς τὸ τοῦ πράγματος ὅσιον ἀπαιτεῖ. Πρόδηλον γάρ, ὡς οὐ μόνον εὐχῆς ἕνεκεν ἥκετε, ἧς χάριν ἀνέκαθεν ἡ ἄθροισις αὕτη συντελεῖσθαι εἴωθεν, ὡς ἂν τὸ πνευματικὸν στάδιον ἀθλητικῶς ἐξανύσαντες, καὶ τῶν σκαμμάτων γεγονότες, ἔχοιτε οὐ μόνον τὰ νενομισμένα ἐξανύειν, ἀλλ', εἴ που δυνατόν, καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἐκτρέχειν, καὶ ὑπερακοντίζειν ἀλλήλους τοῖς καθ' ὑπερβολὴν θεῷ φίλην καὶ ἀγωνίσμασιν· ἐπεὶ καὶ ὁ θεῖος λόγος φάμενος τὸ ἐν κόποις ὑπερβαλλόντως, διδάσκει, μὴ πᾶσαν ὑπερβολήν, ἀλλ' ἢ μόνην τὴν ἐφάμαρτον, καὶ δι' αὐτὸ μὴ φιλουμένην θεῷ, ψόγοις ἀποκληροῦν. Οὔκουν εὐχῆς μόνης ἕνεκεν, ὡς ἐῤῥέθη, ὁ τῆς ἡμέρας ταύτης σύλλογος, ἀλλὰ καὶ διδασκαλίας, ἣν οἱ θειότατοι πατέρες ἐνομοθέτησαν, οἷς ἐποίουν ὡς ἑκάστοτε.

2. Τὸ δ' ἐν τοῖς νῦν τρίτον αἴτιον τοῦ συνελθεῖν, ὃ καιροῦ περιπέτεια ἔφηνε, παραμυθία καὶ λόγος παρήγορος, οὗπερ, ὡς οἶμαι, καὶ αὐτοῦ || μάλιστα προσδέεσθε, εἴ τι χρὴ τοῖς ἐμοῖς τεκμήρασθαι καὶ τὰ ὑμέτερα. Καὶ γάρ τοι καὶ αὐτὸς ἐν τοῖς νῦν ἄλγεσι καὶ τοιοῦδε φαρμάκου προσδεδέημαι, ποτνιώμενος εὑρέσθαι ποθὲν μέθοδον, δι' ἧς τὸ ἰάτρευμά μοι ἔσται ἠπιώτερον φιλανθρωπίᾳ θεοῦ, καὶ μὴ πρὸς ὀδύνην οὐ φορητήν. Τί δέ μοι λέγειν, ὡς τοῦ τρίτου καὶ μόνου ἐγὼ δέομαι, δέον εἰπεῖν, ὅτι καὶ τῶν τριῶν ἐπιδεῶς ἔχω, καὶ ὑπερκαίεταί μοι τῆς αὐτῶν ἐπιτυχίας ἡ ψυχή; Εὐχήν τε γὰρ καὶ αὐτὸς ἐθέλω τὴν ἐξ ὑμῶν, εἴπερ ποτέ, καὶ διδασκαλίαν δὲ καταρτίζουσαν, ἐφ' οἷς εἰς τὴν κατὰ θεὸν οὐ παύομαι ὁδὸν σκαμβεύων, οὐδὲ κατορθῶ τὰς τρίβους, χωλεύων οὐχ ἁπλῶς, ἀλλ' ἐπ' ἀμφοτέραις ἰγνύαις, εἴτ' οὖν τοῖς κατὰ λόγον καὶ πρᾶξιν διαβήμασιν. Ἔτι δὲ καὶ παραμύθιον προσεπιζητῶ ἐφ' ὁμοίοις, ἐφ' οἷς δηλαδὴ καὶ αὐτοὶ προκαλεῖσθε οἶμαι τὸν παραμυθησόμενον. Καὶ ὑμεῖς μὲν ὅπως ἂν τοῖς ἐμοῖς αἰτήμασι προσενεχθήσεσθε, εἰδοίητε ἂν αὐτοί, καὶ πρὸ ὑμῶν ὁ θεός, ὁ μεθοδεύσας καὶ ὑμᾶς εἰς τὰ τρία καλά, ὑπὲρ ὧν ἐμοὶ δέησις.

Me. fol. 100. a.

3. Ἐγὼ δέ, ὅπερ ἔφθην εἰπών, οὐ πάνυ εὐπόρως ἔχω πρὸς τὰ ἐξ ἐμοῦ, ὅτι μηδὲ τὴν πρώην εὐκαιρίαν πλουτῶ, οὐδὲ κατάστασιν ἐκείνην ἔχω περὶ ἐμέ, καθ' ἣν ἠγλαϊζόμην λέγων εἰς τὰ κατὰ σκοπόν· ἀλλά μοι καὶ τὸ νοερὸν κατάστημα ἑτεροιοῦται πρὸς τὰ πρότερον, καὶ ἡ προφορὰ δὲ τῶν λαλουμένων καινοπραγεῖται, καὶ οὐχ οἷά τέ ἐστιν ἐμπλατύνεσθαι εἰς ἁβρότητα.

Καὶ ἔχει λόγον τὸ πάθος. Πηγῆς γὰρ ἀποῤῥύτου ἐμπεφραγμένης, ἀκόλουθον, ἐπιλείπειν καὶ τὴν ἐκροήν. Καὶ ἄλλως δὲ χρὴ, τοῦ γεννῶντος ἐξιτήλου γενομένου, μηδὲ τὰ γεννώμενα τεθηλέναι. Καὶ ὅμως προεκτιθέμενος ὑπισχνοῦμαι, ὡς εὐχὴν μὲν ἀποδοῦναι πάνυ τι ἀναγκαιότατον, καὶ οὐδὲ διεξοδικόν, ὅτι μηδὲ λιχνεύονται τά γε τοιαῦτα οἱ ἀκροαταὶ εἰς πολὺν πλατυσμόν. Ἀρκοῦσι γὰρ καὶ βραχέα ῥήματα, τὴν ἐπιθυμίαν ἀποπλῆσαι τῷ εὐχομένῳ τε καὶ τῷ ὑποδεχομένῳ τὰ τῆς εὐχῆς, καὶ οὐκ ἂν γένοιτό ποτε λίαν πραγματειῶδες τὸ ἐν τοιούτοις εὔχεσθαι.

4. Καὶ οὕτω μὲν προκεφαλαιοῦμαι τά γε εἰς χάριν εὐχῆς· διδάξαι δὲ ὑμᾶς—ἀλλὰ τριχῇ καὶ αὐτό. Ἔμοι γ' οὖν ἄπορον φαίνεται· καὶ πρῶτα μὲν κατὰ τὴν περὶ λόγους πενίαν, ἣν δαψιλῆ πλουτῶ, ᾗ συντέθραμμαι· εἶτα καὶ ὅτι αἰώνιος ἐξότου χρόνος τῇ καθ' ἡμᾶς ἱερωτάτῃ θρησκείᾳ ἡ τοιαύτη τοῦ λόγου ἰδέα καὶ συγγεγένηται καὶ παρεκτειναμένη συγγεγήρακε. Διὸ καὶ πλείονες, οἶμαι, λόγοι τὸ τοιοῦτον ἀγαθὸν ἔτριψαν, τὰ νηστευτικὰ παραγγέλλοντες, ἥ περ φορτηγοὶ νῆες ἀγαθῶν πλήθουσαι τὴν θάλασσαν ἔτεμον. Ὅθεν νεωτάτης μὲν ἀεὶ φιλουμένης ᾠδῆς, ἁπάσης δὲ τοιαύτης ἐννοίας κἀνταῦθα || Ms. fol. 100. b. πολλάκις ἀμαξευθείσης, ὃ δὴ λέγεται, καὶ μηδεμιᾶς ἀτρίπτου περιλελειμμένης, ὄκνον ἔλλογον ἔχω λαλεῖν, ἅπερ οἱ ἀκροώμενοι προαρπάζοντες ἐμὲ μὲν καταιδέσουσιν, αὐτοὶ δὲ ἀποκναίσονται πρὸς τὴν διόλου ἀκρόασιν· ἐπεὶ καὶ φύσει τοῦτο πάσχομεν ἄνθρωποι, ὡς ἐπιπολὺ κλείοντες ἐν τοῖς τοιούτοις τὰς ἀκοάς, καί που καὶ ἀποπηδῶντες τῆς συνάξεως ἐν τῷ κατηχεῖσθαι τὰ γνώριμα, καὶ ἀναφωνοῦντες, ὡς οἴδαμεν ταῦτα πάντα, καὶ οὐ δεόμεθα ἐνασχολεῖσθαι τοιούτοις ἀκούσμασιν· ὡς ἐντεῦθεν τὸν διδάσκοντα μάτην περιᾴδειν τὸ διδασκαλεῖον, καὶ ὡς εἰς κύμβαλον ἀλαλάζον λογίζεσθαι. Τοῦτό μοι καὶ τὸ δεύτερον αἴτιον τοῦ εὐλαβεῖσθαι τὴν λαλιάν.

5. Τὸ δέ γε τρίτον καὶ μεῖζον καὶ βιαιότερον ὁ παρηγορητικὸς καὶ νόμος καὶ λόγος. Πῶς γὰρ ἂν καὶ παρηγορησαίμην ἄλλους ὁ τὴν ψυχὴν περίλυπος ἕως μικροῦ καὶ εἰς θάνατον; Πῶς δὲ ἂν διαρθρώσω φωνὴν ἐπὶ παραμυθίᾳ ὁ τοῖς στεναγμοῖς τὸ λαλεῖν ἐγκοπτόμενος; Πῶς δ' ἂν ὁ περιπαθὴς ἑτέροις ἐπὶ πάθεσι θεραπείαν τεχνώμενος, οὐκ ἀκούσωμαί ποθεν προςφυῶς τό· Ἰατρέ, θεράπευσον σεαυτόν; Τοῦτό μοι καὶ τὸ τρίτον. Οὐκοῦν ὡς οἷα τριπλόκῳ τούτῳ σχοινίῳ ἀγχόμενος, βιάζομαι σιγᾶν, εἰ καὶ μὴ πείθομαι· καὶ πολλὰ λογισάμενος εἰς ἀποδυςπέτησιν, ἰδοὺ γίνομαι τῆς συνελεύσεως, καὶ ὁσιοῦμαι τὰ προτεθειμένα, ὡς εἰκὸς ποιῆσαι γέροντα παπᾶν, οὕτω διακείμενον. Χωρήσω οὖν ἀναγκαίως διὰ τῶν ἐκτεθειμένων τριῶν κεφαλαίων, εἰς ὅσον σύμμετρον (πολυλογίᾳ γὰρ ἐγκροαίνειν ἁβρότερον, οὔτε ἔστιν, οὔτε ἔξεστι)· καὶ ἀναμιγνὺς αὐτὰ οὐκ ἀμεθόδως, καὶ δι' ἀλλήλων ἄγων, περαιώσομαι τὸν σκοπὸν τῆς συνάξεως, ἀρξάμενος, ὅθεν εὐλογητὸν ἄρχεσθαι.

6. Ὁ θεός, ὁ πρὸ αἰώνων καὶ ὑπὲρ αἰῶνας, ὅτι καὶ ποιητὴς αἰώνων (οὗ τὸ ἄναρχον καὶ προάναρχον εἰπεῖν μέν ἐστι κατὰ νοῦν ὀρθόν, καὶ βεβαιώσασθαι, καὶ καρδίᾳ καὶ στόματι ἀνομολογήσασθαι, νοῆσαι δὲ πρὸς ἀκρίβειαν καὶ ἐμβαθῦναι, δυςμήχανον), ἦν μὲν ἀεί, ὥςπερ καὶ ἔστι καὶ ἔσται· οὔτε δὲ τῶν τινος ἡμετέρων δέησιν ἔσχε ποτέ, οὔτε δεήσεται. Εἰ γὰρ ἐδέετο, ἐποίησεν ἂν ἡμᾶς ἐγγὺς—προαιωνίους μὲν οὐκοῦν, ταὐτὸν δὲ φάναι, συναιωνίους, πλὴν οὐδὲ τοῦ ἐσχάτου αἰῶνος, ἀλλὰ πρὸ πολλῶν αἰώνων. Ἀρκούμενος δὲ τῇ οἰκείᾳ οὐσίᾳ, καὶ τὸ πληρέστατον ἄπειρον ἔχων εἰς ἀνενδεές, καὶ μηδενὸς λειπόμενος τῶν ὅσα καὶ ἔπρεπε θεοῦ ἀγαθότητι, καὶ πᾶσι τοιούτοις ὑπερπλουτῶν, ὕστερον εἵλετο τὴν ἡμετέραν πλάσιν, οὐ δι' ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς αὐτούς, ἵνα οὕτω πληθυνεῖ, ὡς εἰπεῖν, θεότητι, προςτεθέντων ἡμῶν λόγῳ θέσεως τῷ κατὰ φύσιν θεῷ.

7. Ἐπεὶ δὲ ἡ μήτηρ γῆ καθέλκειν εἰς ἑαυτὴν εἶχεν ἡμᾶς, ὀκνοῦντας ἀνωφορεῖσθαι, προϋπεστήσατο καὶ φύλακας ἡμῖν τοὺς ἀσωμάτους ἁγίους χορούς, φῶτα ἐκείνους δεύτερα, πυρσεύοντα ἡμῖν τὸ σωτήριον καὶ ἐπαύξοντα τῇ σφῶν διακονίᾳ τὴν θείαν ἔλλαμψιν, οὗ χάριν καὶ ζώπυρον ἡμῖν ἐνέθετο, πεφυκὸς πνεύματι θείῳ ῥιπίζεσθαι καὶ ἀνάπτεσθαι εἴς τε τὸ λάμπον ἐν κόσμῳ, || Ms. fol. 101. a. καὶ εἰς τὸ καὶ θύματα θεοῦ καὶ θύτας ἡμᾶς αὐτοὺς ἀποτελεῖν, καὶ ὡς θυμιάματα δὲ κατευθύνεσθαι εἰς αὐτόν.

8. Ἐπεὶ δὲ τὸ ἀντικείμενον πνεῦμα ἐπιπωμάζον, καὶ μὴν καὶ ἀντιπνέον, ποτὲ μὲν μαραίνειν τὸ τοῦ θείου πυρὸς ἐπειρᾶτο σπέρμα, καὶ ἀφιέναι μηδὲ ὑποσμύχεσθαι, ποτὲ δὲ καὶ ἐξαφθὲν καὶ πυρσεῦσαν απεσβέννυε, βαρὺ καταπνέον, κἀντεῦθεν χάος καὶ ἔρεβος τοῦ κατ' ἄνθρωπον κόσμου κατεκαυχᾶτο, καὶ σκότωσις βαθεῖά τε καὶ παχεῖα ὅση ἐπαῤῥησιάζετο· πρῶτα μὲν ἐξ ἀνάγκης τὸ ἀπαύγασμα τοῦ πατρὸς τῶν φώτων, ὁ τῆς δικαιοσύνης ἥλιος εἰς γῆν ἐνεχθείς, καὶ ἀστραπὰς πληθύνας, καὶ συνταράξας τὸν ἄρχοντα τοῦ καθ' ἡμῶν κακοῦ, ἐκεῖνον μὲν ὡς τὴν τοῦ ἑωσφόρου καὶ κλῆσιν καὶ πρᾶξιν ἀποθέμενον ἀπεκλήρωσεν οἷς ἐχρῆν, τὸ βίαιον ἐκείνου ἀπαγαγὼν ἐξ ἡμῶν τῶν λογικῶν εἰς τοσοῦτον, ὡς μὴ ὅτι γε ἡμῖν μὴ ἔχειν

ἐπιφύεσθαι, ἀλλὰ μηδὲ χοίροις γοῦν ἐπεμπίπτειν καὶ εἰς ὄλεθρον δίχα γε κελεύσεως.

9. Ἐπεὶ δὲ μοχθηρία ἡ κατὰ προαίρεσιν, ἧς ἡμεῖς ἐλάχομεν εἶναι κύριοι, ὥςπερ ἐκεῖνον τὸν πονηρὸν τὸν Σατανᾶν, οὕτω καὶ ἡμᾶς οὐκ ἀνῆκε μετὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν, ἀνασείουσα εἰς ἀποστατικὰ ἔργα, δι᾽ ὧν ὁ παμβασιλεὺς θεὸς παροργίζεται, τηνικαῦτα ὅσοι φρονήσεως εὖ εἴχομεν, αἴροντες τοὺς ἡμῶν ὀφθαλμοὺς εἰς ὄρος ἐκεῖνο τὸ ὕψιστον, ὅθεν ἡμῖν ἥξει βοήθεια, προεκαλούμεθα κατὰ τοῦ κατωτέρω καὶ ἐκ πεδιάδων πολεμίου τὸν ἐκ τῆς ἀνωτάτω ἀκροπόλεως ἡμῶν ἀρχιστράτηγον. Ὁ δὲ καὶ ἄλλας μὲν ἐπικουρίας ἐξέστειλεν, ὧν οὐκ ἂν αἴσθησις ἀντιλάβοιτο· ἐν δὲ ἐκείναις καὶ τὰς ἱερὰς διφθέρας παρέδοτο, δι᾽ ὧν ὅσα καὶ ἀσπίδων στερεμνίων τὰς τοῦ πολεμίου βολὰς ἀποκρουσόμεθα. Ἔφθη γὰρ αὐταῖς προςεπιγράψαι τὸ ἑαυτοῦ ὄνομα εἰς ἐπίσημον, ὡς βλέπεσθαι τοῖς ἐχθροῖς, καὶ φρίκην αὐτοῖς ἐμποιεῖν προςεπιγράψαι. δὲ καὶ θεῖα προστάγματα, ὧν ἐξακουομένων οἱ ἀποστάται κακοὶ δοῦλοι δαίμονες δραπετεύουσι. Τὰ δέ εἰσιν αἱ τῶν ἀποστόλων καὶ τῶν ἄλλως δὲ κηρύκων ἐκ θείας ἐπιπνοίας διδασκαλίαι, ὧν ἐξηχουμένων θαῤῥύνονται οἱ τοῦ θεοῦ ὁπλῖται, καὶ τοῖς δαιμονίοις ἐπεμπηδῶσι, καὶ πλήττουσι, καὶ ῥίπτουσι, χρώμενοι τοῖς αὐτοῦ οὐ μόνον ἀσπίδων δίκην, ἀλλὰ καὶ ὅπλου παντός.

10. Εἰ τοίνυν ταῦθ᾽ οὕτως ἔχει (πάντως δὲ οὐκ ἂν ἄλλως), ἐπιτέλλομαι ὑμῖν τοῖς τοῦ θεοῦ ὁπλίταις, εἰς τὸ τοιοῦτον θωρακεῖον δραμεῖν, καὶ ἀναλέξασθαι τὰ πρόςφορα ὅπλα τὰ ἐκ τῶν θείων γραφῶν, αἳ πρόκεινται εἰς ἀνάγνωσιν, ἃς ἔχετε, ὧν πεπείρασθε εἰς ἐπιστήμην, αἷς πολλάκις περιεγένεσθε τῶν μισανθρώπων ἀντιμάχων· καὶ οὕτως ἐμαυτὸν ἀπαλλάττω τοῦ πλείω λέγειν. Αὗται γὰρ αἱ θεῖαι συλλαβαὶ διδάξουσιν ὑμᾶς, καὶ συλλήψονται παντὸς ἔργου, δι᾽ οὗ κατευθυνεῖσθε εἰς τὸ προτεθειμένον πνευματικὸν στάδιον.

11. Καὶ οὕτω μὲν ἐγὼ πέμπω ὑμᾶς εἰς τοὺς μεγάλους πολεμάρχους, ὧν τὰ κατὰ πνεῦμα τακτικά, Ms. fol. 101. b. ὧν αἱ θεῖαι || στρατηγικαὶ μέθοδοι, ὧν αἱ σάλπιγγες τείχη καταῤῥιπτοῦσιν, ἅπερ οἱ τῆς κακίας οἰκοδόμοι δι᾽ ἡμῶν ἐπλινθοποίησαν, ὧν αἱ ἑλεπόλεις ἅμα προυφάνησαν, καὶ πύργους, οὓς ὁ σοφιστὴς τῆς κακίας ἀνέστησεν, εἰς χοῦν ἐλέπτυναν. Ὅτε δὲ τῶν μὲν τοιούτων αὐτάρκως ἔχετε, διὰ δὲ τὸ πρόχειρον καὶ εὐπόριστον κατ᾽ ἰδίαν αὐτὰ θέμενοι, λιχνεύεσθε καὶ εἰς ἑτεροῖον ὁπλισμόν, καὶ ὡς ἐπὶ ὁπλοποιοὺς ἡμᾶς ἥκετε χορηγήσοντάς τι πρὸς μάχην τὴν ἄρτι προκειμένην ἐπιτήδειον· ἐπιδώσω μὲν ἐξ ἀνάγκης, προφωνήσομαι δέ, μὴ ἂν ἔχειν ἡμᾶς τοιαῦτα σκευάσασθαι, ὁποῖα τὰ παλαιά, οὔμενουν οὐδὲ ἐγγὺς ἐκείνων εἰς οὐδέν. Εἰ γὰρ ὁ κατὰ πνεῦμα λινοθώραξ, καὶ ὁ ἐκ λύγων ἀσπίδα περιθέμενος, καὶ ἀντὶ ξίφους βριαροῦ αγεννῆ παραξιφίδα, καὶ ὅσοι τοιοῦτοι — ἀλλ᾽ αὐτοὶ τῶν καταφράκτων ὁπλιτῶν πολύ τι διενηνόχασιν· ἦ ἄρα ἐξ ἐμοῦ ὅπλισις λογισθείη ἂν ἀράχνης ἐπένδυσις τοῖς ἄλλως εἰδόσιν ὁπλίζεσθαι πρὸς ἀκρίβειαν, καὶ στεγανοῦσθαι εἰς ἐχυρότητα. Καὶ ὅμως ἰδοὺ καὶ αὐτὸς ἐξαρτύω ὑμᾶς εἰς μάχην, ὡς καὶ μεθόδου καὶ δυνάμεως καὶ χορηγίας ἔλαχον ἔχειν, ἄνθρωπος γέρων ἀκμῇ τῇ κατὰ σῶμα, καὶ τὴν κατὰ λόγους (εἴ ποτέ μοι καὶ ἦσαν) συναπολωλεκώς· καὶ πρῶτον, ὃ δὴ παντὸς πολέμου προτρέχει, ποιῶ καὶ αὐτός, εὐχὴν προγράψας, ὁποία τοιούτου προκατάρχειν ἔργου φιλεῖ.

12. Γινοίμεθα πάντες ἐνταῦθα φόβου, ὡς, εἰ μὴ ὁ θεὸς ἡμῖν ἅπαντος ἔργου σπουδαίου συνεφάψεται, οὐκ ἔστι κατορθοῦν. Σπουδαιότατον δὲ ὅτι μάλιστα, ἐπεὶ καὶ θεοφιλέστατον, τὸ ἄρτι προκείμενον ἀγώνισμα, ἡ νηστεία, δι᾽ ἣν ὁ παρὼν λόγος ἄρτι καιροῦ τοῖς ἁπανταχοῦ γῆς ἀρχιερεῦσι καθέσταται. Οὐκοῦν εὐχοίμεθα, πρὸς ἡμῶν εἶναι τὸν ἐν τοῖς τοιούτοις ἀγῶσιν ὑπερκαθήμενον ὕψιστον βραβευτήν· ὃς καλῶς μὲν ἡμῖν ἀεθλεύσασιν οὐ φειδωλὸς ἔσται τῶν ἐπάθλων, ἀτεχνῶς δὲ διεκπεσοῦσιν οὔτε προςηνὴς φανεῖται, καὶ τῶν βραβείων ἀποστερήσει, καὶ ἄλλως οὐκ ἐντίμως ἀπώσεται. Οὐ μάτην δέ μοι τὸ ἀτεχνῶς ἐνταῦθα ἐπιλέλεκται. Οὐ γὰρ σωμασκίας ἐνταῦθα χρεία καὶ στοιβῆς κρεάτων, ἣν οἱ θεωρικῶς ἀθλοῦντες περίκεινται, σαρκῶν αὐτοὶ ὄντες ἄνδρες, καὶ που καὶ βαρύτητι σώματος καταῤῥιπτοῦντες τὸν ἀντίπαλον· ἀλλὰ τέχνης εὐμεθόδου, πνευματικῶς αὐτοὺς ῥυθμιζούσης καὶ ἐναγούσης εἰς τὸ εὐσθενές, δι᾽ ἧς ὡς τὰ πολλὰ καὶ ἀπονητὶ τέχνῃ καὶ σοφίᾳ θείᾳ κάτω βάλλουσι τὸν καθ᾽ ἡμῶν φρονοῦντα μετέωρα, τὸν καὶ πάνυ μὲν βριαρόν, καὶ ἄλλως δὲ ἀδρανέστατον· τὸ μέν, εἰ καταῤῥαθυμοῦντες χαυνούμεθα, ὅτε καὶ πίπτομεν, τὸ δέ, εἴπερ ἐγρηγορότες ἡμᾶς αὐτοὺς ἕκαστος εἰς θάρσος ἐκπυροῦμεν μάχιμον, ὅτε καὶ ῥίπτομεν τὸν ἐχθρόν. Τέχνην δὲ τοιαύτην ἀθλητικὴν διδαχθῆναι, οὐδεμία χρεία ἡμῶν οὐδενί. Πάντες γὰρ καὶ δεδιδάγμεθα ἱκανῶς, καὶ πεπειράμεθα ἐντριβῶς, καὶ οἴδαμεν ἀκριβῶς, καὶ δυνάμεθα ἕκαστος ἑαυτῷ ἀλείπτης || εἶναι, στρατηγὸς αὐτόνομος, Ms. fol. 102. a. κυβερνήτης αὐτοπρόβλητος, διδάσκαλος αὐτοφυής, ὁδηγὸς ἀφ᾽ ἑστίας, αὐτομαθὴς ἑρμηνεύς.

13. Ἐπεὶ δὲ ὁσιότης παρηκολούθησεν, ἑκάστης μεγάλης νηστείας, καθὰ καὶ παντὸς πτολέμου, προηγεῖσθαι

σύναξιν καὶ διδασκαλίαν τὴν ἐπ' αὐτῇ (πολέμου γάρ τι πάντως εἶδος, καὶ αὐτοῦ σκοπιμωτάτου, καὶ τὸ νῦν ἡμῖν προκείμενον σπούδασμα μετὰ τοῦ ἀρχηγοῦ τῶν σκοτεινῶν τάξεων), καὶ ἄθροισμα τοῦτο ἱερὸν συνελέγη, καὶ οὐκ ἔστι μὴ καθοσιώσασθαι τὸ πρέπον, εἰς ὅσον ἰσχύς· μεθοδεύομεν ὑμῖν ἀναγκαίως πρὸ πάντων ἄλλων, ὡς ὁ τῆς διδασκαλίας ὅρος κανονίζειν βούλεται, εἰς νοῦν λαβέσθαι τοῦ σκοποῦ τῆς νηστείας, εἰς ἣν ἤδη προβιβαζόμεθα. Τούτου γὰρ εὑρημένου (πρόοπτος δὲ πάντως ἡ αὐτοῦ θύρα, καὶ χρὴ μακρὰ ἰχνηλατεῖν), οὔτε ἡμεῖς πολυλογήσομεν, οὔτε ὑμεῖς πονήσεσθε, ἀλλ' ἐκ προχείρου δράξεσθε τοῦ ποθουμένου· ταὐτὸν δ' εἰπεῖν, τὸ θεῖον ἐξανύσετε θέλημα, τὸ δὲ σεμνότατον φάναι, αὐτῷ θεῷ ἐγγίσεσθε, καὶ ἄλλος ἄλλου προτρέχοντες ἐν τῷ τῆς παντίμου ἀναστάσεως καιρῷ, ἐντεύξεσθε αὐτῷ, καὶ προσφωνήσετε, καὶ τὸ χαίρετε ἀκούσεσθε, καὶ ὅσα ἄλλα πρόσφορα τῇ τοῦ θεοῦ καὶ ἀναστάσει καὶ λαλιᾷ τῇ πρὸς τοὺς ἀγαπῶντας αὐτόν, καὶ τὴν αὐτοῦ μαθητείαν φιλοῦντας, καὶ ποθητὸν ἡγησαμένους τὸ κολλᾶσθαι αὐτῷ.

14. Σκοπὸς δὴ νηστείας, εἰς ἣν ἡμεῖς ἄρτι στελλόμεθα, οὐχ οἷον ἐπιτηδευόμεθα οἱ πολλοί, κημοῦντες τὰ χείλη, ὡς ἂν μὴ τὸ πλῆρες τοῦ ταμιείου ταχὺ γένηται ὑπόκενον, μηδὲ τὰ ἀναγκαῖα μύλαις ὀδόντων ἀλήθεσθαι παραβάλλωνται, μήπως αὐτοῖς ὁ βίος ἐλαττοῖτο. Τοῖς γὰρ οὕτω τεχνωμένοις νηστεύειν, ἐμπορία τὸ πρᾶγμα, καί τις κερδαλεότητος εὕρεσις. Καὶ ὑγίειαν μέν, εἰ οὕτω τύχοι, περιποιοῦνται οἱ τοιοῦτοι, καὶ οὐδὲ τοὺς ὀδόντας τρίβουσι· μεστὸς δὲ αὐτοῖς ὡς ἐπὶ πολὺ καὶ ὁ ἔξω κώρυκος, οἷς τὸν οἰκεῖον καὶ σύμφυτον θύλακον λαγαρὸν φυλάττουσιν. Ἀρετὴ δὲ ἐν αὐτοῖς οὐδεμία. Οὔκουν ἡμῖν ἄρτι νηστείας τοιαύτης κήρυγμα, τῆς καὶ πονηρᾶς καὶ ἰσχνοποιοῦ, εἰς οὐδὲν δέον· παραγγέλλομεν δὲ ἄλλως νηστείαν τὴν μετὰ καὶ τροφῆς καὶ τρυφῆς καὶ πλησμονῆς, τὸ καινότατον. Προκαλοῦμαι γὰρ ὑμᾶς, δι' ὅλης τῆς νηστίμου καὶ ἐσθίειν καὶ πίνειν καὶ πλείω τῶν προτέρων, εἰ δυνατόν, καὶ μέχρις αὐτοῦ κόρου· σπεύδειν δὲ καὶ θησαυρίζειν, εἴγε δύνασθε, ἵνα οὕτω μηδέν τι καινοπραγεῖν οἰώμεθα, εἴτε πρὸς τὸ νηστεύειν ἄρτι ἀπονεύομεν, ὡς τὸ δοῦλον σῶμα κακοποιεῖν. Ἐπεὶ δὲ καὶ ἡ τοιαύτη ἐπιταγὴ πόνον ἔχει (μοχθεῖ γὰρ ὁ καὶ ἐσθίων καὶ πίνων πολλὰ καὶ χρηματιζόμενος), μεθοδεύω ὑμῖν ἐνταῦθα καὶ τὸ ἀκοπίατον.

15. Τὸ δ' ἔστιν ἔχον οὕτως. Ἐπινενόηνται τοῖς ἐν βίῳ ἀχθοφόρα ζῷα λοιπὰ καὶ πρόσωπα δέ, τὰ μὲν δουλικά, τὰ δὲ μισθοῦ μοχθοῦντα, δι' ὧν οἱ δεσπόται βίον τρίβουσιν ἄπονον. Τοιοῦτον δή τι κἀγὼ ὑμῖν ποιεῖν ὑποτίθεμαι. Τὸ δέ ἐστι μισθώσασθαι ἑαυτοῖς τοὺς πένητας καὶ πτωχοὺς εἰς τὸ τοιοῦτον ἔργον, τοὺς ἀχθο || φοροῦντας τὰ ἡμῖν σωτήρια, τοὺς τοῦ Ms. fol. 162 b. θεοῦ ἐργάτας, τοὺς βραχυτάτου μισθαρίου διαπραττομένους τὰ τοῦ παντὸς ἄξια, τοὺς προσώπῳ θεοῦ ἐπιφαινομένους ἡμῖν, ὧν τὸ καλὸν οἰκειοῦται θεός, τοὺς δεδιδαγμένους αἴρειν φόρτους τοιούτους, τοὺς ἀναπαύοντας, εἴπερ κοπιῶντες ἡμεῖς καὶ πεφορτισμένοι προσέλθωμεν αὐτοῖς. Τούτοις ἀναθῶμεν τὰ ἡμέτερα, τούτοις ἐπιτρέψωμεν τῶν ἐν ἡμῖν περιττῶν, ὅσα διακρινοῦμεν ὀρθότητος λόγῳ. Ἀμὴν γὰρ λέγω ὑμῖν, τούτων ἐνδυομένων, ἡμεῖς οὔτε φορτηγοῦμεν ἐκ περιττοῦ, καὶ οὐδὲ ῥιγοῦμεν. Θάλπει γὰρ ἡμᾶς ὁ θεός, τοῖς μὲν τοῦ πονηροῦ πῦρ καταναλίσκον ἐξαπτόμενος, οἷς καὶ τὸ αἰώνιον ἐπιβρέμει πῦρ, τοῖς δὲ ἀγαθοῖς θαλπωρὴ αὐτόχρημα ὤν· ἐπεὶ καὶ δικαιοσύνης πεφιλοσόφηται ἥλιος. Ἐκείνων ἐσθιόντων τὰ δι' ἡμῶν χορηγούμενα, ἡμεῖς κορεννύμεθα, οὐ μόνον, καθότι οὐδὲ ἡμᾶς ἐπὶ ἄρτῳ μόνῳ ζῆν ἐλπίζειν πρέπει, ἀλλὰ καὶ ὅτι παραδόξως ὁ μέγιστος σιτοδότης ἀναπληροῖ τὸ ἐνδέον, ὡς οὐκ ἂν ἡμεῖς μάθοιμεν· ὥσπερ αὖ πάλιν ἀποκληροῖ τοῖς ἀμεταδότοις τὴν βούπειναν, ἣν Ἐρυσίχθων τις νοσοίη, καὶ Ἁρποκρᾶς, ἢ ἄλλος τις ἐφ' ὁμοίοις θρυλλούμενος, καὶ σελευκὶς δὲ τὸ ἐν πτηνοῖς βορώτατον, οἷς παραβλητέος ὁ εἰς κόρον μονοφαγῶν. Ἔτι τῶν πενήτων ἀδελφῶν ἐμφορουμένων πόσεως, δίψης ἔχομεν ἄκος ἡμεῖς, καὶ τοῦτο οὐ μόνον κατὰ σῶμα, οἷα τοῦ θεοῦ πολυειδῆ βροχὴν ὑπεριστῶντος ἡμῶν, καὶ ἀναψύχοντος, οἷς οὔτε καύσωνι πυρακτούμεθα, νόσου προκαλουμένης ῥανίδα δροσίζουσαν, οὔτε ἱδροῦντες ἐν κενοῖς, καὶ τὸ ἐν ἡμῖν οὕτως ὑγρὸν ἐξατμίζοντες, ὡς δέεσθαι τῆς ἔξωθεν ἀντεπιῤῥοῆς, ἐφ' ᾧ πρὸς ἀναπλήρωσιν τέγγεσθαι· ἀλλὰ καὶ ἑτέρως κατὰ τὴν περίκλυτον Σαμαρεῖτιν, ὡς ἂν ψυχὴ διὰ τοῦ κατὰ θεὸν ἁλλομένου ὕδατος θεραπεύοιτο, οὓ στερόμενοι διψῶσιν οἱ τὴν ἁλμυρὰν τοῦ βίου τέμνοντες θάλασσαν.

16. Καὶ οὕτω μὲν τῶν πενήτων ἀμφιεννυμένων, καὶ τὰ ἐς τροφὴν ἑκατέραν προσιεμένων, οἷς δικαίως πονούμενοι μεταδιδόαμεν, οὐκ ἐλαττοῦμεν τὰ ἐς ζωήν, ὡς τοῖς πολλοῖς φαίνεται, ἀποσκοπουμένοις πρὸς αἴσθησιν ἄλογον. Ἀλλὰ τὸ καινότατον· τὸ ἐκεῖθεν ἀγαθὸν μεταβιβάσκεται εἰς ἡμᾶς, οὐ πρὸς ἀνάῤῥουν ἀνακάμπτον, ὡς ἀντιπεριστάσεως λόγῳ ἐκείνους μὲν ἐκκενοῦν, ἡμᾶς δὲ ἐμπιπλᾶν, ἀλλὰ καὶ ἐκείνοις δι' ἡμῶν καὶ ἡμῖν αὖθις δι' ἐκείνων ἐποχετευόμενον, καὶ ἀντεπιῤῥέον τὸ χρήσιμον. Καὶ οὕτως ἀνταποδόσεως λόγῳ ἡμεῖς μὲν καὶ ψωμίζομεν, καὶ ποτίζομεν, καὶ

ἀμφιέννυμεν ἐκείνους καὶ ὀλίγα καὶ βραχέος λόγου ἄξια καὶ ἐν σωματικῇ βραχύτητι καθορώμενα· ἐκεῖνοι δὲ ἡμῖν ἀλλάττονται μέν, καὶ ὅσα ἔλαχον, εἰς πολλαπλάσιον, τόκους προςεπιτιθέντες διὰ τὸν αὐτοὺς ἐγγυώμενον ἀπειροτάλαντον οἰκοδεσπότην, ὃς ἐλεουμένου πτωχοῦ εἰς οἰκεῖον δάνειον ἐγγράφει τὸν ἔλεον· προςεπιβάλλουσι δὲ τοῖς πρὸς αἴσθησιν καὶ τὰ νοούμενα. Καὶ μὴν πρὸς τούτοις θησαυροὺς πληθύνεσθαι οἱ αὐτοὶ ποιοῦσιν ἡμῖν, ὅτε καὶ μικρὸν ἀργυρίδιον ἢ ἀλλὰ χαλκίον ὀβολοῦ αὐτοῖς ἐνδαψιλευόμεθα. || Ms. fol. 103. a. Χρηματιζόμεθα γὰρ ἐκ τοῦ παμπλουσίου θεοῦ, ὅτε καὶ τοιοῦτόν τι τοῖς ἀδελφοῖς πορίζομεν. Πατὴρ γάρ ἐστι, καὶ πατέρων πάντων ὕπατος, καὶ οὐκ ἀνέχεται, δι' αὐτὸν ἰσοπλουτεῖν ἡμᾶς τοῖς ἀδελφοῖς, καὶ πενίᾳ τῇ καθ' ἡμᾶς τὴν ἐκείνων ἐκθεραπεύεσθαι· ἀλλά τι διδόντες, πλεῖον ἀντιλαμβάνομεν. Μάλιστα μὲν οὖν ἐπὶ ὀλίγα πιστοὶ φανέντες, ἐπὶ πολλῶν καθιστάμεθα· καὶ ἅμα ἐξαντλοῦμεν, ἅμα ἐπειςρέει τὰ κρείττονα, καὶ αὐτὰ εἰς μυριοπλάσιον.

17. Καὶ ἰδού, μεθώδευσα νηστείαν ὑμῖν καὶ ἔνδειαν, τρυφῆς αἰτίαν καὶ πλουτισμοῦ, ἵνα μὴ μόνον σάββατα τρυφερὰ λέγοιτο, ἀλλὰ καὶ νήστευμα τοῦτο τρυφηλόν, ἰσχνανσις λιπαίνουσα, κένωσις πλήθουσα, ἔνδεια πλουτοποιός.

18. Ἵνα δὲ καὶ ἄλλως ἐπιβαλοῦμεν τοῖς αὐτοῖς, ἡ τοιαύτη νηστεία δοκεῖ μὲν τοῖς ἁπλοϊκῶς θεωροῦσιν ἑνιαῖον καλὸν εἶναι, καὶ οὕτως εὐπερίληπτον, ἢ εὐπερίγραπτον. Τὸ δ' ἄλλως ἔχει πρὸς ἀληθείας ἀκρίβειαν. Μιᾷ γὰρ ταύτῃ θεοφυτεύτῳ ῥίζῃ καὶ ἐπὶ τούτῳ εὐγενεῖ πρέμνῳ κλάδοι μυρίοι ἐπανατέλλουσι σπουδαῖοι, καρποὺς ἀρετῶν ὅλων προϊσχόμενοι, καὶ τελειοῦντες εἰς ψυχικὴν ἀπόλαυσιν. Αὐτίκα ὁ οὕτω νηστευτικὸς ἄνθρωπος ἀγάπην πρὸ τῶν ἄλλων ἠσκημένος ἐκφαίνεται, καὶ φιλάδελφος εἶναι διαζωγραφεῖται (μὴ τοιοῦτος γὰρ ὤν, οὐκ ἂν ἐλεήσῃ)· πρὸ δέ γε τούτου θεωρεῖται φιλόθεος. Τὰ γὰρ τοῦ θεοῦ τοῖς τοῦ θεοῦ ἀπονέμει, τὸ δ' ἀκριβὲς εἰπεῖν, αὐτῷ θεῷ, τῷ ἀποφηναμένῳ, πᾶν, ὅπερ ἂν ἑνὶ τῶν τοιούτων ἐλαχίστων καὶ ἀδελφῶν καὶ δούλων ποιῇται, αὐτῷ ποιεῖσθαι. Ἢ δούλους μὲν ἡμετέρους οἱ ἐφήμεροι δεσπόται οὐκ ἀξιοῦμεν πεκουλιάζεσθαι, ἀλλ' ἡμῖν αὐτοῖς τὰ σφίσιν ὑπάρχοντα ἐπιγράφειν ὁρίζομεν, κἂν μυρία ἔχοιεν· ὁ δὲ μέγιστος οἰκοδεσπότης θεὸς οὐκ ἀξιοῖ τοῦτο δικαίως ἀφ' ἑαυτοῦ, καὶ οὐ δι' ἑαυτόν, οὗπερ ἐστὶν ἡ γῆ καὶ ἅπαν τὸ κατ' αὐτὴν πλήρωμα, δι' ἡμᾶς δέ, ἵνα πιστοὶ ὄντες καὶ αὐτῷ ἀνατιθέντες ἡμᾶς τε καὶ πάντα τὰ καθ' ἡμᾶς, ἀγαπώμεθα, ὡς καὶ εὐγνώμονες, καὶ πίστιν ἔχοντες, καὶ δεσπότου ἄξιοι, καὶ θετοὶ αὐτῷ υἱοὶ καὶ θεοί;

19. Ἀγάπη τε οὖν οὕτω τελεία παραπέφυκε τῇ τοιαύτῃ νηστείᾳ, ἣν ἀγάπην πολλάκις ἐθεατρίσαμεν, σεμνύναντες πομπικώτερον, καὶ λαμπρότης ἀγγελική, πρὸς δὲ μίμησιν καὶ θεϊκή. Ὁ γὰρ ἐν τῷ, ὡς ἐῤῥέθη, νηστεύειν ἀποφορτιζόμενος τὰ περιττά, καὶ ὧν οὐδὲν οὐδόλως ὄφελος, ὕπερθεν γῆς φέρεσθαι γνωματεύεται, καὶ οὐδὲν προςήκειν αὐτῇ, οἷς οὐδενὶ τῶν γηΐνων ἐνίσχεται, ἀλλὰ πάντα κάτω ἀφεὶς τῶν ἀνωτάτω γίνεται. Ἐὰν δὲ τοῦτο, πάντως καὶ ἀντὶ σωματικοῦ θεωρητικὸς ἀπεκβαίνει, ὡς ἀντὶ πράξεως τῆς περὶ βίον εἰς θεωρίαν τὴν ὄντως μετατιθέμενος, δι' ἧς, ὡς καὶ τὸ τοῦ ὀνόματος ἔτυμον δηλοῖ, θεὸς ὁρᾶται καταλαμβανόμενος. Τί γὰρ ἂν καὶ ποιήσῃ ἄλλο ἄνθρωπος ἔμφρων, καθάπαξ ἑαυτὸν παρασκευασάμενος, ἔξω βιωτικῆς εἶναι τύρβης, καὶ μὴ πονεῖσθαι περὶ τὰ βραχέος ἄξια λόγου, ἢ πάντως γενήσεται || Ms. fol. 103. b. ἄλλου ἔργου κρείττονος, καὶ περινοήσεται τὸ κάλλιον ἐπιλέξασθαι; Καὶ οὐ συναγαγὼν τὼ χεῖρε καθεδεῖται, ὡς οἷον ἄγαλμα, ἢ ἀνακλινάμενος, ἀργίαν ἀλόγοις πρέπουσαν ἀναλήψεται, καὶ τὸν ἄνθρωπον οὕτω ψεύσεται· ἀλλὰ κατὰ λόγου εἱρμὸν ἐοικότα ἐπιτρόποις τοιούτοις (τοὺς ἀδελφοὺς δὲ κἀνταῦθα καὶ συνδούλους πένητας λέγω) τὰ καθ' ἑαυτὸν ἀναθείς, οἳ καὶ αὐτοὶ θρέψονται, καὶ ἐνδύσονται, καὶ οὕτω ζήσουσι, καὶ αὐτῷ δὲ τὰ κρείττω ποριοῦνται, αὐτὸς ἄλλο τι μεταχειριεῖται προςφυέστερον ἑαυτῷ, ὡς ἤδη ἐνδόξῳ καὶ μεγάλῳ ἀνθρώπῳ, καὶ μὴ πρέποντι ταπεινοῖς ἐντρίβεσθαι πράγμασι. Καὶ μιμήσεται φιλοτίμους τεχνίτας, ὧν καὶ βαναύσους ἔστιν οὓς ἴδοι τις ἄν, οἳ ἐκ τῶν κατὰ τέχνην ἔργων ἱκανὰ πορισάμενοι, καὶ ὡς οἷον ἐλλαμφθέντες, οἷς χρηματισάμενοι πλοῦτον πολὺν περιέθεντο, τοῦ λοιποῦ ὑπέρφρονες ἀναβαίνουσι, καὶ τῆς θρεψαμένης πλουτοποιοῦ τέχνης ὥς τινος ἀχρείου καταχρεμψάμενοι, καί ἐξαθερίσαντες τὸν ἐκεῖθεν καὶ εἰςέτι πορισμόν, καί, ὃ δὴ λέγεται, τὸν ἥλιον περιφρονήσαντες, ὑπὲρ καπνοῦ μὲν ἢ πασσάλου, τὰ πλείω δὲ καὶ ὑπὸ σκότῳ τὰ πρώην φίλα τιθέασιν ὄργανα· ἐσκευακότες δὲ τὸν κατ' αὐτοὺς πηλὸν εἰς ἐπίχρωσιν οὐχ ἁπλῶς λάμπουσαν, ἀλλὰ καὶ ἐπίχρυσον, καὶ τὴν μὲν κεφαλὴν ὡς εἰς οὐρανοῦ κάλλος εὐθετίσαντες, τὰ δὲ ὑπ' αὐτὴν ἕτερον τρόπον ἐξωραΐσαντες, τὸν μὲν πάλαι τεχνίτην ἐξόμνυνται, εἰς δὲ τὰ βασίλεια παραβύσαντες ἑαυτούς· οἵ γε καθαρειότερον ἑλόμενοι ζῆν, οἱ πολλοὶ καὶ βασιλικοὶ ἀποβαίνουσι.

20. Καὶ οὕτω πρὸς μίμησιν ὁ ὑψίνους νηστευτὴς ἑαυτὸν ἀποξέσας, καὶ καθάπαξ κυρώσας παρ' ἑαυτῷ, μὴ τυρβάζειν περὶ πολλὰς καὶ χυδαίας πράξεις, ἀλλὰ μιᾶς εἶναι τῆς κορυφαίας, καὶ ἣν ὁ παμβασιλεὺς φιλεῖ

θεός, ἅπαν μὲν ἄλλο σεμνὸν βιώσιμον ἀπομόσεται κατά γε τὸ ἐγχωροῦν, ἐπιλέγδην κρίνας ἐκεῖνον εἶναι καὶ μόνον, ὧν ἐνεργουμένων οὐδὲ τῆς ἀγαθῆς μερίδος ἀφαίρεσιν πείσεται· ὅτι μηδὲ ἔστιν ἀνθρώπῳ, οὐδ' εἴπερ εἰς ἄκρον ἀρετῆς ὑπερελάσει, καὶ μάλιστα ἐν τοῖς ἄρτι, μὴ καὶ βίου τυρβαστικοῦ μετέχειν ἐφοποσονοῦν. Πάνυ γάρ, ὡς βλέπομεν, τῇ γῇ προστετήκαμεν, οὐχ ἕρποντες μόνον διὰ τῶν αὐτῆς, ἀλλὰ τὰ πολλὰ καὶ ἰλυσπώμενοι· μήποτε δὲ καὶ ὑπόγαιοι, ἀκολούθως δὲ καὶ τυφλοί, κατὰ τοὺς ἀσπάλακας, τὰ κατὰ γῆς ὀχλοῦντες καὶ ὑπορύσσοντες, καὶ μὴ ὅτι γε ὑπέργειοι μὴ σπεύδοντες εἶναι, ἀλλὰ καὶ τὸ εἰς ὀρθὸν βαδίζειν ἀπαναινόμενοι, καὶ τῆς συνήθους τέχνης οὐκ ἐθέλοντες ἀφίστασθαι, καθ' ἣν τεχνώμεθα τὰ μὴ πρέποντα, τιμώμενοι πρὸ τῶν ἀνωτάτω τὰ γήϊνα.

21. Τέως δ' οὖν ὁ, ὡς προεκτέθειται, μιμεῖσθαι προθέμενος τοὺς ἀπὸ τεχνῶν εἰς τὰ βασίλεια παρακύπτοντας, καὶ προελομένους, βασιλέα κύριον ἐπιγράφεσθαι, καὶ τὸ τοιοῦτον ὕψος προθεμένους τῆς τεχ-
Ms. fol. 104. a. νικῆς || ὑποπτώσεως, ἔσται καὶ αὐτός, εἰ καὶ τοῦ βίου (πῶς γὰρ οὔ;), ὁ ἔτι ἐν βίῳ, ἀλλὰ τὸ πλεῖον τοῦ παμβασιλέως θεοῦ· καὶ ποθήσας ἐκεῖνον, τὸ μὲν κατ' ἀρετὴν μετάρσιον, καὶ τὸ οὕτως ἐγγυτάτω πρὸς ἐκείνῳ διὰ θεωρίας εἶναι ἀεί, ἀφήσει τοῖς ἀληθῶς Ναζιραίοις, ὃν ἐτάξαντο ἐπὶ ἀγγέλων τὸ οὕτω πέτεσθαι ὑψηλά, ὑφ' ὧν ἀγγέλων καὶ ἐκεῖνοι αἴρονται ὑψοῦ εἰς θεόν. Καὶ οἱ λοιποὶ δὲ τῆς γῆς μὲν ἄνθρωποι, θεοῦ δὲ μὴ ἐκλανθανόμενοι, ὁμοίως μεταρσιοῦνται, εἰς ὅσον ἔξεστιν· αὐτὸς δὲ ἄλλως ἐνευθηνήσει τῷ τοιούτῳ καλῷ, γῆν μὲν τρίβων, καὶ γῆς ἔργα ποιῶν, οὐκ ἐφάμαρτα μέντοι, καὶ οἷα μεταποιεῖν αὐτὸν — δεινὸν μέν, εἰ καὶ εἰς αὐτόχρημα γῆν, μήποτε δὲ καὶ εἰς ὁμοιότητα δαίμονος. Ἀνύσει δὲ τὸ μὴ ἐφάμαρτον, καθαίρων τὴν ἐν αὐτῷ γῆν ἁπάσης φαυλότητος, καὶ τοιαύτην ἀποκαθιστῶν, οἵαν ἀξίαν εἶναι θεῷ κηπεύεσθαι, τὸ δὲ μέγιστον εἰπεῖν, ἀξιοῦσθαι εἰς χεῖρας θεοῦ κεῖσθαι, καὶ εἰς ἄνθρωπον πλάττεσθαι· εἰπεῖν δὲ ἄλλως εἰς τὸ σαφέστερον, εἴπερ ἑαυτὸν ἕκαστος ἀποκαθαίρομεν τῶν ὅσα οὐκ ἔστιν εἰπεῖν, ὅτι συντελοῦσιν εἰς φύσιν, οὔτε μὴν συνιστῶσι τὴν πλάσιν καὶ τὴν ἀνθρωπίνην σύνθεσιν, ἢ ἀπαρτίζουσιν, ἢ περισώζουσιν.

22. Οἷον τί λέγω; Δίδοταί σοι, ὦ οὗτος, ὀφθαλμῶν συζυγία. Βλέπε οὖν ἀκωλύτως· ἀλλὰ μὴ παράβλεπε, τὰ πολλὰ δὲ καὶ κάμμυε. Ἦ γὰρ οὐ παραγγέλλειν δοκεῖ τοῦτο καὶ ἡ φύσις αὐτή, ἐπιτάξασα τοῖς βλεφάροις, καταβαίνειν τε καὶ ἀναβαίνειν συχνά, οὐ μόνον, ἵνα οὕτως ἡ λεπτοτάτη ἐπιπολὴ τῆς τε κόρης καὶ τῆς πέριξ χώρας τεγγομένη, μένῃ ἀξήραντος, καὶ μὴ βλάπτοιτο ἡ ὄψις στεγανουμένη κραυρότερον· ἀλλὰ καὶ εἰς μυστήριον συμβολικὸν τοῦ χρῆναι τὸν ὀφθαλμὸν μὴ ἀεὶ χασμᾶσθαι ἀνεῳγότα, καθὰ λέοντος καὶ λαγωοῦ περιᾴδεται, καὶ εἴ τινος ἄλλου τοιούτου τὸ ἀτενὲς κατηγορεῖται τῆς ὄψεως· ἀλλά ποτε καὶ ἐκουσίῳ τρόπῳ κατασφαλίζεσθαι πύλης δίκην, μή τις κλέπτης λογισμὸς παρεισδὺς λῃστρικώτερον, οὐχ ὑποκλέψῃ ἁπλῶς, ἀλλὰ καὶ ἀφαρπάσῃ τὸν θεόθεν τῆς ψυχῆς θησαυρόν· ὃς καὶ διὰ θύρας ταύτης εἰσοδιάζεται πληθυνόμενος, ὅτε σωφρόνως οἱ τοῦ κατὰ σῶμα οἴκου δεσπόται διάγομεν· οὗ ὁ θεὸς οἰκοδόμος πεφιλοσόφηται; Καὶ ἔστιν ὁρᾷν μὲν ἡμᾶς, ὡς ὁ θεὸς ἐπιθυμεῖ, ὁπηνίκα λεῖα βλέπομεν, ταὐτὸν δ' εἰπεῖν, πρὸς εὐθύτητα, ἣν οὐκ ἔχουσιν οἱ, καθά τις ἂν δριμέως εἴποι, στράβωνες. Εὐθύτητα δέ φαμεν τὴν ἐπὶ παντὸς τοῦ κατὰ πνεῦμα νοουμένου σωματικοῦ μορίου ἀῤῥέμβαστον πρόοδον καὶ ἰθυτενῶς τοξεύουσαν κατὰ σκοποῦ, ὁποίαν οὐ μόνον ὀφθαλμὸς ἔχειν ἀπαιτεῖται, οὐδὲ πούς, ὃς ἐπαινεῖται ἱστάμενος ἐν τῇ κατὰ θεὸν εὐθύτητι, οὐδὲ καρδία, ἣν τοῖς ἔχουσιν ἀγαθύνει ὁ κύριος κατὰ τὸν ἱερῶς ψάλλοντα, ἀλλὰ πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ὁ τοῖς τοιούτοις ἐπιστατῶν νοῦς καὶ προβαλλόμενος τὸν εὐθύφρονα, ὃς οὔτε παραβλέπει || στραβίζων, οὐ Ms. fol. 104. b.
μὴν οὐδ' ἄλλον τινὰ τρόπον, καθ' ὃν λέγοιτο ἂν παραβλώψ.

23. Χρὴ γάρ τινα ἴλεων ἐνορᾷν μετὰ διακρίσεως θείας, καὶ ἅμα τὸ πολυσχιδὲς παραβλέπειν ἀπεῖναι τοῦ οὕτω βλέποντος. Εἰ δὲ καί τινι πρόκεινται ὁρατά, οἷς προβεβλημένοις οὐ θέμις ἐμβλέπειν τὸν σώφρονα, ὁ δὲ τηνικαῦτα κατακύπτων ἀποστρέψει τὴν ὅρασιν, μὴ καὶ δραξάμενον τὸ ὀπτικὸν ἅμα καθελκύσῃ τὸν ὅλον ἄνθρωπον, ὅσα καί τι σχοινίον βίαιον, ἐκ τοῦ κατὰ θεὸν ὕψους, καὶ ὑποβιβάσῃ πρὸς ἀπωλείας τάρταρον· τότε δὴ κατέμυσεν ὁ τοιοῦτος, καὶ βλέπων βλέπει, καὶ οὐ μὴ ἴδῃ ἄλλον τρόπον, ἧπερ ἡ ἁγιωτάτη γραφὴ ἔσκωψε τοὺς πάλαι τυφλοὺς διορατικούς. Βλέπει μὲν γὰρ ὄμματι τῷ καιριωτάτῳ καὶ φιλουμένῳ ὑπὸ τοῦ ἐν κρυπτῷ βλέποντος καὶ ἀποδιδόντος ἐν φανερῷ· τῷ δὲ λοιπῷ καὶ προφανεῖ ὀφθαλμῷ πῇ μὲν βλέπει, πῇ δὲ οὐδαμῶς.

24. Ἔστι δέ, ὃ λέγω, μυστήριον φύσεως, οὐ πολλοῖς παρατετηρημένον, ἀλλ' ἢ ὅσοι ἐμβαθύνουσιν. Ἔχει δέ πως οὕτω τὸ πρᾶγμα. Τὸ ὀπτικὸν χῦμα διαπεπταμένον εἰς πλάτος, καὶ διωθέον καὶ εὐρὺ καὶ μήκιστον, ἐφικνεῖται μὲν πολλῶν, καί ποτε οὐ πολλῶν ἁπλῶς, ἀλλὰ καὶ πάνυ πολλῶν. Οὐ μὴν καὶ πάντα ἐκεῖνα ὁμοίως ὁρᾷ, καὶ τὴν ἐκείνων γνῶσιν καὶ εἴδησιν ἐπίσης ἀπομάττεται· ἀλλ' ὅτε στηρίξει κατά τινος

ἑνός μόνου, καὶ ἀτενῶς ἐπιστήσει, ἀκοντίσας τὸ ὀπτικόν, ὡς ἐκεῖνο καὶ μόνον ἐξακριβώσασθαι· τότε δὴ γνώσεται ὁ συνετὸς θεατὴς διαφορὰν βλέμματος καὶ κλέμματος. Ὅποι γὰρ ὁ κῶνος τοῦ ὁρατικοῦ πνεύματος τὸ κατ' αὐτὸν ὀξὺ βαλὼν ἀπερείσει, καὶ ἅψεται τοῦ ὑποκειμένου πρὸς ὅρασιν, ἐκεῖνο ἀκριβοῖ καὶ διευκρινεῖ καὶ εὐστόχως διαπορθμεύει τῇ κατὰ νοῦν ὁράσει τῇ κριτικῇ. Τῶν δὲ πέριξ οὐχ οὕτω πρὸς ἀκρίβειαν ἅπτεται, ὡς καὶ ἐκεῖνα λεπτοτομῆσαι καὶ παραπέμψαι εἰς κρίσιν τὴν ἔσω, εἰ μὴ ἀποσταίη ἐκείνου παρενεχθεὶς ὁ κῶνος, καὶ εἰς ἕτερον σῶμα ῥυσάμενος δράσει τὰ ὅμοια. Καὶ τοῦτο ἐπὶ πάντων τῶν τοιούτων πανάληθες. Οὕτω δὴ οὖν καὶ ὁ διακριτικῶς βλέπων νηστευτής, ὅτε τι θεατὸν ἐφελκύσεται αὐτὸν οὐ πρὸς θαῦμα καὶ μόνον, ἀλλά τι καὶ πρὸς εὐπάθειαν, μὴ στηριζέτω εἰς ἐκεῖνο περιεργότερον, ἀποστενώσας, καὶ ὡς οἷον εἰπεῖν παροξύνας τὸ ὀπτικόν, μηδὲ ἀκριβωσάσθω, ὡς ἐμβαθῦναι αὐτὸ προκύψαν εἰς ψυχήν· συστείλας δὲ τὴν περίεργον ὄψιν, διαχεάτω αὐτὴν ἄλλως, καὶ πλατυνάτω, καὶ οὕτω κλείσει τὴν ἐμπαθῆ ὅρασιν, καὶ οὐ πορνεύσει κατ' αὐτῆς το παθητικόν. Καὶ ἔσται ὁ τοιοῦτος ἄνθρωπος, ὡς προτεθεώρηται, καὶ βλέπων καὶ μὴ βλέπων· βλέπων, ὡς ἐθέλει, καὶ ὡς ἔταξεν ὁ θεός· μὴ βλέπων, ὡς πραγματεύεται ὁ ἀν||τικείμενος. Ms. fol. 105. a.

25. Καὶ μὴν ἐνταῦθα καὶ ἄλλη μεθόδευσις εὑρετέα. Προτεθείσθω τῷ νηστεύοντι ἔργον σπουδαῖον, εἴτε καταμόνας ἐλλόγιμον, εἴτε καὶ ἄλλως βιώσιμον, καὶ ἀφοράτω εἰς ἐκεῖνο μετὰ βλέμματος θεοφιλοῦς, ὡς ἡ φύσις ὥρισε, παντὸς δὲ λοιποῦ θεάματος ἀφιστάσθω· καὶ οὕτω ῥυθμίζοιτ' ἂν ὁ ὀφθαλμὸς εἰς τὰ δέοντα. Τοιοῦτον ἡ κατὰ τὴν ὅρασιν ἀγαθὴ μεθοδεία· οὕτω συντελεῖται τὸ κατ' αὐτὴν ἀναμάρτητον· τοῦτο τὴν θεωρητικὴν ἀρετὴν τῷ καθ' ἡμᾶς βίῳ παρεισήγαγεν. Ἐντεῦθεν δέ, ἵνα μὴ καὶ τοῖς λοιποῖς ὡσαύτως ἐπεξέλθωμεν, καὶ τὴν ὄσφρησιν διορθώσεταί τις, εἰσκρίνων εὐωδίας ἀρεσκούσας τοῖς τοῦ ἐπουρανίου λόγου μυρεψοῖς ἀποστόλοις, ὃς ἄρτι διασκευάζειν λόγου μακροῦ χρεία (καὶ ἄλλως δὲ εἰς αὐτὸ ἕτερος ἡμᾶς καιρὸς ἀπεσχόλησε)· καὶ τὴν ἀκοὴν δὲ καταρτίσει, ὡς φιλεῖ θεός, ὁ φυτεύσας τὸ οὖς, ὁ ἀγαθὸς φυτουργός, ὃς καὶ τὰ λοιπὰ μὲν βλαπτικὰ τῆς ἀκοῆς ἐξωθεῖν ἀκούσματα βούλεται, καὶ τὴν ψίθυρον δὲ ὡς μάλιστα φαυλολογίαν ἐκκρούεται, δι' ἧς ὁ προπάτωρ τῆς κατὰ τὸν παράδεισον πατρίδος ἐξώριστο. Κατακεράσει δὲ πάντως ὁ αὐτὸς καὶ τὴν γεῦσιν εἰς ἀπρόσιτον, ἵνα μὴ καταῤῥυῇ, πρὸς ἅπερ οὐδέν ἐστι, καὶ οὕτω χρανθεῖσα γένηται ἀναξία τοῦ ἐνδιηγεῖσθαι θεοῦ δικαιώματα, μιανθεῖσα οὐχ οὕτω τοῖς σωματικωτέροις καὶ ἐγχύμοις, ὅσον ταῖς ἀσωμάτοις φαυλότησιν· ὁποία καὶ ἡ τῆς διαβολῆς, ἣν ὁ ἐνδιαθέτως φεύγων ἡγίασται, καταπτύων αὐτῆς, εἴ γε οὕτω ταύτην ᾠκειώσατο φιλήσας ὁ ἀντικείμενος, ὡς καὶ ἀπ' αὐτῆς παρωνυμεῖσθαι εἰς διάβολον. Ἁγιάσουσι δὲ αὐτὴν καὶ μέλη θεῖα, ἐκεῖθεν ἐξηχούμενα, καὶ τοὺς ἀκροωμένους θέλγοντα, οὐχ ἥκιστα δὲ καὶ τὴν αὐτοῦ ἐκείνου ψυχὴν τοῦ ψάλλοντος, καὶ τῷ μεγάλῳ Δαυῒδ τὴν καλὴν ἀοιδὴν συναναβαλλομένου. Καὶ διδασκαλία δὲ ἀγαθὴ ἐκεῖθεν ἐκκύπτουσα, εἰς ἁγιασμὸν ὅμοιον ἀποτελευτᾷ.

26. Ἔστι δὲ καλὸν στόματος ἔργον καὶ ἡ ἐκεῖθεν εὐλογία καὶ τὸ ἀβλάσφημον. Εἰς τὸ καθόλου γὰρ ἀναδραμεῖν, ὀργάνου παντὸς ἀγαθοῦ ἀγαθός, ὥςπερ ὁ εὑρετής, οὕτω καὶ ὁ σκοπός, εἰ καὶ φαύλη μοχθηρία ψυχῶν ἀχρειοῖ ἐκεῖνα παραχρωμένη, ὡς μὴ ἐχρῆν. Οὐκοῦν καὶ τὸ τοῦ βλέπειν ὄργανον, καὶ τὸ κατ' ὄσφρησιν, καὶ ὃ δὲ ὑπουργεῖ τοῖς ἀκούσμασι, καὶ τὸ εἰς γεῦσιν, ὃ καὶ εἰς λαλιὰν ἀποτέτακται — σοφός τε καὶ ἀγαθὸς ὁ ποιήσας, καὶ αὐτὰ λίαν καλῶς ἐπ' ἀγαθῷ πεποίηνται. Καὶ τοίνυν, ὃς μὲν αὐτὰ περιποιεῖται σκοπῷ κρείττονι, πρὸς ὃν ἡ φύσις αὐτὰ κελευσθεῖσα κατήρτισεν, οὔτε τὴν φύσιν ἐλέγχει, καὶ τὸν δημιουργήσαντα δὲ τεχνίτην τιμᾷ, καὶ αὐτὸς ἀγαθὸς ἐργάτης κρίνεται· ὁ δὲ μὴ οὕτω διατεθειμένος, τῷ τὴν παράχρησιν τεκτηναμένῳ δαίμονι ᾠκείωται, ὃ μηδεὶς ἀγαθὸς Χριστιανός, φιλάνθρωπε κύριε.

||27. Καὶ τοῦτο μὲν οὕτως ἡμῖν ἐν εὐχῇ ὂν εἴη ἐπιτελῶν ὁ τῶν δικαίων εὐχῶν θεός. Ms. fol. 105. b. Τῶν δέ γε τεσσάρων αἰσθητηρίων, τοῦ ὁρᾶν, τοῦ ὀσφραίνεσθαι, καὶ μὴν ἀκοῆς καὶ γεύσεως, ὁμοίᾳ ἐφόδῳ τετελεσμένων εἰς ἀρετήν, καθὰ προέκκειται, ὑπὸ θεοῦ, ἐφέψεται καὶ ἡ τῆς ἁφῆς διόρθωσις, τοῦ ἐν ἡμῖν δυσέργου πράγματος, τοῦ δυςκαταπαλαίστου, τοῦ καθ' ὅλον σῶμα πεπλατυσμένου, τοῦ πολυσπερέος· ὃ πολλοῖς μὲν δόξοι ἂν δυοῖν δακτύλοιν ἄκρως περιγεγράφθαι, τῷ τε μέσῳ καὶ τῷ λιχανῷ, διὰ τὸ ἐν αὐτοῖς ἀκριβῶς γνωμονικὸν τῶν κατὰ σφυγμούς, ἀληθῶς δέ, κατὰ τοὺς ἐπιβεβληκότας σοφώτατα, ὅλῃ συνδιήκει τῇ πλάσει, ὡς οἷον ἐγκατεσπαρμένον αὐτῇ. Διόπερ οὐδ' αὐτῶν τῶν ὑπερκειμένων αἰσθήσεων οὐδεμία ταύτην διεκπέφευγεν, εἰ καὶ τρόπος ἐν αὐταῖς ἑτεροῖος τῆς καθ' ἑκάστην ἐπαφῆς τεθεώρηται, ἀπαφὴς μέν, ὅμως δὲ πίπτων ὑπὸ συγγένειαν ἁπτικήν. Καὶ ἔστι καὶ ἡ ἁφὴ κακὸν ἄλλο ἐργῶδες, εἰ μή τις καὶ τὴν αὐτῆς χρῆσιν φύσει διακρινεῖ πρὸς νόμον θεοῦ. Συλλήψεται δὲ ἡμῖν εἰς ὀρθότητα τοιαύτης διακρίσεως ἡ θεωρία, ἣν προανεταξάμεθα. Ἡ γὰρ κατὰ φύσιν ἐν ἡμῖν ἀκρόπολις

ἐχυρῶς ἐσφαλισμένη, καθὰ δεδίδακται, περιποιήσεται καὶ τὰ ὑπ' αὐτήν, καὶ εἰς ὅλην πόλιν τοῦ θεοῦ τῶν δυνάμεων κυρώσει τὰ καθ' ἡμᾶς· καὶ οὐκ ἀφήσει παῤῥησιάζεσθαι κατ' αὐτῆς τὸν πολέμιον δαίμονα, εἰπεῖν δὲ τἀληθές, οὐδὲ ἔξωθέν ποθεν πολιορκῆσαι, ὅτι μηδὲ πελάσαι αὐτῇ, καὶ πυργηρώσασθαι.

28. Ἀλλά με ὁ λόγος οὗτος (ἀναμεινάτω δὲ βραχύ τι ὥρας τὰ ἐφεξῆς) εἰς μνήμην ἤγαγε τῆς ἄρτι ἐν ἡμῖν καταστάσεως καὶ διαθέσεως. Εἴης, θεὲ ὕψιστε παμβασιλεῦ, κατασφαλιζόμενος, ὡς αὐτὸς οἶδας, τὴν οἰκουμενικὴν ἡμῶν ἀκρόπολιν, τὸν αὐτοκράτορα, καὶ κρατύνων, εἰς τὸ μηδὲ ἡμῖν πελάσαι πολιορκίαν καὶ κατακαυχήσασθαι· μὴ καὶ τέλεον ἐκτριβείημεν οἱ ἐλεεινότατοι.

29. Καὶ τοῦτο μὲν ἐπὶ τοσοῦτον παρεμβεβλήσθω μοι ἐς τὴν διδασκαλίαν, ὡς ἡ κατὰ ψυχὴν θερμότης ἐξέζεσεν οὐκ ἔξω καιροῦ. Ὃ δὲ ἔλεγον, τῆς ἐν ἡμῖν ἀκροπόλεως, ἣν φύσις μὲν ἐπιτεταγμένη ᾠκοδομήσατο, ὁ θεὸς δὲ συμπήξας ἐστερέωσεν, ἐχούσης εὖ τῶν ἄνω ἐφισταμένων, στρατηγίας τινὸς καὶ ταξιαρχίας δίκην, καὶ τὰ λοιπὰ εὖ καθεστήξονται. Ὀφθαλμοῦ γὰρ ὀρθὰ βλέποντος καὶ ἐπιτάσσοντος, ὧν ἅπτεσθαι δέον ἐστί, ὑπακούσεται πάντως καὶ ἡ ἁφή. Ὀσφρήσεως γνωματευούσης ὀρθῶς, ὅπως χρὴ διοικονομεῖσθαι τὴν ἐπαφὴν τοῦ μυροῦσθαι, οὐκ ἔσθ' ὅπως ἁμαρτηθήσεται ἡ ἀνά|| λογος ἁφή. (Me. fol. 104 a.) Ἔκρινεν ἡ ἀκουστικὴ πρὸς ὀρθότητα, τίνων δεόντως ἁπτέον, καὶ πῶς ἂν ἡ ἁφὴ τυραννήσῃ κατὰ τῆς κρίσεως, ἧς οὐδεὶς ἐφέτης ὑπερκάθηται. Πεπαίδευται ἡ γεῦσις ἅπτεσθαι τῶν κατ' ἐντολήν (καὶ ποία θρασύτης αὐτῇ ἐγγενήσεται, κατεπιχειρῆσαι, καὶ τὴν ὀρθὴν διαστρέψαι παίδευσιν;)· καὶ ἰδού, κἀνταῦθα τὰ κάτω τῆς ἄνω συνῆπται, καὶ τὸ τοῦ θεοῦ ἐμμελὲς ὄργανον, ὁ καλὸς ἄνθρωπος, ὁ σοφὸς νηστευτὴς εἰς συμφωνίαν ψαλτηρίῳ θείῳ πρέπουσαν ἥρμοσται, χορδεῖν ὁποῖα συγκροτούμενον τῷ πενταδικῷ τῶν τε προφαινομένων αἰσθήσεων, καὶ ὅσαι κατὰ νοῦν.

30. Τούτων δὴ οὕτω διεσκευασμένων ἡμῖν ἀκολούθως οἷς προανεφωνήσαμεν, ῥυθμιστέον καὶ ἄλλως τὸ διδασκαλικόν, ὡς οὐκ ἂν οἶμαι βαρυνεῖται τὸ καθ' ἡμᾶς ἱερὸν ὁμακόϊον. Σπουδαία πραγματεία πρόκειται ἡμῖν ἀπὸ τῆς ἄρτι καὶ ἕως τέρματος, εἰς ὅπερ ὁ θεῖος κανὼν τὰς νηστίμους ὥρισε. Σπουδαίαν δέ φαμεν τὴν κατ' ἀρετήν, οὐ μὴν τὴν ἄλλως κενόσπουδον. Ἀρετὴ δὲ πᾶσα καὶ περὶ μεσότητα ἠσχόληται, ἣν ὁ ἠθικὸς ἀκριβοῦν οἶδε σοφός· καὶ αὐτὸ δὲ τοῦτο μεσότης καὶ ἔστι καὶ ὀνομάζεται. Ταύτης οὖν καὶ ἡμῖν στοχαστέον ὡς μάλιστα, εἴγε βουλοίμεθα τὰ πρὸς ἀρετὴν διαπράττεσθαι. Καὶ ἔσται μὲν ἡμῖν καὶ ἄλλως τὸ καλὸν τοῦτο πολύτροπον, τοῦ θεῷ καὶ ἀνθρώποις μεσιτεύσαντος μέσου γινομένου κἀνταῦθα τὰ εἰς ἡμᾶς. Εὐπορηθήσεται δὲ καί, ὡς ὁ λόγος εὐθὺς ὑποτυπώσεται. Στοχασώμεθα τῆς θεότητος, μεσότητος, ὦ ἀδελφοί, καθ' ἣν ἐν ἡμῖν τό τε ὁρατὸν τεθεώρηται καὶ τὸ ἀόρατον καὶ σκεψάμενοι ἐπινοησώμεθα μεσότητος ἰδέαν ἔλλογον, καὶ ἱστορήσωμεν, ὡς οἱ μὲν τῶν καθ' ἡμᾶς ὑπεραναβῆναι τὸ κατ' ἄνθρωπον μέσον φιλονεικήσαντες, ἐβιάσαντο, μὴ ἁπλῶς ἄνθρωποι μεῖναι, ἀλλ' ἄντικρυς νοωθῆναι, καὶ εἰς ὕψος ἀναθλιβῆναι ἀγγελικόν, καὶ γενέσθαι οὐράνιοι. Πλείους δέ γε ἄλλοι κατήγαγον τὸν ἄνθρωπον, εἰς ὅπερ οὐκ ἐχρῆν, καὶ οὐκ ἠγάπησαν κἂν γοῦν εἶναι γῆ, ἀλλ' ὑπεβίβασαν ἑαυτοὺς ὡς εἰς τάρταρον. Καὶ οὕτω θεωρήσαντες ἡμεῖς γενώμεθα τοῦ ἐν τούτοις μέσου· καὶ ὅτι μὴ πτερὰ ἔχομεν φύειν, δι' ὧν ἄνω κουφίζεσθαι δυνησόμεθα, σπεύδοιμεν ἀλλὰ γοῦν εἶναι γήϊνοι καὶ ζωϊκὰ φρονεῖν, ὡς ἡ τῆς φύσεως ὀρθότης κανονίζειν προτίθεται.

31. Βοῦς οὐ ψεύδεται, ὅπερ ἐστίν, οὐδὲ τοῖς τοῦ ἵππου ἤθεσιν ἐπιβάλλει ἵππος, ἀλλ' οὐδὲ αὐτὸς παρανομεῖ τὰ ἐφ' οἷς παρῆκται. Πρόβατον μένει εὔηθες διὰ βίου. Τὸν αἶγα βόσκει τὸ κατ' αὐτὸν ἔθος. Τῶν ἄλλων ἕκαστον οὐκ ἔστ' ὅπως τὸ φυσικὸν θέμα παρατίθησι. Μένοιμεν οὖν καὶ ἡμεῖς ἄνθρωποι, αἰσχυνόμενοι, ἐὰν ἐπ' ἄλλοις οὐ παρηγούμενοι ἁπλῶς, ἀλλὰ χειρὶ θεοῦ πεπλασμένοι, τὸν τεχνίτην αἰσχύνωμεν. Ἐτάχθημεν κατ' εἰκόνα θεοῦ· μηδὲ παραχαράττοιμεν τὸ θεῖον εἰκόνισμα. Τεθέντες ἐν παραδείσῳ, εἶτα ἐκπεπτωκότες, βιαζοίμεθα || τὴν ἐπάνοδον, (Me. fol. 106 b.) καὶ μὴ φιλοτιμώμεθα τὸν ἐπιπλεῖον ἐφορισμόν. Ἐντρεποίμεθα, εἰ τἆλλα μὲν ζῶα οὐ θέλουσιν ἀνθρωπίζεσθαι, ἡμεῖς δὲ ἀλογιζόμεθα, καὶ τὸ τῆς παραγωγῆς ἀχρειοῦμεν τίμιον. Ἔχομεν παμβασιλέα θεόν· οἴδαμεν τὸν ἐξ ἐκείνου ἀποστάντα, τὸν ἀντάρτην, τὸν ἀλιτήριον· Μὴ οὖν ἀνταίρωμεν καὶ αὐτοί, ἀλλὰ τοῦ βασιλέως γινοίμεθα. Μὴ στρατολογοίμεθα τῷ κληρονόμῳ τοῦ ταρτάρου, ἀλλ' ἐπακολουθοίημεν τῷ εἰς οὐρανὸν ἡμᾶς ἀνάγοντι. Ἐνθυμητέον τὸ χωρίον τῆς νοουμένης τρυφῆς, ἐννοητέον τὸ τῶν κολάσεων· τοῦτο τοῖς ἐν ἁμαρτίαις δαιμονῶσιν ἀφώρισται, ἐκεῖνο τοῖς ἀρεταῖς ἐντρυφῶσιν ἀπόκειται. Πότερον κάλλιον, ἐξ οὐρανοῦ πεσεῖν, ἢ ἀναβῆναι πρὸς οὐρανόν; Τοῦτο τοῦ ἑωσφόρου, ἐκεῖνο ἡμῶν, εἴπερ ἐθέλομεν. Εὐκολώτερον, θεοῦ γενέσθαι, ἤπερ μακρὰν ἀποπλανηθῆναι τῆς ἐκείνου χρηστότητος. Μακρύνεται μὲν γάρ τις θεοῦ ὀψέ ποτε διὰ τὸ ἐκείνου φιλάνθρωπον, ἐγγίζει δὲ διὰ τὸ τῆς ἀγαθότητος αὐτοῦ ἐφολκόν. Τῷ δαίμονι δὲ ἅμα διανοήματι

προςελήφθη τις, ἐγκαταλιπόντος ἐκεῖνον τοῦ θεοῦ, ὅτε μήτε πόππυσμα καθιστᾷ τὸν στρῆνον τῆς σαρκός, μήτε κημὸς ἄγχει καὶ χαλινὸς τὸν αὐτοῦ ἀποσκιρτῶντα.

32. Ἔτι ἀναπεταννύει θεὸς ἀγκάλας, καὶ εἰςδέχεται ὅσα καὶ ἐν λιμένι· ἀνοίγει ὡς εἰς φίλημα στόμα ὁ δαίμων, καὶ καταβροχθίζει, οὐχ ὅσα καὶ δράκων ἢ λέων, οὐδὲ μὴν καθά τις χάρυβδις, ἀλλ' ὡς αὐτὸς τάρταρος. Λαλεῖ ὁ θεὸς καὶ ποιεῖ· ὑπισχνεῖται ὁ ἀντικείμενος καὶ ἀπρακτεῖ. Ἀληθεύει ὁ αὐτάγαθος· φαντάζει ὁ αὐτόκακος. Ἐκνικησάτω ἐν ἡμῖν τὸ θειότερον ἡ ψυχή, καὶ μὴ τὸ χεῖρον ἡ γῆ. Ἀφῶμεν τὸ σῶμα, γενώμεθα τῆς ψυχῆς. Εἰ δὲ μὴ τοῦτο, ἀκολουθητέον γοῦν τὴν σάρκα τῇ ζωογόνῳ ψυχῇ, καὶ μὴ ἔμπαλιν. Τί τὸν πηλὸν περιέπομεν, ἀφιέντες τὴν κατὰ πνεῦμα ζέσιν, ᾗ συνέχεται; Τί τὸν χοῦν στέργομεν, ὃς ἀνέμου βραχείᾳ ῥιπῇ σκεδάζεται; Τί ποτε ἀμελοῦμεν, ἄνθρωποι θεοῦ εἶναι καὶ ἄνδρες ἐπιθυμιῶν, ὁποῖαι τὸν μέγαν Δανιὴλ ἐξεπύρουν; γινόμεθα δὲ πλούτου ἄνδρες, οἷς τὰ χείρω ἐμπορευόμεθα, καὶ ἄνδρες αἱμάτων, οἷς ἀλλήλους λῃστεύομεν, καὶ γῆς ἔνδοξοι, προσθήκης κακῶν ἄξιοι;

33. Ὤμοι, ὅτι τὸν τοῦ θεοῦ οἶκον ἡμᾶς εἰς λῃστῶν ὑπανοίγομεν σπήλαιον, ἔνθα δέον ὄν, θεὸν ἐνοικεῖν καὶ ἐμπεριπατεῖν, ἀλλ' αὐτὸς εἰς μωμητοὺς βολεῶνας μεταποιεῖται, ὧν ὄζει φαυλότης τῇ κατὰ θεὸν ἀντίθετος εὐωδίᾳ. Οἴ μοι, ὅτι τὸ τιμιώτατον ἐν ἡμῖν γλωσσόκομον, τὸ καλὸν στόμα, οὐ χρυσέαις παραβύεται, ἀφ' ὧν χρύσεα παραδέδονται στόματα, ἀλλὰ κιβδήλοις γλώσσαις καὶ ὑποχάλκοις, δι' ὧν ἐξηχοῦμεν ὡς κύμβαλα, δυςφημοῦντες, συκοφαντοῦντες, εἰ μηδὲν ἄλλο, ἀργοῖς λόγοις ἐναδολεσχοῦντες, τἆλλα ποιοῦντες, ὧν ἕνεκεν καλὸν ἦν, εἰ μηδὲ γλώσσας εἴχομεν. Τί δ' ἀλλὰ γλώσσας μὲν ἀχρειοῦμεν, ὅσοι τοιοῦτοι ἐσμέν, σεμνυνόμεθα δὲ τοῖς λοιποῖς, δι' ὧν τοῦ καθ' ἡμᾶς οἴκου τηλαυγὲς ἂν τὸ πρόσωπον φαί- Ms. fol. 107. a. ||νοιτο; Οὔκουν οὐκ ἔστιν, εἰς τὸ πᾶν εἰπεῖν, ὡς καὶ ἀπισχυρίσασθαι. Ὄσφρησις μὲν γὰρ ἡμῖν ἄλλως μὲν ἴσως οὐ πάντῃ δυςανάγωγος (τίς γὰρ ἡμῶν οὕτω περιττὸς καὶ πλαδῶν καὶ εὐροῶν τὰ ἐς βίον, ὡς μύροις ἐγκολυμβᾷν, καὶ τὴν ἐκεῖθεν παράχρησιν ἐξευρίσκειν εἰς ἀπώλειαν;)· ἄλλη δέ τις ὕπεστι παράνοια καὶ παραποίησις φύσεως, οὐ πρὸς ὄσφραν ἠσχολημένη, ἀλλὰ πρὸς τὸ ῥινηλατεῖν καὶ ἴχνη ἐρευνᾷν, δι' ὧν ἐξευρόντες ἄνθρωπον ὅσα καὶ θῆρα διασπαράξομεν. Ὀφθαλμοῖς δὲ εἰς τόσον παραχρώμεθα, ὥστε πρὸς ἃ μὲν μὴ δέον ἐστί, Λυγκέως ἀναβλέπειν ὀξύτερον, ἢ καὶ τοῦ παροιμιαζομένου πανόπτου, ὃν λόγος ὁ παλαιὸς ὁλοσώματον εἰς ὀφθαλμοὺς ἤνοιξε. Καὶ οὐ λέγω κάλλους ἐποπτείαν καὶ περιεργίαν ὄψεως ἑτεροίαν, ἀλλὰ τὴν ἐποφθαλμίζουσαν πράγμασιν ἀλλοτρίοις, καὶ οὕτως ἀδικοῦσαν εἰς στέρησιν. Κέκραγέ τις ἐπὶ ἀμπελῶνι, βοᾷ ἕτερος ἐπὶ οἰκίας ἀφαιρέσει, ἄλλος, ὅτι ὁρογλυφεῖται τὸ κατ' αὐτὸν γήδιον· πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα ὀφθαλμῶν ἀδικήματα. Καὶ οὕτω μὲν ὀξυωπέστατοι ποιούμεθα ἐπὶ τοῖς ἐφετοῖς ἡμῖν· ἔνθα δὲ ὁ μὲν ὀρθὸς λόγος προκαλεῖται βλέπειν, ἡ δὲ προαίρεσις ἀναστέλλει τὸ ὀπτικὸν ἢ κατὰ ἔχθραν ἢ φόβῳ ζημίας ἢ ἀλλὰ δαπάνης μετρίας — ἀλλ' ἐκεῖ καὶ τὴν ἐκ γενετῆς τύφλωσιν, εἴπερ οἷόν τέ ἐστιν εἰπεῖν, ὑπερπαίομεν, ἀρετὴν οὐ μικρὰν κρίναντες, εἰ καὶ παραβλῶπες προςενεχθῶμεν. Καὶ ὅτε δὲ σκοπιὰν θώμεθα, τὴν εἴτε σωτήριον, ὅτε ὑπὲρ φίλων γίνεται, εἴτε ὀλεθρίαν, ὅτε τὸ ἀνάπαλιν, τοῦ μὲν πρώτου ἔργου γινόμενοι, ἐς ἀγαθὸν βλέπομεν· ζηλοῦντες δὲ τὸ δεύτερον, ἀλλὰ τότε οὐχ, ὡς ὁ θεὸς ἐθέλει, βλέπομεν. Οὕτω δὲ καί, ὅτε μὴ ἐς ἀγγέλους μιμητικῶς ἡμᾶς αὐτοὺς ἀνάγομεν, διηνεκῶς τὸ τοῦ πατρὸς τῶν φώτων βλέποντες, εὐαγγελικῶς εἰπεῖν, πρόσωπον, ἀλλὰ τῶν τοῦ σκότους ἀξίων γινόμεθα· ὅτε οὐδὲ ὁ θεὸς ἐφ' ἡμᾶς βλέπει, ὡς μὴ τρέμοντας τὸν αὐτοῦ λόγον. Ἔφη γάρ, ἐπὶ τοιούτους ἀνθρώπους ἐθέλειν βλέπειν, καθὰ καὶ ἐπὶ τοὺς πρᾴους, καὶ ἡσυχίους, καὶ τοὺς φυλάσσειν εἰδότας τὸ ὁ δοκῶν ἑστάναι, βλεπέτω, μὴ πέσῃ.

34. Καὶ οὕτω μὲν ταῦτα. Εἰ δὲ χρὴ πλαγιάσαι εἰς τὴν ἀκοήν, οὐδὲ αὐτὴν συντηροῦμεν, ὡς ἔπρεπεν· ἀλλ' ἐπαίνοις μὲν καὶ κροτάλοις καὶ μούσαις ᾠδικαῖς καὶ εὐτραπελίαις, ἤδη δέ που καὶ βλασφήμοις λόγοις ἡδέως ἐκδιδόαμεν τὰς ἀκοάς, καὶ κόλαξι δὲ παρατιθέαμεν αὐτάς, ὡς καὶ κατατρυπᾷν, εἰ βούλοιντο, καὶ ἀνευρύνειν εἰς τὸ φαύλως ἀκούεσθαι. Λόγων δὲ κυρίου ἀκούειν ὀκνοῦμεν, ὅθεν καὶ ὁ λιμὸς ἡμῖν ἐπειςφρεῖ, συντρέχων τῷ λιμῷ τῆς τῶν θείων λόγων ἀκοῆς. Λόγον δὲ εἶπον κυρίου, μὴ μόνον τὸν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, τοῖς τε ἄλλοις τοῖς ἀποστολικοῖς, εἴγε καὶ Παῦλος ἀπόστολος κυρίου σεμνολογεῖται, ὡς καὶ αὐτὸς ἀποφαίνεται, ἀκολούθως δὲ καὶ οἱ κατ' αὐτόν· ἀλλὰ καὶ τὸν ἐν τοῖς λοιποῖς θείοις κήρυξι καὶ διδασκάλοις. Στόμα γὰρ αὐτοὶ πάντες κυρίου, καθὰ καὶ τὸ προφητικὸν ἄγημα. Καὶ τοίνυν καὶ ὁ ἐκ τοιούτων στομάτων λόγος κυρίου || λόγος, καὶ οὐ μόνος αὐτός, Ms. fol. 107. b. ἀλλὰ καὶ εἴπερ ἐξ οἱαςδήτινος γλώσσης ἀπηχεῖται λαλιὰ σύμφωνος ταῖς οὕτω κυριακαῖς. Οὐκοῦν καὶ ὁ ταύτης παρήκοος λόγῳ κυρίου ἔβυσε τὴν ἀκοήν, καὶ ἡ εὐαγγελικὴ ψῆφος καὶ κατ' αὐτοῦ κυροῦται,

καὶ εἰς ἴσον ἔρχεται κατακρίσεως καὶ αὐτός, ὁποίας καὶ ὁ τῶν ἁγιωτάτων εὐαγγελίων ἀνεπίστροφος.

35. Καὶ μή μοι ἀντικαθιστάσθω τις ἀγερωχῶν, καὶ βρενθυόμενος, καὶ ἀπαξιῶν, ἐξ εὐτελῶν προσώπων ἀκούειν λόγον δεόντα. Λόγος γὰρ ἅπας θεῖος προερχόμενος ἀνθρωπίνου στόματος ἡγίασε τὸ στόμα ἐκεῖνο, ὅθεν καὶ ὡς ἐκ θειοτέρου ἐμπνοίας προϊὼν ἅγιός ἐστι, καὶ τὸν ἀέρα, δι' οὗ ὀχεῖται, τίμιον ἀποτελεῖ, οὕτω δὲ καὶ τὴν ἀκοήν, δι' ἧς ἐς ψυχὴν πορεύεται. Εἰ τοίνυν καὶ ἡ ψυχὴ ἀναπετάσασα ἑαυτήν, τὸν τοιοῦτον θεῖον λόγον εἰςοικίσεται, καὶ ὅλη γένηται αὐτοῦ, ἡγίασται· μὴ οὕτω δὲ διατεθειμένη σκοπείτω καὶ εὐλαβείσθω, μὴ ἐναγῶς διατέθειται. Καλὸν κρατὴρ χρύσεος ἐκκλησιαστικός, ἐν ᾧ τὸ πάντιμον κίρναται. Εἰ δὲ καὶ ἐν ὑελίνῳ μυστηριωσθείη τὰ σωτήρια, ἢ τῷ ἀπὸ ξύλου, εἴτε ὀστράκου, ἆρά γε ἀποπέμψεταί τις Χριστιανὸς τὰ θειότατα; Μηδείς, ὦ κύριε, τοιοῦτος ἀναφανείη. Οὕτω γοῦν καὶ στόμα σχεδιασθέν, ὡς εἰς ἱερὸν βιβλίον, καὶ λόγους θείους πρόαγον, πείθειν ἂν ἔχοι τοὺς ἐχέφρονας, ὁποῖον ἂν καὶ εἴη ἐκεῖνο τὸ στόμα. Ἡ ὄνος μὲν Βαλαὰμ γλωττηματισθεῖσα κατ' ἄνθρωπον, ἐπιστροφὴν ἔσχε τὴν ἐξ ἀκροάσεως; ἄνθρωπος δὲ λαλήσας, ὡς ἐχρῆν, εἰς ὄνου μοῖραν ἀποτετάξεται; Ὄφις παρακουέσθω λαλῶν, ὅσα τοῖς Ἐδὲμ ἀποικίζειν ἔχουσιν· ἄνθρωπος δέ, ὅςτις ἂν καὶ εἴη, ἀκουέσθω λαλῶν τὰ οἰκίζοντα εἰς παράδεισον.

36. Διαιρῶ τὸν ἄνθρωπον ἰδοὺ εἰς πολλούς, καὶ λαλείτω ἕκαστος τὰ τοῦ θεοῦ, καὶ ὁ βουλόμενος παρακουέτω, ἵνα καὶ αὐτοῦ παρακούῃ ὁ θεός. Καὶ τοὺς μὲν ἱεροὺς ἅπαντας ἰδίᾳ τίθεμαι κατ' ἐξαίρετον· γίνομαι δὲ τῆς λοιπῆς ἐπελεύσεως, τῶν ταπεινοτέρων ἀρξάμενος. Θλίβεται δοῦλος, ἡ κατωτέρα τύχη, καὶ ἡ θλίψις οὐκ εὔφορος, καὶ ἀναφωνεῖ τὰ πρὸς ἔλεον, παραμιγνὺς καὶ θεοῦ ὄνομα· τίς δὴ οὖν ἐπάρατος οὕτως, ὡς μὴ πρὸς ἐκείνῳ τὴν ἀκοὴν ἔχειν, καὶ ἐλεεῖν; Πιέζεταί τις χειρομάχα ψυχή, ὅτι κολούεται μισθοῦ ὁ ἄνθρωπος, καὶ προβάλλεται οἰκτρὸν τὸν ἱκέσιον, ζητῶν ἀκοῦσαι ὡς ἰδού, ἑταῖρε, ἔχεις τὸ σόν· ἄθλιος οὖν ὁ βύσας τὴν ἀκοὴν θείῳ ῥήματι. Θεοῦ γὰρ λόγος, καὶ τὸ μὴ ἀδικεῖσθαι τὸν ἀπέχοντα τὸ ἑαυτοῦ. Τύπτεται παῖς, εἴτ' οὖν σωφρονίζεται, καὶ πληγαὶ οὐ κατ' ἄνθρωπον, καὶ τὸ στόμα ἐκείνου γέμει θεοῦ μνήμης, καὶ παρακλητεύει πρὸς ἄνεσιν· μωρὸς οὖν διδάσκαλος, ὃς παίδευσιν εἰςάγων οὐδὲ πολλοῦ ἴσως ἀξίαν; ἀπάγειν ἐθέλει τιμιωτάτην ψυχήν. Στέρεται τῶν οἰκείων ὀρφανός τις, καὶ τὸν τῆς ὀρφανίας προστάτην ἐκφωνεῖ πρὸς ἱκετηρίαν θεόκλυτον· φαῦλος οὖν υἱὸς ὁ ἀδελφοῦ τοιούτου ὑπερορῶν, ὅς, εἰ καὶ πατρὸς τοῦ κατὰ γῆν στερηθεὶς ἀπεσκοτώθη, ἀλλὰ τοῦ τῶν φώτων καὶ τῶν ὀρφανῶν πατρὸς οὐκ ἐκπέπτωκεν. Ἡλικία γεροντική, καὶ οὐδὲ γένους εὖ ἔχουσα, ἤδη δὲ καὶ τῷ πλείονι πρὸς τῷ Ἅιδῃ οὖσα, καί τι πάσχουσα, ὧν οὐκ ἔστιν ἀνέχεσθαι, λαλεῖ, καὶ τὸν παλαιὸν τῶν ἡμερῶν ἐπὶ στόματος φέρει, καὶ δι' ἐκείνου μέσου ἔλεον ἐθέλει ἐφέλκεσθαι, ὀδόντων μὲν τάχα που ἐκκε||κρουσμένη, ἐμπιπλῶσα δὲ τὸ στόμα θεοκλυτήσεως· ὁ τοίνυν μὴ ἀξιῶν πρὸς αὐτῇ τὸν νοῦν ἔχειν, οὔτε θεὸν εὐλαβεῖται, καὶ οὐδὲ καραδοκεῖ θάνατον, μήποτε δὲ οὐδὲ γῆρας. Εἰ γὰρ ἐλπὶς αὐτὸν ὑπέσαινε γηραλεότητος, ἐφίλει ἂν τὸ ὁμοιοπαθές. Καὶ οἶμαι ἀκούσειν ἔχοι ποθὲν καὶ ὁ τοιοῦτος τὸ μὴ ὥρας ἵκοιτο, ἀλλ' ἐκθερισθείη πρόωρος. Ὑποτεθείσθω τις καὶ μεθύων, τοὺς θεμελίους τοῦ κατὰ σῶμα σεσαλευμένος οἴκου, καὶ οὐκ ἔχων εἰς ὀρθὸν ἵστασθαι, τὸ ὑπερῷον κατασεσεισμένος (ἐκεῖνοι μὲν πόδες, τοῦτο δὲ κεφαλή)· ἀποφερέσθω τοῦ στόματος πολὺ τὸ ἀηδές, παραφερέσθω ἡ γλῶσσα φαύλως ἐγκολυμβοῦσα τοιούτοις ῥεύμασι, δυαζέσθωσαν τοῖς ὀφθαλμοῖς τὰ ὁρώμενα, καὶ οὕτω παραβλεπέσθωσαν· ὁ νοῦς δὲ ὅμως τῷ τοιούτῳ ἐῤῥώσθω, καὶ ὑπολαλείτω παρακόπτουσα ἡ γλῶσσα τὰ δέοντα, ὁποίους πολλοὺς τοιούτους τεθεάμεθα. Ὁ γοῦν ἐξουθενῶν τὸ ἀκουόμενον, ὀκνῶ εἰπεῖν, εἴπερ ἐγρήγορεν εἰς νηφάλιον, καὶ μὴ μεθύει πολὺ τὸ ἀγέρωχον.

Ms. fol. 108 a.

37. Ποῦ δὴ προχωρήσω τοῦ λοιποῦ εἰς πλέον τοῖς ἐκ τῶν ἐλαττόνων ἐπιχειρήμασι, καὶ μὴ συγκεφαλαιώσομαι τὸν λόγον; ὡς, εἴγε τοιούτοις προσώποις δοτέον τὰς ἀκοάς, τῷ παντὶ πλέον τοῖς ἐν ὑπεροχῇ τούτων καὶ κρείττοσιν. Οὕτως οἴδαμεν τιμᾶσθαι τὴν μεγίστην ἡμῶν κεφαλήν, τὸν θεόν, εἰ τὰς ἐν ἡμῖν αἰσθήσεις διοικονομούμεθα πρὸς ἐνάρετον τέλος, καὶ πρὸς ὃν σκοπὸν οἱ κατὰ θεὸν βιοῦντες τοξάζονται. Ὑφέλκομαι τῷ λόγῳ διελεῖν κατ' ἔθνος τὸν ἄνθρωπον, καὶ ἀφορίζω παχυλῶς εἴς τε τὸν καθ' ἡμᾶς Ἕλληνα καὶ εἰς βάρβαρον. Καὶ γλώσσης μὲν ἑλληνιζούσης ἀκούειν καὶ ὑπακούειν, ἔνθα δέον ἐστίν, οὐκ ἂν ἀποφάσκοι τις· ὁ δὲ βάρβαρος, λαλῶν καὶ αὐτός, ὅσα οὐκ ἂν δέοι παρακούεσθαι, καὶ μὴ εὑρίσκων ἐπιστροφήν, κατάκρισιν ἐμποιεῖ καὶ αὐτὸς παρὰ τῷ κοινῶς διαιτῶντι τοῖς καθ' ἡμᾶς. Εἰδὼς γάρ, ὅτι οὐ ξυνίεμεν, ὧν βατταρίζει, καὶ ἀπογνοὺς τῆς πλείονος βαρβαροφωνίας, ἀνατείνει δάκτυλον ὡς εἰς αὐτὸν οὐρανόν, καὶ ἀνατίθησιν ἡμᾶς τῷ οὐρανίῳ θεῷ, καὶ οὕτω θεολογεῖ, ἐπήκοον τῆς αὐτοῦ λιτῆς αἰνιττόμενος εἶναι τὸν ὕψιστον. Καὶ ἢ πειθόμεθα, καὶ κατάγομεν τοῦ λοιποῦ

τὸν ἄνωθεν ἔλεον ἢ δυςπειθοῦμεν, καὶ καταγόμεθα εἰς βάθιστον ὄλεθρον.

38. Εἰ δέ τις ἐνταῦθα ὑποκρούσεται, μεμφόμενος, ὅτι ἑαυτὸν ἤγαγεν ὁ λόγος Ἕλληνά τε καὶ βάρβαρον τά γε εἰς τὸ ποτνιᾶσθαι δικαίως, αὐτὸν μὲν ἀφήσω τηνάλλως λαλεῖν, ὑποβαλὼν ἐνθύμησιν τοῦ πάντας, ὥςπερ ὁμοδούλους, οὕτω καὶ ὁμογενεῖς εἶναι· ὅτι καὶ πατρὸς ἑνός, τοῦ ποιήσαντος θεοῦ, καὶ μητρὸς μιᾶς γῆς, ἀφ' ἧς πεπλάσμεθα. Καὶ οὕτω μὲν ἐντρέψω αὐτὸν τῆς ἀντιλαλιᾶς, ὑπομνήσω δέ, ὡς ὁμοίως καὶ ἐπὶ ἄλλων πολλῶν ἐσμὲν λάλοι, καὶ ἀπορίας ψυχρὰς προβαλλόμεθα, καὶ λογοπραγοῦμεν θεόν, καὶ ἐρωτῶμεν, διὰ τί τοῦτο καὶ μὴ ἐκεῖνο πεποίηκεν; εἰ καὶ αὐτὸς ἀνέχεται οὐκ ἐγγελῶν, οὐδὲ μυκτηρίζων (ἐπ' ἄλλοις γὰρ ταῦτά γε), ἀλλὰ ἐλεῶν ἡμᾶς τοὺς ἐν κενοῖς γλαφυρούς. Ἐφ' οἷς ἐκεῖνα ἐν βραχυτάτῳ ἡμῖν ὑπο- Ms. fol. 108. b. τίθεμαι, ἵνα μὴ καὶ θεομαχῶμεν, πάσχοντες || οὕτω, καὶ τὸν θεὸν διορθοῦσθαι πειρώμενοι, θεσμοθετοῦντες οἷον αὐτῷ, καὶ καθέλκοντες, ὅποι βουλόμεθα, καὶ ἀντὶ δούλων δεσπόται γινόμενοι, καὶ τυραννοῦντες τὴν κυριότητα.

39. Οὐκ ἄξιον, ὦ οὗτοι πάντες, λογιότητος ἀνθρωπίνης, ἀπορεῖν, διὰ τί ποτε ὁ θεὸς τοῦτον μὲν τὸν ξένον, καὶ ἐκεῖνον τὸν ἀδελφόν, καὶ τόνδε τὸν γείτονα, καὶ ἄλλον περίοικον κατήντλησεν ἀγαθοῖς τοῖς περὶ κόσμον, φαιδρότησιν οἴκων ἐλλάμψας, οἳ καθὰ καὶ ἥλιος ἐναστράπτουσι κάλλεσιν, ἀγροὺς πληθύνας πίονας, ἐνευθηνουμένους τοῖς ἐκ γῆς ἀγαθοῖς, τὰ ταμεῖα πληρώσας αὐτοῖς, καὶ στενοχωρήσας εὐδαιμονικοῖς ἐνθέμασι, θεράποντας καὶ θεραπαίνας ἐπιδοὺς εἰς φιλοτιμίαν ἀμύθητον, ζῶα προςεπιθεὶς εἰς πλουτισμόν, καὶ τοῦτον ἀμέτρητον, τὸ δὲ πᾶν εἰπεῖν, καὶ τοῖς ἔσω καὶ τοῖς ἔξω ἑαυτοῦ πολλαπλασίονα κορυφώσας τὸν οὕτως εὖ παθόντα· ἐμὲ δὲ οὐδὲν ἀπεοικότα ἐκείνου τοῖς ἅπασιν ἠλάττωσε, καὶ αὐτῆς, ὅ φασι, λεβηρίδος κενώτερον ἀπετέλεσε, τοῖς ὅλοις ἀποστερήσας ἐμέ;

40. Μὴ δὴ τοιαῦτά τις ἐπαπορείτω, φιλοσοφεῖν ἐθέλων, καὶ θεοῦ καταψηφιζόμενος τὸ ἀδιάκριτον. Ἀκούσοι γὰρ ἄν ποθεν ἐκ τῶν κατωτέρω (ἄνωθεν γὰρ ὁ κύριος οὐκ ἂν μὴ οὐκ ἐξουδενώσῃ τὸν τοιοῦτον διάλογον), πρῶτα μέν· πόθεν οἶδας, ὦ οὗτος, ὡς οὐδὲν ἀπέοικας τοῦ φθονουμένου, ᾧ ἐγκοτεῖς, εἰ τοσαῦτα περίκειται ἀγαθά; Μήποτε γὰρ σὺ μὲν ἀνάξιος εὐδαιμονεῖν, ἐκεῖνος δὲ κατάξιος, καί που καὶ πλειόνων ἐπάξιος. Εἶτα ἐπειδὴ τοῦτο δάκνειν ἔχει σε εἰς ψυχὴν (καὶ γάρ τοι πᾶσα σύγκρισις ἐλαττοῦσα δάκνει τὸν ὑποβιβαζόμενον), μάθε καί, ὅτι τῷ μὲν ἀδελφῷ πρὸς ἰσότητα ἥκεις ταλαντευόμενος. Ἔστω δέ, ὡς καὶ καθέλκεις τῇ ῥοπῇ πρός τι μεῖζον καὶ πολλοῦ ἄξιον· καὶ ὅμως ὁ τοῦ βίου βραβεύς, μέγας θεός, ὁ δίκαιος διατομεύς, γεωμετρήσας ἐπὶ παντὸς τὸ ἀνάλογον, τὸν μὲν ἀδελφὸν διέκρινε πλήθοντα εἶναι καὶ τῷ βίῳ πίονα, σὲ δὲ ἀλλὰ ἰσχνὸν καὶ ὑπόκενον. Τί δὴ οὖν λογιστεύεις τὸν καὶ δεσπότην καὶ πατέρα, καὶ διὰ δίκης ἄγεις, ἐφ' οἷς διῳκονομήσατο; Πότερον δεσπότην ἐκεῖνον τίθῃς; Καὶ πῶς δοῦλος ὢν λογοπραγεῖς τὸν κύριον; Ἀλλὰ πατέρα ὀνομάζεις. Καὶ διατί τολμᾷς, ἀναιδῶς προςφέρεσθαι, καὶ μὴ δεδιέναι τὴν ἔννομον ἀποκήρυξιν, εἰ οὕτω καταθρασύνῃ αὐτοῦ; Θεοκλύτει, δυςώπει, ἐξευμένιζε, μέσοις χρῶ ταῖς εὐχαῖς, καὶ μάλιστα τοῖς ἁγίοις αὐτοῦ· καὶ οὕτως, εἴπερ δέον εἶναι διακρινεῖ, ἀπομερίσεται τοῦ παρ' αὐτῷ πλούτου καὶ σοί, καὶ μυρίολβον ἀποκαταστήσει σε. Εἰ δ' ἴσως καὶ ποτνιώμενος καὶ πολλὰ ποιῶν, ἅττα πρὸς ἔντευξιν, μένεις ὁ αὐτὸς τοῦ λοιποῦ, λόγισαι θέμενος ἐς ψυχήν, ὡς ἢ πολὺ ἔν σοι τὸ ἐφάμαρτον, καὶ δι' αὐτὸ οὐκ ἀξιοῖ καὶ σὲ τοῦ πλουτισμοῦ, ἢ ἄλλο τι. Νῦν μὲν οὐ συμφέρον σοι τὸ πλήρωμα τοῦ αἰτήματος· ἔσται δέ, ὅτε ὁ τοῦ βίου λειμὼν ἐξανθήσει, καὶ δρέψασθαί σοι δώσει ἐν καιρῷ πολὺν τὸν καρπόν. Ἢ οὐχ ὁρᾷς καὶ φυτὰ δένδρων, Ms. fol. 109. a. || τὰ μὲν καρποῖς βρίθοντα, τὰ δέ τινα διαπαντὸς οὐκ ἄκαρπα; καὶ τῶν καρπίμων τὰ μὲν εἰς ὅλον ἔτος τηροῦντα τὸ τρέφον φῦμα, τὰ δὲ ἐξ ἔτους μὲν εἰς ἔτος εὐφοροῦντα ἐκ διαλείμματος, τὸν δὲ ἐν μέσῳ καιρὸν οὐ μόνον ἄκαρπα εἰς τὸ πᾶν, ἀλλὰ καὶ φυλλοχοοῦντα, καὶ τῆς φυσικῆς, ὡς εἰπεῖν, κόμης φαλακρούμενα; Τὸ δέ ἐστιν οὐ μάτην καὶ εἰκῇ, ἀλλὰ κατὰ φύσιν ἔλλογον. Ὅτε μὲν γὰρ ἔστιν ὄνασθαι τινάς, ἢ ἀνθρώπους ἢ ἑτεροίαν φύσιν, τοῦ καρπώματος, τότε δὴ καιροῦ καὶ οἱ βλαστοὶ μεστοὶ καὶ καλοὶ βλέπεσθαι, καὶ τὰ φύλλα τέθηλε διὰ τὸν καρπὸν ταῦτα. Ὅτε δὲ αὐτὸς ἀπέλθῃ, τότε καὶ τὰ φύλλα ἔραζε πίπτει, καὶ τὰ λοιπὰ δὲ τοῦ δένδρου τὴν προτέραν ὥραν οὐκέτι ἔχει. Παλιννοστεῖ γὰρ τὸ ζωογόνον εἰς τὰς μητέρας ἐκείνων ῥίζας, καὶ ὑφεδρεύει, καὶ ὑποσμύχον ζωπυρεῖται εἰς ἔαρ, ὅτε πάλιν ὡς δι' ὑπαγωγέων τινῶν ἐκθλιβόμενον ἀνατρέχει καὶ γεννᾷ τὰ πέρυσιν ἀγαθά. Ὅρα γοῦν, μήποτε καὶ σὺ τοιούτῳ λόγῳ ὑποπέπτωκας, καὶ ἢ οὐ σύμφορόν σοι λαλεῖν ὕλην, ἐξ ἧς ἔσται βλάστη καὶ καρπὸς ἄξιος λόγου καὶ φύλλα καὶ λοιπὴ πᾶσα εὐφυΐα χρηστοῦ δένδρου, ἢ ἀλλὰ καί, εἴποτε λάβῃς, ἀλλ' αὖθις ἀποῤῥυήσεταί σοι τὰ δεδομένα διὰ τὸ μὴ καίριον. Σκόπει δὲ καί, μήποτε ἀκανθοφορῇς κατὰ τὰς ῥάμνους (καὶ διὰ τοῦτο οὐδὲ καρποφορεῖς), ἢ κατὰ τοὺς βάτους καὶ τοὺς

ἀγρίους ἀπίους (καὶ δι' αὐτὸ φέρεις μὲν καρπόν, περιφέρεις δ' ἐκεῖνον, ὁποῖον χρὴ τελεσφορεῖσθαι φυτῷ ἀκάνθαις φρίσσοντι, καὶ τὰς προσαπτομένας χεῖρας ἀμύσσοντι). Η γὰρ οὐ σμικρύνει θεὸς καὶ ἀχρειοῖ ἄνθρωπον, ὃς ἢ καρποτροφεῖν οὐ πέφυκεν, ἢ τρέφει μὲν καρπόν, κεντρίζει δὲ τοὺς προςάπτεσθαι καὶ δρέπεσθαι θέλοντας; Εὖξαι τῷ θεῷ, ὡς καὶ ἀποδοῦναι αὐτῷ τὰς εὐχάς, καὶ ἔλπισον ἐπ' ἐκεῖνον, καὶ αὐτὸς ποιήσει. Πληροφόρησον τὴν μετάδοσιν, καὶ ἐπιδώσει σοι. Δρόσισον χεῖλος ἐνδεές, ὑποκαιόμενον δίψει, καὶ ἐπιβρέξει σοι ἄνωθεν τὰ ζωογόνα, καὶ αὐτὸ δὲ μάννα, τὸ καὶ νοούμενον καὶ φαινόμενον. Ἠ ῥάβδον μὲν οἶδας βλαστήσασαν, καὶ φυτὰ δὲ μυρία ἐκ νεκρώσεως ἀναθηλήσαντα λόγῳ καὶ μόνῳ τῶν τοῦ θεοῦ θεραπόντων; αὐτὸν δέ σε, τὸ ἔτι ἔνικμον φυτόν, τὸ νῦν μὲν ἠγριωμένον πάθεσιν, ἐκ παραδείσου δὲ ἀνέκαθεν πεφυκός, οὐκ ἔχει μοσχεῦσαι, καὶ ὡς οἷον δι' ἐπεμβολῆς μεταποιῆσαι εἰς πάντη ἥμερον, καὶ καταπλουτίσαι εἰς ἔγκαρπον; Ἄφες ἀπαιτεῖν τὸν θεόν, καὶ αὐτὸς δώσει ἑκών. Οὐκ ἐζήτησας τὸν θεόν, ἐν κοιλίᾳ συλληφθῆναι μητρός· καὶ ἐκείνη συνέλαβέ σε. Οὐκ ἠνάγκασας προελθεῖν μήτρας, καὶ φῶς ἰδεῖν, καὶ ἐκτραφῆναι, καὶ προβῆναι, ὅποι νῦν ἕστηκας· καὶ ταῦτα πάντα γέγονέ σοι ἀπραγμόνως ἐκεῖθεν. Ἔσται γοῦν σοι ὁμοίως καὶ τὰ ἐφεξῆς, εἰ μόνον ἐκεῖνα ποιεῖς, ὧν γινομένων καὶ τὰ ἄλλα προτίθενται καὶ ὀροφοῦνται ὡς ἐπὶ θεμελίῳ στεῤῥῷ. Τί ἀνταποδώσομεν τῷ δεσπότῃ, καὶ ἀποροῦμεν, καὶ μεθοδεύομεν, ὡς οἷα δηλαδὴ δόντι, καὶ οὕτως
Ms. fol. 109. b. ἐποφειλομένῳ τὸ ἀντισηκοῦν; Τί γοῦν ἀ || παιτεῖν ἐθέλεις τὸν χρεωστούμενον; Ἀπέδωκέ σοι τὸν μισθὸν ὁ δεσπότης, καὶ ταῦτα μὴ ὀφείλων μισθοὺς τῷ δούλῳ. Ἄφες οὖν ἀναιδεύεσθαι καὶ προσεπιζητεῖν, μὴ καὶ ὧν ἔχεις ἐκπέσῃς, καὶ τὰ τοῦ ἀχρείου δούλου καθυποσταίης. Ἐκληροδότησεν ὁ πατήρ· οὐκέτι γοῦν ἀνάγκην ἔχοι τοιαύτην, ὁποίαν σοι ἐπάγειν ἐθέλεις. Εἶχέ ποτε ὁ μέγας Ἰώβ· ἀλλ' ἐξέπεσε πάντων, ὧν εἶχε, καὶ οὐκέτ' εἶχεν οὐδὲ ἑαυτόν. Ἀπέῤῥεε γάρ, εἰς ἰχῶρας ἀναλυόμενος· ἀλλ' οὐκ ἐλογίστευε τὸν θεόν, οὐκ ἐπολυπραγμόνει, οὐκ ἐζήτει, οὐδὲ μὴν ἔλεγεν, ἀπολωλεκέναι τι· ἀλλὰ τὸν κύριον καὶ δοῦναι καὶ ἀφελέσθαι ἀπεφαίνετο. Οὐκοῦν ἀνέκαμψεν εἰς τὸ πολὺ κρεῖττον καὶ εὔδαιμον διὰ τὸ εὐχάριστον. Ἐγὼ δὲ καὶ εὐλαβοῦμαι, μήποτε παρενοχλῶν τῷ θεῷ λάβῃς, μᾶλλον μὲν οὖν ἀντιλάβῃς, ἐκεῖθεν τὸ ἄξιον μέν, ἀπευκταῖον δέ σοι. Διδόντα γάρ σε τῷ θεῷ, ὅπερ οὐκ ἐχρῆν, ἀντιλαβεῖν χρεών, ἃ μὴ βεβούλησαι. Πάσχων δεινῶς ὁ Ἰώβ, οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ· σὺ δὲ καὶ ταῦτα πάσχων οὐδὲν φαῦλον, δίδως ἄφρονας λόγους. Τοιοῦτον γὰρ τὸ σὸν βλάσφημον καὶ ἀπαιτητικόν. Οὐκοῦν ἀντιλήψῃ ἐκεῖθεν τὸ σοὶ ἀβούλητον, εἰ μὴ ἄρα ἡ θεία φιλανθρωπία προςισταμένη, τὸ βλάπτον ἀπαγάγοι ἐκ σοῦ. Ἔστω δέ, ὅτι καὶ πάσχων γογγύζεις καὶ λαλεῖς. Ἐρωτῶ δή· ἐπὶ τίνι γογγύζεις, καὶ τίνος λειπόμενος; Λείπεσθαι μὲν ἐρεῖς ἂν οὐδενὸς τῶν ὅσα ἐπιπρέπει ἀνθρώπῳ. Ὁλομελές σοι τὸ καλὸν καὶ πάντη ἄρτιον. Οὐκ ἔχεις κίνδυνον, ἀνακεῖσθαι ἀῤῥώστως. Ἔξεστί σοι ἐργάζεσθαι πάντα, ὅσα κατ' ἄνθρωπον, ἀπὸ γυμνοῦ ἐμβρύου, καὶ ὑπὸ βρέφους ἰλυσπωμένου περὶ γῆν, καὶ μὴ ἔχοντος ἀνανεύειν. Ἰδοὺ καὶ ἐνδέδυσαι, καὶ ἐπὶ κιόνων σταθερῶν, τῶν ποδῶν, ὄρθιος ἀνεστήλωσαι. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ εἰς τὴν πορείαν καὶ τἄλλα πάντα, ὅσα κατευθύνει τὸν ἄνθρωπον ὡς καὶ ζῶον ἁπλῶς καὶ ὡς ἄνθρωπον, πλουτεῖς. Τί δὴ οὖν τὸν ταῦτα φιλοτιμησάμενον μεγαλοπρεπέστατον δεσπότην ὀχλεῖς, καὶ οὐκ ἀφίῃς βασιλικῶς διακεῖσθαι περὶ σέ, καὶ ἐπιδιδόναι, ὁπόσα ἐκείνῳ ἐστὶν ἐθέλοντι, κατὰ τὸ ἐν αὐτῷ φιλεύσπλαγχνον; Τίς εἶ σύ, ὁ κρίνων ἀλλότριον οἰκέτην, ἀκούσοι ἄν τις, αὐτὸ κατεξουσιάζειν ἀλλοτρίου δούλου πειρώμενος. Τί γοῦν οὐ δέδοικας καὶ αὐτός, μήποθε ἀκούσῃς ποθὲν τό· πόθεν σὺ ἀναπέφηνας, τοῦ σοῦ δεσπότου λογιστής;

41. Φέρε εἴπω σοι κεφαλαιωσάμενος λόγον, ἀντιφάσκειν μὲν δοκοῦντα, τῇ δ' ἀληθείᾳ εἰς ἓν συμφωνοῦντα. Οὐκ ἔστι τῶν ἐν ἡμῖν οὐδὲν ἴσον, καὶ αὖ πάλιν οὐδέν ἐστι τῶν ἐν ἡμῖν ἄνισον. Πνευματικῶς δ' ἐνταῦθα ἐθέλω ἀντιφωνεῖν. Καθότι μὲν γὰρ ὁ θεὸς ἀναλόγως ἑκάστοις ἐπιμερίζει τὰ δέοντα, καὶ τῶν μὲν αἴρει, τοῖς δὲ προςτίθησι γεωμετρικώτερον, ἰσότης ἐν ἡμῖν θειότερον πολιτεύεται, καὶ || ἀκούει ἕκαστος τό· Ms. fol. 110. a. ἑταῖρε, ἔχεις τὸ ἀνάλογον σόν. Καὶ οὕτω μανθανέτω καὶ ὁ τὸ ὀλίγον ἔχων, δικαίως ἔχειν αὐτό, εἴτ' οὖν πρὸς γεωμετρουμένην ἰσότητα. Ταὐτὸν γάρ πως ἴσον εἰπεῖν καὶ δίκαιον, ἐπεὶ καὶ ἰσότητος ἡ δικαιοσύνη στοχάζεται. Καὶ οὕτω μὲν ἴσα τοῖς ὅλοις ἅπαντα, λόγῳ δ' ἄλλῳ καὶ ἄνισα· καὶ ὁ λόγος ἢ κατὰ τὸ δοκοῦν τοῖς ἀμαθεστέροις (δοτέον δὲ εἰπεῖν καὶ ἀμαθεστέροις), ἢ γοῦν ἀλλὰ κατὰ ἀριθμόν, ὡς εἶναι τὰ καθ' ἡμᾶς οὕτως ἀνακεκραμένα ἰσότητι καὶ ἀνισότητι, καὶ ἐξεῖναι λέγειν τὴν ἁρμογὴν τοῦ ἐν ἡμῖν βίου ἢ ἀνισότητα ἴσην, ἢ τὸ ἀνάπαλιν. Μένε οὖν, ἐν οἷς ἐτάχθης, ὦ ἀδελφέ, καὶ χαρίτων ὀφειλέτην εἰδὼς τῷ θεῷ σεαυτόν, εὔχου, καὶ ἔλπιζε, καὶ μήτε τὸν κυβερνήτην μέμφου στρέφοντα τὴν καθ' ἡμᾶς ὁλκάδα τεχνηέντως ὧδε καὶ ἐκεῖ, ἕως ἂν περὶ τοὺς βιωτικοὺς πλέωμεν σάλους· μήτε τὸν σύμπλουν ἀδελφὸν

μέμφου, εἰ πρὸς τὸν εὖ ἔχοντα τοῖχον ὁ τῆς νεὼς κύριος αὐτὸν ἐτάξατο. Τί γὰρ καὶ φθονητέον, ἔνθα ἡ μέμψις διαβαίνει πρὸς τὸν κύριον; Ὁ ἀδελφὸς οὐδὲν οἰκεῖον ἔχει, οὐδὲ ἐξ αὐτοῦ, ἀλλ' ὅπερ δέδωκεν ὁ θεός. Τῷ γοῦν ἀδελφῷ φθονῶν, λέληθας σεαυτὸν μεμφόμενος τὸν θεόν, καὶ οὕτω τρόπον τινὰ θεομαχῶν. Τί δὲ οὕτω μὲν τὸν θεὸν ἀνακρίνων, καὶ μονονουχὶ ἐπιτάσσων τὸ ποιητέον, ἁμαρτωλὸν πρᾶγμα ποιεῖς; Ἀπορούμενος δέ, τί δήποτε, ἄλλων ἐν Ὀλυμπίᾳ βιούντων καὶ ἀτρεμεὶ ζώντων, αὐτὸ καὶ λύπην ἔχει καὶ φόβον, δοκεῖς λαλεῖν ἀναμάρτητα οὐ πάντως; Δέον τοίνυν κἀνταῦθα διαγνωμονεῖν σε τὰ κατὰ σέ, καὶ συμβιβάζειν αὐτοῖς τά τε ἡδέα, τά τε λυπηρά, καὶ οὕτω τῇ καταλήψει τῶν αἰτίων λαμβάνειν τι παραμύθιον, καὶ δὴ θεωρητέον αὐτὸ εἰς ὀλίγον. Καὶ ἐπὶ τῶν ἄρτι συμβαμάτων μὲν οὐκ ἔχω εἰπεῖν· οὐ γὰρ οὕτω δεδίδαγμαι· θεοῦ δὲ κρίματα, ὧν ὁ βυθὸς ἡμῖν ἀπερίληπτος.

42. *Ἡ δὲ τοιαύτη θεωρία ἔσται αὐτίκα καὶ παρήγορος λόγος, καθὰ φθάσαντες ὑπεσχήμεθα. Εἰσὶν ἐν τῇ καθ' ἡμᾶς περιχώρῳ καὶ συμφύλῳ, τῇ καὶ πολυτενεῖ καὶ εὐρυχόρῳ, οἱ μὲν εἰς βαθὺ βεβαπτισμένοι λύπης, οἱ δὲ εἰς ἄβυσσον, ἄλλοι δὲ βάψαντες ἤδη οὐκ ἐς τοσοῦτον, οἱ πλείους δὲ ἐν τῷ δεδοικέναι, καὶ αὐτῷ ἢ διά τι ἐγγίζον καὶ πρόοπτον, ἢ κατὰ διέχειαν, ἣν οὐκ ἔστι συνιδεῖν σταθερῶς. Τούτων οἱ μὲν τῆς ἀβύσσου γεγονότες κλαιέσθωσαν (τί γὰρ ἄλλο;)· οἱ δὲ μήπω τοῦ βυσσοῦ καὶ τῆς κατ' αὐτὸν τρυγὸς ὄντες, εὐχὰς καὶ αὐτοὶ ποιείσθωσαν, καὶ ἑτέρωθεν ἐχέτωσαν, καθὰ καὶ οἱ μὴ ἐξ ἐπιπολῆς. Οἱ δὲ τῷ φόβῳ οὕτως ἢ οὕτως ὑποτρέμοντες, ἀλλ' αὐτοὶ πρὸς ταῖς εὐχαῖς καὶ εὐχαριστείτωσαν τῷ καὶ ἀεὶ ζῶντι καὶ τοῦ ζῆν αἰτίῳ θεῷ.*

43. *Καὶ τοῦτο μὲν κοινῶς κείσθω ἡμῖν εἰς διηνεκὲς ἐνθύμιον. Ἐξετάσωμεν δὲ νῦν πρὸς ἀκρίβειαν οἱ συγχεόμενοι, ὡς εἰκός, καὶ ἐμφρόντιδες, καὶ ἐμμέριμνοι, καί, ὃ δὴ λέγεται, κηραίνοντες, ποῖ ποτε τόπου τῶν, ὡς ἐῤῥέθη, λυπουμένων τεταξόμεθα; Ὁ πρῶτος μὲν* Ms. fol. 110. b. *|| καὶ ὁ δεύτερος καὶ ὁ τρίτος πόντῃ πάντως θεοῦ ἐλεοῦντος ἡμῶν ἀπεσχοίνισται· οὔτε γὰρ τρυγίας τὸ [ἐν] ἡμῖν θεωρεῖται, ὁποῖος εἴρηται, οὐδὲ μὴν βάθος, ἀλλ' οὐδὲ καταβαπτισμός. Φόβου δέ τι πάντως ἡμῖν ἐγγίνεται· πλὴν ἀλλὰ καὶ αὐτὸ οὔτι πρόδηλον, ἀλλ' οὐδὲ ἀρίγνωτον. Ὅμοιον δέ, ὡς εἰ καὶ βροντὴν κτυποῦσαν ἐκ πορρωτάτων καραδοκεῖ τις εἰκότι λόγῳ ἀκουτισθῆναι εἰς ἐγγύτερον. Τί δὴ οὖν κατεν[εχθ]ησόμεθα εἰς ἀμετρίαν θλίψεως;*

44. *Τοῦτο δὲ λέγων οὐκ ἀπαλείφειν ἐθέλω τὸ μεριμνᾷν ἐξ ἡμῶν οὔτε τὸ περὶ τῆς αὔριον, οὔτε τὸ ἐπὶ ταῖς ἐφεξῆς· ἀλλὰ τὸ λίαν ἀπάγω, τὴν ὑπερβολὴν ἐλαττῶ, τὴν ἀμετρίαν ἄγω εἰς σύμμετρον. Εἰς τί γὰρ καὶ πειράσομαι, τὸ δέος ἐν ἡμῖν καταῤῥίψαι, ὁ μαθών, χρῆναι καὶ δέος ἐν πολλοῖς ἑστάναι καίριον; Πῶς δ' ἂν ἐγγυησαίμην τὸ ἄλυπον, οἷς ὁ τοῦ κλαυθμῶνος τόπος ἀποτέτακται, οἷς οὐδεὶς ἔγνωσται βίος ἄλυπος, οἷς ἄκανθαι καὶ τρίβολοι γῆθεν ἀνατέλλειν εἰς ἐπιστροφὴν ἐπετάχθησαν, φάναι δὲ τὸ μᾶλλον ἐπιστρεπτικόν, οἳ χρονίζοντες ἄλυποι ἐκλανθανόμεθα θεοῦ; Μὴ γὰρ ἔστιν ἡμῖν παιδαγωγὸς καλλίων τῆς λύπης. Ἅμα λύπη, καὶ αὐτίκα μνήμη θεοῦ. Κνίζεταί τις, καὶ ἐπὶ στόματος αὐτοῦ εὐθὺς τό· κ ύ ρ ι ε, β ο ή θ ε ι· καί· κ ύ ρ ι ε, ἐ λ έ η σ ο ν· καὶ παρενοχλοῦνται βοαῖς οἱ τοῦ θεοῦ ἅγιοι. Διάγομεν καιρόν τινα λύπης δίχα, καὶ ὀψίζει παρ' ἡμῖν τὸ ἐπικαλεῖσθαι θεόν· καὶ οἱ μὲν αὐτοῦ ἅγιοι καὶ τὰ ἐπ' αὐτοῖς ᾄσματα ἐκκλείονται τοῦ στόματος, ᾀσματίζει δὲ ἡ γλῶσσα, ὅσα καὶ αὐτὴν μολύνει, καὶ τὸν θεὸν παροξύνει, καὶ ἡμᾶς κακύνει τοὺς ᾄδοντας.*

45. *Οὐ τοίνυν παιδεύω, μὴ λυπεῖσθαι (αὐτὸ μὲν γὰρ καὶ ἀδύνατον· ἡ δὲ παίδευσις ἐπὶ τοῖς δυναμένοις γίνεσθαι)· ἀλλὰ βάπτειν μὲν εἰς λύπην ἔμφρονα, καὶ ἐφ' οἷς χρή, παρ' αὐτὰ δὲ μεριμνᾷν, ἐξευρίσκειν τὸ λαθικηδὲς καὶ κακῶν ἐπίληθον ἁπάντων φάρμακον, δι' οὗ ἀλεξικάκου τὸ θηριῶδες δῆγμα τῆς λύπης ἀπαλειφθήσεται ὁ λυπούμενος. Τοῦ δὲ τοιούτου ἀλεξιφαρμάκου χορηγὸς ὁ θεός, ἁπάσης καχεξίας θεραπευτής, εἰς ὃν ἀναθέντες ἡμᾶς αὐτοὺς θεραπευθησόμεθα, χαρέντες, καὶ οὕτω τὴν λύπην ἐξελάσαντες. Τί γὰρ ἄλλο ποιητέον ἐν τοῖς μὴ ἐφ' ἡμῖν, ἢ πάντως τὸ ἐπὶ ἡμῖν αὐτοῖς, οὗπερ ἡμεῖς ἐσμὲν κύριοι; Κυριεύομεν δὲ ἐν λύπαις τοιαύταις καὶ φόβοις ἐπικειμένοις ἀμηχάνοις τοῦ δέεσθαι· δέεσθαι δὲ οὐ τοῦ τυγχάνοντος ἀμύντορος, ἀλλὰ τοῦ δυνατωτάτου. Τοιοῦτος δὲ ὁ θεὸς τῶν δυνάμεων· αὐτοῦ ἄρα καὶ δεητέον, τοῦ καὶ τὰς δικαίας εὐχὰς καὶ τὰς ἀγαθὰς ἐλπίδας τελεσφοροῦντος. Ἰσχυρὸς αὐτὸς μόνος· διὸ καὶ ποιήσει ῥᾳδίως. Ὁ δ' αὐτὸς καὶ μακρόθυμος· οὗ χάριν μακρυνεῖ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἱλάσεται ἡμῖν, εἴπερ ἡ δέησις ἐκτενὴς καὶ ἐξ ὅλης ψυχῆς καὶ διανοίας καὶ καθαροῦ στόματος· ὃς οὐδὲ ἀναμένει διαρθρωθῆναι τὸν δεητήριον, ἀλλ' ἔτι λαλοῦντός τινος πάρεστιν. Ἐπιθυμεῖ ||* Ms. fol. 111. a. *γὰρ δέξασθαι ἱκεσίαν ἔλλογον ἐπὶ εὐεργεσίᾳ τοῦ θεοκλυτοῦντος. Ἡ γὰρ βασιλεὺς μὲν ἀγαθός, μὴ εὐεργετικὸς προσφυῶς ἂν λέγοι τό τι· σ ή μ ε ρ ο ν ο ὐ κ ἐ β α σ ί λ ε υ σ α· ο ὐ δ ὲ γ ὰ ρ ε ὐ η ρ γ έ τ η κ α; Ὁ δὲ θεὸς ἀνέξεται, μὴ ἀδιαλείπτως εὐεργετεῖν, τοῦτο διηνεκὲς ἔργον αὐτοῦ; ἐπεὶ καὶ αὐτάγαθός ἐστι καὶ αὐτοβασιλεύς·*

Διὸ καὶ λαμβάνων δέησιν, οὐκ ἀνέξεται, μὴ κλίναι τὸ οὖς σου, καὶ ἐπακοῦσαι εἰς ἀγαθόν, ἀλλὰ συμμετρήσει τῷ τοῦ κινδύνου καὶ τοῦ φόβου καιρῷ καὶ τὴν σύναρσιν. Μέλλει τὸ κακόν, καὶ διασκεδάσει· ἐγγίζει, καὶ ἀπώσεται. Ἀλλ' ἤδη ἐφῆπται, καὶ ἐν χρῷ γέγονε· καὶ ψύξας ἡσυχῇ τὸ βέλος ἐπιπνοίᾳ θείᾳ, στρέψει ὀπίσω. Τὸ δὲ καινότατον· ἀντιστρέψει, καὶ εἰς τὴν τοῦ βαλόντος καρδίαν ἐμπήξει, τοιοῦτος αὐτὸς ἐπίκουρος ἄνωθεν τοῖς προκαλουμένοις αὐτόν.

46. Ἐγὼ δὲ καὶ ἄλλο πρὸς παραμυθίαν ὑμῖν ἐρῶ πειστικώτατόν τι καὶ λυσιτελέστατον. Ἀνενέγκατε τῇ μνήμῃ τὰς ψυχὰς εἰς τὸν ἔνθεον ἡμῶν αὐτοκράτορα, καὶ δι' ἐκείνου καὶ παρηγορήθητε, καὶ βοήθειαν εὑρέσθαι σπεύσατε· καὶ βοηθήσει μὲν ἡμῖν ἐκεῖνος καὶ οἴκοθεν ἔργοις βασιλικοῖς καὶ προμηθείᾳ θείᾳ, οὐχ ἥκιστα δὲ καί, εἴπερ εὐχαῖς θεὸν πείθομεν, συνεφάπτεσθαι τῶν ἔργων αὐτῷ, καὶ συγκατευθύνειν τὸ δόρυ κατὰ πάσης παλαμναίας φάλαγγος ἀντιμάχου. Παρηγορήσεται δὲ τοῖς καθ' ἑαυτόν, καὶ οἷς ἀεὶ πονεῖται ὑπὲρ τῶν τοῦ θεοῦ. Οἴδατε πάντως, ὡς, ἐξότου ὁ βασίλειος αὐτὸν ἔλαχε θρόνος, οὐκ ἐπαύσατο μέχρι καὶ σήμερον, μὴ ὅτι γε κοπιῶν, καὶ ὕπνον μὴ διδοὺς ὀφθαλμοῖς καὶ βλεφάροις ἀνάπαυσιν, ἀλλὰ καὶ κινδύνοις ἑαυτὸν παραβάλλων, καὶ κινδύνοις τοῖς δεινοτάτοις, ὧν ἔργον, ψυχὴν ἀπάγειν σώματος, οὐ κατὰ φύσιν, ἀλλὰ πρὸς βίαν. Τί τοίνυν, ἐκείνου τὴν ὑπ' οὐρανὸν ἐπ' ὤμων, ὡς εἰπεῖν, βαστάζοντος, καὶ εἰς τόσον ἀχθοφοροῦντος, καὶ ὅμως φέροντος, καὶ ἀπεκδεχομένου ἀγαθὰ τῇ εἰς θεὸν πεποιθήσει (θαῤῥεῖ γάρ, οἷς μυριάκις καὶ ἔπαθε καὶ ἐβοηθήθη εἰς θάλος καὶ σαρκὸς καὶ ψυχῆς), ἡμεῖς οἱ βασιλευόμενοι, καὶ ἀπαιτούμενοι ἐπακολουθεῖν τοῖς αὐτοῦ, μὴ ἐφοποσονοῦν ἑψόμεθα κατὰ μίμησιν τὴν δυνατὴν καὶ ἀρετῆς ἀπόμαξιν, δι' ἧς τὴν θεόθεν ἐπικουρίαν ἐφελκυσόμεθα; Καὶ οὐ λέγω φερεπονεῖν κατ' ἐκεῖνον καὶ ἡμᾶς. Οὔτε γὰρ ὑπόκειταί τι ὅμοιον· οὔτε, εἴπερ ὑποκείμενον ἦν, ἔσχομεν ἂν ὁμοίως αὐτὸ μεταχειρίσασθαι. Ἀλλὰ παραινῶ, μὴ παντελῶς τοῦ φόβου γίνεσθαι καὶ τῆς ἀπογνώσεως. Λογίσασθε τὰ μεγάλα κύματα, ὁπόσα κορυφωθέντα κατ' αὐτοῦ ἀπεκρούσατο οἰακίζων δεξιῶς, ὁπόσας θυέλλας διέλυσε, θεοῦ σκεδάζοντος καὶ ἀπάγοντος· ὁποίους καὶ ὅσους θῆρας καθεῖλεν ἐμπηδῶντας ἡμῖν, θεοῦ συνεπιλαμβανομένου κἀνταῦθα. Θαῤῥητέον οὖν, ὡς ὁ αὐτὸς θεὸς καὶ τὰ νῦν καθ' ἡμῶν κορυφούμενα κύματα καὶ τὰς αἰγίδας, ὅσαι ὑπερκρέμανται τῆς Ῥωμαϊκῆς γῆς, καὶ τοὺς ὠρυομένους εἰς φρίκην θῆρας, τὰ μὲν ταπεινώσει ἕως καὶ ἐς γαλήνην, (Ms. fol. 111. b.) τὰς δὲ ἀπαγαγεῖ σκεδάσας, τῶν δὲ τὰς μύλας συντρίψει, καὶ οὕτως εἰρηναίαν κατάστασιν πρυτανεύσεται. Μέμνηνταί τινες, οἶμαι, τῶν ἡμετέρων, ὅπως πολλάκις ἐς κοινὴν ἀκοὴν τὸν τῆς βασιλείας ἐξελάλησα χαρακτῆρα. Ἦν δὲ ἐκεῖνος, ὅτι ἔοικε τυπώσασθαι ὁ θεὸς τὸν ἡμέτερον αὐτοκράτορα διόλου καὶ ἀεθλευτὴν εἶναι ἀκάμαντα, καὶ νικᾷν διὰ πάντων, ὡς ἂν ἔχῃ σεμνύνεσθαι καὶ αὐτός, ἐργάτης εἶναι θεοῦ, καὶ ἱδρῶτι προσώπου τῷ ὑπὲρ τοῦ θείου λόχους τὸν αὐτοῦ ἄρτον ἐσθίειν. Τοῦτο καὶ νῦν ἡμᾶς εἰς ἀγαθὰς ἐλπίδας προβιβαζέτω, λογιζομένους, ὡς ὁ πάντοτε τοιοῦτος οὐκ ἂν ἐν τοῖς ἄρτι ἀλλοῖος φανεῖται, θεοῦ θέλοντος.

47. Προσεπιλογίσασθε καὶ ἱστορίαν ἐκείνην, ἣν ἀναλεξάμενος ἐξετιθέμην, ἀφηγούμενος, ὡς ἤνεγκε μὲν χρόνος πρεσβύτατος Ἡρακλῆν ἐκεῖνον, οὗ λόγος πολύς· ἐφήρμοστο δὲ αὐτῷ, εἴτ' οὖν ἀπέκειτο, συνεχῶς μὲν ἀεθλεύειν τὰ βαρύτατα, συνεχῶς δὲ καὶ ταῖς νίκαις ἐλλάμπεσθαι. Οὐκοῦν οὐδαμοῦ ἐν οὐδενὶ ἄθλῳ δεύτερος ἐξέπιπτεν. Εἰ δέ που καὶ λίθοι καὶ λοιπὰ βέλη κατεπετάσθησαν αὐτοῦ πρὸς ἄλγος, καὶ πόνους ἑτεροίους ἔσχεν, ὁποίους φιλεῖ πάσχειν ὁ τοῖς ἐργώδεσιν ἐγχειρῶν, ἀλλ' οὐκ ἀνέπιπτεν, οὔτε μὴν κατέπιπτεν, ἐλαττούμενος, καὶ τοῦ κατὰ πάντων πρωτεύειν στερόμενος. Καὶ ταῦτα λέγων παρῆγον ἐς ὁμοιότητα τὴν αὐτοκρατορικὴν ἐνέργειαν, τοῖς μόχθοις μετρῶν καὶ τὰ ἔπαθλα. Προσεπῆγον δὲ τῇ ἱστορίᾳ καὶ παροιμίαν, ἀπορητικῶς λέγων τό· μήποτε καὶ αὐτοκράτωρ ἐν τετράδι γεγέννηται. Καὶ γάρ τοι καὶ Ἡρακλῆς ἐκεῖνος εἰς γένεσιν προαχθεὶς περί τινα τετάρτην μηνός, καὶ ἄθλοις ἐντριβόμενος μέν, οὐ νικώμενος δέ, παροιμίαν ἐξέφηνε, καθ' ἣν οἱ τοιοῦτοι ἄνθρωποι ἐν τετράδι γεγενῆσθαι λόγον ὑποβάλλουσι τοῖς τὰ κατ' αὐτοὺς θαυμάζουσιν. Εὐχοίμεθα οὖν συγκροτεῖσθαι καὶ ἄρτι τὸν αὐτοκράτορα εἰς τὸ ὑπὲρ ἡμῶν, ὡς τὴν παλαιὰν εἰρήνην ἀποκαταστῆσαι ἡμῖν. Καὶ οὕτως ἡ εὐχὴ καὶ τὸ θαῤῥεῖν, ἐπακούεσθαι ὑπὸ θεοῦ, ἐξωθήσει τὴν τῆς ἀμετρίας λύπην, καὶ παραμυθησόμεθα.

48. Εὐχοίμεθα δὲ μὴ πρὸς ἀφοσίωσιν μόνην καὶ σχῆμα εὐχῶν, χεῖρας μὲν αἴροντες ἄνω, καὶ κραυγὰς ἀφιέντες, τὰ δὲ καιριώτερα τοῦ εὔχεσθαι παραλείποντες, δι' ὧν οἴδασιν εὐχαὶ πρὸς θεὸν ἐλαφρίζεσθαι. Τίνα δὲ ταῦτα τὰ καιριώτερα, ἔχετε μὲν καὶ ἄλλοθεν εἰδότες κάλλιον, ἤπερ ἕκαστος τὸ ἑαυτοῦ, ὅ φασιν, ὄνομα· βραχὺ δέ τι προσεπιθεὶς καὶ αὐτός, λύσω τὸν σύλλογον.

49. Ὅτε μέλλομεν εἰς εὐχὴν σταθῆναι, οὕτω διατεθῶμεν, ὡς βασιλεῖ μεγίστῳ μέλλοντες ἐντυγχάνειν· καὶ εἴπερ οὕτω διοικονομησόμεθα, οὐκ ἔστιν ὅπως οὐκ

εἰσακούσεται ἡμῶν ὁ θεός. Ὁ κατ' ὄψιν βασιλεῖ ἐντυγχάνων, καὶ παρεστώς, καὶ δεόμενος, οὐδέν τι τῶν ἐν ὅλῳ τῷ βίῳ εἴσοι || [Ms. fol. 112 a.] κίζεται κατὰ νοῦν· ἀλλὰ τὰς ὅλας κλείσας τῆς ψυχῆς θύρας, ὡς μηδέν τι τῶν ἔξω παρεισκρίνεσθαι εἰς αὐτήν, ἰδιάζειν τὸν νοῦν ἀφίησι καὶ ἑαυτοῦ εἶναι καὶ λαλεῖν τὰ πρὸς δέησιν. Οὐκ ἐνθυμεῖται συζυγίαν, οὐ τὴν σύμφυτον γλυκεῖαν ἀγέλην, οὐ πλοῦτον, οὐ κτῆσιν τὸ μεῖζον εἰπεῖν, καὶ ἑαυτοῦ ὁ τοιοῦτος ἐξίσταται, καὶ κατὰ οὐδεμίαν αἴσθησιν ἐνεργεῖ. Οὐδενὸς τῶν πέριξ ἀκούει καὶ γάρ, εἰ καὶ βροντῶσι τοῖς λόγοις, οὐ πλαγιάζει τὸν ὀφθαλμὸν εἰς οὐδένα, καὶ ὅλως οὐ πλατύνει τὸ αἰσθητικόν· ἀλλὰ στενοχωρεῖ, πρὸς ἑνὶ καὶ μόνῳ ἐκείνῳ τυγχάνων, τῷ βασιλεῖ, καὶ εἷς πρὸς ἕνα μετρεῖται, καὶ μόνος μόνου γίνεται. Οἴδαμεν πολλοὺς ἐν τοῖς τοιούτοις καὶ τριχῶν ἑλκομένους, καὶ ἀντιβαίνοντας μέν, οὐ σκοπουμένους δέ, πρὸς τίνων ἕλκονται. Πάσχουσι καὶ πληγάς, καὶ οὐδ' οὕτως ἐπιστρέφονται, ἀλλὰ διατέθεινται, καθὰ καὶ λίθοι πληττόμενοι. Ὕβρεων δὲ ἐμπάζεσθαι τοὺς τοιούτους, πῶς ἂν εἴη; Κωφεύουσι γὰρ πρὸς ἄλλο ἅπαν ἄκουσμα, καραδοκοῦντες τὸ βασιλικὸν ἀπόφθεγμα.

50. Καὶ οὕτω τοίνυν καὶ ἡμᾶς εὔχεσθαι χρή, βραχεῖαν γοῦν ἐκείνην ὥραν ἀφορίζοντας τῷ θεῷ καὶ οὕτως ἀνύσομεν τὸ ζητούμενον. Συλλαλήσουσι δὲ πάντως ταῖς εὐχαῖς κυκλόθεν, καὶ εἴ τινες ἡμῖν πράξεις ἀγαθαὶ προκατώρθωνται, καὶ πρὸ τῶν ἄλλων ἡ ἐλεημοσύνη, καὶ αὕτη, ὅτε μετὰ ἱλαρότητος γίνοιτο. Οἴδαμεν γάρ, ἱλαρὸν δότην ἀγαπᾶσθαι παρὰ θεοῦ· ἐπεί τοι, ὃς μὴ οὕτως ἐλεεῖ, ἀλλὰ μετὰ πικρίας δυσπροσίτου, ἔοικε ταῖς τροφοῖς, ὅσαι χολῇ τὴν θηλὴν ἐπαλείφουσαι ἀπογαλακτίζουσι τὰ νεογνά. Οὕτω γὰρ ὁ μετὰ χολῆς ἐλεῶν, ἀπότροφον τὸν ζητοῦντα πένητα τίθησιν. Οὐ γὰρ ἂν ἐκεῖνος εἰς δευτέραν ἐλεύσεται δέησιν.

51. Ὑπερλαλήσει τῆς ἡμετέρας εὐχῆς καὶ ἡ φύσις αὐτή, ἐὰν δεόντως φυλάξωμεν τὸ τῆς πλάσεως θεῖον τῷ τε κυρίως μοναδικῷ, καὶ τῷ κατ' εἰκόνα (ἓν δὲ πάντως ἄμφω ταῦτα, ὅτι καὶ ἐξ ἑνὸς καὶ πρὸς ἕνα)· ἔτι δὲ καί, ἐὰν τρόπον ἄλλον τὸ καθ' ἡμᾶς ἑνιαῖον τοῦτο πολλαπλασιάσομεν, ἐννοούμενοι τὰ τῆς παραγωγοῦ συνθέσεως, καὶ μὴ μόνον σχιζώμεθα εἰς τετράδα στοιχειακῶς ταῖς γενικαῖς ἀρεταῖς, ἀλλὰ καὶ ἄλλως πολιτικώτερον καὶ κοσμικώτερον· εἰ γινόμεθα οὐρανὸς μὲν ταῖς αἰθερίαις κατὰ νοῦν ἀναβάσεσι καὶ ταῖς κατ' ἄστρα ἐλλάμψεσιν, ὃν ἄγγελοι μὲν ἐπιβαίνουσιν, ἀστοχεῖ δὲ ὁ ἑκὼν καταβεβλημένος ἐκεῖθεν σκοτεινὸς ἑωσφόρος· αὐτίκα δὲ ἅμα καὶ γῆ, πρὸς μίμησιν κοσμογενείας, καθ' ἣν οὐρανὸς καὶ γῆ πρῶτα πεποίηνται· γῆ δέ, ὡς μὴ κάτω βρίθειν εἰσαεί, καὶ μὴ εἰδέναι τὴν ἀνωφόρησιν, ἀλλὰ καὶ τοῦτο μὲν τῇ ταπεινώσει καὶ τῷ μὴ ἐθέλειν ὑπεραίρεσθαι, ἀλλὰ περὶ τὴν μητέρα γῆν κυπτάζειν καὶ ἐννοεῖσθαι ἀναστρέψομεν, καὶ οὕτω κάτω βάλλειν πᾶσαν ἔπαρσιν καὶ ἅπαν φρόνημα κοῦφον, καὶ μὴ κατὰ θεὸν μετεωριούμενον· μάλιστα δὲ ἄλλως γῆ πίων διὰ || [Ms. fol. 112 b.] τοῦ μὴ πέτραις πληθύειν, ὅσαι μὴ πρὸς θεῖον σπόρον αὐλακίζονται, μηδὲ μὴν ἀκάνθαις θάλλειν συμπνιγούσαις τὰ κατὰ τὸν θεὸν σπέρματα.

52. Τοιούτοις δὲ λόγοις καὶ εἰς θάλασσαν μεγάλην ἕξομεν καὶ εὐρύχωρον ἐκπετάννυσθαι διὰ τοῦ ἐλεεῖν καὶ εὐεργετεῖν, καὶ οὕτω τρέφειν ζῶα, οὐ μόνον μικρά, ἐφ' οἷς βραχεῖα καὶ ἡ δαπάνη, ἀλλὰ καὶ μεγάλα, ὧν ἀδροτέρα καὶ ἡ τροφή· καὶ ἅλμην δὲ τοῖς ἐθέλουσιν ἐνδαψιλεύεσθαι αὐτὴν πικράν, ἐξ ἧς ἀνήρ τις παλαιὸς ὑπόπικρος Ἀλμίων παρωνομάσθη, ἀλλὰ τὴν λοιπήν, τὴν νόστιμον, τὴν τῷ θείῳ συστοιχοῦσαν ἅλατι, ἐφ' ἧς καὶ παροιμιάζεται τὸ μὴ ἅλμην ἔχειν ἐπὶ τῶν ἀηδεστέρων ἀνδρῶν, καὶ ὡς εἰπεῖν ἀναρτύτων· ἐφ' ὧν κατά τινας καὶ τὸ ἄναλτον ἥρμοσται.

53. Λόγῳ δὲ ἀναλόγῳ οὕτω καὶ εἰς ἀέρα, εἴτε καὶ αἰθέρα, λαμπροὺς καὶ ἀμφοτέρους, διασκευάσομεν ἑαυτοὺς τῷ ζωογόνῳ καὶ εὐπνόῳ καὶ καθαρῷ, διὰ τὸ κατὰ ψυχὴν ἀνέφελον καὶ τῇ δι' αὐτοῦ ἀνελεύσει τῶν οὐρανίων νόων, διὰ τῆς ἐναρέτου κλίμακος, πολλοῖς δὲ καὶ ἄλλοις τρόποις, οἷς καὶ ἡμεῖς βραχυλογοῦμεν· ἀλλ' ἡ καρδία ὑμῶν πεπλάτυνται. Διόπερ οὐδὲ μακροτέρας ἐφίεσθε διδασκαλίας, ἐφ' οἷς καὶ ἑτέρους διδάσκειν δύνασθε, ὅτι μηδὲ χρὴ λυχνίσκον, ἢ φανίον, ἤ τινα λαμπτῆρα ζητεῖν, φωτὸς γραφῶν ἱερῶν αἰθριάζοντος ἡλιακοῦ, καὶ τὴν ὁδὸν ὑποδεικνύντος. Οὐδὲ ἔχομεν καὶ αὐτοὶ ἕκαστος ἄρτι κατὰ τοὺς μήπω συνετισθέντας, ὅποι χρὴ ὁδεύειν, λέγειν πρὸς τὸν μέγιστον διδάσκαλον· γνώρισόν μοι, κύριε, ὁδόν, ἣν πορεύσομαι. Πάντες γὰρ ἐπιστημόνως οἴδαμεν, ὅποι τε βαδιστέον ὀρθήν, καὶ ὅπου ἐκτραπέσθαι χρεών. Ἴσμεν ἅπαντες, ὡς ὀρθὴ μὲν ἡ κατὰ θεὸν πρᾶξις, ἐκτροπὴ δὲ ὁ ἐκεῖθεν πλαγιασμός, κατὰ τὸν παραγγείλαντα, ἐκκλίνειν μὲν τὸ κακόν, ποιεῖν δὲ τὸ ἀγαθόν. Οἴδαμεν, ἔνθα χρὴ καταλύειν καὶ παραμένειν, καὶ πάλιν ἔνθα δέον παρατείνειν εἰς πλέον τὰ τῆς ὁδοῦ. Μενοῦμεν γάρ, καταλύσαντες ἐν τῇ τοῦ θεοῦ ἀγάπῃ· παρατενοῦμεν δὲ τὸν δρόμον, ἔνθα λῃσταὶ ὑφεδρεύουσι λογισμοί. Οὐ μία ἡμῖν τρίβος ὑπέστρωται βίου, ἀλλὰ πολυσχιδής, ὥσπερ ἡ εἰς τὰ φαῦλα, οὕτω καὶ ἡ εἰς τὰ κρείττονα. Εἴπωμεν οὖν, καθάπερ ἐπὶ κακίας, ὡς, εἴτε ταύτην ἢ τὴν ἑτέραν ἢ τὴν ἄλλην βαδιούμεθα,

πλανησόμεθα τῆς ὀρθότητος, οὕτω καὶ ἐπὶ ἀρετῆς, ἵτι, ὁποίαν στελούμεθα, εἰς τὸν πλουσιώτατον καὶ εὐδιάκριτον ξενοδόχον θεὸν καταιτήσομεν.

54. Τούτων οὕτω συμπερανθέντων ἡμῖν, εὐλαβοῦμαι, μήποτε δυςκόλως ταῖς ἡμετέραις εὐχαῖς ἀντιβήσονται, εἰ καὶ μή τινες ἄλλοι πτωχοί, ἀλλ᾽ οὖν οἱ χρεωκοπούμενοι, οὓς ὀξεῖαι ὀδύναι δύνουσιν, ὃ δὴ λέγεται, κατὰ τὰς (ἱερῶς εἰπεῖν) ὠδινούσας καὶ ἐγγιζούσας τοῦ τεκεῖν, διὰ τὸν ἀλιτήριον τόκον, τὸν ἔκφυλον, τὸν θεομισῆ, τὸν παρὰ φύσιν, τὸ κάκιστον θηρίον, τὸ παμφάγον· οὗ μυριάκις μὲν καθυλακτήσαμεν, ὅσα καὶ λυσσητῆρες κύνες, οὐκ ἔσχομεν δὲ οὕτω τοῦ φωλεοῦ ἐκσπάσαι, εἰς ὃν κρύπτεται (κρύπτεται δὲ ἐν ταῖς τῶν πλειόνων ψυχαῖς), οὐδὲ μὴν ἐκφοβῆσαι, Ms. fol. 113. a. ὡς μὴ προπηδᾷν καὶ λαφύσσειν || καὶ σπαράσσειν τοὺς ἐλεεινοὺς πτωχούς.

55. Ἔδοξεν οὖν μοι, ἀπὸ τῆς ἄρτι σεσιγῆσθαι. Βλέπω γάρ, ὅτι, ἐς ὅσον ἐγὼ τὰ τῶν ἱερωτάτων γραφῶν ἀναβοῶμαι τοῖς τοκογλύφοις, τοσοῦτον αὐτοὶ ἐκβαίνονται εἰς πολυτοκίαν· καὶ οὕτω τὰ ἐμὰ διδασκάλια, δι᾽ ὧν ἀναστέλλειν πειρῶμαι ὡς διά τινος ἐπαοιδῆς τὴν τοῦ θηρίου ἀγριότητα, ἐμβοήματα κρίνονται, δι᾽ ὧν αὐτὸ ἐρεθίζεται καταπηδᾷν καὶ βλάπτειν τοὺς τῷ θεῷ μὲν ἠλεημένους, ἀδελφοὺς δὲ ἡμῖν λογιζομένους, καθὰ καὶ θρέμματα πίονα, ὧν καὶ γάλα καὶ σάρκας καὶ δέρμα καὶ ἔριον εἰς χρήσιμον οἱ οἰκοδεσπόται προςφερόμενοι, καὶ μηδ᾽ αὐτῶν τῶν εἰς βρῶσιν ἀχρείων ἀπεχόμενοι, αὐτὰ βοτάναις ἀφιᾶσιν ἐντρέφεσθαι καὶ θαλλοῖς. Ἠ γὰρ οὐχ οὕτως ὀφειλέταις καὶ ἡμεῖς προςφερόμεθα; Καὶ μακάριον, εἴπερ οὕτως· νῦν δὲ καὶ χεῖρον διατιθέμεθα ἐπ᾽ αὐτοῖς. Θρέμμασι μὲν γὰρ τοῖς κτηματικοῖς καὶ κλίσιον ἀνεγείρομεν, καὶ μάνδραν γυροῦμεν, καὶ σταθμοὺς ἑτεροίους περιγράφομεν, καὶ συρφετὸν κειμηλιοῦμεν εἰς τροφὴν χειμέριον, καὶ ἀμέλγειν αὐτὰ ὀκνοῦμεν, ὅτε ὁ τοῦ γάλακτος αὐτοῖς ὀχετὸς οὐ πέπληθε· καὶ ποιμένας ἐφιστῶντες, τοῦ τε μὴ ψωριᾷν προμηθούμεθα, εἴτε καὶ ἄλλως καχεκτεῖν· κηδόμεθα δὲ καί, πηνίκα καιροῦ καὶ ποῖ ποτε λειμῶνος βοσκήσονται· καὶ τοῦ ἐρίου δὲ ψιλοῦμεν, ὅτε οὔτε ψυχῆς δάκνει δριμύττον εἰς ῥίγωσιν, ἀλλὰ καὶ τὸ ἔριον αὐτόματον καταῤῥέει, καὶ εἰ μὴ τάχιον ἀφαιρεθῇ, ἀκάνθαις ἁρπάζεται καὶ κολλᾶται, ὅπου χρεία οὐδεμία. Ἡμεῖς δὲ οὐδέν τι τοιοῦτον ἐπὶ τοῖς ἐλεεινοῖς τούτοις τοῦ θεοῦ διοικονομούμεθα θρέμμασιν, ἀλλὰ μηδεμίαν κηδεμονίαν ἐν αὐτοῖς ἐνδεικνύμενοι, ἀποικίζομεν, ἐκπιέζομεν ὁσημέραι, λιμαγχονοῦμεν, γυμνοῦμεν, ἀπεσθίομεν τεραστίως, οὐ καθὰ γῦπες νεκρούς τινας, ἀλλ᾽ ὡς ἀετοὶ τὸν ἐπὶ σκόλοπος Προμηθέα ἐκεῖνον, καὶ οὕτως ἀνεψήτοις ἀνθρωπίνοις ἐντρυφῶμεν κρέασιν.

56. Ἀπάγαγε, φιλάνθρωπε κύριε, τὴν ἀπάνθρωπον ταύτην φιλοτησίαν, καὶ παντὸς μὲν ἄλλου Χριστιανοῦ, καὶ ἡμῶν δέ, οἳ ἀνθρωποφαγοῦντες ψευδόμεθα τὴν κατ᾽ ἄνθρωπον ἡμερότητα. Δὸς ἡμῖν λογίσασθαι, ὅτι κάλλιον, καθάπαξ ἀφεῖναι τὸν ἀδελφὸν ἐγχανόντα θανεῖν, ἤπερ ἐπὶ πολὺ στρεύγεσθαι χαλεπωτάτῳ λιμῷ. Ὁδήγησον ἡμᾶς ποιεῖν, ὃ καλῶς δυνάμεθα. Δυνάμεθα δὲ θεοὶ γενέσθαι κατὰ τὸ παράγγελμά σου, ὃς οὐδὲν οὔτε ἀδύνατον, οὔτε ἄηθες παραδέδωκας. Δοίης, μὴ ποιεῖν ἡμᾶς, ὅσα κακῶς δυνάμεθα· κακία δὲ δυνάμεως τοιαύτης, τὸ δαιμονᾷν, καὶ τῷ διδασκάλῳ τῆς φαυλότητος ἐπακολουθεῖν. Διδάξαις, γίνεσθαι τοῦ οὐρανοῦ, εἰς ὃν αὐτὸς προεκαλέσω ἡμᾶς, κατελθών, ἵνα ἀναβῶμεν, ταπεινωθείς, ὡς ἂν ὑψωθῶμεν. Μὴ ἐάσαις ἡμᾶς τοῦ ταρτάρου γενέσθαι, εἰς ὃν πειρᾶται κατάγειν ὁ ἄνωθεν πεσών, καὶ τὸ ἀνθρώπινον ἐθέλων συγκατενεγκεῖν, ἵνα ἀπεναντίας τῷ ἐθέλοντι πλείω γίνεσθαι τὰ εὐεργετούμενα πληθυνεῖ αὐτὸς τὰ κακοποιούμενα, καὶ συμμερίτας || ἔχῃ πλείονας τῆς κολάσεως. Ms. fol. 113. b.

57. Ἤθελον εἰς ἔτι πλείω διδάσκειν, ὦ ἀδελφοὶ καὶ φίλοι, ἐπεὶ μηδὲ πάντῃ τὴν ἐμὴν κλέψυδραν τὸ τοῦ λέγειν ὕδωρ ἐπιλέλοιπεν· Ἀλλ᾽ ὅτι κἀντούτοις τὸ μέτριον συγκροτεῖται, βραχύτατόν τι προςθεὶς πεπαύσομαι.

58. Μετεχειρίσατο κόσκινον ὁ θεὸς (οὐ μακροὶ οὗτοι ἐνιαυτοί), δι᾽ οὗπερ ἡμᾶς, ὄντας μὲν πρὸς ἀλήθειαν σίτους θεοῦ, συνιαθέντας δὲ τῷ ἐξαιτησαμένῳ ἡμᾶς Σατανᾷ, καὶ συναναμιγέντας οὐκ ἀγαθοῖς σπέρμασι τοῖς ἐκ τῆς ἀντιπέραν ἠπείρου, καὶ τὴν σπόριμον εὐχρηστίαν ἀπειπαμένους, διέκρινεν ἀγαθοῦ γεωργοῦ δίκην, καὶ τὰ συγκεχυμένα εὐκρινήσας ἀπεκατέστησεν, εἰς ὅπερ ἦμεν. Καὶ ἰδοὺ ἐσμὲν ἐν καλοῖς. Σπεύσωμεν οὖν δι᾽ ἐντεύξεων, μὴ πάλιν αἴραις καὶ ζιζανίοις φύρδην ἀναχρωσθῆναι, δι᾽ ὧν ἀχρειώσομεν τὴν κατὰ πνεῦμα σιτοποιΐαν, καὶ τὴν ἀκόλουθον ζύμην, καὶ τὸ ἐπ᾽ αὐτῇ καλὸν φύραμα. Πραγματευσώμεθα, μὴ καὶ ἄθετοι τῷ οὐρανίῳ ἄρτῳ γενώμεθα, καὶ οὐδὲ τοῦ μυστικῶς ἐλπιζομένου σιτευτοῦ μόσχου ὦμεν ἄξιοι, μηδὲ κλιβάνῳ κολαστικοῦ πυρὸς ἀποκληρωθῶμεν, ἀνθ᾽ ὧν ἄλλως ἔδει καπυροὺς ἄρτους τῇ τοῦ δεσπότου θεοῦ προςενεχθῆναι τραπέζῃ, καὶ γενέσθαι εἰς βρῶσιν, ἣν αὐτὸς φιλεῖ προςφέρεσθαι, οἰκειούμενος ἡμᾶς φιλανθρώπως δι᾽ ἀγαθότητα συνουσιωμένην αὐτῷ πρὸ αἰώνων καὶ εἰς πάντας αἰῶνας. Ἀμήν.

Εὐσταθίου μητροπολίτου Θεσσαλονίκης ἀλληλογραφία, προτεθειμένη πεῖσαι τοὺς θείους ἀδελφούς, μὴ σκορακίζειν τὸν θεοφίλτατον ἐφέσει τῆς τοῦ ἱερωτάτου κλήσεως. Ὑπόκειται δὲ ὁ διάλογος μέσον δυοῖν· ὧν ὁ μὲν παρὰ τὸ ἱερὸν ὠνόμασται Ἱεροκλῆς, ὁ δὲ παρὰ τὸ θεῷ φίλον Θεόφιλος, οἰκείως αὐτὰ καὶ προςφυῶς τῷ προκειμένῳ ζητήματι. Προλογίζει δὲ ὁ Θεόφιλος.

1. Θεόφιλος. *Πότερον, ὦ Ἱερόκλεις, ἔστι τις εὐτυχία καὶ ἐν ὀνόμασιν;*

Ἱεροκλῆς. *Ναί, ὦ Θεόφιλε.*

Θεόφιλος. *Καὶ πῶς ἄρα τοῦτο; Δοκεῖς γάρ μοι ἔξω τόπου ἀποκρίνασθαι.*

Ἱεροκλῆς. *Ὅπως; Ὡδί. Εὐτυχεῖ γάρ τις, οὐ μόνον ἐν εὐκληρίᾳ βίου ἀναστρεφόμενος πραγματικῶς, ἀλλὰ καὶ ὀνομαζόμενος, εἴτ' οὖν* εὐωνυμούμενος— *Πίνδαρος ἂν εἴπῃ, ὃς* εὐωνύμους τοὺς περικλύτους *καλεῖ, δριμέως φράζων ἐκεῖνος. Καὶ ἰδοὺ εὐτυχία τις ἀνθρώπῳ αὕτη καὶ ἐν ὀνόμασιν, ἑπομένοις τοῖς πράγμασιν, ἐπειδὴ καὶ σοφοῦ γνώμη, τὰ ἔργα τοὺς λόγους εὑρίσκεσθαι. Θεωρῆσαι δὲ τὸν λόγον τοῦτον καὶ ἐν τοῖς ἀνάπαλιν· ἔστι καὶ δυςπραγεῖν ἐν ὀνόμασιν, ὅτε τις ἀγαθὸς ὢν ἀνήρ, καὶ μηδέν τι πλέον τῶν κακιόνων φερόμενος, κακωνυμεῖται, οὔτε ἁδρὸν κλέος εὑρίσκων, οὔτε ἀμυδρόν, οὐδὲ ἐκφαινόμενος χρηστῇ φήμῃ, ἀλλ' ὡς ὑπὸ ζόφῳ σβεννύμενος.*

2. Θεόφιλος. *Σοφίζῃ, ὦ Ἱερόκλεις, καί με περιέρχῃ, οὐ κατ' εὐθύ, ἀλλὰ τὸ τῆς ἐρωτήσεως ὁμωνυμοῦν λαβὴν ἐνδεδομένην σοι εὑρηκώς, ἑλὼν ἄγχεις με. Ἠρώτησα δὲ αὐτὸς οὐκ, εἴπερ ἐστὶν ἀνθρώποις εὐτυχεῖν καὶ ἐν τῷ ὀνομάζεσθαι, ἀλλ' εἴπερ οὐσιωδῶς* Ms. fol. 114. a. *εὐτυ || χία τις ἀποκεκλήρωται καὶ αὐταῖς δὴ καταμόνας ταῖς λέξεσιν; Αὐτὰς γὰρ ἐγὼ ἔφην ὀνόματα. Τί δὴ πρὸς τοῦτο μειδιᾷν σοι ἐπῆλθεν, ὦ Ἱερόκλεις; Μήτι καὶ ἄρτι τὴν ἐρώτησιν εἰς ὁμωνυμίαν σχίζεις;*

Ἱεροκλῆς. *Οὐ κατάγελως, ὦ φιλόθεε, τοῦτο μειδίαμα· πορφύρει δὲ ἱλαρὸν ἡ ὄψις ἐνταῦθα κατὰ ψυχῆς φίλιον κατάστημα. Θάῤῥει δέ, ὡς ἠρώτησας τὸ δεύτερον μοναχῶς τε καὶ ἀσφαλῶς.*

3. Θεόφιλος. *Καὶ τί δὴ λέγεις πρὸς τὸ ἀσχιδὲς τοῦτο πύσμα;*

Ἱεροκλῆς. *Τί ποτε ἄλλο, ἢ ἀποφάσκω; Φημὶ γάρ, μήτε εὐτυχίαν, μήτε δυςτυχίαν ἐπαληθίζεσθαι ταῖς φωναῖς. Φωνὴ μὲν γὰρ οὐδεμία οὐσίωται, εὐτυχεῖν δὲ καὶ δυςτυχεῖν οὐσίαις τισὶν ἐπιλέγεται.*

Θεόφιλος. *Ὡς εὖ γε εἶπας, ὦ Ἱερόκλεις.*

Ἱεροκλῆς. *Τίς δή, ὦ Θεόφιλε, ὁ σκοπός σοι τοῦ οὕτω προβληματίσασθαι; Οὐ γὰρ δήπου τηνάλλως οὕτω προὔτεινας.*

Θεόφιλος. *Ἀνακαλύψω σοι μέμψιν ἐμήν, ἣν μέμφομαί τινας ἐπὶ ὀνομάτων ἐκλογῇ καὶ ἀπεκλογῇ.*

Ἱεροκλῆς. *Ποίᾳ ἐκείνῃ;*

4. Θεόφιλος. *Πολλαῖς μὲν καὶ ἄλλαις, ἐν δὲ ταῖς καὶ τῇ τοῦ* ἱεροῦ *καὶ τοῦ* θεοφιλοῦς. *Εὑρέστηται γὰρ διαφόροις ἐπισκόποις τε καὶ λοιποῖς, τὸ μὲν* ἱερὸν *ὄνομα καὶ τὴν αὐτοῦ ὑπέρθεσιν ὑψοῦ καθίζειν, τὸ δὲ* θεοφιλὲς *καὶ τὴν αὐτοῦ ἐπίτασιν ὑποβάθμιον πάνυ τι καθιστᾷν. Ἀμέλει τοι καὶ* ἱερώτατος *μέν τις ἀκούσας, οὐράνιος εἶναι φαντάζεται·* θεοφιλὴς *δέ, εἴτε* θεοφιλέστατος, *ἀλλ' αὐτὸς οὐκ οἶμαι ὡς οὐχὶ καὶ ἐγκαλύπτεται, οἷα περιυβριζόμενος. Διὸ καὶ αὐτὸς ἐγὼ ἐξοστρακίζειν ἐθέλων τὸ* θεοφιλές, *πολιτογραφῶ ἀντ' αὐτοῦ τὸ* ἱερόν, *καὶ λογίζομαι ἀγαθόν τι ποιεῖν, καί που καὶ ἐμαυτὸν αἰσχύνομαι, εἰ καλοίμην* Θεόφιλος, *οὐ μὴν* ἱερόθεος, *ἤ τι τοιοῦτον ἄλλο ἐξειλεγμένον τοῖς πλείοσι· καὶ σὲ δὲ ζηλῶ τοῦ* ἱεροῦ *κλέους, ὃ προγράφεταί σοι, καὶ μακαρίζω τοὺς γειναμένους, ὅτι σε τοιαύτῃ παρωνυμίᾳ ἐκλέϊσαν. Πυνθάνομαι δή σου, ὦ κληρονομήσας ὀνόματος τηλικοῦδε, τί ποτε καταρτίσεις φρονεῖν με περὶ τούτων τῶν ὀνομάτων; Μήποτε γὰρ εὐτυχεῖ μὲν θατέρα λέξις ἡ κατὰ τὸν* ἱερόν, *καὶ διὰ τοῦτο ἐρᾶται καὶ ἐπιθυμίαν ἐφέλκεται πλείστα· ἡ δὲ λοιπή, καὶ ταῦτα λαμπρῶς ἐσταλμένη, καὶ θεοῦ φιλίαν ἀγγέλλουσα, οὐκ ἐπισύρεται φίλους, ἀλλὰ παραβλέπεται ὡς οἷα καί τις δυςπρόςοπτος. Ἐγὼ μὲν οἶμαι, πάνυ πολὺ σεμνότερον εἶναι καὶ κόσμιον τὸ* θεοφιλὲς *τά γε εἰς προφανῆ φράσιν, ἤπερ τὸ* ἱερόν· *ἐθέλω δὲ καὶ τὴν σὴν ψῆφον προςεπιτεθῆναι, εἴ πως οὕτω κυρώσω κράτος οἷς || λογίζομαι.* Ms. fol. 114. b.

5. Ἱεροκλῆς. *Ὅτι κατακύπτω εἰς τὸ βάθος τοῦ* ἱεροῦ, *καὶ διορῶμαί τι οὐκ ἐπιπολῆς φερόμενον, ἀλλ' οἷον ἐθέλειν ὀξύτητα βλέμματος.*

Θεόφιλος. *Ποίαν δή τινα;*

Ἱεροκλῆς. *Τοιαύτην, ὦ Θεόφιλε. Ὀνόματα, εἴτ' οὖν λέξεις τινάς, ἀφωσίουν ἀποκληρωτικῶς τοῖς θείοις πράγμασιν οἱ παλαιοί.*

Θεόφιλος. *Ποῖα ἐκεῖνα, ὦ Ἱερόκλεις;*

6. Ἱεροκλῆς. *Ὡς μάλα μυρία· πρὸς δὲ τὸ ἐνεστὼς ἐξ ὀλιγίστων ἐναγαγεῖν σε βούλομαι εἰς τὰ ὅλα.*

Μυεῖν ἐκεῖνοι ἔθεσαν οὐ τὸ ἁπλῶς διδάσκειν, ἀλλὰ τὸ ἐν ἀποῤῥήτῳ παραδιδόναι, ἃ θεῷ οἰκεῖα καὶ τοῖς κατ' αὐτὸν ἐνθεάζουσι· καὶ μύστας ὠνόμαζον, ὅσοις ἐξεγένετο τοιαῦτα μαθεῖν διδασκάλια, ὧν καὶ ἐκφερομένων εἰς ἀκοὰς βεβήλους, θάνατος ἐπεψήφιστο τοῖς ἐκλαλήσασι. Τό τε δὴ μυεῖν εὐαγὲς ἦν, καὶ τὸ τελεῖν, καὶ ἡ κατ' αὐτὸ τελετή, καὶ τὸ εὐάζειν, ᾧ συνομαρτεῖ καὶ ὁ Εὔϊος· εὐάγητον δὲ καὶ τὸ ἐποπτεύειν, καὶ τὸ θύειν, καὶ τὸ εὔχεσθαι, καὶ ὁ ἀρητήρ, καὶ ἡ ὀμφή, καὶ ἡ κληδών, καὶ ἡ ὄσσα, ἢ δέ ποτε καὶ τὸ ὀλολύζειν. Τί οὖν, ὦ Θεόφιλε; Ζητήσεις καὶ ἄλλα τοιαῦτα παρατεθῆναι, ἢ ἀρκούντως ἐνήγαγέ σε ταῦτα, εἰς ὅπερ ἐχρῆν;

7. Θεόφιλος. Ἔβαψα εἰς τὸ νόημα, ἐφ' ὅσον ἔδει, καὶ οὐκ ἐθέλω πλείω τοιαῦτα συνείρεσθαι. Ἀλλὰ τί μοι αὐτὰ πρὸς τὴν τοῦ ἱεροῦ ἔννοιαν καὶ τὴν κατ' αὐτὸ θείαν σεμνότητα;

Ἱεροκλῆς. Αὐτό σοι τοῦτο, ὦ Θεόφιλε, ὁ λόγος ἥκει δηλώσων, ὅτι θεῖον ὄνομα καὶ μυστικὸν οὐχ ἧττόν τι τῶν ἄλλων καὶ ὁ ἱερὸς καὶ ὅσα τούτῳ σύστοιχα, τὸ ἱερᾶσθαι, τὸ ἱερατεύειν, τὸ ἱερεῖον, καὶ εἴ τι ἄλλο συμφωνεῖ τούτοις.

Θεόφιλος. Ταχὺ οὖν, ὦ Ἱερόκλεις, ἀναπτύξας πέραινε τὸν τοῦ λόγου σκοπόν. Ἐγὼ γὰρ σφαδάζω ἀμφαγνοῶν, ὅπως ἂν καταστήσῃς, ὃ προέθου, καὶ οὐκ ἔχω διαβλέψαι τρανὲς εἰς τὸ τέλος.

8. Ἱεροκλῆς. Ἄκουε, ὦ Θεόφιλε. Δύο ταῦτα ἐν τοῖς πάλαι ποτὲ σεμνὰ ἐπιφθέγματα παραδέδοται, γοργά τε καὶ καθαρὰ τὴν ἀπήχησιν, εἰ καὶ ἄλλως οὐ λάμποντα πρὸς σαφήνειαν, τὸ ἴε καὶ τὸ ἰή. Καὶ τὸ μὲν ἴε δοκεῖ παρακελεύεσθαι, καθά που καὶ τὸ ἄγρει, καὶ τὸ φέρε, καὶ τὸ ἄγε· καὶ ἔστιν αὐτοῦ σημασία τὸ πέμπε. Διὸ καὶ δασέως προσπνεῖται ἡ τῆς λέξεως ἄρχουσα. Τὸ δὲ ἰὴ οὐ τοιοῦτόν ἐστι κατ' οὐδέν· οὔτε γὰρ κέλευσμά τι ἐμφαίνει, οὐδὲ μὴν δασὺ πνεῦμα ἔχει. Ἐπιλαλεῖται κατ' ἐνθουσιασμόν. Καὶ τοῦ μὲν πρώτου ὑπόδειξις ἐν τῷ ἴε, παῖ, ὅπερ ἐστὶ πέμπε, ἢ βέλος δηλονότι ἐπίκουρον, ἢ ἄλλο τι βοηθητικόν· ἀφ' οὗπερ οὐ μόνον Ἤϊος ὁ οὕτως ἱείς, εἰπεῖν δὲ ταὐτὸν ἀφιεὶς πρὸς βοήθειαν, ὡς εἴπερ ἦν Ἰήϊος ἐν τετράδι συλλαβῶν· ἀλλὰ καὶ ἵλαος, ὁ ἱεὶς δηλαδὴ βλέμμα θειότερον. Τοῦ ὁρᾶν γὰρ εἰς τὸ λάειν μετειλημμένου, εἴη ἂν ἵλαος, πρώτιστα μὲν θεός, ὁ παντέφορος, ὃς καὶ ἱλήκοι τοῖς τε ἀξίοις καὶ ἡμῖν, Ms. fol. 115 a. || εἶτα καὶ ὁ πρὸς θεὸν διορατικῶς ἐκτυπούμενος. Καὶ οὕτω μὲν ἐν ἐδαφίῳ ἀρχαίῳ τὸ ἴε κείμενον παραδέδεικται. Τοῦ δὲ ἰὴ πλατυτέρας οὔσης ἐν τοῖς παλαιοῖς προφορᾶς, πρόχειρος ἡ ἐν τῷ ἰή, παίων, οὗ δήλωσις μεταληπτικὴ τὸ ὦ θεραπευτά, εἴ τις ἐνθυμοῖτο, παιῶνα τοῦτον λέγεσθαι τὸν ἰατρικῶς θεραπεύοντα· καὶ ἔοικεν ἴασιν ὑπεσχῆσθαι, ἢ προκαλεῖσθαι θεόθεν τοὔνομα. Τοιούτοιν ὄντοιν τοῦ ἴε καὶ τοῦ ἰή (πολυῤῥημονεῖν γὰρ εἰς πλέον οὐκ ἂν ἐθέλῃς ἡμᾶς, ὦ Θεόφιλε), τοῦ ἴε φαίνεται (καὶ οὐδὲ ἀπαρέσκει τοῖς πατράσι τῶν τοιούτων μεθόδων) παρειλκύσθαι τὸ ἱερὸν καὶ τὴν κατ' αὐτὸ συστοιχίαν ἅπασαν. Νοεῖς ἡμᾶς λαλεῖν τι καλόν, ἢ στησόμεθα τοῦ περαιτέρω λέγειν, μὴ καὶ γελώμεθα;

9. Θεόφιλος. Εὖ με προσβιβάζεις, ὦ Ἱερόκλεις· καί πως ἤδη λεπτυνάμενος εἰς νοῦν καὶ ἰσχνολογεῖν ἐπιπνευσθείς, ἐπιβάλλω, ἱερὸν εἶναι, ἀφ' οὗ ἵεται ῥῶσις.

Ἱεροκλῆς. Εὐστόχησας, ὦ Θεόφιλε, καὶ λαχὼν ἀρχὴν πέρας ἔσχες, ὃ δὴ παροιμιάζεται. Παῤῥησιάσασθαι δὲ τὸ ἀφθόνητον, καί τι βαθύτερον ἡμῶν διεώρακας. Ἡμεῖς μὲν γὰρ ἐνενοοῦμεν, ὡς παρὰ τὸ ἴε ὁ ἱερὸς πρὸς ὁμοιότητα τοῦ διερός, καὶ κρατερός, καὶ τῶν ὅσα τοιαῦτα· σὺ δὲ γλαφυρώτερον περιενοήσω, ῥῶσιν ἐμφαντασάμενος τῷ τοῦ ἱεροῦ ὀνόματι. Καὶ ἐχέτω οὕτως, καὶ γένοιτό σοι φιλοσοφεῖν καὶ τὸν τρόπον τοῦτον, εἰ καί τινες δυσαρεστοῦνται, στρυφνοί γε αὐτοὶ ὄντες καὶ δυσέντευκτοι καὶ ἀθιγεῖς τῶν κάτω καὶ χαμερπῶν ῥημάτων τε καὶ πραγμάτων· οἳ οὐ μόνον ἄκρων ἐπ' ἀνθερίκων ἐξανεμοῦνται θέειν, ἀλλὰ καὶ Πήγασοι ἀερσιπότητοι φέρονται, περιφρονοῦντες τὴν φυσιολόγον γραμματικήν. Συλλήψεταί σοι καὶ Πλάτων αὐτὸς τοῦ πονήματος, ὁ τὴν φιλοσοφίαν μετάρσιος· καὶ γάρ τοι κ ἱ αὐτὸς ἔχαιρεν ἀναπτύσσων ὀνόματα, καὶ τὴν ἐν αὐτοῖς θεώμενος ἐγκύκλιον φυσικὴν ἐτυμότητα. Ἔχεις δὴ οὖν, τὰ μὲν μαθών, τὰ δ' αὐτὸς ἐξευρών, θείᾳ φύσει ἐπιπρέπουσαν τὴν τοῦ ἱεροῦ κλῆσιν· καὶ εἴποι τις ἂν θαῤῥούντως, τὸ μὲν ἱερὸς αὐτῶν ἐξῆφθαι, τῶν θείων καὶ θεοῦ αὐτοῦ κολλώμενον, οἷον, ἢ ἐμφυόμενον, καὶ οὕτω πως οἰκειούμενον· ἐκεῖθεν δὲ μεταῤῥυΐσκεσθαι τὸ σεμνὸν καὶ ἐπὶ τὸν ἱερέα, καὶ ἐπὶ τὰ κατ' αὐτόν, καὶ μάλιστα ἐπὶ τὸν ἐν τοῖς τοιούτοις προάρχοντα. Καὶ οἶδας πάντως τὸν καὶ πρῶτον καὶ μέγαν καὶ ὄντως ὕψιστον ἀρχιερέα, τὸν ὅλον ἵλαον, τὸν ὅλον σωτηρίαν, ὃς ἡμᾶς ὁσίους αὐτῷ καθιεροῖ, καὶ τοῦ τοιούτου ἀγαθοῦ μεταδίδωσι καὶ κλήσει καὶ πράγματι. Κατέχεις ἤδη γνούς, οἶμαι, ὦ Θεόφιλε, οἷός τις ὁ ἱερεύς, πηλίκος δὲ ὁ ἀρχιερεύς, ὁποῖα δὲ καὶ τὰ λοιπὰ τοῦ τοιούτου στοίχου.

10. Θεόφιλος. Πάνυ λίαν τὰ τοιαῦτα μετεώρισας, Ἱερόκλεες. Καὶ τὸ μὲν ἱερὸν παρέστησας τῷ θεῷ, καὶ παρ' αὐτῷ ἀφῆκας μένειν, καὶ ᾠκείωσας εἰς ἐγγύτητα· τὸ δὲ θεοφιλὲς ἀπόῤῥοιαν ἀφῆκας ἐξ
Ms. fol. 115 b. ἐκείνου οἶμαι εἰς τοὺς || αὐτῷ φίλους ἐπισταλάξασθαι.

Ἱεροκλῆς. Οὕτως ἔχει, ὦ Θεόφιλε. Οὐκοῦν ἱερεὺς μὲν ἐκεῖνος εἰς τὸν αἰῶνα, καὶ ἀρχιερεὺς δὲ σεμνότατα δοξάζεται· τὸ δὲ θεοφιλές, οὐκ οἶδα τῷ τέως, ὁποίᾳ λόγου διαθέσει προσφυὲς τῷ θεῷ ἔσται. Δοκεῖ γὰρ τὰ τοιαῦτα μὲν οἰκείως αὐτῷ ἐπιλέγεσθαι, ἀνθρώποις δὲ φίλοις αὐτῷ τὸ θεοφιλές.

Θεόφιλος. Μηκέτι, ὦ Ἱερόκλεις, πλείω ποιεῖσθαι μελέτα. Ἤδη γὰρ κατελαβόμην ἱκανῶς, τὸν ἱερόν, καὶ ἔτι πλέον τὸν ἱερώτατον, εὐαγὲς εἶναι ῥῆμα καὶ σεβάσμιον καὶ ἅγιον καὶ μονῆρες εἰς ἔννοιαν, ὡς μὴ ἂν ὑπεῖναί τι διπλόης ἔς γε τὸ μὴ θεῖον, καὶ θεῷ φίλον ὄνομα καὶ αὐτὸ εἶναι, μηδὲ μὴν σχίζεσθαι καὶ εἴς τι ἕτερον μὴ τοιοῦτον. Καὶ καλῶς γε ἄρα φιλοῦσιν ἄνθρωποι διὰ ταῦτα ἱερωνυμεῖσθαι.

11. Ἱεροκλῆς. Βλέπε, ὦ Θεόφιλε, τὴν ἀνεξέταστον κρίσιν, ὡς οὐ βέβαια ἐπιβάλλει ἀποφαίνεσθαι. Διὸ καλῶς ἀποπέφανται, ὡς οἱ ταχεῖς φρονεῖν οὐκ ἀσφαλεῖς ἀποβαίνουσιν. Οὕτω γοῦν καὶ αὐτὸς ἐπισχών με τοῦ περαιτέρω λαλῆσαι καὶ σκεψάμενον ἀκριβώσασθαι τὸ προκείμενον, καὶ ταχὺ νοήσας αὐτός, τὰ μὲν ἄλλα καλῶς ἐπιβέβληκας· ἓν δέ τι οὐκ ἂν ἔχοις εἰπεῖν, ὡς προσίεται καὶ αὐτὸ ἡ λεκτικὴ ὀρθότης. Ἀγχιδὲς γὰρ εἶναι τὸ ἱερόν καὶ ὡς σὺ φῄς, μονῆρες κατὰ τοῦν θεῖον, οὐχ ὡμολόγηται, καὶ πως τύχῃ τινί, οὐκ ἂν εἴποιμι, αἰσίᾳ. Τήν τε ἀρχὴν ἐξ αὐτῆς βαλβῖδος λόγου ἀπεπλάνησέ σε τῆς ὀρθῆς ἡ ὁμωνυμία ἐκείνη, τῆς ἐν λόγῳ συνθήκης· καὶ νῦν δὲ εἰς τὴν τοῦ ἱεροῦ σημασίαν ὁμοίῳ δή τινι λόγῳ προσέκοψας.

Θεόφιλος. Πῶς ποτε, ὦ Ἱερόκλεις;

Ἱεροκλῆς. Ὅτι καὶ τὸ ἱερὸν οὐδ' αὐτὸ στενοχωρεῖται εἰς νοῦν ἕνα, πλατύνεται δέ, ὅσα καί τι ῥευμάτιον, εἰς ἀναλόγους κλῶνας, ὡς οἱ ὀνοματοθέται κυροῦσιν.

12. Θεόφιλος. Οὐκοῦν ἐπειδή, ὦ διδάσκαλε, οὕτω τεχνικῶς διοπτεύεις, ἐφ' οἷς ἐμοὶ οὐκ ἔστιν ἐξικνεῖσθαι τὴν ὅρασιν, λαβὼν χειραγώγει με καὶ διὰ τῆς τοιαύτης ὁδοῦ.

Ἱεροκλῆς. Μετρήσω σοι, ὦ φίλος, ὡς ἐν συναιρέσει, ἐς ὅσα τὸ ἱερὸν ἐκνεύει, καὶ ὅσοις ἐπαναπαύεται, ὡς οὕτω φάναι, καταλύμασιν.

Θεόφιλος. Λέγε δὴ σπεύσας ἐκεῖνα· οὐ γάρ μοι σχολή, ὡς ἐνευκαιρεῖν καὶ εἰσέτι ἀκοῇ πλείονι.

Ἱεροκλῆς. Ἀλλ', ὦ 'γαθέ, μή μοι πνῖγε, ἀλλὰ ἄφες, ἀνέτῳ πνεύματι διεξιέσθαι τὸ κατὰ σκοπόν. Εἰ δὲ πάνυ ἀνθέλκει σε πραγματεία τις ἑτέρα, χαίρων ἀπότρεχε.

Θεόφιλος. Οὐκ ἀποδραμοῦμαι οὕτω ταχύ, ἀλλ' ἀναμενῶ ἐξ ἀνάγκης, ἵνα μὴ τὴν ἕως ἄρτι ὥραν εἰκῇ δαπανήσας μεταμέλωμαι.

13. Ἱεροκλῆς. Ἄκουε δὴ παρὰ τοῦ ἱεροῦ, ὅτι πληθύνεται τῷ τῆς ὁμωνυμίας λόγῳ, καὶ τὴν κατ'
αὐτὸ μίαν κεφαλὴν τὴν ὄντως || παραφαίνει καὶ εἰς Ms. fol. 116 a.
ἑτεροίας, προσπεφυκυίας μέν, παραυγαζούσας δέ τι ἄλλως καὶ ἴδιον.

Θεόφιλος. Λέγε διευκρινῶν· ἐγὼ γὰρ ἤδη συγκέχυμαι τὸν νοῦν, οἷς παραδίδως.

Ἱεροκλῆς. Ἀκούεις, ὦ Θεόφιλε, ἱερὸν ὀστοῦν, ὃ μάλιστα σπουδαζόμενον ἦν ἐν τοῖς θυομένοις;

Θεόφιλος. Ναί, περιᾴδεται γάρ.

Ἱεροκλῆς. Τί δέ ἐστιν αὐτό; Μήτι κατὰ τὸν ἱερὸν ἄνθρωπον;

Θεόφιλος. Οὐκοῦν· ἀλλοφρονοίην γάρ, εἰ οὕτω φρονῶ.

14. Ἱεροκλῆς. Τί δὲ ἀλλὰ μεμάθηκας καὶ ὀφείδιον ἱερόν, τὸ πάντων χείριστον;

Θεόφιλος. Ἀλεξίκακε. Μισῶ μὲν τὸ ζωΐδιον· εἰδὼς δὲ ἐξ ἱστορίας ἔχω, καὶ πέφρικα καὶ ἀκούων.

Ἱεροκλῆς. Ὁμολογήσεις, μηδ' αὐτὸ θείως ἱερὸν εἶναι;

Θεόφιλος. Ὁμολογῶ. Τί γὰρ μή;

Ἱεροκλῆς. Προσιστορεῖς δὲ καὶ τόσον ἱεράν;

Θεόφιλος. Ἀποτρόπαιε καὶ αὐτῆς μνήμης.

Ἱεροκλῆς. Κατάθου πρὸς τούτοις, καὶ ἱερὸν παραδεδόσθαι ἰχθύν· εἰ δὲ ἀνανεύσεις, κατὰ στόμα ὁ ἔλεγχος.

Θεόφιλος. Ὀκνῶ ἀρνήσασθαι.

Ἱεροκλῆς. Δυνήσεται οὖν, ὦ Θεόφιλε, ὁ τοιοῦτος εἰς ἴσον ἐλθεῖν τῷ πολυπραγμονουμένῳ ὑφ' ἡμῶν ἱερῷ;

Θεόφιλος. Ἀποφάσκω κἀνταῦθα.

15. Ἱεροκλῆς. Ἔτυχες δὲ παραλαβὼν ἐξ ἱστορίας τὸ Ἡροδότειον ἱερόν, πρὸς δὲ καὶ τὴν Περιηγητικὴν ἱερὰν ἄκραν, καὶ τὴν παρὰ Πολυβίῳ Καρικὴν ἱερὰν κώμην, καὶ τὰς περιφερομένας ἱερὰς νήσους, καὶ τὰς Ἱεραπόλεις;

Θεόφιλος. Ἔχω, καὶ παραιτοῦμαι συγγνώμην.

[Ἱεροκλῆς]. Οὐκοῦν αἰτίαν ἔχεις, μὴ καταγνοὺς οἴκοθεν τὸ ἐξ ὁμωνυμίας πολυμέριστον τοῦ ἱεροῦ.

Θεόφιλος. Ἔχω, καὶ παραιτοῦμαι συγγνώμην. Ποτνιῶμαι δὲ συμμαθεῖν καὶ τὴν τόλμαν, καθ' ἣν

τὸ οὕτως εὐαγέστατον ὄνομα καὶ ἑρπετοῖς προσηρμόσθη ζώοις· τοιοῦτον γὰρ τὸ πρόσφατον ὀφείδιον καὶ ὁ ἰχθύς. Καὶ μὴν ἰχθὺς μὲν οὗτος ὁ κάλλιχθυς κολακεύεσθαι δοκεῖ τῇ τοῦ ἱεροῦ ἐπικλήσει, διὰ τὸ καὶ μέγας εἶναι καὶ νόστιμος. Ἐπεὶ καὶ ἱερὰ οἶδα τείχη πόλεων λέγεσθαι, προςπαθῶς ἐπὶ ἐπαίνῳ, οἷς περισώζονται, ὁπόσην ἐντὸς χώραν ζωννύουσιν. Ὄφιν δὲ ὀλεθριώτατον ἱερωνυμούμενον δυςκόλως ἔχω συμβιβάσαι τῷ σωτηρίῳ προςρήματι, καὶ ἱερὰ δὲ νόσος οὐ κατανοῶ οἵῳ λόγῳ καὶ τρόπῳ θεωνυμικῶς ἱερωθήσεται.

16. Ἱεροκλῆς. Ἐπιλελῆσθαί μοι δοκεῖς, ὦ Θεόφιλε, τῆς τῶν ὁμωνυμιῶν φύσεως, ὧν ἓν μέν τι καὶ μόνον πρόκειται ὡρισμένον καὶ οὐσιωμένον, ὡς ἔλαχε φύσεως· ὅσα δὲ ἄλλα ἑτεροφυῆ μετασχεῖν αὐτοῦ βούλονται, τοὔνομα μὲν ἀποσυλῶσιν ἐκείνου, λόγου δὲ οὐκ ἔχουσι τοῦ αὐτοῦ κληρονομεῖν. Ἔμβλεψον εἰς τὸν προτεθέντα κύνα, εἶτα καὶ εἰς τοὺς λοιπούς, καὶ νοήσεις, ὃ λέγω.

Θεόφιλος. Ἐμβλέπω καὶ θεωρῶ πάντων ὁμοιότητάς τινας, ἐκ τοῦ κυνὸς ἐκείνου διαβαινούσας ἐπὶ τοὺς μετ' αὐτόν. Ὁ θαλάσσιος κύων θράσους γέμων καὶ ἀναιδείας, ὑπὲρ ἅπαν θαλάσσιον κυνίζει τοῦτό γε. Οὐράνιος διὰ τὸ κατ' αὐτὸν οὔλιον ἐν τοῖς καθ' Ὅμηρον εἰπεῖν θερινοῖς || φλέγμασιν οὐκ ἂν πάντη ἀπροςφυῶς καλοῖτο κύων, ὃς καὶ αὐτὸς ἄλλως τε, καὶ ὅτε δὲ λυσσητὴρ ἀποβαίη, οὔλιός ἐστιν. Ὁ φιλοσοφῶν δὲ κύων — ἀλλ' αὐτὸς τῇ κυνικῇ ἐπιστήμῃ τοὺς μὲν τῶν ἀνθρώπων σαίνων εὐμενῶς, τοῖς δὲ δυσμεταίνων, ὅσα καὶ κύνεος, εἰς πλέον ᾠκείωται τῇ τοῦ κυνὸς κλήσει. Ὁ μὲν γὰρ μετέωρος ἐκεῖνος ἐς τόσον ἀφίσταται τοῦ κατὰ χέρσον τὰ εἰς τὴν ἄγαν ὁμοιότητα, εἰς ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης· ὁ δὲ ἐνάλιος οὐδ' αὐτὸς παῤῥησιάζεται πάνυ τὴν ἐγγύτητα. Ὅ γε μὴν φιλόσοφος παρίσταταί πως τῷ πρωτοτύπῳ κυνί, καὶ νοσφίζεταί τι πλέον ἐγγύτητος.

Ms. fol. 116 b.

17. Ἱεροκλῆς. Εὖ γέ σοι καὶ ταῦτα, καὶ ἰτέον ὁμοίᾳ ἐφόδῳ καὶ ἐπὶ τὸν ἱερὸν ἄνδρα, οὗπερ ἐξώρμηται ὁ ἱερώτατος καὶ ὁ ἐπιτείνων αὐτὸν πανιερώτατος, καὶ διασκοπητέον, ὅσα, καθὰ ἐῤῥέθη, περιστοιχίσαντα τοῦτον, τὸ μὲν κατ' αὐτὸν οἱονεὶ σῶμα τοὔνομα κληροῦνται, τῆς δὲ κατὰ λόγον ψυχῆς οὐ καθικνοῦνται εἰς τὸ πᾶν, ἀλλ' εἰς ὅσον ἀμυδρὰν παραφαίνειν ἔμφασιν. Καὶ τείχη μὲν ἱερὰ λέγειν οἰκείως ἔχει πρὸς τὸ πρῶτον, διὰ τὸ σωστικὸν τῶν ἐνοικούντων καὶ φυλακτικόν, θεῖον ὂν χρῆμα καὶ αὐτό, καθότι καὶ τοῖς ἱεροῖς ναοῖς τὸ τοιοῦτον ἄσυλον ἀπονενέμηται· καὶ τὸ τῆς Περιηγήσεως δὲ ἱερὸν καὶ ἡ ἱερὰ κατ' αὐτὴν ἄκρα καὶ αἱ Ἱεραπόλεις καὶ τἆλλα τοιαύτης ἐννοίας ἔχονται. Ὀστοῦν δὲ ἱερὸν οὐδέν τι τοιοῦτον ἔχει περιφανές· ἀλλ' οἱ μὲν φυτικῇ ἐννοίᾳ αἰτιολογοῦσιν αὐτό, ἕτεροι δὲ διὰ τὸ μεγαλεῖον τῆς ὀστεώσεως ὄνομα σχεῖν οὕτω σεμνὸν δοξάζουσι, καθὰ καὶ τὸν ἱερὸν ἰχθύν· εἰς ὅπερ ἐννοίας ἔβαψας ἤδη καὶ αὐτός. Ὄφις δὲ ὁ ἱερὸς εὐφήμως ἀντιφράζεται παρά γε τοῖς βουλομένοις ἐκθύεσθαι τὴν ἀπ' αὐτοῦ βλάβην· οὕτω δὲ καὶ νόσος ἡ ἱερὰ σεμνολογεῖται, ὡς εἰ καὶ θηρίον βορὸν καταψᾶται καὶ ποππύζεται, εἴ πως μὴ ἐμπηδῆσαν ἐμφυῇ καὶ βλάψῃ τὰ χείριστα. Ἔχοις οὖν, Θεόφιλε, κατάληψιν ἐντελῆ, ὅ τί ποτέ ἐστιν ὁ ἱερὸς ἀνὴρ καὶ ὁ κατ' αὐτὸν ἱερώτατος; Ἢ προςεπιβαλοῦμεν καὶ ἑτέροις νοήμασιν;

18. Θεόφιλος. Κατελαβόμην εἰς ἀκρίβειαν, καὶ φιλῶ τοὺς τοιούτους, καὶ ὑπερτίθημι τῶν τε θεοφίλων καὶ τῶν θεοφιλτάτων.

Ἱεροκλῆς. Οὐδὲ πάλιν κρίνω ἠκριβωκέναι σε τὴν φράσιν, ὦ Θεόφιλε. Πρῶτα μὲν γὰρ ἔδει προςθεῖναι ἱερῶν ἀνδρῶν, καὶ τοιούτων δὲ ἱερωτάτων, ἵνα μὴ συμπέσῃς καὶ ὁμωνυμίαις ἑτεροφύλοις· εἶτα ἐχρῆν προςλογίσασθαί σε καί, ὅτι ὁ θεοφιλὴς οὐκ ἂν ἀπάδοι τοῦ καὶ ἱερὸς ᾄδεσθαι. Ὃν γὰρ θεὸς φιλεῖ, πῶς ἐκεῖνος οὐκ ἂν εἴη αὐτῷ ἱερωμένος, εἴτ' οὖν ὅσιος, κατὰ τὸν αἰτησάμενον φυλαχθῆναι ὑπὸ κυρίου, ὅτι ὅσιος αὐτῷ ἐστι, καὶ δῆτα καὶ ἅγιος ἐν τῇ γῇ τοῦ θεοῦ, ᾧ θαυμαστοῖ ὁ κύριος τὰ οἰκεῖα || θελήματα; Ἐν τοῖς τοιούτοις γοῦν πάντως καὶ μόνοις ὁ θεοφιλὴς καὶ ἅγιός ἐστι καὶ ὅσιος καὶ ἱερός. Ms. fol. 117 a. Ἄλλως δὲ τὸ πρᾶγμα συγκεφαλαιώσασθαι, κατ' ἐξαίρετον μὲν καὶ ἰδίως καὶ καταμόνας, οὐ κατά τι ἀναπόδεικτον αἴτημα, κατ' ἔννοιαν δὲ κοινήν, ἱερὸς μὲν καὶ ἱερώτατος καὶ ἱερεὺς καὶ ἀρχιερεὺς ἰδίᾳ τῶν τοῦ κόσμου ἀποτεταγμένοι εἰσί, καὶ αὐτοῖς ἐπιτετράφαται τὰ μυστικῶς θειότερα, καὶ συνανατέλλει τῷ τοιούτῳ καλῷ ἀναγκαίως τὸ καὶ θεοφιλεῖς καὶ θεοφίλους εἶναι τοὺς τοιούτους. Τῶν δὲ λοιπῶν εἴ τις θεοφιλής, ἔσται μὲν τοῦτο ἀξίως ἐπιλεγόμενος, οὐδὲν δέ τι ἱερωνυμούμενον εἰς κλῆσιν προςεφελκύσεται· ἀλλὰ τοῦτο καὶ μόνον λαβὼν καὶ λαχὼν ἐκ τῶν θεῷ φίλων ἱερῶν καὶ ἱερέων καὶ ἀρχιερέων, ἀφέξεται τοῦ κατ' ἐκείνους ἱεροῦ ὀνόματος, κἂν μέγιστον ἐν ἀνθρώποις προφαίνοιτο. Ἐνατένισον γοῦν εἰς τὸν ἐν οἰκουμενικοῖς βασιλεῦσι κύδιστον ἰσαπόστολον, τὸν μέγαν Κωνσταντῖνον, ὃς θεοφίλτατος προγραφόμενος ἐν ταῖς ἄλλοθεν ἐπιστολαῖς, αὐτός δέ γε θειότερον σεβαστὸν ἑαυτὸν ἐπονομάζων, ὁπηνίκα ἑτέροις ἐπιστέλλοι, ὅμως οὐδαμοῦ

ἱερωνύμησεν αὐτόν, οὐδὲ μὴν τοιοῦτόν τί ποθεν ἤκουσεν. Οἶμαι, ἀρκούντως, ὦ Θεόφιλε, διελευκάναμεν τὸ μέλαν τῆς ἐν σοὶ ὑπορίας, ὡς μηκέτι δέεσθαι τριβῆς λόγου πλείονος.

19. Θεόφιλος. Ἠκριβωσάμην, ὦ Ἱερόκλεις, τὴν γνῶσιν. Ἰδοὺ γὰρ ἐξεγραψάμην ἐν τῇ κατὰ ψυχὴν δέλτῳ, μακάριον εἶναι ἄνθρωπον μὴ μόνον τὸν ἠξιωμένον ἱερὸν καὶ ἱερώτατον ὀνομάζεσθαι πρὸς ἀλήθειαν, ἀλλὰ καὶ τὸν κατ' αὐτὸν θεοφιλῆ καὶ θεοφίλτατον, εἰ καί τι διαφορᾶς ἤδη λελεπτολόγηται ἐν αὐτοῖς. Γελοῖος οὖν ἀρχιερεὺς (εὐλαβοῦμαι γάρ τι χεῖρον σκῶψαι), ὃς ἀπαξιοῖ τὴν κλῆσιν, δι' ἧς φιλεῖν τινα ὁ θεὸς παραδίδοται. Δοκῶ μοι γὰρ τὸν τοιοῦτον τῷ παντὶ πλέον μηδὲ τῷ ἱερῷ χαίρειν, εἰ φαντάσεται τὰ ἱερά, ὅσα μὴ φίλα θεῷ.

Ἱεροκλῆς. Μακαρίζω σε τοῦ ἐντελοῦς φρονήματος, ὦ Θεόφιλε, καὶ ἐπὶ τοῖς εἰρημένοις κολοφὼν οἷον ταῖς ψήφοις ἡμῶν ἐπιβεβλήσθω, καὶ ὡς δοκεῖ πλεονεκτεῖν τὸ ἱερόν, καὶ εἰς πλατύτερον διακεχύσθαι τοῦ θεοφιλοῦς, εἴθε θεοφιλοῦς· εἴγε θεοφιλὲς μὲν ἅπαν καὶ ἱερὸν εἶναι θαῤῥῶν ἄν τις ἀποφήναιτο, οὐκ ἤδη δὲ καὶ ἅπαν ἱερὸν θεοφιλές, ὅτι μὴ μόνον τὸ φύσει, καθὰ ἐθεώρησε πρὸ ἡμῶν καὶ ὁ φράσας τὸ ἄνθρωπος οὗτος ἱερὸς φύσει, ταὐτὸν δ' εἰπεῖν, ἀληθῶς. Εἰ γοῦν τοιοῦτον τὸ πρᾶγμα καθίσταται, καὶ ὁ ἱερὸς ἀναγκαίως πάντως θεοφιλὴς θεωρεῖται, εἴποιμι δ' ἂν ἀνακάμψαι, ὡς καὶ ὁ θεοφιλὴς ἱερός, ἱερός. Τηνάλλως βιοῖ ὁ μὴ καὶ ἀμφοτέροις ἐμπρέπειν εὐχόμενος καὶ ἄμφω καλεῖσθαι. Τῶν γὰρ ἴσων ἐπίσης ἢ μεθεκτέον, ἢ ἀφεκτέον. Εὐχέσθω τοίνυν ἅπας ὁ λαχὼν φρονεῖν ἠξιῶσθαι καὶ ἀμφοῖν. Ὁ γάρ τοι μὴ θεοφιλὴς οὐδ' ἂν ἱε||ρὸς (Ms. fol. 117 b.) εἴη φύσει, οὐδὲ τοῦ τοιούτου ὕψους ἐπάξιος· ἀλλὰ πεσεῖται ἀπ' αὐτοῦ οἷα μὴ θεοφιλής, ὡσεὶ καὶ ἑωσφόρος ἀπ' οὐρανοῦ εἰς ἱερὸν καταῤῥιφεὶς ἀπευκταῖον, ὁποῖα τινὰ ἤδη παραδέδοται. Ἢ γὰρ ὄφις ἑψεῖ ἢ τήξεται κατὰ ἱερολογούμενον ἰχθύν, ἢ καὶ ἄλλως ἱερωνυμήσεται κατὰ νόσον ἐκείνην φρικαλέαν. Οὐ γὰρ ἔστιν ὑποκορίσαι τὸ οὕτω τραχὺ σκῶμμα, φάμενον, ὡς μάτην ὁ θεοφιλὴς ἐναγλαΐζεται τῇ ἱερωνυμίᾳ, καθά που καὶ ὁ ἱέραξ καὶ ὁ πρὸς τῇ Ἀράδῳ ἱερὸς κόλπος, καὶ εἴ τι ἄλλο τῶν τοιούτων, ἐφ' ὧν οὐ ζηλοῦται τὸ ἱερόν. Ἢ γὰρ μάτην ὁ τῶν θειοτάτων ἱερῶν ἐπιστημονάρχης βασιλεὺς καὶ οὕτως ἅγιος ἀξιοῖ θεοφίλτατος ἀκούειν, εἰ μὴ καὶ τὸ ζηλωτὸν καὶ περιφόρητον ἱερὸν αὐτίκα τῇ κλήσει ταύτῃ συνεξηκούετο. Ἔγωγ' οὖν, εἰ καὶ θέσιν φυλάττειν αἰτιαθήσομαι, οὐκ ἂν συγκαταθείμην τοῖς ἑτέρως δοξάζουσι. Προσίεταί σε ταῦτα, ὦ Θεόφιλε, ἢ οὔ;

20. Θεόφιλος. Ναὶ πάντως· καὶ ἤδη τετελεσμένος οὕτως ἀναφρονῶ, καὶ φιλῶ ἐμαυτόν, οἷς τῇ τοῦ Θεοφίλου κλήσει ἀγχιθυρῶ, ἀγαθῷ γείτονι, τῷ θεοφιλεῖ· χαίρω δὲ οὐδὲν ἔλαττον, καὶ ὅτι πρὸς τῇ πάλαι φιλίᾳ τῇ κατὰ βίον κοινωνῷ σοι καὶ τῆς κλήσεως ἔκ τινος περιόδου καὶ μεταλήψεως. Τέθειται γὰρ ἤδη καὶ εἴληπται, ἤδη δὲ καὶ δέδοται, εἰς ταὐτὸν ἥκειν τό τε ἱερὸν τό τε θεοφιλές, ἑπομένως δὲ καὶ τὸ ἱερώτατον καὶ τὸ θεοφιλέστατον· ὧν τὸ μὲν ἐμὸν σέμνωμα, τὸ δὲ σοὶ ἐπιλάμπει φανότατα. Καὶ ἐπὶ τούτοις χάριτας ὁμολογῶν σοι ἄπειμι ἐς τὰ πάρεργα, τὴν σὴν ταύτην ἐντυχίαν πρὸ παντὸς ἔργου θέμενος.

Ἱεροκλῆς. Ἄπιθι, ὦ βέλτιστε ἑταῖρε, καὶ χαῖρε, καὶ μεμνημένος, ὧν ἐσχεδιάσαμεν, συγγνώμην ἡμῖν δίδου, εἴ τι που μὴ ἐντελῶς ἀποπέφανται.

Τοῦ αὐτοῦ λόγος ἐπελευστικὸς βίου τοῦ κατὰ τὸν ἅγιον Φιλόθεον τὸν Ὀψικιανόν, ἐκ προσώπου Φιλοθέου μοναχοῦ, ἀνδρὸς ἀξίου λόγου, τοῦ καὶ προκαλεσαμένου εἰς ταύτην τὴν γραφήν.

1. Αἱ πρὸς αἴσθησιν μέλισσαι, ὅτε λύουσαι τὰ πτερὰ φοιτῶσιν εἰς λειμῶνας, οὔτε πᾶσαι τοῖς ἄνθεσιν ὅλοις ἐνασχολοῦνται, οὐδὲ μὴν εἶδος ἕν τι ἀπολεξάμεναι, τὴν σκευωρίαν ἐκεῖθεν τοῦ μέλιτος ἐρανίζονται, ἀλλὰ καὶ πᾶσιν ἄνθεσιν ἐμμελετῶσι· καὶ αἱ μὲν ἐντεῦθεν, αἱ δ' ἐκεῖθεν τὸ χρήσιμον ἐπιλέγονται, φιληδοῦσαι μὲν τῇ πάντοθεν ἀνθολογίᾳ, συνάγουσαι δὲ ἄλλη ἄλλο, καὶ οὕτω ποικίλως πονούμεναι. Τὸν αὐτὸν δὴ λόγον καὶ αἱ πρὸς νόησιν μέλισσαι, αἱ τὸν ἀληθῶς ἔλλογον ἐργάτην τοῦ θεοῦ μὴ ψευδόμεναι, σιμβλοποιοῦνται τὴν κατὰ πνεῦμα γλυκύτητα ἑαυτοῖς πανταχόθεν, τοὺς ἱεροὺς λειμῶνας περιπετόμεναι, καὶ τὸ καλὸν ἀπανθίζουσιν, οὐχ ὅπῃ τύχῃ, λόγῳ ζωϊκῆς φαντασίας ῥεμβόμενοι, ἀλλὰ κατὰ σκέψιν || (Ms. fol. 118 a) σταθερὰν καὶ διάρθρωσιν δέουσαν ἀκριβοῦντες τὸ ἀνθολόγημα. Καὶ οὕτω κατεργάζονται μελίσσειον κηρίον, ὃ φιλεῖ

μὲν καὶ θεὸς αὐτός, ἀποστολικῶς αὐτῷ παρατιθέμενοι, φιλοῦσι δὲ καὶ ἄνθρωποι θεοφιλεῖς, εἰς ὑγίειαν προσφερόμενοι, βασιλεῖς τε καὶ ἄλλως ἄρχοντες, καὶ μὴν καὶ πένητες· οὗτοι μέν, ὅσοι ἀπεριουσιάστως ἔχουσι τοῦ θείως γλυκάζεσθαι διὰ τὸ κατὰ νοῦν ἀπέριττον, ἀρκούμενοι ἀκροθιγῶς αὐτοὶ μέλιτος τοιούτου γεύεσθαι, ὃ πρόχειρον μὲν καὶ εὔωνον, ἄλλως δὲ πολυτίμητον· ἄρχοντες δέ γε καὶ βασιλεῖς, οἷς καὶ ἄλλα μὲν πρόσεστι γλυκάσματα διὰ πολυμάθειαν καὶ περιουσίαν γνώσεως, ὁποίαν ἡ συχνὴ μάθησις αὐτοῖς θησαυρίζει ἐς δαψιλές. Ποθεῖται δὲ ὅμως ὑπερμάλιστα τὸ εὐαγγελικὸν μέλι, τὸ καὶ ἀξιέραστον, καὶ βασιλείας ἄξιον τῆς ὄντως, ἐπεὶ καὶ ἡ κατ' αὐτὸ ὑγίεια καὶ εὐπάθεια εἰς βασιλείαν οὐράνιον ῥώννυσι.

2. Πρὸς ὁμοιότητα γοῦν μελίσσης ἐκείνης καὶ ἐγώ, τῆς τοῦτο καὶ ἐκεῖνο συναγούσης ἄνθος, καὶ ἀπασχολούσης ἑαυτὴν εἰς ἄλλοτε ἄλλο, καὶ οὕτω σιμβλοποιουμένης ἑαυτῇ τε καὶ ἑτέροις μέλι, οὗ κεφαλαιωδέστατον ἴδιον τὸ καὶ ὑγιάζειν καὶ φῶς παρίσχεσθαι ἄλυπον, καὶ τρέφειν πρός τε ἡδονὴν καὶ ἀβλαβῶς, ἔκριτα ἐκ τοῦ κατὰ πνεῦμα λειμῶνος καὶ τῶν ἐκεῖ μυρίων ἀνθέων, οἷς, καθὰ φίλον θεῷ, ἐνεαρίζομεν οἱ ἀγαθοὶ Χριστιανοί, φυτὸν ἐπιλέξασθαι βρύον καλοῖς, εἴ τί που καὶ δυναίμην· καὶ μέλι σκευάσας, παραθήσειν τοῖς φιλοκάλοις πρὸς ἥδυσμα τὸ κατὰ ἰσχύν· ἀξιώσας ἐμαυτὸν θέσθαι εἰς τοιαύτην μέλισσαν διὰ μόνην πρόθεσιν ἔνθεον φιλεργόν, οὐ μὴν πρὸς αὔχημα καὶ φιλενδειξίαν, ἧς οὐκ ἔχω ἐφικέσθαι.

3. Ἔστι δέ μοι τὸ φυτόν, ἐξ οὗ σιμβλοποιῶν θείαν ἀποδρέψομαι, ὁ μέγας Φιλόθεος, οὗ τὴν κλῆσιν βαστάζων ἐγώ, καὶ τοῦτό γε καὶ μόνον σεμνυνόμενος (ἔργοις γὰρ τίς ἂν εἴη τούτῳ ἐνάμιλλος;), εἰς τὸν λόγον τοῦτον ἐμαυτὸν καθῆκα· Φιλόθεος, ὁ τὴν ἐπωνυμίαν τῷ ὄντι ἐπαληθεύων· Φιλόθεος, ὁ ἐγγράψας μὲν ἑαυτὸν εἰς πιστὸν δοῦλον θεοῦ καὶ ἀγαθὸν θεράποντα, κληρονομήσας δέ, φίλος θεῷ κληθῆναι πρὸς ἰσοκληρίαν ἀποστολικήν, καὶ ἀκούσας καὶ αὐτὸς ἐκεῖθεν τό· οὐκέτι δοῦλόν σε καλῶ, ἀλλὰ φίλον, ὡς καὶ εἰδότα πᾶν, ὅπερ ἐγὼ ποιῶ, καὶ ἄλλους εἰς ἐμὴν καταρτίζοντα μίμησιν, καὶ τὰ ἐμὰ διδασκαλικῶς ἐγκαλύπτοντα μυστήρια· ὅτι μηδὲ ἔστι φθόνος, τῷ κρείττονι τὸν αὐτοῦ νοῦν προάγειν ἐκφαντορικῶς ἐν τῷ διανοίγειν γραφάς. Φιλόθεος τὸ ἐμὸν θαῦμα καὶ μελημα, μᾶλλον μὲν οὖν τὸ κοινόν. Οὐ γὰρ ἄν τις οὐκ ἄν, πάντως οὐδείς, μαθὼν τὰ ἐκείνου, ἀπόσχοιτο ἂν τοῦ θαυμάζειν τὸν ἅγιον τοῦτον, εἴ τι χρὴ καὶ ἐκ τῶν περὶ γῆν χαρακτηρίσαι τὸν ταῖς ἀρεταῖς οὐράνιον.

4. Ἤνεγκε μὲν Ἀσιανὴ χώρα, ἣν ἤρεσε τοῖς ὕστερον ὀνομάζουσι, καλὸν Ὀψίκιον, γῆ πολυτενὴς εἰς μελιασμοὺς καὶ πολυτελὴς καὶ εὐ||δαίμων, πάλαι Ms. fol. 118b
μὲν καὶ λίαν περίπυστος, φέρουσα δὲ καὶ εἰσέτι νῦν τοῦ πρωτοθέτου ἐκείνου καλοῦ χαρακτῆρας πολλούς, καὶ οὐδὲ ἀγεννεῖς, καὶ μάλιστα τὸ τῶν ἐγχωρίων ἐμπειροπόλεμον. Καὶ οὕτω μέν, ὡς ἐν στενῷ δηλῶσαι, σεμνότητα ὁ ἅγιος ἐπισύρεταί τινα καὶ διὰ τὴν κατ' ἔθνος ἀρετήν, δι' ἣν οἱ ἐκεῖ ἀπολεοντιοῦσθαι δόξαιεν ἄν, ὅτε οἱ τῆς Ἄγαρ κύνες ἐπιτρέχειν τοῖς τοῦ θεοῦ ποιμνίοις προτίθενται. Ἐὰν δὲ ἡ προενεγκοῦσα τοῦτον κώμη ἑτεροῖόν τι φαντάζῃ, Μύρμηξ ἐπικαλουμένη, καὶ διὰ τὸ τοιοῦτον ὄνομα ὑποβάλλῃ κατὰ τῶν πατριωτῶν μυρμηκολέοντος νόημα, ἀλλὰ τοῦτο μὲν ἐρεῖ τις ἕτερος κατὰ τὸ παρατυχόν· ἐμοὶ δὲ ὁ Μύρμηξ ἡ κώμη τὸ τοῦ ἁγίου πάτριον ἔδαφος εἰς σύμβολον τέθειται πάνυ σεμνόν. Δοκῶ γὰρ ἐνταῦθα ὑποφωνοῦντος ἀκούειν κἀμοὶ τοῦ πανσόφου Σολομῶντος· ἴθι πρὸς τὸν τοιοῦτον μύρμηκα, ὦ ὀκνηρέ, καὶ τὸν ἐκεῖσε Φιλόθεον ἱστορήσας καὶ τὴν ἐν ἐκείνῳ χρυσῖτιν μυρμηκίαν, μετάλλευε πλοῦτον θεῷ φίλον, καὶ γίνου μακαριστὸς ἔμπορος· καὶ συλλέξας ἐκεῖθεν πλουτοποιόν τι καλόν, διαδίδου τοῖς χρῄζουσιν, οὐ μυρμηκίζων τὰ εἰς ὁδόν, ἀλλὰ ταχὺς τρέχων εἰς τὸ εὐκταῖον κατάντημα τοῖς ἐμπορευομένοις τὰ σπουδαιότατα· ὅπως καὶ αὐτὸς πλοῦτον κερδήσῃς, ὃν ὁ ἀγαθὸς οἰκοδεσπότης θεὸς θησαυρίζεσθαι φιλεῖ, καὶ τοῖς ἀγοράζουσι πωλήσῃς τὰ πρόσφορα.

5. Καὶ τοιαύτη μὲν τῷ θεοφιλτάτῳ Φιλοθέῳ καὶ ἡ πατριῶτις γῆ, μνήμων αὐτῷ γινομένη τοῦ φιλοπόνως ἐργάζεσθαι τὰ πνευματικά· γεννήτωρ δέ, οὐκ ἂν εἴποι τις, ὡς οὐκ ἦν αὐτῷ κατὰ λόγον τοιούτου γεννήματος. Εἰ γάρ ποτε καὶ ἐξ οὐκ ἀγαθῶν ἀγαθοὶ φύονται, ἀλλ' ἐνταῦθα οὐκ ἂν διέλαθε τὴν τῆς ἱστορίας ἀκρίβειαν πατὴρ ἀνόμοιος προαπεκβὰς υἱῷ οὕτω καλῷ· ἀλλὰ ἔπεσεν ἂν εἰς παράδειγμα καὶ ἐκεῖνος, καὶ παρεσημάνθη, ὁποῖος αὐτὸς ὤν, ὁποῖον ἀπέτεκεν, ἄκανθα δηλαδὴ ῥόδον, ὑοσκύαμος ἀνεμώνην, θὴρ ἄγριος ἄνθρωπον ἱλαρόν, νὺξ ἡμέραν, καὶ εἴ τι τοιοῦτον σεμνὸν ἀντίθετον.

6. Νῦν δὲ ἡ τῆς παλαιᾶς ἱστορίας ἐπιδρομάδην ἐπέλευσις ἀποσιωπήσασα τὸν πατέρα, νοεῖν ἡμῖν ἀφῆκεν ἐκ τῆς γεννησαμένης μητρὸς καὶ τὸν ἄνδρα. Καλὴ γὰρ ἐν γυναιξὶν ἐκείνη, καὶ ὁποίαν διατυποῖ Σολομών, ἐν οἷς τὴν ἀνδρείαν γυναῖκα διαζωγραφεῖ. Κάλλος μὲν οὖν αὐτῆς ἱστορῆσαι καὶ δεξιότητα τὴν εἰς ἔργα, οἰκωφέλειαν, καὶ τὸ φίλανδρον, καὶ τὸ ἀκόλουθον σώφρον, καὶ ὅσα ἑτέραν γυναῖκα κοσμίαν ἀπαρτίζει, πλατὺν ἂν διαπετάσοι λόγον,

ἀποκναίοντα τὴν ἀκρόασιν· ἀρκεῖ δέ μοι, τὰ πάντα κεφαλαιώσασθαι, εἰπόντι συνεπτυγμένως, ὅτι πάντα, ὅσα θεῷ φίλα, προεχειρίζετο· καὶ ἦν τρόπῳ τοιούτῳ φιλεργός, ταὐτὸν δὲ φάναι, ἀγαθοεργός. Ἀμέλει, καὶ κατά τι θεῖον τοιαύτην ἔλαχε κλῆσιν. Θεοφίλαν γὰρ οἱ τεκόντες αὐτὴν ὠνόμασαν, || (Ms. fol. 119. a) μεταδόντες τῇ θυγατρὶ τέως μὲν ὀνόματος προσφυοῦς αὐτοῖς, ἐξ ὧν εἰργάζοντο· ὕστερον δὲ καὶ πράγματι τῷ ἐξ αὐτῆς τὸ τοιοῦτον ἐπισφραγίσαντες ὄνομα, οἷς τὴν παῖδα τρέφοντες θεοφιλῶς ἐξεπαίδευον. Τοιαύτη δὴ ἐκτραφεῖσα ἡ μήτηρ, καὶ ὡς θεῷ φίλον διεσκευασμένη ταῖς ἀρεταῖς, καὶ τὸν τοῦ θεοῦ φόβον ἐν γαστρὶ λαβοῦσα, πρότερον ἐκ διδασκαλικοῦ σπόρου, εἶτα καὶ ὠδινήσασα, οἷς ἐπονεῖτο κατὰ ἐγκράτειαν, καὶ ἐπὶ τούτοις τεκοῦσα πνεῦμα σωτηρίας, καὶ ἄλλως δὲ φύσεως ἀκολουθίᾳ παῖδα συλλαβομένη ἐν γαστρὶ ἐκείνη καθηγνισμένη πνευματικῶς, προήγαγεν ἀκολούθως καὶ παιδίον, πνεύματι ἁγίῳ πρέπον εἰς ἐνοίκησιν. Διὸ προσφυῶς καὶ αὐτὸ Φιλόθεον παρωνόμασεν ἐξ ἑαυτῆς, ἐντεῦθεν ἀρξαμένη τὸν καθήκοντα μητρόθεν κλῆρον ἀποδιδόναι τῷ υἱῷ, ἵνα τοῦ κατὰ γῆς ἕρπειν ἀνασφήλας, καὶ τὴν ἀνθρωπίνην διάλεκτον κατορθώσας, καὶ γνούς, οἵου μετείληχεν ἐκποδῶν ὀνόματος, ἀποξέῃ φερωνύμως τὸν φυσικὸν ἀνδριάντα πρὸς τὸ θειότερον, αἰδούμενος, ὄνομα οὕτω καλὸν καὶ θεῖον ἀχρειοῦν φαυλότητι πράξεων.

7. Καὶ τοίνυν οὐκ ἐνέλειπεν ἐξομοιῶν τῇ κλήσει τὴν πρᾶξιν, καὶ σπεύδων θειότητος εἶναι κατ' ἄμφω, καὶ ὥσπερ ὀνόματι, οὕτω καὶ πράγματι φιλοσοφῶν τὴν θειότητα, καὶ ἐπιγραφόμενος οὕτως εἰς θείαν εἰκόνα, καὶ θεῷ εἰς τὸ πᾶν ἀνακείμενος· οὐ πρὸς μίμησιν ἀνοφορεῖσθαι θέλων, καὶ τὸν κάτω ὑπεραναβαίνειν ἄνθρωπον, καὶ οὐράνιος εἶναι, εἶχε μὲν αὐτό, καὶ διὰ θεωρίας ἰδίᾳ τε, πᾶσαν ἀγαθότητα τιθαιβώσσων δίκην μελίσσης, καὶ διὰ συνεχοῦς δὲ μαθήσεως καὶ ἀναγνώσεως κειμηλιούμενος ἀρετὴν ἅπασαν. Οὐκ ἔφερε γάρ, μὴ συχνὰ ταῖς ἱεραῖς γραφαῖς ἐντρίβεσθαι, καὶ ἀδολεσχεῖν ἐν τοῖς τοῦ θεοῦ δικαιώμασι, τὰ πολλὰ καὶ εἰς τὸ κοινὸν θαμίζων τῆς ἀρετῆς διδασκαλεῖον, καὶ ταῖς ἐθίμοις τῶν πανηγύρεων συγγινόμενος, καὶ ταῖς ἐκεῖ πανδαισίαις ἐντρυφῶν κατὰ πνεῦμα εἰς κόρον, καὶ τὰ μὲν σιτιζόμενος αὐτός, τὰ δὲ καὶ ἑτέροις ἀποφερόμενος, καθὰ καὶ ἐν εὐαγγελικῇ σπυρίδι περισσευμάτων, ἅπερ ὁ θεὸς εὐλογεῖ. Συνεπελαμβάνετο δὲ εἰς πλέον αὐτῷ τοῦ κατὰ θεωρίαν, ὡς ἐῤῥέθη, φιλοσοφεῖν καὶ ἀνάγεσθαι εἰς τὸν ὕψιστον, καὶ τὸ εὐεπήβολον ἔμπρακτον, οὐ μέρος εὐεργὸν καὶ τὸ τῆς γαστρὸς ὑπόκενον. Ἐξαντλῶν γὰρ ἀεὶ τοῦ κατὰ σῶμα κεραμείου πᾶν, ὅσον ἔνικμον καὶ ὑγρόν, δι' οὗ πλαδαροῦται ἄνθρωπος, καὶ οὕτω κουφίζων τὸ γήϊνον βρῖθος νηστείαις, ἐφιλονείκει τῆς γῆς ἀγγελικῶς καὶ εὐαγγελικῶς ὑπερίπτασθαι, ἀνάξιον ἑαυτοῦ κρίνων, ἐγγράφεσθαι μὲν εἰς φίλον θεοῦ, τοῦ τῶν φώτων ὑψίστου πατρός, προστετηκέναι δὲ τῇ μητρὶ γῇ, καὶ τοῦ αἰθερίου ἀνθαιρεῖσθαι τὸ πεδινόν τε καὶ ταπεινόν.

8. Ὁ δὲ οὕτω τὴν γῆν περιφρονῶν, καὶ πρὸς μηδέν τι τῶν κατ' αὐτὴν κεκυφώς, πῶς οὐκ ἂν καὶ δι' εὐχῶν || (Ms. fol. 119. b) εἰς τὸ ὅμοιον εὐοδοῖτο καλόν; Ἐσχόλαζε τοίνυν καὶ ποδῶν ὀρθίᾳ στάσει ἐφ' ἱκανόν, καὶ χειρῶν ἀνατάσει πρὸς τὸν ἄνω δυνάμενον ἕλκειν τὸν καὶ ἀσφαλῶς βεβηκότα, καὶ στερεῶς ἑστῶτα, καὶ χεῖρας ἅμα καὶ ψυχὴν ὅλην πρὸς αὐτὸν ἀνατείνοντα. Καὶ οὕτω μὲν ὅλος ἦν τῆς ἀνωτάτω ὑψώσεως· εἰ δέ που καὶ τῆς γῆς διὰ τὸ φυλετικὸν συγγενές, ἐποίει μὲν καὶ αὐτό, οὐχ ὥστε μὴν καὶ ἀχρειῶσαι τὸ ἀνθρωπικὸν ὄρθιον, ἀλλὰ καὶ αὐτὸ φυλάξαι, καὶ τῇ μητρὶ γῇ χαρίσασθαι. Ἤνυε δὲ αὐτό, γόνατα κλίνων συνεχῶς, καὶ ταχὺ ἐξανιστάμενος, ἐκεῖνο μὲν γῆς καὶ εἰς γῆν, τοῦτο δὲ οἷα καὶ φυτὸν πεφιλοσοφημένος οὐράνιον. Καὶ εἶχον αὐτὸν ἡ τοιαύτη πυκνὴ εὐκταία πτῶσίς τε καὶ ἀνάστασις καὶ σχεδόν τι καὶ δίχα πόνου· τὸ γὰρ ἐξ ἐγκρατείας ὑπέρισχνον τῆς σαρκὸς ταχὺ τῆς γῆς ἀπανίστα τὸν ἅγιον, ὡς εὐπετέστερον εἶναι τοῦ κατακλιθῆναι τὸ ἀνανεῦσαι, καθά που καὶ θάλος εὐφυὲς βραχύ τι κύψαν ἐκ καταπνοῆς, εἶτα θᾶττον ἀνατρέχει πρὸς τὸ εὐθύ.

9. Τί δὲ ἀλλὰ τὴν σάρκα ὑποκενῶν, καὶ εἰς λαγαρὰν ἀποκαθιστῶν, ἐχρηματίζετο ἄλλως ἐντεῦθεν κατὰ τοὺς κίμβικας, καὶ τὴν σύμφυτον ἀποθήκην διάκενον ἀφιείς, ἀνεπλήρου τὴν ἔξω καὶ πρόσθετον, καί που καὶ καθελεῖν αὐτὴν ἐμελέτα καὶ ἀνεγεῖραι μείζονα; Οὐμενοῦν. Ἀλλ' ἡ μὲν γῆ καὶ ὁ ἐξ αὐτῆς πλοῦτος καὶ ἡ λοιπὴ κατὰ βίον μέθοδος, εὐλογουμένη παρὰ θεοῦ, μεστὸν αὐτὸν ἐποίει πάντων, ὅσα μακαριστὰ τοῖς περὶ γῆν· τὸ δὲ κοινωνικὸν καὶ φιλάλληλον καὶ φιλάνθρωπον, τῇ εὐαγγελικῇ παραγγελίᾳ προσαυξόμενον, δι' ἧς προκαλεῖται ὁ ἐχέφρων ἄνθρωπος, ἀποτίθεσθαι τὸν περιττὸν ἐν βίῳ φόρτον, καὶ ἀνατιθέναι πτωχοῖς, καὶ οὕτω γινόμενον εὔζωνον εἰς ὁδὸν θείαν, καὶ ἀληθῶς εὐθεῖαν, εἰ καὶ ἄλλον τρόπον τραχεῖαν τὰ κατ' ἀρχὴν τοῖς ἑλομένοις ἀκολουθεῖν προηγουμένῳ τῷ θεῷ εἰς τὰ κρείττονα, ἔπειθον τὸν ἅγιον, ἐξ αὐτοῦ κλίνειν εἰς ἑτέρους τὸ ἀγαθόν, καὶ τὸ ἐκ θεοῦ φιλοτίμημα μετάγειν εἰς τὸ ὁμόφυλον, καὶ τοιαύταις ἀποθήκαις (γαστέρες δὲ αὗται πενήτων) πιστεύειν, ὅσα ὁ θεὸς ἐνεδαψιλεύετο. Καὶ ἦν τοῦτο πηγῆς ἀενάου καὶ ἀποῤῥύτου μίμημα. Ἀνέβλυζε μὲν γὰρ τῷ ἁγίῳ ἐκ τῶν ἀβύσσων

τοῦ θεοῦ ταμείων τὰ λῷονα· ὁ δὲ ὀλίγα τῇ περὶ αὐτὸν γῇ, τῇ σαρκί, ἐπιχέας, εἰς ὅσον ὑγράνασθαι τὸ ἱκανόν, καὶ χλόην ἀναθῆλαι, ὁποίαν καὶ ὁ μακάριος Δαυῒδ ἀγαπᾷ, σκηνοῦντος αὐτὸν τοῦ θεοῦ εἰς τόπον τοιοῦτον χλοερόν, τὸ λοιπὸν τῆς πηγῆς ἐξέπεμπε, πιαίνειν τὰ ἐφεξῆς, καὶ λύειν αὐχμόν, ὁποῖον ἡ πενία τοῖς ἐνδεέσιν ἐπιψηφίζεται. Καὶ ἡ τοιαύτη δόσις αὐτῷ ἐγίνετο οὔτε ὑποκριτικῶς (εἰ μή τις καὶ τὸν ἐξελθόντα, σπεῖραι τὸν σπόρον αὐτοῦ εἰς ἐπόψιον ἐλπίδι συγκομιδῆς πλείονος || Ms. fol. 120. a. τῆς διὰ θεοῦ, προφάσει λέξει σπείρειν), οὐδὲ μὴν πεφεισμένῃ χειρί. Οὐκ ἔφιλει γὰρ οὐδὲ φλέβιον γῆς ἢ πέτρας ἰσχνόν, εἰς ὅσον μὴ προβρέει θεραπείαν δίψους. Ἀπῆν δὲ ἐκείνου καὶ τὸ ἐν τοῖς τοιούτοις ἄγριον. Μετεδίδου γὰρ μετὰ ἱλαρότητος, ὁποίαν φιλεῖ θεός, ὁ καὶ ἐλεημοσύνην ἀγαπῶν καὶ δότην, οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν ἱλαρόν. Καὶ ἦν καὶ αὐτὸς οὕτω ποταμὸς ἐλεημοσύνης, κροτῶν χειρὶ κατὰ τὸν ψαλμῳδόν. Ἔχαιρε γὰρ ἐλεῶν, καὶ ὡς οἷον ἐκρότει χαρμόσυνον, οὐ δαπανᾶν δοκῶν, καὶ τὸ ταμεῖον ἀφιέναι κενόν, ἀλλὰ πλουτίζεσθαι, καὶ μεστὸς εἶναι, οἷα ἀναπληροῖ τοὺς χρήζοντας, τὸ δὲ μεῖζον εἰπεῖν, θεὸς γίνεσθαι, εἴπερ ὁ εὐεργετῶν θεὸν μιμεῖται εἰς δύναμιν. Μᾶλλον μὲν οὖν αὐτὸς ἠγαλλιᾶτο διδούς, ἤπερ ἄλλος τις λαμβάνων· καὶ ἦν ὅρος αὐτῷ πλούτου τὸ δανείζειν θεῷ, οὗ μυριότοκος ἡ ἀνταπόδοσις.

10. Καὶ οὕτω μὲν αὐτὸς βίου πορισμὸν τὸ ἀποβιοῦν τοῖς ἀδελφοῖς ἔκρινεν, εἰς θεοῦ κρίνον ἀποκαθιστᾶν ἑαυτὸν γνωματεύων, εἴπερ ἐνδύει γυμνούς, καὶ πόδας εὐθετίζειν εἰς εὐαγγελίου ὁδὸν μεθοδεύων, εἰ τοὺς ἀνυποδέτους περιστέλλει, καὶ βρῶμα λογιζόμενος οἰκεῖον, εἰ χορηγεῖ τοῖς δεομένοις τὰ χρήσιμα, καὶ οὕτως ἐκπληρῶν καὶ αὐτὸς ἀποστολικῶς τὸ πᾶσι τὰ πάντα γίνεσθαι. Ἐπεὶ δὲ πολλαὶ ὁδοὶ πρὸς τὴν τῆς ἀρετῆς ἀκρόπολιν, εἰς ἣν ὁποῖα καὶ θεοῦ ὄρος ὁ μέγας Φιλόθεος ἀνατείνων τοὺς ὀφθαλμούς, καὶ τὴν ἐκεῖθεν βοήθειαν προκαλούμενος, αὐτῆς ἐγλίχετο, καὶ τὴν ἐκεῖ ἀνάβασιν διὰ πάντων ἐπραγματεύετο (δοκεῖ δὲ τοῖς πλείοσιν ὑπερέχειν τῶν ἄλλων ὁ μονήρης καὶ ἀπέριττος βίος, καὶ τὸ μηδὲν ἔχειν, ἀλλ' ἕκαστον ἄνθρωπον μόνον ἑαυτὸν ἐπισκέπτεσθαι· καὶ διὰ τοῦτο οἱ ἀνακεχωρηκότες τόποι ζητοῦνται καὶ ἐρημάζοντες, πολλοὶ δὲ καὶ σπηλαίοις διὰ τοῦτο ἑαυτοὺς παραβύουσι, κρυπτόμενοι τὸν ἄνθρωπον, καὶ εἰς γῆς ὀπὰς παραδύονται, καὶ ἄλλα ποιοῦσι, δι' ὧν ἐκφεύξονται τὰς ἀγοράς, καὶ τὸν ἐν βίῳ φαντασμόν, καὶ τὴν σύγχυσιν, τὸ πολιτικὸν καὶ σύμβιον ὀκνοῦντες φιλεῖν, ὡς μὴ δυνάμενον προσάγειν θεῷ), αὐτὸς καὶ τἆλλα μὲν πολλὰ σκεψάμενος, ἐπέκρινε καὶ ἀπεδέξατο, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθεμένας εἶναι, καὶ αὐτὰ πρὸς τὴν ὕψιστον ἀρετὴν ἐθεώρησεν· οὐκ ἐξουδένωσε δὲ οὐδὲ τὴν προγονικὴν ζωήν, καθ' ἣν πατέρας ἔσχομεν τοὺς ἀρχεγόνους προπάτορας. Συνελογίσατο γάρ, θέατρον εἶναί τι καὶ τὸν καθ' ἡμᾶς βίον, θεαταῖς μὲν συγκροτούμενον τοῖς καθ' ἕκαστον τῶν βιούντων ἀνθρώπων, ἀγωνοθέτῃ δὲ βραβευτῇ τῶν ἄθλων πρυτανευόμενον τῷ μεγάλῳ θεῷ, ἀεθλευταῖς δὲ πονούμενον τοῖς ὅσοι ζῶσι κατ' ἀρετήν, οἷς ὁ ἀγὼν οὐ πρὸς σάρκας, ἀλλὰ || Ms. fol. 120. b. πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ὧν σπούδασμα, προσβάλλειν ἀνθρώποις, καὶ καταβάλλειν, καὶ οὕτως αὐτοῖς ἀεὶ καθίστασθαι εἰς ἀντίπαλον. Διὸ καλὸν μὲν εἶναι, καὶ εἰ καταμόνας ἀποδυσάμενός τις πυγμαχεῖ καὶ νικᾷ κατὰ τοῦ δαιμονίου φύλου, μόνου τοῦ παμβασιλέως ἐφορῶντος θεοῦ, εἰς ὃν ἅπας ἀθλητὴς ἀνατείνει τὸν νοῦν, τὸ πάντιμον στέφος ἐκεῖθεν ἐκδεχόμενος, ὃ τοὺς τοιούτους νικηφόρους κοσμεῖ· χρῆναι δὲ ἄλλως, καὶ ἐπὶ θεατῶν πάνυ πολλῶν παγκρατιάζειν τε, καὶ τοὺς λοιποὺς ἐξανύειν ἀγῶνας κατὰ πνεῦμα. Οὕτω γὰρ ὁ ἐπ' ὄψεσι μυρίαις καταῤῥιπτῶν τὸν ἀντίμαχον, οὐκ ἂν ἐντρέποιτο τὸν μονάζοντα, ὑπεραναβαίνοι δὲ ἂν οἶμαι τῷ κατορθώματι. Ὁ μὲν γὰρ μονάζων ὡς ἐπὶ σταδίου λείου καὶ μηδὲν τὸ συμποδίζον ἔχοντος, καὶ παλαίει, καὶ θέει, καὶ πὺξ ποιεῖται, καὶ τἆλλα τοῦ ἀγῶνος ποιεῖ· ὁ δὲ περὶ μέσας ἀγυιὰς κόσμου θεῖος ἀγωνιστής, τριβόλων ὑπεστρωμένων, ἃς καὶ ἀναφύει καὶ ὀξύνει συρφετώδης βίος, ἔτι δὲ καὶ λίθων ὑποκειμένων μυρίων προσκόμματος, ἀεθλεύει· διὸ καὶ νικήσας ἔχει τε καὶ πλέον ἐπικόσμημα, τά τε ἄλλα, καὶ ὅτι καὶ ἄλλους εἰς τὸν ὅμοιον προκαλεῖται ζῆλον, καὶ οὕτω πληθύνει τοὺς κατὰ θεὸν ἀριστεῖς. Εἰ δὲ ὁ τὸν μονάζοντα ἀθλητὴν βλέπων ἐν τῷ κρυπτῷ, ἀποδίδωσιν ἐν τῷ φανερῷ, οὐκ ἂν τὸν ἐν τῷ φανερῷ ἀθλοῦντα, καὶ οὕτω διεκφυγόντα τὸ οὐαὶ τῷ ἑνί, καὶ τὸ ἀνέγερτον ἐν τῷ καταπεσεῖν, ἀφήσει δικαίας ἔξω ἀνταποδόσεως; Οὕτω καὶ ἥλιος καλὸς μὲν (ἐπεὶ καὶ ἥλιος), ὅτε ὑπὸ γῆν ὁδεύει, καὶ οὐδεὶς αὐτῷ ἐπιβάλλειν ἔχει τὴν ὄψιν· τῷ παντὶ δὲ καλλίων, ὅτε ἀνατείλας ποιεῖ τὰ κατ' αὐτὸν καλά, οἷς αὐτὸν ὁ θεὸς ἐνέλαμψε μέχρι καὶ δύσεως. Εἰσὶ δὲ καὶ θεοῦ ἀόρατα· ἡμῖν δὲ ἀλλ' ἀκατάληπτα καὶ θαυμαζόμενα τὰ ὁρατὰ τούτου, εἴτ' οὖν θεωρητά.

11. Ταῦτα καὶ ἕτερα (εἰσὶ δὲ ἀληθῶς πολλὰ τοιαῦτα) καθ' ἑαυτὸν διαλογιζόμενος ὁ ἐκ παίδων τὰ θεῖα σεσοφισμένος Φιλόθεος, ἐπόθει μὲν καὶ τὴν ἀναχώρησιν, καὶ τὴν τοὺς πολλοὺς λανθάνουσαν ἄσκησιν· ταλαντεύσας δὲ ὅμως ἐν ἀκριβεῖ σταθμώματι τὸν μονίαν βίον καὶ τὸν πολιτικόν, τοὺς κατὰ θεόν, ὡς

αὐτὸς διεῖλε, καὶ διελὼν ἐπέκρινεν, ἐγένετο τοῦ κατὰ βίον ἐναρέτου πολιτεύματος· ὃ καὶ ὁ μακαριώτατος Ἰὼβ προελόμενος εὐδοκίμησεν, ὡς οὐκ οἶδ' εἴ τις τῶν πώποτε. Καὶ δὴ μεθοδεύσας ἐγκώμια γάμου μυρία ὅσα, καὶ ἐθελήσας, ὥσπερ αὐτὸν οἱ γεννήσαντες, οὕτω καὶ αὐτὸς ἀφεῖναι καλὸν ὅμοιον ἐν τῷ κόσμῳ, διαδοχὴν τιμίαν, ἐπιγονὴν μακαρίαν, εὐλογητὸν σπέρμα, κοινοῦται τὸ σκέμμα τοῖς γειναμένοις· καὶ αὐτοὶ ἄσμενοι τὸν τοῦ υἱοῦ λόγον προσίενται, μεμφόμενοι μὲν ἑαυτούς, ὅτι μὴ προήρπασαν τὴν βουλήν, χαίροντες δέ, ὅτι καὶ ἐνταῦθα πατρῴζει ὁ παῖς. Καὶ αὐτίκα || (Ms. fol. 121. a.) μελετῶσι τὴν ἐκπεφωνημένην σύζευξιν· καὶ τὸν μόσχον αὐτοὶ ἔχοντες, ὃς ὑπὸ εὐλογημένον ἔσται ζυγόν, ἐπεζήτουν τὴν δάμαλιν· καὶ ταχὺ εἰρηκότες, συνήγαγον τοῦτόν τε καὶ ἐκείνην ἀλλήλων ἀξίους· καὶ ζεῦγος θεοῦ δι' αὐτῶν ἀπετέλεσαν, δεξιὸν καὶ ἀροῦν καὶ σπείρειν καὶ φορτηγεῖν τὰ σωτήρια. Θεὸς δὲ ὁ τούτους ἐπιλεξάμενος, καὶ φυτὰ παραδείσῳ πρέποντα ἐνθέμενος τῇ τῶν Ὀψικιανῶν γῇ, οὐκ ἀφῆκε μὴ τελεσφορῆσαι αὐτὰ καὶ ῥίζωμα στερέμνιον, καὶ πρέμνου ἀναδρομήν, καὶ βλάστην ἁδράν, καὶ καρποὺς ἐν καιρῷ εὐγενεῖς· ἀλλὰ θέλημα τῶν φοβουμένων αὐτὸν κἀνταῦθα ποιῶν, ἐπλήθυνε τὸν οἶκον τῷ Φιλοθέῳ ταῖς διὰ τέκνων ἐπιγοναῖς, καὶ αὐτῶν οἵων ἐπισπᾶσθαι πατρός τε ἀγαθοῦ εὐλογίαν καὶ μητρὸς ἐπὶ τέκνοις εὐφραινομένης.

12. Τὸ δὲ ἐντεῦθεν (ἵνα μὴ τῷ καλῷ τῆς πρῴην ἀρετῆς παραμιχθείη τι τῆς ἐν βίῳ φαυλότητος, μηδὲ ὁ κατὰ κόσμον κάματος τοῦ καλοῦ τούτου ζεύγους τὸν πρῴην σῖτον ἀχρειώσῃ ζιζανίου παραφυάδι), ἄλλη μέθοδος ἀρετῆς τῷ ἁγίῳ ἦν περισπούδαστος. Ἑαυτόν τε γὰρ ἐπὶ τοῖς προτέροις ἀγαθοῖς ἐτήρει, ὁ αὐτὸς ὢν τὰ εἰς ἀρετήν, καὶ μὴ ἀλλοιούμενος, καὶ τὴν ὁμόζυγα εἰς ὅμοια εὔθυνε· καὶ κατώρθουν ἐπίσης τὸ τοῦ θεοῦ ἔργον ἀμφότεροι. Καὶ οὐκ ἦν ζυγομαχεῖν αὐτούς, πολλῷ δὲ πλέον οὐδὲ παροιστρεῖν. Ἐνεθυμοῦντο γὰρ τὰς παλαιὰς συζυγίας τῶν τοῦ θεοῦ ἀνθρώπων, οἳ βοηθοὶ πρὸς θεοῦ δεδομένοι ἀλλήλοις, ἐργάται ἦσαν ἐκείνου ἄξιοι.

13. Ὡς δὴ ταῦθ' οὕτως εἶχε, καὶ ἐχρῆν τὸν τοῦ θεοῦ πελάτην ἐγγυτάτω πλέον ἐκείνου γενέσθαι (ἔδει δὲ καὶ ἄλλως τὸν ἀεὶ θεωρητικὸν ἐπιτεῖναι τὴν διόρασιν, καὶ ἀντὶ νοεροῦ νοῦν ὡς ἐξὸν ἀποτελεσθῆναι, καὶ εἰς ἀγγελοειδὲς ἀναχθῆναι), γίνεται πρὸς ἐπιθυμίας αὐτῷ, καὶ εἰς ἱερωσύνης ὕψος ἀναπτῆναι, καὶ οὕτως ἐγκαταμῖξαι τοῖς τοῦ θεοῦ παραστάταις ἑαυτόν, τεχνησάμενος τὴν ἀρχὴν μὲν πρὸ πυλῶν ῥιπτεῖσθαι θεοῦ, ὅτε τὰ κατ' ἀρετὴν εἰσαγωγικὰ ἐπονεῖτο· εἶτα καὶ ζητήσας εὐαγγελικῶς εἰς εὕρεσιν, καὶ κρούσας εἰς ἄνοιξιν· μετὰ δὲ εἰσελθὼν καὶ ἰδὼν τὸν ποθούμενον, καὶ ἀκολούθως ἐγγίσας, καὶ ἐπὶ πᾶσιν ἑνωθείς, εἴτε καὶ ἀνακραθείς, ὥσπερ τῷ πόθῳ αὐτοῦ, οὕτω καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσιν.

14. Ὡς οὖν καὶ τοῦτο καλὸν ἦλθεν αὐτῷ ἐπὶ νοῦν, καὶ ἐξεφάνθη, καὶ ἐκτελεῖσθαι ἤρξατο, καὶ ὁ ἱερὸς κανὼν ἐζήτει τὴν ἐκ μαρτυριῶν σύστασιν· ἣν ἰδεῖν ἐνταῦθα οὐ προσκαλουμένους τοὺς μαρτυρήσοντας ἀρετὴν παντοίαν αὐτῷ, οὐδὲ πρὸς ἀξίωσιν λαλοῦντας, ἢ ἄλλο τι ἐφολκόν, ὁποῖα πολλὰ ἐν τοῖς τοιούτοις τεχνάζονται οἱ μὴ κατ' ἀρετὴν αὐτόθεν προλάμποντες, ἀλλὰ νόθον φῶς ἐπικτώμενοι. Οὐ τοίνυν κλητοὶ καὶ ὡρισμένοι παρήγοντό τινες μάρτυρες· ἀλλὰ ἅμα περιῆλθε φήμη τοὺς ἐγχωρίους, ὡς ὁ τοῦ Θεοφίλου βίος πολυπραγμονεῖται, εἰ ἐκλάμπει, καὶ προφανῆναι ζητεῖται εἰς ἱερωσύνην || (Ms. fol. 121. b.) προκαλουμένου· καὶ ὡς εἰς γλῶσσαν μίαν συντακέντες ἅπαντες καὶ ἐνθεάζοντες ἐμεγάλυνον τὸν ἄνδρα, οὐκ ἀγνοούμενον οὐδὲ τοῖς ἐρωτῶσι τὰ κατ' αὐτόν. Κανόνος γὰρ εὐθυτάτου ἐκεῖνοι ἐπλήρουν παράγγελμα· οὐ μὴν ἄλλως ἠκριβοῦντο πρὸς ἄγνοιαν. Ἐτελέσθη γοῦν καὶ τὸ ἱερώτατον οὕτως ἐπ' αὐτῷ χρίσμα, καὶ εἰς ἱερέα καταστάς, οἷα καὶ φωτὸς ἄγγελος καὶ φλόγεος λειτουργός, οὐκέτι μιμητὸς ἦν, οὐδὲ οἷος ἔχειν ἀνθάμιλλον· ἀλλὰ διπλασιάσας τὴν ὡς ἄν τις εἴπῃ διὰ πασῶν ἀρετὴν μολπήν, καὶ τὸ ὑπέρτονον ἁρμοσάμενος, ἀγγελικὴν ἐμμέλειαν ἀνεβάλλετο, ταῖς ἱεραῖς παραμένων εἰς πλέον συνάξεσι, θείοις ψαλμοῖς καὶ ὕμνοις προστετηκώς, ἀναγινώσκων τὰ μὲν ἐπ' ὠφελείᾳ τῶν ἀκροωμένων, τὰ δὲ καὶ καταμόνας εἰς θησαύρισμα ψυχῆς, νῦν μὲν ἑαυτῷ ἀποτιθέμενον ταμιευτικῶς, αὔριον δὲ προβλησόμενον καὶ τοῖς ἀπολαύειν ἐθέλουσιν.

15. Οἶκος δὲ αὐτῷ ἦν ὡς τὰ πολλὰ ὁ τοῦ θεοῦ οἶκος, ἐν ᾧ οἷον πεφυτευμένος κάρπιμον ἔθαλλεν. Ὀλίγα οὖν ὁ ἥλιος αὐτὸν ἑώρα ἐμφιλοχωροῦντα τοῖς πρῴην συνήθεσιν, ὁπότε τυχὸν ἐπισκέψασθαί τι ἔδει τῶν ὅσα τοῖς κατὰ κόσμον ἀναγκαιότατα· ὁποῖον δή τι καὶ ἡ περὶ γῆν αὐτῷ ἐργασία. Ἠγάπα γὰρ οὐ μόνον θητικαῖς χερσὶν ἀνασκάλλειν τὴν γῆν εἰς παντοδαπὸν φύτευμα, ἀλλὰ καὶ χερσὶ πονεῖσθαι περὶ αὐτήν, εὐγενὲς τοῦτο ἐπικρίνας ἔργον εἶναι καὶ ἀνθρώπῳ προσῆκον. Δυεῖν γὰρ τούτων, γῆς τε καὶ θαλάσσης, ταύτης μὲν ἡ ἐργασία ἐπείσακτος ὕστερον χρόνου, καὶ οὐδὲ πεφιλημένη τοῖς ἐθέλουσι μακρά τε ζῆν καὶ ἀκίνδυνα· γῆ δὲ ποθουμένη, ὅσα καὶ μήτηρ, φιλεῖ τε καὶ ἀσπάζεται τοὺς κυπτάζοντας περὶ αὐτήν, καὶ τὸν Ἀσφάλιον προϊσχομένη συντηρεῖ τοὺς γεηπονοῦντας εἰς καίριον. Καὶ ἔστιν ἡ γεωργία ἡ ὁπωσοῦν

ἀγαθὸν ἀρχέγονον, πλουτοποιὸν ἔργον, ἀκίνδυνον καλόν, τέχνη συγγενὴς ἀνθρώποις.

16. Ταῦτά τε οὖν, καὶ ὅσα τοιαῦτα σεμνὰ τῆς γεωργικῆς, καθεῖλκε τὸν Φιλόθεον εἰς αὐτήν, καὶ ὅτι τοῦ κατὰ σῶμα πηλοῦ ἐξικμάζει, καὶ οὕτω στεγανὸν ἐκεῖνον ποιεῖ καὶ καρτερικὸν εἰς ἔργα. Ἐφιλοσόφησε τοίνυν, δέον εἶναι κἀνταῦθα ἐπικρῖναι τὸ κρεῖττον· καὶ εἰδώς, ὁπόσον ἱδρῶτα εἰς δέον ἐκβλύζει τῶν σαρκῶν ὁ γεωπονῶν, καθότι καὶ ἐν ἱδρῶτι προσώπου φαγεῖν τὸν ἄρτον ἡμῶν κατακεκρίμεθα, καὶ ταλαντεύσας πρὸς ἐκεῖνον τὰ ἐξ αὐτοῦ καλά, καὶ καθέλκειν αὐτὰ ῥοπῆς λόγῳ διαγνούς, γίνεται τῆς τέχνης ταύτης εἰς βίου τε πορισμὸν καὶ τῆξιν σαρκῶν· καὶ ἀρετὴν ἐν ταὐτῷ καὶ βίον τεχνώμενος, καὶ οὕτω ποριζόμενος τὰ ἐκ γῆς ἀγαθὰ διαβαίνοντα καὶ ἐς ψυχήν, τοῖς τε οἰκείοις ἐπεμέτρει τὸ ἀρκοῦν, καὶ τοῖς δεομένοις ἐκ δικαίων πονημάτων ἐσιτομέτρει τὰ δέοντα. Οὐδέποτε γὰρ ἀνίει ἐξαντλῶν τὴν παρ' αὐτῷ περιούσιον δεξαμενὴν τοῖς
Ms. fol. 122. a. διψῶσιν αὐτῆς, οὐ τοσοῦτον ἑαυτῷ || καὶ τοῖς αὐτοῦ πονούμενος, εἰς ὅσον τοῖς ἐν Χριστῷ ἀδελφοῖς.

17. Ἦσαν δὲ ἄρα πάντα ταῦτα τῷ ἁγίῳ οὐ μόνον αἴτια τοῦ ἁπλῶς ἐν βίῳ σεμνύνεσθαι, καὶ εὐκλείαις ἐλλάμπεσθαι, καὶ ἐν λόγοις καὶ ἐν ἔργοις εἶναι περίβλεπτον, δι' ὧν θεωρία κατορθοῦται καὶ πρᾶξις· ἀλλὰ καί τις μεγίστη προσθήκη ἐκ θεοῦ, ὁποίαν αὐτὸς οἶδεν ἐπιμετρεῖν τοῖς ἄκρως ποθοῦσιν αὐτόν, ἐξαριθμούμενος τὸν πόθον, καὶ ἀντάλλαγμα διδοὺς τὸ μεγαλεῖον τῆς δόσεως. Δίχα γὰρ τοῦ ἄλλως βοηθεῖν τοῖς χρήζουσι διά τε εὐχῶν καὶ ἀλοιφῆς (ἐλαίου ἀγαλλιάσεως κατὰ τὸν ψαλμῳδόν), καὶ χειρῶν ἐπιθέσεως, καὶ τεράστια κατειργάζετο θαύματα, ἄρτους τε καὶ λοιπὰ σῖτα ἐξ ἀφορμῶν ὀλιγίστων εἰς πολὺν ἀριθμὸν πληθύνων, κατὰ τὸν ἀψευδῶς ἐπαγγειλάμενον κύριον, ὡς οἱ αὐτὸν θεραπεύσαντες, ἃ ἐκεῖνος ποιεῖ, καὶ αὐτοὶ ποιήσουσι, καί που καὶ μείζονα· καὶ ταμιείων οὐδὲν ἐχόντων, ἀλλὰ παντελῶς διακένων, ἐκφορῶν τοῖς ἐν ἐνδείᾳ τὰ χρήσιμα, καὶ οὐ μόνον αὐτό, ἀλλὰ καὶ οἶνον σχεδιάζων κατὰ τὸ ἐν Κανᾷ θαῦμα τὸ εὐαγγελικόν, καὶ οὕτως ἄρτῳ μὲν στηρίζων, οἴνῳ δὲ εὐφραίνων τὰς τῶν δεδεημένων καρδίας. Λέγεται γὰρ καὶ πιστεύεται, ὅτι καιρός τις ἦν τότε, καὶ ἦν, καὶ οἶνος οὐκ ἦν τοῖς αὐτοῦ ἐπιδεέσι. Καὶ αὐτοὶ μὲν ἐλάλουν τὰ πρὸς ἱκεσίαν, ὑπὲρ οὗ ἐλείποντο· ὁ δὲ θεὸς ἐπήκουε, καὶ τῷ αὐτοῦ θεράποντι Φιλοθέῳ ἐπιτάξας, κατεπράξατο δι' αὐτοῦ τὸ καλόν. Ποτάμιον γάρ τι αὐτοῦ που παραῤῥέον, ἔνθα ἡ δέησις, εἰς οἶνον μετέβαλε, σταυρὸν τυπώσας καὶ ἐπευξάμενος. Εἰ δὲ πέτρα παλαιτάτη ἐκείνη ῥάβδῳ πληγεῖσα ὕδωρ ἐξέῤῥηξε, καί τις γῆ μέλι καὶ γάλα θαυμασίαν ἔφηνε σύῤῥοιαν, καὶ ποταμοὶ δέ, οἱ καὶ αὐτοὶ γραφικοί, εἰς αἷμα μετετράπησαν· παραπηκτέον ταῖς μεταβολαῖς ἐκείναις καὶ οἶνον τοῦτον ποταμῷ ῥεύσαντα, οὐ σταφυλῆς αὐτὸν αἷμα, εἴποι ἂν ὁ μωσαϊκῶς ληνοβατῶν, δεξιᾶς δὲ ὑψίστου βροχὴν ἑκούσιον, ἀφωρισμένην τοῖς δεομένοις αὐτοῖς. Καὶ δὴ θεωρητέον ἐνταῦθα, ὅτι θεοῦ δεδωκότος, τοῦ τῶν θαυμασίων, τοῦ τῶν τεράτων, τοῦ τῶν δυνάμεων, τοῦ τῆς ἀληθείας, ἰδοὺ θαῦμα τοῦτο μεῖζόν τι τοῦ ἐν Κανᾷ, καθάπερ αὐτὸς ἐπηγγείλατο. Οὐ πίθοι γάρ, οὐδὲ πιθάκναι, οὐδὲ ἀμφορεῖς, οὐδὲ λάγυνοι, οὐδὲ βῖκοι, ποτάμιον δὲ ὅλον οἴνῳ βλύζον διὰ τοῦ Φιλοθέου, προῤῥέει τοῖς ἠξιωμένοις τοιούτου τέρατος. Καὶ τοῦτο μὲν οὕτω πρὸς χρηστότητα συμποσιακήν.

18. Ἐπεὶ δὲ πολλὴ καὶ ἐν ταῖς θαυματουργίαις διαφορὰ ταῖς ἐκ τῶν τοῦ θεοῦ ἁγίων (αἱ μὲν γὰρ αὐτῶν ὑγιάζουσιν, αἱ δὲ τρέφουσι, τινὲς δὲ καὶ τὸ ἄλλως ἐνδέον ἀναπληροῦσιν, ὅτε τινὲς δέονται, τὰ μὲν ἀπάγουσαι, τὰ δὲ παράγουσαι, ἔστι δ' ὅτε ἀποτελούμεναι καὶ πρὸς φόβον καὶ ἔκπληξιν, ὁποία καὶ ἡ τῆς κατηραμένης συκῆς, δι' ἧς τὸ Ἰουδαϊκὸν φῦλον, καὶ ὅσον δὲ ἄλλο τοιοῦτον, τὴν τοῦ θεοῦ ἐξεπλάγη δύναμιν, ὡς μὴ || μόνον ζωογονοῦντος, ἀλλὰ καὶ θανατοῦν Ms. fol. 122. b. δυναμένου, μηδὲ μόνον τὸ κατὰ ὑγίειαν ὑγρὸν χορηγοῦντος, ἀλλὰ καὶ ἀποξηραίνοντος), ἐνήργησε καιροῦ λαλοῦντος καὶ ὁ Φιλόθεος θαῦμα, σκοποῦ τινος τοιούτου ἐχόμενον. Λίθον γὰρ οὔτε χερσὶ ληπτόν, οὔτε ὤμοις φορητόν, οὔτε οἷον κυλίεσθαι, ἀλλὰ γῆς ἄχθος εἶναι, καί τι καὶ βλάπτειν, ὁποῖα πολλὰ γίνεται, λόγον ἐπιπέμψας, ὅσα καὶ μοχλὸν εὐμήχανον, οὐ μόνον διώχλισεν ὑποσαλεύσας, ἀλλὰ καὶ μετέθηκε. Καὶ ἦν ἀναλάξευμά τι καὶ τοῦτο θαῦμα ἐκείνου, ὃ δίδωσιν ὁ θεὸς τοῖς αὐτοῦ μαθηταῖς ἐπαγγειλάμενος, καὶ ὄρη μετακινεῖν αὐτοὺς ἐπιτάσσοντας, καὶ μεταβιβάζειν ἐκ τῆσδε βάσεως εἰς ἄλλην ἑλκόμενα πίστεως πείσμασι. Τίς οὐκ ἂν ἐνταῦθα ἐξεπλάγη τὸν μέγαν Φιλόθεον, οὕτω καὶ τοῖς ἀψύχοις ἐπιτάττειν δυνάμενον, καὶ τὴν ἐπιταγὴν βλέπων εἰς ἔργον προβαίνουσαν; Ἐγκοπὴ παντὸς κακοῦ τὸ τοιοῦτον θαῦμα. Οὐκ ἂν ὡρογλύφησεν, οὐκ ἂν οἰκίαν πρὸς οἰκίαν ἤνωσεν, οὐδὲ ἀγρὸν πρὸς ἀγρόν, εἰ οὕτω δύναται ὁ Φιλόθεος διασπᾶν καὶ μεταβιβάζειν ἄχθη βαρύτατα, ἐν χρῷ γῆς κείμενα, καί, ἀκριβὰς εἰπεῖν, ἀμετάθετα. Τὸ δὲ ὅλον φάναι ἄλλως· οὐδεὶς τοιοῦτον ἰδὼν ἐνδύναμον ἀπειλητῆρα, ἐθρασύνετο ἂν ἁμαρτίαις ἐπιβαλεῖν, αἵτινες εἰς ἀκοὴν τῷ ἐκδικητῇ Φιλοθέῳ ἐλεύσονται.

19. Ὅσα δὲ καὶ ἄλλα ἔτι ζῶν ἀπετέλεσε, θαῦμα προκαλούμενα, ἔστιν ἐκ τῶν ἐκεῖσε κατὰ χώραν πορίζεσθαι

τοὺς ἐναρέτοις φιλακροάμονας, καὶ τὰ ἐς ψυχικὴν ἐμπορευομένους ὠφέλειαν, τὰ μὲν ἐξ ἱστορίας ἀναλεγομένων, τὰ δὲ καὶ εἰσέτι πειρωμένων τῆς τούτων θαυμασιότητος. Ἡμῖν γὰρ οὐ καιρὸς, ἐνδιατρίβειν αὐτοῖς ἐπὶ πλέον, προθεμένοις ἐκ βραχυτάτων τινῶν ἐμφῆναι τὸ μεγαλεῖον τοῦ κατὰ τὸν Φιλόθεον πολιτεύματος. Διόπερ ἑνός τινος ἢ καὶ δευτέρου τῶν τούτου ποιησάμενοι μνείαν, καὶ αὐτῶν οὐχ οἵων ἐξ ἐπιζωῆς τοῦ μεγάλου, ἀλλὰ μετὰ ἀποβίωσιν, δι' ἧς ἀμέσως τῷ παμβασιλεῖ παρίστη θεῷ, ψυχὴ ἀκραιφνής, νοῦς αὐτόχρημα, καταλύσομεν τὸν λόγον, συμμετρίας ἐστοχασμένοι, ὁποίαν προεθέμεθα.

20. Ἤδη μὲν ὁ κατὰ δαιμονίων πτηνῶν μέγας ἀετὸς ὁ Φιλόθεος ἐπτερύξατο πρὸς τὸν ὕψιστον, εἰς πολλὰς κεφαλὰς τοιούτων ἀνόμων βαλὼν θάνατον. Καὶ εἶχεν αὐτοῦ τὸ μὲν θειότατον ὁ τοῦ θεοῦ θρόνος, τὸ δὲ μὴ τοιοῦτον, ἀλλ' ἐκ τῶν κάτω καὶ γῆς αὐτῆς, ἡ γῆ, ἐξ ἧς εἴληπτο, χαίρουσα τῇ καταθέσει αὐτοῦ, καὶ οὐκ ἐπιχειροῦσα εἰς φθοράν, εἴτ' οὖν διαφθοράν, ἀλλὰ συντηροῦσα, καὶ θέλουσα μὲν ὅλον ἐκεῖνον δέξασθαι καὶ ἀμφέπειν ἀείζωον, ὅτι δὲ μὴ εἶχε περισχεῖν τὸ ἀκατακράτητον, ἀρκουμένη τῷ καθεκτῷ σώματι, οὐκ ἀχρειοῦντι τὴν μητέρα δυσώδεσιν ἀποφοραῖς καὶ σηπεδόνος δριμύτησιν, ἀλλ' εὐωδιάζοντι καὶ μυροῦντι, || [Ms. fol. 123 a.] ὡς εἰ καὶ ἀρωμάτων καὶ θυμιαμάτων ἦν θήκη· ἵνα, οὗ ζῶντος αἱ εὐχαὶ εἰς θεὸν κατευθύνοντο ὡς θυμίαμα, ἐκείνου καὶ τὸ σῶμα καθὰ καὶ θυτήριον, ταὐτὸν δ' εἰπεῖν, θυμιατήριον ὀδμῆς πεπλησμένον εἴη, ὁποίᾳ χαίρειν οἶδε θεός. Ἦν τοῦτο εἰς ὅλον ἐνιαυτόν· καὶ ἐθαυμάζετο καὶ μεταμελος ἦν τοῖς τότε τὸν ἅγιον κρύψασιν ὑπὸ γῆν, ὅτι μὴ τῷ θησαυρῷ ἀνάλογον πεφιλοτίμηται θησαυροφυλάκιον, ὅτι μὴ κατὰ τὸ μῦρον τιμία ἡ μυροθήκη, ὅτι μὴ καὶ τὸ ἀλάβαστρον ἄξιον τοῦ πολυτιμήτου ἐλαίου. Καὶ τοίνυν μελέτην ἔθεντο, μεταθέσθαι τὸν ἅγιον, ὅποι μᾶλλον ἐχρῆν, καὶ μνημεῖον αὐτῷ πρὸς ἀξίαν τεχνήσασθαι. Καὶ ὡς ἐγίνετο τοῦτο, καὶ ὁ πλοῦτος ἐκεῖνος μετεκομίζετο εἰς ἕτερον τιμιώτερον γαζοφυλάκιον, ἤρεσε τῷ τῶν Χριστιανῶν παμβασιλεῖ, τῷ τοῦ Φιλοθέου θεῷ, αὐτόν τε ἀποσεμνῦναι θαυμασιώτερον, καὶ τύπον ἀναστάσεως καὶ αὐτῷ ἐνσημήνασθαι. Καί, ὢ θαύματος ἀῤῥήτου, καὶ οἵου ὑπερανίστασθαι συγκρίσεως· οἱ μὲν τῆς μεταθέσεως ἱεροὶ κηδεμόνες ἠρέμα τὰς χεῖρας ὑπέβαλλον, καὶ πεφεισμένως τοῦ ἱεροῦ ἐδράττοντο σώματος, καὶ ἐμφρόνως αὐτὸ ὑπολαμβάνοντες, ἐπιμελῶς ἀνεῖχον, εὐλαβούμενοι, μήποτέ τι συντριβὲν διαιρεθῇ τῆς ἱερᾶς ἐκείνου διμοιρίας. Ὁ δὲ δεικνύς, ὡς οὐ διαλέλυται, ἀλλ' ἐν θεῷ ζῇ, ζῶντα δὲ οὐκ ἔστι παθεῖν συντριβήν, ἄμφω τὼ χεῖρε διαπετάσας, ὡς εἴπερ ἔζη, ἔπειτα καμπύλας αὐτὰς σχηματίσας, ὥστε περιλαβεῖν, καὶ τῶν ὤμων καταπετάσας αὐτὰς ἱερέων ἐκείνων δύο μετατιθέντων, καὶ στερεῶς δραξάμενος, καὶ οὕτως ἀπερεισάμενος, ἀνέστη τε εἰς ὄρθιον, καὶ βήματα τρία διαβάς, καὶ τρισὶ ταύταις βάσεσι μετρήσας τὴν κίνησιν, εἶτα κατέπεσε, τεθείς, ὅποι πεσεῖν κεκύρωτο. Καὶ οἵαν μὲν ἔπαθον ἔκπληξιν οἱ τηνικαῦτα παρόντες, καὶ μάλιστα ἡ μακαριστὴ δυὰς ἱερατικὴ· ἐκείνη (μακάριος γὰρ πάντως καὶ ὁ τοιοῦτον ἐπάρας βάσταγμα, καθὰ καί τι φορτίον εὐαγγελικόν), οἴδασιν οἱ τότε περιτετυχηκότες τῷ θαύματι. Ἐμὲ δὲ ἐκπλήττει, πῶς ποτε οὐ παρελύθησαν φόβῳ οἱ βαστάσαντες, πῶς δὲ οὐκ ἐξέστησαν ἄλλως ἐπὶ οὕτω καινοτάτου πείρᾳ πράγματος. Ἔγωγ' οὖν, εἰ παρῆν, οὐκ ἂν κατέσχον ἐμαυτὸν τοῦ ἐντὸς μεῖναι, εἰ μή τι ἄρα καὶ διεφώνησα. Καὶ ἴσως μὲν ἐκεῖνοι ἔπαθον ἄν τι τοιοῦτον. Τί γὰρ ἀπεικός, οὕτω συμβῆναι, εἰ μὴ ὁ φερόμενος ἅγιος ἀνεζώου ἐκείνους, καὶ κατὰ φύσιν ἔχειν ἐδίδου; Ἐγὼ δὲ θαυμάζω, καὶ ὅτι μετατεθεὶς ἐπλημμύρει τοῖς μύροις εἰς πλέον, ἤπερ πρότερον, δεικνὺς ἐντεῦθεν τοῖς φιλοθέοις, οἷον ἡ πρὸς τοὺς ἁγίους τοῦ θεοῦ τιμή, καὶ ὅπως δι' αὐτῆς ἐπαύξεται ἡμῖν τὰ ἐκ θεοῦ ἀγαθά. Τιμωμένου γὰρ ἁγίου καὶ χαίροντος, ὡς τετίμηται, πλεονάζει καὶ τὸ ἐν ἐκείνοις θαῦμα, καὶ παρα || [Ms. fol. 123 b.] μένει διηνεκὲς εἰς ἰατρείαν ψυχῆς τε τῆς ποθούσης, καὶ σώματος τοῦ δεομένου. Οἴδαμεν γάρ, τὰς ἐπὶ τοῖς ἁγίοις ἐκ τοῦ θεοῦ χάριτας εἰς ἡμᾶς διαβαίνειν. Οὐκ ἀγνοοῦμεν, ἀλλ' ἠκριβώμεθα, ὡς ἐκείνων καταντλουμένων τοῖς ἐκ θεοῦ καλοῖς, ἀποῤῥέει αὐτὰ καὶ εἰς ἡμᾶς, ἐπειδὴ καὶ ἄλλως οὐδέν τι τῶν τοιούτων οἱ τοῦ θεοῦ θεράποντες δέονται, ὅτι μὴ δι' ἡμᾶς αὐτούς. Θαυματουργεῖν γὰρ συγκεχωρημένοι τιμῶνται· τιμώμενοι δὲ ἀμείβονται ἡμᾶς τῶν χαρίτων. Ἀμειβόμενοι δὲ σωτηρίαν ἡμῖν ἐκ θεοῦ πρεσβεύουσι, καὶ ἡ πρεσβεία εἰσακούεται, καὶ τὰ ποθούμενα καταπράττεται ἀγαθά· ὧν εἴημεν μετέχοντες ἐνταῦθά τε καὶ εἰς τὴν ἐκεῖσε ζωήν, ἱκεσίαις μὲν τοῦ ὑμνηθέντος μεγάλου Φιλοθέου, θεοῦ δὲ ἐπινεύσει, ᾧ ὕμνος καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ.

1. Εὐλογεῖται στέφανος ἐνιαυτοῦ πάντως ὑπ' αὐτοῦ θεοῦ, ὦ ἀδελφοί, καὶ ἡ τοιαύτη εὐλογία φαίνεται οὐ δόσις ἁπλῶς εἶναι, ἀλλὰ ἀντίδοσις. Εὐλογούμενος γὰρ ὁ θεὸς ὑφ' ἡμῶν, ἀντευλογεῖ τὰ καθ' ἡμᾶς. Εὐλογεῖται δὲ θεὸς ὑπ' ἀνθρώπων οὐ δοξολογίαις μόνον ὑμνῳδικαῖς καὶ λοιποῖς εἴδεσι, δι' ὧν τὸ εἰς αὐτὸν εὐχάριστον ἀπαρτίζεται, ἀλλὰ μάλιστα ταῖς κατὰ βίον ἀριστοπραξίαις, ὧν τὸ τέλος θεοῦ τε ἐξαρτᾶται, καὶ εἰς ἐκεῖνον ἀνανεύει, καὶ οὕτω δοξάζει καὶ μεγαλύνει, ἀγαλλιωμένης τῆς ψυχῆς τοῦ τε πράττοντος τὸ ἄριστον, καὶ τῶν εἰς αὐτὸν ἀποβλεπόντων καὶ τῇ μιμήσει βελτιουμένων.

2. Ἵνα δὲ τὸν λόγον ἀναλαβὼν ἐπὶ πλέον ἀκριβώσωμαι, ἡ πρώτη μὲν τοῦ κόσμου παραγωγικὴ ἔκφανσις καὶ ἡ τηνικαῦτα κειμηλιωθεῖσα τῷ βασιλεῖ ἀνθρώπῳ, πρινὴ καὶ γενέσθαι, φιλοτιμία τῶν κατὰ κόσμον ἀγαθῶν, ἐκείνη δόσις ἦν αὐτόχρημα. Οὐ γάρ ποθεν καλὸν ἀνθρώπινον ἀπολαβὼν ὁ θεός, εἶτα φιλοτιμησάμενος ἀνταπέδωκεν· ἀλλ' ἄντικρυς ἔδωκε. Καὶ ἐδίδου ἂν ὁμοίως ἕως καὶ νῦν κατὰ τὴν ἐν αὐτῷ παραγωγὸν σοφίαν, εἰ μὴ παρεισκριθεῖσα φαύλη προαίρεσις, ἁμαρτίας ἁπάσης μήτηρ, ἀπεκώλυεν. Ἄρτι δὲ δι' αὐτὴν οὐκ ἀεὶ ἁπλῶς οὕτω δίδωσιν ὁ θεός, ἀλλ' ἀντιδιδόναι φιλεῖ κατά τινα δοσοληψίαν αὐτῷ πρέπουσαν.

3. Πρέπει δὲ ἀναγκαίως τῷ ἀγαθῷ, ἀγαθά τε διδόναι, καὶ ἀντιλαμβάνειν τοιαῦτα. Πονηρὸς μὲν γὰρ δότης χαίρει καὶ διδοὺς καὶ λαμβάνων, οἷς παρωνόμασται· ἀγαθὸς δὲ οὐκ ἂν οὐδὲ ἄνθρωπος ἐθέλοι φαυλότητι πραγμάτων χρωτίζεσθαι, μὴ ὅτι γε ὁ πανάγαθος κύριος, ἐξ οὗ καὶ δι' οὗ ἅπαν καλόν. Φιλοίημεν οὖν ἅπαντες Χριστιανοί, καὶ πραγματευοίμεθα, εἰς ὅσον δύναμις, μὴ λαμβάνειν ἁπλῶς ἐκ θεοῦ, ἀλλὰ ἀντιλαμβά || νειν. (Ms. fol. 124. a.) Ἀντιλαμβάνει δὲ ὁ ἐφθακὼς δοῦναι. Καὶ ἔχει τὸ διδόμενον ὁ τοιοῦτος μετὰ πεποιθήσεως εὐγενοῦς, καὶ ἀγαθῆς συνειδήσεως, ὡς οἷα μὴ δῶρον ἔχων τὸ δεδομένον, ἀλλὰ ἀντίδωρον, λογιζόμενος, ὡς ἀλόγοις μὲν ζώοις, οἷς νοῦς οὐκ ἐπιστατεῖ, δίδοται τὰ ἐκ θεοῦ πονουμένοις παντὸς ἀγαθοῦ, ὁποίῳ χαίρει ὁ θεός, καὶ διὰ τοῦτο ἄσπαρτα καὶ ἀνήροτα ἐξ αὐτομάτου λαμβάνουσι τὰ οἷς θρέψονται. Ἀνθρώπῳ δὲ οὐκ ἂν εἴη προσφυές, οὕτω λαμβάνειν, ἀλλὰ κατά τι συνάλλαγμα, καὶ αὐτὸ οὐκ ἀνάλογον κατά γε τοὺς ἐμπορευομένους, ἀλλ' εἰς ὅσον ἔστι τὸν ἄνθρωπον σταθμώσασθαι πρὸς θεόν, ἄνθρωπον τὸν πενέστατον, θεὸν τὸν παμπλούσιον.

4. Τί γὰρ ἂν καὶ δοίη τῷ θεῷ ἄνθρωπος πρὸς ἀξίαν; Πῶς δ' ἂν συναλλάξοι πρὸς ἰσότητα; Δωρεὰν ἡμῖν πάντα τὰ ἐξ ἐκείνου, εἰ καὶ τὰ ὑπὲρ δύναμιν συνεισενέγκωμεν. Οὐδὲν ἀντισηκοῦν, οὐδὲν ἰσοσταθμον. Τί κέγχρος πρὸς οὐρανόν; Τηλικοῦτον τὰ ἐξ ἡμῶν πρὸς τὰ τοῦ θεοῦ. Τί τὸ οὐδὲν πρὸς τὸ πᾶν; Τοιοῦτον τὸ ἡμέτερον πρὸς τὰ θεῖα. Καὶ ὅμως οὐ λέγω τὸ παροιμιῶδες ἐκεῖνο τὸ δός τι, καὶ λάβε τι· ἀλλὰ δός τι μετρητόν, καὶ ἀντίλαβε τὸ ἡμέτερον· μᾶλλον δὲ δ[ίδου], μικρόν, καὶ ἀντιλάμβανε μέγιστον. Ποῖον μικρόν; Νοῦν ὀρθόν· ἐξάγγελον λόγον ἀληθῆ· γλῶσσαν ἀῤῥύπαρον· τὸ μὴ τρίζειν ὀδόντας ἐπὶ τοῖς μηδὲν αἰτίοις· τὸ μὴ κατὰ τοῦ στόματος ἀγείρειν μιασμοὺς βλασφημιῶν· τὸ φιλεῖν ἀκραιφνῶς· τὸ ἀγαπᾶν ἀκριβῶς· τὸ μισεῖν τήν τε**, καὶ ὃς δὲ αὐτὴν σωμασκεῖ· τὸ μὴ συναναχρώννυσθαι μυσαροῖς, εἴτε ἀνθρώποις, εἴτε πράγμασι· τὸ μὴ διττολογεῖν ἐπὶ ψεύδει· τὸ μὴ κακολογεῖν, ἐφ' οἷς οὐ χρή· τὸ μὴ καλλ[ιεργ]εῖν τὸ πρόσωπον ὑποκριτικῶς ἐπὶ φιλίᾳ· τὸ ἐκδικεῖν, οὓς παραγγέλλει ὁ θεός· τὸ [μὴ ἀδικεῖν], ἀφορῶντας εἰς αὐτὸν θεόν, ὃς οὐ λαμβάνει πρόσωπον ἐν κρίσει· τὸ μὴ προΐεσθαι δώρου τὸ δίκαιον· τὸ μὴ προσίεσθαι τοὺς προκυλουμένους εἰς ἄδικον, ὀκνῶ εἰπεῖν, εἰς τὸ μὴ κατὰ τῆς ἐκκλησίας εἶναι, καὶ μάλιστα τοὺς ἐκκλησιαστικούς, ὃ τοῦ νῦν καιροῦ φῦμα θεομισές.

5. Εἰπὼν γὰρ αὐτὸ ὑποβάλλω τοῖς ἀκροωμένοις νοεῖν, ὅτι ἀῤῥωστεῖ καὶ ἡ ἐκκλησία. Καί γε, ὦ οὗτοι, ἀληθῶς ἀῤῥωστεῖ καὶ τὸ τοιοῦτον ἅγιον σῶμα, καὶ μάλιστα κατὰ τῶν τινας δακτύλων αὐτοῦ. Τὰ γὰρ ἄλλα τίμια μέλη τούτου οὐκ ἔχω μέμφεσθαι. Δακτύλους δὲ τούτους εἶπον, οὐκ ἐκβάλλοντας θεομιμήτως δαιμόνια (πῶς γὰρ οἱ, ὡς ἂν καιρίως εἴποι τις, Ἰδαῖοι Δάκτυλοι τοιοῦτοι ἂν εἶεν;), ἀλλὰ γράφοντας, ἃ μὴ χρεών, οἳ καὶ καθ' ἡμῶν αὐτῶν λυγίζονται ὑπογραφέες γινόμενοι· ὧν πρῶτα μὲν γεννᾷ νοῦς οὐκ ὀρθός, εἶτα γλῶσσα μαιευσαμένη ἐκτρέφει ποικίλως, τὰ μὲν ἀέρι παραῤῥιπτοῦσα, τὰ δὲ καὶ βιβλίοις σπαργανοῦσα, καὶ τημελοῦσα καθ' ἡμῶν, τῶν τίνων; τῶν ποίων; τῶν τί ποτε ἢ βλαψάντων, ἢ βλαπτόντων; δότε μοι θαῤῥούντως εἰπεῖν σὺν θεῷ, τῶν εὐεργετησάντων τοὺς τοιούτους κοινῇ τε καὶ ἰδίᾳ· κοινῇ μέν, οἷς παντὶ τῷ τοῦ θεοῦ κλήρῳ || συνδιανενέμηται (Ms. fol. 124. b.) καὶ τὰ κατ' αὐτούς· ἰδίᾳ δέ, τοῖς τε κατ' ἐξοχήν, ἣν εἰς ἁδρὸν πρέμνον τίθημι, καὶ ταῖς παραφυάσιν αὐτῆς.

6. Ἄκουε γάρ, ὦ οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ· τῶν τινὲς μακαρίας μνήμης ἠξιωμένων, οἳ τὴν ἡμῶν προηγήσαντο ταπεινότητα (τινὲς δὲ λέγω, οὐ πάντες),

ἐκερμάτισαν δόσεις νομισματικάς, ὁ μὲν ταύτην, ὁ δὲ ἐκείνην, ὁ δὲ ἄλλην τῇ ὁμάδι τῶν τιμίων κλήρων, τῷ τε τῆς ἐνυποστάτου τοῦ θεοῦ λόγου ἁγίας σοφίας, καὶ τῷ τοῦ μεγάλου ναοῦ τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεομήτορος, καὶ τῷ τοῦ πολιούχου ἡμῶν μυροβλύτου μεγαλομάρτυρος, οὗ καὶ τὰ θαύματα τῷ ἀειβρύτῳ μύρῳ ἐρίζει, καὶ τὸ μύρον τοῖς θαύμασι· καὶ προηγοῦνται τῆς τοιαύτης διανεμέσεως τοῦ νομισματικοῦ κατακερματισμοῦ ἑορταὶ ἄλλης ἄλλη, καὶ μακαρίζονται φωναῖς εὐφήμοις οἱ τὰ τοιαῦτα κυρώσαντες, καὶ καλῶς ἄρα γίνεται αὐτό. Εἰ γὰρ ψόγον εἶχεν, οὐκ ἂν οὐδ' αὐτὸς ἐπῄνεσα τοῦτο· ὡς δὲ ἐπῄνεσα, ἐνδιαθέτως ἔργοις αὐτοῖς ἐκπέφηνε. Δυοῖν γὰρ ἑορταῖν ἐλλείποντος τοῦ τοιούτου καλοῦ πρὸς ἀκολουθίαν τῆς ἐν τῇ Μεγαλοπόλει μεγίστης τῶν ἁγίων ἐκκλησιῶν, ἀνεπλήρωσα ἐγὼ τὸ τοιοῦτον καλὸν ἐκ τῶν τοῦ θεοῦ καὶ τοῦ ἁγίου αὐτοῦ. Καὶ τοίνυν ὀφειλέται ὄντες οἱ ἐκκλησιαστικοὶ δάκτυλοι γράφειν ἐμοὶ εὐχαριστίαν — οἱ δὲ καταγράφουσι.

7. Ποῦ δὴ ἐμοὶ μακαριστὸν ἔσται μνημόσυνον κατά γε τοὺς πρὸ ἐμοῦ, ὧν ἕκαστον αὐτὸς ὑπερπαίω τῇ τοιαύτῃ χάριτι; Οἶδεν, ἃ λέγω, ἡ ῥόγα ἡ κατὰ τὴν ὕψωσιν τοῦ τιμιωτάτου σταυροῦ, ναὶ δὲ καὶ ἡ τῆς μεγάλης δευτέρας. Οὐ μὴν ἀλλ', εἰ καὶ τα ἐξ ἀνθρώπων ἡμῖν ἀπέγνωσται, ἀλλὰ σύ, ὦ σῶτερ θεέ, δοίης ἡμῖν, καθ' ἣν προβεβλήμεθα προαίρεσιν· καὶ ἀρκέσει τοῦθ' ἡμῖν ἀντὶ μακαρισμοῦ. Ἐπιμάρτυραι ἡμῖν καὶ ἡ σήμερον καταρξαμένη τῆς τοῦ ἐνιαυσιαίου στεφάνου γυρώσεως, τί τετυπώκαμεν ἐν τῷ περικλύτῳ τοῦ ἡμετέρου ἁγιωτάτου μυροβλύτου ναῷ, ἵνα συναναφωνήσῃ μαρτυρικῷ λόγῳ καὶ ἡ κατὰ τὸ ἔαρ ὑπάνοιξις, ἡ κατὰ τὸν Μάρτιον, καθ' ἣν καὶ αὐτὴν τὸ αὐτὸ χάραγμα τυπὲν οἷον ὑφ' ἡμῶν δίδοται. Θεοῦ καὶ τοῦτο, καὶ τοῦ αὐτοῦ μὲν θεραπεύοντος μεγαλομάρτυρος, ἡμᾶς δὲ καὶ ὑγιοῦντος καὶ ἁγιάζοντος.

8. Ὦ ἑορταὶ λοιπαὶ ἀρίζηλοι, ἐν αἷς κερματίων εὐπεριλήπτων παραῤῥιπτομένων, καὶ που δράκα μόνην πληρούντων, ἡμεῖς ἐπληθύναμεν αὐτά, ὡς πληροῦν χεῖρας καὶ ὑπὲρ τὴν τοῦ ψαλμικῶς θερίζοντος. Τί μοι λέγειν ἀθροισμοὺς καὶ συνανακλίσεις πνευματικάς, εἰ καὶ μὴ ἐν ἀναγκαίοις, ἀλλ' οὖν χαμόθεν, ὅποι παρῆκοι, καὶ ἄλλους δὲ ἐπιτραπεζίους, δι' ὧν ἐδόκουν ὁ μάταιος κτᾶσθαι φίλους, οὐ τοὺς ἐκ τοῦ πίνειν, ἀλλ' ὁποίους τὰ κατὰ πνεῦμα τὸ θεῖον ἀποτελοῦσι συσσίτια; Ἐῶ τὰ λοιπά, ἵνα μή τις ὀβολιμαῖος νομίσας ἐκεῖνα, καταψηφιεῖταί μου σμικροπρέπειαν καὶ κυμίνου πρίσιν καὶ τὸ ἀνελεύθερον. Σιωπῶ καί, εἴ τι ἄλ || (Ms. fol. 125. a.) λο δεδαπάνηται που ἢ δαπανᾶται εἰς ἐπιποιήσεις, εἰς ἐπικοσμήματα, εἰς ἕτερα, οἷς θαῤῥούντως λέγω χαίρειν τὸν θεόν. Οἶδα γὰρ ἀκούσων, ὡς οὐδέν τι ταῦτα πρὸς τοὺς παπάδας ἡμᾶς· ὅπερ ὅμοιον φαίνεται εἶναι, ὡς εἰ καὶ τοῦ ἐπὶ δεσποτικῆς οἰκίας λογοποιοῦντος τὰ δαπανήματα οἱ σύνδουλοι μηδὲν τὰ λοιπὰ εἴποιεν προσλογίζεσθαι, ὅτι μὴ μόνα τὰ δαπανώματα εἰς αὐτούς. Καὶ μὴν ὁ τοῦ οἴκου δεσπότης οὐκ ἂν χαίροι τῷ τοιούτῳ λόγῳ ἀλλὰ τὸν οἰκονόμον ἄλλως ἀποδέξοιτο ἂν οἶμαι.

9. Ἐμοὶ δὲ ἀλλὰ ἀναβοησαμένῳ ἤδη ἀκοὴν γῆς τε καὶ οὐρανοῦ, ἐπέρχεται συνεῖραί τι καὶ τὰ ἑξῆς προφητικῆς περικοπῆς. Καὶ υἱοὺς μὲν γεννῆσαι οὐ καταγνῶ εἰπεῖν (πηλίκος γὰρ ἐγὼ πρὸς τοιαύτην φύσιν θεῷ πρέπουσαν, καὶ τοῖς, ὅσοι τῇ πρὸς ἐκεῖνον ἐξομοιώσει θεοί;)· γεννηθέντας δὲ κατὰ σάρκα ὑπ' ἄλλων καὶ μικροῦ ἐκθέτους ὑψῶσαι φημὶ ἀγαθοῖς, οἷς βίος ἐπαύξεται, καὶ ὅμως ἀθετηθῆναι ὑπ' αὐτῶν. Ἑτέρους δὲ εἰς τὸ πᾶν μὲν ἐξᾶραι καὶ προαγαγεῖν, οὐκ ἂν εἴποιμι· προσεπιθεῖναι δέ, οἷς φθάσαντες ὑπὸ ἄλλων ἀρχιερέων ἔσχον, καὶ ἕτερα μείζονα, καὶ δυστυχῆσαι τὴν ἐκ τῶν τοιούτων ἀχαριστίαν οὐκ εἰς τὸ τυχόν, ἀλλ' εἰς ἐκπολέμωσιν.

10. Ἀλλὰ τούτους μὲν παρακατατίθεμαι τῷ θεῷ, τῷ καὶ πανσόφῳ καὶ ὑπεραγάθῳ τεχνίτῃ, ὡς ἀγάλματα ἐκείνου ὄντα, καλλιτεχνηθέντα μὲν ἄλλως, ἀχρειούμενα δὲ ταῖς εἰκῇ καὶ μάτην, ὅποι τύχοι, παρατρίψεσιν, ἀρτιῶσαι κατὰ τὴν αὐτοῦ σοφίαν, καὶ ἐπαναγαγεῖν εἰς τὸ αὐτῷ ἀρέσκον εὔμορφόν τε καὶ εὐπρεπές· ὡς ἂν οὕτω καὶ δι' αὐτῶν εὐλογούμενος ἀντευλογοίη τὸν στέφανον ἡμῖν τοῦ ἐνιαυτοῦ.

11. Ἐγὼ δὲ καὶ τῷ παρατυχόντι λαῷ τοῦ θεοῦ προσλαλῶν διδασκαλικῶς, παρεγγυῶμαι καὶ αὐτοῖς, ὅσοι τέως ἀκούειν ἡμῶν ἀνέχονται. Εἰσὶ γὰρ ἐν αὐτοῖς ἄνθρωποι, ὁδηγηθέντες οὐκ οἶδ' ὅθεν, ἐπιστρέφειν ἡμᾶς εἰς τὸ ἀγαθὸν διὰ τοῦ μὴ ἐπιστρέφεσθαι ἡμῶν οἷα ἐφαμάρτων, καὶ διὰ τοῦτο καὶ ὡς εἰς διδασκάλους καθεστῶτες ἡμῖν, διδάσκοντας μὲν οὐθὲν ὁτιοῦν, μεμφομένους ἅπαν, ὅπερ ἂν ἢ δρῶμεν ἢ λέγομεν, καὶ αὐτὴν δέ, ὥ φασι, τὴν ἀναπνοὴν ἡμῶν. Τῷ τοίνυν τοιούτῳ λαῷ τοῦ θεοῦ φωνὴν εἰς κοινὸν ἀφιέντες παρακαλοῦμεν εἰς ὅμοιον ἀγαθόν, τὸ τῆς εὐλογίας δηλαδή, περὶ ἧς ἄρτι ὁ λόγος ἡμῖν. Καὶ πρῶτα μὲν ἀναμιμνήσκομεν αὐτούς, ἐξ οἵων εἰς οἷα μετηλλάγη τὰ καθ' ἡμᾶς.

12. Καὶ ἡλίκα μὲν τὰ οὐ πρὸ πολλοῦ ἀγαθὰ τοῦ θεοῦ, ἃ καὶ τὰ ἐν ὑμῖν βιβλία, αἱ μνήμονες ψυχαὶ περιφέρουσι, καὶ εἰς ἀνάγνωσιν τοῖς πολλοῖς ἐκτίθενται, καὶ οὐδὲ ἐγὼ ἀμαθὴς οὐδὲ τῶν τοιούτων εἰμὶ γνώσεων. Ἦσαν τὰ γεννήματα τῆς γῆς ὑπὲρ ἄμμον ὁ στηρίζων ἄρτος· ὁ καρδίας εὐφραίνων οἶνος· ὁ καίριος

ὑετός, τὸ ἢ γάλα οὐράνιον, ἢ μάννα δεύτερον· ὁ εὔκρατος ἄνεμος, διακινῶν ἅπαν φυτὸν ὡς εἰς γυμνάσιον· ὁ ἥμερος χειμών· τὸ προσηνὲς θέρος (καιροὶ οὗτοι [Ms. fol. 125. b.] λυπεῖν ἐθέλοντες τῇ ἀκρότητι, || ὁ μὲν τοῦ ψύχειν, ὁ δέ, ὅτι θερμαίνει εἰς ὑπερβολήν)· τὸ γόνιμον ἔαρ, καὶ πάμφορον, καὶ τῷ εὐκράτῳ γλυκάζον· ἡ φθινὰς ὥρα τά γε εἰς ὀπώραν, ὅθεν αὐτῇ καὶ ἡ παρωνυμία, εἰ καὶ ἄλλως τοῖς κρείττοσι βέβριθεν, ἐν οἷς ὑπερλάμπει τό τε μελιτόεν σῦκον, καὶ ἡ καλὴ σταφυλή, τιθηνή τις καὶ αὕτη, ὡς οὕτως εἰπεῖν, προβαλλομένη τῶν ῥαγῶν ἑκάστην, ὅσα καὶ θηλήν, χορηγὸν τροφῆς τε καὶ πόσεως.

13. Καὶ ἦν ἡμῖν τότε ὁ μὲν χειμὼν Προμηθεὺς οἷον ἀγαθῶν τῶν εἰσέπειτα, δι' ὧν τελεσφόρος ὠνόμασται ὁ ἐνιαυτός, ἄρουραν ἐκεῖνος ἀναῤῥηγνύς, δι' ἧς τὰ σπόριμα ὑπὸ κόλπῳ γινόμενα γῆς ἐνεκυμονοῦντο ἐκεῖθεν γενέσεως λόγῳ, ἕως καὶ εἰς τελειότητα, καὶ αὖ πάλιν λάκκους βοθρεύων φυτῶν ἐνθέσεσιν ἱδρυνομένων εἰς δένδρα κατὰ καιρόν, καὶ ἄλλα δὲ ποιῶν, δι' ὧν ὅσα καὶ πατὴρ τέκνοις τοῖς ζώοις ἐπημέλει τὰ θρέψοντα. Ἐδίδου δὲ ζωὴν ὁ αὐτὸς καιρὸς τοῖς οὕτω καὶ ἐσπαρμένοις καὶ ἄλλως πεφυτευμένοις καὶ τῇ θεόθεν ἐπομβρίᾳ καὶ χιόνων δὲ ψυχρότητι καὶ παγετοῦ καὶ πάχνης· ὧν ὑετοῦ μὲν ἴδιον ἀναπεταννύειν τὰς λαγόνας εὐθέτως τῇ γῇ, καὶ λιπαίνειν εἰς τὴν ἐοικυῖαν βλάστην καὶ αὔξην· χιόνος δὲ καὶ τῶν ἐφεξῆς, ἐπέχειν καὶ μετρεῖν τὰς τοιαύτας ἐκφύσεις, ἵνα μὴ τὰ φυτὰ προεκθορόντα εἰς γέννησιν ἄκαιρον ἐξαμβλώσκωνται, καθά που καὶ ἠλιτόμηνα ἢ ἐκτρώματα. Καὶ τῇ γῇ οὕτω προσφερόμενος ὁ κατὰ χειμῶνα χρόνος, οὐδὲ τὴν θάλασσαν ἀμέτρως ἐλύπει, κατά γε τῶν ἐγγόνων ἰχθύων ἀφόρητος ἐκθηριούμενος, καὶ πλοίων δὲ καὶ τῶν ἐμπλεόντων ἐρήμην παντελῶς αὐτὴν ἀποκαθιστῶν.

14. Καὶ τοιοῦτοι μέν, ἐπιτροχάδην εἰπεῖν, οἱ χειμῶνες ἐκεῖνοι. Τὸ δὲ ἔαρ, ἡ παμμήτωρ τῶν ἡμᾶς διοικούντων ὥρα, ἧς ἡμεῖς τρόφιμοι, ὃ τῇ κοσμοποιΐᾳ συνεξέλαμψε πρῶτον, ἡ τῶν ὡρῶν, καθά τις ὀρθῶς ἐφιλοσόφησε, βασιλίς, ὁ κορυφαῖος ἐν τοῖς καιροῖς, ὁ καὶ τὴν ἀπόλαυσιν ἥδιστος καὶ τὴν κρᾶσιν ἄριστος, ἐκεῖνα καὶ μόνα ἐποίει ἐν τοῖς ἡμετέροις ἅπασιν, ὁπόσοις καὶ ὁ θεὸς αὐτὸν ἐνέλαμψε, καὶ οἱ σοφισταὶ λόγοις ἐσέμνυναν, μυρίοι ἐκεῖνοι· ὧν τοὺς μὲν ἡ ἔξω αὐλὴ ἔσχε, τοὺς δὲ τὰ τοῦ θειοτάτου οἴκου ἄδυτα.

15. Τὸ δὲ ἐν τοῖς τότε θέρος ἐνεφόρει τὰ ὡραῖα ἡμῖν παγκαρπίας ἁπάσης, ὁποίαν εὔχονται οἱ περὶ γῆν τε πονούμενοι, καὶ ὅσοι δὲ ἄλλως αὐτοῖς ἐπιμέλονται. Τὸ δὲ φθινόπωρον — ἀλλὰ καὶ αὐτὸ ἐρίζειν ἤθελε ταῖς προηγησαμέναις ὥραις, εἰς ὅσον ἐξῆν. Καὶ οὐ μόνον τὸ αὐτῷ ἀνῆκον καλὸν ἐδίδου, ὧν τὸ ἐξαίρετον αἱ καλαὶ σταφυλαί· ἀλλὰ καὶ τῇ πρὸ αὐτῆς ὀπώρᾳ ἐφι||λονείκει πως ἐξισοῦσθαι, ὀπωρίζουσα καὶ [Ms. fol. 126. a.] αὐτή, καὶ ἡδονὴν πορίζουσα, εἰς ὅσον καὶ δοκεῖν ψεύδεσθαι τὸ φθινόπωρον. Ἐνοσφίζετο δέ τι καὶ τῆς θερινῆς σεμνότητος. Ἡ γὰρ ἐκεῖθεν πανσπερμία τὸ μυρίον τοῦ κατ' αὐτὴν χύματος παρεκτείνουσα εἰς μακρόν τι χρόνου, ἅλωνάς τε ἐπλήρου, καὶ τῇ τῶν δραγμάτων συντριβῇ τὰς ἀποθήκας μεστὰς ἐποιεῖτο, εἴ τινές που καὶ εἶχον κενώματα. Τοῖς γὰρ πλείοσιν ἀνηρευνᾶτο καὶ ἀγγεῖα, χωροῦντα τὸ τῆς γῆς πολὺ δεξίωμα. Εἶχε δέ τι καὶ κατὰ τοῦ ἔαρος ἡ τότε φθινὰς τῆς ὀπώρας νεανιεύεσθαι. Τῇ γὰρ εἰς διπλοῦν εὐφορίᾳ ἔνια τῶν φυτῶν ἐπανθοῦντα, εἶτα καὶ εἰς καρποὺς παραγγέλλοντα, ἐνεαρίζειν ὥσπερ ἐδίδου τοὺς αὐτὰς βλέποντας· Ἐνίκα δὲ ὅμως τῇ λοιπῇ εὐθηνίᾳ τῇ ὑπερβλύσει τοῦ γλεύκους ὁλκῷ.

16. Καὶ τοιαῦτα μὲν ἡμῖν τὰ πρὸ τούτων, ὅτε καὶ εὐλογεῖτο καὶ εὐλόγει ὁ θεός, καὶ λαμβάνων ἀντεδίδου. Τανῦν δὲ ἄναλλα πάντα, ὃ δὴ λέγεται. Ψεύδονται γὰρ αἱ ὧραι τὰ κατ' αὐτὰς ἐνεργήματα. Καὶ ὁ μὲν χειμέριος καιρὸς ἀφεὶς τὴν κατ' αὐτὸν ὑγρότητα, δι' ἣν ὡς πολλὴν αὐτὴν καταχέων τῆς γῆς ὠνόμασται χειμών, εἰς αὐχμὸν μετεσκεύασται· καὶ ἀντὶ πηλῶν καὶ τελμάτων, δι' ὧν ἡ γῆ συνεχομένη κάτω μένει βαρυνομένη, κατακόπτεται εἰς κόνιν, καλῶς ἂν εἴποι τις, θερινήν, ἢ καὶ ὡς εἰς ἀτόμους λεπτομεῖται. Ὁ δὲ ἀὴρ τὰ πολλὰ μὲν βούλεται πρὸς ἐαρινὴν ἢ καὶ θερινὴν κατάστασιν ἐξημεροῦσθαι· ὅτε δὲ καὶ ἐνθυμηθείη, χειμὼν αὐτὸς εἶναι, ἀλλὰ τότε ὑπερεπιτείνει ἑαυτόν, καὶ οὐ μόνου οὐρανοῦ γίνεται ἄχος, ὅ δή τις ἔφη, ἀλλὰ καὶ τὸ μέσον αὐτοῦ καὶ γῆς ἅπαν χῦμα συγχέει, καὶ οὕτως ἀπάγει τοῦ παντὸς τὸ κόσμιον ὄνομα. Ποῦ γὰρ ἂν ἔτι κόσμος τὸ πᾶν, ἔνθα ἐσχάτη ἀκοσμία κατακαυχᾶται; Θάλασσα δὲ καὶ αὐτὴ τηνικαῦτα τὸ ζωογόνον καὶ τῷ κόσμῳ φίλιον ἀπολέγεται, ἀναβαίνουσα ἕως τῶν οὐρανῶν, καὶ τοῖς σχίσμασιν ὑποδεικνῦσα γυμνὴν τὴν ἄβυσσον, ὡς τοῖς μὲν λαχοῦσιν ἐμπλέειν τὸν Ἅιδην ἀποκληροῦσθαι, κατὰ τὸ πάντῃ ὁμολογούμενον· τοῖς δὲ κατ' αὐτὴν ζώοις μὴ μόνον μὴ ἐξεῖναι περὶ αὐτὴν ἐλεύθερα διατρίβειν ἐπ' ὠφελείᾳ ἡμῶν, ἀλλὰ μηδὲ ἔχειν, ὅπου καταδύντα περιέσονται. Καὶ οὕτω μὲν καὶ ἡ θάλασσα ὑπερμέμηνεν, οὐκέτι οὐδ' αὐτὴ οὖσα, ὅπερ ὑπὸ θεοῦ τέτακται εἶναι. Τῇ γῇ δὲ ἄλλα ἐπιφορεῖται δεινά, τῶν μὲν ἀνθρώπων ὀκνούντων εἶναι, εἰ τὰ τοιαῦθ' οὕτω γίνεται· τῶν δ' ἄλλων ζώων μηδ' αὐτῶν ἑτεροίως

ἐχόντων (οὐκοῦν οὐδὲ φαίνονται τοῖς τε ζητοῦσιν, ἀλλὰ τὰς τῶν πολλῶν ὄψεις ἀποκρύπτονται ἄλλως ἄλλα)· τῶν δὲ φυτῶν, τῶν τε μεγάλων, τῶν τε μέσων, καὶ ὅσα δὲ εἰς γῆν ταπεινοῦνται, εἴτε αὐτοφυῶς, εἴτε κατὰ τέχνην, βιαζομένων ἐκσπᾶσθαι τῆς μητρὸς γῆς, ὡς ψεύδεσθαι τὸν τοιοῦτον χειμῶνα τὸ ἱλαρόν, ὅτε καὶ παραφήνῃ τινὰ ἡμερότητα, καὶ μήτε τὸ χειμερινὸν ἄγριον μετριάζειν ἀληθῶς, μήτε τὸ πρᾷον ἐπαληθίζεσθαι. Ποῦ γὰρ πρᾷον τὸ εἰς ἅπαν ὀλέθριον;

Ms. fol. 126. b. 17. Διαδεξάμενος δὲ || τὸν οὕτω πικρὸν χειμῶνα ὁ τοῦ ἔαρος γλυκασμός, ἐξίσταται καὶ αὐτὸς τοῦ καθαρῶς γλυκάζειν. Τοῦ γὰρ χειμῶνος τὴν γῆν συμπιέσαντος καὶ πιλήσαντος, ὡς μὴ δυνηθῆναι αὐτὴν ἀναμύσαι εἰς βλάστησιν χλόης, οὐκ ἔχει τὸ ἐκτραφησόμενον οὐδὲ ἡ κατὰ τὸ ἔαρ ὥρα· εἴ που δέ τι καὶ σχοίη, ἀλλ' ἰσχνὸν αὐτὸ καὶ ὑπέρινον, καὶ οἷον μὴ τελεσφορηθῆναι εἰς ἀγαθόν. Ὅτε δὲ καὶ εἰς τέλος ἔλθῃ τοῦ καρπώσασθαι, ἢ λεπτότατος ἀπεκβαίνει ὁ καρπός, ἢ κενὸν μένει τὸ ἀγγεῖον αὐτοῦ, ψεῦσαν ἀγαθῆς ἁπάσης ἐλπίδος τὸν γεωργόν, ὡς δοκεῖν καὶ τοὺς τηνικαῦτα ζεφύρους ἐξασθενεῖν, ἀδυνατοῦντας ἁδρύνειν τὸ λήϊον.

18. Ἀκολουθοῦν δὲ τούτοις τὸ θέρος, κενὰς ἀφίησι δραγμάτων τὰς χεῖρας τοῖς γεωργοῖς, εἰς κενὸν διεκπυροῦν τὰ τῆς γῆς, τάχα δὲ καὶ ἄλλως εἰς τοσοῦτον διεκθερμαῖνον, ὡς πῦρ ἐκκαίειν λύπης τοῖς πονησαμένοις περὶ αὐτήν. Ἕπεται δὲ καθεξῆς καὶ τὰ τῆς ὀπώρας, οὔκουν καλά, ὡς τὰ πρόσθεν, ἀλλ' εἰς ὅσον ἀπογεῦσαι ἡμᾶς καὶ ἐρεθίσαι τὴν ὄρεξιν. Τοῦ λοιποῦ γὰρ ἀφίπταται, οὐ μετεωριζομένη κατὰ τὸν ἐπὶ Ταντάλῳ μῦθον. Ἡ γὰρ ἐκείνου ὀπώρα ἐβλέπετο ὑψοῦ αἰρομένη· ἡμῖν δὲ οὐδαμοῦ ἐστιν οὐδὲ κατὰ μόνην γοῦν ὅρασιν, ὅτι μὴ ἄρα καὶ αὕτη φανταστικῶς. Ἀδελφὰ δὲ ταῖς λοιπαῖς ὀπώραις φρονοῦσα καὶ ἡ κατὰ τὴν σταφυλήν, ὀλιγοῦται καὶ αὐτή, ὡς τολμῆσαι τινὰ εἰπεῖν, παρεξισοῦσθαι τὸ ἐπ' αὐτῇ δάκρυον τοῖς γεωργοῖς τῷ τοῦ γλεύκους σταλάγματι. Καὶ ἔστι μὲν τὸ τοιοῦτον κακὸν ἄλλως καλόν. Ἐπιλείψοι γὰρ ἂν οὕτω τάχα τοῖς φιλοπόταις τὸ τῆς μέθης ἐμπύρευμα. Ἦν δὲ ἂν ὅμως κάλλιον, εἰ ἐπληθύνετο ἐπὶ εὐφροσύνῃ σωφρόνων καρδιῶν.

19. Τί μοι καὶ τοὺς ἀνέμους λέγειν, οἳ μικρὸν ἢ οὐδὲν διενηνόχασι τῶν τυφωνικῶν; Ὄλεθροι ἄνεμοι οὗτοι, πονηρὰ καὶ αὐτοὶ πνεύματα, ἀνθρώποις χρήσιμοι εἰς οὐδέν, ἥρπαζον ἂν καὶ οὗτοι ἀνθρώπους καὶ λοιπὰ ζῶα καὶ σώματα, εἴ περ καθετικῶς εἰς γῆν κατασκήπτοντες ἀνεκλῶντο. Νῦν δὲ ἀλλ' εὐθυωροῦντες, καὶ οὕτως ἐντινασσόμενοι, ἐπὶ πανωλεθρίᾳ κατασκήπτουσιν, οἷς ἂν προσβάλωσιν.

20. Αἱ δὲ χάλαζαι κακὸν ἄλλο καὶ αὐταὶ πολέμιον τῇ περὶ γῆν ἁπάσῃ ἐκφύσει. Καὶ ἀμπέλοις μὲν αὐτὰς ἐπαράσσεσθαι, καὶ δεινὰ κατ' αὐτῶν ποιεῖν, καὶ κατασκήπτειν καρποῖς δένδρων, καὶ κατατρίβειν αὐτά, καὶ ἀχρειοῦν λήϊα τῇ ἐπιπτώσει, οὐκ ἂν δοκοίη πάνυ γενναῖόν τι κακὸν τυγχάνειν. Αἱ δὲ ἀλλὰ καὶ κατὰ ζώων σφενδονῶνται ἀθρόων, καὶ αὐτὰ βληθέντα πίπτουσι· καταβάλλουσι δέ που καὶ ἀνθρώπους ἐπιφερόμεναι.

21. Πόθεν δὴ ταῦτα πάντα ἡμῖν, ἢ ἐκ τῶν ἡμετέρων ἁμαρτιῶν; Οὐ δήπουθεν γὰρ οὔτε μεταμεμέληται ὁ θεός, ἐφ' οἷς ἡμᾶς παρήγαγεν, οὐδὲ μὴν ἐξελάθετο τοῦ εὐεργετεῖν. Γελοῖα δὲ καὶ τὸ ὑπονοῆσαι, ὡς ὁ στοιχειακὸς εἱρμὸς ἐνήλλακται, ἀτονούσης τῆς φύσεως ὡς οἷον γεγηρακυίας. Καὶ τὸ δεῖγμα τοῦ λόγου ἐγγύς, ἵνα μὴ πραγματευοίμεθα, τοῖς πόῤῥω ἐνδιατρίβοντες, ἢ καὶ ἄλλως ἀποδεικτικῶς πονούμενοι. Ἐσπείραμέν τινες πέρυσιν ὧδέ που καὶ ὧδε, πειράζοντες οὕτω τὴν γῆν. Ἡ δὲ ἐκεῖ μὲν ἀποδέδωκε τὸ ἀρχαῖον, καὶ τι πρὸς || ἑτέρωθι δὲ εἰς διπλάσιον παρέτεινε τὸν καρπόν, ἀλλαχοῦ δὲ καὶ εἰς πλεῖον ἐφιλοτιμήσατο, καὶ οὐχ ἁπλῶς, ἀλλὰ εἰς πολὺ πλέον. Ἔμοιγ' οὖν γήδιόν τι βραχὺ μεδίμνων τριῶν ἀνταπέδωκεν εἰς ἑξήκοντα ἑνὸς δέοντος. Καὶ ἦν καὶ ἡ γῆ ἐκείνη καταπεπονημένη συχνοῖς ἀρότροις καὶ κατασποραῖς· οὐ μὴν ἀκάματος. Οὐκ ἄρα ἡ καθ' ἡμᾶς γῆ διὰ γῆρας ἀπεστείρωται, ἢ ἄλλως πεπήρωται. Ἀλλὰ γεννᾶν ἔχουσα καὶ καλὰ καὶ πολλὰ γεννήματα, στερίφη καθίσταται διὰ τὸ ἐν ἡμῖν περιπόνηρον. Οὐ καρπογονοῦμεν, ἀλλὰ ἀκανθοφοροῦμεν. Οὐκ ἀνασχίζομεν τὴν ψυχὴν συνειδήσεων ἀρότροις, οὔτε εἴς τι βάθος, ἀλλ' οὐδὲ ἐξ ἐπιπολῆς. Πῶς οὖν, εἴ τι καὶ σπεροῦμεν, σαπήσεται, ὡς ἡ φύσις οἶδε σήπειν τὰ ζωογόνα σπέρματα, καὶ ἀναθηλήσει, καὶ καρπὸν προσενέγκῃ ἁδρόν, δι' οὗπερ ἔστι τρέφεσθαι; Συστέλλομεν ἡμεῖς τὰ ἐφ' ἡμῖν ἀγαθά, καὶ ἀποκρύπτει καὶ ἡ γῆ τὰ ἴδια. Παίζομεν, ἐφ' οἷς οὐ χρή, καὶ πάσχομεν δεινά, οὐκ ἀντάξια μέν, ἐφ' ὁποσονοῦν δὲ ὅμως. Οὐ προσδοκῶμεν, ἔνθα χρὴ προσδοκᾶν. Οὐκοῦν οὐδὲ ἡ τροφὴ δίδοται ἡμῖν εἰς εὔκαιρον. Ἤνοιγεν ὁ θεὸς τὴν χεῖρα αὐτοῦ, καὶ ἦν ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. Νῦν δὲ εὐχοίμεθα, μή ποτε, ἀποστρέφοντος αὐτοῦ τὸ πρόσωπον, δικαιωθῶμεν παθεῖν, ὅσα μὴ δι' εὐχῆς ἡμῖν. Φαίνεται συνέχειν ἡμῖν ὁ θεὸς τοὺς οἰκτιρμοὺς αὐτοῦ ἐν ὀργῇ αὐτοῦ· καὶ τίς ἡ ὀργὴ αὐτοῦ;

22. Ἀφίημι ἑκάστοις ἐννοεῖσθαι, καὶ ἀνερευνᾶν, καὶ πολυπραγμονεῖν μετὰ συνέσεως. Εἰ δέ τις ἑαυτὸν δικαιοῦσθαι ἐθέλων εἴποι, μηδὲν εἰδέναι ποιεῖν, δι' οὗπερ παροργίζεται ὁ θεός, παρελθέτω εἰς μέσον.

Ms. fol. 127. a.

Καὶ ἐγὼ μέν, ἐὰν οὕτω τύχῃ, οὐκ ἂν οὔτε εἰδείην τὸν ἄνθρωπον, οὔτε γινώσκοιμι, τί ποτε πταίει αὐτός· πτοείσθω δὲ ἐκεῖνος, μή ποτέ τις εἰδὼς αὐτὸν καὶ τὴν αὐτοῦ πολιτείαν, ἐκπηδήσῃ ἐλέγξων ἐκεῖνον μὴ ὄντα δίκαιον κατὰ τὴν αὐτοῦ οἴησιν, ἀλλ' ἐποφείλοντα καὶ ποινάς. Ἐγὼ οὖν αὐτὸς ὑπολαμβάνω αὐτίκα νῦν ἁμαρτάνειν, ὅτι πολλοὺς οἴομαι καταγελᾶν μου τῆς διδασκαλίας, εἰ μηδενὶ πλουτῶν ἀγαθῷ, εἶτα διδάσκω ἑτέρους.

23. Καὶ εἴθε μὲν μὴ οὕτως ἔχοι τοῦτο· οὐδὲ γὰρ χρὴ ὀρθοῦ διδασκάλου βίον περιεργάζεσθαι τούς τε μαθητάς, ἀλλὰ τὸ διδασκόμενον ἐπισκέπτεσθαι, καὶ κατ' αὐτὸ ποιεῖν, εἴπερ ὀρθὰ διδάσκει καὶ ἀνεπισφαλῆ. Τέως γε μὴν ἐπιδείξω καὶ δακτύλῳ, εἴ γε βούλεσθε, τοῦτον καὶ ἕτερον καὶ ἐκεῖνον καὶ ἄλλον, μωκωμένους, εἰ καὶ τὸ στόμα κατὰ τὸν εἰπόντα ὑπίλλουσι, καὶ μυκτηρίζοντας καὶ στρέφοντας ὑπὸ τοῖς ὀδοῦσι τό· τί φλυαρεῖ ὁ μέγας παπᾶς; Ναί, ναὶ καὶ γελᾶτε, ὦ οὗτοι, καὶ καταγελᾶτε, καὶ σκώπτετε, καὶ βύετε τὰς ἀκοάς, καὶ ἐξανύετε τὸν συνήθη περίπατον, οὗ τὸ τέλος κρημνὸς ὁ ἐς κόρακας.

24. Ἀναμιμνήσκω πάλιν περὶ τῆς ἐν ἡμῖν διγλωττίας, δι' ἣν συναντῶντες ἀλλήλοις, ἔμπροσθεν μὲν Ms. fol. 127. b. καλιῤῥὴ || μονοῦμεν καὶ εὐπροσήγορα φθεγγόμεθα, παραλλάξαντες δέ τι βραχὺ καταπτύομεν ἀλλήλων βορβόρους βλασφημιῶν. Τί εὐκολώτερον, ὦ ἄνθρωπε, τοῦ ἀπαλλαγῆναι τοιούτου κακοῦ; Μισεῖς, καὶ βαρέως ἔχεις ἐπί τινι. Οὐκοῦν μήτε προσκυνήσῃς, μήτε τὸ χαῖρε προσείπῃς· ἀλλὰ ἀντιπαρελθὼν ἀπαλλάγηθι τοῦ ἀνδρός. Κατακύψας δὲ εἰς προσκύνησιν οὕτω μάτην, καὶ χαρὰν προσφωνήσας τῷ μισουμένῳ, ἐψεύσω εἰς οὐδὲν δέον. Τίς γὰρ ἡ ἀνάγκη;

25. Ὑπομιμνήσκω καὶ περὶ τῶν διαβολῶν, αἷς ἐντυφῶμεν ὡς οὐδὲ τοῖς ἐκ μέλιτος γλυκασμοῖς. Τί κέρδος ἡμῖν ἐκ τούτων; Ἔχεις εἰπεῖν κατηγορίαν ἐπὶ τῷ πλησίον. Ἔνστηθι κατ' αὐτοῦ, λάλησον, δίκασον. Καὶ ἢ καταδικάσας παράδος τῷ νόμῳ τὸν ἐναχθέντα, καὶ πασχέτω τὰ νενομισμένα· ἢ ἀπενεγκάμενος τὴν ἐλάττω, ἠρέμησον. Διαβάλλων γὰρ ἀνύεις οὐδέν, κερδαίνεις δὲ μόνον τὸ στόμαργος εἶναι, καὶ δοκεῖν βαΰζειν κυνηδόν. Καὶ γάρ τοι καὶ κύνες καταδολεσχοῦσι μάτην εἰς ἀέρα, ὅτε μὴ δάκνειν ἔχουσιν.

26. Ἀνάμνησιν ὑποβάλλω καὶ τῶν κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ δεινῶν ἐγχειρήσεων. Ἡμέραι τινὲς αὗται ὀλίγισται, καί τις πολίτης ἐν ἡμῖν ἀργυραμοιβός, βραχέος λόγου ἄξιος (ἀφίημι γὰρ τὰ πρὸ καιροῦ πλείονος καὶ παλαίτερα πάνδεινα), δουλάριον οἰκτρὸν προσφυγὸν τῇ καθολικῇ τοῦ μεγάλου θεοῦ ἐν ἡμῖν ἐκκλησίᾳ, ἐπιδραμὼν ἐκεῖνος, οἷα καί τις Λατῖνος πολιορκητής, ὁποίων καὶ αὐτῶν οἴμοι πεπειράμεθα, ἐξέσπασεν ἐκεῖνο τὸ ἐλεεινὸν ἀνθρώπιον, οὐ τῶν ἐκκλησιαστικῶν προαυλίων, οὐ τῶν προτεμενισμάτων, οὐ τῶν πτερυγίων τοῦ ναοῦ, ἀλλ' αὐτοῦ ἐκείνου μέσου· καὶ ἀράμενος ἀπήγαγεν οἴκοι, λύκος ἀρνίον. Καὶ οὐκ ἐνθυμηθείς, ὡς ἐκ θεοῦ χειρῶν αὐτὸ ἦρε, τήν τε κεφαλὴν ἐψίλωσε τριχῶν, οὐχ ἁπλῶς, ἀλλ' ὡς εἰ καὶ πυριᾶν αὐτὴν ἔδει φόβῳ παραφροσύνης, καὶ αὐτῆς ὑποκαταβὰς γίνεται τῆς ὅλης σαρκός, καὶ πληγὰς ὁλομελεῖς ἐπιτίθησι, τίνα τύπτων ὁ μέγας γεννάδας; τὸν οὐδὲ στεῤῥὰ βαδίζειν δυνάμενον διὰ τὸ κατὰ τὴν ἡλικίαν πανάπαλον. Προνοησάμενος δὲ οὕτω τοῦ παιδίσκου, καὶ τὸ ψυχάριον αὐτοῦ, ὡς οὕτως εἰπεῖν, ἐκροφήσας, καταβαίνει περὶ τοὺς πόδας. Καὶ ἐπιμελεῖται καὶ αὐτῶν, ὡς καὶ αὐτοῦ ἐπιμεληθείη τις ἕτερος, κοσμήσας κλοιῷ τῷ ἐκ σιδήρου· εἶτα καὶ μετεωρίσας τὸ ἐλεεινὸν ἀνδράποδον, οἷα μηδὲ γῆν πατεῖν αὐτὸ ἀξιῶν ὁ ἀνηλεὴς σύνδουλος, ἐποίει τὰ μὴ καθήκοντα. Τέλος δὲ σάκκῳ περιστέλλει ἐκεῖνον, οὗπερ οὐδ' ἂν οἶμαι Νινευῖται, ἀλλ' οἱ καὶ πλείω πταίοντες ἄξιοι. Καὶ αὐτὸ μέν, ὦ παιδάριον οἴκτιστον, τοιαῦτα πεπλημμέληκεν ἐπὶ σοί, διότι τετόλμηκας δραμεῖν εἰς τὸν θεόν. Σὲ δέ, ὦ τοῦ παιδὸς ἀλιτήριε, τίς ἂν ἀξίως μετέλθῃ, οὗ || τως ἀναιδῶς Ms. fol. 128. a. βιασάμενον θεὸν αὐτόν, εἴ τι χρὴ λαλῆσαι πρὸς ἀλήθειαν; Οὕτω γὰρ τοῦ ἀλογίστου θυμοῦ ἐλαύνοντός σε, οὐκ ἂν οὐδ' αὐτοῦ θεοῦ ἐφείσω, εἰ τὴν ἐκείνου χεῖρα δραττομένην ἔβλεπες τοῦ παιδός. Ἔπταισας, ὦ δουλίδιον, ὅτι μὴ τῷ πατρικῷ τάφῳ τοῦ σοῦ δεσπότου προσέδραμες. Ἦ γὰρ ἂν ἐφείσατό σου ὁ ἀνόσιος. Τίνι τῶν ἀνθρώπων οὐκ ἂν ἐπιδράμῃς λῃστρικῶς, ἀναιδέστατε, ὁ κατὰ τῶν θείων τοιοῦτος; Τίνα τῶν ἁπάντων ἐντραπήσῃ, ἀπαίδευτε, ὁ τοῦ θεοῦ μὴ ἐπιστραφείς; Ἄσυλοι αἱ τῶν ἁγίων βασιλέων στῆλαι, εἴ τις αὐταῖς προσφεύξεται. Καὶ σὺ τὸν τοῦ θεοῦ ἱκέτην ἀπεθρασύνω πρὸς βίαν ἁρπάσαι, ἰταμώτατε. Ἃ δὲ κατὰ τῶν ἐλεεινῶν παπάδων ἐξήμεσας τῶν τοῦ θεοῦ, εἰ καὶ διαῤῥήγνυται ὁ πονηρὸς ἄνθρωπος τοῦτο ἀκούων, λεγέτωσαν οἱ ἀκούσαντες ἐκ τοῦ ἅρπαγος, ἐφ' οἷς οἱ μὲν ἱεροπρεπεῖς κλαύσονται, οἱ δὲ περιφρονηταὶ τῶν θείων γελάσονται, μήποτε δὲ καί τινες τῶν ἐκκλησιαστικῶν, οὓς ἐκ τῆς ἀγορᾶς ὁ τοῦ θεοῦ ναὸς δεξάμενος καθιέρωσεν, ὀκνοῦντας μὲν οἶμαι ἱερᾶσθαι, τοῦ δὲ ἀγοράζειν ἐφιεμένους ὡς πρότερον. Καὶ μὴν ὁ θειότατος ἐκεῖνος τελώνης, εἰς μαθητείαν κληθεὶς καὶ προσληφθεὶς τῷ ἡμῶν σωτῆρι Χριστῷ, οὐκ ἀνέκαμψεν ἐξαῦθις ἐπὶ τὰ πρότερον. Οὐκοῦν ἐχρῆν καὶ τοὺς παρ' ἡμῖν ἱεροὺς τούτους γενομένους τῆς

καθαρότητος, μὴ ἀνακάμπτειν ἐπὶ τοὺς πάλαι συρφετούς, οἷς ἐνετράφησαν. Ὦ ἁγιωτάτη ἐκκλησία τοῦ θεοῦ, ἔμελλες ἄρα παρὰ τοιούτου ἀνδρὸς περιυβρισθῆναι. Εἴθε δὲ εἴη τοῦτο ἔσχατον, καὶ μὴ ἄλλως ἀρχή, ὃ καὶ μάλιστα πεφόβημαι. Ἐπὶ δὲ τούτοις οὕτως εἰσί τινες ἁπαλοὶ τὰς ψυχὰς καὶ γενναῖοι φέρειν ἄχθη τοιαῦτα, ὥστε καὶ προσιόντες ὑποκάλλουσι, καὶ γλυκέα λαλοῦντες παρακαλοῦσιν εἰς τὸ ὑπὲρ τῆς εἴτε Σφιγγὸς ταύτης, εἴτε καὶ Σκύλλης, ὧν ἑκάτερα ἀνθρώπους ἥρπαζον, οὐ κατὰ τὰς περιᾳδομένας Ἁρπυίας, ἀλλ' ὥστε διασπαράξαι εἰς ὄλεθρον. Τί παραλαλεῖτε, ὦ οὗτοι; Εὐξαίμην ἄν, Οἰδίποδά τινα καὶ νῦν εὑρηθῆναι ἢ Ὀδυσσέα, ὃς ἔσχεν ἂν ἐξαφανίσαι τοιοῦτον κακόν. Σκύλλα μὲν γὰρ Σικελικὴ ἐκείνη τοὺς παραπλέοντας ἀνελάμβανεν ὑψοῦ, καὶ ἀπῆγε τοῦ ζῆν· ἡ δὲ Θήβηθεν ἐκείνη Σφὶγξ τοὺς ἐκ τῶν ἀμφόδων ἀνάγουσα, ἐθοινᾶτο ἐπὶ τῶν τειχέων. Θὴρ δὲ οὗτος ὁ Μακεδονικός οὐκ ἐκ βεβήλων τόπων, ἀλλ' ἐκ μεσαιτάτου θειοτάτου οἴκου ἁρπάσας τὸν αὐτῷ προσπεφευγότα, δεινὰ διέθετο. Πρόσφατον ἰδοὺ τοῦτο ὑμῖν, ὦ ἀδελφοί, περιηγησάμην φορτικόν, νεαρὰν ὕβριν ἐκκλησιαστικήν, ὑπόγυιον ἐλεεινόν, χθιζὸν ἁμάρτημα εἰς τὸν θεόν, ἀδιαφορίαν ἔκδικον, ἣν οὐκ ἂν ἀρνήσησθε, πρὸς ἣν οὐκ ἂν ἔχοιτε εἰπεῖν τό· π ό θ ε ν τ ο ῦ τ ο δ ῆ λ ο ν; καὶ τό· σ υ κ ο φ α ν τ ε ῖ τ α ι ὁ ἄ ν θ ρ ω π ο ς, καὶ τό· ἀ π ο δ ε ι χ θ ή τ ω. Εἰ δέ τινες ἡμέραι πλείους τῶν Ms. fol. 128. b. *μέχρι τῆς ἄρτι ἐμέτρησαν καιρὸν μακρότερον, || οὐκ ἔχω ἀπισχυρίσασθαι, ὡς οὐκ ἂν ἀπαρνήσησθε καὶ τὴν ἐνεστῶσαν ἐκκλησιαστικὴν ἀτιμίαν. Νῦν δὲ οὐκ ἔστιν οὔτε ἀντειπεῖν, οὔτε ἄρνησιν προενεγκεῖν. Ὦ οἷος ἄνθρωπος κατεξανέστη προνομίου ἐκκλησιαστικοῦ. Τί ποιήσομεν, εἴ τι μεῖζον ἔλθοι ποθέν; Μεσιτεύεται ὁ τοιοῦτος ὑφ' ὑμῶν, ὦ φιλάνθρωποι μεσῖται, μή που δὲ καὶ φιλάρπαγες· καὶ ἔστω δεδικαιωμένος. Ἀποκείσθω δέ μοι λόγος, ὡς ἀντὶ τούτων πολλὰ κλαυσόμεθα ὕστερον. Οὐκ ἀρκεῖ τοῖς ἐλεεινοῖς ἡμῖν, ὅσα κατ' ἀλλήλων τεκταινόμεθα, ὧν οὐδέ ἐστιν ἀριθμός· ἀλλ' ἰδοὺ καὶ κατ' αὐτοῦ θεοῦ γινόμεθα ἰσχυροί, ὡς ἂν οἶμαι πτοηθεὶς εὐλογήσῃ ἄκων ἡμῖν τὸν στέφανον τοῦ ἐνιαυτοῦ.*

27. *Ἀλλ', ὦ κύριε, κύριε, ὄρθωσον ἡμᾶς, οὐ προσκόπτοντας, οὐ σφαλλομένους, οὐ καταπίπτοντας, οὐδὲ καταπεσόντας ἄρτι, ἀλλ' ἐκ μακροῦ, καὶ κειμένους, καὶ τῷ πτώματι οὐ μόνον ἐμβραδύνοντας, ἀλλὰ καὶ ἐμβαθύνοντας. Εὐλόγησον ἡμᾶς, ἵνα οὕτως, εὐλογηθέντων ἡμῶν, καὶ ἀκολούθως ἀρεσκόντων σοι, εὐλογηθείη καὶ ὁ κύκλος τοῦ ἐνιαυτοῦ διὰ τῆς σῆς χρηστότητος. Ἄλλως γάρ, καθὰ συνορῶ, γενέσθαι τοῦτο οὐ δυνατόν. Οὐ δυνατὸν δὲ τό γε εἰς ἡμᾶς ἧκον ἐκ φαυλότητος. Σοὶ δὲ μόνῳ δυνατόν, τῷ καὶ παντοδυνάμῳ καὶ φιλανθρώπῳ. Ἀνέχου ἡμῶν, εἰ καὶ μὴ ἐσμὲν ἄξιοι τῆς ἀνοχῆς. Ὁδήγει παροιστροῦντας. Ἐπάναγε πλανωμένους. Διόρθου σκεβλουμένους. Ἐπηλικίου καὶ σωφρόνιζε στρεφομένους εἰς παιδαριώδη νοῦν ἀδόκιμον. Σύῤῥαπτε παραλυομένους. ἐκλυομένους συνάρμοττε, σόφιζε ἀπονενοημένους· ἐντίθει νοῦν ἀπολωλεκόσι τὰς ὀρθὰς φρένας. Δίδαξον ἡμᾶς, μὴ ἀπαιτεῖν ἀποδείξεις, ἐφ' οἷς παραγγελλόμεθα. Συχνὸν γὰρ ἐν ἡμῖν καὶ τό π ό θ ε ν δ η λ ο ῦ τ α ι, ὅτι π τ α ί ο μ ε ν; Ὦ τῆς ἀνεπιστημοσύνης. Οὐ δικαζόμεθα, ὦ ἀδελφοί, οὐκ ἐξελεγχόμεθα, οὐ πολυπραγμονούμεθα· μόνον δὲ διδασκαλικῶς παραινούμεθα. Παραίνεσις δὲ οὐκ ἐξ ἀνάγκης ἅπασα θεραπευτικὴ ἐπὶ φθάσαντι ἁμαρτήματι, ἀλλά που καὶ προφυλάσσουσα, ὁποῖα δή τινα καὶ τὰ ἰατρευτικὰ φάρμακα. Εἰ γοῦν καὶ ἐμοῦ παραινοῦντος ἐξαγριαίνῃ, ὦ ἀδελφέ, καὶ οὐ προσηνῶς ἀκούσεις, ἀλλὰ ἐλέγχους ἀπαιτεῖς, ὑπόνοιαν πέμπεις, ὅτι φθάσας ἔπταισας. Τί γοῦν σεαυτὸν φαίνεις; Τί κατηγορίαν ἐνιστᾷς ἐπὶ σοὶ αὐτῷ; Ἤκουσας παραίνεσιν· προσκύνησον καὶ σίγησον, ὡς ἂν οὕτω δοκοίης ἀναμάρτητος.*

28. *Ταῦτά τε οὖν οὕτως ἐν ἡμῖν, ὦ σῶτερ, κατάρτισον, καὶ στῆσον τὴν ἰδοὺ κατὰ τῆς ἐκκλησίας ὕβριν, καὶ τὸ κατ' αὐτῆς ἐμπήδημα, τὸ θρασύ, τὸ ἀλόγιστον, τὸ ἀπαίδευτον, τὸ ἔκνομον, τὸ πολλῶν πληγῶν ἄξιον, τὸ ἱεροσυλικόν. Καὶ μὴν οὐκ ἔστιν ἐνταῦθα σύλημα, ἵνα καὶ ἱεροσυλεῖν δο || κοίη ὁ ἀπόφημος* Ms. fol. 129. a. *Ἀφρατᾶς; Συλᾷ μὲν γὰρ ὁπωσοῦν ὁ παρακρυπτόμενος. Ἐνταῦθα δὲ οὐδέν τι κρυφαῖον, οὐδὲ λαθραῖον· ἀλλὰ ἀνέδην ὑπὸ φωτὶ αἰθριάζοντι καὶ ὀφθαλμοφανείᾳ ὁ εἰς θεὸν ἱκετεύσας ἀπήχθη, συληθεὶς μὲν (οὐκοῦν ἐκ τοῦ ἱεροῦ), ἀφαρπαγεὶς δὲ ὡς ὑπὸ θηρός, τετριγότος ὀδόντας καὶ σιελῶδες ἀπαφρίζοντος. Ἔτι πρὸ ὀφθαλμῶν οἷον ἡμῖν τὰ ἐν τῇ ἁλώσει κακά, ὧν συνεργάται ὅτιμάλιστα οἱ ἐκ Σικελίας Ἄφροι. Ἔστω δὴ καὶ ὁ πιτυρίας οὗτος Ἀφρατᾶς, ὡς οἷά τις εἷς ἐκείνων τῶν Ἄφρων, οἳ καὶ αὐτοὶ τῶν ἁγίων κατεπεχείρησαν ἐκκλησιῶν. Ἀλλ' ἐκείνους μὲν μηκέτι ἴδοιμεν, ὦ σῶτερ ἡμῶν θεὲ καὶ ῥῦστα καὶ ἐλευθερωτά. Τοῦτον δὲ ἴδοιμεν, αὐτόν τε σωφρονισθέντα, καὶ ἑτέρους δὲ σωφρονίσαντα. Οἶδας παιδεύειν ἐν ἐλέει καὶ ἐλέγχῳ. Οἶδας ἐπιστρέφειν πολυμεθόδως· ὡς, εἴ γε ὁ τοιοῦτος εἰς τέλος ἐπιχαρείη τοῖς θείοις, οἰχόμεθα, τὸ μὲν θλίψεσι, τὸ δὲ καὶ ὑπὸ τῶν ὁμοίοις αὐτῷ ἀφραδέων, εἴ τινές που καὶ εἰσιν. Ἐγὼ γὰρ εὔχομαι, μηδένα ἕτερον τοιοῦτον ἐκβῆναι· συνεύχονται δὲ τοῦτο καὶ οἱ σοὶ θεράποντες ἅπαντες, ὧν καὶ ἐπακούοις, εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Τοῦ αὐτοῦ.

1. Εἰ μὲν ἐγὼ πρῶτος διαπόμπιμον διδασκαλίαν, ὦ ἀδελφοί, ἐξέστειλα ταύτην, ἐνέτρεψεν ἄν τις ἐμὲ τῆς καινοπραξίας ἴσως. Ὅτι δὲ οὐ προάγω ἀρχόμενος, ἀλλ' ἐπακολουθῶ παλαιτάτῃ μεθόδῳ τοιαύτῃ, καὶ ζήλῳ τῶν προηγησαμένων ἐνάγομαι εἰς ἔργον ὅμοιον, εὖ ἔχω πεποιθήσεως, εὑρέσθαι συγγνώμην τῆς μιμήσεως, τά τε ἄλλα, καὶ διότι λόγῳ καὶ νόμῳ τοιούτῳ καὶ οἱ ἄλλως ἐπιστολιμαῖοι λόγοι ἐξεύρηνται. Λαλητὸν γὰρ ζῶον ὄντες οἱ ἄνθρωποι, καὶ δι' αὐτὸ φιλολόγον, καὶ οὕτω φιλάλληλον, συνόντες μὲν ὁμιλοῦσι τὰ σφίσι φίλα· ὅτε δὲ καὶ δισταῖεν κατὰ τόπον, ὁσιοῦνται τὰ τῆς λαλιᾶς ἀποστόλοις, πῇ μὲν ζῶσιν ἐλλογίμως, πῇ δὲ ἀψύχοις μέν, ἠσκημένοις δὲ εἰς προσφώνησιν γραμμαῖς τεχνικαῖς, ταῖς διὰ μέλανος γραφικοῦ. Καὶ τοίνυν ἐννόμως οὕτω διδάσκων ὑμᾶς, ὅσα καὶ πατὴρ θεῖος, τέκνα πνευματικὰ ἐκ διαστήματος τοῦδε, ὃ καὶ αὐτὸ θεὸς ἡμῖν ὡς ἐφαμάρτοις διώρισε, πρῶτα μὲν εὐχὰς αὐτός τε ποιοῦμαι, καὶ ἐξ ὑμῶν προκαλοῦμαι, μὴ εἰς κενὸν λαλῆσαι, ἀλλ' ὥσπερ ἐν τῷ παρεῖναι, οὕτω καὶ ἀπόντα χώραν εὑρεῖν με φίλης ἀκροάσεως παρ' ὑμῖν· εἶτα καὶ λαλῶ οὐκ ἀσύμφωνα, οἷς φθάσας βιβλιοφυλακεῖν ὑμῖν ἐν καρδίαις Ms. fol. 129. b. ἀφῆκα, ἐχόμενα δὲ πάντως ἐκείνων, || καὶ στρεφόμενα ἐν τοῖς αὐτοῖς. Καὶ ἔστι τοῦτο Δαυϊτικῶς καὶ ἐν ἐμοὶ ἀδολέσχημα ἐν δικαιώμασι κυρίου, ταὐτὸν δ' εἰπεῖν, ἐν διδάγμασιν ἀρέσκουσι τῷ θεῷ. Οὐ γὰρ ἂν τις δυσπραγοίη ψόγον τινά, δικαιώματα κυρίου καὶ νοῶν καὶ προφέρων, τὰ ἐν τῷ καθόλου δικαιοῦντα καὶ τὸν διδάσκοντα καὶ τὸν διδασκόμενον· τὸν μέν, ὡς τὰ τοῦ θεοῦ λαλοῦντα, τὸν δέ, ὡς μὴ παρήκοον. Καὶ οὕτω μὲν ἐγὼ λαλῶ ἄρτι πρὸς ὑμᾶς, οὐ κατ' ὄψιν ἀμέσως καθὰ πρὸ τούτων, ὡς ἐμὲ μὲν διδάσκειν, ὑμᾶς δὲ ἀκούειν ἐκ τοῦ παραχρῆμα, καὶ που ἔχειν αὐτίκα ἐρωτᾶν, εἴ τί που παραπέσοι ἀπορίας ἄξιον, καὶ τὴν λύσιν ἐξ ἡμῶν ζητεῖν, καὶ δέχεσθαι, ὃ δὴ καὶ αὐτὸ νομοθέτημα διεξοδικῆς διδασκαλίας ἦν ποτε· ἀλλ' ἐξαποστέλλω τὸ διδασκάλιον ἀναγκαίως, καὶ ἡ ἀνάγκη αὕτη διπλῆ, πραγματευομένη καὶ τὰ ὑπὲρ ὑμῶν καὶ τὸ κατ' ἐμέ, ἵνα σωζοίμεθα ἐξ ἴσου ἰσοταλάντῳ ῥοπῇ· ἐγὼ μέν, ὡς διδάσκων τὸ ἀγαθόν, ὑμεῖς δέ, ὡς ὑπακούοντες, ὃ καὶ ἐν τοῖς πρῴην ἐνιαυτοῖς εὐπραγούμενον ἐν ἡμῖν διεφαίνετο. Τίνα δέ μοι τὰ οὐκ ἀσύμφωνα τοῖς ἐφθακόσιν ἐμοῖς λόγοις διδασκάλια; Τὸ ὅλον τῆς ἐπιστολῆς ταύτης ἐδάφιον, ἐν ᾧ καὶ αὐτῷ δικαιοσύνη κεῖται, εἴθε μὴ κοιμωμένη ἐς ἄπρακτον, ἀλλ' ἐπαναπαυομένη κατὰ νοῦν γραφικόν, καὶ γρήγορος αὐτὴ προσφερομένη ἐγρηγορόσιν ὑμῖν.

2. Ἄγε δή, ὦ φιλτάτη τῷ θεῷ ἀγάπη, ὦ κόσμου παντὸς σύστασις, ὦ πάντων τῶν ἐν ἀνθρώποις ἀγαθῶν αἰτία, ὦ φύσεως τῆς καθ' ἡμᾶς ἐπικόσμημα, ὦ μῆτερ καὶ εἰρήνης καὶ ἀπραγμοσύνης καὶ ἡσυχίας θεοφιλοῦς, ὦ τοῖς φιλοκάλοις καὶ φιλοθέοις ἀπραγμάτευτον καὶ εὐπόριστον ἀγαθόν, δι' ἣν καὶ νόμοι τέθεινται, καὶ πολιτεῖαι ἐξεύρηνται, καὶ συναλλάγματα ἐπινενόηνται, καὶ τὸ ὅλον εἰπεῖν, δι' ἧς ὁ βίος ἅπας ἐρρύθμισται· ὦ τοίνυν ἀγάπη μελιτόεσσα, ἣν ὁ μὴ ἔχων ἄνθρωπος εἰς θηρίον ἀποκέκριται, ἣν ὁ μὴ προφέρων διδάσκαλος μίσους ἐστὶ κατάξιος· πάρεσό μοι καὶ νῦν ἄρτυμα πνευματικὸν παιδαισίας ταύτης, ἣν δαιταλεῦσι φίλοις διαπέμπομαι. Εἰ δὲ καὶ λοιπὸς ὁρμαθὸς ἀρετῶν ἀμφιπένονταί σε, ὅσα καὶ ὀπαδοὶ φίλαι θεράπαιναι, παρέστωσαν τῷ συσσιτίῳ καὶ αὐταί, συντελέσουσαι τὰ πρόσφορα, ὡς ἂν ἡμῖν οὕτω νόστιμον καλὸν ἡ πνευματικὴ αὕτη σχοίη τροφή, τῷ παντὶ σεμνότερον τοῦ ἐπιμυλίου Εὐνόστου, ὃν λόγος παλαιὸς διὰ σεβάσματος ἦγαγε.

3. Προσέχετε δή, ὦ ἀ || δελφοί, τοῖς ῥηθησομένοις. Ms. fol. 130. a. Καὶ ἐπεὶ χεῖρες ἀγάπης τῆς παμφιλήτου τὴν λογικὴν ταύτην καὶ τράπεζαν καὶ τροφὴν ὅσα καὶ σώφρονες ὀψοποιοὶ καταρτίζουσι, γίγνεσθε πρὸς αὐτῇ διὰ τὸν θεόν, ᾧ παρεδρεύει· καὶ πρὸς ἀληθῆ καὶ ἀπαραχάρακτον ἀγάπησιν σιτίζεσθε τὰ προτεθησόμενα· καὶ μή, διότι σοφίας οὐ παρατέθειται κρᾶμα ὑμῖν, σικχαίνεσθε ἀηδιζόμενοι. Εἰ γὰρ καὶ ἄσοφος ὁ διδάσκαλος, καὶ εἰς οὐδὲν γλυκύς, ἀλλὰ ἡ ἀγάπη, δι' ἣν καὶ ἰδιῶται διδάσκαλοι προσιτοὶ γίνονται τοῖς ἐφιεμένοις μαθεῖν, γλυκανεῖ τὸν κρατῆρα τοῦτον, καὶ ἱλαρότητος μέθυ προβαλλομένη, ἐμβρωματίσει τε καὶ ποτιεῖ τὰ εἰς κόρον σώφρονα· δι' οὗ ὁ μὲν κατὰ κόσμον ἔμετος ἀπρακτεῖ, ὡς μηδὲ γινώσκεσθαι, τὸ δὲ νηφάλιον δραξάμενον τῆς ψυχῆς ἀναφέρει αὐτὴν εἰς πολιτείαν ἀγγελικήν.

4. Ἡ ἀγάπη, ὦ ἀδελφοί (οὐ γὰρ ἐθέλω ἀποσχέσθαι ποτὲ αὐτῆς, ἀλλ' οἷον παρενοχλῶ, πρὸς βίαν αὐτὴν ἐπισπώμενος), εἴ πως ὑμῖν εἰς πλάτος ἐμπολιτεύοιτο, πάμπρωτα μὲν ἀπαιτεῖ, τὸν ὡς ἀληθῶς ἄνθρωπον πρὸς τῷ θεῷ εἶναι καὶ τοῖς αὐτῷ παρεστῶσιν, εἶτα καὶ πρὸς τῷ βασιλεῖ. Εἰ δὲ καὶ οἱ ἀρχιερεῖς ἀγαπηθήσονται πρός τε τοῦ πρεσβυτερίου, καὶ τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς τοῦ κλήρου, καὶ τοῦ λαοῦ, ὑμεῖς οἴδατε, μανθάνοντες αὐτὸ ἐκ τοῦ ἱεροῦ ἀναστάθμου τοῦ κατὰ τὴν ἁγίαν ἐκκλησίαν ἐξηχούμενον εἰς ὑμᾶς. Ἐποφείλεται δὲ ἀκολούθως ἀγάπη πρὸς πάντων καὶ τοῖς πλησίον.

5. Τούτων δὴ οὕτως ἐχόντων (ἔχουσι δὲ οὐκ ἄλλως, κἂν εἰ πολλά τις πτερυγίζῃ ἀντιφερόμενος καὶ ἀδολεσχῶν), ὑμῖν ἀφίημι διασκοπεῖσθαι καὶ λογιστεύειν τὰ καθ᾽ ὑμᾶς αὐτούς, ὡς ἄν, εἰ μὲν αὐτὰ πάντα φυλάττεσθε εἰς ἀκριβές, εὐέλπιδες εἴητε σωθήσεσθαι· εἰ δέ τι σφάλλεσθε τοῦ κατὰ τὴν ἀγάπην ὅλου κανόνος, ἀπ᾽ ἐλπίδος μὲν μηδὲ οὕτω γίνοισθε, σπεύδοιτε δὲ πραγματεύεσθαι διὰ μετανοίας τὸ τῆς ἐλπίδος ταύτης ἀκαταίσχυντον. Θεωροῖτο δὲ ἂν ἡ τοιαύτη μετάνοια οὐκ ἐν τῷ ἁπλῶς μεταμέλεσθαι, ἀλλὰ καὶ ἀναπληροῦν τὸ τῆς ἀγάπης ἐν ὑμῖν ἐλλεῖπον, καὶ τελειοποιεῖν τὸ κατ᾽ αὐτὴν ἐνδεές· ἵνα μὴ ἄλλως ἀγαπῴητε, οὓς ἀγαπᾷν χρεωστεῖτε, ἀλλὰ ὡς ὁ θεὸς ἐκανόνισε, διαταξάμενος, ἐν ὅλῃ ψυχῇ, καὶ ἐξ ὅλης ψυχῆς, καὶ ἐν ὅλῃ καρδίᾳ, καὶ ἐξ ὅλης καρδίας, καὶ ἐν ὅλῃ διανοίᾳ, καὶ ἐξ ὅλης διανοίας ἀγαπᾷν, οὓς φιλεῖν δι᾽ αὐτοῦ ἐντετάλμεθα.

6. Λέγω δὲ ψυχὴν μὲν τὴν τὸ πᾶν ἐν ἡμῖν, τὴν μὴ ἐκ γῆς, διὸ μηδὲ παλιννοστοῦσαν εἰς γῆν· ἀλλ᾽ ἐξ ἐμφυσήματος θεοῦ, εἰς ὃν καὶ καταλύει, ἂν ὀρθὰ πορεύηται· δι᾽ ἧς, θεοῦ μὲν μὴ || [Mo. fol. 130. b.] οὔσης αὐτόχρημα, θειοτάτου δὲ χρήματος, ἀποθειούμεθα, εἴπερ ἐθέλομεν, καὶ υἱοὶ γινόμεθα ὑψίστου πάντες· καὶ εἰ καὶ θνήσκομεν, ἀλλ᾽ ὡς τοιοῦτοι θνήσκομεν, ὡς δηλαδὴ προσειλημμένοι αὐτῷ εἰς υἱότητα· οὐ μὴν ὡς υἱοὶ ἀνθρώπων, οὐδέ, ἀπολύτως εἰπεῖν, ὡς ἄνθρωποι ἀδίκου δηλονότι πλούτου, ἢ φαύλων ἐπιθυμιῶν, ἢ ὀργῆς, ἢ αἱμάτων, ἢ τοιοῦδέ τινος κακοῦ. Καρδίαν δέ γε φημί, ἐφ᾽ ἣν διαλογισμοὶ εὐαγγελικῶς ἀναβαίνουσι, καὶ αὐτοὶ διάφοροι ἔστιν ὅτε, καὶ οὐδὲ εὐσύμβατοι· διάνοιαν δέ, καθ᾽ ἥν, εἰ μὲν σεσόφισταί τις θεόθεν, ἀγαθὰ συλλογίζεται, καὶ συμπεραίνει τοὺς λόγους πρὸς θείας ἀρχὰς τὰς ἐκεῖθεν· εἰ δὲ ἡμάρτηται, σοφίζεται καὶ ἑαυτὸν καὶ τοὺς ἀκροατάς, καὶ οὕτως οὐ τῆς αὐτοσοφίας λογίζεται μαθητής, ἀλλὰ τοῦ σοφιστοῦ τῆς κακίας ὑποδρηστήρ.

7. Ἐμοὶ δὲ καὶ ἐνταῦθα λόγου τὸ ἐν ὅλῃ καὶ τὸ ἐξ ὅλης οὐκ ἀπροσφυῶς οἶμαι δοκεῖ μὴ συντρέχειν εἰς ἔννοιαν τὴν αὐτήν, καὶ πάντῃ πάντως ἀνεξάλλακτον, ἀλλὰ προφαίνεσθαι μὲν διαφοράν τινα ἐν αὐτοῖς, οὐ μὴν ἀσύντροχον τῇ ὀρθότητι, οἷα ἐν διαφόρῳ λαλιᾷ ξυμβαίνουσαν εἰς ἓν ἀγαθόν· ὅμοιον ὡς καὶ εἴ τινες δύο πορευόμενοι ἐς ὀρθὸν ἐν ὁδῷ σχιζομένῃ διχῇ, ὅμως εὐθυβόλως εἰς ἓν πέρας ἀγαθὸν καταλύουσι.

8. Καί μοι ἀρέσκει, τὸ μὲν ἐν ὅλῃ τὸ ἐνδόμυχον τῆς ἀγάπης ὑποσημαίνειν, τὸ καταμόνας ἔνδον ἐν τῇ ψυχῇ, τὸ τοὺς πολλοὺς λανθάνον εἰσέτι, τὸ μήπω ἐκπεφηνός, τὸ ἐνοικοῦν τῇ ψυχῇ, τὸ ἐν τῷ ἐντὸς κεκρυμμένον οἰκουρίας τινὸς δίκην, οὐ μὴν καὶ προφαινόμενον εἰς ἐνάργειαν. Ἔνθα προσεπινοεῖν ἐνάγομαι, καὶ ὡς ἐν τρισὶ τούτοις καλοῖς, τῇ ψυχῇ, τῇ καρδίᾳ καὶ τῇ διανοίᾳ τὸ ἐν ἡμῖν πᾶν ἐντὸς ἀγαθὸν ἐντελῶς ὑπογράφεται, οὐ μεμνῆσθαι καὶ τὸν μέγαν Δαυΐδ, ὅπου ἐθέλει πάντα τὰ ἐντὸς αὐτοῦ κινεῖσθαι εἰς τὸ εὐλογεῖν τὸ τοῦ θεοῦ ἅγιον ὄνομα. Τούτοις γὰρ τοῖς ἐντός, τοῖς τρισίν, ὑφ᾽ ὧν ἡ ἀγάπη διαπλέκεται, εἴ τις λογισμοῦ εὖ ἔχοι, εὐλογεῖ τὸν τῆς ἀγάπης κύριον, ὕμνον ἀναμέλπων ἐν τῷ πνευματικῶς ἡρμόσθαι κατὰ τὸ ἐν ἀγάπῃ σύμφωνον τοῦ τριμεροῦς τῆς ψυχῆς. Καὶ τοιοῦτον μὲν τὸ ἐν ὅλῃ ψυχῇ τε καὶ καρδίᾳ καὶ διανοίᾳ, ὡς εἴρηται, ἀγαπᾷν.

9. Τὸ δὲ ἐξ ὅλης τῷ ἑτεροίῳ τῆς φράσεως καὶ τὴν ἔννοιαν συνεξαλλάττειν δοκεῖ. Φαίνεται γὰρ δηλοῦν ἀγάπην ἡ φράσις αὕτη πρόοπτον, καὶ οὕτως ἐξωτερικήν, ἐκπιδύουσαν τῶν ἐντὸς καὶ κατὰ ψυχήν, ὅσα καὶ πηγῆς ἀγαθῆς, ῥεῦμά τι χρηστὸν ἔξω, καὶ ἐκκαλυπτομένην καὶ προφαινομένην ἐκ τοῦ ὡς εἰπεῖν δυνάμει κατὰ ἐνέργειαν· οἷον ὁ μὲν λογιζόμενος ἐν ψυχῇ, καὶ διανοούμενος, καὶ οὕτω συλλογιζόμενος ὀρθῶς τὰ ὑπὲρ ἀγαθοῦ φίλου, καὶ μεθοδεύων, καὶ || [Mo. fol. 131. a.] ἑαυτὸν εὔθετον ποιῶν εἰς τὰ πρὸς χάριν ἐκείνου, καὶ βυσσοδομεύων καλὰ συνοίσοντα τῷ ἀγαπωμένῳ ἐν ψυχῇ καὶ ἐν καρδίᾳ καὶ ἐν διανοίᾳ ὅλῃ, ἐκεῖνον ἀγαπᾷ, ἐντὸς μὲν φέρων αὐτόν, οὐ παραυγάζων δὲ τὸ φίλιον καὶ ἐμφανῶς, οὐδὲ ἐξαστράπτων αὐτὸ ἔξω εἰς ἐναργές. Ὃς δὲ καιροῦ παραπεσόντος καὶ ἀπαιτοῦντος ἀγάπης ἐπίδειξιν ἐκπορίζει τῷ φίλῳ τὰ δέοντα, πράττων, εἴτε ὑπερλαλῶν, ἢ ἄλλο τι τεχνώμενος, δι᾽ οὗ πανηγυρίζει, πομπικῶς θριαμβεύων καὶ παραδεικνύς, ὁποῖός ἐστι τὰ εἰς εὐθυτάτην φιλίαν, ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης διανοίας ὁ τοιοῦτος ἀγαπᾷ, ἐξάγων δηλαδὴ τὰ ἐν τῇ ψυχῇ προαποκείμενα, καὶ προάγων καὶ ἐκφαίνων ἐναργῶς· ἵνα τὸ μὲν ἐντὸς καὶ ἐσωτερικὸν τῆς ἀγάπης ἀναλογῇ ζωπύρῳ ἔνδον που ὑποσμυχομένῳ, ἢ καὶ φλογὶ πνιγομένῃ ἔν τινι στεναγμῷ· τὸ δὲ κατ᾽ ἔκφανσιν αὐτῆς ἐνεργητικὸν εἰκάζηται πρὸς φλόγα, ἔνδοθέν ποθεν ἐκκύψασαν ἔξω, καὶ ἀναπηδῶσαν καὶ ἐκλάμπουσαν φανότατα.

10. Οὕτως οὖν κεκανονισμένου τοῦ ἀγαπᾷν καὶ τῆς ἀγάπης, ἐκ τῶν ἄνω δι᾽ αὐτοῦ τοῦ θεοῦ οἷα καὶ γεωργοῦ κατεσπαρμένης ἀνέκαθεν ἐν τῷ κόσμῳ, ἐπὶ εὐφορίᾳ καρποῦ θείαις ἀποθήκαις προσήκοντος, χρὴ καρπογονεῖν καὶ ὑμᾶς εὐγενῶς, καὶ συγκομίζειν τὸ κάρπωμα ἐντελῶς, καὶ μὴ ἀφιέναι μηδὲ σμικρὸν γοῦν τι

αὐτοῦ παραῤῥιπτεῖσθαι εἰς ἀποτροφὴν σπερμολόγοις ὀρνέοις δαίμοσιν, οἳ τὰ τοῦ θεοῦ περιερχόμενοι λήϊα λυμαίνονται εἰς ὅσον δύνανται, πραγματείαν μὲν τιθέμενοι, καὶ ἐκριζοῦν τὸ πάμφορον καὶ κάλλιστον φυτὸν τῆς ἀγάπης, καὶ καταῤῥιπτεῖν προθέλυμνον ἐπὶ φορᾷ παντελεῖ, μῖσος δὲ ἀντεμφυτεύειν βαθύῤῥιζον· εἰ δὲ μὴ εὐσθενῶς εἰς τὸ μέγα τοῦτο κακὸν ἔχοιεν, ἄλλως γοῦν αὐτὸ κολοβοῦντες ἐπί τι, καὶ τῆς ὁλότητος ἐφ' ὁποσονοῦν παραλύοντες. Ἴσχυσεν οὖν ποτε ὁ τῷ ὄντι κακομήχανος καὶ κατὰ τῆς εἰς θεὸν ἀγάπης νεανιεύσασθαι· καὶ ἡ μηχανὴ αὕτη ἐξέφηνε τούς τε αἱρεσιαρχήσαντας καὶ τοὺς ἠκολουθηκότας αὐτοῖς, θεοῦ συστείλαντος πάντως ἐνταῦθα τοῖς ἀπολωλόσι τὸ αὐτοῦ ἀντιληπτικόν, ἵνα μὴ τὸ ἐνάρετον ἀκουσιάζοιτο, καὶ γένοιτο ἐντεῦθεν ἀγέραστον τὸ καλόν, καὶ οὕτως ὡς ἐξ ὑπαγωγῆς παῤῥησιασθείη ἐφ' ἅπασι τὸ ἐφάμαρτον. Ἡ δ' αὐτὴ μηχανὴ τοῦ κακοτέχνου δαίμονος πολλοὺς καὶ τοῖς τοῦ θεοῦ θεραπευταῖς ἀντέστησε, καὶ προσβολαῖς ἐνθέοις ἀνθώπλισεν, ἀπειπαμένους τὸ πρὸς ὀρθότητα φύσεως καθῆκον τίμιον καὶ εὐπειθές.

11. Ἀλλὰ ταῦτα μὲν οὐκ εἰςαεί, οὐδὲ εἰς παμπληθὲς ἔχει ἐξανύειν ὁ πονηρός. Ἐπεὶ γὰρ τὰ κατὰ τῶν μεγάλων πταισμάτων οὔτε ῥᾷον ἐκτελεῖται τοῖς ῥᾳδιουργοῦσι, καὶ κίνδυνος δὲ μέγας || (Ms. fol. 131. b.) αὐτοῖς ἐγκέκλιται διαμαρτάνουσιν, οὐδὲ ἐκεῖνος ἀπισχυρίζεται διόλου ἐπὶ τοιούτοις, ἀλλὰ σχάζων τὰς τοιαύτας κακοτεχνίας καὶ σπανίζων αὐταῖς, διαχειρίζεται τοὺς μὴ φοβερούς, καὶ ἀφίησι μὲν τά τε μέγιστα, καὶ ὅσα δὲ ἄλλως ἀρχοειδῆ, ὅτι μηδὲ δύνανται καταπεταννύειν αὐτῶν τὰ τοῦ δόλου δίκτυα· καταρτίζει δὲ πάναγρα κατὰ τῶν ταπεινοτέρων, καὶ οὕτως ἢ παντελῶς ἀβοηθήτων, ἢ ὀλίγα δεδυνημένων ἑαυτοῖς ἐπικουρεῖν. Τοιοῦτοι δὲ δήπουθεν καὶ ἡμεῖς, ἐγώ τε δηλονότι ὁ ταῦτα κράξας, καὶ ὑμεῖς οἱ ἀκούοντες, ἄνθρωποι ἀσθενεῖς, καὶ οἱ μὲν πάντη ἀνίσχυροι, οὐκ ὀλίγοι δέ, δοκοῦντες μὲν ἰσχύειν, ἄλλως δὲ μικροῦ καὶ ἄχειρες, εἰ καὶ ταῖς κεναῖς καραδοκίαις πλάττομεν ἡμᾶς αὐτοὺς εἰς ἑκατόγχειρας.

12. Τῶν γοῦν τοιούτων (πολλοὶ δέ εἰσι μυριαχοῦ τῆς γῆς καὶ ἀληθῶς ἀμύθητοι) καταπετάσας ὁ θεομίσητος θηρατὴς διάβολος τὰ κατ' αὐτὸν λίνα, ἐπεὶ μὴ βλέπει τὴν φωςφόρον ἀγάπην ἐν ἡμῖν πολιτευομένην, καὶ μεθοδεύουσαν ἀπάγειν αὐτὸν ἐξ ἡμῶν, ἀντειςάγει τὸ σκοτεινὸν μῖσος, καὶ παῤῥησιάζει καθ' ἡμῶν αὐτό, καὶ οὕτως ἐντρίβει πάντας τοὺς καθ' ἡμᾶς. Καὶ οἷα μὲν τοὺς ἄλλους διατίθεται, οἴδασιν οἱ πειρώμενοι. Ἐμὲ δὲ φιλονεικεῖ καὶ θανάτῳ προπέμψαι· καὶ ἂν ἐξέπραξεν αὐτὸ πάλαι, εἰ μὴ φανερῶς πρὸς ἐμοῦ ἦν ὁ θεός, ἀνεχόμενος καὶ εἰςέτι περιεῖναι με τῷ βίῳ, εἴ πως ἐμαυτοῦ γενόμενος ἐπιστραφείην εἰς αὐτόν, οὗπερ ὁσημέραι ἀφορίζων ἐμαυτὸν οὐκ ἐντρέπομαι.

13. Ἰδοὺ οὖν σήμερον ξενηλατοῦμαι ὑπὸ τοῦ μίσους, καὶ αὐτοῦ εἴτε μὲν ἐκ πολλῶν τινων καὶ περιβλέπτων, ἵνα μαθὼν παμμίσητος εἶναι ἢ διωρθωσάμην, ἢ διεξέφυγον ἐκ μέσου λαθών, μήπου δὲ καὶ ἀμφαδόν. Νῦν δὲ ἄνθρωποι οὐδένες ἐπανίστανται ἐπ' ἐμέ, καὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ, οὔτε ἐν τῷ θεῷ αὐτοῦ, οὔτε ἐν τῷ βασιλεῖ. Ἀκούετε, ὁ βασιλεύς μου καὶ ὁ θεός μου, οἷς ἐγὼ πέποιθα, τῷ μὲν κατὰ πρῶτον λόγον καὶ καθ' αὑτὸ καὶ φύσει, τῷ δὲ μετ' αὐτὸν καὶ δι' αὐτόν. Καὶ μήν, ὦ ἐχθροί μου, ὁ εἷς καὶ οἱ δύο, οἱ πρόοπτοι λαϊκοί, οἱ γεννάδαι, καὶ ἱεροὶ δὲ ἄνδρες, οἱ καὶ ῥᾷον ἀριθμητοί, καὶ οὐδὲ ἐν λόγῳ πολλῷ κείμενοι· παράλληλοι τεθέντες, ἐγώ τε καὶ ὑμεῖς, οὐκ ἂν εἰς ῥοπὴν ἴσην ταλαντευθησόμεθα.

14. Καὶ οὕτω μὲν ἐγὼ ξενηλατοῦμαι, ὡς οὐκ ἐχρῆν, διὰ μῖσος οὐκ ἀγαθῶν ἀνδρῶν, τὰ μὲν εἰς ἀνθρωπικὴν διάθεσιν ἀγροίκων, σοφωτάτων δὲ τὰ εἰς θηριακὴν καὶ οἵαν φεύγεσθαι παρὰ τῶν κατ' ἐμὲ δειλῶν· ὃς καὶ ἄλλοτε καρχάροις τούτοις θηρίοις || (Ms. fol. 132. a.) περιτετυχηκώς, ἀπήλλαξα δυστυχῶς. Ὑμεῖς δέ, ὦ ἀδελφοί, ἐπεὶ ἔξεστιν ὑμῖν ἀνθρώποις εἶναι, καὶ οὐ θηρίοις, καὶ φίλοις, οὔκουν δὲ ἐχθροῖς, καὶ θεοῦ ἀγγέλοις, οὐ μὴν πονηροῖς, ἔχετε τὸν νοῦν πρὸς ὑμῖν αὐτοῖς, καὶ ἐκκλίνατε τὰς τρίβους αὐτῶν τρεχόντων εἰς κακίαν, καὶ μὴ εὐθυπορούντων, ἐσομένων δὲ τοιούτων καὶ εἰςαεί, ὡς ἔστι τεκμαίρεσθαι ἀκριβῶς. Οὓς γὰρ ἡ πολυετὴς διδασκαλία καὶ ἡ ἐπ' αὐτῇ πραγματικὴ μέθοδος οὐκ ἐνήγαγεν εἰς τὸ ποθούμενον ἡμῖν (ποθοῦμεν δὲ σὺν θεῷ τὴν κατ' ἐκεῖνον ἀγάπην), τίς ἂν ἐγγυήσηται, ἀνὰ μεταβαλέσθαι, ὡς τῆς πολυχρονίου κακίας ἀποστήσεσθαι, ἀνθρώπους αὐτοὺς ἐλλαμπομένους, εἰ καλοὶ προφαίνονται, καὶ εἰς βίου αὐτὸ ἁβρότητα ἐγγράφοντας· οἷς διὰ σπουδῆς ἀνυπερβλήτου γίνεται, καὶ ἑτέρους ἐπισπᾶσθαι πρὸς ἁμαρτητικὴν ὁμοιότητα· ἵνα συγκροτηθέντες ὡς εἰς λεγεῶνα, κατασταῖεν ἀπρόςμαχοι, φαῦλαι κεφαλαί, οὐκ ἀγαθοῖς ἐπιστησόμεναι σώμασι, φαλαγγάρχαι στρατιᾶς οὐ θεῷ φίλης, οὐδ' αὐτοὶ ἀγαθοί, οἷς ὁ μὴ συντασσόμενος ἄνθρωπός ἐστι τοῦ θεοῦ. Διὸ φευκτέον καὶ ὑμᾶς ἀπὸ παντὸς τοιούτου τάγματος, ὀφείλοντας εἰδέναι, ὡς δαιμονῶσιν οἱ κατὰ τῆς ἀγάπης ἀντίπαλοι. Μήποτε δὲ καὶ ὑπερπαίουσι τὴν δαιμόνιον κακίαν. Οὐ γὰρ κακὸς ἁπλῶς ὁ οὕτω κακὸς ἄνθρωπος, ἀλλά που καὶ ὑπὲρ αὐτὸν δαίμονα. Εὕρηνται οὖν λογισμοὶ πονηροί, οὓς δαίμων μὲν οὐκ ἔφθη προβαλέσθαι, ἄνθρωπος δὲ πονηρὸς προὐβάλετο ἄν.

15. Καὶ ἐνθυμητέον ἐνταῦθα τὰ κατὰ τὴν μακαρίαν Θεοδώραν, τὴν ὑποκριναμένην τὸν ἄῤῥενα, καὶ ἀνδράσιν ἁγίοις συμβιοτευσάσαν, καὶ συντελειωθεῖσαν μοναχικῶς. Ἐκείνην γὰρ καὶ τὰς ἄλλας, ὅσαι κατ' αὐτὴν (πολλαὶ δὲ ἐκεῖναι) κακὸς μὲν ἄνθρωπος εἶχεν ἂν ῥᾳδίως ἀποστῆσαι τῆς ἱερᾶς ἀγέλης, εἰ τῆς μετ' ἐκείνων συμβιώσεως καὶ τῆς ἐντεῦθεν ἀρετῆς αὐταῖς ἐνεκότει. Καταμηνύσας γὰρ δυσμενῶς, ὅτι γυναῖκες, ἀνδρὸς προβεβλημέναι ὄνομα, περὶ μόνους εἰλοῦνται τοὺς ἀσκητάς, ὡσεὶ καὶ δαμάλεις ἐν μέσῳ θατέρου γένους βοῶν, ἠρίστευσεν ἂν κατὰ τῶν ἁγίων γυναικῶν εἰς ἀπώλειαν. Οὐ γὰρ οἱ μετὰ θάνατον ἐκείνας ὑπερθαυμάσαντες οὕτω βεβιωκυίας, ἠνέσχοντο ἂν ζώσας ἀφεῖναι μένειν παρ' αὐτοῖς. Καὶ οὕτω μὲν πονηρός τις ἂν ἐμεθώδευσεν. Ὁ δὲ τὴν κακίαν ἐπιστημονικώτατος ἐνταῦθά γε οὐκ ἔσχε σοφίσασθαί τι τοιοῦτον. Καὶ μὴν εἶχε δίχα καταμηνύσεως ἑτεροίας ὄναρ γοῦν ἐπιστῆναι τῶν τινι σεμνοτέρων ἀσκητῶν, καὶ περιπονήρως ὑποβαλεῖν τὸ κατὰ τῆςδε καὶ ἐκείνης καὶ ὅλης τῆς ἁγίας νόημα, || (Ms. fol. 132. b.) ὥςπερ ποτὲ καὶ τὴν γυναῖκα τοῦ Πιλάτου κατήχησε πονηρὰ βουλευσάμενος, εἰ καὶ μηδὲν ἴσχυσεν ἔμπρακτον. Ἐποίησε δὲ ὅμως οὐδὲν τοιοῦτον, ἀλλὰ ἔλαθεν, ὡς οὕτως εἰπεῖν, ἡ τῶν ἁγίων ἐκείνων γυναικῶν λογάς, ὥςπερ τοὺς συμμονάζοντας, οὕτω καὶ τὸν τῆς κακίας ἐπόπτην δαίμονα.

16. Καὶ ἰδοὺ ἔστι κἀντεῦθεν, ὥςπερ καὶ ἐξ ἄλλων πολλῶν, ὑπονοήσασθαι, ὡς ὁ πονηρὸς ἄνθρωπος ἐνιαχοῦ καὶ ὑπὲρ αὐτὸν δαίμονα ἐπιβάλλει τεχνᾶσθαι, ἵνα τις τολμήσας ἐρεῖ, ὡς ἐν τοῖς τοιούτοις βραχύ τι ὁ δαίμων τοῦ πονηροῦ ἀνθρώπου ἠλάττωται. Διατί οὖν μὴ φευκτέον τὸν οὕτω καὶ τοῦ διαβόλου ἔστιν οὗ κατακαυχώμενον; Σύ φησι τηρήσεις κεφαλὴν αὐτοῦ, τοῦ ὄφεως δηλαδή. Ὁ δέ, ὦ ἄνθρωπε, πτέρναν τὴν σήν. Ὁ δὲ κακὸς ἄνθρωπος — τὰς πτέρνας μὲν ἀφίημι καταβλέπειν, κεφαλῇ δέ τινος ἐθέλει καταστοχάζεσθαι, καὶ αὐτῆς ἠρμένης ὕψου τιμαῖς θείαις, ἵνα οὕτω σεμνύνηται. Εἴη ἂν οὖν ἡ μεγάλη κεφαλὴ ἐκείνη μὴ πλουτοῦσα ἐγκέφαλον ὑγιᾶ, εἰ μὴ ἐκκλίνουσα φυλάττεται τοιοῦτον πονηρὸν ὄφιν· ἐπεί τοι καὶ τῶν ἀσφαλῶν ἀνδρῶν, ὅσοι πεπείρανται ὄφεων ἐκπετομένων τοῖς ἅλμασιν, ὁποῖα καὶ οἰστῶν, καὶ κατὰ προςώπου χωρούντων, ἐπειδὰν ἴδωσι τοιοῦτον ζῶον ἀέριον καταπετόμενον ἐπὶ κακῷ συνήθει, φυλάττονται τό τε πρόςωπον καὶ τὸ λοιπὸν τῆς κεφαλῆς, καὶ οὐ χερσὶ μόνον, ἀλλὰ καὶ προβολαῖς ξιφῶν γεγυμνωμένων, οἷς καὶ ἐμπελάζον τὸ θηρίον κατακόπτεται. Καὶ αὐτὸ μὲν ἐκ μιᾶς ὁλότητος μερίδες γίνεται· ὁ δὲ φυλαξάμενος ἐκεῖνο καὶ ἐν ἀκεραιότητι μένει, καὶ φρονίμοις ἐγγράφεται, κερδήσας αὐτὸ ἐκ τοῦ τὴν κεφαλὴν φυλαττομένου ὄφεως, οἷα καί τι σωτήριον ἀντίδοτον.

17. Τούτους τε οὖν οὕτω φεύγετε, ὡς μὴ κατ' ἴχνη βαίνειν τῆς αὐτῶν ἢ οὐδόλως ἀγάπης, ἢ ψευδαγαπήσεως, καὶ τῶν διαβόλων βλασφημιῶν ἀπέχεσθε τῶν ἐν τοῖς πλείοσι καὶ βαρυτάτων καὶ συχνῶν, ἃς ἐχρῆν ἀῤῥήτους εἶναι διὰ τὸ κατ' αὐτὸς ἐπίῤῥητον· δι' ὧν ἀχρειοῦται τὸ σοφὸν ὄργανον τοῦ θεοῦ, τὸ καλὸν στόμα, ὁ τοῦ νοὸς ἐξάγγελος, δι' οὗ τὸ λαλητὸν ζῶον τοῦ θεοῦ χαρακτηρίζεται. Χρὴ δὲ ἐνθυμεῖσθαι ὑμᾶς ἐνταῦθα, ὅτι τε βόρβορον δυςαπόφορον ἐγκλείει τῷ στόματι ὁ βλάσφημος ἄνθρωπος, καὶ ὅτι πικρίας μὲν οἱαςοῦν γευσάμενός τις ὑγιῶς ἔχων τοῦ γεύεσθαι, καὶ μυσαχθεὶς τὸ πρᾶγμα, οὐ μόνον συχνὰ ἐκπτύει συνεκβάλλων τῷ σιελῳ τὴν ἀηδίαν, ἀλλὰ καὶ ὕδατι καὶ χυμῶν γλυκύτητι ἐκπλύνει τὸ || (Ms. fol. 133. a.) καλὸν δοχεῖον ἐκεῖνο.

18. Τί δή, ὦ δαιμονοφόρητε ὑβριστά, παραβύεις τῷ στόματι βλασφήμους πικρίας, ὧν τὸ ἀηδὲς μανθάνεις μὲν ὕστερόν ποτε καὶ αὐτός; Ὅτε γὰρ βλασφημεῖς, οὐκ αἰσθάνῃ ὡς οἷον ἐξεστηκώς. Μάλιστα δὲ οἶδε τὴν ἐκεῖθεν πικρίαν ὁ βλασφημούμενος, εἴπερ μὴ ὀλιγώρως ταῖς ὕβρεσι προςφέρεται. Τί ἀναπτύσσεις τὰ χείλη, καὶ χαίνεις, οὐχ ὥςτε ἢ φαγεῖν, ἢ λαλῆσαι ἁπλῶς, ἢ καὶ διδάξαι καὶ ὑμνῆσαι θεόν, καὶ οὕτως ἐξεμέσαι χυμούς, δι' ὧν θανατηφόρον ἡ ψυχὴ πληθώραν πάσχει· ἀλλ' ὥςτε καταισχύναι σεαυτόν, τὸν τοῦ θεοῦ ἄνθρωπον, ὡς Χριστιανόν, διὰ τοῦ καὶ δάκνειν καὶ κατεσθίειν; Οὐ λέγω τόν σοι ὅμοιον, ἀλλ' ὑπερφερῶς καλλίονα. Ἄνοιξόν σου τὸ στόμα γραφικῶς, καὶ ἕλκυσον πνεῦμα θεῖον πάντως, οὐ μὴν πονηρόν· τῷ γὰρ τοιούτῳ κλειστέον ἀκριβῶς πᾶσαν αἴσθησιν. Πλάτυνόν φησι τὸ στόμα σου, καὶ πληρώσω αὐτό. Οὐ δεήσομαι τριβῆς χρόνου τινός, οὐ μέλλησιν ἐνδείξομαι· αὐτίκα δέ, ὥςπερ ἔτι λαλοῦντός σου τὰ ἀγαθά, παραγίνομαι. Οὕτω καὶ ἀνοίξαντος πληρώσω πνεύματος, καὶ σοφίαν ψωμίσω διὰ βιβλίου, ὁποίῳ καὶ προφῆται μυστηριάζονται. Οὐ γὰρ οὔτε ὀκνῶ, οὔτε φθονῶ, οὔτε μελετῶν σκέπτομαι. Ἀλλὰ ἀνοίγεις ἅμα, καὶ εἰςέρχομαι. Οὕτω καὶ ἐγὼ τὴν ἐμὴν ἀνοίγων θύραν προκαλοῦμαι καὶ σὲ καὶ πάντας εἰςελθεῖν. Οὐ μεριμνῶ, πῶς πληρώσω τὸ στόμα σου πλατυνθέν. Καὶ δηλοῦσιν αὐτὸ καὶ οἱ ἄλλως ἐμοὶ μαθηταί, καὶ ὅσοι δὲ τυράννοις παραστάντες, οὐ διὰ χρόνου, ἀλλὰ αὐτῇ τῇ ὥρᾳ λαμβάνουσι στόμα καὶ σοφίαν· οἷς οὐ δύναται ἀντειπεῖν οὐδεὶς ἀντικαθιστάμενος. Στόμα δὲ ἐνταῦθα καὶ σοφίαν ἀκούσας, μὴ ἀπεριμερίμνως ἐπιβάλῃς τῇ ἀκοῇ, ἀλλ' ἐμβάθυνον· ὅτι ὁ μὴ κατὰ τοὺς

λόγους τούτους διακείμενος θειότερον, ἐν τῷ ἀναπνεῖν καὶ λαλεῖν οὔτε στόμα ἔχει, οὔτε σοφίαν, ἀλλὰ καὶ ἄστομός ἐστι χειρόνως, ἤπερ τῶν ἵππων ὅσοι λέγονται ἄστομοι, ναὶ μὴν καὶ ἄσοφος, μήπου δὲ καὶ ἄλογος.

19. Καὶ τοιαῦτα μέν σοι λέξει ὁ τὸ στόμα πλατύνειν ἐγκελευόμενος ἐπὶ πληρώσει παντὸς δηλαδὴ ἀγαθοῦ, δι' οὗ καὶ ἐμβρωματίζεται. Καὶ ἄλλως δὲ ζῇ ὁ πρὸς ἀλήθειαν ἄνθρωπος. Ὁ μέν τοι τῷ θεῷ ἀντικείμενος ἄλλοις αὐτὸ πληροῖ, μεστὸν ποιῶν ἁπάσης φαυλότητος. Οὕτω πληροῖ τὰ τῶν αἱρετιζόντων στόματα, οὕτως ἐπλήρωσε τὰ τῶν σταυρωτῶν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· ὧν τὸ στόμα ἔγεμε τῷ καιρῷ ἐκείνῳ τοῦ οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα· καὶ εἰ μὴ σταυρώσῃς αὐτόν, ὦ Πιλάτε, οὐκ εἶ φίλος τοῦ Καίσαρος· καὶ ἆρον, ἆρον, σταύρωσον αὐτόν. (Mo. fol. 133. b.) Ἔνθα || σκοπητέον τὸ δίπλασμα τοῦ ἆρον, ἆρον, δι' οὗ τῷ πονηρῷ δεσπότῃ καὶ δανειστῇ δαίμονι ὁ πονηρὸς λαὸς ἐκεῖνος τὸ ἐκδανεισθὲν κίβδηλον ἐπηύξησε τάλαντον. Ὁ μὲν γὰρ καθάπαξ ἐκείνοις ὑπέβαλεν ἀξιωθῆναι τὴν κυριακὴν ἐπὶ τοῦ σταυροῦ ἄρσιν· οἱ δὲ μὴ καταχώσαντες τὸ δάνειον, μὴ καὶ ὀκνηροὶ νομισθῶσι, τῷ ἐκδανείσαντι ἐπολλαπλασίασαν, οὐκ εἰς ἅπαξ εἰπόντες ἆρον, ἀλλὰ περισσῶς κράξαντες ἆρον, ἆρον, καὶ οὕτω πιστοὶ φανέντες οἰκέται πονηροτάτῳ δούλῳ, ἐκ τοῦ κοινοῦ δεσπότου ἀποστατήσαντι, καὶ δι' αὐτὸ θερμότεροι ἐκείνου ἀπεκβάντες πρὸς τὸ κακόν. Ἐπεὶ καὶ εὐφυεῖς ἐν πολλοῖς οἱ κακοὶ ἄνθρωποι πλέον ἤπερ ὁ διδάσκαλος αὐτῶν δαίμων, καὶ βραχεῖαν ἐκ τοῦ σοφιστοῦ τῆς κακίας λαβόντες ἀφορμήν, σοφώτεροι γίνονται, ἐξ ὀλιγίστης ἀρχῆς εἰς μέγιστα προαγόμενοι, καὶ σπέρματος ἀμυδροῦ καρπὸν κακίας πολύχουν ἀντιδιδόντες. Πολλαχοῦ δὲ οἱ τοιοῦτοι, καθὰ καὶ φθάσαντες ἀνόπιν λόγου ὑπεδηλώσαμεν, καὶ πλεῖόν τι ἐκείνου ἐπινοοῦνται κατὰ οὐκ ἐπαινετὴν περίνοιαν· καὶ ἅπερ ἐκεῖνος οὐκ ἐννοήσηται ἄν, αὐτοὶ περιεργάζονται, πονηρῶν λογισμῶν ἀναβαινόντων ἐν ταῖς καρδίαις αὐτῶν. Καὶ καινόν τι τοῦτο οὐδέν, εἴγε οὐκ ἐντελής, οὐδὲ ἀκραιφνὴς καὶ ἀκριβὴς καὶ διηρθρωμένη τοῖς δαίμοσιν ἡ νόησις, οὔτε ἡ διορατική, οὔτε ἡ λοιπή, ὡς δῆλον πέφηνεν ἐκ πολλῶν.

20. Ἵνα δὲ τὴν ὑβριστικὴν φαυλοτομίαν καὶ ἄλλοις παραδειγματίσαντες ἀπελέγξωμεν, οὐχ ὑβριοπαθοῦντες αὐτοί, ἀλλὰ τῶν ὑβριστῶν ὑπεραισχυνόμενοι, καὶ ἐλεοῦντες αὐτούς, εἴπερ ἀντὶ τοῦ λαλεῖν ἀνθρωπίνως, ὡς ὁ θεὸς ἡμᾶς ἔταξεν, εἶτα βαΰζουσι, καθυλακτοῦντες τῶν ἀδελφῶν, ὅσα μηδὲ οἴδασιν, ἀλλὰ πανούργως πλάττονται· μεθοδεύω τὴν διδασκαλίαν καὶ ἄλλως. Ἰδοὺ ἐρωτῶ πρὸς διάκρισίν τινα τῶν τε ἐπαινουμένων καὶ δι' αὐτὸ φιλουμένων τοῖς ἐχέφροσι, καὶ τῶν ψεκτέων καὶ διὰ τοῦτο φευγομένων τοῖς ὀρθὰ φρονοῦσιν· ἆρά γε καλὸν ὁ ἔπαινος; Ἐρεῖτε, πάντως οὕτως ἔχειν τὸ πρᾶγμα· καὶ τοίνυν κακὸν τὸ ἐναντίον ὁ ψόγος. Τί οὖν τὸ καλὸν ἀφιέντες, πρὸς τῷ κακῷ ἔχομεν τὸν νοῦν; Τί δέ; καλὸν ἡ εὐχαριστία; Παρακύπτω εἰς τὰς ψυχὰς ὑμῶν, καὶ βλέπω κατατιθεμένας αὐτὰς καὶ εἰς τοῦτο, ἀνανευούσας δὲ αὐτίκα εἰς τὸ τὴν ἀχαριστίαν εἶναι καλόν. Διατί τοίνυν οὐκ αἰδοῦνται οἱ ἀχάριστοι, τὸν Ἰούδαν ζηλοῦντες, ὃς ἐκληρονόμησε τοῦ τοιούτου φαύλου ὀνόματος κατ' ἐξαίρετον. Ἀλλὰ ὀβολοῦ ἦν ἀξία ἡ χάρις, φαίης ἄν, ὦ ἀχάριστε. Καὶ στάθμησον ἑαυτὸν ἐνταῦθα· καὶ ἴσως εὑρήσεις οὐκ ἀντισηκοῦντα μόνον ἐπὶ σοί, ἀλλὰ || (Mo. fol. 134. a.) καὶ καθέλκοντα ῥοπῇ βαρείᾳ τὸν ὀβολόν. Καὶ οὕτως οὐκ ἂν δυσχερανεῖς ὁ (θετέον οὕτως) ὀβολιαῖος, ἰσόρροπον ἔχων δωρεάν, καὶ μᾶλλον, εἰ προσενθυμηθῇς τὸν παμπλούσιον κοσμοδεσπότην θεὸν λεπτοῖς δυσὶν ἀρκεσθέντα, καὶ χαρέντα, καὶ μὴ ἐξουδενώσαντα, μηδὲ τὴν τῆς χήρας ἀποστραφέντα χεῖρα, δι' ἧς δωρεὰ σμικρὰ προετέθη αὐτῷ, οὐ λεπτολογήσαντι τὸ σμικρολόγον τῆς γυναικός, ἀλλ' εὐλογήσαντι τὸ καὶ ἁπλοῦν ἐκείνης καὶ εὔγνωμον.

21. Ἔτι προσεπερωτῶ· πότερον κάλλιον, ἀληθεύειν, ἢ ψεύδεσθαι; Ἀλλ' ἐνταῦθα οὐκ ἀνέχεται ὁ θεός, ἡ αὐτοαλήθεια, σκέψασθαι ὑμᾶς τὴν ἀπόκρισιν, ἀλλ' οὐρανόθεν βοᾷ ἐξάκουστον· καὶ ὑμεῖς ἀκούετε, καὶ πιστεύετε, τὴν ἀλήθειαν ἐπίπροσθεν εἶναι, ὥσπερ τοῦ δαίμονος, οὕτω καὶ τοῦ ἐκεῖθεν κακοῦ ἐκγόνου, τοῦ ψεύδεσθαι. Εἰ γοῦν ἀγαθὸν ἡ ἀλήθεια, τί τοῦ ψεύδους γινόμεθα, καὶ οὐ λέγω, τοῦ ἐν ῥήμασι μόνοις, ἀλλὰ καὶ τοῦ ἐν ἔργοις ὡς μάλιστα; Μὴ γάρ τις οἰέσθω, ἐν μόνοις λόγοις περιγεγράφθαι τὸ ψεῦδος· ἀλλ' ἐπιστήμην ἐχέτω, οὐχ ἥκιστα καὶ ἔργοις τοῖς κατ' ἄνθρωπον ἐγκατεσπάρθαι τὸ ψεύδεσθαι. Καὶ ὥσπερ τις εὐτραπέλως καὶ δεξιῶς ἐθεώρησε, τὸν σόλοικον ἄνθρωπον οὐκ ἐν μόνῳ τῷ λαλεῖν ἢ γράφειν ἐνδείκνυσθαι τὸ κατ' αὐτὸν ἐφάμαρτον τοῦτο, ἀλλὰ καὶ ἐγκατανεύσεσι καὶ ἀνανεύσεσι καὶ τισι τοιούτοις· οὕτω καὶ τὴν ἁμαρτίαν τοῦ ψεύδους ἔστι νοεῖν μεριζομένην εἴς τε ψευδολογίαν, καὶ εἰς ὡς οὕτως εἰπεῖν ψευδοπραξίαν. Ὡς γὰρ ψεύδεται ὁ ἄλλα μὲν προφέρων χείλεσιν, ἄλλα δὲ βυσσοδομεύων κατὰ ψυχήν, καὶ ἀσύμφωνον λαλιὰν προάγων τοῖς ἐνδομυχουμένοις νοήμασιν, οὗ δὴ φαυλοτάτου σπέρματος πρωτογέωργος ὁ τοῖς γενάρχαις ἡμῶν ἐπιβουλευσάμενος· οὕτω καὶ ὁ πράττων μὲν ἀγαθὰ ἐν προσχήματι, τεχνώμενος δὲ διὰ τῆς δοκούσης ἀριστοπραξίας τὰ ἐν ὑστέρῳ χείριστα.

22. *Καὶ προκατῆρξε μὲν κακοῦ τοιούτου ὁ φιλήσας μαθητής, εἶτα προδοὺς τὸν ὑπέρσοφον διδάσκαλον. Μιμούμεθα δὲ φαυλοδιδάσκαλον ἐκεῖνον καὶ οἱ πρὸς αὐτὸν ἐξομοιούμενοι ταῖς μιμήσεσι. Φιλεῖν γάρ ποτε καὶ αὐτοὶ δοκοῦμεν, προςκυνοῦντες μὲν συναντῶντα, καὶ ἱλαρὸν προςμειδιῶντες, καὶ χειραγωγοῦντες, εἴ που δεήσει, καὶ ποδηγοῦντες, καὶ ἐπιχορηγοῦντες τὰ ἐλλείποντα· μικρὸν δὲ ὅσον καὶ τούτων πάντων ἐκλανθανόμενοι, τὰ ἔργα ἐκεῖνα ψευδόμεθα, πανουργευσάμενοι τοὺς πιστεύσαντας, ὡςεὶ καὶ ὄρνιθας, οὓς οἱ θηραταὶ ἁλίσκουσι, θέλγητρα πρὸ τῶν παγίδων τιθέμενοι. Καὶ τοίνυν τῇ ἐντεῦθεν κακουργίᾳ τοὺς μὲν προςκυ || Ms. fol. 134 b. νουμένους ἐκείνους ἄραντες τῶν σκελῶν, καταῤῥιπτοῦμεν εἰς ὄλεθρον· τοὺς δὲ τεθαῤῥηκότας τῷ μειδιάματι ὡς οἷον καταγελαστοὺς διατιθέμεθα. Οὓς δὲ τῶν χειρῶν ἤγομεν, ὑπερείδοντες ἀποστρεβλοῦμεν, ἢ συνδέοντες αὐτάς, ἢ ἄλλως ἐξαρθροῦντες. Τὴν δὲ ποδηγίαν εἰς πλάνην ἄτοπον μεταποιοῦμεν, παρεκνεύοντες τῆς ὀρθῆς· τὸ δὲ χορηγεῖν τὰ ἐνδέοντα, εἰς ἀφαίρεσιν τῶν ὑπαρχόντων, ὥςπερ οἷόν τε ἦν, ἀλλοιοῦντες, μή που δὲ καὶ εἰς ζωῆς αὐτῆς ἀποστέρησιν. Οὕτως ἡμεῖς εἰς τὸ πᾶν ψευδόμεθα, οὔτε λόγοις εὐθυβολοῦντες, καὶ τοῖς ἔργοις δὲ σκαμβευόμενοι, ὡς ἂν ἔχοι καταφάσκεσθαι ἡμῶν τὸ Δαυϊτικὸν ἀληθέστατα, ὡς πάντες ἄνθρωποί ἐσμεν ψεῦσται.*

23. *Καὶ οἶδα μὲν πολλούς, μήποτε δὲ καὶ ἐμὲ αὐτὸν ὑπολαλοῦντας, ὡς, ἐπεὶ διορατικῶς ὁ Δαυῒδ προεφήτευσεν, ἀμήχανόν ἐστι διαπεσεῖν τὸ ἐκείνου γνωμάτευμα, ὡς διὰ τοῦτο ἤναγ ασμένως εἶναι ψεύστας ἡμᾶς. Ὅτι δὲ ληροῦμεν οἱ οὕτω φρονοῦντες, προςεκτέον καὶ τοῖς κατὰ τὸν Ἰωνᾶν, ὃς τοῖς Νινευΐταις ἀποφηνάμενος ὄλεθρον ὡς πάνυ κακίστοις, καὶ εὑρηκὼς ἐκείνους μεταμεληθέντας, καὶ ἐξιλεωσαμένους τὸν κύριον, καὶ προκαλεσαμένους εἰς ἔλεον, εἰ καὶ ἐψεύσατο τὴν ἠπειλημένην πανωλεθρίαν, ἀλλ' ἦν αὐτὸ οὐδὲν πρὸς τὸν θεόν. Τί γάρ, ἐὰν ἐλυπήθη μὲν ὁ ἅγιος, εἷς αὐτὸς ὤν, ἐσώθησαν δὲ μυριάδες ἀνδρῶν, καὶ οὕτω τὴν ἁγιωσύνην ἐπλήθυναν; Χαίροι οὖν πάντως ἂν καὶ ὁ θεοπάτωρ Δαυῒδ, εἴπερ, ἡμῶν αἰδεσθέντων ἐφ' οἷς λαμπρῶς ψευδόμεθα, καὶ μεταβαφέντων ἀπὸ σκοτώδους χρώματος τοῦ κατὰ τὸ ψεῦδος εἰς τὸ ἀγγελικῶς φλόγεον ἀληθές, ἐλεγχθείη καὶ ἡ αὐτοῦ προφητεία, καὶ ψευσθείη πως καὶ αὐτὸς ἐνταῦθα, οἷα καὶ ἄνθρωπος. Λέγω δὲ ὑμῖν, καὶ ὅτι ὁ Δαυῒδ οὕτω καθ' ἡμῶν ἀληθεύων, δύναται εἰπεῖν, ὡς οὐαὶ ὑμῖν, ἐφ' οἷς ἀληθὴς γίνομαι.*

24. *Ἀλλ' ἐπανακτέον τὸν λόγον, ὅθεν παρεξένευσε, καὶ ὀνειδιστέον τοὺς διὰ πάντων ψευδεῖς, ὧν καὶ αἱ κινήσεις, καὶ αἱ προςκυνήσεις, καὶ αἱ τῶν ὀφθαλμῶν ἀναμύσεις, καὶ αὐτὸ δὲ τὸ ἀναπνεῖν ψεύδονται, καί γε τὸ εὐεργετεῖν, οὗ δὴ καὶ αὐτοῦ ψεύσματος οὐκ οἶδα τίνες ἀπηλλάγμεθα. Ἔστι μὲν γὰρ ἐν τοῖς πρώτοις τῶν κατὰ βίον ἀγαθῶν τὸ βοηθεῖν τοῖς ἐνδεῶς ἔχουσι, καὶ προςλιπαρεῖν αὐτοῖς, καὶ παραμυθεῖσθαι, καὶ τὰ ἐλλείποντα ἐπιδαψιλεύεσθαι ἄλλοις τε τρόποις, καὶ διὰ τοῦ ἐκδανείζειν. Καὶ ποιοῦμεν ἡδέως αὐτό. Καὶ οὐ μόνον προςιόντας τοὺς ἀδελφοὺς παραδεχόμεθα εἰς ἐλεημοσύνην τοιαύτην, ἀλλὰ καὶ κρυπτομένους ὡς οἷον διερευνώμεθα ἐξιχνιάζοντες· καὶ εὑρόντες ἀγκαλιζόμεθα, καὶ ἐκχέομεν ἐπ' αὐτοὺς τὸν δῆθεν ἔλεον. Ἡ δέ ἐστιν ἀγχόνη ἀνηλεής. Οὐ γὰρ ἀφίεμεν ἀπολαύειν ἐλεημοσύνης αὐτούς, οὐδὲ ἐσθίειν || Ms. fol. 135 a. καὶ πίνειν τὸ δεδομένον εἰς κέρδος τρόφιμον· ἀλλὰ συγχωρηθέντες καταβροχθίσαι τὴν δωρεάν, εἶτα εἰς ἔμετον προκαλούμεθα τοὺς φαγόντας, ὡς καὶ αὐτὸ ἐξεράσαι τὸ ἐντεθέν, καί τι περιττόν, καὶ τὸ πλέον. Τοῦτο καλοῦμεν τόκον, ὀνόματι σεμνῷ καλλύνοντες πρᾶγμα αἴσχιστον. Καὶ γίνεται ἡ τοιαύτη τροφὴ μήτηρ λιμοῦ, καὶ τὸ ἐντεῦθεν χόρτασμα κένωμα, καὶ ὁ κόρος νηστεία βιαία. Καὶ ἡμεῖς ὁρῶντες τὸν ἀδελφὸν ἰσχναινόμενον, οἷς αὐτὸν ἐθρέψαμεν πανούργως, λιπάναντες χαίρομεν, ὥς τι κερδήσαντες, ἀφ' ὧν ἐκεῖνος ἐξήμεσε. Θανατηρὸν βοήθημα τοῦτο, ποδηγία κατὰ βαράθρων, τροφὴ δηλητηριώδης, ὑπόληψις ῥιπτοῦσα εἰς ὄλεθρον, ξενία λῃστεύουσα, ἐμπόνιμος εὐεργεσία, δῶρον ἄδωρον, οὔτε θεῷ φίλον, ὃς ἀγαπᾷ τὸν μὴ ἐπὶ τόκῳ διδόντα τὸ αὐτοῦ ἀργύριον, οὐδὲ μὴν ἀνθρώποις ἀγαπητόν.*

25. *Ἀπόλοιτο ἐκ βίου ἡ ψευδώνυμος αὕτη ἀγαθοποιΐα, τὸ ψευδεπίγραφον καλόν, ἡ θεομισὴς χρηστότης, ἡ ἀπάνθρωπος κοινωνία, ἡ δυςπολίτευτος δοσοληψία, τὸ δόλιον φίλημα, τὸ γλυκὺ μὲν τὴν ἀρχὴν σάκχαρ, ἐςύστερον δὲ ἀπρόςιτον τῇ πικρίᾳ, ἡ προϊάπτουσα εἰς Ἅιδην ἔμπλαστρος, τὸ φαρμάττον μοτάριον, ἡ μελιτίνη ἀγχόνη, ὁ ἑκούσιος ὄλεθρος, ὁ πραγματειώδης θάνατος, ὁ ἀσπαστὸς κίνδυνος, μάλιστα μὲν οὖν ἡ ἀπροόρατος ἀπώλεια, τὸ λεληθὸς χάος, ἡ κεκρυμμένη παγίς, τὸ πᾶν δὲ συνῃρημένως φάναι, τὸ δύςτοκον γέννημα, ἐπεὶ καὶ δαίμονος τόκος αὐτό, τοῦ καὶ σπείραντος καὶ συλλαβομένου καὶ ἀποκυήσαντος εἰς κοινὸν κακόν.*

26. *Ἀλλὰ ταῦτα μὲν τοιαῦτα ψεύσματα ἐν τοῖς οὐκ ἀγαθοῖς ἀνθρώποις, οἷς ὁ θεὸς μὲν ἐπ' ἀγαθῷ δίδωσι περιουσιάζεσθαι, ἡ δὲ φαύλη προαίρεσις ἐμποδὼν κεῖται τῇ κατὰ βίον εὐθυπορίᾳ, τῇ πρὸς τὸ θέλημα τοῦ θεοῦ. Φέρε δὲ καὶ ἄλλο κακὸν ὅμοιον ἐργῶδες τοῖς δαιμονῶσιν ἐκλαλήσω ὑμῖν, ὅπερ ὡς τὰ*

πολλὰ μὲν λόγοις καὶ αὐτὸ ἐνθεωρεῖται, ἀκολούθως δέ ποτε καὶ δι' ἔργων ἐκφαίνεται. Ἀρχιερέα ἔχειν λέγετε τὸν ἄρτι, ἐμὲ δηλαδή· καὶ καλῶς λέγετε. Εἰμὶ γάρ ἔτι, κἂν μὴ ἐπιπρέπω τῷ ἀξιώματι. Καὶ ὅπως μὲν διέκεισθε περὶ τοὺς φθάσαντας, ἔμαθον μὲν ἐκεῖνοι, μέμνησθε δὲ ὑμεῖς. Τὸν δὲ νῦν ζῶντα μὴ ἀφήσοι ὁ θεὸς τοιοῦτον εἶναι, ὁποῖον ἢ νοοῦσιν ἢ παρανοοῦσιν οἱ ἐκ καινῆς διαιτηταὶ τῶν ἐμῶν, ὁ πτωχός φημι Λέων, ὡς αὐτὸς ἐπιγράφεται, ὃν || (Ms. fol. 135 b.) εἰ μὴ ὁ ἐκκλησιαστικὸς ἀλετὸς ἀπέτρεφε, λιμῷ ἂν ἀπώλετο· μυρμηκολέων, μὴ ἔχων τροφήν· πρὸς δὲ καὶ ὁ κατὰ σύμπνοιαν εἴτε θεόθεν δοτὸς αὐτῷ, εἴτε καὶ ἄλλοθεν· οἳ κατὰ τοῦ Θεσσαλονίκης ἀρχιερατεύουσι λογοπραγοῦντες. τὸν ἀνεκλόγιστον καὶ βίον αὐτοῦ καὶ λόγον καὶ νεῦμα καὶ κίνημα καὶ πᾶσαν διάθεσιν φυσικὴν λογιστεύοντες. Καὶ οὐχ οὕτως ἀκριβοῦνται τὰ κατ' οἴκους αὐτοί τε καὶ τὸ περὶ αὐτοὺς φρατορικόν, ὡς τὴν τοῦ Εὐσταθίου τούτου πολιτείαν πολυπραγμόνως ἀνασκάλλουσι. πῶς μὲν ζῇ, φυλλοκρινοῦντες, οἷα δὲ λαλεῖ, ὅπως δὲ τοῖς ἐντυγχάνουσιν ὁμιλεῖ, ὁποῖα δὲ κρίνει. Ἐθέλουσι δέ, οἶμαι, εἴπερ οἷόν τε, καὶ τὰ κατ' ὄναρ αὐτῷ συνδιοπτάνεσθαι, καὶ οἷα φαντασιοῦται. Καὶ τὸν θυμὸν δὲ αὐτῷ καὶ τὴν ἐπιθυμίαν ἀκριβολογοῦνται, εἰ πρὸς κανόνα ἢ καὶ ἄλλως ἑκάτερα διευθετεῖται. Καὶ ὅλως τὸν (θαῤῥούντως λέγω) κατὰ πνεῦμα πατέρα, εὐκταῖον μέν, εἴπερ εἰς υἱὸν τίθενται· αὐτοὶ δὲ ἀλλ' ὡς εἰς δοῦλον, καὶ αὐτὸν ἐλάχιστον, τάττουσιν, αὐθεντῶς αὐτῷ προςφερόμενοι, ἐκλογισμοῖς ὑποβάλλοντες, ἀπαιτοῦντες τάδε καὶ ἐκεῖνα ποιεῖν, ὡς αὐτοῖς παρίσταται, ἀναγκάζειν ἐθέλοντες, περιυβρίζοντες, ἄγριον ἐμβλέποντες, ἀπειλούμενοι, ἐμβριμώμενοι, κάτω ἐδάφους, καί, ὅ φασι, κουρὶξ ἐν δαπέδῳ περιέλκειν ἐπιθυμοῦντες, πάντα ποιοῦντες, δι' ὧν υἱὸς ὁ πατήρ, καὶ παιδίσκος ὁ ἐλεύθερος, καὶ βάρβαρος ὁ Ἕλλην, αὐτῶν μεταπεποιηκότων, γένηται, καὶ ἀμαθὴς καὶ εὐμαθής, τὸ δὲ πάντων χεῖρον, κοινὸς ἄνθρωπος ὁ μέγας ἀρχιερεύς, καὶ λαϊκὸς ὁ τοῦ ἐνταῦθα λαοῦ, εἰ καὶ μὴ ὕπερθεν, ἀλλ' οὐδὲ ὕστατος.

27. Οὕτω κἀνταῦθα ψεύδονται οἱ ἄνθρωποι, ἀρχιερέα λέγοντες, ὃν εἰς ἀνοσίου μοῖραν ἀποτάττονται, καὶ ὃν εὐκτηριάζοντες οἶκοι εὐλογοῦσιν ὡς ἀρχιεπίσκοπον, ἐπὶ τῶν λεωφόρων ὑμνοῦσι φροιμίοις πολυῤῥόθοις κραγόν, ὃ δὴ λέγεται, ἀνακράζοντες· ὅθεν καλῶς καὶ ὁ κόσμος τὰ κατὰ γῆν δηλαδὴ καὶ θάλασσαν καὶ ἀέρα, ψεύδουσι τοὺς ψεύστας ἡμᾶς καὶ ἀπατεῶνας. Καὶ τοῦτο δή, ὃ καὶ ἄλλοτε καιροῦ πλατεῖ καὶ λόγῳ καὶ στόματι ἔφαμεν, οὐ ποιεῖ τὰ ἑαυτῆς ἡ στοιχειακὴ κατάστασις· ἀλλὰ ἐναλλὰξ τὰ ἀλλήλων οἱ καιροὶ ἀμείβοντες ἢ ποιοῦσιν ἢ πάσχουσιν, ἀναστραφέντες, εἴτ' οὖν ἀνατραπέντες εἰς τὸ παλίγκοτον, καὶ οὕτω ψεύδοντες ἡμᾶς τῶν ἐπ' αὐτῆς ἐλπίδων πρὸς ὁμοιότητα τὴν ἐν ἡμῖν. Καὶ γὰρ καὶ ἡμεῖς οὕτω κακῶς ἀλλήλους διατιθέμεθα, καθὰ οὐκ ἐχρῆν. Λέγω δὲ ἐνταῦθα τὸ ο ὐ κ ἐ χ ρ ῆ ν, διότι οὐκ ὀλίγα τῶν ψευσμάτων οὐκ ἔξω ἀρετῆς ἐπιτηδεύονται ἄνθρωποι, μεθοδεύοντες οἰκονομικῶς τὸ ψεύδεσθαι. Διὸ καὶ ἐπαινοῦνται μέν τινες ἔστιν ὅπου, εἰ ἐπ' ἀγαθῷ || (Ms. fol. 136 a) ψεύσονται· ψέγονται δὲ αὖ πάλιν, εἴ γε μὴ πρεπόντως ἐπαληθεύουσι. Καὶ μαρτύρεται τῷ λόγῳ τούτῳ καὶ ὁ γνωμοδοτήσας, ὡς ἔ ν θ α τ ι χ ρ ὴ ψ ε ῦ δ ο ς λ έ γ ε σ θ α ι, λ ε γ έ σ θ ω. Ἀλλ' αὐτὸ μὲν καὶ σπάνιον, καὶ δυςθεώρητον, καὶ οὐδὲ εὐδιάκριτον.

28. Ἐγὼ δὲ καὶ ἄλλο κορυφαῖον ἐκθήσομαι ψεῦσμα, ὅπερ ἀπαλείψοι ὁ θεὸς ἐκ τοῦ κόσμου, ὡς καὶ κατ' αὐτοῦ ἐκείνου ψευδόμενον. Συναλλάττοντες γὰρ ἀσφαλῶς, ὡς μὴ ἐξεῖναι παραποιῆσαι τὴν συναλλαγήν, ἐ ν ὀ ν ό μ α τ ι φαμὲν τ ο ῦ π α τ ρ ὸ ς κ α ὶ τ ο ῦ υ ἱ ο ῦ κ α ὶ τ ο ῦ ἁ γ ί ο υ π ν ε ύ μ α τ ο ς· καὶ οὐ μόνον λέγομεν αὐτό, ἀλλὰ καὶ προτιθέαμεν τῶν γραφέντων τούτων τοῦ κοσμοσωτηρίου σταυροῦ τύπον προςκυνητόν, χερσὶν ἰδίαις αὐτὸν προχαράσσοντες. Εἶτα δεῆσαν ἐκβῆναι τὸ αἱρεθὲν καὶ εἰς ἔργον, ἀλλ' ἐνταῦθα ζητούμενοι δάνειον τυχὸν ἢ ἑτεροίαν ὀφειλομένην ἀπόβασιν, τοῦ συμβολαίου κατορχούμενοι, οὗ τοιαῦτα φρικτὰ προγεγράφαται, ἐπομνύμεθα, μήτε σταυρὸν προγράψαι, μήτε τυπώσασθαι συνάλλαγμα, ὅρκῳ τούτῳ ὑστέρῳ καταλύοντες καὶ τὸν προηγησάμενον σταυρὸν καὶ τὴν φρικτὴν ἐκείνην ἔνορκον ἔννοιαν. Κἀνταῦθα ἔστιν ἔμοιγ' οὖν συννοεῖσθαι καὶ φρίττειν, εἴπερ ὁ μὲν κοινὸς δεσπότης ἡμῶν, ὃν ἐν τοῖς συναλλάγμασιν ὁρκωμοτοῦμεν, αἴρειν καὶ σταυρὸν τοῦτον ἡμᾶς ἐθέλει, καὶ ἀκολουθεῖν τῷ ἀντικειμένῳ, καὶ οὕτως ἀρνησίσταυροι, ὡς οὕτως ὀνομάσαι, δεικνύμενοι ἀπολλύμεθα. Ἄνθρωπε Χριστιανέ, λόγον ψιλὸν ἐὰν εἴπῃς, οὐκ ὀφείλεις ἀθετῆσαι αὐτόν· καὶ ὀμνύων ψευδολογεῖς; Ὤμοσά φησιν καὶ ἔστησα. Καὶ σὺ ὀμνύεις καὶ καταῤῥιπτεῖς. Ἀντὶ παγίδος ἄρα ἔχεις τὸν ὅρκον, ὡς δέλεαρ αὐτὸν προβάλλῃ, καὶ ἁλίσκειν δι' αὐτοῦ ἐθέλεις, μὴ ὅτι γε τοὺς ἁπλουστέρους, ἀλλὰ καὶ μᾶλλον, ὅσοι ἐς βαθὺ νοήματος βάπτουσι. Καὶ τί πλεῖον ποιεῖ ὁ διάβολος, ὁ τοῦ ψεύδους πατήρ; οὗ σύντεκνοι, ὡς οὕτως εἰπεῖν, καὶ οἱ ψεύδορκοι, καθότι ψεύδη καὶ αὐτοὶ κατ' ἐκεῖνον ἀποκυΐσκουσιν, ἐν μόνοις λόγοις περιϊστῶντες τὰ τῶν καταθέσεων.

29. Καὶ εἰσὶ μὲν πολλοὶ μέχρι καὶ ἐν τοῖς ἄρτι, αὐχοῦντες ἕκαστος ἐν τῷ λέγειν, ὅτι ὁ ἐμὸς λόγος λόγος

ἐστίν. Ἀλλ' ἐγὼ καταγελῶν τῶν τοιούτων, ἐθέλω τοὺς ἐμοὺς τὸν καθ' ἕνα καυχᾶσθαι ἐν κυρίῳ, ὅτι ὁ ἐμὸς λόγος ‖ (Ms. fol. 136. b.) οὐ λόγος ἁπλῶς, ἀλλ' ἔργον ἐστί, πολλῷ δὴ πλέον, ὃ καὶ μετὰ ὅρκου. Λόγος μὲν γὰρ ἅπας ἀέρα πλήξας, καὶ οὕτως αὐτὸν ὀχλήσας, συγκατελύθη τῷ ἀκούσματι. Ὁ δὲ καὶ ἔγγραφος οὐχ ἁπλῶς ἀέρος ἐστὶ διατιναγμός, ἀλλ' ἤδη σεσωμάτωται, καὶ ἀπὸ ἀκοῆς εἰς θέαν μετέβη, καὶ βλεπόμενος δημοσιεύεται, καὶ ὅσα καὶ στήλη ἐν τῷ ἐδάφει τοῦ πινακίου ἐμφαίνεται· καὶ τὸν μὲν εὔορκον ἀποσεμνύνει, κατάπτυστον δὲ ἀποτελεῖ τὸν ἐπίορκον.

30. Τί οὖν μὴ τῆς κρείττονος μερίδος γινόμεθα; Τί τὸν λόγον αἰσχύνομεν τὸν ἐν ἡμῖν, καὶ δι' αὐτοῦ καὶ τὸν μέγαν καὶ πρώτιστον λόγον παροργίζομεν, δι' οὗ τὸ καὶ ζῆν καὶ λαλεῖν καὶ νοεῖν ἐσχήκαμεν; ἔνθα κινδυνεύει τὸ μέγα ἐκεῖθεν ἀγαθὸν εἰς κακὸν ἡμῖν ἀποτελευτᾶν. Εἰ γὰρ λαλοῦντες μὴ καὶ νοῦν εἴχομεν, οὐκ ἂν ἡμῖν πταῖσμα ἦν οὐδέν, καθὰ οὐδὲ τοῖς ἀλόγοις τῶν ζώων. Καί που ὁ μὴ ἐχέφρων κακολογήσει τὸ ἐν ἀνθρώποις ἄριστον, τὸ νοερόν, ὡς οἷα χείριστον.

31. Τὸ δὲ δὴ χεῖρον ἐν τοῖς τοιούτοις, ὅτι ψευσάμενοι μέν ποτε οὐ καθ' ἑκούσιον, αἰδούμεθα, καὶ μεταμελόμεθα, καὶ ἀπολογούμεθα ὑπὲρ ἡμῶν αὐτῶν ὁτιμάλα σπουδαίως, καὶ συγγνώμην ἐξαιτούμεθα, μὴ καὶ ἁλῶμεν τοῦ ψεύδεσθαι. Ἄλλως δὲ ψευδόμενοι κατ' ἐπίγνωσιν, καὶ τεχνώμενοι τὴν ψευδολογίαν, ὁποῖα καί τι λαμπρὸν ἐπιτήδευμα, κατὰ τῶν οὐδὲν αἰτίων ἁβρυνόμεθα, ὡς οὐδ' ἂν τριςαριστεὺς κατὰ ὁμοίου τινός, νίκης μέγα κῦδος ἀράμενος, καὶ οὐδ' ἂν ὁ μέγας Δαυῒδ οὕτως ἠγαλλιάσατο ἢ ἐκαυχήσατο, τὸν ἀλιτήριον Σαοὺλ καταῤῥίψας, ὡς ἡμεῖς μεγάλα φρονοῦμεν, ὅτε διὰ περινοίας ὁρκωμοτικῆς περιεγενόμεθά τινος ἀδελφοῦ, ὅπου γε οὐδὲ ἀλλοτρίου τινὸς οὕτω καταστοχάζεσθαι χρή, μὴ ὅτι γε Χριστιανοῦ, ὁμοίου ἡμῖν.

32. Ταῦτα δὴ πάντα, καὶ ὅσα τοιαῦτα χαρακτῆρα ψεύδους ὑπογράφει, ψευδεῖς εἶναι δείκνυσιν, εἰ καὶ μὴ πάντας ἀνθρώπους, ἀλλὰ γοῦν ἡμᾶς τοὺς οὕτω διακειμένους περὶ τὴν ἀλήθειαν. Ἐκεῖνο δὲ πῶς ἂν εἴη ἀνθρώπινον, ἢ μὴ ψευστικὸν ἀνθρωπότητος, ‖ (Ms. fol. 137. a.) εἰ τῶν σπουδαιοτέρων ἔργων ἀφέμενοι, καθήμεθα μάτην οὕτω περὶ ζήτησιν τοῦ κατ' ἀλλήλους βίου πονούμενοι καὶ διερευνώμενοι, οὐ, τίς ἀγαθός, τίς ἐνάρετος, τίς φιλόθεος· ἀλλὰ τίς ἐφάμαρτος; ἵνα τι ἐντεῦθεν κερδήσωμεν, τὸ καταγράφειν, τὸ καταγελᾶν, τὸ σκώπτειν, τὸ διαβάλλειν, τὸ συκοφαντεῖν, καὶ διὰ πάντων τούτων ἀνθρωποφαγεῖν· οὗ τί ἂν εἴη μιαρώτερον καὶ θεομισέστερον;

33. Εἰ δὲ καὶ ἄλλως ἐπελευστέον τὰ τοῦ ψεύδους, ψευδόμεθα τὴν πορείαν, ὅταν οἱ πόδες ἡμῶν εἰς κακίαν τρέχωσιν. Οὐκ ἐπαληθεύεται ἡμῖν οὐδὲ ἡ στάσις, ὅτε ὑπενδιδόαμεν, τῆς σταθερότητος τὸ ἐν ἀγαθοῖς ἀπολεγόμενοι στάσιμον. Ψευδόμεθα τὰς ἡδονάς, ὅτε παρεξηυλημέναι οὐκ εὐρύθμως ἐν ἡμῖν ἁρμόττονται. Ψευδόμεθα τὰς λύπας, ἡνίκα ἐφ' οἷς οὐ χρὴ παθαινόμεθα. Ψευδόμεθα τὸ κλαίειν, ὅτε καὶ κροκοδειλίζομεν, ἐφ' οἷς μὴ ἔχομεν κατεσθίειν ὁλοκλήρως τοὺς ἀδελφούς. Καὶ γάρ τοι καὶ κροκόδειλος ποτάμιος ἀνθρώπου περιγενόμενος, καὶ τὸν ὅλον κατασπάσας ἄχρι καὶ εἰς κεφαλήν, εἶτα μαθών, ἄσαρκον αὐτὴν εἶναι καὶ ἀχρείαν εἰς βρῶσιν, κλαίειν ἐθέλει, οὐ πρὸς οἶκτον, ἀλλ' ὅτι μικρὰ κερδαίνει τοῦ ἐγκαταλείμματος. Ψευδόμεθα τὸ τεθυρῶσθαι τὸν τοῦ θεοῦ ἐν ἡμῖν οἶκον, οἷς ἄνετοι διαχάσκουσιν αἱ κατ' αὐτὸν εἰςοδοέξοδοι, αἱ διὰ τῶν αἰσθήσεων. Βλέποντες οὐ βλέπομεν, οὐδ' οὐ μὴ ἴδωμεν. Παρορώμεθα γὰρ τοὺς ἀξίους προςβλέπεσθαι. Δυςαισθητοῦμεν τὰ εἰς ἀγαθὴν ὄσφραν, βορβόροις βίου ἐγκυλιόμενοι, καὶ οὐ σκευάζοντες ἡμᾶς αὐτοὺς εἰς εὐωδίαν θείαν, κατευθυνομένην ‖ (Ms. fol. 137. b.) εἰς τὸν ὕψιστον ὡς θυμίαμα. Ἀκοῇ ἀκούομεν, καὶ οὐ συνίεμεν. Ψευδόμεθα καὶ τὴν γεῦσιν, ὅτε μὴ γευόμεθα, ὥςτε καὶ ἰδεῖν, ὅτι χρηστὸς ὁ κύριος. Ἡ δὲ ἁφὴ — ἀλλ' αὐτὴ πολυαμάρτητος, ἐφ' οἷς δραττόμεθα κατὰ πᾶσαν αἴσθησιν, ὧν μὴ χρή. Εἴπω καί τι ξενίζον τοὺς πολλούς. Ψευδόμεθα πρὸς τῇ φιλίᾳ καὶ αὐτὴν τὴν ἔχθραν, οὐχ ὥςτε μὴν ἐπαινεῖσθαι διὰ τὴν τοῦ κακοῦ στέρησιν, ἀλλ' ὅτι μὴ ποιούμεθα μηδ' αὐτὸ ὀρθῷ κανόνι, οὐδὲ ἐχθραίνομεν, οἷς ἀπαιτούμεθα. Εἰσὶ γάρ, εἰσίν, οἷς θεοφιλῶς ἐχθρανοῦμεν ἀκατάλλακτα, οὓς καὶ ὁ Δαυῒδ ματαίως ἐχθραίνοντας μισεῖ μῖσος τέλειον.

34. Ἀλλ' ἐνταῦθα καταστήσας ἀναγκαίως τὸν λόγον διὰ τὴν φρίκην (πέφρικα γὰρ τὸ κάρχαρον τοῦτο θηρίον, τὴν ἔχθραν, καθὰ καὶ αὐτὸν δαίμονα, ὃς αὐτὴν λεοντοκομεῖ), συσκευάσομαι κατ' αὐτῆς δι' ἑτέρου λόγου, ἐν ᾧ κατατοξασάμενος, ὡς τὸ ἅγιον πνεῦμα χορηγήσει, ὃ βελοποιεῖ κατὰ τῶν τοιούτων κακῶν, παραλήψομαι ὑμᾶς ἐπιγνώμονας καὶ τοῦ τοιούτου ἔργου. Τῷ τέως δὲ ἄρξασθέ μοι συνεπιλαμβάνεσθαι τῆς ἐγχειρήσεως ἐκείνης διὰ χειρῶν ἱκετικῶν εἰς τὸν ὕψιστον κύριον, ἃς ἀνατείνοντες εἰς ἐκεῖνον κατατοξεύσετε καὶ αὐτοὶ οὕτω τὸν κοινὸν ἐχθρόν. Ὑποτρεφέσθω τοίνυν ὑμῖν ἐλπίς, ὡς οὐ πολὺς παρελάσει χρόνος, καὶ λόγον ἕτερον, θεοῦ δὲ δόντος διδασκαλικόν, ὑμῖν ἐκφωνήσομεν, ἵνα καὶ οὕτω συνῶμεν ἀλλήλοις, εἰ καὶ κατὰ τόπον ἀφωρίσμεθα, καὶ ὁμιλοῦντες τὰ τῷ θεῷ φίλα, καὶ εἰςακουόμενοι, καὶ οὕτω τερπόμενοι, δόξαν ἀναπέμποιμεν τῷ ἐν ἀρχῇ πρὸ τῶν αἰώνων λόγῳ, οὗπερ ἡ δόξα εἰς αἰῶνας αἰώνων παρεκτεινομένη πέρας οὐκ ἂν σχοίη ποτέ. Ἀμήν.

Mr. fol. 138 a. || *Τοῦ αὐτοῦ κανὼν εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον.*

Ὠιδὴ α'. Ἦχος πλαγίου τετάρτου. Σταυρὸν χαράξας Μωσῆς.

1. Ὁ τῷ πελάγει τῶν σῶν ἐγχει[ρ]ῶν [ἄθλων,] θαυματουργὲ Δημήτριε, ὡς εὐθαρσὴς ἐλέγχεται, καὶ πλέον ὡς τολμηρ[ός, ἐπεὶ] τοῖς θαύμασι λιμνάζεις ἄπλετα, ὡς ἔχειν δυςεκπλεύστως, εἰ μ[ὴ] ˙˙ τήσας ἰσχὺν αὐτῷ ἄνωθεν καταπέμψειας, ἐλλιμενίσαι [ἐπὶ] σέ.

2. Παράδεισος ὡς τρυφῆς τὸ γενναῖον σῶμα τοῦ [ἀθ]λητοῦ πεφύτευται [τοῖς ἀ]πολαύειν θέλουσι. Καὶ λόγχαι μὲν ἐν αὐτῷ ζωηρὰ ἀστέλεχα ὡς δένδρ[α εὕ]ρηνται, καρποὶ δὲ ψυχοτρόφοι, ἀρετῶν παγκαρπίαι, καὶ ποταμοὶ ἅμα τε [αἱ]ματόῤῥυτοι καὶ γε μυρόβλυτοι.

3. Τὰ τῶν σῶν ἄθλων σεμνὰ ὁ θεὸς φυλάττει, ταμειουχῶν σοι, ἅγιε, διηνεκὲς θησαύρισμα. Αἱμάτων χύσις ἐκεῖ, αἱμοῤῥύτου χάριτος κἀνταῦθα πρόχυσις, θαυμάτων, ὥςπερ τότε, οὕτω νῦν πολὺς πλοῦτος. Μᾶλλον δ' εἰπεῖν, πλεῖον ἐν τοῖς θαύμασι νῦν τεθαυμάστωσαι.

4. Παρθένε μῆτερ, ἁγνῶν ἐξ αἱμάτων σάρκα τῷ πλαστουργῷ ἐκτίσασα χρεωστικὸν ἀπόδομα, αἱμάτων βαρβαρικῶν λιμνασμοὺς ἐκχέεσθαι ποιήσαις κράτιστα χερσὶ τοῦ βασιλέως. Δυςωποῦντα γὰρ ἔχεις ἀεὶ σὺν σοὶ αἵμασι τὸν Δημήτριον, οἷς μεμαρτύρηκεν.

Ὠιδὴ γ'. Ῥάβδος εἰς τύπον.

5. Οἵα τις ἄλλη ἐπικαλεῖται ἄβυσσος ἄβυσσον τῶν θαυμάτων ἡ χύσις τῶν ἀναρίθμων τὰς μυροβλύτους ἀπλέτους διεκχύσεις, ὧν τὸ πέλαγος πᾶσαν τὴν γῆν λιμνᾶσαν εὐωδίασεν.

6. Ὥςπερ στελέχη τὰ τῶν φοινίκων τὰ ἱστορούμενα θεωροῦνται αἱ λόγχαι, τοῦ [ἀθ]λοφόρου πεφυτευμέναι εἰς σῶμα, ὡς πηγαὶ δὲ τὰ αἱμόῤῥυτα, οἷς Ἰσραὴλ ὁ[μα] ἐνετρύφησεν.

7. Μύρα, ὡς ῥῆσις εὐαγγελίου, συνετηρήθησαν τῇ ταφῇ σου, παμμάκαρ. Οὐ γὰρ κρατεῖ σου ἡ σηπεδών, ἡ τῶν ἄλλων ἁπτομένη μετὰ θάνατον· μᾶλλον δὲ πνεῖς εὐῶδες ὡς θεόπνευστος.

8. Λόγχῃ νυγέντα τὸν ζωοδότην ἡ θεωρήσασα, καὶ ῥομφαίᾳ τῆς λύπης διελαθεῖσα, σὺν λογχευθέντι λαλοῦσα Δημητρίῳ ὑπὲρ ἄνακτος, λόγχην αὐτοῦ καρδίαις ἐχθρῶν ἔμπηξον.

Ὠιδὴ δ'. Εἰςακήκοα, κύριε.

9. Ὡς παράδεισον βλέπομεν ἄλλον τὸν ναόν σου, μάρτυς Δημήτριε, οὗ πηγὴ μύρων ἐκτρέχουσα τὸ τῆς γῆς ποτίζει ἅπαν πρόςωπον.

10. Φωνὴ αἵματος, ἅγιε, τῆς σῆς μαρτυρίας βοᾷ πρὸς κύριον. Οὐ γὰρ πέπαυται πλη[μύ]ρουσα εἰς ἀειζωΐας σου μαρτύριον.

11. Εἰς θεοῦ θεῖον ἄρτον σε, δεῦτε οἱ μισόθεοι, ξύλα βάλωμεν. Τὰ τῆς λόγχης ἀνεκραύγαζον, θρύψαι δέ σε, μάρτυς, οὐκ ἐξίσχυσαν.

12. Ἡ θεῷ προφυρώσασα σάρκα, πορφυρόβλαστον ἡμῶν ἄνακτα σκέπε μάρτυρος δεήσεσιν, ὃς θανὼν πορφύρει ἀεὶ αἵμασιν.

Ὠιδὴ ε'. Ὦ τρισμακάριστον ξύλον.

13. Ὦ τρισμακάριστοι λόγχαι, ὑφ' ὧν ὁ μάρτυς τρωθείς, τὸν πονηρὸν κατέτρωσε, δι' ὧν αἵματος χυθέντος πολυῤῥύτου, ὁ ἐν αἵμασι τρυφῶν οἰκτρὸς ἀπετελέσθη νεκρός, χριστωνύμοις δὲ εὐζωΐα ἀνατέθηλεν.

14. Νεύματι ἄνωθεν θείῳ προφήτης ἤρθη ποτέ, ἐλαφρισθεὶς ἀέριος. Καὶ σύ, ἄριστε, μυρίους || [αἰχμαλ]- Mr. fol. 138 b.
ώτους ἀναρπάζεις ἀπὸ γῆς καὶ ῥύῃ ἀπαγόντων ἐθνῶν, ἱππασίαν σου σωτηρίαν ἐνδει[ξάμενος].

15. Ὥςπερ ἀβύσσου ἡ ῥίζα τὴν γῆν ἀνέχει στεῤῥός, ὑποβληθεὶς θε˙˙ σήν, οὕτως ὑπανέχει πόλιν ταύτην ἡ τῶν μύρων προχοή, ἀβύσσου˙˙ βλύζουσα. Διὸ θέμεθλον σωτηρίας ἐξευρίσκει σε.

16. ˙˙δόξης, ὑψίστου σκηνὴ θεοῦ ἀληθής, ἥνπερ κοσμεῖ τὸ κόκκινον θεοῦ [σκήν]ωμα βασίλειον ὑπὲρ κλάδου τῆς πορφύρας εὐθαλοῦς· δεήθητι σὺν [μά]ρτυρι, οὗ τὸ κόκκινον τῶν αἱμάτων ναοῖς κόσμημα.

Ὠιδὴ ϛ'. Νοτίου θηρός.

17. Χύσει τῶν σῶν αἱμάτων λουτρῷ σε καθειργμένον νοερῶς ἔλουσαν, μάρτυς. Τὰ δὲ ξύλα αἱ λόγχαι τὸν ἐν θεῷ σου θερμὸν πόθον ἐξέκαυσαν σφοδρῶς. Τῆς δὲ καθείρξεως ἡ ζόφωσις καὶ στενοχώρησις φωςφορεῖ, καὶ εἰς πλάτος ζωῆς ὁδηγεῖ τῆς ἐν θεῷ ζωοδότῃ, τῷ κόσμον φωτίζοντι.

18. Σκορπίου φανεὶς ἐν εἴδει ὁ βρέμων φρικαλέον πονηρός, χείριστος δράκων, ταπεινότητος δεῖγμα καθυπεδείκνυε. Θὴρ γὰρ ὁ μέγιστα φυσῶν μικροφυέστερον θηρίδιον ἐπενεδύσατο, ἀδρανῆ παριστῶντος αὐτὸν τοῦ θεοῦ. Συμπατηθεὶς οὖν σοι πίπτει σταυροῦ τῷ τυπώματι.

19. Ὡς ὄρος Σιὼν ὁ μάρτυς. Θεῷ γὰρ πεποιθὼς ἦν ψαλμικῶς τῷ οὐρανίῳ, ψυχοτρόφα φυτὰ μέν, τὰς ἀρετάς, ἐνεγκών, ὥςπερ ναμάτων δὲ πηγὰς ἐξανατέλλων τὴν τοῦ αἵματος καὶ μύρου ἔκβλυσιν, εἰς πνιγμὸν μὲν δαιμόνων, παντὸς δὲ λαοῦ τοῦ χριστωνύμου ὑγείαν, ψυχῶν τε πιότητος.

20. Ὀφείλεις, κυρίου μῆτερ, χαρίτων ἀνταπόδομα τῷ σῷ κήρυκι νέμειν, τοῦ υἱοῦ καὶ θεοῦ σου χάριν θεμένῳ ψυχήν. Ὅθεν πρεσβεύοντι αὐτῷ ὑπὲρ τριςάνακτος συμπρέσβευε βαρβαρολέτειραν κατ' ἐχθρῶν ἀπευθύνειν αἰχμὴν τὴν αὐτοῦ, καὶ εἰρηναίας ἡμέρας ἡμῖν ἐναυγάζεσθαι.

Ὠιδὴ ζ̄· Ἔκνοον πρόσταγμα.

21. Ἔκειτο γέλοιτος Λυαῖος ὑποσχὼν τραῦμα ἐπάξιον, πίπτει δὲ σφαγεὶς ἐν μαρτυρίᾳ θεοφιλεῖ Νέστωρ, ὁ μέγας καὶ ὁ ὑμνούμενος· καὶ ἦν τῷ τυράννῳ θυμοῦ αὔξησις. Καὶ γὰρ ἐνενόει, ὡς ὁ τούτων θάνατος νεκροῖ μὲν τοὺς ἀλύστορας, ζωὴν δὲ δίδωσι τοῖς βοῶσι πιστῶς· Θεέ, εὐλογητὸς εἶ.

22. Βότρυς ὡς πέπειρος ἀμπέλου νοητῆς ληνῷ καθείρξεως βίᾳ ἐντεθείς, καὶ λογχοφόροις συμπιεσθείς, γλεῦκος προῤῥέεις τὸ θεοπρόσδεκτον, αἱμάτων ἁγίων ἀεὶ ἄσχετα ἐξαναβλυζόντων εἰς καρδίας ἥδυσμα εὐφρόσυνον τοῖς ψάλλουσιν· ὁ ὑπερύμνητος.

23. Σύμβολον γέγονεν εἱρκτῆς μὲν τὸ στενὸν ὁδοῦ, ἣν ἔτριψας, πόνοις σεαυτὸν ἐναποσφίγγων εἰς ἀρετήν. Αἵματος λοῦμα καθυπέγραφεν αὐτὸ τὸ συνέχον λουτρόν, μάρτυς, σε. Πάλιν αἱ καμάραι οὐρανῶν ἀψίδωμα, εἰς οὓς ἀνέβης, ψάλλων ἐκεῖ· ὁ ὑπερύμνητος.

Ms. fol. 139. a. ‖ 24. Σώτειρα, πρέσβευε θεῷ, τῷ διὰ σοῦ σαρκὸς καὶ αἵματος φύσει τῇ ἡμῶν [συμμετα]σχόντι ἀνθρωπικῶς, σῶσαι κρατοῦντα Ῥωμαίων ἄνακτα, σ[αλευόμενον] ἡμῶν ἕνεκα, καὶ αἱματοχύτοις βεβριθότα τραύμασι. Καὶ δέ, [μεγαλομάρ]τυς, πρέσβευε, ὁ ἐν σοῖς αἵμασι καὶ σαρκὸς ταῖς π[ληγαῖς] θεὸν ἐκθεραπεύσας.

Ὠιδὴ η̄· Εὐλογεῖτε παῖδες.

25. Εἰς τοσοῦτον, μάρτυς, ἐκ θαυμάτων δεδόξασαι, ὡς [καὶ] βαρβάρους, αὐλῆς οὐκ ἔσω θεωνυμουμένης ὄντας, τὴν ἐν σοὶ κηρ[ύττειν] θαυματοποίησιν, καὶ λιτάζεσθαί σε, εἰρήνην ἐν σοὶ εὑρίσκειν. Οὕτω τε[θαύμα]σαι εἰς πάντα κόσμον.

26. Οἷςπερ πάσχων ἔτλης, ἐπαμύνειν δεδύνησαι ἐν πειρασμοῖς παντοίοις. Εἱρκτῆς γὰρ ἔσω τοὺς ταλαιπωροῦντας σώζεις, καὶ δεσμῶν ἀνέσεις τερατουργοῦνταί σοι, καὶ λυθροφορήτους αἱμάτων ῥοὰς ξηραίνεις, δόρατα θραύεις δὲ τὰ τῶν βαρβάρων.

27. Ἀποστόλων πάλαι καὶ σκιαὶ ἐθεράπευον. Ἀλλὰ καὶ νῦν ἐνθάδε ταῦτα τελοῦνται. Ἀπειροπληθῆ γάρ, μάρτυς, ἐκτελεῖς σημεῖα, καὶ ὀπτανόμενος ἐν σκιαῖς ὀνείρων, καὶ λύεις δεινῆς ἀνάγκης ὕπνον θανάσιμον τοῖς ἐν κινδύνοις.

28. Ἀγαθοὶ οἱ δύο συνηγμένοι, ὧν ἔστηκεν ὁ βασιλεὺς ἐν μέσῳ θεὸς αἰτούντων τοῦτον. Ἐξαιτεῖ τε νίκας τοῦ θεοῦ ἡ μήτηρ, καὶ σύ, Δημήτριε, τῷ τῆς οἰκουμένης κρατοῦντι. Συχναὶ γὰρ αὗται οὕτω δοθήσονται αὐτῷ ὑψόθεν.

Ὠιδὴ θ̄· Ὁ διὰ βρώσεως τοῦ ξύλου.

29. Ὁ διὰ τρώσεων μυρίων σοι, μάκαρ, προςγενόμενος θάνατος μακαριστὸς θεῷ σε παρέστησεν, ὡς Σεραφεὶμ τινος πολυομμάτου φύσιν. Τὰ γὰρ τρώματα τῶν δοράτων πολλάς σοι ὑπήνοιξαν ὀμμάτων διαφαύσεις, ἐν οἷς θεὸς διοπτάνεται.

30. Ὁ πανακήρατός σου βίος, κηλίδων καὶ ῥυπώσεων πόῤῥωθεν καθεστηκώς, θεῷ σε ᾠκείωσε, καὶ ὡς θυμίαμα πολυμιγὲς αὐτῷ σε καθιέρωσεν εἰς δεκτὸν εὐωδίας ἀγλάϊσμα. Οὐκοῦν σοι ἀντεδόθη μυροβλυτεῖν μετὰ θάνατον.

31. Ἐντεθησαύρισαι μὲν τάφῳ, ἀλλ' ὅμως αἱματόῤῥυτα χεύματα μυροβλυτεῖς. Καὶ ἔστι λογίσασθαι ὥςπερ ἀνάστασιν καινοπρεπῶς καὶ πτῶσιν τὸ γινόμενον. Καὶ θανὼν μὲν αὐτὸς φύσει πέπτωκας, αἱμάτων δὲ τῇ χύσει παραδηλοῖς τὴν ἀνάστασιν.

32. Τῷ αὐτοκράτορι, παρθένε, βραβεύοις ἀριστεύματα πάντοτε, βαρβαρικὰς ἐκτρέπουσα φάλαγγας, τὸν παντοκράτορα καὶ τὸν υἱὸν λιταῖς σου εὐμενίζουσα, συμπρεσβεύοντός σοι καὶ τοῦ μάρτυρος, ὃς νοῦν αὐτοκρατοῦντα κατὰ παθῶν ἐνεδείξατο.

‖ Ἦχος πλαγίου τετάρτου· Τὴν σοφίαν τοῦ λόγου. Ms. fol. 137. b. fin.

Τῶν αἱμάτων σου, μάρτυς, αἱ προχοαὶ καὶ τῶν μύρων ἡ βλύσις τὴν γῆν εὐφραίνει, Δημήτριε, καὶ ψυχὰς καὶ τὰ σώματα ἁγιάζει, μάκαρ, τῶν πίστει [καὶ π]όθῳ σοι προστρεχόντων πάντοτε, τῷ θείῳ τεμένει σου, ὥςπερ ἐξ ἀβύσσου ἐξαντ[λ]εῖν τὰ μύρα εἰς ἴασιν, ἅγιε, νοσημάτων ἑκάστοτε. Διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε τῷ θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσεσθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Ms. fol. 138. b. ‖ [Τοῦ αὐτοῦ λόγος ἐ]γκωμιαστικὸς εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον.

41. 1. Ὁ δὴ πᾶσα ἀνάγκη κατὰ τὸν πάλαι [, πάσχειν ὄκνο]ν ἄνδρα πρᾶγμα μέγα πράσσοντα (ὀκνεῖ δὲ πάντως ἐκεῖνος, καὶ ὁ ὄκνος οἷος μὴ ἔχειν [τινὰ ψόγον]), οὐκ ἀπεικός, εἰ καὶ αὐτὸς πάσχοιμι, ἐμαυτὸν ἐπιῤῥίψας οὕτω μὲν μεγάλῳ, οὕτω δὲ καὶ δυσε[πιχειρήτῳ] πράγματι. Εἰ μὲν γὰρ τὴν ἀρχὴν αὐτὸς τῷ προκεχειρισμένῳ ἔργῳ ἐπέβαλον, ἢ καὶ [λόγους εἶχον τι]νὰς ῥαδίως μετρητούς, ἣν ἄν μοι θαῤῥεῖν, ἐξευρεῖν εἰπεῖν τι ἄξιον, μὴ προκαταληφθὲν [τοῖς πολ]λοῖς, ὡς ἐὰν καί τις μεθ' ἕνα ἢ καὶ δύο τινὰς μέταλλα τίμια ἐξορυττόμενα ἰδών, [καὶ αὐ]τὸς ἐξευρὼν βασανίζῃ τὴν γῆν· ῥᾷον γὰρ οὕτω ποριεῖται τὸ ζητούμενον, ἢ μετὰ

μυρίους [ὅσ]ους, οἳ τὸν πυθμένα τῶν μετάλλων ἐπολυπραγμόνησαν. Ἐπεὶ δέ, μάλα πολλῶν ἀνδρῶν καὶ αὐτῶν εἰς βάθος καὶ εἰς ὕψος λόγου ἐπαναβεβηκότων καὶ διορατικώτερον ἐγκυψάντων, αὐτὸς ὕστατος ἐπαποδύομαι πρὸς ἆθλον λόγου δυςκαταπάλαιστον, οὐκ ἂν ἀπεικότως ὄκνον πάσχοιμι.

2. Ἀλλὰ τί μέν μοι τὸ μέγα ἔργον; Τίς δὲ ὁ ὄκνος, εἴτ' οὖν ἡ δειλία καὶ τὸ μὴ θαῤῥεῖν; Δέδοικα, ἵνα κεφαλαιωσάμενος εἴπω, ἐμαυτὸν καθιεὶς εἰς ἐπαίνους τοῦ ἡμῶν πολιούχου μεγαλομάρτυρος. Καινὸν μὲν γάρ τι προςεξευρεῖν, ἐφ' οἷς τοὺς μαρτυρικοὺς ἄθλους ὑπεξῆραν οἱ φθάσαντες, οὐκ ἂν εἴη. Οὐ γὰρ παχυλῶς αὐτοὺς ἐξειργάσαντο, ἀλλ' ἐπιμελέστατα ἐλεπτούργησαν, καὶ ἰσχνῶς ἐπεξῆλθον ἅπασι. Τὰ δὲ αὐτὰ εἰπεῖν αἰδέσηται ἄν τις ἐχέφρων. Εἰ γὰρ καὶ κατ' ἴχνη τῶν ἀγαθῶν βαίνειν χρεών, ἀλλ' ἐκεῖνο λόγον ἄλλον ὁμοιότητος ἔχει. Οὐ μὴν ταὐτὰ λέγειν ἑτέροις ἄντικρυς πραγματεύεσθαι τοὺς ἐπαινοῦντας ἀπαιτεῖ. Εἰ τοίνυν οὔτε καινότερόν τι ἄκουσμα προςεξευρίσκειν ἐξῆν, ἀλλ' οὐδὲ τὰ τῶν ἑτέρων ὑφαιρεῖσθαι δοκεῖν ταὐτολογοῦντα ἐχρῆν, ἐλείπετο σιωπᾶν. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ γέλων ὀφλήσει τις, εἰ τοὺς φθάσαντας ἐκμιμούμενος, ἐφ' οἷς αὐτοὶ εἶπον, οὐχ ὑπεραίρειν ἔχει, ἀλλ' ἐκπίπτει νικώμενος. Καὶ δυστυχεῖ τοῦτο κακὸν ἐπίσπαστον καὶ αὐθαίρετον. Ἦν γὰρ κάλλιον, σιγῶντα ἐπιστήμονα λόγου ἐοικέναι εἶναι, ἤπερ λαλεῖν καὶ ἀπελέγχεσθαι ἄσοφον.

3. Ἀλλὰ ταῦτα μέν, ἐξ ὧν μοι ὁ ὄκνος, καὶ δι' ὧν, οὐ μόνον βοῦς ἐπὶ γλώττῃ, τοῦτο δὴ τὸ σκῶμμα τοῦ ἀργὰ λαλεῖν, ὡς ἐάν τις εἴη βούγλωσσος, ἀλλὰ καὶ λίθος ὡςεὶ καὶ λάκκῳ δυςχρηστουμένου ὕδατος ἐπέκειτο. Λογισαμένῳ δέ μοι ἕτερα, οὐ ταχύτερα μᾶλλον, ἤπερ σοφώτερα, ὃ δή τις καὶ πρὸ τῶν ἡμετέρων ἐφθέγξατο, βραδύτερα δέ, καὶ οὐδὲ πάνυ ἔξω σοφίας, ὁ βοῦς τε ἀπανέστη, καὶ ὁ λίθος ἐξεκυλίσθη, καὶ ἡ σιωπὴ ἀπῆλθε· καὶ ἰδοὺ λόγου ῥεῦμα σύμμετρον εἰς τὸν μάρτυρα.

4. Ὁ δέ μοι λογισμός, ὁ τὸν ὄκνον ἐκθεραπεύσας, καὶ τὴν σιγὴν ἀπαγαγών, τοιαῦτα ὑπέτεινεν, ὡς ὅτι καὶ οὐρανὸς οὐ τοῖς μεγίστοις φωςφόροις καὶ τοῖς μετ' αὐτοὺς δευτερεύουσιν, ἀλλὰ καὶ σμικροτάτοις ἀστρίοις ἐναγλαΐζεται· καί που καὶ αὐτὰ ἐν καιρῷ παρασημαίνονταί τι ἐπιφανές. Οὐκοῦν καὶ ὁ καθ' ἡμᾶς οὐρανός, ἡ τοῦ θεοῦ ἐκκλησία, ἔχει μὲν καὶ ἀστέρας τοὺς φανοτάτους ἐκείνους· ἔχει δὲ καὶ τοὺς μετ' αὐτούς. Σεμνύνεται δὲ ὅμως, καὶ εἴ τις ἀμυδρόν τι λάμπει, καθά που καὶ σπινθὴρ πυρὸς ἀποπαλλόμενος· καὶ διάττων δέ τις πυρόεις ἀτμὸς ἀστέρα ἐφάντασε, καὶ οὕτω τὸ σεμνὸν τῷ ἀστεροειδεῖ ἀπηνέγκατο καὶ αὐτός. Φύσις ἐπιταχθεῖσα παντοῖα ζῷα καὶ λοιπὰ παρήγαγε πράγματα, τὰ μὲν εἰς ὕψος ἀνῳκισμένα τιμῆς, τὰ δὲ κάτω τοῦ τιμᾶσθαι μένοντα· καὶ οὐκ ἐπιλέλοιπεν, οὐδὲ ταχύδην οὕτω συρόμενα, σεμνύνοντα τὴν κοσμογένειαν. Ἤδη καὶ κώνωψ τὸ φαυλότατον ἀξιοῦ[ται] λόγου ποτέ. Καὶ τὰ πολλὰ μὲν ὄχλον ἐμποιεῖ τὸ ζωΰφιον ἐξακουόμενον, ὅτε τὸν ἑαυτοῦ [ν]όμον σαλπίζει· εἰσὶ δέ, οἳ τοῦ ψόφου μὲν μικρὰ ἢ οὐδὲν ἐπιστρέφονται, ἄλλως δὲ αὐτὸ ἐπισκέ || πτονται, ὅπῃ καὶ χρήσιμον. Εἰ τοίνυν Ms. fol. 18.
τοῦτο, τῷ παντὶ πλέον ὁ κατὰ λόγον ἄνθρωπος, ὅπως ἂν καὶ ᾄδοι τὰ θεῖα πρὸς ὀρθὸν μέντοι νόμον, εἴη ἂν ἐπιστροφῆς ἄξιος.

5. Τὴν ἐν τῷ παλαιῷ νόμῳ σκηνὴν ὗλαι συνεκρότουν πολλοῦ τε τιμώμεναι, καὶ μὴν καὶ μὴ τοιαῦται πλείονες· καὶ ναὸν δὲ ἐκεῖνον τὸν ὑμνούμενον οὐ τὰ τιμαλφέστερα διόλου, ἀλλά που χάλιξ λεπτὸς ἀπήρτιζε, καὶ παραβυομένη τίτανος, καὶ μόλιβδος, ταῖς τῶν λίθων ἁρμονίαις παρεγχεόμενος. Θάλασσα οὐκ ἐκ μόνων μεγάλων νήσων προάγει τὰ λόγου ἄξια, ἀλλα καὶ μικραί τινες εἰς ἔκφρασιν θαυμασίου τινὸς ἁβρύνονται. Καὶ ἔστιν οὗ καὶ λίθος οὐ πολυτίμητος, ἀλλὰ τῶν δοκούντων ἠξιῶσθαι ὀλίγου τινός, ἔσχε τι καλὸν ἐνέργημα· καὶ δι' αὐτὸ οὐ παρεώραται οὐδ' αὐτός. Σίδηρος παραβαλλόμενος χρυσῷ ἦν ἂν οὐδὲν εἰς τιμιότητα, εἰ μὴ πρός τι ἔργον σπουδαῖον ἐμμελῶς εἶχε ῥυθμίζεσθαι. Αὐλοὶ προέχοντες ἔχουσί ποτε καὶ τὸν ἐν ἐλάττονι τάξει· τοιοῦτον γοῦν ἡ σύριγξ ὑποβαίνουσα κατὰ βαθμίδας τινάς, καὶ οὕτω ὑποσυρίττουσα ἐναρμόνιον. Φωναὶ οὐ πάντως ἅπασιν αἱ αὐταί· νοῦς οὐκ ἐναστράπτει ἅπασιν ὁ αὐτός.

6. Τολμῶ καὶ ἀνωτάτω ἐξᾶραι τὸν λόγον. Ἐν τοῖς ὑπερουρανίοις τάγμασιν ἔστι τὰ μὲν ὕπερθεν, τὰ δὲ ὑποβέβηκε. Μὴ πάντες προφῆται, μὴ πάντες ἀπόστολοι. Εἰσὶ καὶ γλωσσῶν διαφοραί, ὅτι καὶ ἐθνῶν. Καὶ αἱ μὲν λείως ἔχουσι, καὶ μεθ' ἱλαρότητος εἰς ὄγκον διαίρονται· αἱ δὲ τραχὺ γαργαρίζουσι καὶ ἐξαγριοῦνται διὰ τὸ βαρβαρόφωνον. Καὶ ὅμως ἕκαστον ἔθνος, τό τε εὐγενῶς λαλοῦν, καὶ τὸ βάρβαρον, μένουσιν οὐκ ἀπαλειφόμενα. Καὶ διαπλέκει καὶ οὕτως ἡ πρόνοια τὸ τοῦ βίου πολύστροφον. Ὥςπερ πολλαὶ μοναὶ σωτήριοι, οὕτω καὶ διάφοροι σπουδαίων λόγων καταγωγαί, καὶ θεῷ καὶ τοῖς τοῦ θεοῦ οὐκ ἀπόβλητοι. Καλὸν ποταμοὶ πλήθοντες, καὶ εἰς πολλοὺς σχιζόμενοι κλῶνας· οὐκ ἄχαρι δὲ οὐδὲ πηγαὶ μονάζουσαι. Ἐβόα τις, ὅσον ἄλλοι πεντήκοντα· καὶ τὸ φώνημα Στεντόρειον ᾄδεται. Καὶ οὐκ ἤδη τῶν ἄλλως φωνούντων ἀποτέμνειν ἔδει τοὺς λάρυγγας. Ἔβλεπεν

ἕτερος καὶ τὰ κατὰ γῆς, καὶ σταδίοις, ὁπόσοις οὐδεὶς ἄλλος, παρεμέτρει τὴν ὅρασιν· ἀλλὰ πλείους εἰς ἄπειρον, οἳ ἑτεροῖοι τὴν ὄψιν ὄντες, τὴν φύσιν τοῦ βλέπειν οὐ ψεύδονται. Καὶ μὴν οὐδὲ ἀσπάλαξ, ὅτι τυφλὸν ἅμα γενέσει, καὶ διὰ βίου δὲ τοιοῦτον ἠφάνισται· ἀλλὰ συντηρεῖται τῷ λόγῳ τῆς φύσεως, καὶ συμπληροῖ τὸ ποικίλον τῆς κτίσεως. Ἤκουεν ἕτερος, ὅσα μηδεὶς ἄνθρωπος. Τί τοίνυν; Κλειστέον ἄρα τὰς λοιπὰς ἀκοάς, ὅτι μὴ εὐπορώτερον τοῦ ἐνεργεῖν ἔχουσι; Καὶ στρατὸς ἔκ τε ἀνδρείων, ἔκ τε μὴ τοιούτων συγκεκρότηται. Ἄιδων Δαυῒδ οὐκ ἀπηξίου τοὺς συγχορεύοντας. Καὶ μὴν οὐ κατ' ἐκεῖνον καὶ αὐτοὶ ἔμελπον. Ἁρμονία χοροῦ ἐκ διαφόρων, ἤδη δὲ καὶ ἐξ ἀντιφώνων καὶ δίχα φρονεόντων ἁρμόττεται, ὥς φασιν οἱ τὰ τοιαῦτα σοφοί, οἱ περὶ τέχνας.

7. Οὐκ ἔσθ' ὅπως ἅπαντες συνδράμοιεν ἂν εἰς ὅμοιον. Περιφέρονται Σειρῆνες ἐν τοῖς πάλαι λόγοις, αἵτινές ποτε αὗται· δοκοῦσι δὲ ἄρα μέγα τι χρῆμα ἐκεῖναι εἶναι. Καὶ ὁ Ἰὼβ οὐκ ἀπηχρείωσεν αὐτάς, οὐδὲ ἐξέβαλε τοῦ ᾀδομένου σεμνώματος, ἑτέρᾳ Σειρῆνι, μικροφυεῖ ζωϊδίῳ, τοὺς ἑαυτοῦ ἐξομοιώσας κλαυθμούς. Ἤρεσεν ἀνθρώποις, ἐγκρῖναι εἰς μελῳδοὺς καὶ τὸν τέττιγα· καὶ οὐκ ἐξέπεσεν ἡ ἀηδὼν τῆς σεμνότητος. Ὑμνεῖ θεὸν καὶ τὰ ἄλογα, οὐχ οἷς αὐτὰ φωνοῦσιν, ||(Ms. fol. 140. b.) ἀλλ' οἷς ἐκεῖνον γεραίρουσιν οἱ θεωροῦντες αὐτά, καὶ τὸ τῆς φύσεως φιλοσοφοῦντες εὔκοσμον, ὁποῖόν τι κἀνταῦθα ἔσται. Εἰ γὰρ τοῦ μηδὲ δοκεῖν λέγειν, οἷς ἀκόμψως τοῦ λαλεῖν ἔχομεν, ἁλισκόμεθα, οἷς γοῦν ὁ ἀκροατὴς πρὸς ἡμῖν ἔχων τὸν νοῦν ἐκπεπλήξεται, ὅτι πρὸς ζῆλον ὅλως τοιοῦτον διεθηρμήναμεν ἑαυτούς, τῷ κρείττονι θαυμάσας ἀναθήσει τὸ αἴτιον· ὃς καὶ αὐτός, οὐχ ὅτι πρὸς ἀξίαν, ἀλλ' ὅτι μετ' εὐψυχίας ὑμνεῖται, τοὺς εἰς εὐχαριστίαν λαλοῦντας ἀμείβεται. Καὶ οὕτω καὶ ἡμῖν τάχα τινὰ ὁ λόγος εὑρήσει ἔπαινον.

8. Ταῦτα ἐν θυμῷ βαλόμενος, καὶ τοιαῦθ' ἕτερα, δι' ὧν θαῤῥητέον τοὺς ὑστερολόγους καὶ ταπεινούς, οὐ πάνυ πόῤῥω τῶν ὑψηλῶς λαλῆσαι φθασάντων ἑστήξεσθαι, εἰ μόνον πρὸς ὀρθὸν λογισμὸν φθέγξονται, καὶ οὕτω συσκευάσας εἰς θάρσος ἐμαυτόν, καθίημι τὸν λόγον, οἷ προεθέμην, καὶ τοῦ σκοποῦ γίνομαι, οὐχ ὑπὲρ τοὺς ἄλλους διαθέσθαι τι προνοησάμενος (μανίας γὰρ ἐγγὺς ἡ τῶν ἀδυνάτων κατεπιχείρησις), ψυχῆς δὲ ζέσιν ἐκφαίνων, καὶ τὸ τοῦ ζήλου διακαές, καὶ οὕτω τολμῶν, καὶ τὴν φύσιν τυραννῶν, εὐλαβέστερον ἄλλως τά γε τοιαῦτα διαθεμένην τὰ κατ' ἐμέ.

9. Περιηγεῖσθαι μὲν οὖν, ὅσα θαυμαστὰ πρὸς ἑκάστους ὁ μάρτυς ἐργάζεται, καὶ εἰς ἀριθμοῦ κερματίζειν λεπτότητα, ὅμοιον, ὡς εἰ καὶ γῆν χρυσῖτιν χρηστολογεῖν προθέμενος, οὐκ ἐξ αὐτοῦ τοῦ πᾶσαν ἐκ τῶν ἐπιπολῆς καὶ εἰς βάθος χρυσῷ εὐφορεῖν σεμνύνει τις, ἀλλὰ δράκας τινὰς τοῦ μετάλλου χειριζόμενος, ἐξ αὐτῶν ὑψηγορεῖ τὴν πολλοῦ πλούτου γέμουσαν. Καὶ ἐκεῖ γὰρ χρεών, μὴ οὕτω ποιεῖν, ἀλλ' αὐτὸ τὸ πρᾶγμα σεμνολογεῖν, ἀφιέντα τὴν μεταλλικὴν χειρουργίαν τοῖς θέλουσι· καὶ ἐνταῦθα δέ, τὰ τοῦ μάρτυρος μὴ τοῖς ἐκ μέρους θαυμάζειν, ἀλλὰ διδάσκειν μὲν ὥσπερ κατ' εἶδος, ὅσα μεγάλα καὶ οἷα τερατουργεῖν δύναται, μὴ ἐθέλειν δὲ πονεῖσθαι περὶ τὰ καθ' ἕκαστα, καὶ μάλισθ' οἷς ἕτεροι ἐπιστατικῶς τὸν λόγον ἐναπησχόλησαν. Φυλακτέον γὰρ ταῦτά γε, μήπως ἢ τῷ φιλέριδι ἐγκληθῶμεν, ὡς ἀντεπεξάγεσθαι τοῖς προϊστορηκόσι φιλοτιμούμενοι, ἢ τὸ ἄπορον, ὡς μὴ εὐχερὲς ὄν, λόγους οἰκοδομεῖν, εἰ μὴ ἐπὶ θεμελίοις ὀθνείοις προϋποτιθεμένοις αὐτοὺς ἑδράζομεν.

10. Αὐτίκα καὶ ἡ τοῦ ἀειβρύτου μαρτυρικοῦ μύρου πρόχυσις μυρίαν πρὸ τῶν ἄλλων ἐπηγάγετο καὶ πρὸς ἁπάντων τὴν ἔκπληξιν, καὶ θησαυροὺς νοημάτων ἐξεῦρον οἱ ῥητορεύοντες, τοῖς φιλακροάμοσι τεχνηέντως αὐτὸ διασκευασάμενοι. Καὶ οὐκ ἔστι τῶν καθ' ἡμᾶς τινα προσευπορῆσαι κάλλιον, εἰ καὶ μακρὰ ἐνιδρώσει τῷ πονήματι. Τὸν ὅμοιον δὲ τρόπον οἱ τὰ θεῖα σοφοὶ καὶ τοῖς λοιποῖς ἐπεξῆλθον τοῦ ἀθλοφόρου θαύμασιν, εὖ μάλα τεχνολογήσαντες τὰ ἐγκώμια· ὅθεν οἱ ὀρθὰ φρονοῦντες συγγνώσονται, εἴπερ ὕστεροι διεκπεσόντες ἡμεῖς, μὴ καινὰ προσεξεύρωμεν, ἀλλά που καὶ σύμφωνα τοῖς ἄλλοις λαλήσομεν, καὶ κατόπιν θέοντες ἑτέρων ἔστιν ὅπου ἴχνεσι συμπεσούμεθα. Οὐ γὰρ κλοπὴ τὸ πρᾶγμα, οὐδ' ἔστιν ἀλλοτρίων παρανοσφίσασθαι, ἀλλ' αὐτόματος οἶμαι νοημάτων συνέμπτωσις. Λογιστέον γὰρ φιλοσοφώτερον, ὡς τὸ αὐτὸ νόημα πολλάκις εἰς διαφόρους ἔστιν ἀνελθεῖν, καί τις, πρὶν ἢ κατακλυσθῆναι τὴν γῆν (θετέον γὰρ οὕτω), ἐλογίσατό τι σοφόν. Τὸ δὲ ἦν, ὁποῖον καὶ εἰς τοὺς μετὰ τὸν Νῶε καταβαῖνον εἰς τὰς ἐκείνων καρδίας καὶ ἀνέβη καὶ ἀναβήσεται. Καὶ τοίνυν καὶ οἱ τοὺς λόγους ||(Ms. fol. 141. a.) εἰς τὸ τοῦ μάρτυρος ἢ μύρον, ἢ τὴν λοιπὴν τῶν θαυμάτων θάλασσαν βάπτοντες, οὐκ ἂν καινοπραγοῖεν, ἐάν, καθάπερ οἱ τὰς χεῖρας εἰς τόπον ἕνα συμβάλλοντες ἐγγίζουσιν, οὕτω καὶ αὐτοὶ χειρογραφοῦντες εἰς ἓν ἅπτωνται, οἷον ἀλλήλων τοῖς νοήμασι πλησιάζοντες.

11. Ἔμοι γ' οὖν, λόγον μέν τινα ἐπὶ τοῖς τοῦ μάρτυρος νεαρὸν καὶ πρόσφατον εἰς ἐξεύρημα κατεργασαμένῳ, καύχημα τὸ πρᾶγμα ἦν ἄν, ὡς καινοτέρου ἀκούσματος εὑρετῇ, καὶ ἐπήρχετο ἂν χαίρειν, ὅτι μοι τὸ τῆς ψυχῆς λήϊον ἀστάχυας φύει οὐκ ἀγεννεῖς, οὐδὲ οἵους ἐξαθερίζεσθαι. Συνεμπεσόντι δέ τισιν, ὧν

ἐκαλλιγράφησαν ἕτεροι, οὐδὲ τοῦτο ἔξω ἂν πίπτοι τοῦ δεόντως αὐχεῖν, ὅτι καὶ αὐτὸς ἠξίωμαι λογίσασθαι, ὅσα καὶ οἱ φθάσαντες λόγιοι, καὶ τὸ τοῦ λόγου σκάφος εἰς τὸν αὐτὸν ἐκείνοις ῥοῦν ἐπαφείς, ἔτεμόν που καὶ τὴν αὐτὴν κατά τινα συνδρομήν.

12. *Οὕτω γοῦν ἐμαυτὸν κατασκήσας ἐν καλῷ κἀνταῦθα, καὶ τὸ θαῤῥεῖν λέγειν ἀναλαβών, ἐν πρώτοις συννοοῦμαι (χρὴ γὰρ ἐλλόγως ἀπορήσαντα πρότερον, καὶ τὴν ἀπορίαν, ὅπη δυνατόν, ἐπιλυσάμενον, χωρεῖν ἐπὶ τὰ ἑξῆς), ὅπως ἄρα, πολλῶν καὶ μεγάλων ὑπὲρ θεοῦ τεθεικότων τὰς ψυχάς, καὶ μεγίστοις ἐνιδρωκότων ἀγῶσι, τοῖς μὲν μετὰ καὶ τραυμάτων καὶ αἱμάτων τῶν ἐξ ἀθλήσεως, τοῖς δὲ καὶ ἄλλως ἐξ ἀσκήσεως, οὐχ ἅπασιν ἡ τοῦ μύρου βλύσις πεφιλοτίμηται, ἀλλά τισι μετρητοῖς, καὶ οὓς ῥᾷον ἐστὶ καθυπαγαγεῖν ἀριθμῷ· ἐν οἷς καὶ τὸ τῆς ἁπάσης μὲν ἐξαίρετον ἄκουσμα τῆσδε καθ' ἡμᾶς ταύτης οἰκουμένης καὶ ἐπὶ πλέον ἀγλάϊσμα. Καὶ φέρεται μὲν λόγος πρεσβυτικός, καθιστῶν τὴν τοῦ ἀπορουμένου δεσμοῦ λύσιν εἰς τὸ καθαρὸν τοῦ βίου καὶ εἰς τὸν ἔλεον, οἷς ἐνευδοκιμῶν φασιν ὑπερλίαν ὁ ἀθλητὴς ἔλαχε θεόθεν εἰς γέρας τὴν τοῦ μύρου ἔκβλυσιν. Καὶ σεμνὸς μὲν ὁ λόγος οὗτος, φλέβας τινὰς ὑπανοίγων, ἐξ ὧν καὶ αὐτῶν ἔστιν ἀναῤῥυΐσκεσθαι τὸ τοῦ μύρου καλόν· ἐμοὶ δὲ τὸ ζητεῖν οὐ πάνυ τι ἔπαυσε. Μυρίοις γὰρ ὅσοις τὰ ἀγαθὰ μὲν ταῦτα καὶ εἰς ὑπερβολὴν ἐνέλαμψεν, ἡ ἐν βίῳ φημὶ καθαρότης καὶ ὁ ἔλεος· οὐχ ἅπασι δὲ ἡ τοῦ μύρου δόσις πεφιλοτίμηται.*

13. *Ζητητέον οὖν, καὶ ἑτέρων ἀνακαλύψαι τὸ κεκρυμμένον τῆς λύσεως. Καὶ μήποτε οὐδὲ τοῦτο ἔξω τοῦ προσφυοῦς, ὡς ἄρα τόποις τε καὶ προσώποις, παρ' οἷς οἱ τοιοῦτοι κεῖνται θησαυροί, εἰς δέον ἄνωθεν ἐπεψηφίσθη τὸ θαυματούργημα. Ἐχρῆν γὰρ ἤτοι ἀρχῆθεν εὐθὺς εἰς θεὸν στειλαμένοις τοῖς ἐκείνου θεραπευταῖς ἐπακολουθῆσαι καὶ τοιοῦτον σημεῖον εἰς ἐντάφιον πολυτίμητον, ἢ καὶ μετὰ καιρὸν ὕστερον· καὶ τοῦτο, ἔνθα πρὸς ἀγαθοῦ ἦν καὶ εὐσύμφορον τοῖς περιοίκοις, τοιόνδε κληρώσασθαι τερατούργημα· ὡς ἂν τῷ πρὸς ἀπίστους εὐθέτῳ σημείῳ στερεωθεῖεν οἱ τοιοῦτοι τὰ εἰς τὴν θείαν θρησκείαν, καὶ θεμελιωθεῖεν σαθρότητα λογισμοῦ. Καὶ τοίνυν ἐτερατουργήθη τότε τὸ ἐξαίσιον ἀγαθόν, εἴτε τῇ μεταστάσει συγχρόνως, εἴτε καὶ μετ' αὐτήν· καὶ δοθὲν παρέμενεν, ἵνα τῷ θείῳ τε χαρίσματι τὸ ἀμεταμέλητον περισώζοιτο, καὶ οἱ πιστεύοντες οὕτω πλατύνοιντο. Ἐπαυξομένης δὲ ἐντεῦθεν τῆς πίστεως, οἷς οἱ ἄνθρωποι εἶδον θαυμάσια, καὶ τῆς κατὰ ψυχὴν εἰς θεὸν καὶ τὰ θεῖα ὑπανυπτομένης θερμότητος τῷ παραμόνῳ τοῦ θαύματος, καὶ ἐκφαινομένης εἰς τὸ λαμ || πρότερον, ἐστηρίχθη, καὶ εἰς αἰώνιον παρετάθη, καὶ ἀέναον κέχυται.* Ms. fol. 141 b

14. *Καὶ τοῦτο μὲν οὕτως ἂν ἔχοι τὸ εὔλογον· εἰκὸς δέ, καὶ τοὺς μυροβλύτους πρὸς θεοῦ τὸ τοιοῦτον μεγαλεῖον αὐτοὺς ἐξαιτήσασθαι. Καὶ ἦν τὸ ἔργον φιλοτίμου ψυχῆς. Χρὴ γάρ, ὥσπερ βασιλέα τὸν μεγαλοπρεπέστατον ἐθέλειν μεγάλα πρὸς τῶν ἀξίων αἰτεῖσθαι, καὶ χαίρειν ἀπαιτούμενον, οὕτω καὶ ὅσον ἐν ὑπηκόοις φιλότιμον, μὴ σμικρολογικῶς ἐκείνῳ προσφέρεσθαι, ἀλλ' ὑπὲρ μεγάλων ἐντυγχάνειν, καὶ ἅπερ ἂν διὰ πολλοῦ θαύματος ἄγαιτο. Οὐκοῦν οἴδασι καὶ οἱ τῷ μύρῳ πλουτοῦντες ἅγιοι μεγαλόδωρον τὸν παμβασιλέα θεόν, καὶ τοῖς ἐπάθλοις ἐμπλατυνόμενον. Ὅθεν πρὸς ταῖς ἐκεῖθεν δωρεαῖς καὶ τῶν ἐνταῦθά τι προσεπιτεθῆναι αὐτοῖς, φιλοτίμως οἱ μὲν ᾐτήσαντο, ὁ δὲ ὑπήκουσε. Καὶ φθόνος τοῖς ἑτέροις οὐδείς, ἄλλως εὐθηνουμένοις τοῖς θείοις δωρήμασιν. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν οὐδένα τῶν ἁπάντων ἐκείνων ἁγίων, ὅς, εἰ καὶ μὴ τοῖς μύροις λιμνάζει, ἀλλ' ὅμως δίχα γε τῶν ἐκεῖ μὴ καὶ κατὰ κόσμον μεγάλα εἴληχεν ἀγαθά, ὁ μὲν οὕτω θαυματουργῶν, ὁ δὲ ἑτέρως, καὶ πάντες πολυτρόπως· καθάπερ εἰ καὶ βασιλεὺς πολύολβος τοῖς μὲν λίθους λογάδας, τοῖς δὲ μαργάρους καὶ χρυσόν, ἑτέροις καὶ ἄλλοις ἄλλα, καὶ πᾶσιν ὁμοῦ πολύτροπα διανείμῃ χαρίσματα. Οὕτως οἱ μὲν τῶν θεραπευσάντων θεὸν ζώων ἀλόγων ἐφίστανται θεραπείαις, αὐτοὶ αἰτήσαντες, ἢ καὶ ὑπὸ ἀνθρώπων εἰς τοῦτο προκληθέντες, ἃ δὴ καὶ τὸ τοῦ μύρου καλὸν ἡμῖν ἐκφῆναι φαίνονται. Ἕτεροι λοιμωδῶν ἐξ ὁμοίας αἰτήσεως παθημάτων κατατοξάζονται, ἄλλοι ἄλλων, οἱ μὲν μεγάλων, οἱ δὲ καὶ μὴ τοιούτων κατευμεγεθοῦσι παθῶν· διασώζονται πλωτῆρας, οἷς μὴ εὐθυπλοεῖν κεκινδύνευται· ὀδόντων ἀλγηδόνας ἐκριζοῦσιν· ὀφθαλμῶν ὀξείας ὀδύνας ἀμβλύνουσι· τὸ δὴ ἀστειότατον, εἴκουσι καὶ παιδαρίων αἰτήμασιν, ἵνα μηδέν τι τῶν ἐλλόγως ἐχόντων ἀπρονόητον ᾖ, ἀλλ' ὁ καθ' Ἕλληνας λῆρος ἐλέγχοιτο, τὸ τῆς προνοίας πρὸς τοῖς μείζοσι περιγράφων ἀπειροδύναμον. Εἰ δὲ καὶ φυγαδίας δούλους ἐπαναστρέφουσι, τὸ μὲν δουλικὸν οὐκ ἂν χαίροιεν· οἱ δὲ δεσπόται σῶστρα ὀφείλουσι.*

15. *Καὶ οὕτως ἢ αἰτηθέντες, ἢ ἄλλως αὐτοὶ θελήσαντες ἐκ θεοῦ, θαύμασι τοιούτοις οἱ ὁσιωθέντες αὐτῷ ἐναβρύνονται, φόβου τοῦ πρὸς αὐτόν, ὃν ἐν γαστρὶ ἔλαβον, ἀντάλλαγμα σχόντες τὸ ἐκεῖθεν κυΐσκόμενον σωτήριον πνεῦμα, καὶ τὸ ἑπόμενον θαυματούργημα. Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιεῖ· καὶ ἐπακούει τῆς αὐτῶν δεήσεως, καὶ οὐκ ἔσθ' ὅπως αἰτουμένοις οὐ δίδωσι. Τὸν δὲ φόβον σταθμητέον*

τῷ θαύματι, καὶ μέτρον αὐτὸ θετέον φόβον τοῦ εἰς θεόν, ἢ καὶ ἄλλως εἰπεῖν, πρὸς τὸν θεῖον φόβον σταθμητέον τὸ θαῦμα, καὶ πρὸς ἐκεῖνον παραμετρητέον καὶ γνωστέον τὸ τερατούργημα, ὥς που καὶ ἐκ τοῦ κατὰ θεὸν φόβου γινώσκεται, ψαλμικῶς εἰπεῖν, ὁ ἐκείνου θυμός. Εἰς ὅσον γὰρ θεὸν φοβούμεθα, εἰς τόσον καί, τὸν ἐκείνου ζυγοστατοῦντες θυμόν, γινώσκομεν Ms. fol. 142. a. || τὴν τῶν καθ' ἡμᾶς δηλαδὴ πλημμελειῶν ἐπεξέλευσιν, αἳ οὐκ ἀποκρύπτονται ἀπὸ θεοῦ. Πάνυ μὲν γὰρ φοβούμενοι τὰς τῶν ἁμαρτημάτων ποινάς, πάνυ τὸν θεὸν ἐπεξελευστικὸν γινώσκομεν· ὀλίγα δὲ ὑποδεδιότες, καταῤῥαθυμεῖν ἐκεῖνον οἰόμεθα καὶ ὑπνοῦν, καὶ μὴ θέλειν ἐξεγείρεσθαι. Οὕτω δὴ καὶ ἐν τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ τοῦ θεοῦ ἐκ τῶν θαυμάτων σταθμώμεθα, ὅπως τοῦ θεοῦ ἐπεστρέφοντο. Εἰ τοίνυν τοῦτο, ταλαντευτέον κἀνταῦθα πρὸς τὸν φόβον τὸν θεῖον τὸ θελητὸν μύρον τῷ μάρτυρι, καὶ θεωρητέον εὐλογοφανῶς τὴν ἰσότητα, καὶ ῥητέον, ὡς, εἰ τοῦτο πολὺ (πολὺ δὲ ὄντως), καὶ ἐκεῖνος ἄρα.

16. Καὶ ταῦτα μὲν ἐν τούτοις· καὶ μέχρι τοσούτου ἐπεσκέφθω τὸ ἄπορον, καὶ τὰ εἰς αὐτό. Οὐ γὰρ ἔστιν ἡμῖν εἰς πλέον χωρεῖν, ἀλλ' οἷς δέδοται. Τὸ δὲ ἐντεῦθεν θεωρητέον τὸ θαῦμα καθ' ἑτέραν ἔφοδον, οὐ πολὺ τὸ πρεσβεῖον, καὶ μάλιστα διὰ τὸ τοῦ μαρτυρικοῦ πάθους συγγενὲς πρός γε τὸ δεσποτικόν. Ἐκεῖ τε γὰρ πλευρᾶς νύξις καὶ ὠτειλῆς ἄνοιξις μετὰ τὸν ζωογόνον θάνατον αἷμα ἔβλυσε. Κἀνταῦθα δέ, εἰ καὶ μὴ ταὐτὸν ἐφ' ἅπασι πρὸς τὴν ὑπερφυῆ πρωτοτυπίαν σώζεται, ἀλλ' ἡ ἐν ὠτειλαῖς ὅλως ὁπωσοῦν συμπάθεια, ἣ χαίρει πάντως θεὸς ὁ ζηλούμενος, ὁμοιότητα τεραστίου ἐξέφηνεν· ὃ δὴ πρὸ πάντων τῶν ὁμοίων καὶ πρὸς ἁπάντων ἀμύθητον ἐπάγεται ἔκπληξιν. Καλὸν μὲν γὰρ καὶ ὕδωρ ἅγιον λειψάνων ἱερῶν ὅσα καὶ πηγῶν ἐξαποῤῥέον ἰδεῖν, καὶ διψῶντας ἐκθεραπεῦον λαούς, ὡς τὸ μὲν πηγάζον πήχει περιγεγράφθαι, εἴτε βραχίονι, ἢ ἀλλ' ἑτέρῳ τινὶ στερεμνίῳ τοῦ σώματος· τὸ δὲ ἐκεῖθεν ἐκβλύζον κατά τινα κρήνην ἀπόῤῥυτον ἐκτρέχειν ἀέναον, καὶ ἐμπιπλᾶν πάντα τὸν προσιέμενον, ὡς ἐὰν καὶ φωνή τις ἐκεῖθεν ἐξηχεῖτο, προκαλουμένη τοὺς διψῶντας ἔρχεσθαι. Τεράστιον δέ, καὶ εἰκόνων ἀπολείβεσθαι μύρον εὐῶδες, ὡσεὶ καὶ ἐκ στερεᾶς πέτρας ἔλαιον. Ἀλλ' ἐπὶ πλέον ἔτι θαυμάσιον, τὸ μὲν θεῖον σῶμα κρυπτόμενον στέγεσθαι, τὸν δὲ τάφον ποταμὸν θεωρεῖσθαι μύρου τοῖς ἀρύεσθαι θέλουσιν εὐθύμιον. Ταῦτα τερατουργεῖ καὶ ὁ ταῖς ἐν Λυκίᾳ πελαγίζων μύρου προχύσεσι, καὶ ἡ σοφὴ παρθενόμαρτυς, ἣν τῷ Σιναίῳ ἐνεφύτευσεν ὄρει ζωογόνον φυτὸν ὁ θεός, καὶ ἕτεροι πλείους, ἔν τε ἀνδράσιν ἡλιῶδες τὰ εἰς ἀρετὴν προλάμψαντες, ἔν τε γυναιξίν. Οὐδὲ ἡμέτερος πολιοῦχος τοὺς μὲν μὴ πλουτοῦντας τῷ μύρῳ τῇ δαψιλείᾳ τούτου ὑπεραναβέβηκεν· οἷς δὲ ὁ τοῦ μύρου πλοῦτος πληθύνεται, ἀλλὰ τούτοις παραβαλλόμενος, αὐχεῖ τὸ ἐπιμᾶλλον ἐξαίσιον τά τε ἄλλα, καὶ οἷς τὸ ἀθλητικὸν αἷμα πλήσμιον ἀναβρύει, καὶ τῷ μύρῳ συμμίσγεται, καλὸν ἐπὶ καλῷ καὶ πλοῦτον ψυχῶν ἐπὶ πλούτῳ τιθέμενος.

17. Καὶ οἶδα μὲν καὶ ἑτέροις τῶν καθωσιωμένων θεῷ τοιαύτην χάριν βραβευθεῖσαν μετὰ τὴν ἐκ βίου ἀπανάστασιν, ἐν οἷς καὶ ἡ τοῦ εὐφημεῖσθαι ἐπώνυμος, ἡ τοῖς ἀληθέσιν ὅροις μετὰ θάνατον (τὸ παραδοξότατον) καὶ μαρτυρήσασα καὶ δικάσασα. Ἐγὼ δὲ ἀλλὰ καιρῷ ἐκείνῳ βραχεῖ ἀντιπαραθεῖναι τὸ αἰώνιον, ἢ καὶ παραμετρῆσαι πρὸς λιβάδα τὸ πελαγίζον ὀκνήσαιμι ἂν οὕτω κατὰ πάντων τῶν τοιούτων.

18. Ἡλήκοιεν δὲ οἱ θαυματουργοί, ἐφ' οἷς ἀκριβὴς Ms. fol. 142. b. || ἡ παραίνεσις. Ὁ ἡμέτερος ἀθλητὴς πλουτεῖ, λαχὼν ἐκ θεοῦ τὸ ἀπαρεξέταστον, τῷ τῆς μυροχυσίας τε πολλῷ, τῷ ἀπείρῳ, τῷ πλήθοντι, τῷ πελαγίζοντι, καὶ τῷ συναναβλύζοντι αἵματι, καὶ τοῖς μύροις συνδιαιωνίζοντι, καὶ παραδηλοῦντι τὸ τῆς ζωῆς μόνιμόν τε καὶ συνεχές. Εἰ δέ ποτε καὶ ὑπερεκχεῖται τὸ ἀγαθόν, καὶ ὁ τάφος μὲν περιγράφειν ἐθέλει τὸ τίμιον, τὸ δὲ τὰς κρηπῖδας ὑπονομεῦον μύρον ἐκκενωθέν, ᾀσματικῶς εἰπεῖν, γίνεται καὶ εἰς ζωὴν ἁλλομένη πηγή, καὶ διεκτρέχει, ὡς οἷον ἐκκυμαινόμενον, καὶ πράγματα τοῖς ἀντλεῖν ἐθέλουσι δίδωσιν, ἄλλο τοῦτο τέρας καὶ ἀβύσσου ἔκφανσις, κάτωθεν ἐκπηδᾶν ἀνιείσης τὸ μύρον, καὶ διχῇ μεριζούσης αὐτὸ εἴς τε τὸν τάφον, καὶ τὰ τούτου προτεμενίσματα· ἣ δὴ ἄβυσσος καὶ ἑτέραν ἐπικαλεῖται ἄβυσσον, τὴν τῶν ἀπλέτων θαυματουργιῶν, συναναφαινομένην καὶ οἷα συνουσιωμένην τῇ τοῦ μύρου θαυμασιότητι· ἣν δὴ καὶ ἄλλως ἔστιν ἡμῖν ἐπιθεωρῆσαι ἄβυσσον. Γῆν τε γὰρ ὑδάτων ἄβυσσος ὀχεῖ, ὅσα καὶ οἰκοδομίαν θεμέλιος· καὶ τὴν πόλιν δὲ ταύτην ἡ καθ' ἡμᾶς ὑπανέχει ἄβυσσος αὕτη ἐδράζουσα. Καὶ τὸν τρόπον τοῦ ἑδράσματος παχὺς ἄν τις εἴη ὁ πυνθανόμενος.

19. Ἀλλ' οὕτω μὲν καινὸν τῆς ἱερᾶς μυροθήκης ὑπερεκχεόμενον τὸ ἀγαθόν, ἵνα μὴ πᾶσα ἡ μαρτυρικὴ αὕτη δόξα ἔσω συγκλείηται, ἀλλὰ καὶ ἐκτὸς προφαίνηται πρόδρομος τοῦ ἐντὸς διαδεικνυμένη καλοῦ. Εἰ δὲ καὶ ἀντληθὲν αὐτό, καὶ εἰς ἀλάβαστρον ἐντεθέν, οὐ θέλει καθ' ἑαυτὸ μένειν, ἀλλ' ἐκβλύζον προῤῥέει, ὡς ἐμφορεῖσθαι καὶ ἕτερα σκεύη, ἐξ ὧν καὶ αὐτῶν ἀναβρύει τὸ ὅμοιον ἀγαθόν, ἐκ τούτων κλίνον εἰς ἕτερα, πηγαῖα καὶ ταῦτα καλά, ἐκ διαδοχῆς πληθυνόμενα.

Καὶ ἐχρῆν πάντως οὕτω γίνεσθαι. Ἡ γὰρ αὐξάνεσθαι καὶ πληθύνειν τὸ πρῶτον ἐκεῖνο μύρον κελεύσασα χάρις καὶ ταῖς ἐκεῖθεν ἀποῤῥοίαις τὴν αὐτὴν ἐνέθετο δύναμιν· ὅθεν οὐ μόνον τῷ τάφῳ οὐκ ἔστιν ἐπιλιπεῖν τὸ τοιοῦτον καλόν, ἀλλ' οὐδὲ εἴ τι σκεῦος ἕτερον στέγειν ἐκεῖθεν ἀποῤῥοιάν τινα τέτακται. Τί δὲ οὐκ ἔμελλεν ὁ τῶν ἁγίων κύριος, ὁ προφήτου χάριν καμψάκην ἐλαίου ἐξερευγόμενον τὸ ἐντὸς ὑγρὸν φυλάττων ἀεὶ πληρέστατον, καὶ εἰς πηγὴν αὐτὴν τάξας ἀείβρυτον;

20. Καὶ ὁ μὲν ταῖς παλαιαῖς ἱστορίαις καιρόν τινα σχολῆς ἐνδιδούς, εὑρίσκει πάλαι που πύελον ἀνακαλυφθεῖσαν, ἥτις ὑγροῦ μέν τινος πλήρης ἦν, καὶ ἐξηντλεῖτο αὐτό, καὶ ἐξεφορεῖτο ἐπιμελῶς· οὐκ ἦν δὲ παθεῖν ἐκείνην κένωμα. Ἡμῖν δὲ καὶ αὐτοῖς τέρας μέν τι ἐκεῖνο καταφαίνεται. Ὅτε δὲ ὀφθαλμοὶ μεταχρόνιοι τῷ θεάματι οὐ προσέβαλον, ἀλλὰ τότε ποτὲ φανέν, εἶτα κρυβὲν ἀπέσβη, ἐνδοιάζειν ἔπεισιν, ἐὰν τοιοῦτον ἦν, καὶ ταλαντεύειν ἐπ' ἄμφω τὴν συγκατάθεσιν. Τὸ δὲ ἡμέτερον πάρεστι θαῦμα πρόοπτον· ἰδοὺ ἔκκειται· κόσμος ἅπας ἐπ' αὐτό, ὀφθαλμοὶ πάντες· καὶ τὸ ἐξαίσιον εἰς πᾶσαν γῆν διακηρυκεύεται, καὶ πάντες πρό τε χειρῶν, πρό τε ὀφθαλμῶν αὐτὸ ἔχουσι. Καὶ τῷ μὲν τοῦ δικαίου μύρῳ τούτῳ τὰς νοητὰς λιπαίνουσι κεφαλάς, ταῖς κορυφαίαις τῶν κατ' ἀρετὴν πράξεων ἐξευρίσκοντες οὕτω τὸ ἱλαρύνεσθαι· τῷ δὲ αἵματι τὰς ψυχικὰς φλιὰς καθ' ὁμοιότητα || (Ms. fol. 143 a.) θείαν σφραγίζουσι, δι' ὧν αἵ τε εἰς θεωρίαν εἴσοδοι γίνονται, καὶ αἱ πρὸς πρᾶξιν σπουδαίαν πρόοδοι. Καὶ οὕτω τὸν ὀλοθρεύοντα διαφεύγουσιν, ἢ παρὰ θύρας, ὅ φασιν, ἀφιέντες ἥκειν ἐκεῖνον, εἴτε καὶ θυροκρουστεῖν εἰς κενόν.

21. Τοῦτο τὸ αἷμα, τοῦτο τὸ μύρον ἀειζωΐας τεκμήρια, καὶ τοῦ εὐώδες θεῷ τὸν μάρτυρα προσενηνέχθαι θυμίαμα. Ἀντιμετρεῖται ταῦτα εἰς πολλαπλοῦν, οἷς ὑπὲρ Χριστοῦ ἔχεεν ἱδρῶσι καὶ αἵμασιν· ὃς ἀποδιδοὺς τὰ ἐνταῦθα εἰς μυριοπλάσιον προσεπιτίθησι καὶ ζωὴν αἰώνιον. Τούτου τὸ μὲν πνεῦμα, παραδείσῳ τῷ τῆς ἀκηράτου τρυφῆς ἐνδιαιτώμενον, πραγματεύεται καὶ ἡμῖν τὴν ὁμοίαν χάριν, οἷς ἐντυγχάνει τῷ μελεδωνῷ καὶ φυτηκόμῳ τῆς ἀφθίτου ἐκείνης φυταλιᾶς, καὶ τὴν προγονικὴν ἡμῖν ἐπανάγει κληρονομίαν, ἧς φθόνος σατανικὸς ἡμᾶς ἀπήγαγε· τὸ δὲ σῶμα παραδείσου οἷον ἡμῖν ἐντρύφημα γίνεται, οὐ μόνον οἷς ἐκεῖθεν δρεπόμεθα καλοῖς ὡς ἑκάστοτε, ἀλλὰ καὶ οἷς ἐν τούτῳ τὰ ἐκείνου μεγαλοπρεπῶς θαυμάσια διοπτανόμεθα, τοῖς τε μυροῤῥόαις, καὶ τοῖς τοῦ αἵματος μικροῦ καὶ κυματίαις διὰ τὸ πλήσμιον ποταμοῖς, οἳ αὐτόθεν ἐκκύπτουσιν εἰς ἀέναον, καὶ ταῖς λόγχαις, ἃς εἰς θεοφύτευτα δένδρα παρομοιοῦμεν, τῷ καλῷ τούτῳ ἐμφυτευθέντα ἦν ὅτε σώματι, καὶ εἰς παράδεισον τρυφῆς αὐτὸ τῆς κατὰ πνεῦμα διασκευάσαντα.

22. Ἐντεῦθεν ἡμεῖς καὶ εἰς ἄλλην διαβαίνομεν ἐνθύμησιν ὁμοιότροπον, εἰ καὶ μὴ οὕτω πάνυ μεγαλοπρεπέστατα ἔχουσαν· καὶ τὸ ἐν Ἐδεὶμ ἄλσος ἀναπολοῦμεν εἰς νοῦν, καὶ τὰς ἐκεῖ πηγὰς καὶ τὰς φοίνικας, καὶ παραβάλλομεν εἰς ὁμοιότητα τὸ κατὰ τὸν μάρτυρα καὶ τὸν Ἰσραήλ. Τοὺς καθ' ἡμᾶς λαοὺς τοῦ θεοῦ θεωροῦμεν παρεμβάλλοντας ἐνταυθοῖ, ὡς εἰς χωρίον ἱερῶς τρυφερόν, καὶ ἐπαναπαυομένους τῷ τεμένει τούτου, ὃ καὶ φυτὰ ὥσπερ αἱ ἐμπεπηγυῖαι λόγχαι ἐκόσμησαν, καὶ πηγαὶ δὲ ποταμηδὸν ἐκρέουσαι, καὶ μύρα καὶ αἵματα, ὧν ἡ πηγαία χύσις ὡς ἐξ ἀβύσσου τῆς μυροθήκης ἀναβαίνουσα, τὸ πρόσωπον ἅπαν ποτίζει τῆς γῆς. Οὐκ ἔστι γὰρ ὅπου μὴ διαδόσιμον γίνεται τὸ καλόν, συνδιατρέχον τῷ ἡλίῳ, καὶ πανταχοῦ τῆς οἰκουμένης ἱκνούμενον. Τοῦτον τὸν τόπον καὶ ποταμὸν ἔστι θεοῦ Δαυϊτικῶς προσειπεῖν, οὐχ ὑδάτων πεπληρωμένον, ἃ μάτην πλανῶνται, ἀλλὰ προχοῶν σωτηρίων, δι' ὧν ἀναψύχονται νοερῶς οἱ ἐκλείποντες.

23. Ἔστιν ἡμῖν, ὦ μάρτυς, λέγειν ἄλλον τρόπον, ἧπερ οἱ πάλαι ἁγιοκτόνοι, τὸ αἷμα τὸ σὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τῶν ἐν βίῳ τὰ ἐν σαρκί, τῶν ἔξω βίου τὰ πνευματικά. Τούτῳ γὰρ καὶ ὡς οἷον σημείῳ τινὶ τὸ θεῖον ἡμεῖς παραδηλούμεθα ποίμνιον, καὶ τὸ ζωογόνον ἀναῤῥωννύμεθα πολυπλασιάζοντες· ὃ δὴ καὶ ὡσεὶ κόκκινον ἐπανθεῖ τῷ σῷ τούτῳ ναῷ, οὐχ ἧττον, ἢ τὸ παλαιὸν τῇ κατὰ νόμον σκηνῇ. Οὐκ ἔστι σοι τὸ Δαυϊτικὸν λέγειν· τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ὅτι μηδὲ κατάβασις γέγονεν εἰς διαφθοράν; Πᾶς γὰρ ὁστισοῦν αὐτοῦ ἀρυόμενος, οὐκ ἔστιν εἰπεῖν, ὅσον ὠφελούμενος βελτίων ἄπεισιν, ἁγιαζόμενος εἴς τε σάρκα καὶ αἷμα, ἀναζωούμενος ζωήν, προσεπιλαμβάνων πᾶν, ὅ τι δέοι παθεῖν ἀγαθόν, ἐξευρίσκων αὐτό. Ἢ πῶς ἄν τις ἀδυναμία εἰς ἔργον κατακαυχήσηται τοῦτον, || (Ms. fol. 143 b.) ὡς εἰπεῖν, ἀλίβαιτα, τὸ τοῦ μάρτυρος γήϊνον, οὐκ εἰς λιβάδας μόνον τεραστίας, ἀλλὰ καὶ εἰς ἐκρύσεις θαυματοβρύτους ἀνοίξαντος;

24. Μυστήρια καὶ ταῦτα οὐκ ἐκ τῶν πόῤῥω, ἀλλὰ τῶν ὅτι μάλιστα ἐγγυτάτω προκαταβέβληνται τῆς ἐκεῖσε καὶ τελευταίας καὶ αἰωνίου ζωῆς. Πόθεν ἐκεῖ, φασι, τοῖς ἐγηγερμένοις σώμασι τὸ συνίστασθαι, ὅπου τροφῆς μὴ ἔστιν ἐπίῤῥοια; Λύει ὁ μάρτυς τὸ ἄπορον. Ὅθεν ἐμοί, φησιν, ἐνταῦθα ἡ ζωογόνος τῶν αἱμάτων ἀπόῤῥοια. Θεόθεν τοῦτο. Ἐκεῖθεν ἄρα καὶ ἐκεῖνο ὁ ἐχέφρων λογίσεται. Ἄνδρας αἱμάτων βδελύσσεται

κύριος. Τοιοῦτον δὲ καὶ τὸ τύραννον φῦλον, ἀδίκως ἐκχέον αἵματα, καὶ μάλισθ', ὅταν ὑπὲρ Χριστοῦ ἐκεῖνα χέωνται. Οὐκοῦν καὶ ἐκείνους βδελύττεται κύριος. Εἰ δὲ τοῦτο, καὶ ἐπαμύνει τοῖς ἐκχεομένοις αἵμασι, καί ποτε οὕτω κρίνας, ὡς οἶδεν ἐκεῖνος διαιτῶν εὐθετεῖν καὶ οἰκονομεῖν, ἀποκαθιστᾷ τοῖς μαρτυρικοῖς σώμασι τὸ ἐκχεόμενον, καὶ ἢ πρὸς καιρόν (τὸ καινόν), ἢ καὶ εἰς αἰώνιον (τὸ καινότατον)· ὃ δὴ τῷ ἡμετέρῳ μάλιστα ἐπιπρέπει μάρτυρι πεπραγματευμένῳ πρὸς θεοῦ τοῦ μαρτυρηθέντος τὸ καὶ ἐνταῦθα οἷον ἀείζωον. Μὴ θανεῖν μὲν γὰρ οὐκ ἐξῆν τὸν ὑπὸ νόμῳ φύσεως, ἧς τὸ καὶ συνδεῖσθαι καὶ λύεσθαι καὶ ἀναμένειν τὴν εἰσαῦθις ἄλυτον σύνδεσιν. Θανόντα δὲ εἰς τὸ ζῆν αὖθις ἐπανακάμψαι, ἀλλὰ τοῦτό γε πρὸ τοῦ τῆς ἀναστάσεως ὅρου καὶ ὑπερτέθειται. Οἰκονομεῖται οὖν πως τὸ μέσον. Καὶ κεῖται μὲν τὸ σῶμα ἐν τάφῳ· τοῦτο τοῦ θανεῖν. Βλύζει δὲ αἷμα· τοῦτο ζωῆς σύμβολον. Καί πως ἔστι καὶ τοῦτο πτῶσίς τις καὶ ἀνάστασις· πτῶσις διὰ τὸν κατὰ φύσιν θάνατον, ἀνάστασις διὰ τὴν ὑπὲρ φύσιν περιουσίαν τοῦ αἵματος.

25. Τοῦτο τὸ αἷμα, τοῦτο τὸ μύρον κατὰ παθῶν παντοίων ἀνδρικῶς κρατύνονται. Ὀδύναι κεντοῦσι· καὶ αὐτὰ προςφέρονται, καὶ τὸ λυποῦν οἴχεται, καί πως ἡ τῆς ὀδύνης ὀξύτης δυςωπεῖται τὰς λόγχας, αἳ τῷ τοῦ ἀθλονίκου μάρτυρος σώματι ἐμπαγεῖσαι ὀξεῖαι, τὸ καλὸν ῥεῦμα προέφηναν. Ἀναῤῥήγνυνται τραύματα, οἷς ἔγγιστα πολάζει θάνατος, κύνεον ἐπεγχαίνων. Ἀλλ' ἐὰν ἐπιχρισθείη τοῦ μύρου, θάνατος μὲν δραπετεύει, καθά που καὶ τῶν ζώων, ὅσα πρὸς μύρου ὄσφρησιν ἐκμαινόμενα φεύγουσι· τὸ δὲ τραῦμα οὐλοῦται, καὶ εἰς ὁλότητα τὸ σῶμα καθίσταται. Καὶ οὕτω τραυμάτων μαρτυρικῶν ὑγρότης ἐκθρώσκουσα, προςοχθίσματα παρασύρει ἀνθρώπινα, οὐ μόνον ἐλαφρύνουσα τὸ δυςαχθές, ἀλλὰ καὶ τέλεον ἐξαλλάττουσα τὸ δυςπαθές.

26. Χαλκεύονται ταῦτα καὶ ὡς εἰς ὅπλα τοῖς ἐχθροῖς τοῦ θεοῦ ἀντίμαχα. Πολλοὶ γοῦν ἐπικόλπια φέροντες τοιαῦτα ἐκ τῶν τοῦ μάρτυρος, τὴν ἐκεῖθεν ἐξερχομένην ἔργοις αὐτοῖς ἐν ἡμέρᾳ πολέμου ἐπισκιάζουσαν ἔμαθον δύναμιν. Ἐπετάσθη μὲν γὰρ ἐπ' αὐτοὺς βίαιον βέλος, καὶ ἐπέλασε, καὶ ἤθελε ψαῦσαν παρακύψαι καὶ ἔνδον, καί που καὶ δι' ἑτέρας ἐκδῦναι, ὁποῖα τὰ διαμπερὲς βαλλόμενα· ἀπεπλάγχθη δέ, καὶ κενὸν ἀνέκαμψεν. Οὐδὲ γὰρ ἐχρῆν τὸ τοῦ νικητοῦ δῶρον τὸν ἥττονα ἀπενέγκασθαι. Καὶ θυρεὸς μέν, καὶ αὐτὸς αὐτὰ πολλὰ πολύπτυχος, καὶ τῷ συνθέματι Ms. fol. 144 a. τῶν ὑλῶν στερέ || μνιος, ὡς εἴ που καὶ ἑπταβόειος, ἔπαθέ τι ταῖς βολαῖς· ἱματισμὸς δὲ ἁπαλός, στέγων ὑπὸ κόλπῳ τὸν τοῦ μάρτυρος θησαυρόν, ἀνεπιβούλευτος τοῖς βάλλουσιν ἔμεινε.

27. Καὶ οὕτως ὁ διὰ τὸν σωτῆρα Χριστὸν πολύτρωτος μάρτυς, οἷς πέπονθε, τοῖς κινδυνεύουσιν ἐν τραύμασι βοηθεῖ, καὶ οὐ μόνον, ἀλλὰ καὶ μυρίοις ἐπιτρίβει κακοῖς τοὺς τὰς τοιαύτας πληγὰς ἐντήκοντας· καὶ ὥςπερ τὰς βολάς, οὕτω καὶ τὰς βουλὰς καὶ τὰ ἔργα δὲ εἰς ἄπρακτον ἀποκαθιστᾷ, καὶ τοὺς ἐν χερσὶν ἄγρας ἐξολισθαίνειν ποιεῖ. Οἴδασι ταῦτα καὶ οἱ πολέμιοι βάρβαροι, τά τε ἄλλα φῦλα, καὶ τὸ τῆς Ἄγαρ, καὶ τὸν ἀσώματον ἀρωγὸν τοῦτον δειμαίνουσι, καὶ ἱλεοῦνται, καὶ ποτνιῶνται συχνά, καὶ μειλίγματα ἐξευρίσκουσιν, ἀνακαλούμενοι λόγοις εὐκτηρίοις, λιταζόμενοι, χάριτας ἀνατιθέντες, ὁποίας οἱ τοιοῦτοι ἐπινοήσαιεν ἄν, τὸν χαρακτῆρα εἰκονικῶς ἐκτυπούμενοι, πάντα ποιοῦντες εἰς πραγματείαν ἐξιλασμοῦ. Καὶ ὑπὲρ οὗ μὲν τὸ παθεῖν ὁ μάρτυς ἀνείλετο, ἀλλ' ἐκείνῳ προςέχειν ὀκνοῦσι, τὸν δὲ παθόντα σεβάζονται. Θεοῦ καὶ τοῦτο, χαρισαμένου τῷ μάρτυρι. Οὐδὲ γὰρ ὀκνεῖ οὐδὲ τὰ τοιαῦτα ἐκεῖνος, ὁ τεράστια μὲν ἐνδεικνύμενος, μείζω δὲ διδοὺς ποιεῖν τοῖς αὐτὸν θεραπεύουσι. Καὶ τοιαῦτα μὲν τῶν βαρβάρων, ὅσοι λογιώτερον τοῖς τοῦ μάρτυρος ἐπιβάλλουσιν. Οἱ δὲ θρασεῖς καὶ θερμότεροι ἀγνοοῦσι μὲν οὐδ' αὐτοὶ τὴν μαρτυρικὴν ἰσχύν· ἀφέντες δὲ τὸ εὐλογεῖν, ὅμως οὐδὲ οὕτως εἰς ὕβριν ἐκβαίνονται, οὐδὲ εἰς κακολογίαν σκληρὰν καὶ ἀπαρακάλυπτον διεκπίπτουσιν, οὐδὲ σκῶμμα παράμουσον ἐξερεύγονται, οὐδ' ἐκτρέπονται πρὸς τὸ αὐστηρότερον· ἀλλὰ τῷ λυποῦντι προςφέρονται ἀστειότερον.

28. Βραχὺς γοῦν οὗτος χρόνος, καὶ τὸν ναὸν τοῦ μάρτυρος εἴδομεν αἰχμαλώτοις πυκνούμενον — φῦλον Ἀγαρηνὸν οἱ αἰχμαλωτίσαντες· ἐξ ἑῴας τῆς ὑπέρθεν Παφλαγόνων, ἣν ὁ Εὔξεινος ζώννυσιν, οἱ τὴν αἰχμαλωσίαν παθόντες· οἳ καὶ σωθέντες ὡσιοῦντο εὐχάς, ἃς δὴ καὶ μόνας εἶχον εἰς χάριν ἀντινέμειν τῷ λυσαμένῳ μάρτυρι. Τῶν γὰρ κατὰ βίον πάντων ἐξέπεσον, μόνους ἑαυτοὺς ἔχοντες. Καὶ περιηγοῦντο οἱ ἄνδρες τὰ εἰς αὐτοὺς τὴν τοῦ πολέμου ῥοπήν, ὡς οὐχ ὑπὲρ αὐτῶν, ἀλλ' εἰς τοὐναντίον ἔκλινε τὰ τῆς μάχης τάλαντα· τοὺς δεσμούς· τὴν ἀπαγωγήν, καὶ ταύτην ὑπερόριον (Βαβυλὼν γὰρ ἡ ἐν Πέρσαις εἶχεν αὐτούς)· τὸν ἐν τῇ καθείρξει σφιγμόν· τὰς θεοκλυτήσεις, ἃς ἀνέφερον εἰς τὸν μάρτυρα· τὸν λιμόν, ὃν ἔπασχον· τὴν νηστείαν, ἣν ἐποιοῦντο· ἐκεῖνον μὲν οὔτι ἑκόντες, ταύτην δὲ ἀλλὰ συμπείθοντες ἑαυτούς. Οἱ μὲν γὰρ τῆς Ἄγαρ καταδιαιτῶντες ἦσαν αὐτῶν τὸ τοῦ λιμοῦ πάθος, καὶ μέτριόν τι ῥεῦμα παραψυχῆς αὐτοῖς ὑπήνοιγον. Αὐτοὶ δέ, ἵνα κἀντούτῳ χάρις τις εἴη αὐτοῖς, ὑπεραναβαίνουσι τῷ

ἑκουσίῳ τὴν ἐκ τῶν βαρβάρων κάκωσιν, καὶ βραχὺ λαμβάνοντες εἰς ἀποτροφὴν ἐπιμετρούμενον, ὑπέσπων τι καὶ αὐτοῦ· καὶ οὕτω λεπτύνοντες ἑαυτούς, καὶ ὥςπερ ἄνω πτερυσσόμενοι εὐχαῖς, εἰς θεὸν ἐκουφίζοντο, ὧν τὸ στόμα ἔγεμε, τῇ τῶν βρωμάτων μὲν εἰςδοχῇ ἐγκλειόμενον, τοῦ δὲ ἐκεῖθεν πεπλησμένον μέλιτος. Ταῦτά τε οὖν ἐξετίθεσαν εἰς διήγησιν οἱ δορυάλωτοι. Ms. fol. 144. b. Καὶ ὡς νὺξ ποτε ἦν, καὶ αὐτοὶ οὐ μόνον ἔξω || τοῦ καθεῖρχθαι ἦσαν, ἀλλὰ καὶ σταδίοις μακροῖς πόῤῥω τῆς πόλεως εἶχεν αὐτοὺς τόπος, βραχύτητι πετρῶν κατάφρακτος, δάσους ἐψιλωμένος παντός· αὐτοὶ δὲ οὐκ ᾔδεσαν, ἀλλ' ἐπὶ χώρας μένειν ἐνόμιζον. Ὡς δὲ ἡμέρα διέκυψε, καὶ ἡλίου λαμπὰς τὰ πάντα διεδείκνυ παμφαίνουσα, τηνικαῦτα λελύσθαι μὲν ἐγίνωσκον τῆς εἱρκτῆς, οὐκέτι δὲ μανθάνειν εἶχον, καὶ οἵα καταγωγὴ τόπου εἶχεν αὐτούς. Καὶ τοίνυν πάλιν φόβος καὶ δέος, μὴ καὶ εἰς δουλείαν ἁλόντες ἀνακάμψαιεν· καὶ κατηύχοντο τῆς λύσεως, εἰ πάλιν ἀνάγκη δεδέσθαι αὐτούς, καὶ βραχείας γεγευμένους γλυκύτητος πικρίαν σπάσασθαι πλείονα. Ἅμα ταῦτα, καὶ ἀλλόθρους ἐκ τῶν κατόπιν ἦχος ἠκούετο, καὶ βοὴ βάρβαρος, καὶ λαλιαὶ οὐκ εὔσημοι· καὶ αὐτοῖς εἶχε τὰς μὲν ψυχὰς τὸ δέος, ἡ γῆ δὲ τὰ σώματα. Καὶ παρέβυον ἕκαστοι ἑαυτοὺς ῥωχμαῖς λίθων, ὅπη δόξειεν εἶναι σύμφορον, οὐ καταμόνας, ἀλλ' οἱ πλείονες κατὰ δεκάδας, καὶ ἔτι κατώτερον· οὐχ ὅτι βουλομένοις ἦν αὐτοῖς καὶ τοῦτο, ἀλλ' ὅτι μὴ ἐξῆν μήτε ἄλλως εἰς ἀποκρυβὴν συνάγεσθαι (εἰς βραχείας γάρ τινας διαστάσεις αἱ πέτραι ὑπέχασκον), μήτε εἰς φυγὴν μερίζεσθαι (ἡ βοὴ γὰρ ἐγγίζειν ἤδη καὶ ἐπικεῖσθαι τοὺς πολεμίους ἐσήμαινεν)· οὐδ' ὅτι τοῦ σώζεσθαι ἦν ἐλπίς (οὔτε γάρ τι σπηλαιῶδες ὑπενομεύετο, οὔτε ἀμφιλαφὴς ὕλη σκιάζειν εἶχε, καὶ τοῦ τῶν ψηλαφώντων φωτὸς ἀπάγειν τὸ παρειςδυόμενον)· καὶ οὐδὲ τῷ παντὶ τοῦ σώματος εἶχον κρύπτεσθαι. Ἀλλ' ὅπερ εἶχον, ἐποίουν, καθάπου καὶ τῶν ζώων τινά, οἷς, ὅτε θὴρ βριαρώτερος ἐπιτρέχει, κρύπτεσθαι τὴν κεφαλὴν καὶ μόνην ἔπεισιν, ὡς ἤδη καὶ τὸ πᾶν τῶν μελῶν ἀφανίζουσι. Τοιαῦτα γὰρ τὰ τῆς ἀμηχανίας βουλεύματα. Ἔκειντο μὲν οὖν αὐτοί, καθάπερ ἕκαστον ἡ πτῶσις ἐσχημάτισε, καὶ ὡς ὁ φόβος παραποδίσας ἔῤῥιψε, τάχα καὶ ὡς εἰς αὐτοσχέδιον τάφον καταχώσαντες ἑαυτούς, καὶ χανεῖν αὐτοὺς εὐχόμενοι καὶ τὸν τάρταρον. Ἐπὶ τούτοις ἐφίστανται τὸ ἀλλόφυλον. Καὶ ὦ τοῦ τεραστίου θαύματος· σκότος αὐτοῖς πρὸ ὀφθαλμῶν κατὰ τὸ ψηλαφητὸν εἰς ἀποκρυβὴν τῶν δεδεημένων τοῦ μάρτυρος· μᾶλλον μὲν οὖν οὐ σκότος, ἀλλὰ παρόρασις· ἤδη δὲ οὐδὲ αὕτη, ἀλλὰ στύλος τις οἶμαι νεφέλης τὰ τῆς φάραγγος ἀναπληρῶν κενώματα, λανθάνειν τοὺς κοιταζομένους ἐποίει, καὶ οἷα λαγωοὺς καταφυγόντας εἰς πέτρας ἀποκρύπτεσθαι τοὺς ἰχνευτικῶς ἐμφυομένους αὐτοῖς. Ἐξεμετρήθησαν ὧραι συχναί, καὶ οἱ κύνες οὐκ εἶχον τὸ ζητούμενον θήραμα. Καὶ τοίνυν ἱκανῶς ἐν κενοῖς τοὺς τῶν ἵππων κατατρίψαντες πόδας ἀπέκαμον, καὶ τεθηπότες ἵσταντο, διεκπεταννύντες πανταχοῦ τῆς ἐκεῖ γῆς τὰς ὄψεις. Καὶ ἐῴκεισαν μελετᾶν ἐπιπλέον πράγματα σχεῖν, ἐξερευνῶντες ἐξερευνήσεις, ἕως αὐτοῖς τοὺς ἀνηνύτους μόχθους ἔπαυσεν ἀνήρ, εἰς βάθος τοῦ τῆς ἀληθείας προκύψας πράγματος, καὶ θεῖον εἶναι συννοησάμενος τὸ ἐπιπροςθοῦν· ὃς καὶ εἰς μάτην ἐξεῖπεν αὐτοὺς πονεῖσθαι, ἀνίχνητα διώκοντας, καὶ ἀκαταλήπτοις ἐπιβάλλοντας. Καὶ προςέθετο εἰπεῖν, παραμιγνὺς τῇ φιλοσοφίᾳ τῆς * * * * * *

Desunt permulta.

|| 29. * * * εἰς ἀΰλίαν λεπτύνωνται, ὡς μὴ μόνον Ms. fol. 145. a. αὐτοὶ πρὸς τῷ ἀνωτάτω πάντων θεῷ εἶναι, ἀλλὰ καὶ ἑτέρους ὑπὲρ γῆς κουφίζειν· καὶ τέως μὲν οὕτως ἀνωφορεῖσθαι ποιεῖν, εἶτα δὲ καὶ τῆς γῆς αὖθις ἀβλαβῶς γίνεσθαι. Καὶ οὕτω μὲν ὁ σκοτοφόρος καὶ οἱ ἀμφ' αὐτὸν προφῆται καὶ ἀπόστολοι, καὶ ὅσοις ἄλλοις τῶν εἰδότων τὸν ἐπὶ πάντων θεὸν ἀρθῆναι κούφοις ἐξεγένετο, καὶ μετεωρισθῆναι, εἰς ὅσον αὐτοὺς ἀνέλαβεν ὁ ὑψῶν, χαίρουσι, πληθυνόμενον βλέποντες τὸ καλόν, καὶ τὸν οὐρανὸν ἀνθρώπων γέμοντα, ὡς μηκέτι ἐρήμην αἰθέρα λέγεσθαι· ὅπου ἀνιπτάμενοι ὡσεὶ καὶ οὐρανοπολῖται τινὲς γίνονται αἰθεροβατοῦντες ἄνθρωποι. Εἰ δὲ καὶ ὡς ἐπὶ σωτηρίου ἱππασίας μεταρσιοῦνται οἱ λυόμενοι, συνέπυχοι δοκοῦντες εἶναι τῷ ῥυομένῳ μάρτυρι, ἄλλο καὶ τοῦτο θαυμάσιον, εἰς φαντασιώσεις ἀναγόμενον νοεράς, ὁποῖαι καὶ πολλαὶ καὶ βαθεῖαι τοῖς πάλαι μακαρίοις ἀνδράσιν ἐνέλαμψαν.

30. Τούτων ἁπάντων, ἃ δὴ καὶ φύσει ταῖς ἀφηγήσεσι παρυφαίνεται, εἰ ἐπιποθοίη τις τῶν ἀκροωμένων καὶ ὑποδείγματι τὰ παλαιὰ ἐν ἡμῖν, ἐγὼ μὲν οὐκ ἂν τάχα ὀκνοίην· αἱ δὲ μακραὶ βίβλοι, ὅσαι περὶ τὰ τοιαῦτα τοῖς σοφοῖς ἐκπεφώνηνται, οὐκ ἂν φιλοῖεν τὸ ἔργον. Οὐ γὰρ χρὴ τὸ καλῶς ἐκπεπονημένον ἀναπολεῖν. Τῶν δέ γε προςφάτων εἰ καὶ τὸ τῆς ψυχῆς βιβλίον ἡμῖν πέπληθε, καὶ τοῖς διηγήμασιν ἐστενοχώρηται, ἀλλὰ τὸ μῆκος ὑποστελλόμεθα, ᾠδὴν καινοτάτην εἰς τέρψιν ἀκοαῖς πραγματευόμενοι. Τί γὰρ τοῖς ἑτέρων ἀκολουθητέον ἴχνεσιν, ἔνθα ἡ τοῦ λόγου τριβὴ οὐκ ἐστενοχώρηται ὡς εἰς ἀτραπιτὸν τρίβον, ἀλλ' ὡς εἰς πέλαγος πεδιάδων εὐρύνεται;

31. Χθὲς γοῦν παρ' ἡμῖν καὶ προτρίτης, ἵνα τῆς εὐρυστέρνου κοιλίας τοῦ ἐν ἡμῖν συγγραφικοῦ ῥεύματος βραχεῖαν τινὰ παραῤῥυῆναι ἀφήσομεν λιβάδα πρὸς

ἔνδειξιν, ἀνὴρ στρατιωτικός, τοῦ φυσικοῦ ὀρθίου πάλαι κατακλασθείς, καὶ τοῦ ἰσωφορεῖσθαι παραλυθείς, ὡς καὶ συγκεκυφέναι, καὶ ἐπὶ τεσσάρων βαίνειν ἐφ' ἱκανὸν κατὰ τὰ βοσκόμενα, ἀφῆκε μὲν περὶ γῆν ἰλυσπᾶσθαι, ὤφθεὶς δὲ εἰς ὑγίειαν, ὅτε πάντως θελητὸν ἦν τῷ μάρτυρι; οὗπερ ἐνδελεχῶς ὁ ἀσθενὴς προκυλινδούμενος ἦν, καὶ τέλεον ἀρτιωθεὶς ἀπέπτη. παροράσεως ἁλισκόμενος, καὶ μέμψιν ἔχων, ὅτι μακρὸν χρόνον ἡπὶν εἰς ὄψιν ἥκων, καὶ ὑποκινῶν ἔλεον, εἶτα δὴ μετὰ τὴν ἀνάῤῥωσιν οὐδὲν οἷς ἔδει ὁμιλήσας, ἀπέδραμεν, οἷα τοῦ τῆς ὑγείας πτεροῦ καὶ τοῦ πόθου τῆς πατρίδος ἀφαρπασάντων τὸν ἄνθρωπον, ἐν δευτέρῳ τὰ πάντα θέμενον.

32. *Τοιοῦτον γάρ ἡ, καθά τις εἶπεν, ἐκτὸς καὶ παρ' ἐλπίδας χαρά, ἥ τις αἴφνης ἐπιπνεύσασα μεταρσιοῖ τὸν χαίροντα· καὶ πάντων μὲν ἐκλανθάνει τῶν πέριξ, εἰς ἓν δὲ καὶ μόνον ἀπευθύνει, τὸ πρὸ ὀφθαλμῶν, καὶ οὗπερ ἔτυχεν ἀγαθοῦ. Ὅτι δὲ καὶ τὸ ἀντιστοιχοῦν τῷ τοιούτῳ καλῷ, ἡ αὐτόματος λύπη οὐδ' αὐτὴ ἀπασχολεῖ τὸ λυπούμενον εἰς πολλά, εἰς ἓν δὲ ἐκεῖνο μεθέλκει τὸ ὕλαῖον κακὸν τῆς παρὰ πόδα θλίψεως, νοεῖν ἐξ ἀναλόγου ἔστιν.*

33. *Ἀλλὰ τοῦτο μὲν οὕτω παρεμπεσὸν εἰρήσθω μοι. Ἐγὼ δὲ καὶ ἐκεῖνο τοῦ μάρτυρος ἐν λόγῳ πάνυ πολλῷ τίθεμαι, ὅπως ἡ τοῦ θείου πνεύματος ἔλλαμψις αὐτῷ ἐναυγάσασα, καὶ τὸ ἐκ φύ || σεως* (Ms. fol. 145. b.) *ἐπιπροσθοῦν σκεδάσασα, προγνώσεως ἐνήστραψε φῶς. Ἁγνεία γάρ, καὶ ὅσοις ἄλλοις ἀγαθοῖς αἱ ἱστορίαι παραδεδώκασι, καθηρμένος τὴν ψυχήν, καὶ εἰς πρόφασιν διέβλεψε, καὶ ταύτην προφήτου, ὅς, παραξέσαι τὸ τῆς γραφῆς, μυρίαν ἐν τῇ οἰκείᾳ πατρίδι τιμὴν εὕρατο, καὶ οὔτε ἐν αὐτῇ ἄτιμός ἐστι, καὶ πανταχοῦ δὲ γῆς ὑπέρτιμος.*

34. *Καὶ πίναξ τοῦ λόγου τούτου ὁ λαμπρὸς Νέστωρ, ἐν ᾧ τοῦ ἡμετέρου διορατικοῦ μάρτυρος ὁ προαγορευτικὸς λόγος κεῖται, ὅσα καὶ στήλῃ τινὶ ἐγγλυφείς· ὃς καὶ τελεσφορηθείς, εἰς πέρας ἐκβέβηκε. Λυαῖός τε γάρ, ὡς προηγόρευται, ὑπ' αὐτῷ νικητῇ πεσὼν ἔπιπτε, καὶ αὐτὸς ὑπὲρ Χριστοῦ νικητὴς ἀθλητὴς ἔκειτο, ἔνθα καὶ καλὸς ὁ τῆς προφητείας τῷ Δημητρίῳ μισθός. Μερισμὸς γὰρ τῶν βραβείων καὶ κοινωνία ὥσπερ αἱμάτοιν χύσεως ὑπὲρ θεοῦ, οὕτω καὶ στεφάνων ἀθλητικῶν καὶ τῆς ἄνω μακαριότητος. Ἢ μὲν γὰρ τῷ γενναίῳ Νέστορι ἐπικρύψαι τὸν εἰς μαρτυρίαν ἀλείπτην τε καὶ διδάσκαλον. Ἀλλ' οὔτε τῷ διδάξαντι θελητὸν εἶναι τοῦτο ἐμεμαθήκει, καὶ ἄλλως δὲ φθόνος ἔδοξεν ἂν ὑποσμίχεσθαι, εἰ τὴν ἐς οὐρανὸν αὐτὸς ἀνατρέχων, μὴ προσλάβοιτο συνοδοιπόρον καὶ τὸν ἀλείψαντα. Ἀμέλει οὐδὲ μακρὸς ἐμεσολάβει χρόνος. Ἀλλ' ὁ μὲν μαθητὴς ἄνω προῆλθε, τὸ γήϊνον βρῖθος κάτω ἀφείς· ἐπηκολούθει δέ, θέων οἷον κατ' ἴχνη, καὶ ὁ διδάσκαλος, ἐξαίρετον ἔχων τὸ μυρίοις καταπεποικίλθαι αὐτὸς τραύμασι, καὶ ὥσπερ χύσει λόγου καὶ σοφίας, οὕτω προέχων καὶ ταῖς ἀπείροις τρώσεσι καὶ ταῖς εἰς πυκνὸν τοῦ σώματος τρήσεσιν. Οἱ γὰρ τυραννικοὶ ἄνδρες ἐκεῖνοι, καὶ σαρκῶν αὐτῶν οἶμαι τοῦ μάρτυρος ἐφιέμενοι κορέσασθαι, ὀδόντας μὲν ἐμπεῖραι εἰς ἀνθρωποφαγίαν ὤκνησαν· ἄλλως δὲ λόγχαις εἰς ὀξεῖαν ἐσφυρηλατημέναις στόμωσιν, τὸν ὄκνον ἐκεῖνον ἐξεθεράπευσαν. Καὶ τὸ σῶμα τοῦ μάρτυρος οὕτω δακνόμενον, τῆς ὁλομελοῦς παρελύετο πλάσεως, καὶ οἷά τις δουροδόκη ταῖς μυρίαις λόγχαις ἐξέκειτο. Πᾶς τις ἐφιλοτιμεῖτο βάπτειν τὴν λόγχην εἰς αὐτόν, γλυκεῖαν ταύτην ἄγραν τῷ τυράννῳ θηρώμενος. Οὐ μόνον ἐξηρεύνησαν πάντα τὰ κατὰ πλευρὰν ὀστᾶ τοῦ μάρτυρος, ἀλλὰ καὶ συνέτριψαν. Ὤρυξαν αἵματος φλέβας· καὶ οὐχ ὑπενόμευσαν, ὡς εἰς φρέαρ, ἀλλ' ὡς εἰς ποταμὸν ἀνεστόμωσαν. Τῷ δὲ τρόπον ἕτερον θησαυρὸν ὤρυξαν, ὃν αὐτοὶ μὲν παροιμιωδῶς ἄνθρακας εὗρον, οἱ δὲ πιστοὶ πλοῦτον σωτήριον, ἀλλὰ τοῦτο μὲν παρηκολουθήκαν· ἐκεῖνοι δὲ ἀλλὰ κακοποιοῦντες ἐξώρυττον. Τί δὲ αὐτῷ τὰ ἐκεῖθεν ἀλγήματα πρὸς τὰ ὕστερον θαύματα; Ἔγεμεν ἡ μὲν σὰρξ τραυμάτων, τὸ στόμα δὲ ᾀσμάτων τῶν εἰς θεόν. Κατέῤῥεον αἵματα· ὁ δὲ ὡς εἰς βάμμα πορφύρας ταύτας βασιλικῆς ἐλογίζετο, χεομένου τοῦ τῆς βαφῆς ἄνθους ὡς ἀπὸ κογχύλης τινὸς τοῦ μαρτυρικοῦ σώματος, καὶ ηὔχετο παραμεῖναι τὸ κάλλος τῆς ἁλουργίδος ταύτης, καὶ μηδέποτε διεκπεσεῖν τοῦ καλοῦ. Καὶ ἡ εὐχὴ ἀνέβαινε, καὶ ὁ θεὸς κατένευε, καὶ ἐπε || ψηφίσθη τὸ καλόν.* (Ms. fol. 146. a.) *Καὶ ἰδοὺ παραμένει μόνιμον. Ἐνεκολύμβα τοῖς μαρτυρικοῖς ἱδρῶσι καὶ αἵμασιν, οἷς λουσάμενος ἀναπεσὼν ὕπνωσεν ὕπνον μακάριον, οὗπερ ἡ ἐξέγερσις εἰς ἀπολαυστικὴν ἀειζωΐαν ἐστὶν ἐγρήγορσις. Καὶ ὅσον αὐτὰ ἐξέῤῥεε, τοσοῦτον αὐτὸς ἐξέχεε τὴν δέησιν εἰς θεόν, καὶ μὴ περιϊδεῖν ταῦτα. Δυσωπίαν προσέφερε· καὶ εἰς ἀκοὴν ὠτίου ὑπακουσθεὶς ἔχει τὸ αἰτηθέν, ὅτι μηδὲ ἔστι διεκπεσεῖν ἄπρακτον δικαίου εὐχήν. Οἱ τυραννοῦντες ἀπανιστᾶν τοῦ σκήνους τάχιον τὴν τοῦ μάρτυρος ψυχὴν ἐβιάζοντο· ὁ δὲ παραμένειν αὐτὴν ηὔχετο, καὶ μὴ ἀπολυθῆναι, ὡς ἂν θυμομαχοῦντες οἱ τοῦ θεοῦ ἐχθροὶ ἑαυτοὺς βλάπτοιεν.*

35. *Εἶτα δὴ ὁ κακομήχανος δαίμων οὐκ ἂν καὶ ἐντεῦθεν ἐλέγχοιτο, μηδὲν εἰδώς, εἰ τῷ οὕτω γενναίῳ καὶ ἀδειμάντῳ καὶ καρτερόφρονι δείματά τινα ἐσοφίζετο, τοῦ ἀθλεῖν ἀπείρξοντα, καὶ φόβου πρόβλημα*

τὸν σκορπίον προΐσχετο, ἐγκόψαι θέλων τοῦ κατὰ θεὸν δρόμου τὸν οὕτως ἐντρεχῆ καὶ κοῦφον δραμεῖν εἰς ἄθλησιν, καὶ τὰς τοῦ ἐχθροῦ παγίδας δορκάδος δίκην ὑπεραλλόμενον. Τί τοῦτο νοεῖς, ὦ σοφιστὰ τῆς κακίας; Τί τῷ ἐπὶ μεγίστοις ἀνδριζομένῳ φαῦλα τεχνάζῃ φόβητρα; Τί πυρκαϊὰν θάρσους σταγόνι φόβου ψύχοντος κατασβέσαι φιλονεικεῖς; Οὐχ οὕτω ψυχρὸν ὑγρὸν σκορπίος κεντρίζων ἐναφίησιν, ὡς καὶ μαράναι ἂν τῷ θερμοτάτῳ τὴν πίστιν, τοὺς τῆς κατὰ θεὸν ζέσεως ἄνθρακας. Λόγχαι μάλα πολλαὶ τὰς ἀγκωνὰς τῷ μάρτυρι ἐνερείσασαι, οὐκ ἂν αὐτὸν τοῦ εὐθαρσῶς ἔχειν παραλύσωσι· καὶ σκορπίου κέντρον ὀφθὲν ἀγεννές τι φρονεῖν ἀναγκάσει τὸν γενναιόφρονα; Ἐμοὶ δοκεῖ, ὦ θεῖον καὶ σοφὸν ἀκροατήριον, μεγαλοφυέστερον, τῇ τῶν βασάνων ἐπινοίᾳ τὸν τυραννοῦντα ἐπιβαλεῖν, ἤπερ τὸν τῆς κακίας διδάσκαλον δαίμονα, ᾧπερ αὐτὸς ὑπεφήτευε. Ὁ μὲν γὰρ τυραννεῖν μεμαθηκὼς γενναιότερον εἰς ἀπαλλαγὴν ζωῆς τῷ μάρτυρι τὰς λόγχας ἀντέστησεν· ὁ δὲ σκορπίου κέντρον ἐπεξαγαγὼν αὐτῷ εἴη ἂν οὔτε βλαπτικὸς πάνυ, καὶ οὐδὲ κατὰ τέχνην ἀντίπαλος, μάτην αὐτὸς καὶ νῦν βουλευσάμενος, εἴτε πρὸς φόβον τὸ τοιοῦτον ἐμηχανᾶτο κακόν, εἴτε πρὸς θάνατον. Οὔτε γὰρ ἐξεφόβησε τὸν ἀθλητὴν ὁ σκορπίος, τὸ τοῦ διαβόλου εἴτε κέντρον, εἴτε βέλος, ἀλλὰ καὶ νεκρὸς ἔκειτο. Ἔνθα καὶ γελᾶν τοῖς θερμοτέροις ἔπεισιν, ἐφ' οἷς ὁ πανοῦργος καὶ τὴν κακίαν σοφώτατος ἐνηπίαζε. Πάντως γὰρ ἀγνοῶν ἐτεχνάζετο, καὶ τὸ ἀγνοεῖν ἐπ' ἀμφότερα, εἴτε κακόν τι διάθηται ὁ σκορπίος τὸν ἅγιον, καὶ εἰ φόβον ὁ μάρτυς πάθοι τινὰ πρὸς τὸ τέχνασμα. Καὶ αὐτὸς μὲν δύναμιν ἂν ἑαυτοῦ μεγάλην τὸν σκορπίον ὠνόμασε, τὸ θεῖον ῥητὸν ἱεροσυλῶν, τάχα που καὶ εἰς μέγεθος πολὺ ὀγκούμενον· ὁποῖον καὶ οἱ παλαιοὶ λογογραφοῦσι τὸν τοῦ Ὠρίωνος, ἢ καὶ ἄλλον τινά, ὃν καὶ εἰς οὐρανὸν οἱ πάντα τολμῶντες ἀνήγαγον· ὅθεν καὶ πλήξας ἑαυτοῦ τὸν θῆρα, τὸ κέντρον τε ἠγρίανε, καὶ δραστηριώτερον τὸν ἰὸν ἐνειργάσατο, καὶ εἰς κίνησιν διεθέρμανεν ἔντονον, θαλπόμενος ἐλπίσιν, ὡς ἄρα ἢ ἐκ || (Ms. fol. 116. b.) φοβήσει τὸν ἀθλητήν, καὶ ἀγεννές τι πείσει φρονῆσαι, ὃ πάντως οὐκ ἦν ἄξιον τοῦ πεποιθότος ἐπὶ θεόν· ἢ ἀλλὰ κεντρίσας, ἀγεννέστατα ῥίψει, καὶ ἀποστερήσει τῆς ἀθλήσεως, καὶ ἐλαττονήσει τοῦ Νέστορος· εἴπερ αὐτὸς μὲν Λυαῖον τὸν οὕτω μέγαν κατήνεγκε, Δημήτριος δὲ ζώου τούτου ἔργον γένηται. Περιέπεσε δὲ ἄρα τοῖς ἑαυτοῦ διαβουλίοις ὁ καὶ τὴν ἀρχὴν ἀφρονευσάμενος, καὶ μέχρι δὲ πέρατος τοιοῦτος ὢν τοῖς ὀρθὰ φρονοῦσι καὶ κατὰ θεόν. Οὐ γὰρ ἔσχε λογίσασθαι λέοντας ἐπαφιεμένους μὲν μυριαχοῦ τοῖς τοῦ θεοῦ ἁγίοις, ἀργοὺς δὲ εἰς τὸ βλάπτειν μένοντας· οὐδὲ ἄρκτους φρίκην ἐνδεδυμένας, χανδὸν μὲν ἐπιφυομένας, χαινούσας δὲ ὡς εἰς ἄνεμον· καὶ ἑτέροις δὲ θηρίοις ἐμβλέψαι, τοῖς μὲν ἀπρακτοῦσιν εἰς τὸ καὶ βλάβος ἐπάγειν τοῖς θεραπευταῖς τοῦ θεοῦ, τοῖς δὲ καὶ κειμένοις νεκροῖς· ἑτέροις δὲ καὶ εἰς δουλείαν ὑπαγομένοις ἀχθοφορικήν, ἢ καὶ ἄλλως ἀμβλυνομένοις τὴν τῆς θηριωδίας ἀκμήν, καὶ μαλθακιζομένοις εἰς τὸ χειρόηθες. Ἔπαθε καὶ Παῦλος ἐξ ἐχίδνης δαγμόν· ἀλλ' ἐκτιναξάμενος ταύτην, ἐπίκλησιν θείαν ἐπετίθει ἀλεξιφάρμακον, καὶ τὸ τραῦμα ἐθεραπεύετο. Οὐκοῦν καὶ τῷ Δημητρίῳ ἦν μὲν ἀμφοτέρωθεν οὐ φόβος κινδύνου· κεντρισθείς τε γὰρ εἶχε διεκπεσεῖν ἀβλαβής· εἶχε δὲ καὶ τὸν κεντρισμὸν πάντη διεκφυγεῖν. Εἵλετο δὴ τὸ θαυμασιώτερον. Πληγῆναι μὲν γὰρ αὐτὸν ἐνεποίει τι χάρμα τῷ τε δαίμονι καὶ τῷ δαιμονῶντι τυράννῳ· μὴ ἐαθῆναι δὲ ψαῦσαι — ἀλλ' ἦν τοῦτο τερατωδέστερον· τούτου δὲ πλέον τὸ καὶ νεκρωθῆναι τὸν τοῦ δαίμονος τρόφιμον. Ζῆν μὲν γὰρ τὸ θηρίον μὴ πελάσαν τῷ μάρτυρι οὐκ εἶχε θαῦμα πολύ· κεῖσθαι δὲ νεκρὸν τὸ γέμον δαίμονος — ἀλλὰ τοῦτο πλῆρες ἦν τέρατος, πολὺ δὲ πλέον καὶ ὁ τρόπος τοῦ θαύματος. Οὐ γάρ τινι τῶν σωματικῶν, ἀσωμάτῳ δὲ ὀργάνῳ, τῷ διὰ δακτύλων τύπῳ τοῦ σταυροῦ, ὅσα καὶ βέλος ἐκλεκτὸν ἐπαφιεμένῳ, τὸ τοῦ δαίμονος ἀργὸν ἀφῆκε κεῖσθαι ὄργανον· καὶ μικρὸν τοῦτον ῥίψας ὑποδρηστῆρα τοῦ δεινοῦ παλαιστοῦ, καὶ τὸν μέγαν ἐκεῖνον ἀλείπτην ἐγ ταὐτῷ κατεπάλαισε. Καὶ ὁ μὲν ἐμηχανᾶτο, ἐν χαμερπεῖ ζώῳ καταῤῥίψαι τὸν οὕτως οὐράνιον· ὁ δὲ κατεγέλα τῆς μηχανῆς, εἰ ὁ τοσοῦτος εἶναι δοκῶν οὕτω μικροφυεῖ ζώῳ ἐμφαντάζεται, καὶ τὸ ἐξ ὕψους καταπεσεῖν ἐν τῷ ἕρποντι διαδείκνυσι, καὶ τὸ μικροφυὲς δὲ οὕτω παρεμφαίνει τῆς δυνάμεως, καὶ τὸ μὴ ἔχειν βλάπτειν τοὺς τοῦ θεοῦ εἰς ἐμφανὲς καὶ ὅ φασι κατὰ στόμα, ἀλλὰ τοῖς ὄπισθεν ἀνδριζόμενον. Ὡς γὰρ ἄν τις οὐκ ἔξω τοῦ προσφυοῦς καὶ τοῦτο κατασκέψηται, καὶ ὡς ὁμοιότητά τινα σῶζον πρὸς αὐτὸν ὁ μέγας θὴρ τὸ συγγενὲς τοῦτο θηρίον ᾠκειώσατο. Σκορπίος τε γὰρ ἐκ τῶν κατ' ὄψιν καὶ κατὰ στόμα βλάβος οὐδὲν προΐσχεται, ἀλλ' ἄκρῳ τῷ οὐραίῳ ἐγκαθήμενον φέρει τὸ θανάσιμον. Καὶ ὁ δαίμων τὰ μὲν προάγοντα τῶν αὐτοῦ βουλευμάτων καὶ ὡς εἰπεῖν πρὸ ὀφθαλμῶν καὶ πρόσθια προβέβληται, κακὸν οὐδέν τι προφαίνοντα, χρίων αὐτὰ τῷ φαρμάκῳ τῆς ἡδονῆς, ὑφ' ἧς κολακευόμεθα οἱ πολλοί· τὰ δὲ κατόπιν καὶ ἔσχατα ὀλέθρια φέρει, καὶ εἰς πέτανρον Ἅιδου κατάγοντα, ὑπαγόμενος μὲν ἐν καταρχῇ τὸν ἁπλούστερον, καὶ ἐπικρύπτων τὸν φόβον, τῷ δὲ τελευτῶντι καὶ καταστρατηγῶν εἰς φόνον, οὐ ταῖς προμάχοις ῥαδιουργίαις, ἀλλ', ὡς ἄν τις εἴπῃ, || (Ms. fol. 117. a.) τῷ οὐραγήματι.

36. Καὶ τοῦτο μὲν οὕτω πεπορίσθω ἡμῖν. Τοῦ δὲ τῆς πλάνης δολίου εὑρετοῦ κἀκεῖνο σοφιστικόν, ἐπικρύπτειν μὲν τὸ δοκεῖν φαντασιοκοπεῖν, ἐθέλειν δὲ πιθανῶς ἔχειν τὴν σκηνὴν τῆς ἐπιβουλῆς, καὶ παραυγάζειν τὸ ἀληθές. Φαντάσαι μὲν γὰρ τὸν φόβον, εἰ καὶ μέγας ἐκεῖνος, οὐ πάνυ τι ἔχει ἔκπληξιν παρά γε τῷ φρονοῦντι στερεά. Κρίνει γὰρ ἡ ψυχή, μὴ συμβαίνειν τὴν ἀλήθειαν τῷ φαντάσματι. Τὸ δὲ πρὸς ἀλήθειαν φοβερόν, εἰ καὶ εἰς μικρόν τι ἐξαίρεται, ἀλλὰ μεῖζον τὸ δεῖμα προβάλλεται, οἷς τὸ εἶναι μὴ πάντη ψεύδεται. Διὸ δράκοντα μὲν οὐ παρέφηνεν ὁ τῶν φαντασιῶν τεχνίτης, ὁποῖα καὶ τοιαῦτα πολλὰ ἐν ἄλλοις ἐχορήγησεν. Οὐ γὰρ ἂν ἔδοξε τὸ κακὸν ἔντοπον, ἀλλ' αὐτόθεν φαντασιῶδες ἠλέγχετο τὸ τῆς ὄψεως. Οὐδὲ μὴν λέοντα, ἤ τι τοιοῦτον, ἐπαφῆκεν εἰς πόλεμον (ποῦ γὰρ ἐκεῖ λόχμη, τὰ τοιάδε καὶ κρύπτουσα καὶ ἐκφαίνουσα;), σκορπίον δέ, κακὸν αὐθιγενές, καὶ τοιούτοις ὡς τὰ πολλὰ τόποις ἐγκαταδραθάνον καὶ ἐκτρεφόμενον, ὅθεν οὐδὲ φαντάζειν δοκεῖν ἐνόμισεν, ἀλλ' ἐξεπεξάγειν τὸ κακὸν πρὸς ἀλήθειαν. Εἰ δὲ φύσει τὸ ζῶον οὐ μεγαλοφυές, οὐδὲ οἷον ἔχειν ἐκφοβεῖν τὸν ἐν καθεστῶτι μένοντα, ἀλλ' ἔστιν ἡμῖν φαντάσασθαι παρὰ φύσιν ἐκεῖνον διεστηκότα εἰς ὄγκωμα, οἷα καὶ ἀκαθάρτῳ φυσώμενον πνεύματι, καὶ χεῖρας μὲν ὥσπερ μακρὰς προβεβλημένον τὰς χηλάς, ὅ δή τις καὶ ἐπὶ ἑτέρας ὁμοιότητος ζώου εἰπεῖν ἐσοφίσατο, τοῖς δὲ ἑκατέρωθεν ποσὶν ἐξηρμένον πέρα τοῦ μετρίου, καὶ πυκνὰ βαίνοντα, καὶ ἐναγώνιον θέοντα, ἠρκότα δὲ καὶ τὸ κέντρον ὑπὲρ ὃ φύσις οἶδε, καὶ ὡς οἷα τινὰ αἰγανέαν πρὸς ἐκφόβησιν ἀνασείοντα. Καὶ ἦν ἐκεῖνο ταμεῖον φαρμάκου, ὅσον τε ὁ θὴρ ἐθησαύριζεν εἰς ὀλέθρου ὄλβον ἐκ φύσεως, καὶ ὅσον ὁ δαίμων ἐπωχέτευε, κακὸν κακῷ προσεπιτιθείς. Τάχα δὲ καὶ τῷ χρώματι φοβερόν τι ἐπέφριττε καὶ ἡ τοῦ τεφροῦ καὶ μέλανος χρόα, δι' ὧν τὰ τοιαῦτα ζῶα χρώζεται· καὶ εἰς ἑτέρας φαντασιωδῶς ἐξηλλάττετο. ἵνα καὶ ὡς εἰς χαμαιλεόντειον ἀγεννὲς ῥίπτοιτο, οἷς ἐδόκει μέγα τι ποιεῖν. Ἦσαν ταῦτα, ἕως ἡ ἀθλητικὴ χεὶρ ἐπαφῆκε τὸ τιμιώτατον βέλος καὶ τὸ λοιπὸν οὐκέτ' ἦσαν. Ἀλλ' ὁ μὲν φυσῶν ἔφευγε, τὸ δὲ ἐμπνεόμενον ἄπνουν ἔκειτο. Καὶ ὁ μὲν κοινὸς πολέμιος παρὰ πόδας ὥσπερ ὅπλον τὸ θηρίον εὑρών, καθοπλίσας οὕτω μανιωδῶς, τὸν ἑαυτοῦ ὅ φασι θυμὸν ἀγορήγητον ἐπαφῆκε τῷ ἀντιμάχῳ μάρτυρι. Ὁ δ' αὖθις ἑτέρωθεν ὀργάνῳ προχείρῳ χρησάμενος, τῷ σταυρικῷ τυπώματι, τό τε θηρίον ἀφῆκεν ἐῤῥίφθαι νεκρὸν καὶ τὸν εἰς ἐκφόβησιν αὐτὸ ἐνδυσάμενον, ὃς μορμολυκείου δίκην κατὰ τοῦ ἀτρέστου φόβητρον τοῦτο ἐμηχανήσατο περιθέμενος, ὡς εἰ καὶ λυκένη ἢ καὶ ἀλωπεκῆν ὑπελθών τις ἐκφοβεῖν ἐθέλει τὸν ἀκατάπληκτον.

37. Ἀλλ' ὁ μὲν σκορπίος ἤδη κείσθω, καὶ παρ' ἡμῖν οὕτω κατεργασθείς. Ἡμεῖς δὲ τῶν ἐπαίνων αὖθις ἐπὶ βραχὺ τῆς μαρτυρικῆς εὐψυχίας γενώμεθα. Λίθος τις οἷον προβλὴς ταῖς τῶν δοράτων ἐμβολαῖς ἀτίνακτος ὁ στερέμνιος μάρτυς ἐξέκειτο, καὶ τῆς πρὸς θεὸν ἀπαρασάλευτος πίστεως, κλυζόμενος οὐ κύμασιν, ἀλλ' αἵμασι. Καὶ αὐτὰ || μὲν πυκνὰ προσβάλλοντα ἀπημβλύνοντο. Mc. fol. 147. b. Ὁ δὲ ἀκμαῖος ἦν, καὶ οὐκ εἰδὼς ἀμβλύτητα, ἐφ' οἷς ἑαυτὸν τομώτατον ὀξύνας κατὰ τῆς πλάνης ἐστόμωσεν. Ἐμέτρει ὁ ἐχθρὸς ταῖς εἰς τὸν μάρτυρα πληγαῖς τὰς εἰς ἑαυτόν, καὶ ἦν ὅλος οὕτω τραυματίας. Καὶ οἷς ἔδρα, πάσχων οὐκ ἔφερε. Τοξεύειν ταὐτὸν κατὰ οὐρανοῦ, καὶ ἀκοντίζειν κατὰ τοῦ μαρτυρικοῦ σώματος, ὡς ὑπενδοῦναί τι παθεῖν πρὸς ἀσέβειαν. Ὁ αἵμασι χαίρων θήρ, ὁ παμφάγος, οὐκ εἶχε καὶ τοῖς μαρτυρικοῖς ἐπευφραίνεσθαι. Ἐκεῖνα μὲν γὰρ εὐφροσύνην αὐτῷ δαιτρεύειν εἶχον τινά, τούτοις δὲ ἀλλ' ἐναποπέπνικται. Καὶ φλέβα μέν τις τμηθεὶς καταφορικώτερον, ἢ καὶ ἄλλως οὐ γενναῖον τραῦμα παθών, καὶ ἰδὼν αὐλὸν αἵματος ἐκπιδύοντα, εἰς ὠχρὸν μεταβάπτεται, καὶ δειλίαν πάσχει, τὸ φυσικὸν ἀπολέσας ἔρευθος. Ὁ δὲ ὅλον ἐκκενούμενος τὸ ζωτικόν, οὐ μόνον οὐδὲν ἔπασχεν ἀγεννές, ἀλλὰ καὶ ὡς εἰς κάλλος ἐρευθόμενος πρὸς ἀνδρίαν ἐβάπτετο.

38. Ἐδόκει καὶ ὡς ὄρος εἶναι Σιών, καὶ ὡς πῖον ὄρος θεοῦ, ὑπερηρμένον μὲν τῶν κάτω τῷ ἀνατεταμένῳ καὶ ὀρθίῳ καὶ ὑψηλῷ τοῦ φρονήματος, φυτοῖς δὲ ὥσπερ κομῶν παντοδαποῖς ἀγαθοῖς, ὧν ὁ καρπὸς ἀποδίδοται ἐν καιρῷ, ἤδη δὲ καὶ ταῖς ἐμφυτείσαις λόγχαις, ὕδατα δὲ ζῶντα ἐξαναβλύζων τὰ τῶν αἱμάτων ῥεύματα, οἷς καὶ τὰ μύρα εἰς τὸ ἐπιὸν συνεπέῤῥευσαν. Ἐθεώρει ἑαυτὸν καὶ εἰς ἄρτον, εἰς ὃν ξύλα μὲν οἱ μισόθεοι ἐνέβαλον, οἷς αἱ λόγχαι συγκεκρότηντο· οὐκ ἔκρυψαν δέ, ὡς καὶ τῆς τοῦ θεοῦ τραπέζης ἀπαγαγεῖν. Ἔῤῥεέ ποτε ποταμοὺς διδασκαλιῶν, καὶ παρέσυρε τοὺς τῶν αἱρέσεων· ἔῤῥευσε καὶ ποταμοὺς ἐκείνους αἱμάτων, καὶ τοὺς δαιμονοφορήτους κατέκλυσεν. Οὐχ οὕτω πέτρα πολύστομος ἐξερεύγεται ὕδωρ θαλαμευόμενον, οὐδ' οὕτως ὑδροῤῥόας ἐκ μηχανῆς πολύτρητος ἐξακοντίζει τὸ ἀναθλιβόμενον, ὡς αἷμα δαψιλὲς καὶ πολύκρουνον τῶν μαρτυρικῶν λαγόνων ἐξαπέῤῥεε, συχναῖς οὕτω λόγχαις πρὸς βίαν ἀναστομούμενον.

39. Ἐλύπει τὸν τύραννον τὸ τοῦ Λυαίου αἷμα χεθὲν καὶ ἐξεδίκει μὲν δὶς ἐπὶ τὸ αὐτό, καί που καὶ ἀγαπητὸν ἔλεγε καὶ αὐτός, δύο ἑνὸς ἀντιπεφάσθαι. Τὸ δὲ ἄλλως ἐξέπιπτε. Δύο γὰρ τούτων κειμένων,

Δημητρίου καὶ Νέστορος, λεγεὼν τε δαιμόνων καταβέβλητο, καὶ ὁ τύραννος καιρίαν βέβλητο, ταῦτα δὲ καὶ οἱ περὶ αὐτοὺς ἔπασχον. Πλέον ἂν βδέλλαι τινὰ λυπήσαιεν, ἐκμυζῶσαι τὸ ζωτικόν, ἤπερ αὗται λόγχαι τὸν ἀθλητήν, τοῦ μαρτυρικοῦ καταναιδευόμεναι αἵματος. Ἀντεμέτρει γὰρ ταῖς ὀδύναις τὴν ἐν σταθεραῖς ἐλπίσιν ἀπόλαυσιν. Ὁ κατὰ πνευμάτων ἀσάρκων ἀνδρισάμενος, καὶ ὡς εἰς αὐλίαν ἐκπονησάμενος ἑαυτόν, οὐκ εἶχε σαρκὸς καὶ αἵματος φείδεσθαι. Ἤθελεν ὁ μάρτυς καὶ τὸ πᾶν σῶμα πυκασθῆναι λόγχαις τοιαύταις, ὡς ἂν διόλου φέροι τὰ τοῦ Χριστοῦ στίγματα· ὅτι δὲ οὐκ ἐγίνετο, ἔχαιρε τῷ δεσποτικῷ μιμήματι τοῖς κατὰ πλευρὰς νύγμασι, καὶ ἀγαπητὸν ἔλεγεν, εἰ ὁ μαθητὴς κατὰ τὸν διδάσκαλον, καὶ ὁ οἰκέτης κατὰ τὸν δεσπότην γένηται. Χάριν ὡμολόγει τῷ καταμεμηνυκότι Νέστορι, καὶ τὸν τυραννικὸν εἰς πλέον θυμὸν ὑπανάψαντι, καὶ ταχύναντι τὴν εἰς θεὸν ἀνάλυσιν. Καὶ δίδακτρα ταῦτα πρὸς ἐκείνου λαβεῖν ἀνθωμολογεῖτο πολλοῦ ἄξια. Ἐμέτρει ταῖς λόγχαις τὰς χάριτας· ἠρίθμει τὰς τῆς μαθήσεως ἀμοι || βὰς ταῖς πληγαῖς. (Ms. fol. 148 a.) *Εἰ δὲ καὶ θάνοι, καρτερώτατα ἐπιμείνας, ἀλλὰ τοῦτ' ἦν αὐτῷ τῶν ἀγαθῶν τὸ κεφάλαιον. Ηὔξατο πάντως, καὶ τὸν δοῦλον Λοῦπον μὴ καταισχῦναι τὰ ἐν βίῳ δουλεύματα, ἀλλὰ σωστικὰ ψυχῆς ἀναλαβέσθαι βουλεύματα. Καὶ συνεπεράνθη καὶ ἐνταῦθα τὰ τῆς εὐχῆς, καὶ ἠκολούθηκεν, ὥσπερ αὐτὸς τῷ μύστῃ Νέστορι, οὕτω καὶ ἐκεῖνος τῷ δεσπόζοντι· ὡς ἂν μηδὲ θανόντες, μᾶλλον μὲν οὖν εἰς καινοτέραν μεταταξάμενοι ζωὴν καὶ ἀπέραντον, ἀλλήλων λείποιντο, ἀλλ' ἐν παραδείσου συσκηνωσάμενοι τόπῳ τὴν καλὴν σχέσιν μὴ καταισχύναιεν, τὴν τῆς μαθητείας ὁ διδασκόμενος, τὴν τῆς δουλείας ὁ δεσποζόμενος· καὶ μάθοιεν καὶ ἐντεῦθεν οἱ τὸν νοῦν πρὸς τοῖς θείοις ἔχοντες, ὅτι σπουδαῖος ἀνὴρ οὐκ ἂν τοὺς ἀνομοίους προσεταιρίζοιτο, ἢ ἄλλως ἄγοι ἂν πρὸς οἰκείωσιν. Δημητρίῳ γοῦν θεοφιλεῖς ἦσαν καὶ ὁ ἑταῖρος Νέστωρ καὶ ὁ δοῦλος Λοῦπος, διὸ καὶ ταὐτὸν πέρας αὐτοῖς ἐξέβη τοῦ κατὰ θεὸν δρόμου, τὸ στάδιον νικητικῶς ἐξανύσασιν, οὗ κατάντημα ἡ ἐν παραδείσῳ συμβίωσις.*

40. *Εἰ δὲ πλεονεκτεῖ τόν τε μαθητὴν τόν τε οἰκέτην τοῖς τεραστίοις ὁ ἀθλητής, φθόνος ἐν ζωῇ τῶν ὅλων ἀγαθῶν, οὕτω καὶ τῶν μετὰ μαρτυρίαν θαυμάτων ἔχοντος. Σὰρξ τημελουμένη καὶ αἷμα πληθυνόμενον ταῖς ἔξωθεν διατροφῶν ἐπιῤῥοαῖς οὐκ ἂν κληρονομήσωσι βασιλείαν θεοῦ. Σὰρξ δὲ αὕτη μαρτυρικὴ σπαραχθεῖσα διὰ θεόν, καὶ αἷμα τοῦτο ὡσεὶ ὕδωρ αὐτοῖς ὀστοῖς διεκχυθέν, ψαλμικῶς εἰπεῖν, αὐτά τε τῆς μακαριστῆς κληρονομίας ἔτυχον, καὶ ἡμῖν, πεποιθότως λέγω, τοῖς ὅσοι τὰ τοῦ μάρτυρος ἀμφιπονούμεθα, τὸ ὅμοιον καταπράττονται ἀγαθόν. Πῶς δὲ οὐκ ἔμελλεν ἡ μαρτυρικὴ σὰρξ οἷά τις γῆ πίων καὶ ἐκλεκτή, τὴν μὲν τοῦ ἀγαθοῦ σπέρματος ἤδη καταβολὴν δεδεγμένη, ἀρότρου ἀνασχίσαντος τοῦ τῶν ἀποστολικῶν διδασκαλιῶν, ἀρδευθεῖσα δὲ πλησμίῳ τῷ ἐξ αὐτῆς ἱδρῶτι καὶ αἵματι, καὶ ἀμφοῖν ὑπὲρ θεοῦ, τῇ δὲ τῶν συχνῶν δοράτων ἐμπήξει σχηματισθεῖσα ὡς εἰς δασὺ καὶ φρίσσον ἁδραῖς ἀναδρομαῖς ἀσταχύων λήϊον, καρποφορεῖν ἡμῖν σωτήριον συγκομισμὸν τοῖς δρέπεσθαι θέλουσιν, ὅπου καὶ χλαμὺς τοῦ ἁγίου ἐκείνου καταπετασθεῖσα σώματος, καὶ τῆς ἐκεῖθεν μετασχοῦσα χάριτος, τοῖς προσευχομένοις ἁγίασμα γίνεται;*

41. *Καὶ δακτύλιος δέ, ὁ τὴν ἀθλητικὴν κοσμήσας χεῖρα, τῆς αὐτῆς ἠμοίρηκε χάριτος, ὃς ἔχει καὶ αὐτὸς εἰς θαῦμα τὸν ἀκροατὴν ἐφιστᾶν, πολλὰ παρασημαινόμενον ἐν αὐτῷ· ἓν μέν, ὅτι σύμβολον ἦν τοῦ χαίρειν τὸν ἀθλητήν, ἐφ' οἷς πάσχων συνεμαρτύρει τῷ καὶ μεγίστῳ καὶ πρωτίστῳ τῆς ἀληθείας μάρτυρι. Ἀμέλει οὐδὲ ἐν αὐτοῖς τοῖς ἄθλοις τὸν τῆς χειρὸς κόσμον ῥίψας ἀπέθετο, ἀλλὰ τῇ ἐκτὸς χαρμονῇ τὴν ἐντὸς προέφαινε. Καὶ ἐχρῆν οὕτως ἑαυτὸν διαθέσθαι τὸν ἐφ' οἷς οἱ πολλοὶ μεταπίπτουσιν αὐτὸν ἀκατάσειστον μένοντα. Εἰ γὰρ πολλοῖς τῶν ἀνέκαθεν, γενναιοψύχων μέν, ἔξω δὲ θυραυλούντων τῆς καθ' ἡμᾶς ἱερᾶς αὐλῆς, ἤρεσκε γενομένοις πρὸς αὐτοῖς τοῖς δεινοτάτοις, ὅτε ποτὲ καὶ συνέπεσον, μὴ ὅτι γε δάκρυον κατενεγκεῖν, ἢ παρειὰν ἀμύξαι, ἢ στόμα πρὸς γοερὸν λόγον ἀνοῖξαι, ἢ τὸ ἱλαρὸν ἀμεῖψαι τῆς ὄψεως, ἀλλὰ κοσμηθῆναι, καθάπερ ἐπὶ νυμφῶνος, καὶ καταστῆσαι τὴν ψυχὴν μὲν εἰς καρτερίαν, τὸ σῶμα δὲ εἰς εὐπρέπειαν, || καὶ οὕτω παραβληθῆναι τοῖς φοβεροῖς· τῷ παντὶ* (Ms. fol. 148 b.) *πλέον ἔδει χαίροντα καθυποδῦναι τὰ παρ' ἀνθρώποις δεινὰ ὑπὲρ θεοῦ τὸν εἰς τὸ τῆς τρυφῆς χωρίον ἀπαίρειν μέλλοντα. Ἓν μὲν δὴ τοῦτο τοῦ δακτυλίου σεμνόν, οὐ κατὰ τὸ παίγνιον τοῦ τὸν Γύγην κρύπτοντος ὡς ἐν σκιᾷ, καὶ ἐξαφανίζοντος, καὶ αὖθις ἐκφαίνοντος, ἀλλ' ὥσπερ ἂν δακτύλιος τοιοῦτος αὐτός τε ἐκλάμποι, καὶ μάλιστα οἷς θεόθεν τερατουργεῖν δεδυνάμωται, καὶ τὸν φοροῦντα δὲ προεκφαίνοι τῇ αὐτῇ χάριτι.*

42. *Συνανεφάνη δ' ἐντεῦθεν καὶ ἕτερον ὅμοιον σέμνωμα. Ψυχὴ γὰρ νυμφευομένη θεῷ, καὶ ἤδη ἁρμοττομένη αὐτῷ, καὶ τῆς ἐκεῖσε γινομένη παστάδος τῆς ἀκαταλύτου, ἣν ὁ καθαρώτατος μὲν τῶν ψυχῶν νυμφίος ἐπέταξεν, ἄγγελοι δὲ καταπετάσαντες κοσμιώτατα συνεκρότησαν, καλῶς ἂν εἰς σύμβολον ἀῤῥαβῶνος τοῦ κατὰ πνεῦμα τὸ τοιοῦτον φέροι ἂν περιτεθειμένον δακτύλιον. Εἰ δὲ τῷ περιφερεῖ καὶ περιηγμένῳ τοῦ*

σχήματος καὶ τύπος τις ἦν στεφάνου μαρτυρικοῦ, οὐκ ἂν εἴη οὐδὲ τοῦτο εἰς λόγου χάριν ἀξύμβολον, ὡς ἄξιον ὂν τῷ παντὶ ἐστεφανῶσθαι τὸν μάρτυρα, οὗ τύπος τὸ τοῦ δακτυλίου στεφανοειδές. Εἴποι δ' ἄν τις, ὅτι καὶ σημεῖον αὐτὸς ὑπέγραφε τῆς ἐν φρουρᾷ περιστολῆς τε τοῦ ἀθλοφόρου καὶ κατασφίγξεως. Τίμιον δὲ τοῦ τοιούτου δακτυλίου καὶ ἡ ὡς εἰκὸς ἐγγεγλυμμένη σφραγὶς καὶ τὸ ἄλλως ἀξιωματικὸν τοῦ φορήματος. Ὑπεδήλου γὰρ καὶ αὐτὰ τὸ μαρτυρικόν τε ἀξίωμα καὶ τὸ τῆς θείας ἐντεῦθεν χάριτος ἀνεπιβούλευτον ἐπισφράγισμα, ἧς οὐκ ἔστι κατακαυχήσασθαι τὸν συλαγωγοῦντα τοὺς τῶν ψυχῶν θησαυρούς. Ἐντεῦθεν ὥσπερ θεοῦ δακτύλῳ, οὕτω δὴ καὶ τῷ δακτυλίῳ τούτῳ φῦλα δαιμόνια ἐξελαύνονται, δακτύλῳ μέντοι θείῳ καὶ αὐτά, δυνάμει δηλονότι θείου πνεύματος.

43. Ὡς δὲ σκεῦος, οὗπερ ἐντὸς ἀγαθόν τι στέγεται, οὐκ ἂν εἴη μὴ μέτοχον εἶναι τῆς εἴτε εὐωδίας ἐκείνου, εἴτε καὶ ἄλλης ἡστινοσοῦν ἀρετῆς, οὕτως οὐδὲ περίβλημα θεῖον, ὅποι ποτὲ μέρους τεθείη σώματος, εἰς ὃ θεὸς ἐνῴκησεν, ἔχοι ἂν μὴ τῆς τοῦ στεγομένου μετέχειν χάριτος. Οὕτω τὰ ἱερὰ σιμικίνθια χάριτος θειοτέρας πέπλησται· οὕτως ἁγίων πέδιλα τοὺς ἔξω ὑγιείας πλανωμένους, καὶ τριβομένους περὶ τραχυτέραν βίου ὁδόν, εἰς τὸ κατὰ φύσιν λεῖον καὶ εὐθὺ ἐπανάγουσι· καὶ βακτηρίαι ἀνδρῶν ὡσιωμένων θεῷ οὕτω δυνάμεως ῥάβδοι γίνονται. Κεφαλὴν ὁσίαν ἐκάλυψε σκέπασμα· καὶ αὐτὴ μὲν ἀφῆκε τὰ κατ' ἀνθρώπους, τὸ δὲ παρ' αὐτοῖς μεῖναν τὴν τῆς θαυματουργίας ἀποῤῥοὴν στέγει καὶ συντηρεῖ. Ἀμπέχει σῶμα ὅσιον μηλωτή· καὶ ἐπειδὴ εἰς θεὸν ἐκεῖνος ἀνέλθοι, αὐτὴ νεανιεύεται, πλείω τοῦ ζῶντος ποιεῖν θαυμάσια, ὡσεί περ τὸ καλὸν οὐκέτι ἀπέμαθεν, ἐπεὶ ἔμαθεν. Ὁ τοιοῦτος λόγος καὶ τὸν τοῦ μάρτυρος δακτύλιον ἀπαγαγὼν τοῦ ἀθλητικοῦ σώματος, πλεονάζειν ποιεῖ ἐν τοῖς θαύμασιν· ἵνα, ὥσπερ δάκτυλος ὁ περικείμενος, οὕτω καὶ δακτύλιος ὁ περὶ αὐτὸν ὡς ἐν μεταδόσει ἐνεργοίη τεράστια. Καὶ τὴν χλαμύδα δὲ διὰ τοῦ αὐτοῦ ἄγει καλοῦ, θεοῦ πάντως καὶ τὰ τοιαῦτα

Ms. fol. 149. a. τερατουργεῖ || σθαι διδόντος, τοῦ ἐνδοξαζομένου τοῖς ἁγίοις αὐτοῦ, καὶ ποιοῦντος τέρατα, καὶ δυνάμεις πληθύνοντος. Ἢ πῶς ἄλλως χλαμὺς ἄψυχος τὸ ἐνεργὸν κατὰ παθῶν φέροιτο ἄν, ἢ καὶ ἑτέρως ἐργάζοιτο τέρατα, τά τε ἄλλα, καὶ ποταμὸν δὲ ὑβριστήν, οἷς ὁ χειμὼν αὐτὸν ἐξέμαινε, καὶ πελάγια δὲ πλατυνόμενα πολλῷ τῷ ῥεύματι σωφρονίζουσα, καὶ διχοτομοῦσα εἰς διάστασιν, ὡς ἂν ῥᾳδίαν εὕροι διάβασιν ὁ ταύτην εἰς φυλακτήριον ἐφόδιον φέρων, στεγανοῖς πεδίλοις τῆς ἀντιπέραν γινόμενος;

44. Ὁ δακτύλιος οὗτος, τιμίας δήπουθεν τυγχάνων ὕλης, δι' ἧς ὁ ἐν τύπῳ νόμος θεόν τε καὶ τὰ θεῖα συμβολογραφεῖ, ταύτῃ τε καὶ τῷ κυκλοτερῶς ἐσχηματίσθαι τὸν κύκλον καθυπέγραφε τῶν θειοτάτων ἀρετῶν, ὃς τὸν ἀθλητὴν ἐναπέλαβεν, οἷον στεφανωσάμενος, καὶ τὴν συνοχὴν δὲ παρεδήλου καὶ τὸν σφιγμόν, ὃν διὰ βίου ὑπέμενεν· οὐκ ἔξω λογισμοῦ πλανώμενος, οὐδὲ διακεχυμένος καὶ ῥεμβόμενος ἄνετα καὶ πλαδῶν, ἀλλὰ νοερῶς εἰς ἑαυτὸν στρεφόμενος καὶ ἐστυμμένος καὶ συνθλίβων ἑαυτὸν καὶ στενοχωρῶν τῷ ἐν θρύψει πλατύνεσθαι διὰ τὸν ἐκεῖ πλατυσμὸν τῆς τρυφῆς, ἧς οὐκ ἔστιν ἐντὸς γενέσθαι τινά, μὴ διὰ τῆς ἐν θεῷ στενῆς ὁδεύσαντα· ὡς οὐδὲ Μακάρων Νήσοις ὁ τῆς ἱστορίας λόγος ἐγκαθιστᾷ τὸν ἐκ τῆς ἑσπερίας θαλάσσης μὴ διὰ τῆς Γαδείρων στενωτάτης ἐκπλεύσαντα, εἴ τι χρὴ σμικροτάτοις παραφῆναι τὰ μέγιστα.

45. Καινὰ μὲν οὖν καὶ ταῦτα καὶ οἷα ἐκπλήττειν τὸν ὀρθῶς ἐπιβάλλοντα. Τὸ δὲ καὶ ἐν ὀνείροις τὸν μάρτυρα ἐφιστάμενον καταπράττεσθαι, ὅσα καὶ ζῶν ἐποίησεν ἄν, ἔτι πλέον ἐθέλει θαυμάζεσθαι. Οὐκέτι γὰρ σώματος τὸ θαῦμα, ἢ τινος τῶν περὶ σῶμα, παρ' οὗ δύναμις ἐξερχομένη τερατουργεῖ· ἀλλ' ἔστιν ἄλλο τι τοῦτο παρὰ δόξαν θαυμάσιον. Ἤδη δὲ οὐδὲ τοῦτο καινὸν διὰ τὸ θεῖον βούλημα. Εἰ γὰρ Ἀποστόλων καὶ σκιαὶ ἐποίουν ἐξαίσια, πίπτοι ἂν οὐδὲ τὰ κατ' ὄναρ ταῦτα ἔξω τοῦ τοιούτου τόπου τῶν θαυματουργιῶν (σκιαὶ γάρ τινες τῶν ὕπαρ τὰ ἐν ὀνείρασιν), εἰ δὴ καὶ τολμητέον, σκιὰς ἐνταῦθα λέγειν τὰ οὕτω θεῖα καὶ στερεμνιώτατα. Ποῖον γάρ τι οὕτως ὑφεστηκὸς καὶ στεῤῥὸν καὶ πάγιον καὶ σθεναρόν, ὡς τὸ καὶ κουφίζειν ἐκ γῆς δυνάμενον ὅλον ἄνθρωπον, καὶ τοῦτον ὡς τὰ πολλὰ σιδήροις ἀνδραχθέσι βαρυνόμενον, ὁποῖαι αἱ ὀπτασίαι τοῦ μάρτυρος, ὡς καὶ ἀνόπιν ὁ λόγος ἐπιτρέχων ἐδίδασκεν, ἐν αἷς ἐκεῖνος γῆθεν ἀναλαμβάνει τοὺς ἠξιωμένους τοιαύτης ἐπισκοπῆς, ἢ καὶ ὡσεὶ νεφέλαι πέτασθαι λεχθήσονται ἂν καὶ αὐτοί; Καὶ εἰ μὴ κατὰ Παῦλον εἰς τρίτον οὐρανόν, ἀλλ' εἰς τὸ τοῦ πρώτου μετέωρον ἁρπάζεσθαι θαῤῥούντως ἂν αὐχήσαιεν, οὓς καὶ συννοοῦμαι, ὅπως τὴν χαρὰν φόβῳ σύγκρατον ἔχουσι. Χαίρουσι μὲν γάρ, οἷς ἀπανίστανται τῆς τῶν πολεμίων γῆς, καὶ τοῖς οἰκείοις ἐπανασώζονται· ταράττονται δέ, ἰλιγγιῶντες πρὸς τὴν ἄνωθεν τοῖς κάτω ἐπύφεσιν τῆς ὄψεως. Καὶ ἡ μὲν χαρὰ θάλπουσα κουφίζειν ἐλαφρίζουσα τοὺς τοιούτους δοκεῖ, φόβος δὲ συστέλλων βαρύνειν, καὶ ὡς εἰς νέκρωσιν καταῤῥιπτεῖν || αὐτοὺς βούλεται, ἀεροβατοῦντας μὲν καὶ Ms. fol. 149. b. περιηγητικῶς τοῖς κατὰ γῆν ἐπιβάλλοντας, οὐκ ἔχοντας δὲ πιστεύειν τῷ τερατουργήματι, ἀλλὰ περιεργαζομένους,

εἰ καὶ πτερὰ τούτοις ἐπανεφύησαν. Ὅτι δὲ μὴ ταῦτα περίκειται ὑποδεδιότας καὶ ὑφορωμένους τὸ εὐδιάπτωτον, καὶ ἔχει πολὺ τὸ εὔλογον ἡ τοιαύτη ψυχικὴ συστολή. Εἰ γὰρ τὸ ὕδατι ἑαυτὸν ἐπαφεῖναι ὄκνον ἐμποιεῖν οἶδε μαθητῇ ἐκείνῳ μεγάλῳ, κραδαινομένῳ τοῖς κύμασι, τίς ἂν εἴη ἀδεὴς κυβιστῶν ἀέριος, στερεμνιώτερον ὕδωρ ἀέρος εἶναι εἰδώς;

46. Εἰσὶ δ' ἐν τοῖς τοιούτοις καὶ διαφοραὶ τῷ μάρτυρι, ὡς ἂν τῷ οὕτω ποικίλῳ συνανάμεμιγμένον εἴη τοῖς θαύμασι καὶ τὸ ἐπίχαρι. Τοὺς μὲν γὰρ μετεώρους τῆς ἁλώσεως ὑπεξαγαγών, εἶτα περὶ γῆν τίθησι, καὶ ἀφίησι πονεῖσθαι περὶ τὴν βάδισιν. Οὕτω γὰρ συμφέρειν διέκρινε, μὴ ἀπονητὶ ἀποκαταστῆναι τοῖς ἰδίοις, ἀλλὰ μόχθῳ τὴν λοιπὴν σωτηρίαν πορίσασθαι, καὶ ἐπιγνῶναι, ἐξ οἵων εἰς οἷα μετέπεσον. Τοὺς δὲ διὰ πάσης ἠρμένους ἄγει τῆς μεταξύ, καὶ τῆς τῶν βαρβάρων ἀναρπάσας, οὐκ ἄλλην ἀφίησι πατῆσαι, ὅτι μὴ τὴν ἑαυτῶν, ὡς ἂν μηδενὸς πόνου γεύσωνται, ἀλλ' ἑνὶ σταθμῷ τὴν οὕτω μακρὰν πορείαν μετρήσωσιν ἀέριοι, ὡς εἰ καὶ ἐν θαλάσσῃ ἀπρόσκοπα ναυτιλλόμενοι. Πολλοὺς δὲ καὶ τῷ ἑαυτοῦ τεμένει τούτῳ ἐγκαθιστᾷ, ἵνα κἀνταῦθα πρὸ τῶν ἄλλων οἱ πατριῶται τοῦ θαύματος εἶεν μάρτυρες.

47. Ὁ δὴ τοιοῦτος, καὶ οὕτω κατεξουσιάζων τῆς ἀερίας χύσεως, τίνας οὐκ ἂν ῥᾳδίως, ὅθεν ἂν ἐπινεύσειε, ῥύσαιτο; Πῶς δὲ οὐκ ἂν καὶ ἀνέμοις ἐπιτύξοι, καὶ σκηπτοῖς ἐπιτιμήσοι, καὶ ὑετοὺς δέ, τοὺς μὲν ἀναστελεῖ καταγομένους, ὅποι τε καὶ ὅτε μὴ τούτων χρεία, τοὺς δὲ καταῤῥήξει αἰτούμενος; ὧν δὴ πάντων εὐκταῖον καθηγεῖσθαι ἡμῖν προϊστάμενον τὸν εὐεργετοῦντα ἐφ' ἅπασιν, ὃς πελαγίζων ὥσπερ μύροις, οὕτω καὶ θαύμασι, καὶ πᾶσαν μὲν οἰκουμένην ἐπισκεπτόμενος, καὶ ἐν παντὶ τόπῳ τῆς τοῦ θεοῦ δεσποτείας ὑμνούμενος, ἵνα ὁ τοῖς θείοις ἐπηκολουθηκὼς προστάγμασι περιάγηται πανταχοῦ γῆς, καὶ συνεπακολουθοῦντα ἔχῃ τοῖς τοῦ δεσπότου καὶ τὰ κατ' αὐτὸν ἐγκώμια.

48. Τὴν ἑαυτοῦ ταύτην φιλεῖ μάλιστα, καὶ ἀνεπίστροφος αὐτῆς οὐδὲ ἐν τοῖς βραχυτάτοις καταλαμβάνεται. Εἰ δὲ κύριος ἀγαπᾷ τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ, καὶ εἰς οἰκεῖον σκήνωμα τὸ ἐκεῖ ἐγγράφεται, ἔχομεν καὶ ἡμεῖς ἐκεῖθεν παραποιήσαντες προσαρμόσαι τῷ μάρτυρι τὴν ὁμοίαν ἐπὶ τῷ κατ' αὐτὸν τούτῳ σκηνώματι φιλητικὴν σεμνότητα, καὶ ὁ λόγος μέγα καταπλουτεῖ τὸ εὔλογον. Ὁρᾷ τὸν τόπον, ἐν ᾧ ἄλλον τρόπον ᾖ τὸ εὐαγγελικὸν ὑποτίθησι παράγγελμα.

49. Οἱ ἀνηλεεῖς ἐν φυλακῇ αὐτὸν ἐπεσκέψαντο· καὶ ἄρτον μὲν πεινῶντι οὐκ ἔδωκαν, εἰς ἄρτον δὲ θεοῦ αὐτὸν ξύλα ἐνέβαλον, ὡς καὶ ἀνόπιν τῷ λόγῳ τεθεωρήκαμεν· καὶ οὐδὲ διψῶντα ἐπότισαν, ἅπασαν δὲ τὴν ζωτικὴν ἀπήγαγον τούτου ὑγρότητα. Καὶ σεμνύνεται, ταῦτα βλέπων, ἐφ' οἷς ἐλλάμπεται. Φέρει δι' ἀγάπης καὶ τὴν κάθειρξιν, καθ' ἣν ὁποῖα λύχνος ὑπὸ μόδιον τεθείς, τὴν εἱρκτὴν μικρὸν μὲν ἐκρύβη, εἶτα ἐξεφάνη, καὶ τὴν οἰκουμένην περιέλαμψε. Διαχέει αὐτὸν καὶ τὸ καθεῖρξαν λουτρόν, οἷα σύμβολον τοῦ δι' αἵματος λούματος, καὶ αἱ καμάραι, ὡς ὑπογράψασαι τὴν οὐρανίαν ἀψίδωσιν, εἰς ἣν διὰ τοῦ μαρτυ||ρίου ἀνέδραμεν· (Mc. fol. 150.) ἐνταῦθα δὲ ὡς εἰς βότρυν ἑαυτὸν τῆς ἀληθινῆς ἀμπέλου τοῦ σωτῆρος ἡμῶν θεοῦ θεωρῶν, καὶ αὐτὸν ἤδη πέπειρον, τότε εἰς τρυγητὴν ὡς εἰς ληνὸν ἀνάγει τὸ στεγανὸν τῆς καθείρξεως, τὸ δὲ ἐξ αὐτοῦ αἷμα εἰς γλεῦκος τοῖς τυραννικῶς ἐπεισπεσοῦσιν ἐκπιεσθέν, ὃ καὶ εἰσέτι βλύζειν οὐκ ἀνίησι, καρδίας ἀνθρώπων, Δαυϊτικῶς εἰπεῖν, εὐφραῖνον, καὶ εἰς ἀπόλαυσιν προκαλούμενον. Αἷμα τοῦτο κατήγορον μὲν τῶν φονευτῶν, ἱλαρὸν δὲ τοῖς πιστοῖς. Οὐ γὰρ μόνον φωνὴ τοῦ Ἄβελ αἵματος γῆθεν ἠφίει βοὴν πρὸς τὸν ὕψιστον· ἀλλὰ καὶ αἷμα τοῦτο μαρτυρικὸν τότε μὲν ἐβόα κατὰ τοῦ τυράννου ἐγκλητικῶς, νῦν δὲ ἀλλὰ προκλητικῶς τοῦ πιστοῦ λαοῦ καὶ εἰς ἔκπληξιν, καὶ εἰς προσκύνησιν, καὶ εἰς τὸ ἀπολαύειν δὲ πρὸς σωτηρίαν ψυχῆς τε καὶ σώματος.

50. Ταῦτα δὴ καὶ τὰ λοιπὰ σεμνά, ὧν εἴ τις ἐθέλοι ποιεῖσθαι κατάλογον, ἀναγκάζοιτο ἂν βιβλιογραφεῖν, εἰς ἐπισκοπὴν τῆς πατρίδος ἐφέλκεται τὸν μάρτυρα· καὶ οὐκ ἂν ἔχοι αὐτὴν μὴ ὅτι γε κατὰ τὸ ὅλον προλιπεῖν, ἀλλ' οὐδὲ βραχυτάτῳ λειψάνῳ τοῦ σώματος. Καὶ τοῦθ' ἡμῖν ἀπεκάλυψαν τὸ μυστήριον οἱ ἀνορύττοντες μὲν τὴν ἱερὰν μαρτυρικὴν λάρνακα ἐπὶ ἀναλήψει λειψάνου τινός, ταὐτὸν δὲ εἰπεῖν, ἐπὶ εὑρέσει πολυτιμήτου θησαυροῦ, κωλυθέντες δὲ φρικωδεστέροις δείμασι, καὶ ἀκούσαντες μὴ σοφίζεσθαι περιττά, καὶ οὕτω παυσάμενοι, καὶ μαθόντες, εἶναι τοῦτον θησαυρὸν θεοῦ ἄσυλον καὶ ἀπόκρυφον. Ἔνθα καὶ ἐπέρχεταί μοι τὸ τοῦ μάρτυρος μεγαλοπρεπὲς καὶ φιλότιμον συλλογίσασθαι. Καλὸν μὲν γάρ, γενέσθαι αὐτὸν πολλοῖς διαδόσιμον, καὶ μερισθῆναι τῇ τῶν λειψάνων κατατομῇ τόποις πλείοσι, καὶ σπαρέντα πολλαχοῦ καρποφορῆσαι πολύχοα τὰ σωτήρια, καὶ μὴ ἐστενοχωρῆσθαι περιγεγραμμένον εἰς ἕν· ὁ δ' ἀλλὰ τῷ θείῳ μύρῳ ἀναθέμενος τὸν πανταχοῦ μερισμόν, καὶ σώζειν τοὺς ὑποδεχομένους ἐντειλάμενος, αὐτὸς ἐν ἀκεραιότητι μένειν εἵλετο, καὶ ὁλομελῶς ἔχειν τῆς συνεχοῦς διαρτίας, καὶ μένειν ἐντελῶς ἐπὶ πᾶσιν, οἷς τὴν μαρτυρίαν ἤνυσεν· ἵνα μὴ μόνον μηδενὸς τῶν οἰκείων λείποιτο, ἅπερ ἡ τῆς μαρτυρίας σφραγὶς ἐβεβαίωσεν, ἀλλὰ καὶ

προςεπιμετροῖτο τι ἐκ περισσοῦ. Οὔτε γοῦν τινα τοῦ ἀθλητικοῦ ἐλλέλειπται σώματος, καὶ τὸ αἷμα παρέμεινεν εἰς ἀέναον, καὶ τὸ μύρον δὲ καὶ αὐτὸ προςεπιβέβληται, τόκος οὗτος προςαποδοθείς, ὧν ὁ μάρτυς τῷ θεῷ δεδάνεικεν. Εἰ δὲ μυρίοι ἕτεροι τῶν τε ἠθληκότων, τῶν τε ἠσκηκότων ἠνέσχοντο μελεϊστὶ παρὰ τῶν εὐσεβῶς κατατεμνόντων μεριζόμενοι, καὶ εἰς σωτηρίαν πολυειδῆ θησαυριζόμενοι, καὶ κατὰ μόρια δὲ βραχύτατα εἰς εὐλογίαν τοῖς καρπουμένοις κερματιζόμενοι, θέλησις ἐκείνων μὲν αὕτη· τοῦ δὲ ἡμετέρου μάρτυρος, μὴ συντριβῆναί τι τῶν αὐτοῦ ἢ διασπασθῆναι, ἀλλὰ φυλάσσειν τὸν ἐκ φύσεως σύνδεσμον. Καὶ ἦν ἄρα σεμνότερον, διαπέμπεσθαι τὰ καλὰ ὑπὸ τούτου, ὡς διά τινων ἀποστόλων, τοῦ μύρου τε καὶ τοῦ αἵματος, ἤπερ αὐτὸν παρόντα σώματι διδόναι τὰ Ms. fol. 150. b. ζητούμενα. || Τοῦτο μὲν γὰρ ὁμιλητικώτερον, τὸ δὲ στέλλειν καὶ τὸ ἀξιωματικὸν πλεῖον ἔχει, καὶ πρὸς μεγαλοπρέπειαν ἀπονένευκε· καὶ τὸ τοῦ πόθου δὲ πῦρ ἐπὶ πλέον ἐκκαίει τοῖς φιλομάρτυσιν, ὡς καὶ θέλειν ἀγαπᾶν αὐτοὺς τὸ μαρτυρικὸν τοῦτο σκήνωμα, καὶ ἐπιποθεῖν εἰς τὰς τούτου αὐλάς.

51. Καὶ ἰδοὺ καὶ τοῦτο συλλαμβάνεται ἡμῖν τοῦ λόγου, ὃν ἐν καταρχῇ ἐθεωροῦμεν, ἐπιλέγοντες τῇ μαρτυρικῇ ψυχῇ τὸ φιλότιμον, ἐξ οὗ καὶ ἡ μυροχεύμων χάρις πεπόθηται, καὶ ζητηθεῖσα πρὸς θεοῦ δέδοται, καὶ ἡ τῆς φύσεως ἁρμογὴ πεφίληται καὶ πεφιλοτίμηται, ᾧ δὴ συναναφαίνεται καὶ τὸ φιλόπατρι, καὶ τὸ μὴ θέλειν τὸν μάρτυρα, ὥσπερ μὴ κατὰ τὸ πᾶν, οὕτως οὐδὲ κατά τι τῶν μερῶν γενέσθαι λειπόπατριν, ἀλλ' ἐπὶ χώρας μένειν διόλου, καθάπερ καὶ ἐπὶ σχήματος, καὶ συντηρεῖν τὸ ἐν ἅπασι τέλειον.

52. Οὐ μὴν ἀλλ' εἰ καὶ οὕτω τὴν πατρίδα περιποιεῖται, καὶ ἔστιν ὅλος αὐτῆς, ἀλλὰ φυλακτέον, μήποτε καὶ πρὸς ἀγανάκτησιν ἡμεῖς αὐτὸν ἐρεθίσωμεν, μὴ τῆς πρᾳότητος παράγωμεν, μὴ τοῦ ὑπερμαχεῖν παραλύσωμεν. Ἔνεστιν οἶκτος, ἔστι δὲ καὶ θυμὸς μέγας, ὅ δή τις εἶπεν ἑτέρωθι. Καὶ δεῖγμα τοῦ λόγου πολέμου ἐκείνου στόμα πλατὺ ἐπεγχανὸν τῇ πόλει ταύτῃ ποτέ, καὶ εἰς μάτην ἐξανοιχθὲν καὶ αὖ πάλιν ἕτερος πόλεμος ἄρδην ἐκθερίσας γλαφυρὸν οὕτω καὶ βαθὺ τῆς πόλεως λήϊον, ὡς μηδὲ βραχεῖαν ἀσταχυλογίαν ἐγκαταλελεῖφθαι αὐτῇ. Ἐκεῖνο οἶκτος, τοῦτο μαρτυρικοῦ προσώπου ἀποστροφή· συμμαχίας ἐκεῖνο, τοῦτο ἐγκαταλείψεως. Ἆρα δὲ μάτην τῷ ἀθλονίκῳ ἢ τοῦτο ἢ ἐκεῖνο καταπέπρακτο; Παραφρονῶν ἄν τις αὐτὸ καὶ λογίσοιτο. Θεράποντας μὲν γὰρ θεοῦ τε καὶ ἑαυτοῦ ἐξευρίσκων ἡμᾶς κήδεται· καὶ καθάπου καὶ μήτηρ ἀμφιπονουμένη ποθητὸν βρεφύλλιον, τὰς ἀναιδεῖς μυίας ἀποσοβεῖ, ὡς ἂν γλυκὺς ὕπνος αὐτὸ ἀμφιχέοιτο, οὕτως αὐτὸς ἀπείργει πάντα δεινά, καὶ αὐτὰ τὰ σμικρότατα, ὡς ἂν ἡδέως αὐτοὶ καθεύδωμεν. Καὶ πάντα πορίζει, τά τε ἐξ ἀέρος, τά τε ἐκ γῆς, τά τε ἐκ θαλάττης καλά· περιποιεῖται δὲ καὶ σώμασι καὶ ψυχαῖς τὸ ὑγιές. Ἑτέρως δὲ βλέπων ἐκπίπτοντας, ἢ παραῤῥιπτεῖ πρὸς κάκωσιν, ἢ ἀλλ', ἐπερχομένης αὐτῆς, οὐκ ἀμύνει, ἀλλ' ἐπινυστάζειν δοκεῖ· καὶ ὡς ὑπὸ κουλεῷ τὴν ἀμυντικὴν κρύπτων σπάθην, ὅσα τε ῥαδιουργεῖ πόλεμος, ἀφίησι γίνεσθαι, καὶ τὰ ἐξ ἀέρος ἡμῖν ἐπαιγίζοντα δείματα περιορᾷ, καὶ συγχωρεῖ καταράσσεσθαι. Καὶ οὔτε τὴν γῆν εὐλογεῖ, ὡς διδόναι τὰ ἑαυτῆς ἀγαθά· καὶ τὴν θάλασσαν ἢ ἐξαγριαίνει τραχυνομένην, ὡς καὶ κατασπᾷν τοὺς ἐξ ἡμῶν πλωτῆρας βαθὺ χαίνουσαν, ἢ ἀλλὰ ποιεῖ ἄλλως ἁπλοῦσθαι εἰς ἀκερδὲς ἡμῖν, καὶ ὡς εἰπεῖν ἀτρύγετον. Εἰ δὲ καὶ πειραταὶ ταύτην ἀροῦντες καρπίζονται τὰ ἡμέτερα, οὐκ ἂν θείη τις, μὴ καὶ τοῦτο ἀποστροφῆς τῆς καθ' ἡμῶν εἶναι τοῦ μάρτυρος. Ἡ Ἐλισσαῖος μὲν βραχείας τινὸς λύπης ἐκδίκους ἐξεγείρει ··························

Desunt multa.

53. ··· || τες, ἵνα μὴ πλείω λέγωμεν, ἐφ' οἷς ἕτεροι Ms. fol. 151. a. φιλοσοφήσουσι, καὶ οὐδὲ καθ' ἡμᾶς, οὓς τοῦ μηδενὸς ἄν τις πρίαιτο, ἀλλὰ κατὰ σοφίας ὑπερβολήν, εὐχὴν προςφυῆ καὶ αὐτὴν τοῖς ἄρτι περὶ τὸν μάρτυρα λεγομένοις πορισάμενοι, τόν τε λόγον παύσωμεν, καὶ ὑμᾶς ἀναπαύσωμεν.

54. Ὦ μεγαλόνικε μάρτυς Χριστοῦ, ὦ μηδενί τινι σχάζων τῶν ἀγαθῶν, οἷς ἐνευθηνεῖται ὁ πρὸς ἀλήθειαν ἄνθρωπος· ἀλλὰ γένους μὲν εὐκλείᾳ τοσοῦτον ὕπερθεν ἀναβεβηκώς, ὡς ἀρκεῖν εἰς τιμήν, κἂν εἰ μηδὲν ἄλλο τῶν ἐν βίῳ ἀγαθῶν εἶχες ἐλλάμπον σοι, κάλλει δὲ ἐπιπρέπων, ὁποῖον ἔχων τις διαφαίνοιτο ἄν, κἂν μὴ γένους αὐχοίη κοσμιότητα· λόγοις δὲ σεμνυνόμενος, οἷ καὶ εὐγενείας κατακαυχῶνται καὶ εὐπρεπείας σωματικῆς, ὡς μηδὲν αὐτὰ εἶναι τὰ κάτω πρὸς τὸ ἐν σοφίᾳ αἰθέριον· τοῖς δὲ περιθέτοις καὶ ἐκτὸς οὕτω καὶ αὐτοῖς περιουσιαζόμενος, ὡς μὴ ἐθέλειν τοὺς πολλοὺς ἔσω παριέναι, καὶ εἰς τὴν ἔνδον προκύπτειν δόξαν, ἀλλὰ τῶν προςκυνίων γίνεσθαι· πάντα δὲ τῷ μαρτυρικῷ καλῷ ἀποκρύψας καὶ ἐπισφραγισάμενος· καὶ νῦν, τῷ παμβασιλεῖ θεῷ παρεστώς, καὶ τὸ ἐν καλοῖς ὕπατον τοῦτο λαχών, καὶ τοῖς δίκαια αἰτουμένοις ἐξάγων τὰς δεήσεις εἰς ἐντελές, κατάπραξαι ἅπαν ἀγαθὸν τῷ ἡμετέρῳ βασιλεῖ· ποίησον τοὺς βαρβάρους, ὡς σκορπίους τῇ αὐτοῦ νεκρωθέντας χειρί, ὑπὸ πόδα τεθῆναι αὐτῷ· κἂν ἰὸν θανάσιμον ὑπερβλύζωσι, βέλη, ὅσα καὶ κέντρα θανάσιμα, αἴροντες, σὺ αὐτοὺς συντρίψας, εἴ τί που

καὶ ἐνετάκη φαρμακῶδες τοῖς αὐτῶν νεκροῖς, καθὰ καὶ τισιν ἀντιδότοις τὸ τραυματισθὲν θεράπευσον, ὁποῖον δή τι καὶ σκορπίος πάσχει, κεντρίσας μέν ποτε εἰς θανάσιμον, οἷς δὲ ἐπιτριβεὶς ἐνεπλάσθη τῷ τραύματι, ἀπαλλάξας τοῦ νοσήματος. Τὰς λόγχας, ἃς ἀπευθύνουσι κατὰ τοῦ Ῥωμαϊκοῦ λάχους, ἀντιστρέψας ταῖς καρδίαις τῶν ἐχθρῶν τοῦ βασιλέως ἔμπηξον. Κρύψον, ἣν πατοῦσι, γῆν τοῖς αὐτῶν ἐρειπίοις, ὡς ἂν μεθυσθείη τοῖς τῶν παροινούντων αἵμασιν. Εἰρηναίαν ζωὴν τῷ λαῷ σου πρυτάνευε. Ἐξέγειρον τὴν δυναστείαν σου· καὶ μήποτε διαλείποις ἐρχόμενος εἰς τὸ σώζειν ἡμᾶς. Ἀμεταμέλητα ἐν σοι τὰ τοῦ θεοῦ χαρίσματα, καὶ οὐκ ἐλλέλειπται χρόνῳ ποτέ. Οὐκοῦν μηδὲ αὐτὸς ἐγκόψοις εὐεργετῶν. Θεὸς ὁ ἐν τριάδι, ᾧ παρεστὼς μετὰ τῶν ἀνωτάτω ταγμάτων πληροῖς τὸ πρέπον λειτούργημα, ἕως ἄρτι ἐργάζεται ἅπασι τὰ σωτήρια· ὃν μιμούμενος, εἴης καὶ αὐτὸς ἡμῖν ἀεὶ τὰ συνήθη διαπραττόμενος ἀγαθά, ὁ αὐτὸς ὢν ἐν τῷ εὐεργετεῖν, καὶ οὐκ ἀλλοιούμενος· ἵνα καὶ οὕτως ὁ θεός, ὃν ἐδόξασας, οἷς ὑπὲρ αὐτοῦ ἔπαθες, ἐπὶ πλέον δοξάζοιτο, πρέπων ὢν μόνος δοξάζεσθαι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ms. fol. 151. b. || *Τοῦ αὐτοῦ εἰς τὸν ὑπερλίαν σπουδάζοντα διὰ στύλου ἐν Θεσσαλονίκῃ ἀναφανῆναι περί που τὸ ἑῷον παραθαλάσσιον. Εἴθε δὲ ἦν ἐκείνῳ καὶ αἰσθέσθαι σαφῶς τῶν λεγομένων. Οὐ γὰρ ἂν ἀνέβη ἐκεῖ ὁ ἄνθρωπος, ὀκνῶν καὶ ἄλλως, ὡς ἐῴκει, τὴν ἀνάβασιν.*

1. Τὸ ὄνομα ὁ στύλος δηλοῦν μὲν βούλεται σημασίαν, ὁποίαν τινὰ καὶ ἡ στήλη, ὅτι καὶ ἀπὸ τοῦ ἑστηκέναι ἡ κλῆσις ἀμφοῖν. Ἵσταται δὲ χωρὶς αὐτῆς, εἰ καὶ ἄλλον τρόπον ἐγγύς. Στήλη μὲν γὰρ ἔχοι ἂν ποτε καὶ γραμμάτων χαράγματα, ὅθεν τὸ στηλιτεύειν κεκίνηται· στύλος δὲ οὐκ εἰς τοῦτο ἐξεύρηται, ἀλλ' ἐπὶ πλέον εἰς ὑπέρεισμα. Καὶ αὐτὴ μὲν καὶ ἀνδριάντι ἁρμόττει πρὸς κλῆσιν. Στήλας γοῦν βασιλέων καὶ ἀνδριάντας φαμέν, ὡς ταὐτὸν ὄν, οὕτως ἢ οὕτως εἰπεῖν. Οὐκ ἂν δὲ ἀνδριὰς στύλος λέγοιτο ἄν. Καὶ ἔχει μὲν οὕτω διαφορὰς ἄμφω τὼ ῥήματε, καὶ οὐ μόνον ταύτας, ἀλλὰ καὶ εἴ τις ἑτέρως ἐπιβάλλειν κατά τι ἔργον βούλοιτο· ἡμῖν γὰρ τὸ σκέμμα τοῦτο πάρεργον. Ἔστι μέντοι εὑρέσθαι αὐτὰ καὶ εἰς ταὐτὸν συμβαίνειν δοκοῦντα. Ὁ γοῦν ἐκ τῆς Ἀμασέων γεωγράφος στήλας τινὰς καὶ στυλίδας λέγων, ἔοικεν εἰς ἕν τι τιθέναι αὐτάς. Εἰ δὲ μὴ κατὰ πᾶσαν ἀνάγκην ὑπερείδειν ὁ στύλος ἵσταται, ὡς ὁ τοῦ πυρὸς στύλος παραφαίνειν δοκεῖ, ᾧπερ οὐδὲν ἐπέκειτο βασταζόμενον, ἀλλὰ τοῦτο μὲν τέτραπται, καὶ οὐκ ἔστιν ὁ πύρινος στύλος ῥῆμα πρωτόθετον. Φαίνεται δὲ μάλιστα κατὰ κυρίαν λέξιν στύλος ἀνεστηκέναι εἰς ἑδραίωμα, καὶ ὑπερκειμένου τινὸς ὑποβεβλῆσθαι στήριγμα. Εἰ δὲ τοῦτο, αὐτὸς μὲν οὐκ ἂν εἴη τέλος αὐτόχρημα· μᾶλλον γὰρ ἡ στήλη τοιαύτη. Αὐτὸ δὲ μάλιστα τὸ ἐπὶ τῷ στύλῳ κείμενον σκοπιμώτερόν ἐστι, εἴτε οἴκημα ἐκεῖνο εἴη, εἴτε καί τι ἕτερον.

2. Στύλου τοίνυν καὶ τοῦ πρὸ ὀφθαλμῶν τούτου κατονομαζομένου, θεωρητέον, ὅτου τε χάριν αὐτὸς περίοπτος ὤρθωται, καὶ τί δὲ καὶ ὁποῖόν τι τὸ ἐπεχόμενον, εἴτ' οὖν ἑδραιούμενόν τε καὶ στερεούμενον. Ὡς μὲν οὖν ἄνθρωπος ὁ βασταζόμενος, καὶ ὅτι Ναζιραῖον ὁ στύλος οὗτος ἀνέχειν τέτακται, ὁρῶμεν δήπουθεν ἅπαντες, καὶ ὡμολόγηται· δῆλον δὲ καί, τίνος ἀνδρὸς ἕνεκα εἰς ὄρθιον ὕψωται. Ἀλλ' ἐγὼ οὐκ ἐνταῦθα θέας περατωθῆναι τὴν ὅρασιν βούλομαι, ἀλλ' ὑπερεκταθῆναι καὶ εἰς διόρασιν. Αὕτη δὲ ἡμῖν ἔσται, εἰ τὸ ὁρώμενον ὁρισόμεθα θεωρητικώτερον. Οὕτω γὰρ κατὰ ὑψηλοτέραν ἐπιβολὴν κατ·ληφθήσεται τὰ ζητούμενα.

3. Ἔστιν οὖν ὁ κατὰ θεωρίαν στύλος κλίμαξ, εἰς οὐρανὸν ἀνάγειν ἔχουσα τὸν θεοῦ ἐφιέμενον· καὶ οἱ μὲν ἐπ' αὐτὴν συντεταμένως ἀνατρέχοντες, καὶ ἀπαραποδίστως καὶ ἀμεταστρεπτὶ ἀναβαίνοντες, εὐστόχως ἂν θεοῦ ἄγγελοι ἐπιλέγοιντο. Οἱ δέ γε καταβαίνοντες ἀπ' αὐτῆς ἐφαμάρτως, ὧν πόῤῥω εἶεν οἱ κατὰ θεόν, οὐκέτι τοιοῦτοι, ἀλλ' οἷον καὶ κατὰ Σίμωνα κατωκάρα στρέφονται, καὶ τὸ χεῖρον ὡς εἰς ἑωσφόρον καταῤῥιπτούμενον τάττονται. Τοιαύτη τε οὖν κλίμαξ ὁ τοιοῦτος στύλος, καὶ ἄκρα δὲ κορυφὴ ἀγαθοῦ. Καὶ οἱ ἐπ' αὐτὴν ἀνιέναι μελετήσαντες ἀναῤῥιχῶνται εἰς τὸ τῆς ἀρετῆς ἄκρον, ὡς διὰ τραχείας ὁ || δοῦ τῆς ἐν βίῳ σκληρῷ, καὶ ἧς πολὺ τὸ ἄναντες· οἱ δ' αὖ κατακυλιόμενοι ἐξ αὐτῆς, οἷς μηδεὶς συγκαταβαίη τῶν ὅσοι τῷ ὑψίστῳ θεῷ ἐπιγράφονται, εὐπετῶς εἰς ταρτάρου χάσμα κατολισθαίνουσιν. Ms. fol. 152. a.

4. Ὅρος καὶ ὁ στύλος οὗτος, ὅθεν ἡ θεόθεν ἥκει βοήθεια τῷ ἐκεῖσε τοὺς ὀφθαλμοὺς αἴροντι, ἐν ᾧ καὶ ὡς ἐν ἑνὶ τῶν ὀρέων θυσιάζει πατριαρχικῶς

τὸν ἐν ἑαυτῷ παῖδα ὁ καθαρός, καὶ ἠξιωμένος οὕτω καλλιερεῖν τῷ θεῷ.

5. Θεωρεῖται καὶ τὶς ἱστὸς ἐπὶ τοῦ τοιούτου ὄρους, ὃς ἐναπολειφθείς ποτε εἰς ψυχήν, οὐκ ἂν τὰ κατ' ἄνθρωπον σκῶρος ὠφελείας ἔξω ἀφήσει φέρεσθαι, καὶ ὅποι τύχοι πλάζεσθαι, ὅτε τὸν ἑαυτοῦ τρόπον ἐξ οὐρίων ἢ καὶ ἄλλως τὴν τοῦ βίου διαθέει θάλασσαν.

6. Βουνὸς οὗτος, τὴν τῆς ἀρετῆς ἔχων σημαίαν, ἣν οὐκ ἔσθ' ὅπως οὐκ εὐλαβηθήσονται οἱ ἀντικείμενοι· ὅς, εἰ πλαγιάσας παρεγκλιθείη τοῦ κατὰ λόγον ὀρθίου, ἢ καὶ συνιζήσας ὑποκαταβαίη τοῦ ὕψους, οὐκ ἂν διαφέροι ὀρέων τε καὶ βουνῶν, ἃ ταπεινοῦνται καὶ κατὰ τὴν γραφήν.

7. Γαζοφυλάκιον ὁ στύλος οὗτος, ὑπερανῳκισμένον ἀσφαλῶς καὶ ἀνακεχωρηκὸς τῶν κάτω, καὶ οὐκ εὐεπιβούλευτον, ἔνθα ὁ κατὰ πνεῦμα θησαυρὸς ταμειουχεῖται, ἡ ἀρετή, ἧς οὐκ ἄξιον ἅπαν τίμιον· ὅς δὴ καὶ συνῆκται παρὰ τῷ θεῷ κατὰ τὸν εἰπόντα, καὶ ἐσφράγισται ἐν τοῖς αὐτοῦ θησαυροῖς.

8. Νοσσιὰ τὸ βλεπόμενον τοῦτο, ἐν ᾗ ἐκτρέφονται ἀποστολικῶς οἱ αἰθεροβάμονες, καὶ εἰς τὰ ἄνω πτητικοί, καὶ πολλῶν στρουθίων κατὰ τὴν σωτηριώδη φωνὴν διαφέροντες.

9. Πύργος οὗτος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ, τοῦ δεινοῦ πολεμιστοῦ, ὃς μηχανώμενος ἑλεπόλεις τοῖς τοιούτοις ἐπάγει πρὸς ὄλεθρον πυργηρούμενος. Γένοιτο δὲ πύργον ἰσχύος εἶναι τοῦτον, ἐξ ἀκρογωνιαίων ἀληθείας συγκροτηθέντα εἰς τὸ στεῤῥόν, καὶ συντετελεσμένον εἰς ἀρετήν· εἴτε καὶ βάριν ἐλεφαντίνην, ἐξ οἵων εὐφραίνεται ὁ τὰ θεῖα φιλόκαλος· οὐ μὴν εἰς πύργον ἀποτελευτηθῆναι χαλάνης, μάτην τεθεμελιωμένον κατὰ τοῦ οὐρανοῦ, μηδὲ γενέσθαι κατὰ τὸ ὕψωμα τοῦ φαύλως τὴν φιλοσοφίαν θανάτου μελέτην παρακηκοότος, ὃς ἑαυτὸν ὑψώσας, εἶτα εἰς θάνατον κατεπήδησεν.

10. Οὐ μόνον δὲ πύργος ἰσχύος καὶ κρησφύγετόν τι σωτήριον ὁ στύλος οὗτος, ἀλλὰ καὶ πόλις ὀχυρά, καὶ αὕτη οὐ μόνον ἐπάνω ὄρους κειμένη, καὶ οἵα μὴ ἔχειν κρύπτεσθαι διὰ τὸ ἄποπτον, ἀλλὰ καὶ οὐρανομήκης διὰ τὸ κατ' αὐτὴν θεωρούμενον ὕψος, ὡς εἶν ι προσφυὲς εἰπεῖν καὶ οὐρανοπολίτην τὸν περὶ αὐτὴν εἰλούμενον.

11. Εἰ καὶ διὰ τὸ ἐν σημασίᾳ συγγενὲς τῶν ῥημάτων εἰς ταὐτὸν τῇ στήλῃ τὸν στύλον τοῦτον ἀγάγωμεν, ῥηθείη ἂν καὶ καρτερίας ἀνδριὰς ὁ ἐπὶ στήλης ταύτης φερόμενος.

12. Τόπος τις ὁ στύλος οὗτος πυρσοῦ τοῖς ἐν ζάλῃ πλέουσι τηλεφανής, φῶς ἔσω φέρων τὸν μετὰ τοῦ Δαυῒδ ψάλλοντα, λύχνον τοῖς ποσὶν αὐτοῦ τὸν θεῖον εἶναι νόμον, καὶ φῶς ταῖς τρίβοις αὐτοῦ, καὶ τῷ πατρὶ τῶν φώτων ἐγγίζοντα, καὶ φωτὶ τῷ ἐκ φύσεως τὸ ἐκεῖθεν προσλαμβάνοντα φῶς.

13. Ἀναῤῥιπίζων δέ τις ἐνταῦθα τὸ τοῦ νοήματος ζώπυρον, καὶ προσανάπτων τὴν φωτοφάνειαν, καὶ στύλον πυρὸς τοῦτον τηλαυγῆ προσερεῖ στύλον διὰ τὸ ὑψηλόν· πυρσὸν διὰ τὸ εἰς θεὸν λειτουργικὸν τοῦ ἐν αὐτῷ || στεγομένου πνευματικοῦ ἀνδρός· Ms. fol. 152. b. καὶ χορηγεῖ τὴν ὕλην τοῦ νοήματος ὁ Δαυῒδ.

14. Εἰ δὲ προσεπαυξάνων τὸ στυλιτικὸν φῶς καὶ εἰς ἥλιον ἀναγάγῃ τις, ἐν ᾧ τίθησι τὸ ἑαυτοῦ σκήνωμα ὁ ὕψιστος ἐνοικῶν αὐτῷ καὶ ἐμπεριπατῶν, τότε δὴ καὶ εἰς ἡλίου οἶκον θήσει τὸν στύλον τοῦτον σεμνότερον, ἤπερ ὁ τὰ τῆς μαθήσεως φιλοσοφῶν ὑποτίθησι τὸν αἰσθητὸν θεωρῶν ἥλιον· ὃς δὴ ὁ καθ' ἡμᾶς οὗτος ἥλιος ἄδυτος μὲν οὐδ' αὐτὸς ἔσται, ἀλλὰ γνώσεταί ποτε τὴν δύσιν αὐτοῦ. Φωσφορήσει δὲ ἄλλως οὐ κατὰ τὸν πρὸς αἴσθησιν ἥλιον, ἀλλὰ καὶ ἄνω φερόμενος ὑπὲρ γῆς λάμψει τῷ τῶν ἔργων φωτὶ εὐαγγελικῶς ἔμπροσθεν τῶν ἀνθρώπων φανότατα· καὶ ὑπὸ γῆν δὲ τῷ φαινομένῳ δίσκῳ δύσας, καὶ τῷ τάφῳ κατασκιασθείς, τὰς τῶν ἀγαθουργιῶν ἀκτῖνας ἀφήσει περιλάμπειν οὐδὲν ἧττον τὴν γῆν, ἵνα τούτῳ τῷ τρόπῳ ἀπελάσας τὴν τῆς λήθης νύκτα, φῶς ἀγαθῆς μνημοσύνης αἰθριάζῃ αἰώνιον, ὅ τι καὶ φῶς δικαίοις διαπαντός, καὶ ἀδιάδοχον ταύτην ἡμέραν ποιῇ τῆς ἐκεῖ αἰωνιζούσης ἀντίμιμον, δεικνύων καὶ οὕτως ἡμέρας εἶναι υἱὸς καὶ φωτός.

15. Οὐ μόνον δὲ τοιοῦτος οἶκος ὁ στύλος οὗτος, ἀλλὰ τὸ σεμνότατον καὶ οἶκος τοῦ τῆς δικαιοσύνης ἡλίου, θεοῦ, ὅτι καὶ προσευχῆς οἶκος ὡς, εἴγε μὴ τοῦτο, σπήλαιον ἄν τινος εἴη ψυχοληστοῦ, ἢ τρώγλη ἀσπίδος, ἢ δράκοντος φωλεός· ὥσπερ καὶ φερέοικον μὲν εἰς τὸ πᾶν περιέχοι ἂν ἔνδον, ἐὰν ὑγρότερον διαβιοῖ ἐκεῖνος, μάργαρον δέ, ἐὰν στεγανώτερον διατεθειμένος, καὶ εἰς φωτοφανὲς διεσκευασμένος, καθάπερ ἐν ἐλύτρῳ τούτῳ περιέχοιτο.

16. Εἰ δὲ εἰς τοιούτους τιμίους οἴκους τακτέον τὸν στύλον, οὐκ ἂν φανείη ἀπῳδόν, ἀλλὰ καὶ μάλα σύμφωνον, καὶ ἁπασῶν ἀρετῶν τῶν θειοτέρων προσειπεῖν αὐτὸν οἰκήτορα· ἔνθα εὔθετον φάναι, καὶ ὡς οὗτος μὲν οἷα καὶ εἴς τι μονώροφον λογισθήσεται σκήνωμα, ὁ δὲ ἐπ' αὐτῷ δεύτερος ὄροφος λεχθείη ἂν ὁ ὑπὲρ πάντα ὄροφον οὐρανός, εἰς ὃν ἐντεῦθεν ὁ ἀσκητὴς ἀναβαίνει, ἀπὸ δόξης μεταβαίνων εἰς δόξαν, ἐφ' ὃν καὶ ὁ κύριος ὑψοῦσθαι ψάλλεται, οὗ ἡ δόξα ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ μακάριος ὁ τοιούτους

οἴκους ἐπιζητῶν, καὶ μὴ τοὺς κάτω καὶ πεδινούς, οἵπερ, ὅσῳ ἂν ἐπαρθῶσιν ὑψούμενοι, ἐς τόσον τὸ ἐν ἡμῖν ἐλέγχουσι ταπεινόν. Ἀεὶ γὰρ ὑπερκορυφοῦνται ἡμῶν· καὶ ἔστιν εἰπεῖν, ὡς ἀνάβασις πᾶσα οἰκοδομῆς ὑπερήφανος, καὶ ὀρόφωσις ἡ ἐκ τῶν τῆς γῆς, οὐδὲν ἀλλ' ἢ καθείρξεις τεχνῶνταί τινας καὶ οἷον ἐνταφιασμούς, ἄλλως ἐπονομαζομένους εὐφημότερον εἰς οἴκους καὶ προδόμους καὶ δόμους καὶ μέγαρα καὶ τοιαύτην πολυωνυμίαν περίεργον· ἃ δή τις πάντα συνελών, εὐστοχώτερον ζώντων τάφους τὰ τοιαῦτα ἐρεῖ, ὡς εἶναι ἀντιστρέψαντα τὸ γραφικὸν εἰπεῖν· αἱ οἰκίαι αὐτῶν τάφοι αὐτῶν· καὶ οὐδὲ εἰς τὸν αἰῶνα, καιρὸν δέ τινα, καὶ αὐτὸν βραχὺν ὡς τὰ πολλά, καὶ ἀριθμῷ εὐπερίληπτον· οἵ, κἂν μυρία ἐκπονοῖντο, οὔτε ἂν ἐν μεγέθει τὸν Μαυσώλου τάφον ὑπερελάσαιεν, [Ms. fol. 153. a.] οὐδὲ μὴν τὸν παρὰ Πέρσαις || τοῦ Κύρου εἰς πολιτείαν.

17. Ἀλλ' ἵνα μὴ τοῦ στύλου ἀποπλανηθέντες, ὡς ἔν τινι λαβυρίνθῳ ταῖς τῶν ἐπιβούλων οἴκων ἐναποληφθῶμεν σήραγξιν εἰς ἀδιεξίτητον, ἀναθεωρητέον αὖθις ὕψου, καὶ θεωρητέον εἰσέτι τὸν στύλον καὶ ἄλλως κατὰ λόγον ὁριστικόν. Σκοπευτήριον ὁ ὑψιβάμων οὗτος, εἰς ἀγαθὸν ἀνεγηγερμένος, καὶ τοῖς ὑπὸ πολεμίων ἐφοδευομένοις σωτήριος, οἷς ἀνεπιστρόφως ἔχουσιν ἡ νοουμένη στιλβοῦται μάχαιρα. Καὶ λόφους μέν τινας ἑρμαίους ἡ τῆς ἱστορίας ἐν ἡμῖν ἐγείρει μνήμη· αὐτοὶ δέ εἰσι λίθων κολωνοί, ἐπισεσωρευμένοι πρὸς μέτριον ἔξαρμα, ἑρμαϊκοῦ τινος φόνου ὑποκινοῦντες ἐνθύμιον, ὃν παλαιὸς λόγος θρυλλεῖ. Καὶ οἱ λίθοι τεθεῖσθαι λέγονται κατὰ τοῦ φονεύσαντος, ὡς εἰ καὶ ἐβλήθησαν κατ' αὐτοῦ· καὶ συνάγονται μὲν οὐ κατὰ ὀργήν, ἀλλ' ἠρέμα, καὶ ἐπιστοιβάζονται καθ' ἡσυχίαν πολλήν. Ὁσιοῦνται δὲ ὅμως φόνου ποινήν, καὶ δίκην οἷον τινὰ δι' αὐτῶν ὁ κακοποιήσας δίδωσιν.

18. Ἀλλ' οὗτος μὲν ὁ λόγος παραμιγνύει τῇ σπουδῇ καί τι ἀθύρματος, καὶ εἰκόνα παραυγάζει, οὐ δυςπρεπῆ μέν, ἀμυδρὰν δέ, καὶ ὡς ἔν τινι σκιᾷ. Ταῦτα δὲ τὰ καθ' ἡμᾶς ἀλήθειαν φωςφορεῖ εὐζωγράφητον. Λίθων γὰρ αὕτη στοιβὴ κατὰ τοῦ τῶν ψυχῶν φονευτοῦ συναγήγερται, εἰς κακὸν ἐκείνου λοφουμένη. Καὶ τοίνυν ἔστιν ἡμῖν ἐνταῦθα λέγειν, παρῳδοῦσι τὸ ἱερώτατον λόγιον· ὅςτις οὐχ ἥμαρτε (δηλαδὴ μὴ τῆς εἰς Θεὸν σταθερᾶς ἐκπέπτωκεν ἐλπίδος καὶ πίστεως), βαλλέτω λίθον ἐπ' αὐτόν. Καὶ τὸν λῃστὴν μὲν καταβαλλέτω, τὸν τὴν φονεύτριαν ἁμαρτίαν δημιουργήσαντα· κορυφούτω δὲ τοιούτους εἰς Θεὸν ἀναβαθμούς, καὶ συναρμολογείτω θείαν οἰκοδομήν.

19. Ἀλλὰ τούτους μὲν τοὺς οὕτω χθαμαλοὺς γεωλόφους ἐατέον. Ἑκτέον δὲ αὖθις τοῦ μεταρσίου στύλου κατὰ τὴν ὑποτεθειμένην ἔφοδον. Θαυμαστός τις καὶ οὗτος μετεωρισμός, οὐ θαλάσσης, ἣν φυσῶντες ἐξογκοῦσιν ἄνεμοι, καὶ ἐκ πεδιάδος καταβαινούσης καὶ ὑποκαθημένης εἰς ἀναβαῖνον ὄρος ἀνιστῶσι, κορυφοῦντες μετέωρον· ἀλλὰ ἀνδρῶν ἀσκητῶν, οἳ θαλάσσης μὲν τῆς κάτω οὐδέν τι ἔχουσιν, ὅτι μὴ τὴν ὑφάλμυρον πλήμμην τῶν ὑπὲρ ἀρετῆς ἱδρώτων· πελαγίζουσι δὲ ἄλλως ταῖς Θεόθεν ἐπιῤῥοαῖς τῶν ἀγαθῶν· καὶ θείῳ κινούμενοι πνεύματι, οὐκ εἰσὶ τοῦ κάτω κεχύσθαι, ἀλλ' εἰς ὅσον οἷόν τε θειότερον μετεωρίζονται.

20. Τῷ δὲ τοιούτῳ θαυμασίῳ μετεωρισμῷ συναναφαινομένου πάντως καὶ ὕψους, καίριόν ἐστι συνεπιπλέξαι καὶ τό· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος τοῖς οὕτω δηλαδὴ μετεώροις, καὶ ἀεροβατοῦσι, καὶ περιφρονοῦσι τὴν γῆν, καὶ μὴ ψευδομένοις τὸ ὑψηλόν. Αὐτοί τε γὰρ θαυμαστέοι, οὕτω μετεωρίζοντες ἑαυτούς, καὶ θαυμασίοις ἔργοις ἐμπρέποντες. Καὶ ὁ κύριος ἐν αὐτοῖς ὡς ἁγίοις αὐτοῦ θαυμαστός, ὃν αὐτοὶ δοξάζουσι τοῖς οἰκείοις μέλεσι καὶ παθήμασι, θαυμαστώσαντα ἐν αὐτοῖς τὰ οἰκεῖα θελήματα· οἳ καὶ εἰς ἐκεῖνον ἀναβεβηκότες, καὶ οὕτως ὑπερύψηλοι γεγονότες (ὡς ἔχουσι || καὶ αὐτοὶ ἄνωθεν τὰ καθ' ἡμᾶς ἐφορᾷν), [Ms. fol. 153. b.] ὡς εἶναι διὰ ταῦτα τὸν στύλον τοῦτον καὶ οὐρανόν τινα τῷ κατὰ παθῶν κυριεύοντι, καθ' οὗ τοξεύειν ἐοίκασιν, οὐκ ἀδυνάτως μέν τοι, ἀλλ' εὐεπηβόλως καὶ εὐστοχώτατα οἱ εὐθυβολοῦντες εἰς νόησιν, καὶ οἷς σκοπὸς τὰ οὐράνια πρόκειται, καὶ ὅσοι πρὸς τὸ βραβεῖον τῆς ἄνω κατευθύνονται κλήσεως. Ἐκ τοῦ τοιούτου οὐρανοῦ ὁ τῶν χαμαιῤῥιφῶν κυριαρχήσας, καὶ τούτῳ τῷ λόγῳ κύριος ἄνθρωπος, ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁρᾷ, οὐκ ἔθ' ἁπλῶς αὐτὸς ὢν ἐκεῖνος ὁ ἐκ γενέσεως ἄνθρωπος, ταὐτὸν δὲ εἰπεῖν, ἐκ τῆς εἰς γῆν νεύσεως, καθά τις πάλαι πεφιλοσόφηκεν, ἀλλ' αὐτὸς μὲν τῷ ὑψίστῳ θεῷ κατὰ μέθεξιν υἱωθείς, τοὺς δὲ μὴ τοιούτους ὡς υἱοὺς ἀνθρώπων τῶν ὑλικωτέρων θεώμενος κάτω βαίνοντας, καὶ περὶ τὰ ὑλαῖα μένοντας.

21. Ἐνταῦθα δὲ καλὸν οἶμαι εἰπεῖν, καὶ ὡς ἀνακαινίζει καθάπερ ἀετοῦ τὴν τοῦ ἀσκητοῦ νεότητα ἡ τοιαύτη ἀνύψωσις. Κουφίζουσα γὰρ εἰς ὑψιπέτειαν τὸν πνευματικὸν γέροντα, δίδωσιν ἀκμαιότατα καταράσσειν ἐκεῖθεν κατὰ τῶν ἀσάρκων μέν, ἄλλως δὲ σαρκοβόρων, εἰπεῖν δὲ καὶ ψυχοφάγων ὀρνέων, ὀξυδερκῶς ἐπιβάλλοντα, ὡς μηδὲν ὅ τι μήτε κρύπτεσθαι, μήτε διαφεύγειν αὐτόν, ἀλλὰ πᾶσι τοῖς τοιούτοις νεανικώτατα

ἐπιτίθεσθαι, καὶ εἰς φόβον κινεῖν. Ἀλλ' οὕτω μὲν ὁ στύλος μετεωρισμός τις θαυμαστὸς τεθεώρηται.

22. Ἵνα δὲ τῶν ὑψηλοτέρων καταβάντες ὑποτυπώσεων, καὶ ἑτέρωθεν τοῦτον ὑπογραψώμεθα (ποικίλον γάρ τι χρῆμα καθυποφαίνεται), εἱρκτή τίς ἐστι καὶ αὐτός, ἐν ᾗ περιγράφει στενοχωρῶν ἑαυτὸν ἐκ τοῦ ἔξω ῥεμβασμοῦ ὁ ἀσκούμενος, δικάσας μὲν μεταξὺ σώματος καὶ ψυχῆς, καὶ ἀμφοῖν καταψηφισάμενος οἰκείῳ δή τινι νόμῳ (δικαίῳ γὰρ ὁ καθ' ἡμᾶς οὐ κεῖται νόμος, ἀλλ' αὐτὸς ὀρθός ἐστι λόγος, καὶ πλείων τοῦ νόμου γίνεται), δικαιώσας δὲ τὰ κατακριθέντα τῷ διὰ βίου συγκλεισμῷ, ἐν ὁμοιότητι κολάσεως τῆς ἐσχάτης ἐκείνης, ἣν οὐκ ἂν ἐκφύγῃ τις ἀκόλαστα διαβιούς.

23. Νοηθείη δ' ἂν ὁ στύλος οὗτος καὶ ὡς ἀθλητικὸν βῆμα, εἴτ' οὖν ἀναβάθρα μαρτυρική, ἐφ' ἣν ἀναβεβηκὼς ὁ ἀβίαστος ἀθλητής, μᾶλλον μὲν οὖν κατὰ τῆς ἑαυτοῦ σαρκὸς αὐθαίρετος βίαιος καταβαίνει πρὸς μέγα σκάμμα, καὶ παγκρατιάζει γενναίως, καὶ τὸν ἀντίπαλον δαίμονα κάτω βαλεῖν τεχνάζεται.

24. Εἴποι δ' ἄν τις τὸν στύλον τοῦτον εὐαγγελικῶς καὶ ἀνώγεων ἐστρωμένον, ἐν ᾧ θεός, ὁ κατὰ μέθεξιν ἀναπεσών, ἀναπαύεται, ταὐτὸν δ' εἰπεῖν, παντὸς ἔργου παύεται τοῦ τῇ γῇ πάντως πρέποντος. Ἄλλως γὰρ θεοπρεπέστερον ἀεὶ καὶ αὐτὸς ἐργάσεται, τὰ τῷ θεῷ ἀρέσκοντα ἐνεργῶν.

25. Εἰ δὲ τὸ ἀνώγεων τοῦτο καὶ λίθοις ἔστρωται, οἷς ὡς εἰκὸς ἐγκαθεύδει ὁ ἐγκρατής, ὃ δὴ ὁ τῆς τοιαύτης οἰκοδομῆς εἱρμὸς ὑποβάλλει νοεῖν, εἴη ἂν λιθόστρωτόν τι καὶ αὐτὸ οὐκ ἔξω σεμνώματος, κάλλιον ἤπερ τὰ τῶν ἱστορουμένων γυμνοσοφιστῶν, Ms. fol. 154. a. οἵπερ σκιὰν ἀρετῆς διώκοντες, οὐκ εἶχον ὄκνον, || γυμνοὶ κατὰ λίθων ὑπεστρωμένων κεῖσθαι ἀνακλινόμενοι.

26. Ἀναφαίνεται δ' ἐκ τοῦ λιθοστρώτου, μὴ ἀπεοικέναι τὸν στύλον τοῦτον μηδὲ θεομιμήτου στρώσεως, ἥνπερ οἱ κατὰ θεὸν σταυροῦντες καὶ νεκροῦντες τὰ ἑαυτῶν μέλη τεχνῶνται, ἄνω μὲν διῃρμένοι τῇ τῶν κάτω περιορᾴσει, τὸν ἔξω δὲ θανατοῦντες ἄνθρωπον, οἷς τῶν φαύλων ἐπιθυμιῶν αὐτὸν ἀπάγοντες, ἑτέρας ζωῆς γίνονται.

27. Τί δὲ δὴ κωλύει τὸ ἀποτοῦδε, καὶ εἰς τάφον τα μάλιστα τὸν στύλον τοῦτον θεωρῆσαι, διὰ τὰ ἐν αὐτῷ μυστηριωδῶς τελούμενα, τὰ ἐπιτάφια σπεῖρα τοῦ ἀσκητοῦ, τὸ νεκρικὸν εἴλημα, τὴν κατάθεσιν, ὁποία τις καὶ τεθνεῶσιν ὡσίωται, τὰς ἁρμοττούσας τοῖς ἐξαγομένοις ἱερὰς ᾠδάς, δι' ὧν ἁπάντων ὁ τῷ στύλῳ ἐναποτεθεὶς τεθνάναι καὶ τεθάφθαι διδάσκεται.

28. Ἀλλ' ὅπως μὲν ὁ στύλος οὗτος ὑπογραφήσεται ὡς ἐν προχαράγματι καί τινι προκεντήματι, διατυπωθὲν ἐσκιαγράφηται ἀμυδρῶς· καὶ σοφὸς λαβὼν διδομένην ἀφορμήν, ἀναβήσεται εἰς τὸ ἔτι σοφώτερον, καὶ θεμέλιον οἷον τοῦτον ἐξευρηκώς, ἐκκορυφώσει τὸ τέλειον. Τὸ δ' ἐντεῦθεν ἡμῖν ἀπονητὶ προσευπόρηται, καὶ οἷός τις ὁ ἐνταυθοῖ ἀνωφορούμενος, καὶ εἰς τὸ τοῦ στυλίτου ἀναβὰς ὄνομα. Εἰ γὰρ ὁ στύλος τοιοῦτος, ὁποῖον αὐτὸν ὁ ὑπογραφικὸς λόγος προϋπεστήσατο, καὶ ὁ ἐπὶ τοῦ στύλου δήπουθεν κατὰ τὸν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς θεωρίας σκοπὸν μέγα τι ἀνθρώπου χρῆμα ἔσται καὶ ὑψηλόν, καὶ οὐ κατὰ τοὺς πολλοὺς φαῦλον καὶ ταπεινόν. Συνεπιμεριζόμενος γὰρ οὐσιωδῶς, οἷς ὁ στύλος ὥρισται, πολυπληθὲς ἂν καὶ αὐτὸ θεωρηθείη καλόν, εἷς μὲν ὢν τῷ λόγῳ κατὰ τὸν στύλον, ἄλλως δὲ πληθυνόμενος ἐλλόγως τοῖς ἐνεργήμασιν.

29. Ἀγγελοειδής τε γὰρ φαίνοιτο ἂν διὰ τὴν θεωρουμένην κλίμακα, ταῖς μὲν ὑψηλαῖς ἐννοίαις καὶ ταῖς εἰς θεὸν ἀνατάσεσιν ἀναβαίνων εἰς ὕψος, καὶ μηδεμίαν τηνικάδε σχέσιν πρὸς τὰ κάτω τηρῶν, ἀλλὰ ἐπίπαν ἀνιπτάμενος εἰς τὸν ὕψιστον, καὶ ὑπερφυῶς ἐνεργῶν κατὰ νοῦν, ᾧ μηδέν τι τῶν κάτω φύσει μέτεστι· καταβαίνων δὲ αὖθις ὡς εἰς βάθος ταῖς πράξεσιν, ἐν αἷς τοῖς κάτω σύνεστιν ὁμιλητικῶς, καὶ ταῖς ὠφελείαις, ἃς εἰς ψυχὴν διαβιβάζει τοῖς μιμητικῶς ἐντυγχάνουσιν· ἵνα τῷ λόγῳ τούτῳ καὶ ὁ στύλος οὗτος ὁποῖά τι σημεῖον εἰς βάθος τε καὶ ὕψος θεόθεν ζητηθείη, καὶ δοθείη ἐκεῖθεν τῷ ἀσκητῇ, ἀποσώζοντι καὶ ἑτέρως τὸ τῆς κλίμακος σύμβολον. Αὕτη τε γὰρ τὸ ἀνώῤῥοπον ἔχουσα, οὐδὲ τῆς γῆς λείπεται. Καὶ ὁ ἐπὶ τοῦ στύλου δὲ οὐκ ἔσθ' ὅπως ἀπόσχοιτο ἂν πάντη πάντως τῶν περὶ γῆν, ἀναβαίνων εἰς θεόν, ἕως ἀπολυθεὶς τῆς σαρκὸς νοῦς ὅλως πρὸς ἐκεῖνον πτερύξεται.

30. Κατά τε ἄγγελον οὕτω θεωρηθήσεται ὁ ἐπὶ τοῦ στύλου. Καὶ ἀκολούθως εἰς ἀρετῶν κορυφὴν οὔκουν ἀναβαίνει, ἀλλ' ἀναβῆναι αὐτίκα ἤδη παραδείκνυσι, καὶ οὐ διὰ τραχείας βιάζεται τὴν ἄνοδον (μελετῶντος γὰρ τοῦτό γε, καὶ ἐντριβομένου ταπεινοτέροις ἔτι γυμνάσμασιν), ἀλλ' εἰς αὐτὴν κατηχηκέναι τὴν ῥᾳδίαν, καὶ ἣν πατοῦσιν οἱ τὸ κατὰ μὲν τραχὺ παρελάσαντες, τῇ δὲ ἀνωτάτω πεδιάδι πελάσαντες, καὶ τῆς ἔμφρονος ῥᾳστώνης γενόμενοι, καὶ τὸν μὲν φόβον ἔξω βαλόντες, ὃς τοῖς ἀκροσφαλέσιν ἀφώρισται, τῷ δὲ ἀγχωμάλῳ καὶ λείῳ τῆς ἀγάπης προβάντες, ταὐτὸν δὲ Ms. fol. 154. b. φάναι, θεῷ || πλησιάσαντες· ἔνθα οἱ τῆς ὄντως τρυφῆς λειμῶνες τεθήλασι, καὶ ἀρεταὶ χοροβατοῦσιν, οὐκέτι κακίαις βίου παρασπιζόμεναι, οὐδὲ παραμεμιγμέναι τοῖς ἀκανθώδεσιν ἁμαρτήμασιν, ἀλλὰ καθαρῶς ἔγκαρποι,

καὶ πάσαις φαυλότησιν ἀπαράμικτοι, καὶ ἀκραιφνῶς ἄκρατοι καὶ ἀκήρατοι.

31. Βούλομαι καὶ εἰς τὸ θεωρηθὲν ὄρος ὑψωθῆναι, καὶ εἰς τὸν ἐχόμενα τούτου βουνὸν ἀναβῆναι, καὶ τοῦ γαζοφυλακίου γενέσθαι, ὡς καὶ προσύψασθαι τοῦ ἐντὸς θησαυροῦ εἰς πλουτισμόν, καὶ προςπετασθῆναι τῇ νοσσιᾷ, καὶ ἐπὶ τοῦ πύργου στῆναι, καὶ τὴν τεθεωρημένην πόλιν τοπογραφῆσαι, καὶ τῷ τοῦ στύλου φωτὶ καὶ πυρὶ τὴν θέαν ἐπαφεῖναι εἰς ἔλλαμψιν, καὶ τὸν ἥλιον περιαθρῆσαι, καὶ τοῖς ἄλλοις δὲ ἅπασι τὴν θεωρίαν ἐνασχολῆσαι πλατύτερον, ὅσα τὸν τοῦ στύλου λόγον παρ' ἡμῖν ἀπεπλήρωσε. Σχάζω δὲ τό γε πολὺ τῆς ὁρμῆς, ὁρῶν τοὺς ἀκροατὰς ὑφαρπάζοντας, καὶ μονονουχὶ πρὸ χειλέων φέροντας τὰ νοούμενα. Διὸ καὶ οὐ μακρά με δεήσει προςενεχθῆναι τούτοις, καὶ διασκευάσασθαι λεπτολογίαν πολλήν, ἀλλὰ τῆς θεωρίας γενέσθαι, εἰς ὅσον καίριον.

32. Ἀκούεις, ὦ στυλῖτα, τί μὲν ὁ στύλος, τί δὲ ὁ ἐπ' αὐτοῦ. Ἔχεις τοίνυν αὐτόθεν καταλαβέσθαι, καὶ διατί ταῦτα· καὶ οὐ χρὴ πνεύμονος ἡμῖν πολὺν ὥ φασι πόνον γίνεσθαι. Βλέπε, δοκῶν ἀνεστηκέναι, μὴ πέσῃς· ἴδε, μὴ καταπέσῃς τῆς ὑψηλῆς προθέσεως. Ἀγγελοπρεπῆ πολιτείαν ἐπηγγείλω. Χρεὼν οὖν, ἐναρέτως βιάζεσθαι τὸ ἰσάγγελον, καὶ πραγματεύεσθαι μὲν τὸ στάσιμον καὶ τὴν θείαν παράστασιν, φυλάττεσθαι δὲ τὴν ὑπένδοσιν, τῷ παντὶ δὲ πλέον τὴν κατάπτωσιν. Ἐπὶ μακαριστῆς ἄκρας βέβηκας. Χρὴ τοίνυν ἐπαληθεύεσθαί σοι τὸ κορυφαῖον ἐν ἀρεταῖς. Ὅρος ἔχει σε τοῦτο τὸ ὑψοποιὸν εἰς θεόν, καὶ ὃ παντὸς ὄρους κατακαυχᾶται καὶ βουνοῦ· τῶν τῆς ἀποπλανήσεως μὴ ἀνάσχῃ στραφῆναι κάτω, ἀλλ' ἐπὶ τοσοῦτον φέρε τὰ τῆς ὑπωρείας εἰς νοῦν, ἐφ' ὅσον καὶ ἄλλους ἐκεῖθεν ἀναγαγεῖν· ἵνα κατὰ θεῖον ζῆλον, ἐπεὶ ὑψώθης, ἀνελκύσῃς πρὸς σεαυτόν, εἰ καὶ μὴ πάντας (τάχα γὰρ οὐκ ἂν δύναιο), ἀλλά γε πολλούς, οἳ τοῖς ἐν σοὶ καλοῖς ἔργοις ἐμβλέποντες, βουλήσονται εἰς τὰ ἄνω ἐξαίρεσθαι. Συγκεκόμισαι τῷ θεῷ, καθὰ καί τις πολυτίμητος θησαυρός. Κατάκρυπτε γοῦν σεαυτόν, μήποτε ὁ ψυχοκλέπτης παρασυλήσῃ σε καὶ κατορύξῃ, ἔνθα τὸ θεῖον οὐκ ἔστι ἐπαύξεσθαι τάλαντον. Νοσσιὰν τεθεώρηκε μὲν τὸν ἀσκητικὸν στύλον ὁ λόγος, ὀκνεῖ δὲ διόλου ἐμμεῖναι τῷ ῥήματι τούτῳ διὰ τὸν ἐν αὐτῇ τέλειον ἄνδρα, ὃν οὐ κατὰ τοὺς ἀτελεῖς καὶ ἀπτῆνας νεοσσοὺς ἔχομεν διασκέπτεσθαι, ἀλλὰ κατὰ τοὺς ὑψιπέτεις ὄρνις, ὁποίους ἐπὶ νεφελῶν πέτεσθαι γραφικῶς θεωρήσει τις, ἢ καὶ κατὰ τοὺς βασιλικοὺς ἀετούς, ὃ δὴ καὶ ἄνοπιν τῷ λόγῳ προςηυπορήσαμεν. Ὦ τοίνυν ἡμέτερε σὺ ἀετέ, βασιλικῶς προςφέρου σεαυτῷ, καὶ τὸ εὐγενὲς τῆς ἀρετῆς μὴ καταίσχυνε, εἰκῇ τὸ πτερὸν διαπεταννύς, καὶ εἰς ἀνέμους πλαζόμενος· ἀλλ' εἰς θεὸν ἀνιπτάμενος, πρὸς τὴν ὀφειλομένην ἄγραν τὴν πτῆσιν εὐθέτιζε.

33. Στρατιώτου τάξιν ἀπέχεις, ἐπὶ πύργου ἰσχύος τοῦ τεθεωρημένου τεταγμένος, καὶ ὀφειλέτης ὢν κακοπαθεῖν, ἵνα οἷα καλὸς ἀρέσῃς τῷ ἐστρατολογηκότι σε, εἰπεῖν ἀποστολικῶς. Περιβέβλησο γοῦν δύναμιν, καὶ ὁπλί||ζου κατὰ πάσης ἐπιβουλῆς τε καὶ ἑλεπόλεως. (Ms. fol. 156. a) Καὶ οἶδα μέν, ὡς προβαλέσθαι πάντως ἂν ἔχοις, ὃν ἐγκρατῶς περιβέβλησαι, θώρακα, καὶ τὸν λοιπὸν σίδηρον, ὃς περίκειταί σε. Ἀλλ' ἐγὼ καὶ τὸν τοῦ μεγάλου Παύλου θώρακα καὶ τὴν λοιπὴν ἅπασαν ἐκείνου πανοπλίαν ζητῶ κατιδεῖν ἐν σοί. Ταύτην περίθου μάλιστα, ταύτην ὑπόδυθι· καὶ ὁ τῶν ψυχῶν πολέμιος οἰχήσεται, Ἁρπυίαις ἑαυτὸν ἐκδούς. Καλὸν μὲν γὰρ καὶ ὁ φορούμενος σίδηρος οὗτος, καὶ βέλη κατὰ τοῦ πονηροτάτου πολεμιστοῦ ἐξ αὐτοῦ χαλκεύονται. Ἀρκεῖ δὲ ὅμως οὐδέν, ὡς καὶ ἀκατάβλητον τὸν ἐν αὐτῷ στρατιώτην ἀποτελεῖν, εἰ τὴν ἀποστολικὴν ἐκεῖνος ἀποῤῥίψει σκευήν. Τί δὲ λέγω οὐκ ἀρκεῖ; δέον εἰπεῖν, ὡς ἐκείνης δίχα καὶ ἀμβλύνει ταῦτα τὸ ἐν ἔργοις ἀσκητικοῖς ὀξύ, καὶ καθέλκει τὸ ἀνωφορούμενον, καὶ βαρύνει τὸ κοῦφον, καὶ τὴν ἄνω πτῆσιν παύει, καὶ καταφέρει πρὸς γῆν.

34. Πολλοὺς ὁ σίδηρος εἰς τὸν κατὰ τοῦ νοητοῦ ἀντιμάχου ἐστόμωσε πόλεμον, πολλοὺς καὶ ἀμβλύνας συνεπόδισεν, ἐκείνοις μὲν ὁποῖά τι ὅπλον ἀμφιτεθείς, τούτοις δὲ ὡς εἰς χειροπέδην διεκπεσὼν καὶ ποδοκάκην καὶ τύφωνα· οὓς καὶ οἰκτείραι ἄν τις δικαίως, εἰ τὴν τοῦ βίου διαπλέοντες θάλασσαν οὕτω δεινὰ βραττομένην, καὶ κυμαινομένην ἀκάθεκτα, καὶ ἀπειλοῦσαν κίνδυνον, οἱ δέον ἀπερίττοις μέλεσι φέρεσθαι δι' αὐτῆς, εἶτα καὶ σιδήρου βάρος περίκεινται· ὃς δὴ σίδηρος τοῖς μὲν ἐπ' ἀληθείᾳ ἐγκρατευταῖς οὐκ εἰς βυθίζον βάρος, ἀλλ' ὡς εἰς ἄγκυραν σωτηριώδη καὶ ἱερὰν ἀποτέτακται, τοῖς δὲ ἄλλως ἔχουσιν ὡς μόλυβδος ἐν ὕδατι σφοδρῷ γίνεται, ὑποβρυχίους ἐκείνους τιθείς. Οὔκουν ἐξ ἀνάγκης οὔτε σωτηριώδης ὁ τοιοῦτος σίδηρος, ἀλλ' οὐδὲ μὴν βλαπτικός, ἐπαμφοτερίζει δέ πως καὶ κατὰ τὴν παρὰ τοῖς σοφοῖς δύναμιν· τάχα μὲν οὕτως, τάχα δὲ ἄλλως ἐξέπεσε, τῷ τῆς προαιρέσεως ταλάντῳ ζυγοστατούμενος.

35. Φέρε προενέγκω τοῖς παροῦσι συγκυρίαν πράγματος παραπεσόντος ἔναγχος, τοῖς μὲν εἰς μνήμην (πολλοὶ γὰρ οἴδασι), τοῖς δὲ εἰς διδασκαλίαν, ὅσοις οὐκ ἔγνωσται. Φροντιστήριον θεῖον, οὐκ εἰς λαμπρότητα

ἐσκευασμένον, ὅτι μὴ σεμνὸν μέχρις ὀνόματος, ὁ καθ' ἡμᾶς κλίζει κόλπος οὗτος, ὁ πρὸ ὀφθαλμῶν, βραχύ τι πρὸ τῶν τειχέων τῆς πόλεως, οἷς προςβλέπει ἀναβαίνων ἑῷος ἥλιος. Τοῦτο τὸ σεμνεῖον ἄνδρα τινὰ ἔβοσκεν, ὃς τὸν ἀσκητὴν ἐμορφάζετο, οὐχ οὕτω κοσμούμενος τῷ τῶν ἀμφίων μέλανι, ὅσον ἐπικαλύπτων ἐν αὐτοῖς κρυπτικῶς τὴν ὑπόκρισιν. Καὶ σίδηρος αὐτὸν ἔσφιγγεν, ὁ μὲν τὴν ὀσφὺν ζωννύων, ὁ δὲ ἐπωμιζόμενος, ὁ δὲ ἀμφιμάσχαλος. Ἦν ἐκεῖνος τοιοῦτος, καὶ περιενόστει φρεναπατῶν τοὺς πολλοὺς σιδηρόδετος, κακουργίας τινὸς οἶμαι κατά τι θεῖον δίκην ταύτην διδούς, καὶ παραφαίνων ὀφειλέτης εἶναι τοιαύτης περιβολῆς. Καιρὸς δή τις, καὶ πράγματα περὶ αὐτὸν ξενικά, καὶ ἔδει αὐτὰ τηρεῖσθαι· καὶ εὐθὺς θαῦμα. Λύεται μὲν γὰρ αὐτόματος τοῦ σιδηρέου δεσμοῦ ὁ πολλῶν τοιούτων ἐπάξιος· καὶ ὁ μὲν σίδηρος κατὰ γῆς ἔκειτο, τὰ δὲ ἀλλότρια φόρτος τοῖς ἀσκητικοῖς ὤμοις ἐπέκειτο, Ms. fol. 155. b. ἐς κα || πήλου τινὸς οἶμαι τὸ ἄχθος ἀποφορτισομένοις, ὑποφωνοῦντος τοῖς οὕτω κοπιῶσι, καὶ πεφορτισμένοις ἔρχεσθαι, καὶ ἀναπαύεσθαι παρ' αὐτῷ. Καὶ ἀντάλλαγμα τοῦτο σχὼν ἐκεῖνος ἀσκήσεως καὶ μισθὸν ἀρετῆς, μάλιστα μὲν οὖν ὤνια ταῦτα βαθείας λαβὼν ὑποκρίσεως, ᾤχετο αὐτὸς μὲν χαίρων, κλαύματα δὲ τῷ τῆς παραθήκης δεσπότῃ καταλιπών. Πόσον δὴ κάλλιον, λαμπρειμονεῖν ἐκεῖνον, καὶ ἱματισμὸν εὐαφῆ περικεῖσθαι, καὶ σωφρονεῖν, ἤπερ οὕτω σιδήρῳ βαρυνόμενον μυρία κακὰ ἐπαχθίζεσθαι. Καὶ νῦν κειμηλιοῦται παρ' ἡμῖν ἐκεῖνος ὁ σίδηρος, θέαμα σεμνὸν ἐσόμενος, μενοῦν γε χορηγία γέλωτος μὲν τοῖς πολλοῖς, ἐπιστροφῆς δὲ τοῖς ἀγαθοῖς. Κείσεται γὰρ ὑποκρίσεως θρίαμβος, ἐλέγχων ἀρετὴν ψευδεπίπλαστον, καὶ παραδειγματίζων τὸν οὐκ ἀγαθόν, τάχα οὐδ' ἀποῤῥιφεὶς ὑπὸ τοῦ φαύλου ζωγράφου τῆς ἀρετῆς, ἀλλ' αὐτὸς διεκφυγὼν ἄνδρα ἐπίβουλον, ἵνα μὴ καὶ ὀχρειοῖτο· σήμαντρον μὲν ὢν ἐναρέτου ζωῆς, καὶ τραχυτέρου βίου σύμβολον, καπηλεύων δὲ τῆς ἀρετῆς τὸ μακάριον ἐν ἀνδρὶ κιβδήλῳ, καὶ μαστροπεύων οἷον τῇ κακίᾳ, καὶ πολλοὺς εἰς αὐτὴν ἐπαγόμενος φαύλους ἐραστάς, μᾶλλον μὲν οὖν ἀγαθοὺς ζηλωτάς, δουλουμένους τὴν ἐπιθυμίαν, καὶ φενακιζομένους τῷ προφαινομένῳ τῆς φαυλότητος.

36. Μηδεὶς εἴη τοιοῦτος, μηδεὶς οὕτω βαρυνέσθω· ἀλλὰ τὸ τῆς ἀνυποκρισίας φέρων πτερόν, κοῦφος αἰρέσθω, καὶ πρὸς θεὸν ἀναβαινέτω, εἰδώς, ὡς καλὸς μὲν καὶ ὁ ἀσίδηρος καὶ ψιλὸς βίος, καλὸς δὲ καὶ ὁ καταφράσσων σίδηρος, εἰ καλῶς φοροῖτο, καὶ γεγανωμένος τῇ ἁπλότητι στίλβει, καὶ μὴ τὸν τοῦ τύφου ἰὸν προβέβληται.

37. Τί γάρ μοι καὶ ἱστορίαις ἐνδιατρίψαι, ὡς ἂν ἐντρέψω τὸν ἐκ τοῦ σιδηροφορεῖν τῦφον; Τί δὲ καὶ ἐθῶν ἀναμνηστέον παλαιῶν καὶ ἐθνῶν, ἐν οἷς εὕρηται τὸ στρατιωτικὸν ὅπλοις ἐπηχθισμένον διὰ βίου, ἔν τε τῷ ἐκκλησιάζειν, ἔν τε τῷ συμποσιάζειν, ἔν τε ὁδοῖς, καὶ ὅλως πανταχοῦ· ὡς ἂν οὕτως εὔφορον τὸ τῆς πανοπλίας βάρος αὐτοῖς εἴη καὶ περίβλημα σύνηθες, καθὰ καί τις ἱματισμός, ἐγγυμνασαμένοις τῷ συνεχεῖ τοῦ συνεθισμοῦ; Τί δὲ προςιστορητέον, καὶ ὅσοι πρὸς τοῖς ὅπλοις καὶ λίθον ἄξιον λόγου εἰς φόρτον ἔφερον, ὃν ἐχρῆν ἐν καιρῷ ἀπεῤῥιφότας ἔργου ἅπτεσθαι γενναιότερόν τε καὶ ἐλαφρότερον, ὡς ἐὰν μὴ κατάφρακτός τις ἦν, ἀλλὰ ψιλός, ἢ καὶ ἡμίγυμνος; Τί γοῦν μοι καὶ τοιούτοις ἐνδιατρίψαι λόγοις, ἔνθα εἰπεῖν ἀπόχρη, τὰ μακρὰ ἐπιτεμόντα, ὡς φιλῶ μὲν ἐγὼ τὸν τοιοῦτον σίδηρον καὶ ὑπερφιλῶ, ἐκεῖνο συνεννοούμενος, ὡς οὔτε πόλεμος ὁ πρὸς αἴσθησιν ῥᾷον κατεργασθείη, μὴ καὶ σιδήρῳ βραβευόμενος, καὶ νοητὸς δὲ δέοιτο ἄν ποτε τοῦ σιδήρου τούτου καλῶς; Καὶ ὁ τοῦτον φορῶν μετὰ λόγου ὀρθοῦ ὡςεὶ καὶ βέλος ἐκλεκτὸν λογίζεται τῷ θεῷ, τῷ πτερῷ μὲν τῆς νοερᾶς ἀναφορήσεως κουφιζόμενος, προβεβλημένος δὲ τὸν οἷον ὀξυβελῆ τοῦτον καὶ τμητικὸν τῶν ἀπεναντίας δυνάμεων σίδηρον· καὶ ὀϊστὸς οὕτω πτερόεις, καίρια βάλλων, καὶ κατὰ τοῦ διαβόλου πεμπόμενος, καὶ τῷ πετομένῳ ἡμέρας βέλει ἀντιπετόμενος. Καὶ οὕτω μὲν τὴν τοιαύτην σιδηροφορίαν ὑπερφιλῶ· λέγω δέ, μὴ χρῆναι ἀπεγνωκέναι, εἶναι καὶ ἄλλως || σώζεσθαι. Ms. fol. 156. a. Καὶ γάρ τοι καὶ μάχαι πολλαὶ καὶ πολεμίων καταβολαὶ ἀνύοιντο ἄν, σιδήρῳ ἀμεταχείριστοι. Πολλοὺς γοῦν καὶ λίθοι καταμόνας ὤνησαν, καὶ μυρία ὤρθωσαν τρόπαια, καὶ ταῦτα κοινῇ τε καὶ ἰδίᾳ.

38. Εἰ γοῦν καὶ ὁ ἱκανὸς τῇ χειρὶ Δαυῒδ ὅπλῳ τοιούτῳ κατὰ μεγάλου ἐχθροῦ ἐνελάμψατο, εἰ δὴ τοῦτο, γινωσκέτω ὁ σιδηροφόρος ἀσκητής, καλὸν πρᾶγμα ποιεῖν· ἀπεχέσθω δὲ τῆς τῶν λοιπῶν κατακρίσεως, καὶ τοῦ λαλεῖν ὑψηλὰ καὶ φρονεῖν, ἵνα μὴ μόνον ἔξω φοροίη τὸν σίδηρον, καὶ προφαίνοι ἐπιπολῆς, ἀλλὰ καὶ εἰς βάθος φέροι ἐν τῇ ψυχῇ, καὶ οὕτω κάτω κάμπτοιτο ταπεινούμενος, μᾶλλον δὲ πανταχόθεν κατάφρακτος ὤν, τῶν πολεμούντων περιγίνοιτο. Ἀλλ' οὕτω μὲν στρατιώτου τόπον ἐπέχεις πυργοφύλακος, ὦ ὑψηλὲ ἄνθρωπε, καὶ δεῖ σε τυποῦσθαι πρὸς αὐτόν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ οὐρανόπολιν καὶ ταύτην ὀχυρὰν κατοικεῖν ἔλαχες. Μήτε τοίνυν πολίτης ἀποβαίης, ὁποίους ὀστρακίζει τὸ ὑγιέστατον εὐαγγέλιον, μήτε μὴν εἰς ἐρημίας ἀποπλανηθείης, ἐν αἷς ψεύδεταί τις τὸ κατὰ τὸν θεὸν πολιτικὸν καὶ ἥμερον καὶ φιλάλληλον· συντήρει δὲ ταύτην ἐν ὀχυρότητι διηνεκεῖ ἀκατάβλητον, ἀκατάπτωτον, μόνιμον, ὡς ἂν μὴ περιγράψῃς ἐν

σοὶ καὶ μόνῳ τὸ ἀγαθὸν ἐξερημώσας, καὶ τῷ σῷ θανάτῳ συγκατενεγκὼν τὸ καλόν. Ἀλλ' ὁ ἔνθεος ζῆλος εἰς οἰκουμένην παρεκτενεῖ ταύτην καὶ τοῖς ἑξῆς. Τί γὰρ χρεών, ἐπ' αὐτῆς μὲν διαβιῶναί σε, μὴ ἐγκαταλιπεῖν δὲ μνήμην μακαρίαν καὶ τοῖς εἰςέπειτα, ὁποία ἡ τοῦ δικαίου ἡ μετ' ἐγκωμίων· ἀλλὰ ἀφεῖναι ἀξίαν καταβολῆς, καθὰ καί τινα τάφον, εἴτ' οὖν κενήριον εἰς μάτην κεκονιαμένον, καὶ οἷον ἄξιον εἶναι μὴ μεῖναι λίθον ἐπ' αὐτοῦ; Συντηρηθήσεται δὲ ὀχυρά, καὶ εἰςαεὶ ἑστήξεται, εἴπερ ὁ κύριος προκληθεὶς φυλάξει αὐτήν, ἵνα μὴ εἰς μάτην σὺ ὁ φυλάττων ἀγρυπνῇς. Οὕτω γὰρ οὐκ ἂν ὁ ἀναβαίνων ἐπιλείψῃ αὐτήν.

39. Ταῦτά τε οὖν οὕτω ποίει. Καὶ ὅτι δὲ πυρσὸς ἀνήφθης ἐνταῦθα σωτήριος, μὴ τὸ φῶς ἀποσβέσῃς, καὶ ὡς ἐν σκοτομήνῃ πλανᾶσθαι δώσεις τοὺς ἀφορῶντας εἰς σέ, μήποτε καὶ ταῖς ὑφάλοις καὶ ταῖς ῥαχίαις ἐγκύρσαντες, ὅτε τοῦ πλέειν καιρός, γένωνται κατὰ βυθοῦ, καὶ οὐκέτι φρυκτωρῶν πυρσὸς τὰ ἐνταῦθα λογισθείη, φρύγοντος δὲ πυρὸς ἀνθρωποφλόγου κλίβανος. Ἀλλὰ μηδὲ τὸν τῆς θεωρίας πύρινον στύλον ταπεινώσῃς, ὡς εἰς ἐπίχυσιν, ἢ καὶ καταπνοαῖς ἐναντίαις ῥάσῃς διαῤῥιπισθῆναι ἀφύλακτον, καὶ σβεσθῆναι, καὶ ἀφεῖναι τοὺς ὁδηγουμένους κατὰ σκότον ἐλάσκεσθαι, μήποτε τοῖς ἐπιδιώκουσιν εὐχείρωτοι γένωνται, καὶ ἀντὶ σωτηρίου πυρὸς πῦρ Γεέννης ἐξαναφθῇ κολαστήριον. Τεθεώρησαι καὶ ὡς ἥλιος ἐν οἴκῳ τούτῳ· λάμπε τοίνυν ὑψόθεν, καὶ κατάφρυγε μέν, ὅσα χρεών· ζωογόνει δέ, ὅσα τε κατὰ θεὸν ζῆν ἐπιδέονται. Ἐθεωρήθη καὶ θεοῦ οἶκος ὁ σὸς τόπος οὗτος· θεός τις ἄρα καὶ ὁ ἐν αὐτῷ, οἷα ἔνθεος, καὶ θεοῦ μετέχων διὰ τὴν μιμητικὴν πρὸς ἐκεῖνον ἐκτύπωσιν. Θεὸν δέ τις εἰπών, οὐκ ἀφίησιν ἐπινοεῖσθαι κρεῖττόν τι καὶ ὑψηλότερον· καὶ ἔνθεον δέ τις ὀνομάσας τινά, θεῷ τὸν ἄνδρα παρέστησεν. Οἰκεῖον δὲ πάντως, εἰ ταῦθ' οὕτως ἔχει, καὶ ναὸν ἅγιον τὸν οἶκον τοῦτον προςειπεῖν, καὶ θαυμαστὸν δὲ ἐν δικαιοσύνῃ διὰ τὸν ἐν Ms. fol. 156. b. αὐτῷ δίκαιον ἄνθρωπον καὶ ὅσιον· || ὅτι καὶ δίκαιος καὶ ὅσιος ὁ κύριος, οὗπερ τὴν ἀφομοίωσιν ὁ ἐπὶ ναοῦ τούτου ἀσκητὴς ἐκμάττεται.

40. Εἰ δ' οὕτω πρὸς θεὸν ἀνήχθης τῇ θεωρίᾳ, οὐ χρεία περιόδου τινός, καὶ εἰς αὐτὴν ἄντικρυς ἀρετὴν θεωρῆσαί σε ἀκολούθως, οἷς καὶ ἀρετῆς οἰκητήριον ὁ στύλος τεθέαται. Ὁ γὰρ θείων χαρισμάτων ἔμπλεως ἄνθρωπος, καὶ οὕτω θεοῦ γέμων, οὗπερ ἡ ἀρετὴ καλύπτει τοὺς οὐρανούς, ὅλος δήπουθέν ἐστιν ἀρετή, ὀλίγα προλογιζόμενος τῇ σαρκί. Οἱ τοίνυν βλέποντές σε νομιζέτωσαν, ἀρετὴν αὐτὸ τοῦτο βλέπειν ὡς ἂν τυπούμενοι πρὸς εἰκόνισμα τοιοῦτον, ἀνάγοιντο πρὸς τὸ μέγιστον ἀρχέτυπον. Σκοπὸς τέθεισαι ἐν σκοπευτηρίῳ τοιούτῳ, καὶ χρὴ πάντως μὴ πρὸς θάνατόν σε ἀφυπνῶσαι, ἀναπεσόντα ἐπ' αὐτοῦ, καὶ κατενεχθέντα εἰς κῶμα βαθύτατον, ἀλλὰ σεαυτόν τε φυλάττεσθαι, μὴ ὑπὸ χεῖρα τοῖς πολεμίοις πέσῃς, καὶ τοὺς ὅσοι τῷ σῷ σκοπεύματι πεποίθασιν.

41. Ἐξεγένετό σοι μετεωρισθῆναι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ὡς εἰς οὐρανοῦ ὕψωμα, καὶ εἰς κυριότητος ἀξίαν κατανοηθῆναι ἀνθρώπῳ τελείῳ πρέπουσαν, ὁποῖος ὁ πρὸ βραχέος θεωρηθεὶς ἔνθεος. Μὴ τοίνυν ἐθελήσῃς χθαμαλὸς γενέσθαι, καὶ ἀκοῦσαί ποθεν, ἄνω καταβῆναι, εἴτε καὶ ἄλλως ἀναβῆναι κάτω, οἷς τῷ μὲν στύλῳ ἄνω, τῇ δὲ περὶ γῆν προςπαθείᾳ κάτω βέβηκας. Περιφρονεῖν ἐτάχθης τὴν γῆν· ὑψώθης, εἴποι ἂν Δαυίδ, ὡς ἐκλεκτὸς ἐκ τοῦ λαοῦ τοῦ θεοῦ. Αἰθεροβατεῖς ἤδη, τῶν γηΐνων ὑπεραιρόμενος. Μὴ δὴ τὸ πτερὸν ἀχρειώσῃς, δι' οὗπερ ἔστι σοι πέτεσθαι. Οὐράνιος εἶ, οὐ μόνον, ὅτι φυτὸν οὐράνιον (τοῦτο γὰρ καὶ ἅπας ἄνθρωπος, καθά τις πεφιλοσόφηκει), ἀλλὰ καὶ ὅτι τῆς γῆς ἀποῤῥιζωθεὶς παραδείσου φυτὸν γενέσθαι φιλονεικεῖς. Κάτεχε οὖν τὸ οὐράνιον, ὑποβλεπόμενος τὸν ἀπ' ἐναντίας τάρταρον. Ταῦτα πάντα συντηρῶν, περιποιοῦ τὸ ἐν θαυμαστότητι μετέωρον, τὸ οὐράνιον, τὸ ἀρχικόν· καὶ μηδέν τι τῶν τοιούτων παραδειγμάτων ῥίψῃς ἔξω μιμήσεως, ἵνα πρὸς ἄκραν τελειότητα ἐξαρθῇς.

42. Εἰ δὲ διὰ πολλῶν συμβόλων ὁ λόγος ἐρχόμενος ὁ ὁριστικὸς καὶ εἰς θεῖον ἀνήγαγέ σε ἀξίωμα, καὶ τοῦτό σε τυχὸν ἁρπάζει πρὸς ἔπαρσιν διὰ τὸ ὑπεροχικόν, ἀλλ' ἐπὶ λογισμοῦ ἔχε μὴ μόνον τὸν εἰς τρίτον μὲν οὐρανὸν ἁρπαγέντα, μένοντα δὲ τῇ ταπεινώσει κάτω, ἀλλὰ καὶ τὴν εἱρκτήν, εἰς ἣν ἡ ἐν λόγῳ θεωρία περιαγαγοῦσά σε ἐγκατέκλεισε. Καὶ τῷ λόγῳ τούτῳ κάτω βάλλε, εἴ που καὶ ἀνασπᾶται τὸ τῆς ὀφρύος πολύ· καὶ ἀναβαίνων ἕως καὶ εἰς οὐρανὸν τῇ πρὸς θεὸν δι' ἀρετῆς ἐγγύτητι, κατάβαινε καὶ ἕως τῶν ἀβύσσων τῷ ἀνυποκρίτῳ ταπεινώματι. Λέγε καὶ αὐτός· ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ἵνα τις ἀντιφθέγξηται, μὴ τοῦτο εἶναί σε, ἀλλ' οὐράνιον ἄνθρωπον· ὡς, ἐάν γε τὸ σεμνὸν τοῦτο αὐτὸς ἐπιλέγειν σεαυτῷ δικαιοῖς, οὐκ ἂν φθάνοις εἴς τι φαυλότατον καταγόμενος. Διὰ τοίνυν τὸ ἀρχικὸν καὶ ὑψηλὸν ἐξαιρόμενος, αὖθις διὰ τὸ κατακριτικὸν κατάβαινε εἰς ταπείνωσιν. Ἀγχιθυροῦσι γάρ πως κατάκρισις καὶ ἐγκάθειρξις, καὶ οὐδεμία εἱρκτὴ μὴ οὐχὶ ἐπὶ δικαιώσει πταίσματος ἐπινενόηται.

43. Ἐνταῦθα δὲ ἀξιώσαιμι ἄν, καὶ ἐξ ἀκεραίου καὶ πλήρους εἶναι τὴν κάθειρξιν, ὡς μὴ μέρει μέν

τινι κατακλείεσθαι, αὖθις δὲ μέρει ἑτέρῳ, καὶ ταῦτα τῷ κυριωτέρῳ ἄνετον εἶναι τὸν καθειργμένον, καὶ Ms. fol. 151. a. πλανᾶσθαι, ὅποι καὶ βούλεται. || Ἢ γὰρ οὐ τοιοῦτος ὁ τῷ σώματι μὲν ἐγκατῳκοδομημένος οἷον τῷ στύλῳ, ταῖς δὲ ὀρέξεσι βόσκων ἑαυτὸν ἄνετον; ὅς, εἴπερ εἶχε τῷ τῶν ἐπιθυμιῶν κούφῳ συνεπτερῶσθαι, συνεπέτετο ἂν ἐκείναις, καὶ ὀλίγα τὸν οἰκίσκον τοῦτον ᾤκησεν. Ἐγκλειστέον οὖν, ὦ οὗτος, ὅλον σεαυτόν, σώματι δηλαδὴ καὶ ψυχῇ, καὶ μάλιστα τῇ ψυχῇ, ὥστε σὲ μὲν ὅλον ὡς εἰς ψυχὴν μονάζεσθαι, ἀπλοϊκευσάμενον τὸ τῆς διαρτίας σύνθετον εἰς ὁλόψυχον τῷ τῆς ἀρετῆς ἐκνικήματι, τὸν δὲ στύλον ὅσα καὶ ἀνάλογόν τι σῶμα εἶναι τῷ ἔσω ἀνθρώπῳ, τῷ ὅλῳ ψυχῇ.

44. Εἰ δὲ ἀνάγκη πᾶσα, ἐπιθυμίας τινὰς ἔξω τοῦ στύλου πέμπεσθαι, ἀλλὰ ταύτας ἀξιοῦ ἐμμελῶς ἔχειν, καὶ πάνυ ἐλλόγως, καὶ ἀξίως τῆς ἔσω στενοχωρίας τοῦ ἀσκητοῦ καὶ κατασφίγξεως· ἵνα, καθάπερ ἀγαθὴ δέσποινα θεραπαινίδας ἐκπέμπει σώφρονας, ὅποι δέον ἐστί, οὕτω καὶ ἡ σὴ ψυχὴ ταῖς χρηστοτέραις τῶν ἐπιθυμιῶν ὑπουργοῖς χρῷτο. Μὴ γὰρ οὐκ ἐπιθυμήσει καὶ ὁ στυλίτης· ναὶ πάντως, ὅτι μηδὲ ἄψυχος, ὀρέξεται βρώσεως, ὀρέξεται πόσεως, καὶ ἀμφοῖν ἐν δέοντι· ἐπιθυμήσει ἐντυχίας προσώπων, οἷς χρεὼν αὐτὸν ὁμιλεῖν· ἔσται αὐτῷ ἔφεσις καὶ ἑτέρων, ὅσα τὸν ἀγαθὸν συνιστῶσιν ἄνθρωπον· ἀλλ' οὐ μεμπτέος διὰ ταῦτα ὁ ἄνθρωπος.

45. Καὶ οὕτω μὲν ὁ οὐράνιος, καὶ διὰ τοῦτο ὑπερέχειν δοκῶν. Ἐνθυμοῦ καὶ τὴν εἱρκτήν, καὶ γίνου τῇ ταπεινώσει κάτω· καὶ νοῶν, ὅλος ἐγκεκλεισμένος εἶναι, φρόνει κατὰ τοιοῦτον ἄνθρωπον. Μὴ πάντως δὲ καὶ εἰς ἀργίαν ἐντεῦθεν κατάπιπτε, συννοούμενος καί, ὅτι κατὰ τὴν πρὸ μικροῦ θεωρίαν ἀθλητής εἶ, καὶ σκάμμα σοι πρόκειται ἀθλητικόν, ἔνθα χρὴ ἐνεργὸν εἶναί σε, καὶ ὡς ἐντρεχῆ θιατρίζεσθαι. Τούτου γενοῦ τοῦ ἀγῶνος διὰ τὰ ἐν ἐλπίσιν ἔπαθλα. Ἐνταῦθα χρεών, καὶ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν σε καὶ ὑπερβάλλειν, ὅτι καὶ ἀποστολικὸν τὸ ἐν κόποις ὑπερβαλλόντως. Οὕτω γὰρ τὸν ἀντικείμενον καταβαλεῖς, ὃς ταῖς τῶν ἀρετῶν συμμετρίαις ἀντιπαρακάθηται, καὶ τῆς φαύλης ὑπερβολῆς ὤν, ἀπεχθάνεται ταῖς ἰσότησι. Καὶ γένοιτο μέν σοι νικᾶν, καὶ τῶν βραβείων τυγχάνειν τῶν μαρτυρικῶν, μὴ ἐπαρθῆναι δὲ μηδὲ οὕτω, μηδὲ παρυψωθῆναι τὴν οὐκ ἐπαινουμένην ἔπαρσίν τε καὶ ὕψωσιν. Εἰ γὰρ καὶ σύνδειπνος ἔσῃ τῷ πλουσιωτάτῳ δειπνοκλήτορι κατὰ τὴν ἐν τῷ ἀνωγέῳ φιλοσοφίαν, ἀλλ' ὁ μὲν δεῖπνος οὗτος ὕστερον, ὅτε καὶ ἡ τεταμιευμένη τοῖς δικαίοις ἐκφανθήσεται τρυφὴ καὶ ἀπόλαυσις.

46. Ἄρτι δὲ καὶ τὰ κατὰ θεὸν στίγματα ἐνθυμοῦ, τὰ τοῦ σταυρωθῆναι δείγματα, καὶ τὴν νέκρωσιν, καὶ ἐπὶ πᾶσι τὸν τάφον, εἰς ὃν ἡ τοῦ στύλου ἐκείνη θεωρία κατέληξε κατὰ βίου μίμησιν, οὗ καὶ αὐτοῦ τάφος τὸ συμπέρασμα. Τοῦτον ἐνθύμιον ἔχε, ἐν ᾧ τέθεικέ σε ὁ λόγος, καὶ ὡς οἷον εἰπεῖν ἐγκατέχωσεν. Εἰ γὰρ καὶ ἡμεῖς κάτω μένοντες, ὡς ἀναλαμβανόμενον θεωροῦμέν σε, καὶ ἤδη οὐράνιον ἄνθρωπον, ἀλλ' ἀναμιμνήσκομεν, ὅτι τε, εἰ καὶ οὐρανῷ ἐστήριξας κάρη, ἀλλ' ἐπὶ χθονὶ βαίνεις ὁ οὐρανοβάμων. Καὶ ὡς ἄλλον τρόπον τῷ οὐρανῷ τούτῳ ἐντέθαψαι, καί πως ἀνάβαινε καὶ τελεύτα ἐπι||φωνοῦμέν σοι· οὐχ ὥστε Ms. fol. 151. b. μὴν καὶ ἐναπομεῖναι καὶ νεκριμαῖον εἶναι, εἰ καὶ ἄλλον τρόπον νεκρὸν τοῖς πάθεσιν, ἀλλὰ ἀνεγηγερμένον φανῆναι κατὰ θειότερον τύπον, καὶ εἰς ἀγαθὰ ἔργα νηφάλιον.

47. Ἵνα δέ, εἰ καὶ τάφῳ τελευτῶν παρείκασται τὸ τοῦ στύλου καλόν, σεμνολογήσωμεν εἰςαῦθις καὶ ἄλλως αὐτόν, σκεψώμεθα καὶ μάλα ὀρθῶς, ὡς ὅτι τῶν κατὰ θεὸν ζώντων καὶ τὴν εἰς ἀρετὴν ὁδευόντων πολλοὶ μὲν οἱ τρόποι τοῦ βίου καὶ αἱ τῆς πορείας τρίβοι πολυσχιδεῖς, ὁ δὲ κατὰ στύλον βίος ἁπάντων πέφηνεν ἐκφανέστατος. Διχῇ γὰρ διῃρημένης τῆς κατὰ θεὸν ζωῆς, εἴς τε τὴν ἁπλουστέραν καὶ τοῖς πλείοσιν ἐθάδα, πολιτικωτέραν τε καὶ κοινήν, εἴς τε τὴν ἑτέραν, τὴν εἴτε καινοτόμον, εἴτε ξενίζουσαν, εἴτε ἀπεξενωμένην εἰπεῖν χρεών, ἡ μὲν πρώτη οὐ πολὺ πλουτεῖ τὸ ποικίλον τε καὶ ξενίζον, ἡ δὲ δευτέρα εἰς πολλὰ καινότερα ἔσχισται.

48. Ταύτης μέρος τῆς ζωῆς οἱ διὰ Χριστὸν τὴν αὐτοσοφίαν, καὶ οὗ τῆς συνέσεως οὐκ ἔστιν ἀριθμός, ἀπαρνησάμενοι τὴν κατὰ βίον δοκοῦσαν σοφίαν καὶ φρόνησιν· ταύτης οἱ γυμνῖται, οἱ τῷ ἱματισμῷ καὶ περιεργίαν πᾶσαν συναπεκδυσάμενοι· ταύτης οἱ τῶν τριχῶν ἀνεπίστροφοι, ὅτι καὶ τῆς κατὰ κόσμον ἁπάσης περιττότητος καὶ ἁβρότητος· ταύτης οἱ χαμαιεῦναι καὶ ἀνιπτόποδες, οὓς εὐφυῶς ἀνέπτυξέ τις τῶν σοφωτέρων, χαμαὶ μὲν εὐναζομένους εἰπών, ἀνιπταμένους δὲ εἰς τὰ ὕψιστα· ταύτης οἱ ῥυπῶντες καὶ ἐντεθαμμένοι τῇ πηλοποιΐᾳ ταύτῃ, ἵνα τὸν πήλινον ἀποπλύναντες ἀνδριάντα, καθαροὶ τὴν καρδίαν γένωνται· ταύτης οἱ σιγῶντες ἢ διὰ βίου, ἢ ἐφ' ὅσον ἂν ἄλλως δοκοίη αὐτοῖς, κἀντεῦθεν ἀοίδιμοι ὄντες, καὶ σιγῆς ταύτης τὸ μὴ σιγᾶσθαι, ἀλλὰ δι' ἐγκωμίων φέρεσθαι ἀλλαξάμενοι· ταύτης οἱ σπηλαιῶται, οἳ τὸ βαθὺ τῆς κατὰ πνεῦμα θεωρίας τῷ βίῳ τούτῳ καθυποφαίνουσι· ταύτης οἱ σιδηρούμενοι τοῦ θεοῦ οἱ ὁπλῖται· ταύτης οἱ δενδρῖται, οἱ τοῦ ξύλου τῆς ζωῆς

ἀκρέμονες, οἱ ἀνθοῦντες ἐν ἀρεταῖς, οἱ καλοὶ καρποὶ τοῦ πνεύματος· ταύτης οἱ κιονῖται, οἱ τὸν καθ' ἡμᾶς βίον ἀνέχοντες, καὶ λῆρον ἀφιέντες εἶναι τὸν εἰς οὐρανὸν ἀνιόντα χάλκεον κίονα καὶ τοὺς ἀτλαντικούς· ταύτης (ἵνα τοὺς λοιποὺς ἀφῶμεν τὰ ἑαυτῶν διαπράττεσθαι κατὰ τὴν θεόθεν ἐπίπνοιαν) καὶ οἱ ἐν ἀσκήσει τεθαμμένοι.

49. Τούτων δὲ αὖθις τριπλοῦς ὁ τρόπος· οἱ μὲν γὰρ ἐγκαταχωννύουσιν εἰς γῆν ὅλους ἑαυτούς, ἐγγίζοντες οὕτω τῷ τῆς ταφῆς ὀνόματι (μὴ γὰρ ὁ ὑπόγεως οὐ μικροῦ τέθαπται;)· οἱ δὲ γῆν μὲν πατοῦντες, βραχυτάτῳ δὲ καταλύματι ἐνείρξαντες ἑαυτούς, ὑπεμφαίνουσι τῷ ἀπροΐτῳ τεθάφθαι καὶ αὐτοί. Τρίτος δὲ τάφος ὁ μετέωρος οὗτος· καὶ ὁ ἐν αὐτῷ τεθειμένος, εἴτε καὶ τεθαμμένος, τῶν λοιπῶν τῆς ἀρετῆς ἀνδρῶν ὑπερφαίνεται, ἀναστηλώσας ἑαυτὸν εἰς πρόοπτον, καὶ δοὺς οὕτως ἅπασιν εἰς αὐτὸν ἀναβλέπειν, ὡς τοῖς ἁπάντων ὀφθαλμοῖς ἐμπίπτειν, καὶ μηδένα κρύπτεσθαι, κἀντεῦθεν ἐμφαίνων φανότατος εἶναι καὶ θέας ἄξιος, οὐ μὴν ἐγκαλύπτεσθαι καὶ ἀφανῶς ἔχειν, μηδὲ λύχνος εἶναι ὑπὸ μοδίῳ κεκρυμμένος, κἂν τρόπον ἄλλον ὁποῖα καί τις μόδιος ὁ στύλος οὗτος κρύπτειν ἐθέλῃ τὸν ἀσκητήν, εἰ καὶ μὴ δύναται, διεκπιπτούσης || [Ms. fol. 158 a.] τῆς φανότητος καὶ καταμηνυούσης τὸ καλυπτόμενον.

50. Ὁ τοίνυν τοιοῦτος ἄνθρωπος εἰκότως ἂν φιλονεικοίη, τῶν ἄλλων μείζων ὥσπερ φαίνεσθαι, οὕτω καὶ εἶναι, καὶ οὐ τῶν ἐθάδων καὶ κοινοτέρων καὶ πλειόνων, οἳ τὴν τῆς ἀρετῆς λεωφόρον τρίβουσιν, ἀλλὰ καὶ αὐτῶν πάντων, ὅσοι τοῖς ἐπιτυγχάνουσι σπανία προσβάλλουσι θέα, καὶ παράδοξος, καί, ὡς ἐῤῥέθη, ξενίζουσα. Οὔτε γὰρ παντάπασιν ἀπαρνήσεται σοφὸς εἶναι κατὰ θεὸν καὶ συνετὸς ὁ οὕτω μελετητικός, καὶ τὸ κρεῖττον ἐπιλέγδην ἑλόμενος· οὐδ' ἂν προαιρεθείη ὁ ὑπερφαινόμενος οὕτως ἑαυτὸν ταπεινῶσαι, ὡς καὶ μωρὸς εἶναι δοκεῖν, καὶ τὸν γυμνίτην δὲ ὑπερελάσαι σπουδάσει, ὡς ἂν μὴ ἐκεῖνος μὲν αὐχήσειεν ἀποδύσασθαι εἰς τὴν νοουμένην πάλην, καὶ δύσληπτος εἶναι τῷ ἀντιπάλῳ, καὶ κατ' ἴχνη βαίνειν τῷ καλῷ Ἰωσήφ, ὃς ἱματισμοῦ ψιλωθεὶς τὴν σωφροσύνην περιεδέδυτο· οὗτος δὲ τὸν στύλον τε ἀμφιβεβλημένος, καὶ ἀμφίοις σκεπόμενος, οὐκ ἔχει τὰ τοῦ γυμνουμένου σεμνά. Οὐκοῦν φιλοτιμήσεται ὁ στυλίτης, τὴν γυμνιτείαν καὶ αὐτὸς ἐμφανέστατα ἐπιδείξασθαι διὰ τοῦ ἀκτημονεῖν, καὶ μὴ οἰκοδεσποτεῖν ἐν τῷ στύλῳ, ἀλλὰ δίκην ἐγκεκλεῖσθαι καταδίκου, καὶ κατὰ τοὺς ἀποκαρτεροῦντας διαβιοῦν. Ὁ δ' αὐτὸς καὶ τοὺς δασεῖς καὶ ἀμελεῖς τῶν τριχῶν ἀπελέγξει, ὡς μὴ πάνυ μέγα ὄν, εἴ τις περιφρονεῖ τὴν ἔκφυσιν τῶν τριχῶν, καὶ ἀπραγματεύτως εἰς τὸ ἀμφιλαφὲς πυκνούμενος ἀφίησι τὸν ἀνθρώπινον χοῦν βλαστάνειν ἀκωλύτως, καὶ αὔξειν ἀσκύλτως τὰ ἑαυτοῦ. Μείζων γὰρ ἀληθῶς τούτου ἡ κατὰ βίον ψίλωσις, καὶ τῶν κατὰ γῆν περιφρόνησις, δι' ἧς ἡ τῶν οὐρανίων πραγματειώδης κατορθοῦται κτῆσις, ἧς ὑπόδειγμα τὸ τοῦ στύλου ἀνύψωμα, ἣν δὴ καὶ αὐτὴν ἐκνίκημμα οἴδαμεν τοῦ κατελθόντος ἄνωθεν, ἐφ' ᾧ ἀνελκύσαι πάντας εἰς ἑαυτόν, ὅπερ ὁ ἐπὶ στύλου ὑψούμενος φιλοτιμότερον κατορθοῖ, οὐ ψυχῇ μόνον ἀνελκόμενος, ἀλλὰ καὶ τὸ σῶμα φιλονεικῶν ἀνελκύσασθαι.

51. Καλὸν τὸ χαμαὶ τῆς εὐνῆς, καὶ οἱ ἄνιπτοι πόδες, καὶ ὁ κατὰ παντὸς τοῦ σώματος ῥύπος· ἃ δὴ ἐπιγράφονταί τινες εἰς γνώρισμα, ἐκ τῶν τοιούτων βίων ἐξονομακλήδην χαρακτηριζόμενοι καὶ λεγόμενοι. Ἀλλ' ὁ τεθαμμένος οὗτος ἔχοι ἂν εἰπεῖν, ὡς οὔτε τὰς ἀμφόδους περίεισιν, οὔτε τὸν ἐκεῖθεν ῥύπον ἐφέλκεται, καὶ ὡς τὸ χαμαὶ τῆς εὐνῆς ὑπεραναβαίνει τῷ διώλου ἐνταφιασμῷ. Σιγᾶν δὲ τὸν ἐπὶ τοῦ στύλου οὐκ ἂν ἀξιώσαιμι, ἀλλ' ὑπερκεῖσθαι καὶ τοὺς τῆς τοιαύτης ἐπιθυμίας ἄνδρας, ὅτι καὶ διδασκαλικὸν εἶναι χρὴ τὸν ἐπὶ τοῦ στύλου. Τί γὰρ καὶ χρήσιμος ἔσται τῷ βίῳ, κάτωθέν τε ἀπαγαγὼν ἑαυτόν, καὶ μηδὲ ἄνωθεν ὑπεμφαίνων τὸ ζῆν; Καὶ ἄλλως δὲ ἀνακτέον τὸν στύλον εἰς τύπον διδασκάλου τινὸς ὀκρίβαντος, εἴτ' οὖν ἀναβάθμου, ἐφ' οὗ ἀνεστηκὼς ὁ στυλίτης λόγους ἀγαθοὺς ἐρεύξεται. Βροντήσει μὲν οὖν ὑψόθεν τὰ θεῖα, καὶ καταπέμψει τὴν διδασκαλίαν τοῖς κάτωθεν ἀκούουσιν, ἵνα καὶ αὐτὸς ὡς ἐν στύλῳ νεφέλης, τῆς ὁρωμένης ταύτης μετεώρου ἀποκρύψεως, λέγηται λαλεῖν πρὸς αὐτούς. Καὶ ἄλλως γὰρ ἔοικεν εἰς τοῦτο ἑαυτὸν τάξαι ὁ στυλίτης καθ' ὁμοιότητα τοῦ καὶ πρώτου καὶ μεγίστου διδασκάλου, σωτῆρος Χριστοῦ. Ἐκεῖνός τε γὰρ ἐπανῆγεν, ὅτε καιρός, εἰς θάλασσαν, ὡς ἂν κατὰ σχολὴν διδάσκοι τοὺς ὄχλους ἔξω τοῦ συνθλίβεσθαι· καὶ οὗτος δὲ τῆς περὶ γῆν τύρβης ἑαυτὸν ἀπαγαγὼν ἰδιάζει διὰ τὸ τῆς διδα || [Ms. fol. 158 b.] σκαλίας ἄσκυλτον, ἤδη δὲ καὶ ἐξάκουστον. Καὶ οὕτω μὲν τοὺς σιγῶντας ὁ στυλίτης εὖ ποιῶν ὑπερόψεται, φυλάξεται μέν τοι τὴν Φαρισαϊκὴν εὐρυστομίαν καὶ τὸ λαλεῖν ὑψηλὰ εἰς ὑπεροχήν, μὴ καὶ ἐπιστεθεὶς ἀκούσῃ ποθέν· σιώπα, πεφίμωσο.

52. Σπηλαίῳ δὲ κοινὸν μὲν ἡ κάθειρξις πρός γε τὸν στυλίτην· ὅτι δὲ κρύπτει μὲν τὸν ἐντὸς ἀσκητὴν τὸ σπήλαιον, καὶ ἀμάρτυρον ἐκεῖνος ἔχει τὴν ἀρετήν, καὶ ἐπικρίνει μὲν ὁ τοιοῦτος τὸ λάθε βιοίς, τὸ δὲ λανθάνειν ἐπισκιάζει τὸ φῶς τοῦ ἐκεῖθεν βίου, εἴη ἂν ὁ στυλίτης τοῦ τοιούτου βέλτερος, οἷς καὶ

εἰς πλείους διαβιβάζει τὸ πολυωφελές. Καὶ μάρτυρας δὲ τοῦ βίου ἔχων πολλούς, οὐκ ἂν ὑποσταλείη τὸ τῆς ἀνεξελέγκτου παιδείας πλάνημα. Αὐτὰ δὲ ταῦτα καὶ τοὺς χωστοὺς ἐγγίζειν μὲν τοῖς σπηλαιώταις ποιεῖ, χθαμαλωτέρους δὲ τῶν στυλιτῶν καθιστᾷ. Οἱ δὲ σιδήρῳ μὲν ἐμπεριειλημμένοι, τῷ κόσμῳ δὲ ἐμφανίζειν ἑαυτοὺς ἐθέλοντες, καὶ τόπον τόπων ἀμείβοντες, καὶ τὴν σιδηρείαν δημοσιεύοντες ἔνδεσιν, ἔχοιεν ἂν οὐδὲ αὐτοὶ οὐδέν τι μεῖζον στυλίτου διὰ τὸ θεατριστικὸν καὶ οὐ πάνυ τι ἀφιλένδεικτον. Αὐτὸς γὰρ ἑαυτὸν ἀφανίσας μελίσσης δίκην, ἐν κρυπτῷ σιμβλοποιεῖται τὸ μέλι τῆς ἀρετῆς, οὗ μεταλαμβάνοντες οἱ τοιοῦτοι, βλίττειν ἐθέλοντες, γλυκάζονται τὸν ἄρρητον γλυκασμόν.

53. *Διὰ δὲ τὴν αὐτὴν ἐπιβολὴν καὶ οἱ ἐπὶ τῶν δένδρων καὶ οἱ ἐπὶ τῶν κιόνων αἴθριοι, εἰ καὶ εἰς ταὐτὸν ἥκουσι τῷ τῆς ὑψώσεως ὁμοειδεῖ, ἀλλ' ὑποβεβήκασί πως τοῖς ἀναβεβηκόσι τοὺς στύλους. Οἱ μὲν γὰρ ἐξ ἀνάγκης οὐκ ἂν λανθάνοιεν, οἷα τοῖς ἀναβλέπουσιν ἀφύλακτοι πρὸς θέαν ἐκκείμενοι· ὅθεν καὶ μακρὸς αὐτοῖς μακαρισμός, καὶ τῷ πάνυ τῆς θέας συμμετρεῖται καὶ τὸ πάνυ θαυμάσιον. Τῷ δὲ τοιούτῳ σύντροχος καὶ ὁ πολὺς ἔπαινος. Τὸν δὲ ὀρθὸν στυλίτην οὐκ ἂν καταμάθοι τις, οὐδὲ ἐὰν ζῇ· ὅθεν ὡς τὰ πολλὰ καὶ τοῦ ἐπαινεῖσθαι πένεται, ὅτι καὶ τοῦ συχνὰ περιβλέπεσθαι τό γε ἐνταῦθα. Ἐκεῖσε γὰρ πλειόνων ὀφειλέτην ἑαυτῷ τὸν θεὸν καθιστᾷ, τὸν βλέποντα μὲν ἐν κρυπτῷ, ἀποδιδόντα δὲ ἐν τῷ φανερῷ.*

54. *Τάχα δέ που τοῖς δενδροκομουμένοις καὶ κιονοφορουμένοις οὐδ' ἑκούσιον τὸ ὅλον καλὸν τοῦ ὑψοῦ ἀγῶνος ὑποληφθήσεται, οὐδ' ἐξ ὁλοψύχου τὸ πᾶν προθέσεως, οἷα καὶ αἰδουμένοις, ἐὰν ὑπὸ πάντων ὁρώμενοι, οὐκ ἐργάζωνται τὸ ἀγαθόν, ἀλλ' ἀπεναντίας τῷ ἐπαγγέλματι ἔρχωνται· ὅτε καὶ φόβος ἔσται τοῖς πολλοῖς, μή ποτε οἱ τοιοῦτοι τὸν μισθὸν αὐτῶν ἐνταῦθα ἀπέχωσιν· ἢ τοῦτο μὲν οὐκ ἀγαθῶν ἀνδρῶν, ἐχόντων δὲ ὑποκριτικῶς τῆς ἀσκήσεως. Ἡμεῖς δὲ οὐ τοὺς τοιούτους ἄρτι δενδρίτας καὶ κιονίτας σκεπτόμεθα; ἐπεί τοι καὶ ὁ στυλίτης, εἰ καὶ μὴ αἰδοῖ τινι πράττειν καὶ πρὸς ὀφθαλμῶν θαῦμα ὑποπτευθείη τὸ ἀγαθόν (ὅς γε οὐδὲ ἀνακρίνεται, ὅτι μηδ' ἀπραγμόνως βλέπεται), ἀλλὰ τρόπον ἄλλον καὶ αὐτὸς καχυπόπτοις ἀνδράσι ῥαστώνην ὑποβαλεῖται νοῆσαι τινὰ καὶ ἐντὸς τοῦ στύλου ἀνάπτωσιν.*

55. *Ἀλλὰ ταῦτα μέν, οἷς προσκόπτουσιν οἱ πολλοί,* Ms. fol. 154. a. *οὕτω σκορακι||στέον ἐκ τῶν πνευματικῶν τούτων ἀνδρῶν· διαφέρον δὲ αὐτοῖς ἔτι κἀκεῖνο ἔσται, ὡς οἱ μὲν ἀέρος γοῦν ἐπαπολαύειν εἰς πλήσμιον ἀμέσως ἔχουσι, καὶ ὁμιλεῖν ἡλίῳ, εἰ καὶ ἐν ὑπαίθρῳ· ὁ δὲ καὶ αὐτὸν μετρεῖται τὸν ἥλιον, ὡς διὰ κάπνης τινὸς αὐτῷ προσβάλλοντα, εἰ καὶ ἄλλον τρόπον, ὡς ἀπὸ διόπτρας ταύτης, ταῖς θείαις ἐντρανίζει ἀκτῖσι λεπτότερόν τε καὶ ἀκριβέστερον, ἢ καὶ ὡς νοητὴν ταύτην ὀπὴν πέτρας ἐξευρηκώς, οὐ μόνον φαντάζεται θεοῦ τὰ ὀπίσθια, ἀλλὰ καὶ πρόσωπον πρὸς πρόσωπον αὐτὸν καθορᾷ. Καὶ οἱ μὲν ἀξιοῦσι φαίνεσθαι ζῆν· ὁ δ' ἐγκαλύπτεται, ὡς οἷον αἰσχυνόμενος καὶ τὴν θέαν αὐτήν· καὶ τῆς ἐν κρυπτῷ μονῆς ὅλος γινόμενος, καὶ τὸν ἐκ τοῦ στύλου φαντασμὸν ἀμαυροῖ, ταπεινούμενος, οἷς αὐτῷ ἐντέθαπται.*

56. *Εἰ δέ μοι νυκτὸς παγετὸν ἐν ἐκείνοις καὶ ἡμέρας προβάλλεταί τις καύσωνα, ἐννοείσθω τὸ πνιγηρὸν τῆς ἐνταῦθα στέγης, καὶ τὸ συνεσταλμένον καὶ σύστομον· καὶ παρεξετάσας, μὴ πολὺς οὕτω γινέσθω σοφιζόμενος τῷ στυλίτῃ τὴν ὑποβίβασιν. Λοιπῷ δὴ τῷ περὶ γῆν ἐγκλείστῳ παρατιθέμενος ὁ τοῦ στύλου, μακρῷ καὶ αὐτὸν ὑπεραναβέβηκεν, ὥσπερ τῷ τοῦ καταλύματος ὕψει, οὕτω καὶ τῷ τῆς βιώσεως. Ὁ μὲν γὰρ κάτω καὶ αὐτὸς κατὰ τοὺς ἐν γῇ, καὶ πρὸ χειρῶν ὡς εἰπεῖν ἔχει τὸ παρηγόρημα, ὅτε τινὸς παραπέσοι χρεία, καὶ ἀνθρωπικώτερός ἐστιν· ὁ δὲ στυλίτης ἐξ ἀνθρώπων γίνεται, καὶ ὀψὲ τὸ ζητηθὲν ἀνέρχεται εἰς αὐτόν.*

57. *Ἀλλὰ τοιαῦτα μὲν καὶ ταῦτα καὶ ἐπὶ τοσοῦτον. Προσευπορήσει δέ τις, καὶ πλείω τοῖς κατὰ μέρος ἐπιδιδοὺς ἑαυτόν. Εἰ δὲ καὶ βουληθείη ἐπελευστικώτερον καὶ ἀπεριλαλήτως κατὰ παντὸς βίου ἐξᾶραι τὸν στυλιτικόν, ἐκεῖνο φαίη ἄν, ὡς παντὶ μὲν τῷ κατ' ἀρετὴν βιοῦντι δύσεργα τὰ τῶν σφοδροτέρων ἐπιθυμιῶν, τοῖς δὲ τοιούτοις καὶ μάλιστα. Τῆς γῆς τε γὰρ ἀνῳκισμένοι, οὐκ ἔχουσι πελάζειν τοῖς θέλγουσιν, ὅτε καὶ θέλουσι. Τοῦτο δὲ πολύ τι μέρος περιαιρεῖ τῆς φαυλότητος, καὶ οὐδὲ ταῖς τῶν παθῶν θύραις, ταῖς αἰσθήσεσιν, ἄδεια περιγίνεται, ταῖς θρασυτέραις ἐπιθυμίαις ῥᾷον ἀναπετάννυσθαι. Οὔτε γὰρ ἡ κατακλῶσα τοὺς τὰ κάτω τρυφῶντας ἐμμέλεια καθικνεῖται τοῦ οὕτως ὑψηλοῦ, ὅτι μηδὲ ῥᾴδιον εἰς αὐτὸν ἀφικνεῖται· οὔτε τι φαῦλον ἕτερον ἄκουσμα νεανιεύεται, ἀπόνως ἀναδραμεῖν κατ' αὐτοῦ. Καὶ οὐδὲ τὰ τῆς ὀσφρήσεως ἐπαγωγὰ περιάγειν αὐτὸν εὐμαρῶς ἐξισχύει, ἐμπίπτοντα κατὰ τὸ αὐτόματον, καὶ ἀπὸ ῥινῶν, ὅ φασιν, ἕλκοντα· οὐδὲ μὴν τὰ λοιπὰ αἰσθητὰ ἐπιβούλως οὕτω κατευμεγεθοῦσι τοῦ ἀνοικίσαντος ἑαυτόν, καὶ τῆς κάτω συγχύσεως ἀφορίσαντος,*

καὶ τῶν ἀπολαυστῶν ἀποστήσαντος, καὶ οὐκέτι οὔτε τῆς γῆς ὄντος (ὑπέρκειται γάρ), οὔτε τοῦ ἀέρος (ἐστεγάνωται γάρ), μικρὸν δέ τι μετέχοντος τῆς φύσεως, καὶ εἰς ὅσον τὸ κατὰ σάρκα ζῆν ἀφοσιώσασθαι· Ἀλλ' οὕτω μὲν ὁ ἀληθὴς στυλίτης, σεμνόν τι πρᾶγμα καταμόνας θεωρούμενος. Εἰ δὲ καὶ ἑτέρου ἐπιπλοκὴν σχοίη βίου ξενίζοντος, εἴτε καὶ ἑνός τινος, ὡς εἶναι διπλοῦν τὸ καλόν, εἴτε καὶ πλειόνων, καλὸν ἤδη τοῦτο πολυσύνθετον. || Ms. fol. 159. b. καὶ ἀρετῶν ὁρμαθὸς καὶ ἀγαθῶν πράξεων, καὶ οἷα καὶ θημονίας τινὸς ἐπισώρευσις, καὶ ὡς ἐν ἀποθήκῃ ἀσύλῳ, τῷ στύλῳ, ἀπόθεσις.

58. Ἰδοὺ τοίνυν καὶ αὐτός, ὦ μετάρσιε ἄνθρωπε, τοῦτό τε ἔχεις τὸ τῆς καινοτέρας ζωῆς εἶδος, καὶ σίδηρος περί σε ἱκανός, ὃς ἔχει μὲν πολὺ τὸ σεμνόν, παρυφιστάμενον δέ τι καὶ φόρτου φέρει. Βαρύνει γὰρ πάντως τὸν ἀσκητήν, καὶ τῆς εἰς τὸ μοχθεῖν συντονίας ἀπάγει. Γόνυ γοῦν κλίνειν συχνὰ οὐκ ἂν ἐγγένηται τῷ τοιούτῳ ῥᾳδίως κατὰ τὸν ἀσίδηρον. Τοῦτο τοίνυν δέον σε ἄλλως ἀναπληροῦν, κατακλῶντα τὸ ὑπερήφανον, καὶ κάτω βάλλοντα τὸ φρόνημα τῆς σαρκός, καὶ τὴν τῶν γονάτων ὄκλασιν ἀνασώζοντα τῇ κατακάμψει καὶ συντριβῇ τῆς ψυχῆς. Εἰ γὰρ καὶ ἀνατάσεως καὶ ὑψώσεως καὶ ἀναβάσεως ὁ στύλος οὗτος σύμβολον, ἀλλὰ τῆς εἰς θεὸν πάντως, οὐ τῆς λοιπῆς, ὁποίαν ἂν ἐκείνην εἴποι τις.

59. Ἀλλ' ἅμα σύμβολον εἶπον, ὦ παρόντες, καί τις λόγος θεωρητικὸς ἀναπέφηνεν, ὡς οἷόν τι πόρισμα οὐ πάνυ πῖπτον μακρὰν γλαφυρότητος. Τριχῇ γὰρ ἡ τῶν συμβόλων θεωρία διανενέμηται. Καὶ οἱ μὲν αὐτοῖς ἐκείνοις ἐμμένουσι, μηδέν τι περαιτέρω προβαίνοντες, μηδ' ἐκ τῆς αἰσθητῆς εἰκόνος εἰς τὸ νοητὸν ἀρχέτυπον ἀνατρέχοντες, ὁποῖον τὸ Ἰουδαϊκὸν φῦλον, οἳ τῇ σκιᾷ προςκάθηνται, οὐκ ἀναβλέπειν εἰς τὸν τῆς ἀληθείας ἥλιον θέλοντες. Δασύποδος γὰρ φέρε εἰπεῖν ἀπέχεσθαι κελευσθεὶς Ἰουδαῖος, οὐκ ἂν ἀναπτύξῃ τὸ τοῦ συμβόλου ἔλυτρον, καὶ τὸν ἐν αὐτῷ θεωρήσῃ φωςφοροῦντα μάργαρον· ἀλλὰ διώξας μακρὰν, καὶ φεύγειν ἀφεὶς ἀφ' ἑαυτοῦ τὸν δασύπουν, οὐκ ἂν εἰς πλέον τοῦ γράμματος ἀνιχνεύσῃ αὐτόν, οὐδ' ἂν ἐπιγνοίη, συμβολικῶς ἐκεῖθεν διδάσκεσθαι, τήν τε ἀδιάφορον λαγνείαν φεύγειν, ᾗ τις τῷ τοιούτῳ ζώῳ βαθεῖα ἔγκειται, καὶ τὸ πολυσχιδές, ὃ μακρὰν ἐστι τῆς ἁπλότητος, καὶ τὸ ἐφ' οἷς οὐ χρεὼν εὐλαβὲς καὶ δειλόν. Καὶ οὕτω μὲν εἰσὶν οἱ ἐπινηχόμενοι τῷ ἐν συμβόλοις ἐπιπολάζοντι· οὐδέν τι πλέον περιεργάζονται καὶ βαθύτερον. Οἱ δέ τινες συμβόλων μὲν μικρὸν ἢ οὐδέν τι προσδέονται τῶν ἐν γράμμασιν, ἀλλ' ἀφιέντες τὸν περὶ αὐτὰ προφορικὸν κώδωνα τοὺς βουλομένους περιηχεῖν, αὐτοὶ τῆς αἰνιγματιζομένης ἀληθείας μόνης γίνονται, σωφροσύνην γοῦν (τὸ Χριστιανικὸν φῦλον) ἀσκούμενοι· καὶ εἰς ἀγαθὸν δὲ ἀνδριζόμενοι, καὶ οὐ κατασχίζοντες εἰς πανουργίας τὸ κατὰ βίον πορευτικόν, τοὺς ἐν νόμῳ κωλυομένους δασύποδας ἐῶσιν ἔρχεσθαι εἰς αὐτούς, καὶ οὕτω τὸν τοῦ συμβολικοῦ γράμματος ἀναλεγόμενοι μυελὸν οὐκ ἐν λόγῳ τίθενται, ὅσον ὀστῶδες καὶ ἄμβροτον. Καὶ οὕτω μὲν καὶ οὗτοι οἱ τοῦ πάχους μὲν τῶν συμβόλων ὀλίγα ἐπιστρεφόμενοι, λεπτοτομοῦντες δὲ τὸ ἐκεῖσε γράμμα καὶ ἀνατέμνοντες, καὶ τῆς ἔσω θεωρίας γινόμενοι. Ἕτεροι δὲ ἄμφω διὰ φυλακῆς ἄγουσι, τό τε σύμβολον συντηροῦντες, καὶ οὗπερ αὐτό ἐστι σύμβολον.

60. || Ms. fol. 160. a. Παραδέδοται οὖν ἡμῖν πρὸς δρόμους ἑωθινοὺς ἐρῶσιν ἡλίου ὁσιοῦσθαι τῷ παμβασιλεῖ θεῷ τὴν προςκύνησιν. Τοῦτο συμβολικὸν περικάρπιον. Πιστεύομεν δὲ τὸ αὐτὸν βασιλέα τὸν τῆς δικαιοσύνης ἥλιον πρὸς ἡμῶν εἶναι, εἴπερ ἀφορῶμέν τε πρὸς αὐτόν, καὶ αὐτὸν θεὸν εἰδότες, λατρευτικῶς αὐτῷ ἐντυγχάνομεν, κεφαλὴν καὶ γόνυ κάμπτοντες. Τοῦτό ἐστιν ὁ τοῦ συμβόλου καρπός· καὶ φυλάττομεν ἄμφω, προςκυνοῦντές τε, ὅποι παρηγγυήμεθα, καὶ τὸν τοῦ γινομένου σκοπὸν κατέχοντες. Οὕτω καὶ λούσασθε, καθαροὶ γένεσθε ἀκηκοότες, καὶ καθαρὰν δέ ποτε στολὴν ἑόρτιον διατεταγμένοι μεταλαβεῖν, τό τε λουτρὸν ποιούμεθα τὸ πρὸς αἴσθησιν, καὶ τὴν τῆς ὁρωμένης ἐσθῆτος ἐξάλλαξιν, καὶ τὰ πρὸς νοῦν δὲ φυλαττόμεθα, φαιδρύνοντες ἑαυτοὺς τά τ' ἔνδον, τά τε θύραζε.

61. Ἵνα δέ τι καὶ τῶν ἄρτι βλεπομένων εἰς τὴν θεωρίαν ταύτην παρελκύσωμεν, ὁποῖον μὲν θώρακα ὁ μέγας Παῦλος νομοθετεῖ φορεῖν, οἴδαμεν ἅπαντες· ὁ δὲ στυλίτης οὗτος φέρει καὶ τὸν κατ' αἴσθησιν, τηρῶν πάντως ἀμφότερα· οὐ γὰρ δήπου τὸ ἕτερον. Εἰσὶ δὲ αὐτὰ τό τε προφερόμενον συμβολικῶς, τό τε νοούμενον πραγματικῶς καὶ πνευματικῶς.

62. Εἰ δέ τι χρὴ τῷ γλυκεῖ καὶ ἡμετέρῳ παραμῖξαι καὶ μὴ τοιοῦτον μέν, οὐ πάνυ δὲ δυςέντευκτον δαιτυμόσι φιλακροάμοσι, πολλὰ καὶ τῶν ἐξωτερικῶν συμβόλων τοιούτου τόπου ἔχονται. Καρδίαν οὖν μὴ ἐσθίειν, συμβολικὸς ἦν ποτε λόγος· ὁ δὲ τότε ἀκούων αὐτό τε οὕτως ἐποίει (ἀπείχετο γὰρ τοῦ καρδιοφαγεῖν), συνετήρει δὲ καὶ τὸ ἐμφαινόμενον διδασκάλιον. Τὸ δὲ ἦν μὴ λύπαις ἑαυτόν τινα ἐκδιδόναι, καὶ οὕτω δαπανώμενον τήκεσθαι τὰ ἐντός. Ἤκουσέ τις αὖθις μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἢ μὴ λευκὸν οἰκοτραφεῖν ἀλέκτορα. Τὸ δὲ ἦν μήτε θυμὸν ζέοντα ὑπανάπτειν· λόγοις ἐρεθιστικοῖς

καὶ παροξύνουσι, καὶ ὡς εἰπεῖν τμητικοῖς, μήτε μὴν χρᾶσθαι κατ' οἶκον ὑπουργοῖς κεκράκταις, καὶ τὸ ἐν βάθει μέλαν καὶ μυστηριῶδες διαλευκαίνουσι βούλευμα. Καὶ ἐποίουν ἐκεῖνοι ἄμφω, καὶ οὔτε τὰ σύμβολα παρεωρῶντο, ἐγίνοντο δὲ καὶ τοῦ συμβολογραφήματος μάλιστα.

63. Καὶ ἵνα μὴ πολλὰ εἰπεῖν ἔτι ἔχων παρατείνω καὶ ἀποκναίω τοὺς ἀκροατάς, οὕτω μὲν τρία τὰ συμβολικὰ τμήματα, ἡ καταμόνας ἀντοχὴ τοῦ συμβόλου. εἰπεῖν δὲ ταὐτὸν αἰνίγματος, ἡ καθ' ἑαυτὴν ἐκλογὴ τοῦ συμβολογραφουμένου, καὶ ἡ ἑκατέρων σύλληψις. Τούτου τοῦ τρίτου διαιρέματος καὶ ἡ τοῦ στύλου ἐστὶν ἐπίνοια. Σύμβολον μὲν γὰρ αὐτὸ ἀνατάσεως εὕρηται καὶ ὕψους τινός. Ὁ δὲ στυλίτης, ἀπομαξάμενος τὴν τῆς εἰκονικῆς θεωρίας ἀκρίβειαν, καὶ τῷ τόπῳ ἄνω ἀεὶ ἔσται, καὶ τῷ τρόπῳ δὲ πραγματεύσεται θειότερον ἀνατείνεσθαι ὡς εἰς οὐρανόν, καὶ ὑψοῦσθαι ἀνωτάτω, καὶ ἀναβαίνειν εἰς τὸν ἁπάντων ὑπερέκεινα. Οὐ μὴν ἄλλως ἑαυτὸν ὑπεραιτερεῖ, καὶ ὑψίλοφος εἶναι, καὶ μὴ ἐπὶ ὀνύχων || Ms. fol. 160. b. ἄκρων (μικρὸν γάρ τι τοῦτο), ἀλλ' ὡς ἐπὶ οὐρανοῦ βαίνειν τῷ τύφῳ, κἀντεῦθεν μηδὲν ἡγεῖσθαι τοὺς κατ' αὐτόν. Εἶ γὰρ καὶ περιφρονητέον, ἀλλ' οὐκ ἀνθρώπους, ὦ ἀδελφέ, οὔτε τοὺς ὁμοιοβίους, οὔτε τοὺς λοιπούς· περιφρονητέον δὲ τὰ περὶ γῆν, ἅπερ ἀφῆκας, οἷς ἔχεις ἀποταξάμενος, ὧν ἀφέστηκας.

64. Καὶ ἐνθυμοῦ μὲν καὶ τὸν στύλον, ὡς ὑψοῦ ἀνάγοντα· ἐνθυμοῦ δὲ καὶ τὸν σίδηρον κάτω βαρύνοντα. Ἐκεῖνο σύμβολον ἔστω τοῦ τὰ ἄνω φρονεῖν· καὶ φρόνει οὕτω. Ὁ δὲ σίδηρος ταπεινώσεως· καὶ βάλλε σεαυτὸν οὕτω κάτω, οὐχ ὥστε μὴ περὶ γῆν ἰλυσπᾶσθαι τοῖς κατὰ σάρκα νοήμασι, μή ποτέ τις οὐκ ἀφυῶς ἐπισκώψῃ, ὡς ἄρα μαγνήτιδος δίκην τὰ κατὰ βίον πράγματα τὸν ἀσκητικὸν σίδηρον ἐπισπᾶται πρὸς ἑαυτά. Λαμπρόν τι πρᾶγμα ὁ στύλος οὗτος, οὐχ ὅτιπερ ὑψηλός (τί γὰρ μέγα, ὃ καὶ προβλῆτες ἐντυχοῦσιν αὐτοφυῶς;), ἀλλ' ὅτι κατὰ τὰς ἀνωτέρω θεωρίας ὑψοποιὸς καὶ ἀναγωγὸς εἰς θεόν. Καὶ πυραμίδες μὲν αἱ περὶ Αἴγυπτον, αἱ κατὰ τὴν ἱστορίαν, καὶ πολυδάπανοι καὶ μακρόσκιοι, ὅτι καὶ περιμήκετοι, καὶ ἡ κατὰ Κνίδον Εὐδόξου σκοπιά, ὅθεν ἐκεῖνος ἐσκέπτετο τὰ οὐράνια, καὶ κρεμαστὸς κῆπος ὁ Βαβυλώνιος, καὶ ἡ ἐν Ῥόδῳ ὑψιβάμων τοῦ πολλοῦ χαλκοῦ φλυαρία, καὶ εἴ τι τοιοῦτοι θέας ἄξιον, λόγον πολὺν εἶχον πάλαι ποτέ· ἦσαν δέ, ὅ φασι, θαῦμα μωροῖς. Ἡμῖν δὲ τοῖς κατὰ θεὸν φρονοῦσι, καὶ ὀλίγα τῶν τοιούτων ἐπιστρεφομένοις, θαῦμα τοῦτο μέγα ὁ τοῦ στύλου ὑψίκρανος λόφος, οὐχ ὅτι μακρὸς ἐξανέστηκεν, ἀλλ' ὅτι τὸν κάτω βεβριθότα καὶ γήϊνον κουφίζει, καὶ ἀνάγει πρὸς αὐτὸν θεόν, ὡς οἷά τι οὐράνιον ἔξαρμα.

65. Χρὴ τοίνυν τὸν ἀσκητὴν ἀντιδιδόναι τι καὶ αὐτὸν τῷ τοιούτῳ στύλῳ, ἵνα κἀνταῦθα χάρις χάριν ἀπογεννᾷ, καὶ ὥσπερ ὁ στύλος ἀναφέρει τοῦτον ὑψοῦ καὶ ἐξαίρει πρὸς τιμιότητα, οὕτως ἀνθυψοῦσθαι αὖθις τὸν στύλον ὑπ' αὐτοῦ, ὡς οἷον ἀντιδοτικῶς. Τὸ δὲ ἔσται, ἐὰν ἐπ' ἀγαθοῖς ἀοίδιμον τὸν τόπον ὁ ἀσκητὴς ποιῆται ταῖς διαδοχαῖς, ἵνα τῷ ἴσῳ ζήλῳ καὶ μετ' αὐτὸν ἕτερος ὅμοιος, καὶ αὖθις μετ' ἐκεῖνον τοιοῦτος, καὶ τοῦτο εἰσαεὶ τὸν στύλον τοῦτον ἐπαναβαίνωσι. Τί τοίνυν καὶ ἐνταῦθα φημί; Γενοῦ Ἡλιοῦ τρόπον τινά, ὦ στυλῖτα, καὶ ἀναλαμβανόμενός ποτε ἄφες μαθητὴν οὐδὲν ἀπεοικότα εἰς τὸ θαυμάσιον, ἵνα καὶ ἐκεῖνος τὸν αὐτὸν ἐλάσας δρόμον, καὶ τοῦ οὐρανοῦ γενόμενος, τὰ ὅμοια θαυμαστώσηται, καὶ οὕτως ἐσεῖται τὸ καλὸν τουτὶ παραμόνιμον, ὃ δὴ καὶ ἀνόπιν τῷ λόγῳ εἰπεῖν εὐηρέστηται. Οὐδὲ γὰρ ὀκνοῦμεν || Ms. fol. 161. a. ἐν πολλοῖς τὰ τῶν ἐννοιῶν ἀναπολοῦντες λήϊα, ἔνθα καρπὸν βλαστήσειν φιλονεικοῦμεν εὔσταχυν καὶ ψυχαῖς εὔχαριν.

66. Ἀλλ' οὕτω μὲν ἐσεμνολογήθη ὁ ἁπλῶς καὶ ἐν τῷ καθόλου νοούμενος στύλῳ, τό γε εἰς ἡμετέραν ἧκον δύναμιν· ὁ δὲ βλεπόμενος οὗτος, ὁ καθ' ἡμᾶς, ἔχει τι καὶ πλέον σεμνύνεσθαι, κἀντεῦθεν παρακαλεῖ καὶ ἄλλως εἰς ἀγῶνα μείζω τὸν ἐπ' αὐτοῦ ἀσκητήν. Οὐ γὰρ τέθειταί που παράβυστος, καὶ οἷος ἢ ἀγνοεῖσθαι, ἢ ἀλλὰ ὀλίγοις ἥκειν εἰς γνῶσιν· Πόλει δὲ τοιαύτῃ ἀμφαδὸν παραπέπηγεν, εἰς ἣν δίχα γε τῶν γνησίων, καὶ οἷς τὸ αὐθιγενὲς ἀγαθὸν ἐλλάμπει, καὶ οἱ πανταχόθεν παραβάλλουσιν ἄνθρωποι. Καὶ χρὴ τὸν ἀσκητὴν τὸν ἐνταῦθα (ὀλίγου δέω εἰπεῖν) παγκόσμιον ἀναπεφηνέναι καλόν. Συῤῥέουσιν ἄνδρες ἐνταῦθα γῆς, οὐ μόνον γένους εὖ ἔχοντες, ἀλλὰ καὶ θατέρου μέρους, καὶ οὐ μόνον λόγιοι, ἀλλὰ καὶ τοῦ λοιποῦ βίου, καὶ οὐ μόνον συνετοί, ἀλλὰ καὶ ἀνάπαλιν πίπτοντες. Καὶ τὸ ὅλον εἰπεῖν, γένος ἅπαν καὶ πανταχόθεν ἄνθρωποι. Τούτοις προσεντεχθήσεται ὁ στυλίτης οὗτος, καθὰ καὶ χρεών, καὶ τὸ πᾶν φάναι, ἀποστολικῶς. Ἅπασι γὰρ τὰ πάντα γενήσεται, ἵνα κερδήσῃ τοὺς ἅπαντας εἰς δόξαν θεοῦ· οὐ κολακεύσει ἐν μὴ δέοντι, ὡς ἂν μὴ καὶ καπηλεύσῃ τὴν ἀλήθειαν· οὐδ' αὖ πρὸς πάντας ἀγριανεῖται, μὴ καὶ κατεγκληθείη τὸ τῆς παῤῥησίας ἄκαιρον· καὶ οὔτε πάντας ἐπαίνοις καταβρέξει (ἄρεσκος γὰρ οὕτως ἔσται)· οὐδ' αὖ χαλαζοβολήσει ὡς ἀφ' ὕψους τούτου ταῖς ὕβρεσι (θηριῶδες γὰρ τὸ πάθος). Τάχα δέ που καὶ οἷον ἔπος εἴπῃ, τοῖον ἐπακηκοὼς αἰσχυνεῖ τὸν ἔνδοξον

ἄνθρωπον· ἤδη δὲ καὶ κατάκριμα ἕξει, ὡς βλασφημίας διδάσκαλος. Ἐγὼ δὲ οἶδα, καὶ ὡς οὐκ ἔσται οὐδὲ ἀθεώρητος πρός γε τῶν τὰ τοιαῦτα θερμοτέρων ἀνδρῶν, οἳ πρὸς ἐλεημοσύνην γεγυμνασμένοι δεξιοῦνται, οἷς ἔχουσι τοὺς ἀγαθούς, ἀπαρχόμενοι τοῦ βίου αὐτοῖς, ὡσεὶ καὶ ἐδεκάτουν θεῷ, ἃ ἐκτῶντο.

67. Τῶν τοίνυν τοιούτων ἀπαργμάτων, εἴτε καὶ δωρημάτων, οὐκ ἀποθήκη ὁ στύλος ἔσται, ἵνα μὴ καὶ καθελεῖν ποτε ἀποθήκας βουλευθείη ὁ στυλίτης εἰς μειζόνων ἀνοικοδόμησιν, ἀλλὰ ἐξερεύξεται ὡς οἷά τι ταμιεῖον πλῆρες εἰς ἕτερον (τὴν πτωχικὴν λέγω γαστέρα). Καὶ σωλῆνος δίκην ἐντεῦθεν μὲν εἰςρευσεῖται ἡ θεόθεν ἐπομβρία τῆς δεξιώσεως, ἐκεῖθεν δὲ ἐκρυήσεται καὶ ἀρδεύσει τοὺς ὅσοι οὐ πρὸς εὐετηρίαν πιαίνονται, ἀλλ' αὐχμῷ ἐνδείας πιέζονται. Ἐγὼ δὲ ἤθελον μηδὲ σηραγγώδη τὸν στύλον ἀποβῆναι τοῦτον καὶ σπηλαιώδη καὶ γλαφυρόν, μηδὲ χωρίον εἶναι, καί, ὡς ἂν τις εἴπῃ, πόλιν περιοχῆς ἀντιπύργου, ὃν πνευματικῶς ἤδη τεθεωρήκαμεν, μηδὲ σωληνοειδῶς τετρῆσθαι, εἰ καὶ ἄλλως εἰς θεωρίαν τοιαύτην ὁ λόγος αὐτὸν περιήγαγεν· ἀλλὰ διόλου γέμειν ἑαυτοῦ, καὶ ναστὸν εἶναι καὶ πλήρη, καὶ μηδέν τι ἔχειν ὑπόκενον καὶ κοιλιῶδες καὶ ὕπουλον, ἵνα εἶχε μιμεῖσθαι τὰ ὁμοειδῆ, τοὺς Ms. fol. 161. b. κίονας καὶ τὰ δένδρα, ἐφ' ὧν || οἱ παρωνυμούμενοι αὐτοῖς ἀσκηταί, καὶ μὴ εἰς δεξάδας καὶ κοιλίας τινὰς ἠνοίγετο εὐρυνόμενος· μήποτε τὸ κοιλιῶδες τοῦτο ἔχῃ τι καὶ πλησμιώτερον ἔμβρωμα καὶ κατάργησιν ἀποστολικήν.

68. Τίς γὰρ καὶ χρεία τούτῳ τῷ ἐγκατῳκοδομημένῳ, μάλιστα μὲν οὖν μικροῦ καὶ τεθνειῶτι, καὶ οὕτως ἑαυτὸν καταδικάσαντι καὶ κολάσαντι; Εἰ γὰρ καὶ πύργος ὁ στύλος τεθεώρηται οὗτος, ἐν ᾧ καθάπερ ἐπί τινος φυλακῆς ἀποσκοπεύων ἕστηκας, ἔτι δὲ καὶ ὡς πόλις, ἀλλὰ δὴ καὶ ὡς φρούριον, δεκτικὰ δὲ ταῦτα πάντα, καὶ στέγειν ἐντός τι ἐτάχθησαν. Ἀλλ' ἐκεῖνα μὲν πρὸς ἀναλογίαν τινά. Ὁ γὰρ ὁ πύργος τοῖς ἐπ' αὐτοῦ στρατιώταις, καὶ ἡ πόλις τοῖς αὐτὴν ἀΰπνως φυλάσσουσι, καὶ τὸ κρησφύγετον τοῖς τεταγμένοις φρουρεῖν, τοῦτο καὶ οἱ στύλοι τοῖς ἐπ' αὐτῶν ἀσκηταῖς. Ἀληθῶς μέν τοι ὁ στύλος κατὰ τὸν ἐν προοιμίοις λόγον ὑπερείδει καὶ ἀνέχει καὶ ἑδραιοῖ τὸ ἄνω φερόμενον. Διατετρῆσθαι δὲ αὐτόν, καὶ βαθὺ κένωμα ἔχειν, διειργόμενον περιφράγμασιν, οὐκ ἀπόνηρον εἴποιεν ἂν οἱ μωμοσκοπεῖν βουλόμενοι.

69. Ἀλλ' οἱ περιεργότεροι σήραγγας μελίσσης εἴποιεν ἂν τὰ τοιαῦτα, ἐν οἷς γλυκύ τι καὶ τρόφιμον ἀσκητικῆς ἀνθολογίας ἔγκειται. Ἕτεροι μυρμηκιὰν ἀγαθῶν προςειπόντες τὸν στύλον τοῦτον, ὡς εἰς μυρμηκάνθρωπον ταπεινώσουσι τὸν ἐν αὐτῷ μέγαν ἄνθρωπον· ἢν δὲ ἄρα σεμνότερον, ὡς εἰς μυρμηκολέοντα, ὅτι καὶ κρεῖττον, ἀπολέσθαι παρὰ τὸ μὴ ἔχειν τροφήν, ὃ δὴ τῷ μυρμηκολέοντι ἐπιλαλεῖται, ἤπερ οὕτω ζῆν, ἔχοντα καὶ συνάγοντα μυρμηκοειδῶς εἰς ἀπόθετον. Οἱ δέ τινες τὸν ἀκοίλιον στύλον εἰς ὀστοῦν ἀμύελον παρεικάζοντες, τὸν μὴ τοιοῦτον μυελοῦ τινος γέμειν ἐντὸς νοστίμου φαντάσονται· πολλοὶ δὲ καὶ μελιτοτρόφῳ καλάμῳ τὸν τοιοῦτον στῦλον παρεξετάσουσιν, ὡς διειργόμενος μεσολαβήμασιν, ὅσα καὶ συνδετικοῖς ὁ κάλαμος γόνασι, μεμέστωται, ὡς ἂν εἴποιεν αὐτοί, τοῦ γλυκάζοντος. Ὀλίγοι δέ τινες ἀγαθόν τι λογίσονται· καὶ οὕτω πλῆρες ἔσται κακολογιῶν τὸ τοῦ στύλου κένωμα.

70. Καθεσταμένων δὲ οὕτω καὶ τούτων, ὁ στύλος οὗτος ἔχει καὶ ἕτερόν τι σεμνόν, τὴν θέσιν τὴν τοπικήν. Ὁρᾷς γάρ, ὦ ἀσκητά, ὅπως καὶ θάλασσα περί σε αὕτη, τὴν θεωρίαν ἐπαύξουσα. Οὐ γὰρ μόνον εἰς τρυφὴν καὶ θαῦμα ἔκκειται ὄψεως, ἀλλὰ καὶ εἰς ἀρετῆς διδασκάλιον, ὡς δύνασθαι κέρδος ἐμπορεύεσθαί σε ψυχικὸν ἐξ αὐτῆς, καὶ μὴ λογίζεσθαι ταύτην εἰς παντελῶς ἀτρύγετον, εἴγε καρπὸν ἔστι τρυγᾷν ἐξ αὐτῆς σωτήριον. Ἔχεις γὰρ καταθεωρεῖν σεμνότερον, καὶ φιλοσόφως αὐτὴν ἐπισκέπτεσθαι, οὐ λέγω, εἴπερ τῷ ἀέρι κέχυται ἰσόμοιρος, οὐδὲ εἴπερ τῇ γῇ συνεσφαί || ρωται, οὐδὲ διατὶ ἁλμυρὰ καὶ πικρά, καὶ εἴτε Ms. fol. 162 a. δεητουμένου τοῦ ποταμοῦ καὶ γλυκέος παντός, εἴτε καὶ ὅτι διὰ τοιαύτης φέρεται γῆς, ἀφ' ἧς τὸν ὅμοιον ἐκματτομένη χυμὸν ἐναποπλυνόμενον στέγει ἐν ἑαυτῇ, οὐδὲ εἴ τι τοιοῦτον περίεργον· ἀλλ ὅσα πρὸς ἦθος διαβαίνει, καὶ ἀφ' ὧν ψυχὴ καταρτίζεται, φιλοσοφοῦσα τὴν ἀρετήν.

71. Ἔστι σοι γὰρ εἰς τύπον βίου τοῦ καθ' ἡμᾶς θέσθαι ταύτην, καὶ ἐξ αὐτῆς ῥυθμίζειν τοὺς ἐντυγχάνοντας. Ζάλη περὶ αὐτήν, κύματα περὶ αὐτήν, ναυαγίαι περὶ αὐτήν. Καὶ νῦν μὲν προςηνὴς ἥπλωται, καὶ ἁπαλὸν ὑποσκιρτᾷ, καὶ οὐκ ἂν πολυανθεῖ λειμῶνι παραχωρήσῃ τοῦ εἰς χαρμονὴν καλλιστείου· αὖθις δὲ εἰς θυμὸν ἐκμαίνεται, καὶ τραχύτερον ἐκταράττεται, καὶ ὡς εἰς ᾅδου βοθρεύεται φάραγγας. Πάσχει δὲ τοιαῦτα τινὰ καὶ ὁ καθ' ἡμᾶς βίος, καὶ πεπείρανται οἱ κατ' αὐτὸν θαλαττεύοντες. Δίδασκε τοίνυν ἐντεῦθεν τοὺς ὁμιληκάς, μὴ πιστεύειν ἑαυτοὺς ἀστάτῳ καὶ πολυταράχῳ καὶ κινδυνώδει πράγματι, τῷ βίῳ, ἀλλὰ προσέχειν σφίσιν αὐτοῖς, καὶ πλέειν ἐμφόβους, καὶ τοὺς σωτηριώδεις λιμένας ἀεὶ περιβλέπεσθαι. Προσαθύρει τοῖς αἰγιαλοῖς ἡ θάλασσα ἐν καιρῷ· οὕτω δὲ ἱλαρόν ποτε προςμειδιᾷ καὶ ὁ βίος, βυσσοδομεύων

ἄλλως, καὶ ἐπικρύπτων τὰ δυσχερῆ. Ἀλλ' ἐν τῷ σκιρτᾷν οἷον χορευτικῶς ἠρέμα κλύζουσα τὰς ἀκτάς, καὶ κατὰ μικρὸν ὑποσπῶσα ὅσον χοῶδες, κάτω βάλλει οὐ μόνον οἰκίας ἡ θάλασσα, εἴ τινές που καὶ παραιγίαλοι, ἀλλὰ καὶ προβλῆτας αὐτούς, καὶ τὴν βλάβην ὑπούλως ἐπάγει, καὶ ἐν τῷ λεληθότι χερσαῖον τοῦτον τεχνᾶται κίνδυνον. Κατὰ ταὐτὸν δὲ καὶ ὁ βίος, οἷς δοκεῖ ἔχειν ἱλαρῶς· ἀλλὰ καθ' ἡσυχίαν ἔστιν οὗ, καὶ ὡς οὐκ ἄν τις αἴσθοιτο, προσπαίζειν μὲν ἀφίησι, κλαίειν δὲ δίδωσι. Δίδασκε τοίνυν τοὺς ὁμιλοῦντας καὶ ταῦτα, ἵνα πρὸς τὰ περιπίπτοντα μένοιεν ἀκατάσειστοι.

Περιέχει καὶ στερεοὺς τόπους τὸ πολὺ τοῦτο χύμα τοῦ ὑγροῦ, τοὺς μὲν ἀοικήτους (καὶ ἔστωσαν αὐτοὶ σύμβολον ἀνδρῶν ἀκτημόνων, οἳ κλύζονται μὲν τοῖς τοῦ βίου κύμασιν ἀκάθεκτα βρασσομένοις καὶ προσαράσσουσιν, οὐκ ἂν δὲ ὑπενδώσουσιν, οὐδὲ τοῦ ἐμπέδως ἱστάναι μεταλλαγήσονται), τοὺς δὲ καὶ οἰκουμένους. Καὶ συμβολογραφοῦσιν οὗτοι τοὺς ἐν βίῳ μὲν πολυκτήμονι, μηδὲν δὲ πάσχοντας ἀγεννές, οἵπερ αὐτὸν μὲν περιορῶσι βυσσόθεν ταραττόμενον, καὶ ἀγριαίνοντα, καὶ μακρὰ βοῶντα· αὐτοὶ δέ εἰσι τοῦ κατ' ἄνθρωπον ζῆν ἀρχικῶς, οὐ παρασαλευόμενοι τῆς ὀρθῆς βάσεως. Ὑπὲρ τῶν τοιούτων στεῤῥῶν τόπων εὐχὰς μακρὰς ἀνάτεινε πρὸς θεόν, βεβαίους μένειν, καὶ καθεστηκότως ἡδρᾶσθαι, καὶ τῆς καλῆς μὴ παρακινεῖσθαι στάσεως. Κατάπεμπε δὲ καὶ τοῖς ἐντυγχάνουσι διδασκαλίαν, ὡς οὐ πάνυ δύσκολον, ἐν βίῳ μὲν εἶναί τινας καὶ τῇ κατ' αὐτὸν θαλάσσῃ κλύζεσθαι, ἀσφαλῶς δὲ ἔχειν καὶ φυλάττειν τὸ στάσιμον. Ἰδοὺ γὰρ καὶ ἡ ἐνοσίχθων αὕτη θάλασσα πολλοὺς ἐναπείληφε τόπους, οὓς οὐκ ἂν διατινάξῃ ἀναμοχλεύουσα.

Ms. fol. 162. b. 73. Πρόφερε καὶ||τὸν καρτερικὸν Ἰὼβ ἐνταῦθα, καὶ τοὺς ὅσοι κατ' αὐτὸν (μυρίοι δὲ ἐκεῖνοι) πρὸς λόγου μαρτύριον. Πρόκειταί σοι τῆς ὄψεως καὶ οἱ πολυτρόπως ἁλιεύοντες, ἔστιν οὗ καὶ σοὶ καθ' ὁμοιότητα, ἐντεῦθεν ἀφ' ὕψους καθιέναι τὴν τῆς διδασκαλίας ὁρμιάν, καὶ ἁλιεύειν ἀνθρώπους ἀποστολικῶς, καὶ ἀνασπᾷν ἐκ τῆς κατὰ βίον ἁλυκότητος ἰχθύας νοστίμους, καὶ τοὺς τὸν εὐαγγελικὸν μὲν σταθῆρα φέροντας εἰς διάδοσιν, καὶ ὡς εἰπεῖν εὐλιπεστέρους, οἷς πιότητα βίου περίκειται, καὶ τοὺς εἰς ταριχείαν δὲ μάλιστα εὐθέτους καὶ σαρκῶν στάθευσιν, διὰ τὸ ἐγκρατευτικὸν καὶ ξηραντικὸν τῆς κατὰ σάρκα ὑγρότητος.

74. Ὠρύεται ἡ θάλασσα, καὶ ἐμπηδᾷ τῇ γείτονι καὶ κατατρέχειν μὲν αὐτὴν εἰς τέλος βούλεται, εἴργεται δὲ τῆς μανίας, καὶ στρέφεται καθ' ἑαυτῆς παλίντροπος, καὶ μανθάνει μὴ τὰ τεθειμένα ὑπερβαίνειν ὅρια. Τόπον τοῦτον διδασκαλίας ἔχε κατὰ τῶν θελόντων ὑποσπᾶσθαι τὰ τῶν πέλας, καὶ ὁρογλυφεῖν, καὶ κατά τινα ἕρπητα ἢ καὶ φαγέδαιναν ἐπινέμεσθαι τὸ ἀλλότριον. Ἁλμυρὰ μὲν ἡ θάλασσα, ἐξ αὐτῆς δὲ ἀνάγεται τὸ πότιμον ἄπλετον. Παίδευε τοὺς πολλούς, ὡς δύνανται καὶ πάντες ἄνθρωποι ἀγαθοί τε εἶναι, καὶ γλυκεῖς ἐντυχεῖν, καὶ πότιμοι τὰ εἰς διάδοσιν, καὶ αὖθις ὑπόπικροι καὶ ἀπρόσιτοι. Ἐνταῦθα δὲ ἀναμίμνησκε, καὶ ὡς ἁρπάζων μὲν ὁ λέων καὶ ὠρυόμενος εἴρηται· ἀλλ' οἴδαμεν καί, ὅπως ἐξῆλθε ποτὲ μέλι ἐξ ἐσθοντος. Καὶ λόγοι δὲ σοφίας Ἑλληνικῆς, οἱ μὲν τὴν εἰς ὄλεθρον, οἱ δὲ τὴν ἐπὶ θάτερα πολλοὺς ἤγαγον· καὶ ὅλως εἰπεῖν, ὡς οὕτω καὶ οὕτω κατὰ ἐναντίαν διάθεσιν ἅπας ἄνθρωπος δύναται.

75. Διασκέπτου καὶ τοὺς θαλαττίους ἀφρούς, μηδὲν ὄντας, ἀλλ' ἢ λεπτοῦ τινος πνεύματος ἐναπόληψιν, ἄγουσαν τὸ ἐπιφαινόμενον διαφανὲς εἰς τὸ ἐνεργείᾳ λευκόν· καὶ συμβίβαζε ταῦτα πρὸς τὰς ἐν βίῳ ἀπειλὰς τῶν οὐκ εἰς ἀγαθὸν δυναμένων· καὶ δίδασκε, μηδὲν αὐτὰς ἀλλ' ἢ πνεῦμα ἐπιπολάζον εἶναι φυσίγναθον, ὡς μὴ ἔχειν παρακινεῖν τοὺς στερεμνίους, καὶ τῆς βεβαίας ἀπάγειν στάσεως ἢ καὶ ἐνστάσεως.

76. Ἔχει καὶ πειρατὰς ἡ κατ' αἴσθησιν θάλασσα, πολλῷ δὲ πλείω τὰ βιωτικὰ πειρατήρια. Ῥύθμιζε τοίνυν τοὺς κατὰ πνεῦμά σοι παῖδας, ἢ διαδιδράσκειν αὐτὰ διδοὺς καὶ μεθόδους, ἢ ἀλλ' ἐμπεσόντας ἀποτιννύειν καὶ τὸν ἔσχατον κοδράντην, καὶ οὕτω μένειν ἔξω τοῦ πειρᾶσθαι, καὶ βίον ἕλκειν ἡσύχιον.

77. Τρέφει καὶ ζῶα ἡ βλεπομένη θάλασσα, φωνὴν μὲν μὴ προϊόντα, ἐδώδιμα δέ· καὶ τούτων τὰ μὲν ἀνδρικώτερα πέπλασται καὶ ἐπιθετικά, τὰ δὲ εἰς ἐπιβουλὴν τοῖς τοιούτοις ἔκκειται. Ἔχει καὶ ὁ βίος ἐμὲ ἅρπαγα καὶ βορόν, ἀλλὰ καὶ ἄφωνον, οὐδὲν μὲν εἰδότα λαλεῖν δίκαιον, ἐπεγχαίροντα δὲ τῷ ἀδυνάτῳ, καὶ κατασπῶντα εἰς γαστέρα ὀλέθρου τὸν παραπίπτοντα. Ἐκεῖ||νο ποτὲ καὶ μόνον ὑποφωνοῦντα δαιμόνιόν τι Ms. fol. 163. a. λέληκας, ἐχόμενος ὑπὸ τοῦ πολὺ κρείττονος. Λάλει καὶ πρὸς ἐμὲ τὰ βελτιοῦντα, ὅτε οὕτω διάκειμαι. Εἰ γὰρ καὶ διδασκάλου τόπον ἐπέχειν ἔλαχον, ἀλλ' οὐκ ἂν ὀκνοίην καὶ διδασκόμενος ὑπό σοι, ὅτε λέγειν ἔχεις ὡς ὑπὲρ πάντας τοὺς διδάσκοντάς με. Συνῆκα καὶ μαθητὴς γέρων εἶναι, σκωπτόμενος καὶ μηδὲν εἰδώς, ἀλλὰ τὰ εἰς δικαιοσύνην ἄγροικος, καὶ ὡς εἰπεῖν ἀναλφάβητος.

78. Τυραννοῦσι τὴν ὁρατὴν θάλασσαν καὶ θῆρες ὄβριμοι, τὰ πελώρια κήτη· κἂν ἐκδραμοῦνταί που ὁρμήσαντα, ἐξερημοῦσι τὴν κατατρεχομένην θάλασσαν. Ἔχει καὶ ὁ κατὰ βίον ὠκεανὸς τοὺς αὐτοῦ θῆρας, τὰ

βάρβαρα ἔθνη, τὰ πολέμια, τοὺς τῶν αἱμάτων ἄνδρας, τοὺς ἐχθροὺς τοῦ θεοῦ. Πολλῷ δὴ πλέον ἐνταῦθα πλήθυνε τὰς εὐχάς, ἵνα ὁ μέγας ἁλιεύς, ὁ τῆς οἰκουμένης ἔνθεος βασιλεύς, ὁ τὴν πνευματικὴν ἀῤῥαγῆ σαγήνην χαλῶν δεξιώτατα, καὶ θεῷ ἀγρεύων καὶ προσάγων, ὅσον κατὰ πίστιν ἐδώδιμον, εὐθυβολῇ κατὰ τῶν τοιούτων, καὶ τῇ νοουμένῃ τριαίνῃ, τῇ ἐκ τῆς τριαδικῆς ὑψίστου δυνάμεως κραταιότητι, πλήττων καίρια, τὰ μὲν ἀφήσει κεῖσθαι δίχα ζωῆς, τὰ δὲ ἀπελάσῃ εἰς τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος. Εἴθισται γὰρ αὐτὸς καὶ τὰ τοιαῦτα, καὶ μυρίαις τοιαύταις ἄγραις ἡ χεὶρ αὐτοῦ ἐντέτριπται, ὁποία καὶ ἡ πρόσφατος, ἐν ᾗ ἅμα τε συνήχθησαν ἐπὶ τὸ αὐτὸ οἱ τῆς Ἄγαρ θῆρες, ὠρυόμενοι ἄγριον, καὶ ἁρπάσαι ζητοῦντες, μᾶλλον μὲν οὖν ἤδη καὶ χανόντες, καὶ φονίους ὀδόντας ἐμπῆξαι τῷ τοῦ θεοῦ ποιμνίῳ θέλοντες· καὶ αὐτὸς ἐπιδραμὼν ταχύ, ὡσεὶ καὶ βαρὺ ἐνύπνιον εἰς ἀπονυστάζοντας, κακὸν αὐτοῖς ὄναρ ἐπέστη, καὶ κατέκλινεν εἰς ὕπνον ἀνέγερτον. Τὰ ἔναγχος λέγω τρόπαια, τὰ περὶ τὴν πάλαι ποτὲ ὑμνουμένην πόλιν, ἣν ὁ τῆς ἱστορίας Κλαύδιος ἑαυτῷ ἐπωνόμασεν. Ἀλλ' αὕτη μὲν ἐκείνῳ συντέθνηκεν, οὐκ αὐτόματον παθοῦσα πτῶμα, χειρὶ δὲ κατασπασθεῖσα βαρβαρικῇ χρόνος ἐξότου μακρός. Τὸ δὲ νῦν βασιλικὸν ἀρίστευμα καινίσει μὲν καὶ τὸ πάλαι κτητορικὸν ὄνομα, καί πως συναναστήσει τὸ ἐκείνου ἔνδοξον, ἵνα καὶ νεκροῖς ἀνάστασις αὕτη καινουργοῖτο παρὰ τοῦ θαυμάσια ποιοῦντος ἡμετέρου αὐτοκράτορος· ἐπονομάσει δὲ μάλιστα τοὺς τόπους τῷ νῦν ἐκ καινῆς ἐγείραντι τὸ μέγα τρόπαιον.

79. Ἀλλὰ τοῦτο μὲν οὕτω παραπεσὸν μέχρι τοσούτου εἰρήσθω μοι, ὅτι μηδὲ λόγον ἔχει, ἐν παρέργῳ τίθεσθαι τὰ μεγάλου ἔργου ἐπάξια. Σὺ δέ, ὦ ἐπὶ τοῦ στύλου, ἐπιβλέπων θεωρητικῶς εἰς τὴν πρὸ ὀφθαλμῶν θάλασσαν, συμβάλλου κατὰ νοῦν, καὶ ὅτι (Ms. fol. 168. b.) καθὰ καὶ σκοπελός || τις ὁ πύργος οὗτος ἐνταῦθα κατὰ κυμάτων βίου ἐξανέχειν ἔλαχεν, οὐχ ὡς καὶ προσαράσσεσθαι τοὺς πλέοντας, καὶ οἴκτιστα καταθραύεσθαι, ἀλλ' ὡς ἐξανάπτειν αὐτόθεν τὰ τῆς ἐλπίδος πείσματα, καὶ οὕτω σώζεσθαι. Φύλαττε τοίνυν αὐτὸν σωτήριον, μεμνημένος καί, ὅτι ἐπὶ τοιαύταις ἐλπίσιν ὤρθωται. Οἶδας τὸ ἔργον, ὅπως ἐσπούδασται· οἶδας τὸν τοῦ ἔργου ἐπιστάτην, ὡς μὲν βασιλέως θεράποντα, ὡς δὲ διαιτητὴν ἰσότητος, τὰ τῆς δικαιοσύνης ὡς οὐκ ἂν ἔχοις ψέγειν ζυγὰ φέροντα. Οἶδας καί, ὅπως περὶ σε θερμότητος ἔχει, πεποιθὼς πάντως, εἰς ἀγαθὸν αὐτῷ ἔσεσθαι. Μὴ τοίνυν τὰς τοιαύτας ἐλέγξῃς ἐλπίδας, μηδὲ κάτω βάλῃς τὴν ἀποβλεπομένην εὔκλειαν. Μὴ θελήσῃς ἀνερχόμενος μὲν πάτερ, πάτερ ἀκούειν, καὶ ἀνάβα, ἀνάβα τὸ ὑμνούμενον, ἀνελθὼν δὲ θεωρηθῆναι κατὰ τοὺς οἷον ἀνεσκολοπισμένους ὡς ἐπὶ πανουργίᾳ τινί, καὶ που καὶ πρὸς τῶν ἐν ἡμῖν θερμοτέρων ἀκούειν· ἑταῖρε, προσκατάβηθι· οὐκέτι γῆς ἄνθρωπος εἶ, αἰθέριος δὲ καὶ οὐράνιος, εἰπεῖν δὲ ἀληθέστερον, θεοῦ, εἴπερ ἐθέλεις, ἄνθρωπος. Οὐδέν τι πρὸς σὲ οἱ λοιποί, ἐὰν ἀξίως πολιτεύῃ τῆς ἀναβάσεως· ἀλλ' αὐτοὶ μὲν κάτω, σὺ δὲ τῆς ἄνω μοίρας ἐπάξιος, ὅτι καὶ τοῖς περὶ θεὸν συνανιὼν τάγμασιν ἐγγίζειν προέθου θεῷ.

80. Ἀλλὰ τούτων μὲν ἅλις· τί γὰρ δεῖ ἐπὶ πλέον μηκύνειν τὴν θεωρίαν; Τὸν δὲ ὄχλον ἀπόλυσον, καὶ δὴ ἐν εἰρήνῃ, τέως μὲν σκεδασθησομένους ἕκαστον οἴκαδε, οὐκ ἔστι δὲ ὅπως μὴ καὶ εἰσαῦθις ἀθροισθησομένους εἰς τὸ περὶ σε φῶς, εἰ τὰ προτεθεωρημένα καλὰ ἐν σοὶ ἀναλάμπουσιν. Ὀπὸς γάρ τις καὶ ὁ ἀσκητικὸς βίος, οὐδένα διεῤῥυηκέναι θέλων καὶ ἀποδιΐστασθαι αὐτοῦ, ἀλλὰ τοὺς ἀγαθοὺς ἐπισυνάγων ἑνωτικῶς, καὶ εἰς ἑαυτὸν ἐπισωρεύων, καὶ ὄρος οἷον τοῦτο τετυρωμένον συνιστῶν, κορυφούμενον ἐκ τῶν ὅσοι γάλακτος δίκην ἀγαθῷ βίῳ ἐλλάμπονται, καὶ τὴν ἐν καθαρότητι λευκότητα εἰς τὸ πᾶν ἀνεπισκίαστον ἔχουσιν εἴ τι δέ που ὀῤῥῶδες καὶ μὴ τρόφιμον, ἐῤῥεῖν ἀφιεὶς καὶ ῥέειν, ὅπῃ πέφυκεν.

Τοῦ αὐτοῦ τὸ γραφὲν εἰς τὸν ἀοίδιμον ἐν ἁγίοις βασιλεῦσι κῦριν Μανουὴλ τὸν Κομνηνόν. Ὅπερ ὅτι οὐ τυχόντως μεθώδευται, ὁ πεπαιδευμένος διακρινεῖ. Πολλῶν γὰρ ἄλλως γραψάντων, ἐστρυφνώθη πρὸς διαφορὰν ὁ παρὼν ἐπιτάφιος.

1. Οὐκ ἦν μοι καραδοκοῦντι, τετολμηκέναι τινά, μεγαλείῳ τοσούτῳ λόγον ἑαυτὸν παραβαλεῖν, ὡς οὕτω ταχὺ τὸν τηλικοῦτον ἐθελῆσαι βασιλέα κείμενον λόγῳ ἐξᾶραι, καὶ στεγανῶσαι μὲν καρτερικῶς τὸ δάκρυον, ἐφεῖναι δὲ τῇ γλώσσῃ λαλεῖν. Μικροῖς μὲν γὰρ χαρακτῆρσι τὸν μέγιστον ἐκτυπώσασθαι, οὐ πάνυ τῆς ἀρίστης τίθεμαι γραφικῆς· ὑψῶσαι δὲ αὖ πάλιν πρὸς ἀξίαν λόγοις τὸν Ὀλύμπιον, οὐ μικροῦ καιροῦ, ἔνθα καὶ μακρὰ σκεψάμενον οὐκ εὐθυβολῆσαι πρὸς τὰ τοῦ σκοποῦ κίνδυνος. Ἀλλ' ἐπείπερ ἡ ἐν δέοντι θερμότης

εὖ ποιοῦσα ἐκνενίκηκε, καὶ τὸ ἐν λόγοις ἀνδρῶδες πεπαῤῥησίασται. Οὐ γὰρ ἂν ψυχὴ || Ms. fol. 161. a. φιλόκαλος κατὰ τοὺς ἐν τραγῳδίᾳ ἐγκεκαλυμμένους ἐπὶ μήκιστον διατεθείη, μήτε προσώπῳ ἐκφαινομένη, μήτε λόγοις διαδεικνῦσα παρεῖναι τῷ ζῶντι. Καὶ οἱ τῆς ἀγαθῆς ἐπιθυμίας ἄνδρες, οἷς ὁ λόγος ἐλλάμπει, ἀνάπτουσιν ἄρτι, ὥςπερ τὰς πρὸς αἴσθησιν, οὕτω καὶ λόγου λαμπάδας τῷ κειμένῳ, κατά τινα καὶ αὐτοδεξίωσιν ὀφειλετικὴν καὶ ὁσίωσιν πρέπουσαν.

2. Εἴη ἂν ἀγεννής, καὶ ἐν μὴ δέοντι ἐνεός, καὶ οὐκ εἰδὼς ἑαυτὸν μετρεῖν, ἔνθα μὲν σιγητέον, ἔνθα δὲ λαλητέον, ὁ μὴ τοῖς τοιούτοις πρὸς ὁμοιότητα συνδιεξαγόμενος. Μίμησιν γὰρ ἔχων ἅπας ἄνθρωπος διδάσκαλον, καὶ αὐτήν, ὅπη βούλοιτο, εἴτε καλοῦ τε καὶ ἀγαθοῦ τινος, εἴτε καὶ τῶν ὡς ἑτέρως ἐχόντων, σιωπώντων μὲν τῶν ἐλλογιμωτέρων, καὶ αὐτὸς ἂν λαλοῦσι δὲ τὸ σύμφωνον ἐναρμόσεται, καὶ μᾶλλον, εἴπερ καὶ ὁ φθάσας βίος τοιοῦτον τινὰ ἔτρεφε, μὴ θέλοντά τινων ὑστερεῖν λαλιᾶς τῆς ἐπ᾿ ἀγαθῷ, οἵους φημί τινας καὶ ἡμᾶς ἐπὶ τοῖς τοῦ μακαριστοῦ βασιλέως ἀποβῆναι θαυμασίοις. Ὅποι γάρ ποτε παρήκοι, οὐδ᾿ ἡμᾶς ὁ χρόνος εὗρεν ὀκνοῦντας τὰ δυνατὰ ἐγκώμια.

3. Εἴη δὲ ἂν πάντων ἀτοπώτατον, περιόντος μὲν τῷ βίῳ μὴ διεκπίπτειν εἰςάγαν τοῦ ἐν λόγοις προθυμεῖσθαι, ἀπελθόντος δέ, ὅπου τὰ κρείττονα, κατόπιν τῆς παλαιᾶς προθυμίας ἐλθεῖν, ἔνθα καὶ μάλιστα χρεὼν ταύτης. Ζώντων μὲν γὰρ ἐπιστρόφους εἶναι, ὕποπτος ἡ χάρις, διὰ τὴν ἐν ὀφθαλμοῖς αἰδῶ· ἀπεληλυθότων δέ, ἀλλὰ τότε τὸ εὔγνωμον εἰς ἀκριβὲς διεκφαίνεται.

4. Οὕτως οὖν καθεσταμένου τοῦ μηδὲ νῦν σιγᾷν χρῆναι, ἀλλά τι λαλῆσαι, ὧν ἐθάδες ἦμεν, νόμοις μὲν λογογραφίας ἕπεσθαι εἰς λεπτόν, οὐκ ἂν ἡμῖν ἀνάγκη ἐπικείσεται, εἴ γε καὶ οἱ τοῦ ῥητορικοῦ πατέρες νόμου πολλὰ παραποιοῦσι τῶν παρ᾿ αὐτοῖς θεσμῶν, ὅτε καίριον· ἔκτοπα δὲ αὖθις πλάζεσθαι γράφοντας, ἀλλὰ τοῦτο παρανομεῖν ἐν τέχνῃ λόγων ἐστίν. Ἐπιλεκτέον οὖν τό τε ἔννομον ἐν ἐγκωμίοις, καὶ τὸ ἐν περιστάσεσιν εὐμέθοδον, κατὰ τὴν ἀρχιτεκτονοῦσαν κἂν τοῖς τοιούτοις δεινότητα, καθ᾿ ἣν γένος μὲν ἐνταῦθα κεφαλαιώσασθαι οὐδεὶς ἂν ὅςτις ἐπιβαλεῖται, μὴ τοῦτο καὶ μόνον ἑλόμενος ἔργον θέσθαι· ὅς γε οὐδ᾿ οὕτω κατευθυνεῖ τὴν τοῦ λόγου βολὴν ἐπίσκοπα. Οὐ γὰρ τριγόνους, ὅ φασι, γονὰς μετρίσασθαι κἀνταῦθα ἐστίν, ἐν αἷς ἀπασχολήσας τις ἑαυτόν, οὐ πάνυ μακρὰν ἀνύσας καταλύσει τὸν λόγον εἰς ἀνάπαυλαν· ἑπταδικὴ δὲ τελειότης τὸ βασιλικὸν τοῦτο γένος κοσμεῖ. Κἂν δεήσῃ τοῖς κατ᾿ αὐτὴν ἐπεξελθεῖν σεμνώμασιν, αὐτὴ μὲν πέρατι περικλείεται· οἱ δὲ πρὸς τέχνην ἐπαινετήριοι ῥυήσονται ὡς εἰς ἀπέραντα, καὶ οὐκ ἐπιμετρηθήσεταί τι χρόνου τῷ κατὰ σκοπόν, ἀναλωθείσης τῆς ἐν τῷ λέγειν καὶ ἰσχύος καὶ ἀδείας εἰς τὰ μὴ πρὸ ἔργου τῷ γράφοντι.

5. Ἐκεῖνο τοίνυν ἔστιν εἰπεῖν τοῖς ἐνταῦθα μετρουμένοις τὸ καίριον, ὡς οὐκ ἀθεμελίωτα τῷ ὑμνουμένῳ τὰ τοῦ βασιλεύειν, οὐδέ, ὡς οἷον εἰπεῖν, ἄῤῥιζα· στεῤῥοῖς δὲ θεμελίοις ἐπῳκοδόμηται τῇ προϋποβεβλημένῃ τῶν προγόνων εὐκλείᾳ, καί, ὡς ἐπὶ ῥίζαις τοιαύταις, φυτὸν εὐθαλέστατον αὐτὸ ἀνέβλαστεν, οὗ καὶ ἡ σκιὰ κόπους ἀνέψυχε τοῖς ἐκ καμάτων βίου καυστηρῶν ὑποτρέχουσι, καὶ ὁ καρπὸς ἔτρεφεν, ὅσους βίου ἐλάπαξεν ἔνδεια. Σεμνὸν μὲν οὖν, καὶ αὐτόν τινα ἠξιῶσθαι, ἀρχὴν βασιλείας ἑαυτῷ προκαταβαλέσθαι, καὶ κατᾶρξαι τῷ εἰςέπειτα γένει τοῦ ἀγαθοῦ, καὶ τῇ βασιλικῇ χρυσέᾳ σειρᾷ ἐνδοῦναι ἀρχήν· τῷ παντὶ δὲ κρεῖττον, ἐκ διαδοχῆς ἐπικεκρίσθαι, περιθέσθαι διάδημα. Τοῦτο μὲν γὰρ εἰς διπλοῦν ἥκει ἐπαίνου, τόν τε κατ᾿ αὐτόν, καὶ ὅσον εἰς βασιλεῖς προγόνους ἀναπέμπει τὸν γράφοντα· ἐκεῖνο δὲ || Ms. fol. 161. b. εἰς ἕνα περιέγραψε τὸν καλόν, τὸν κατάρξαντα. Καὶ ἔτι ὁ μὲν ἀρχὴν βασιλικὴν ὑποστησάμενος, οὐ πάνυ δίδωσι θαῤῥεῖν τὰ εἰςέπειτα· ὁ δὲ τοῖς ἄρξασιν ἐπιγενόμενος, καὶ ταῦτα τηλικούτοις, ἐγγυωμένην αὐχεῖ τὴν διαδοχὴν ἀγαθοῖς τοῖς φθάσασι προςεπιθεῖναι τὰ οἴκοθεν. Ἔχει γάρ, ὅποι παραδείγματος ἰθαγενοῦς τὸν νοῦν ἀπερείσεται· καὶ ζήλῳ διαθερμανθεὶς πρὸς μίμησιν, οὐ φέρει, τοῖς προγόνοις ἀφιέναι, πρωτεύειν ἐν ἀγαθοῖς.

6. Τί δέ; Γένος μὲν οὐ πολυπραγμονητέον ἐνταῦθα, οὗπερ ὁ κατάλογος ὑπὲρ τὰ ἡρωϊκά, ὧν τὰ σεμνὰ ἔστι κατανοεῖν τῷ μαθήσεως εὖ ἥκοντι, ἐς ὅσον βραχύτητος περιγέγραπται· τροφῆς δὲ κανόνα διαχειριστέον, ὃς δὴ τῷ γένει συναναφαίνεται. Καὶ τίς ἂν ἐπιμετρήσῃ χρόνον ἀρκοῦντα, ἔνθα τὸ ἀκροατήριον ὀλίγα μὲν ἔχει πρὸς τοῖς ὑφ᾿ ἡμῶν λαλουμένοις, τὰ πλείω δὲ εἰς ἑαυτὸ στρέφεται, καὶ τῷ θαύματι πεπηγότες ἢ συστέλλουσι τὰ τῶν αἰσθήσεων ἐνεργήματα, ἐν οἷς καὶ τὸ ἀκροᾶσθαι, ἢ ἀλλὰ τὰς ψυχικὰς παρανοιγνύντες δέλτους αὐτοὶ λογογραφοῦσιν ἑαυτοῖς, κατ᾿ ἄλλος ἄλλον τρόπον τοῖς τοῦ κειμένου ἐπεξιόντες θαύμασιν; ἐν οἷς καί, ὡς ἐκ σπαργάνων αὐτῶν καὶ ἐκ παιδὸς εἰς ἀκμαῖον δι᾿ ἀρετῶν ἥκων προέκοπτε, τὰ μὲν ἑτέροις προγονικοῖς ἐμβαίνων ἴχνεσι, τὰ δὲ καὶ πατρικῶς ῥυθμιζόμενος, πλείω δὲ καὶ προςευπορῶν, καὶ ἀρχαῖς ἀγαθαῖς προςεξευρίσκων αὐτός, ὅσα καὶ αὐτὰ εἰς ἀρχὰς καὶ ἀγαθοπραξιῶν ἀρχέτυπα τοῖς ἐπιοῦσιν ἐγγράψεται.

7. Ἦν γὰρ ἀληθῶς ἰδεῖν τὸν μὲν πατέρα βασιλέα διδασκαλιῶν τὰς ἀρίστας προβαλλόμενον, τοῦτον δὲ ῥᾷον ἀντιλαμβανόμενον, καὶ εἰς προβολὴν εὐθὺς ἐνεργείας τελείως ἐρεθιζόμενον· κἀκεῖνον ἔστιν οὗ καὶ ἐπέχοντα τῆς εἰςάγαν ῥύμης, ὑφορώμενον, μὴ καὶ σφαλείη ὁ παῖς βασιλεὺς τῷ ὑπερλίαν εὐεκτικῷ τοῦ μεγαλοφυοῦς. Καί ποτε πρὸ ὥρας ὑγραῖς ἔτι χερσὶ (καὶ τί γάρ;) ἢ παιδικαῖς ὁ μὲν κατεθάῤῥησε μάχης (ἣν οὐ πολλοί, οὐδὲ τῶν γενναιοτέρων), καὶ περιέκειτο νίκην· ὁ δὲ πατὴρ ἐντὸς μὲν ἔχαιρεν, ἐπαλείφων εἰς ἀρετὰς τὸν κατ' αὐτὰς δεξιώτατον, τοῖς δὲ ἐκτὸς ἐμβριθῶς ἐσχημάτιστο, καὶ ἤνυσεν ἐπὶ τῷ μαθητῇ βασιλεῖ, ὃ μὴ τὸ πολέμιον κατεπράξατο. Τοὺς μὲν γὰρ οὐδ' ὑπεστάλη ὁ νεανίας· ὁ δὲ πατὴρ βασιλεύς, ἐμβριμησάμενος, αὐτὸ δ' εἰπεῖν, καὶ ἐπιπλήξας, εἰς φρίκην συνήγαγε μαθόντα, μὴ χρῆναι θάλος οὕτω νέον ἀνέμοις ἑαυτὸ παραβάλλειν, οἳ ἐκστρέψαι τῆς εἰς ὀρθὸν στάσεως, καὶ ἐπὶ γαίης ἐκτανύσαι ἰσχύουσιν· ἀκούσαντά τε καί, μηδένα φαῦλον ἄνδρα πολέμῳ αἱρεσθαι, ἀλλὰ τοὺς ἀγαθοὺς ἀεί, οὓς κρατυνθέντας μὲν πάνυ στεῤῥῶς καὶ ἄθλοις ἐντριβέντας μυρίοις τάχ' ἂν ποτε δυςωπηθείη ἡ δυςπρόςωπος μάχη, παναπάλοις δὲ οὖσι ταχὺ ἐγχανεῖται, καὶ ἀπωγάγοι πρὸ ὥρας, μικρὸν ἢ οὐδὲν ὠφεληκότας τὸ βοηθούμενον· καὶ ἐπὶ πᾶσι παιδευθέντα, ἠρέμα τὸ ἔμπρακτον προΐσχεσθαι, καὶ βαθμιδοῦν οἷον τὴν ἐν ἀρεταῖς ἀνάβασιν κατὰ εὐτακτουμένην προςαύξησιν, ἵνα τῷ τελείῳ προβὰς εἴη τῷ κόσμῳ χρήσιμος· ὃ καὶ εἰς ἔργον ἐκβέβηκεν ὕστερον.

8. Ἀλλὰ τί μοι, κατ' ἀνάγκην λόγου καὶ τοιούτοις ἐπεξιόντι, οὔτε εἰς τὸ πᾶν ἐξικέσθαι, καὶ διεκπεσεῖν τοῦ τε καιροῦ τοῦ τε σκοποῦ, ὧν τέλος ἡ ἐν
Mo. fol. 165. a. τοῖς ἐφεξῆς δυνατὴ συμ || μετρία εἰς ὅσον, μικρὰν γοῦν τινα τοῖς ἀκροαταῖς ἀνακινῆσαι μνήμην καὶ θαῦμα, τοὺς τῆς εὐγνωμοσύνης καρπούς; Μεθοδευτέον οὖν ἡμῖν οὕτω τοὺς λόγους, καὶ ὡς ὑπὸ κλεψύδρᾳ, τῷ τοῦ καιροῦ μέτρῳ τὸ τοῦ λόγου μετρητέον ὕδωρ, μὴ καὶ ὁ ἀγὼν φθάσας λελύσεται.

9. Μή μοι δὲ μηδὲ συμβόλων ἐκείνων μνηστέον, ἃ τὴν βασιλικὴν προεδήλου καὶ ἀνάῤῥησιν καὶ λοιπὴν ὕψωσιν, μὴ καὶ πληθύνας ὁράσεις τῷ λόγῳ, καὶ ἀποκαλύψεσιν ἐμβαθύνας, ἐκστήσω τὸ ἀκροατήριον· ἐπεί τοι καὶ ἄλλως οὐ μακρὰ χρεία τοιούτων, ἔνθα τὰ ὑστερήσαντα λόγου πέφηνε κρείττονα. Οὐ γὰρ ἂν ἔχοι τις ἀνάγκην, ἐνταῦθα τῶν θεοπροπίων πάνυ τι γίνεσθαι, ὅπου, κἂν εἰ μὴ ἐν συμβόλοις προδηλοῖτο τὰ μεγάλα μέλλοντα, οἷς ἐπινεύει θεός, ὅμως αὐτὰ πρὸς τέλος οὐδὲν ἧττον ἐκβέβηκεν, ὅτι μηδὲ διὰ τὸ σύμβολον, οὗπερ τὸ σύμβολον, ἀλλ' ὅτι τὸ δεύτερον ἐπὶ τούτῳ καὶ τὸ πρὸ αὐτοῦ σεμνύνεται.

10. Εἶ δὲ καὶ καλὸν ἅπαν προοίμιον, ἀλλ' ἔνθα κατεπείγει τὸ ἐναγώνιον, περιορατέον τὸ τοῦ προοιμίου πολύ· οὕτω δὲ καὶ τὸ συμβολικῶς φροιμιαζόμενον μὴ δαπανάτω τοὺς ἀγῶνας ἡμῖν, εἰ καὶ πολὺ τὸ εὐκλεὲς τρόπον ἄλλον ἐπισύρεται, οἷς τὸν αὐτοκράτορα κατὰ τοὺς ἐν ἐπαγγελίαις ὡσιωμένους τῷ θεῷ διατίθεται. Τὰ μὲν γὰρ πάνυ ἐν τοῖς τοιούτοις παλαιά, καὶ μηδὲ τῆς καθ' ἡμᾶς ἱερᾶς αὐλῆς τε καὶ ὁμηγύρεως, ἐνυπνίων καὶ ὁραμάτων λόγοις φιλοσοφοῦνται· ταῦτα δὲ τὰ ἐν ἡμῖν, καὶ ὅσα τοιαῦτα, θεὸς τοῖς λιχνευομένοις τὴν πρόγνωσιν ἀνεκάλυψε, καὶ τὸ προτεθειμένον εἰπεῖν ἐπηγγείλατο ἐν αὐτοῖς.

11. Ἀναθέμενοι οὖν οὕτω καὶ ταῦτα, καὶ εἰς τοσοῦτον ἐπιδραμόντες, ἐπιβαλοῦμεν τοῖς τούτων ἐχομένοις, εἰς ὅσον δύναμις. Δύναμις δὲ τοῖς καθ' ἡμᾶς μεμετρημένοις τὸ λέγειν, καθ' ὁμοιότητα πελαγοπόλου νεὼς ἐν τοῖς βασιλικοῖς ἀγαθοῖς διεξάγειν τοὺς λόγους. Ἐκείνη τε γὰρ ὡς οἷον γραμμικῶς τέμνει τὸ πέλαγος, ὀλίγας τινάς που ἕλικας περιάγουσα, ὡς ἐξεῖναι καὶ ἑτέραις μυρίαις ὅσαις ναυσί, τὸν ὅμοιον τρόπον διαθέειν, καὶ μηδὲ οὕτω τὸ πᾶν πέλαγος γενέσθαι πλεύσιμον· καὶ ἡμῖν δὲ οὐκ ἔσται οὕτως ἱκανὸν τὸ τοῦ λογικοῦ φορὸν πνεύματος, ὡς ἐξαρκεῖν ἐμπλατυναμένοις, πολλὴν εὐθυπλοῆσαι τοῦ τῶν βασιλικῶν θαυμασίων ὠκεανοῦ, ὧν οὐδ' ἂν ἀνάριθμοι νῆες διεξέλθοιεν, ὁποία τις καὶ ἡ παρὰ τῇ ποιήσει ἑκατόνζυγος, ἧς τὸ ἐν λόγοις ἄχθος πολύ.

12. Ἐν δὴ τοιούτοις καὶ τούτων ὄντων, οἱ μὲν ἄλλοι ἀναγόντων τε ἑαυτούς, ὅπως ἄρα καὶ βούλοιντο, καὶ διαπλεόντων οὐριοδρομοῦντες, ἔνθα προτεθυμῆσθαι δέον αὐτοῖς· ἡμᾶς δὲ βασιλικῶν ἀρετῶν περιστοιχίζει χορός, οὗ χρὴ γενέσθαι, εἰς ὅσον οἷόν τε ἡμῖν. Ἐνταῦθα δὲ πῶς ἂν ἔπειτα λαθοίμην πρωτείου τιμήσασθαι τὴν ἐπὶ πασῶν φρόνησιν, τὴν ἁπάσας ἀρτύουσαν ἀρετάς, καί, ὡς οἷον εἰπεῖν, ἅλας, καὶ αὐτὴν παγκόσμιον, δι' οὗ ἅπασιν ἀνθρωπικοῖς ἔργοις τὸ νόστιμον; ἧς προϊσταμένης μὲν τῶν πράξεων, ἀνθρώπου ἔργα τὰ πραττόμενα, καὶ ὑπὸ φωτὶ ἐκεῖνος βαίνει τῷ ὄντως· παρεωραμένης δέ, ἄλλο τι ἐκεῖνα, καὶ ὡς οἷα κατὰ σκότον ἠλάσκει ὁ ἐργαζόμενος, καὶ ὡς παρεγκλίνας τὸ φῶς σκιά τις ἀΐσσει ἀπολωλεκυῖα τὸ στερέμνιον.

13. Ταύτης ὁ συνετώτατος αὐτοκράτωρ κατακόρως εἶχε, καὶ οὐ πρὸς σύγκρισιν, ἀλλ' εἰς τὸ ἀληθοῦς ἀνυπέρβλητον. Πρᾶξαι γάρ τι δεῆσαν εἴτε καὶ εἰπεῖν, κατάρξας μὲν οὐκ εἶχε τὸν ἐπινοησόμενόν τι βέλτιον·

ἑτέρᾳ δὲ καταρχῇ τὸ οἰκεῖον ἐπαγαγών, ἀπέκρυπτε τὰ τῶν ἄλλων, καθὰ καὶ ἀστέρων φαῦσιν ἀναφανεὶς ὁ Ms. fol. 165. b. ἥλιος. Ὁ δὲ καὶ ἄλλως || διατιθέμενος, καὶ τὸ μὲν ἐκφαίνων ἑαυτόν, οἷα κἀνταῦθα δύναται, τὸ δὲ καὶ γυμνάζων εἰς μάθησιν τοὺς τὸν νοῦν ἔχοντας πρὸς αὐτῷ, μετέφερέ ποτε τὴν γνώμην, ἐφ' ὅπερ οὐκ ἂν αὐτὸς ἕλοιτο, καὶ ἐπιθανολόγει τὸ πρᾶγμα, καὶ προάγων ἐπιχειρήσεις, καὶ τὴν κατασκευὴν στρογγυλλόμενος, εἰς πειθὼ τὸν λόγον κατέστρεφεν· καὶ οὕτω δέον (καὶ μὴ ἄλλως), τινὰ καταπράξασθαι. Ὡς δὲ ἐπινεύσοι τὸ ἀκροώμενον συμπεισθέν, καὶ κατάθοιτο, καὶ ἡ μὲν βουλὴ πέρα τι συγκλεισθείη, καιρὸς δέ, τὴν χεῖρα ἐπεξεργάζεσθαι τὰ τοῦ βουλεύματος, τότε δὴ ἀναλαβὼν ἄλλως τὸ πρακτέον, ἀναποιῶν ἦν τὰ ἤδη κατεσκευασμένα· καὶ τὸ μὲν πιθανὸν ἀπέκρινε, τῆς δὲ τῷ ὄντι πειθανάγκης ἐγίνετο, καὶ τὸν τῆς διανοίας ἐξέφαινε θησαυρόν, πολὺν σοφίας πλοῦτον στέγοντα, καὶ μεστὸν εἶναι συνέσεως διεδείκνυτο, οὐ κατὰ τὸ θρυλλούμενον ἐν τοῖς πάλαι διατεθειμένος ἀμφοτερόγλωττον, ἔνθα ἡ τοῦ νοουμένου πλάστιγξ ὡς τὰ πολλὰ ἰσόῤῥοπος, καὶ τὸ πρακτέον οὐκ εὐξύμβλητον, ἀλλὰ κατὰ τὴν φιλοσοφουμένην συστοιχίαν, τὴν ἐκλέγουσαν μὲν ἐν στοίχῳ τὰ ἀγαθά, ἰδίᾳ δὲ τὰ μὴ τοιαῦτα σκορακίζουσαν, ἤδη δὲ καὶ κατὰ τὴν τοῦ μελῳδοῦ Τιμοθέου σοφίαν, ᾄδοντος μὲν ἐπιστημόνως τοῖς μύσταις, ᾄδοντος δὲ καὶ ὡς ἑτέρως, καὶ ἐπιλέγοντος, ὡς „οὕτω μὲν ᾄδειν βουλοίμην ἂν τοὺς ἐμούς, οὕτω δὲ οὐκ ἂν ἀποδεχοίμην ᾄδοντας."

14. Ἐντεῦθεν αἱ πανταχοῦ γῆς βασιλικαὶ πρόνοιαι πολυειδεῖς. Καὶ ἄνθρωπος εἷς οὗτος τοῖς μεγάλοις οἰκουμενικοῖς ἑαυτὸν μεγαλοφυῶς ἐπεμέριζε τμήμασιν εἰς τὸ ἐνεργόν, προβαλλόμενος, ὅσα καὶ χεῖρας ἀμφιδεξίους, τὸ τῆς ἀνδρίας δραστήριον, καὶ τὸ τῆς συνέσεως ἐμπύριον, ὅσον τε ἐν τῇ λοιπῇ φρονήσει, καὶ ὁπόσον εἰς ἀγχίνοιαν. Ἦν μὲν γὰρ καὶ σκεπτικῶς ἔχων ἐν τοῖς μεγίστοις, καὶ ἐφιστάνων διανοητικῶς· τὰ πλείω δὲ ἄγχιστα τῇ νοήσει παρίστατο, καὶ ἀχρόνως οἷον τοῦ νοουμένου ἐδράττετο, καὶ τούτου βαθύτατα, καὶ οὐχ ὡς ἐπιπολάζειν κατὰ τοὺς ταχεῖς μὲν φρονεῖν, οὔ τι δὲ καὶ ἀσφαλεῖς. Καὶ ἦν μὲν αὐτῷ λίαν καλὰ καὶ τὰ τῆς ἀνδρίας σεμνά· περιττότερα δέ γε τὰ τῆς φρονήσεως, ἧς καὶ καταμόνας εἰς μυρίον πλῆθος ὠνάμεθα.

15. Ἡ γοῦν Πυθαγορικὴ κατάρτυσις, εἴτ' οὖν ἀγάπησις, κατὰ τοὺς τὰ τοιαῦτα σοφοὺς εἰπεῖν, κἀνταῦθα παρεισδῦσα, καὶ τὴν ἐν βαρβάροις ἀγριότητα ἐξελαύνουσα, τὰς τῶν πολέμων ἀνοχὰς ἡμῖν κατώρθου, δι' ὧν κατεσιγάζετο τὸ ἀλλόφυλον. Καὶ μὴν αἰσθάνομαί τινων ψαλαττόντων ἠρέμα, καὶ ὑποκρουομένων ἀπήχημα γλυκύ τε καὶ ἐναρμόνιον, δι' οὗ ἀνδρία καὶ τὴν εἰρηναίαν γαλήνην ἐν ἔθνεσιν ᾄδεται καταπράττεσθαι. Καὶ ἔχει οὕτως, ὦ οὗτοι· καὶ τοίνυν ἐντείνατε τὸ ᾆσμα τορώτερον, κἀγὼ τοῦ μέλους ὑμῖν συνεφάψομαι. Ἀδελφὰ γὰρ ἀληθῶς φροντεῖον ἀνδρία τε καὶ σύνεσις, καὶ κοινοῦσθον τὸ ἔμπρακτον παρά γε τοῖς ἔμφροσιν.

16. Εὐπορῶ δὲ ὅμως εἰπεῖν, ἐφ' ὧν τὸ τῆς βασιλικῆς φρονήσεως καὶ μονῆρες ὁρίζεται, καὶ τέως (ἐκεῖνο τὸ ἐνταῦθα μέγα τοῦ λόγου κεφάλαιον) τὴν τῶν ἑκασταχόθεν ὑψηλῶν γενῶν τῷ βασιλείῳ γένει συνάφειαν, δι' ἧς ὅσα καὶ τινος πολυτιμήτου ὕλης τὴν τοῦ βασιλικοῦ στέμματος συγκρότησιν ἐτεχνήσατο, τὸν ἀρχικὸν καὶ οὕτω μεγεθύνων ὄγκον, καὶ χεῖρας ταύτας μεγαλοφυεῖς τῇ Ῥωμαϊκῇ ὁλομελείᾳ προσφύων, ἃς ἐκτενεῖ, ὅτε που πολυχειρίας δεήσειε. Τούτου ἡμῖν τοῦ καλοῦ φυτοῦ τῆς σοφίας καρπὸς καὶ τὰ πρὸ ὀφθαλμῶν ἀγαθὰ αἱ σὺν θεῷ βασίλισσαι, ὧν ἡ μὲν οἷα καὶ ἥλιος ἐξ ἑῴας ἔφανεν, εἰ καὶ νῦν ὑπὸ νέφει || σκιάζεται, Ms. fol. 166. a. εἴ τι καὶ τέφος εἰπεῖν θαῤῥητέον τὸ τοιοῦτον μέλαν, ἐν ᾧ φανότερον ὁ τῆς δικαιοσύνης ἥλιος θεὸς διοπτεύεται· ἡ δὲ ὡς ἄγχοθί που λελουμένος ὠκεανοῦ ἑσπερίου καὶ αὐτὴ φωσφόρος ἐπηύγασεν.

17. Ἀλλὰ τοῦτο μὲν ἐς τοσοῦτον, μὴ καὶ ὠκεανὸς ἐνταῦθά μοι ῥητορείας ἀναῤῥαγεὶς ἀνακόψῃ τοῦ εὐθυπλοεῖν. Συγκροῦσαι δὲ πολεμίους ἀλλήλοις, καὶ ἡμᾶς ἐν ἀταράχῳ καὶ οὕτω καταστῆσαι, καὶ τὸ ἐν εἰρήνῃ γαλήνιον καταπράξασθαι, τίς ἄρα κατ' ἐκεῖνον δεινότατος; Μέθοδον γὰρ καὶ ταύτην στρατηγικὴν ἐτεχνου, τὸ μὲν ὑπήκοον φυλάττειν ἀναίμακτον ἐπὶ μεγίσταις τροπαίων ἀναστάσεσι, προσεράσσειν δὲ τοὺς πολεμίους ἑαυτοῖς, καὶ ἐκπολεμοῦν τοῖς ἀλλοφύλοις τὸ σφίσιν αὐτοῖς ὁμόφυλον, ὡς καὶ ἐντεῦθεν αὔξεσθαι μὲν τὰ ἡμέτερα, μειονεκτεῖσθαι δὲ τὸ πολέμιον, καὶ τὸν Ἐνυάλιον μηκέτι ξυνὸν εἶναι, μηδ' ἀμφοῖν τοῖν μεροῖν φθισήνορα, ἡμῖν τε καὶ τοῖς ὅσοι ἐξῄεσαν εἰς ἀντίπαλον, μόνοις δὲ τοῖς πολεμίοις ἀπονενεμῆσθαι τὸν βροτολοιγόν. Οὕτω Πέρσαι Πέρσαις ἀντίμαχοι μεθόδοις βασιλικαῖς· καὶ ἡμεῖς εἰρηναῖον ἐπαιανίζομεν. Οὕτω Σκύθαι Σκύθας εἰς γῆν κατεστρώννυον· καὶ ἡμεῖς ὄρθιοι. Οὕτω πολλὰ τῶν ἑσπερίων ἐθνῶν, πλεονεξίαν νενοσηκότα, ὑγιοῦντο σωφρονιζόμενα· καὶ τὸ Ῥωμαϊκὸν ἐξεθαμβεῖτο, ἐφ' οἷς, ὡς οὐκ ἂν αἴσθοιτό τις, τὸ τῇ ὁπλομανίᾳ ἐπίληπτον τεθεράπευτο. Δράκων δὲ ὁ νησιωτικός, ὃς καὶ ὑπὲρ κρατῆρας Αἰτναίους τὸ τοῦ θυμοῦ πῦρ ἐκφυσᾶν ἤθελε, πολλὰ μὲν τοῦ κατ' αὐτὸν ὁλκοῦ καὶ βασιλικοῖς ἐκολούσθη ξίφεσι, τὰ πλείω

δὲ οἰκειακοῖς ἐχθροῖς συγκρουόμενος, οὓς αἱ τοῦ αὐτοκράτορος μέθοδοι ἐπανίστων, διχαστικὴν ὁποῖα τινὰ μάχαιραν τὴν ἑαυτοῦ τομώτατα σοφίαν βάλλοντος.

18. *Προμηθείας δὲ ἦν ἄρα βασιλικῆς, μὴ μόνον περισώζεσθαι τοὺς ὑπακούοντας, ἀλλὰ καὶ προςεπαύξειν αὐτούς, εἰς ὅσον χώρα γίνεται. Καὶ ἔστι καὶ τοῦτο ταλάντου εὐαγγελικοῦ προςεπαύξησις, ὅτι καὶ κληρονομίας θείας πρόςθεσις. Τοῦτο γοῦν, εἴπερ ἕτερός τις τῶν ἀνέκαθεν χρόνου βεβασιλευκότων, ὁ νῦν ἐπαινούμενος ἐκτετέλεκε, πληθύνων τὸ ἀγαθόν. Καὶ οὐκ ἔστι γλῶτταν εἰπεῖν ἔθνους, ἣν οὐ παρέμιξε τῇ καθ' ἡμᾶς εἰς χρήσιμον. Οἱ μὲν γὰρ ὡς ἐν λόγῳ μετοικίας τὴν εἰς ἡμᾶς ἐστέλλοντο· καὶ εὑρίσκοντες ἀνάπαυσιν ἑαυτοῖς, οἱ δὲ καὶ δώρων ἐπιβαλλόμενοι, ὅσα τὸ βασιλικὸν μεγαλόδωρον εἰς πλήσμιον ἐχορήγει, τοῦ πλουτοποιοῦ κόλπου ἐγίνοντο, μισθοφοροῦντες μὲν τὴν ἀρχήν· ὅτι δὲ εἰς ἐνδελεχὲς τὸ τοῦ πλούτου ῥεῦμα τούτοις ἐπλήμμυρεν, οἰκήσιμον καὶ αὐτοὶ τὴν ἀλλοδαπὴν ποιούμενοι, καὶ πατρίδα κρίνοντες εἶναι πᾶσαν, ἐν ᾗ εὐπαθεῖν περιγίνεται. Καὶ ἡ μὲν παλαιὰ ἱστορία καὶ δούλων πόλιν τινὰ προάγει πρὸς γνῶσιν· ἐνταῦθα δὲ καὶ τοῦτο πεπλήθυνται τὸ καλόν. Ἄνθρωποι γάρ, οὓς φύσις μὲν ἐλευθέρια ζῆν ὥρισε, νεύροις δὲ στεῤῥοῖς ἐτόνωσε, καὶ ὅλως εἰς ἀνδρίαν ἐστόμωσε, βίου δὲ κύκλος ἐπὶ δουλείαν στρέψας, εἰς τὴν τοῦ μεγάλου Κωνσταντίνου περιήγαγε (συχνοὺς δὲ καὶ τούτους αὕτη πανδοκεύει, καὶ οἵους κατὰ στίφη καὶ λόχους καὶ στίχας συντάξασθαι), ἐλύπουν μὲν — ἦν καιρὸς ἐκεῖνος — τὸ δεσποτικόν, μεμνημένοι κατὰ τὸν Ὁμηρικὸν ἵππον τῆς ἐν τροφῇ ἀκοστήσεως, καὶ νομῶν ἐκείνων βαρβάροις καλῶν, καὶ τῶν αὐτοφυῶν καὶ ἀπαραποιήτων λοετρῶν, ὅσα τοὺς βαρβαρικοὺς στρατιώτας πρὸς ἀμάλθακον καρτερίαν ὑγραίνουσιν. Ἦν δὲ αὐτοῖς θάτερος μὲν || τοῖν ὀφθαλμοῖν οἴκοι·* Ms. fol. 166. b. *ὁ δὲ λοιπὸς εἰς φυγαδείαν ἔβλεπε. Καὶ χεὶρ ἡ μὲν διεπράττετο τὰ δουλικά, ἡ δὲ ξίφους ἤθελε δράττεσθαι, εἴ τις που καὶ δριμύξεται, καὶ ἐγκόψει τὸ ἑκούσιον. Καὶ οἱ κύριοι ἐντεῦθεν οὐκ ἂν μὴ καὶ αὐτοὶ δοῦλοι, μενοῦνγε καὶ ὡς τολμῆσαι εἰπεῖν αἰχμάλωτοι, ἀγόμενοι μὲν καὶ φερόμενοι, ὁρώμενοι δέ, ὅτι τοιούτοις κακοῖς ἔχονται, καὶ ποθοῦντες ἀπογενέσθαι τὸ δυστύχημα. Ἐξακούεται οὖν τὸ εὐκταῖον. Καὶ εὐθὺς ἔλεος ἐκ βασιλέως ἐπὶ τοῖς ἀμφότερον, καὶ δεσπόζουσι καὶ δουλεύουσι, καὶ θησαυροὶ βασιλικοὶ ἐκκενοῦνται· καὶ οἱ δεσπόται χαίρουσιν ἀποσκευαζόμενοι τὸ φαῦλον οἰκετικόν. Καὶ τὸ ἐντεῦθεν αὐτοὶ μὲν ἀντὶ μὲν δούλων ἦσαν τὸ φυσικόν, ἀντὶ δὲ ἀτίμων στρατιῶται, τὸ φίλον ἐκείνοις· οὐκέτι δὲ τοῦ λοιποῦ, ὅσον τοιοῦτον ἀχθείη φῦλον, τὸ πᾶν ὑπὸ δεσπόταις ἦν. Ἀλλ' ὅσοι μὲν οὐκ εὐγενῶς ἐφρόνουν, ἔπασχον οὕτω, δουλείαν ἀτίμητον ἤπερ ζῆν πρὸς κλέος ἑλόμενοι, τάχα μὲν ἀγεννῶς, τάχα δὲ προμηθείᾳ τοῦ βιοῦν ἀσφαλῶς. Οἷς δὲ στρατεύεσθαι ἦν ἐπιθυμεῖν, εἰς ὅμοιον ἐκείνοις τοῖς ἐκ δούλων στρατιώταις ἤρχοντο, χρήμασι δημοσίοις λυόμενοι, καὶ ζώνῃ στρατείας κοσμούμενοι. Καὶ πόλεις ἐπλήρωσαν, καὶ εἱρμῷ συνεπλάκησαν βίου, καὶ διαδοχὰς ἐπλήθυναν, καὶ τὴν βασιλικὴν προςθήκην ἐθαυμάστωσαν, οὐ κατὰ τοὺς Σπαρτοὺς ἀναφύντες αὐτόματοι, ἀφ' ἧς δὲ ἐξεσπάσθησαν, μεταφυτευθέντες εἰς τὴν καθ' ἡμᾶς γῆν, καὶ καρπὸν ἐκδεδωκότες τρόφιμον.*

19. *Τὸ δὲ καινότερον· καὶ ἄνδρας τούτων ἔτι πλείους ἐκ πρὶν ἀρχεκάκων μεταγαγὼν ἀμύνης λόγῳ ἐπὶ τὰ Ῥωμαϊκά, τῷ ἐκείνων ἀγρίῳ τὸν καθ' ἡμᾶς ἥμερον ἐνεκέντρισεν, καὶ εἰς χρηστότητα μετεποίησεν, ἣν θεῖος ἂν παράδεισος οἰκειώσηται. Καὶ οὐ λέγω μόνους τοὺς ἐκ τῆς χέρσου, τοὺς τῆς Ἄγαρ, τὸ Σκυθικόν, τὸ Παιονικόν, τοὺς ὑπὲρ Ἴστρον, καὶ ὅσοις ἀκραιφνὴς βοῤῥᾶς ἐπιπνεῖ· ἀλλὰ καὶ ὅσους ἐκ θαλάσσης πολυτρόπως ἠγκίστρευσε. Καὶ συντελοῦσι καὶ αὐτοὶ ταῖς ἡμετέραις πόλεσιν εἰς οἰκήτορας. Καὶ ἔστιν ἐνταῦθα πολλαπλοῦν τὸ σεμνόν, ἤπερ τὸ ἐπὶ Μάγνου Πομπηΐου καθιστορθύμενον, ὃς ἐπιλεξάμενος πόλιν ἑῴαν, ἐκεῖσε τοὺς περισσοὺς τῶν πειρατῶν συνῴκισεν, ὅσους δεῖν φασιν ἔγνω σωτηρίας ἠξιῶσθαι καὶ προνοίας τινός. Εἰ γοῦν ἱστορίας ἄξιον τὸ μιᾶς πόλεως ἀγαθόν, τίς οὐκ ἂν συγγράψαιτο τὸ πολύχοον καὶ πολλαῖς ἐπιμερισθὲν πόλεσι; Τί μὴ λέγω τὸ μεῖζον, ὡς οὐδεμία τῶν τῆς οἰκουμένης πόλεων ἀνοργίαστος τοῦ τῆς Μεγαλοπόλεως ἐξέπιπτεν ἔρωτος, τοῦ καλοῦ βασιλέως ἐκείνου τὰς φιλητικὰς ἐπαφιέντος ἁπάσαις ἴυγγας; Καὶ ἦν ἑκάστῃ φίλτρον ἐγκαθήμενον ὑπερβάλλον, ποίαν ὁ αὐτοκράτωρ τῶν πόλεων στέρξας εἰς φιλουμένην ἐγγράφεται. Καὶ ὅσαι καὶ μητροπόλεως περιοικίδες τῆς καθ' ἡμᾶς ἐξήρτηντο ἅπασαι. Καὶ στερχθῆναι δέ, ἀλλὰ τοῦτο ἀνασκευασθῆναι καὶ ἀφαντωθῆναι ἐκ γῆς.*

20. *Ἦν οὖν ἐν μυρίαις τῶν συνόδων, ὅσας ἀγείρει τὸ βασίλειον, πρέσβεις ὁρᾶν οὐ || κατὰ δεκάδας μετρίας* Ms. fol. 167. a. *τινὰς ἐκ τῶν ἑκασταχοῦ χωρῶν συῤῥέοντας ἐνταῦθα ὡς εἰς δεχάδα κοινήν, καὶ σύστημα ποιοῦντας ἑαυτοὺς ἀλλόκοτον τοῖς γε πλείοσι. Καὶ ἑώρα ἡ μεγίστη πόλις αὕτη ἄνδρας ἀλλογνώτους ἀληθῶς, ὧν οὐδεὶς τῶν καθ' ἡμᾶς οὐδ' εἰς ὄνομα πεπείραται, ὡς καὶ πίπτειν ἐν δυςχερεῖ, ἄνδρα εὑρέσθαι δίγλωττον, τὴν ἐν αὐτοῖς διάλεκτον εἰς τὸ ἡμεδαπὸν μεταβάλλοντα. Ἦν δὲ ἐκείνοις τῆς ὁδοῦ σκοπὸς καὶ τῆς πρεσβείας τὸ τελικώτατον, ἱστορῆσαί τε κατ' ὄψιν τὸν βασιλέα, καὶ*

ἀκουτισθῆναι, οἷα λαλεῖ, καὶ τισι τῶν γυμναστικῶν ἔργων ἰδεῖν ἐπιπρέποντα, ἐρανίσασθαι δὲ καί τινα τῶν περὶ αὐτοῦ ἀκουσμάτων, καὶ ὡς ἓν τὰ πάντα εἰπεῖν θαῦμα συλλεξαμένους, κομίσασθαι τοῖς εἰς πρεσβείαν διαπεμψαμένοις. Οὕτω καὶ Σολομῶντος ἡ σοφία πολλοὺς ἐφείλκετο, καὶ εἰ μὴ τοσούτους, ἀλλ' οὖν ἐφ' ὁποσονοῦν. Καὶ ἔστιν ἐνταῦθα τὸ τοῦ θαυμασίου πολύ. Δέει μὲν γὰρ τοῦ μή τι παθεῖν πρεσβεύεσθαί τινας, ἢ μελέτῃ τοῦ φθάσαι ζήτησιν ἐπικουρίας, εἴ που καὶ παραπέσοι τις ἀνάγκη, ἢ καὶ χρημάτων ἔνδεια, ὑφ' ὧν ἔσται καταπραχθῆναι τὸ διὰ σπουδῆς, ἢ ὅλως προμηθείᾳ τινὶ τοῦ μέλλοντος, λαμπρὸν μὲν εἰς ἱκανότητα τοῦ δεῖξαι μεγάλα καὶ ἀνειδεῆ καὶ πολύχρηστα τὰ καθ' ἡμᾶς διὰ τὸν αὐτοκράτορα. Ἐξωτερικὰ δ' ὅμως ταῦτα, καὶ οὐ τῶν κατ' αὐτόν, ὡς καὶ ἥκειν πρός τινα συνουσίωσιν. Ἐλθεῖν δὲ ἐξ ὑπερορίων ἀγνῶτας ἄνδρας, καὶ θελῆσαι δεινὰ παθεῖν, ὅσα τῷ τῆς ὁδοιπορίας μακρῷ συνδιήκει, καὶ ταῦτα πρὸς χάριν θέας, καὶ μόνον καὶ ἐντυχίας εὐκταίας, ἀλλὰ τοῦτο οὐκ εἰς ἁπλοῦν εἰπεῖν ἐστι μέγα, εἰς μυρία δὲ κατασχίσαι θαύματα. Δῆλον γάρ, ὡς μέγας βροντῆς ἦχος ἐπὶ βασιλικοῖς ἀνδραγαθήμασιν εἰς τὸ κατὰ σπουδὴν ἐπέστρεψεν.

21. Ἀλλὰ τί μοι πρέσβεις λέγειν τοὺς ὑπὸ στέμμασιν, ἐξὸν θεωρῆσαι κορυφαίας ἀρχὰς ἐσταλμένας μέχρι καὶ εἰς ἡμᾶς, τὰς μὲν κατά τι ἔργον ἕτερον, οὗ μετὰ τὴν βασιλικὴν θέαν γένοιτ' ἄν, πορισόμενοι συμβολὴν ἱκανήν, τὰς δὲ καὶ μόνον ἐντυχεῖν, καὶ πρὸς θάμβος θεάσασθαι; Τοῦ τοιούτου ὁρμαθοῦ ὁ τῶν κατὰ Πέρσας ἐθνάρχης, καὶ ὁ τῶν Παλαιστηνῶν ὑπερκαθήμενος ῥήξ. Λοιπὸς δὲ ὁ ἐξ Ἀλαμανῶν ἐκεῖνος ὁ μέγας, καὶ ὁ τῆς Γερμανικῆς ἁπάσης ὑπεριστάμενος γῆς, οἱ τὴν εἰς ἡμᾶς θαυμαστώσαντες ἐκείνην ὁδόν· ὀκνῶ γὰρ εἰπεῖν εὐμέθοδον ἔφοδον. Τὸν γὰρ Παίονα καὶ τὸν Γήπαιδα καὶ τὸν Σκύθην καὶ συχνοὺς τοιούτους εἰπεῖν, μυρίος ὅσος κατάλογος ἕτερος, οὓς (τὸ πᾶν ἐν βραχεῖ συνελεῖν) θάμβος καὶ φόβος καὶ ζήτησις ἐπικουρίας συνέλεγον εἰς ἡμᾶς. Καὶ ἢ πάντα ταῦτα, εἴτε καὶ τούτων τινά. Θάμβος, ἐφ' οἷς μανθάνοντες καὶ ἐκπεπληγμένοι συνέῤῥεον εἰς τὴν ἀκοήν· φόβος, μήποτε συμβαίη ἄλλως, ἀναπεπτωκότας αὐτοὺς ἔξω τῶν βασιλικῶν σπλάγχνων πεσεῖν· τὸ δὲ λοιπὸν καὶ τρίτον, εἴ τι που κακὸν ἐκείνοις ἐπήρτηταί ποθεν, ὡς μὴ εὐπετὲς ὄν, σκορακίσαι τὸ κακὸν ἑτέρως μὴ συνεπιλαμβανομένης δεξιᾶς ταύτης βασιλικῆς.

22. Ἦν δὲ οὐκ ἐκεῖνο θαυμάζειν οὕτως, εἰ καινὰ μαθόντες οἱ τοιοῦτοι, καὶ οἷα ἐπάγεσθαι τοὺς ἀκούοντας, κατόπιν τῆς ἀκοῆς ἐξ οὕτω πορρωτάτου εἵποντο. Ἥ τε γὰρ φήμη ἀνέτοις πτεροῖς διίπταται, καὶ ἡ παραδοξία τῶν φημιζομένων ἐπιστρέφειν οἶδε τοὺς φιλακροάμονας. Ὃ δὲ τὴν τοῦ μεγαλείου αὔξην ἐκορύφου, τοῦτο ἦν. Ὡς ἐληλυθότες || ἐκεῖνοι, καὶ οἷς ἔμαθον Ms. fol. 167. b. περιτετυχηκότες ἐκβαίνουσι πρὸς ἀλήθειαν, ἀπήεσαν διαπρύσιοι κήρυκες, ἀναβοώμενοι, ὅτι, καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν· καὶ οὐ μόνον, ἀλλὰ καὶ γέμοντες θαύματος ἐπὶ μακρόν, καὶ τῇ φαντασιώδει ἀναπολήσει τὸ ἐκπλῆττον παράμονον φέροντες, καὶ μᾶλλον, ὅτε τὸν ὅλον βασιλέα ἐν καρδίαις ἀνεβίβαζον διαλογιζόμενοι, ὃς οὐ τοῖς ἐντὸς μόνον, καὶ ὅσα καίρια, καὶ τοῦ οὕτως ἀνθρώπου, ἀλλὰ καὶ τοῖς ἐπιφαινομένοις προέλαμπε.

23. Μεγέθους μὲν γὰρ ἐπέβη, ὅπερ εἴ τις ὑπεραναβαίη, ἐγγραφήσεται ὡς εἰς γίγαντα· καὶ ἡ φύσις ἄλλως αὐτὸν ἢ κατὰ τοὺς λοιποὺς ἐστερέωσεν, εἰς ὀστέωσιν ἁδρὰν καὶ ὡς εἰπεῖν λεοντώδη ἀπευθύνασα ἑαυτήν· ὡς εἶναι, τοῖς ἀκρωτηρίοις ἐπεντρανίσαντά τινα τοιαῦτ' εἶναι ἀληθῶς ἀποφήνασθαι, τὰ κατὰ φυσικοὺς γνώμονας τὴν ἀνδρικὴν χαρακτηρίζοντα ῥωμαλεότητα· οἷς ἀνάλογα καὶ τὰ τῶν διαστάσεων. Ἐντεῦθεν οὐδὲ σαρκῶν αὐτὸν ἐβάρυνε περιουσία, ἐπαχθιζομένη πρὸς περιττότητα τῷ τε ἀεὶ γυμναστικῷ, ἀπερχομένου τοῦ πλεονάζοντος, καὶ ὅτι περὶ τὸν ὡς ἀληθῶς ἄνθρωπον ἠσχόλητο τὰ τῆς φύσεως. Καὶ τὸ μὲν πελώριον ᾠκειώσατο ἐπ' αὐτῷ· ἀπώσατο δὲ τὸ βουγάϊον. Οὐκοῦν ἀκολούθως οὐδὲ τὴν κόμην πρὸς τρυφερότητα ἤσκητο· ἀλλ' εἰς κεφαλῆς κόσμου τημελῶν ἑαυτόν, καὶ τυγχάνων τοῦ ἐφετοῦ, εὐθετίζειν τρίχας ἐμέμφετο. Ἤδη δὲ καὶ ἡ θεόθεν σοφία τῆς φύσεως τὸ ἐνταῦθα πολὺ τῆς ὕλης προσδαπανῶσα τοῖς κρείττοσιν, οὐκ ἤθελε τῇ κόμῃ χορηγεῖν τὸ ὑπέρπλεον, ἢ μηδὲ τὸν βασιλικώτατον λέοντα πυκνοῦσα τριχῶν λασιότητι.

24. Τῇ δὲ τοιαύτῃ σεμνότητι καὶ τὸ τῆς χροιᾶς καλὸν συνδιῆκεν. Οὐ γὰρ θηλυπρεπὴς λευκότης τὸ πρόσωπον ἔγραφεν, ἀλλ' εὐφυῶς μιγνυμένη πρὸς τὸ ἀνδρῶδες ἐκέκρατο, καὶ (τὸ τῆς παλαιᾶς ἱστορίας) κατὰ γυμνασίαν καὶ λοιποὺς πόνους, ἡλίοις καὶ μάλιστα. Οὐ γὰρ σκιατραφίαν ἐπραγματεύετο, ἐπεὶ μηδὲ βίον μαλθακὸν καὶ ἀργόν· αἰθερίαις δὲ παρεβάλλετο, ἀφ' ὧν πρὸς ἀνδρίας ἐζωγραφεῖτο χροίαν, ὄψιν πεφιλοτιμημένος οὐ κατὰ τοὺς γυναικίας καὶ μαλθακούς, ἀλλ' ὁποία κοσμοίη ἂν ἡρωϊκὴν στρυφνότητα. Οὐ γὰρ πρὸς ἑτοιμότητα διηυθέτιστο γέλωτος, οὐδὲ μὴν ἄλλως τὸ λεοντῶδες ἠκρίβωτο. Κεκραμένη γὰρ δὴ Χάρισιν ἐῤῥύθμιστο τῇ τοῦ κάλλους μεσότητι.

25. Καὶ δεῆσαν μὲν ἑαυτὸν καταστῆσαι, ὅποι χρεών,

καὶ ἀνθολογία κάλλους ποικίλη αὐτὸν ἤγαλλε. Σεμνότερος μὲν γὰρ προέλαμπεν, ὀφθαλμοὶ δὲ τῷ χαροπῷ ἱλαρότητά τε προὔφαινον καὶ Ἀρεϊκὴν ἐμβρίθειαν· τῷ προσώπῳ δὲ βαθεῖα γαλήνη ἐνεχόρευε (καὶ ἦν κἀνταῦθα τὸ σύμμετρον) καὶ ἡ σύστοιχος εὔχροια, καὶ λειμῶνα συνεκρότουν ἀξιοθέατον, ἐξ οὗ δρέπεσθαι ἡδονὴν ὅσην ἐξῆν τοῖς φιλοθεάμοσι.

26. *Καὶ τοιοῦτος μὲν ὁ βασιλεύς*, ὅτε ἀθέτως εἶχε Ms. fol. 168. a. πρός τι παρακινοῦν καὶ τὴν ἐντὸς ὕποκυ|| μαῖνον θάλασσαν, ἣν ἐν ἡμῖν ὁ πλάσας ἔθετο. Ὅτε δέ, ὁποῖα πολλά, θυμοδακές τι παραφανθείη ἀνακύψαν ποθέν, καὶ ἐχρῆν τῇ ψυχῇ τὸν αὐτῆς δορυφόρον παραστῆναι καὶ ἀμύνασθαι, τηνικαῦτα θυμὸς μὲν οὐκ ἐξέζεεν, οὐδὲ καχλάζων ἀπήφριζε κατὰ τοὺς εἰς ὀργὴν πυρίνους· βιαζόμενος δὲ ὁ αὐτοκράτωρ ἑαυτόν, καὶ διαζωγραφῶν εἰς θυμούμενον (ἦν γὰρ ἀνάγκη πᾶσα, ὅτι μηδὲ εἰς παιγνιήμονα θετέον τὴν οὕτω σεμνοτάτην ἀρχήν), οὐκέτ' ἀνὴρ ὅδ' αὐτὸς ἦν, ἀλλὰ παρατυπῶν τὸ ἔμφυτον ζωγράφημα, ἐξένευεν εἰς ὅσα καὶ διδάσκαλος ἔμφρων, τὸν μὲν πρᾷον ἀποτιθέμενος, οὗ μηκέτι καιρὸς τοῖς διδασκομένοις, τὸν δὲ ἐπιστρεπτικὸν μεταμφιεννύμενος, ὃν αὐτοὶ κατὰ τῆς ἀμαθίας προεκαλέσαντο, καυτῆρας, οὐκ ἤπια φάρμακα θέλοντες.

27. *Καὶ ἦν ἐνταῦθα βλέπειν ἄλλο κρᾶμα*, κάλλους καὶ αὐτό. *Τὸ μὲν γὰρ ἱλαρὸν καὶ οὕτω τοῖς οὐκ ἀμβλυωποῦσιν ἐξέλαμπε*, τὸ δὲ θυμούμενον τῆς ψυχῆς ἔχρωζε καὶ ἄλλως τὸ προφαινόμενον, καθά που κρύπτει μὲν ἐντὸς τὸ φωταυγές, ἀφανίζει δὲ οὐκ εἰσάπαν. Καὶ ὁ τῷ βασιλικῷ περιτυχὼν ἐκείνῳ προσχήματι, φρίξας, ὅτι μηδὲ ἦν ἄλλως γενέσθαι (εἰ μὴ καὶ λέοντά τις ἠρέμα τὸ ἐπισκύνιον συνδήσαντα παρῆλθέ που ἄτρεστος), καὶ τὸ ὀπτικὸν συγχυθεὶς ἐκεῖνος, ὡς μόνον προορᾶν τὸ ἐπιπολῆς, μὴ ἐμβαθύνειν δὲ καὶ εἰς τὴν ἔνδον φαῦσιν (δεινὸν γὰρ λογισμὸς ὑποπτήξας μὴ ἐξακριβοῦν, ἀλλὰ τοῦ προφαινομένου γίνεσθαι), θανεῖν εὔξαιτο ἄν, ἤπερ βασιλέα ἔνθεον αὐτῷ ἐπισκύζεσθαι, καθὰ μηδὲ θεόν, οὗ καὶ αὐτοῦ ὁ θυμὸς βαρὺς τοῖς περὶ γῆν, εἰ καὶ ἄκρᾳ φιλανθρωπίᾳ συγκέκραται. Οὔπω τοιοῦτον δέος ἔπαθεν ὁ συσταλείς, καὶ τὸ βασιλικὸν ἱλαρὸν προέτρεχε, καὶ ἀνελάμβανε καταπέττοντα, καὶ μηδὲ παραψάμενον πικρασμοῦ ἐγλύκαζεν, εἰ μὴ ἄρα εἰς τὸ πάντῃ πάντως ἐξήνεκτο ἀθεράπευτον. Ἐν τοιούτοις γὰρ ἠλίθιος ἂν εἴη ὁ κατασιγάζων τὸ θυμικόν, καὶ τῷ ἀντιστρόφῳ χώραν διδοὺς ἐκτραχηλίζειν κατὰ κρημνοῦ, καὶ συγκαταφέρειν τῇ μιμήσει πολλοὺς εἰς ὄλεθρον.

28. *Ἐπαινῶ τὸν τοιοῦτον θυμὸν ἐγώ*, ἐπεὶ καὶ ὁ διορθωτὴς νόμος, ὃν οἱ αὐτοκρατοῦντες μετριάσαντες μὲν ἐπαινοῖντο ἄν, ἀπαλείψαντες δὲ οὐκ ἂν φθάνοιεν τὴν τοῦ παντὸς τάξιν συγχέαντες. Καὶ ἦν μὲν ὁ ἐπαινούμενος οὕτω χαρακτῆρος ἔχων καὶ καταστήματος τοῦ κατ' ὄψιν, ὅτε θυμικὴ παραδρομή τις περιπέτεια τά γε εἰς τὸ πολιτεύεσθαι. Ὁ πόλεμος γὰρ αὐτῷ ἑτεροίαν εἶχε θυμομαχίαν, ἣν αἱ πράξεις διαζωγραφοῦσιν, ἃς αἱ βιβλιακαὶ πτύχες ἀμφιέπουσι.

29. *Καιρὸς δή τις καὶ ἀστεΐσασθαι.* Οὐ γὰρ δυστράπελος διὰ βίου παντὸς ἐν ἀνθρώποις οὐδείς, εἴ γε καὶ Τίμων ἐφιλιάζετο· φιλία δὲ οὐδεμία τὸ ἀστεῖον ἀπείπατο, καθάπερ οὐδὲ ὁμιλία ἡ πολιτευτική. Καιρὸς δή τις καὶ τοιοῦτος ποτέ, καὶ ὁ βασιλεὺς ἀπέρρεε μέλιτος τοῖς ἐντυγχάνουσι. Μάλιστα μὲν οὖν ὡς ἀπ' οὐρανοῦ μάννα ἔβρεχεν, ὅτι τοῦ ἐν ὕψει μεγέθους οὐδ' οὕτω κατέπιπτον οἱ βασιλικοὶ λόγοι, οἷς καὶ τὸ τοῦ προσώπου γαλήνιον συνδιατιθέμενον ἑτέρας ἔγευε γλυκύτητος. Μάννα δέ, ὅτι περ εἰς πολυτροπίαν τὰ τῆς γλυκείας ὁμιλίας διέβαινε, καὶ πολυειδῶς ἐνεβρωματίζετο τῆς ἡδονῆς ὁ πεινῶν τὸ φιλόκαλον. Καὶ ὁ μὲν ἄλλως ἡδὺς τοῦ προφαινομένου ἦν, εἰς γλυκεῖαν αὐτὲ βάπτων ἔννοιαν· ὁ δὲ λόγιος καὶ εἰς τὸ ἔνδον φιλοσοφούμενον ἐνεβάθυνεν, ἐκμυελίζων τὸ νόημα. Καὶ μὴν οὐδ' ἐξέπιπτέ τι τῶν ἐκείνου ἀργόν, καὶ ὡς οἷον εἰς ὀστῶδές τι || ἐκλογίζεσθαι· ἤρτυε δὲ τὸν λόγον ἅλατι Ms. fol. 168. b. μὲν διόλου τῷ διὰ παντὸς νοστίμῳ τῆς μεταχειρίσεως, καὶ βαθείαις δὲ θεωρίαις, ταῖς μέν, ὅσας οἱ ἀπόστολοι μαθηταὶ καὶ ὁ ἀποστείλας μέγιστος διδάσκαλος ἀνέπτυξαν, ταῖς δέ, ὁποίαις οἱ ἐξωτερικοὶ σεμνύνονται.

30. *Ἵνα γὰρ καὶ νῦν ὡς ἐν θριάμβῳ τούτῳ καὶ σεμνῷ καὶ λαμπρῷ τὸ ἐν ἐμοὶ τοῦ θαύματος οἰκουροῦν προαγαγὼν θεατρίσω*, οὐκ ἦν ὑποκινηθῆναί ποτε λαλιάν, ἐν ἧπερ ὁ αὐτοκράτωρ οὐκ ἐξελάλει τι καινὸν μὲν εἰς ἀκοήν, θεόπεμπτον δὲ εἰς νόησιν. Ἐγὼ τοίνυν, ἀνὴρ οὔτε ἀμφιλαφὴς τὴν γνῶσιν, καὶ ὡς εἰπεῖν πολυβενθής, οὐ μὴν δὲ οὐδ' εἰσάγαν ἀβαθὴς καὶ ψιλὸς μαθήσεως, οὐκ ἂν αὐχήσαιμι, παραβαλεῖν ποτε τὴν ἀκοὴν ἀκροάσει βασιλικῇ, ἐν ᾗ μή τι ξενίζον καὶ ἀρτιφανὲς ἔμοιγ' οὐκ εἰς χρηστομάθειαν εἰσῳκισάμην κατὰ νοῦν. Ἀττικοῖς ἀνδράσι τὸ τοιοῦτον φίλτατον, οἷς ἐπίσημον τὸ φιλόκαινον, ταὐτὸν δὲ φάναι, ἀνθρώποις διεξεσμένοις εἰς κάλλος λογιότητος, οἳ τοῖς παλαιοῖς προσεπιζητοῦσι καὶ τὰ καινότερα, λιχνευόμενοι τὴν ἀκρόασιν. Καὶ ἦν λέγειν καίριον τηνικαῦτα ἐκεῖνο τὸ τῆς ποιήσεως, ὡς ἄρα θεὸς τῷ βασιλεῖ τὴν μορφὴν ἔπεσι στέφει, κάλλιστον τοῦτο προσεπισυνάπτων τῷ βασιλικῷ στέμματι.

31. *Καὶ οὕτω μὲν καλὸν τὸ ἐν ὁμιλίαις γλυκύ*· τὸ δὲ καὶ ἑτέρως ἐχρημάτιζε κάλλιον. Τὸ γὰρ τῆς ἐννοίας

ὄχημα, τὸ τοῦ προφερομένου βασιλικοῦ λόγου τορὸν καὶ τρανέστατον, ἄλλο τοῦτο γλυκύτητος ἄρτυμα ἐπαγωγὸν τοῖς ἀκούουσιν, οἷς καὶ ἐπήρχετο μερίζεσθαι εἴς τε τὸ νοούμενον ἄριστον ὄν, καὶ εἰς τὴν ἀπηχητικὴν προφοράν, συνεπικοσμοῦσαν καὶ αὐτὴν τὰ νοούμενον. Καὶ ἐξύμνηται καὶ τοῦτο τὸ βασιλικὸν καλόν, καὶ βίβλοις ἔγκειται. Τὸ δὲ ἐν ἀντιῤῥήσεσιν ἕτοιμον, τὸ δὲ ταχὺ μὲν προβαλέσθαι, ὀξὺ δὲ καταλαβέσθαι τὰ ἐν νοήμασιν, οὐκ ἔχει παραβολὴν τάχους, εἰ μή τις εἰς βέλους ἐκνεύσει πετομένου ὠκύτητα, ἢ εἰς ἀστραπῆς ταχυτάτην ἐκπυρήνισιν, ἢ εἰς ὁμοιότητα πτεροῦ ῥοιζῶντος εἰς πτῆσιν ἀέριον. Τὸ δὲ πυκνὸν ἐν διαλέξεσι καὶ πλουτοῦν ἐπιχειρηματικῶς, τοῦτο δὲ ἡ ποιητικὴ σεμνυνεῖ Καλλιόπη, παρομοιοῦσα ἐς νιφάδων πύκνωσιν, καὶ μάλισθ' ὅτε καταφοράν τινα τοπικὴν ἢ καὶ ἄλλως βαρέως ἐκτραχυνομένην ἡ τοῦ λόγου προκαλεῖται ὕλη. Τότε γὰρ τὸ τῆς νιφάδος εἰκόνισμα καὶ μάλιστα καιριώτατον. Πυκνὸς γὰρ τηνικάδε καιροῦ ὁ καταφορικὸς λόγος, ὅσα καὶ νιφάδες τινές· ἔτι μὴν καὶ φρικαλέος, καὶ οἷά τις ῥιγεδανός· καὶ τῷ τῆς σαφηνείας μὲν λευκῷ διαλάμπων, ὡς ἐξ ὕψους δὲ κατασκήπτων τῷ μεγαλείῳ τοῦ μεγέθους ἐξάρματι. Οὕτω πολὺ τὸ ἐν λόγοις τῷ βασιλεῖ πόριμον, οὗ πεῖρα καὶ μόνη διδάσκαλος. Ἐξιστορῆσαι γὰρ οὐκ ἂν εἴη, ἐς ὅσον καὶ χρή.

32. Τὰ δὲ τῆς μνήμης βίβλος ἦν ἀναπάλειπτος, γραφείῳ ἐγκεκολαμμένη θείῳ, κινουμένῳ δακτύλοις πνεύματος. Καὶ οἶδε μὲν ἡ τῆς ἱστορίας πολυπραγμοσύνη, πρὸ δὲ ταύτης ἡ φύσις, ἀνθρωπίνην πλάσιν, τὴν μὲν οἵαν ῥᾴονα μὲν καταλαβεῖν, ῥᾴονα δὲ καὶ ἀποβαλεῖν τὸ μανθανόμενον, ὁποῖόν τι καὶ σωλῆνος πάθος, εἰσροῇ τε ἀπόνῳ ὑποκειμένου καὶ ἐκροῇ· τὴν Ms. fol. 169. a. || δὲ δύσπορον μὲν εἰσοικίσασθαι τὸ ἄκουσμα, λήθῃ δὲ ἀδυσώπητον. Καὶ ὁμοιότης ἐν τούτῳ κατὰ τὸ ἐν ἀγγείοις σύστομον, οἷς τὸ δυσδιέξοδον διὰ τὸ ἐν τῇ εἰσόδῳ στεγανόν. Καὶ τοιαῦται μέν τινες φύσεις. Ἐνταῦθα δὲ καὶ δραμεῖν εἰς ψυχὴν πάνυ εὔοδον ταῖς εἰς αὐτὴν πρεπούσαις χρηστομαθείαις, καὶ ἐκδραμεῖν οὕτως ἂν γένοιτο, καθὰ καὶ τοῖς ἐκ λαβυρίνθου φυγεῖν σπεύδουσιν. Ἐπέβαλεν ἡ ὄψις τοπογραφίᾳ, φέρε εἰπεῖν, ἢ θέᾳ προσώπων, ἢ καὶ τισιν ἑτέροις, ὧν ἔδει μνημοσύνην ἐντεθῆναι εἰς ψυχήν. Καὶ αὐτὰ μὲν εὐμαρῶς παρεδύοντο εἰς ἐντύπωσιν· κλεὶς δὲ συντηρήσεως ἐπιτεθεῖσα μνήμονος ἀνεπιβούλευτον ἐφύλαττε τὴν σφραγῖδα, ἕως ἦν ἀναπτυχθῆναι τὸ τῆς ψυχῆς ταμιεῖον καιρός. Τότε δὲ εὐπετῶς ἠνοίγετο καὶ φαντασίας ἀνακινούσης ἐκαινουργεῖτο τῇ μνήμῃ σαφὴς ἡ ἀνάγνωσις, καὶ τὰ εἰκότα συνήγετο, καὶ ἡ περίστασις διήρθρωτο, καὶ ἡ γνῶσις ἠκρίβωτο, ἅπαξ μέν ποτε γνωρισθεῖσα, τῷ δὲ ἀποθέτῳ τῆς μνήμης ἐς μακρὸν οὕτω τι παραμείνασα. Ἐσφράγιστο γὰρ ἐν τοῖς ψυχικοῖς θησαυροῖς θειότερον· τὰ πολλὰ δὲ καὶ ἐκ παιδὸς μέχρι καὶ εἰς τὸ ὑπέρακμον διεσώζετο· τύπος ἐκεῖνος, ἀνὴρ ἐκεῖνος, χρόνος ὅδε τις, ὁμιλία τοιάδε, ποιότητες πράξεων, καὶ τοιαῦτά τινα, ὧν ἡ ἀναζωγράφησις ἐκαινούργει τὴν παλαιτάτην ἐντύπωσιν τοῦ γνωστοῦ.

33. Ἦν δὲ καὶ ἑτέρα τις παρ' αὐτῷ μνήμη, τῷ μὲν προσφάτῳ διεκφεύγειν δοκοῦσα τὸ τοῦ μεμνῆσθαι τεράστιον, τῷ δὲ καθ' εἱρμὸν συνεχεῖ καινοπρεπὴς οὐχ ἥκιστα καὶ ξενίζουσα. Ἦν μὲν ἐκεῖνος δεξιῶς, ὥσπερ λέγειν δημηγορῶν, οὕτω καὶ πρὸς λογογραφίαν λαλεῖν, καὶ ταύτην μικροῦ καὶ ἀπνευστί, καὶ πρὸς τῷ πυκνῷ τῶν νοημάτων καὶ ἀποτάδην ἡρμοσμένην. Ὡς δὲ εἶχε τέλος ὁ τοῦ βασιλικοῦ νοὸς εὐγενὴς τόκος, καὶ ἔδει πρὸς φῶς αὐτὸν ἐλθεῖν, ὁ σοφὸς βασιλεὺς (δεῖ γὰρ τοὺς μεγαλοπρεπεῖς εἰδέναι τοιούτους ὄντας, καὶ τῷ σφετέρῳ καλῷ ἐλλάμπεσθαι) ἤθελε ποιεῖν οὕτω, καὶ ἑαυτὸν ἐκφαίνειν τοῖς οὐδὲ ἄλλως ἠγνοηκόσι. Καὶ προεκθέμενος ὁλοσχερῶς τὸν τοῦ λόγου σκοπόν, εἶτα καὶ ἀρχῆς ἀπ' ἄκρης μέχρι καὶ περατῶσαι τοῖς ἐπιχειρήμασιν ἐπεξιών, καὶ πᾶσι τοῖς καιριωτάτοις ἐνδραμών (τί δέ, εἴπερ βραχείαις τισὶν ἐνέλιπε λέξεσιν;), αὐτὸς μὲν ἑτέρου ἐγίνετο ἔργου, τὸν δὲ μηνυθέντα τόκον προῆγεν ἐσπαργανωμένον ὥσπερ τῷ τόμῳ, καὶ προφήνας τοῖς παρατυχοῦσιν ἐδίδου περιεργάζεσθαι, καὶ ἀνελιχθεὶς ἤρχετο εἰς περιέλευσιν, ἀκοῶν δι' ἀναγνώσεως. Καὶ ἦν ἐκεῖνος ὁ ἐκλαληθεὶς οὐδὲν ἑτεροιούμενος. Τοῦτο χρὴ μέν, ὡσὰν εἴποι τις, ἐφ' ἅπαντος λόγου γίνεσθαι (γίνεται δ' ἐπὶ πάντων οὐχ οὕτω)· σπάνιον δὲ καὶ ἐν ὀλιγίστοις τὸ ἀγαθόν. Νοῦς μὲν γὰρ ὁ αὐτὸς ἐν ἑκατέροις τῷ τε εἰς ὄχλον ἐκλαλουμένῳ λόγῳ πρὸς ἄνετον χῦμα, καὶ τῷ βίβλοις ἑαυτὸν ἀφιέντι ἐγκατακλείεσθαι. Λήθη δὲ οὐκ ἂν ἀνάσχοιτο κἀνταῦθα μὴ κατακαυχᾶσθαι τῶν πλειόνων, ὡς μὴ τοῖς φθάσασιν ὁμολογεῖν τὰ δεύτερα. Καὶ τοῦτο μὲν εὐφυοῦς μνήμης εἱρμὸς οἷος θαυμάζεσθαι. Ἡμῖν δὲ πλείω τὰ τοῦ θαύματος (φαμὲν δ', ὅτι καὶ πᾶσιν ἄλλοις φιλοκαλοῦσιν ἑαυτοὺς εἰς τὸ πρὸς τοῖς ἀξιεπαίνοις ἔχειν τὸν νοῦν)· ὅτε καὶ βίβλον ὅλην, ἢ αὐτὸς ἀναπτύξας εἰς ἐπί || γνωσιν, Ms. fol. 169. b. ἢ ἀλλ' ἑτέρου περιϊόντος, καὶ ἀκούεσθαι τὸν ἐν αὐτῇ νοῦν ἀναλεξάμενος, εἶτα παρασχεδὸν καιροῦ ἢ καὶ μετὰ συχνὰς ἡμέρας εἰς τὸ πᾶν συνεῖρεν ἀπρόσκυπα, ἐξάγων τοῦ θησαυροῦ αὐτοῦ αὐτὰ μὲν παλαιά, ἐκείνοις δὲ καινά, ὧν ὁ λόγος οὔτι που μακρὰν ἐμέμνητο.

34. Πρὸς γὰρ δὴ τοῖς ἄλλοις, ὅτε (συμπεσὸν οὕτω),

μὴ τοῖς κοινοῖς ἐνασχολούμενος, μικρόν τι ἀδείας λάβοιτο, πόνοις παλαιῶν προσανεῖχεν, οἳ πρὸς λόγοις ἐγένοντο· καὶ οὐ λέγω τοπογραφικοῖς μόνον, καὶ οἳ χρόνους ἀκριβοῦνται πράξεων, καὶ μεθόδους τακτικὰς μηχανῶνται· οὐ μὴν οὐδὲ ὁπόσοι φύσιν λεπτολογοῦσι, καὶ ὅσοι πρὸς συλλογιστικοὺς ἀπορθοῦνται κανόνας, καὶ οὕτω τήν τε ἐν τοῖς οὖσιν ἀλήθειαν ἀκριβοῦσι, τήν τε ἐν τοῖς πρακτέοις εὐθύτητα· ἀλλὰ καὶ μάλιστα τὰς περί τε τῶν θείων καὶ αὐτοῦ θεοῦ.

35. Καὶ ἦν αὐτῷ ἔρις, χερσὶ μὲν καὶ βουλαῖς κατεργάζεσθαι τὸ ἄλλως πολέμιον, λόγου δὲ πειθανάγκαις ἐφέλκεσθαι τὸ τοῦ θεοῦ ἀλλότριον. Καὶ εἶχεν ἡ ἱερὰ κολυμβήθρα συνεχῶς δι' αὐτοῦ πολὺ τὸ ἐνεργόν· καὶ τὸ προδρομικὸν ὁ θεῖος ζῆλος ἐν αὐτῷ πῦρ ἀνέκαιε, καὶ ὁ καθ' ἡμᾶς σωτήριος Ἰορδάνης τοῖς βαπτιζομένοις ἔπληθε, καὶ τοῖς ἐθνικοῖς διδασκάλοις ὀλίγον τι τοῦ μοχθεῖν ἐλείπετο, τοῦ βασιλέως κἀνταῦθα τὸ τοῦ πόνου πλεῖον ἑαυτῷ ἀπομερίζοντος. Λογισμὸς γὰρ καὶ αὐτῷ βασιλικός, μὴ χρῆναι σωμάτων μὲν ἐγκρατῶς ἔχειν τὸν ἄρχοντα, ψυχῶν δὲ μὴ ἐς δέον περιγίνεσθαι. Σκέψαιτο γὰρ ἄν τις εὐθυβόλως, μήτε γῆς ὄφελος εἶναι, ἧς καρπὸς οὐδείς, οὔτε σώματος ἀνθρωπίνου, ᾧ μὴ ψυχὴ κάρπιμος ἀγαθοῦ τινος. Ἔστι δὲ καὶ ἀρίστου οἰκονόμου, γῆν ἐρήμην οἰκεῖσθαι ποιῆσαι· καὶ διδασκάλου σοφοῦ κατὰ τὸν ἄρτι ὑμνούμενον, ἔνθα παντὸς ἀγαθοῦ ἐρημία, ἐκεῖ τὸν θεὸν ἀγαγεῖν οἰκήσοντα, καὶ προνοητικῶς ἐμπεριπατήσοντα. Οἱ πλείους μὲν οὖν τὴν αὐτοῦ φωνὴν ἠκουτίζοντο, καὶ ἀμέσως αὐτόθεν εἶχον τὸ ἀγαθόν· πολλοῖς δὲ καὶ ἀποστολιμαῖα τὰ τῆς διδασκαλίας, καὶ ἐπεστρέφοντο. Καὶ τῶν ἀποστόλων ἐκείνων οἱ μὲν ἐπανήρχοντο, κατισχύοντες τῆς παλαιᾶς φαυλότητος τῶν μαθητευσαμένων ἐθνῶν· οἱ δέ, τῷ μακρῷ τοῦ χρόνου καμόντες, ἐναπέμειναν τῇ ἐκδημίᾳ μεταταξάμενοι· μακάριοι μὲν τῆς ὁδοῦ, μακάριοι δὲ καὶ τῆς ἐξόδου, ὅτι ψυχὰς ὀνάμενοι τῆς ἐμπορίας κατέπαυσαν, συνεπιμερισάμενοι τὰ τοῦ κέρδους τῷ αὐτοκράτορι. Ἦν οὖν κατά τι θεῖον διὰ ταῦτα καὶ τὸ τῆς ἐξύστερον κλήσεως· καὶ τῷ θεωνυμουμένῳ πάνυ προσφυῶς καὶ τὸ τοῦ ὀνόματος ἀποστολικὸν προσήρμοσται, σταλέντι μὲν αὐτῷ θεόθεν διδάσκειν τὰ κρείττονα, στέλλοντι δὲ αὖθις μετὰ τῆς τοῦ πνεύματος χάριτος τοὺς ἐν ὁμοιότητι διδασκαλίας λάμψοντας. Ὁ δὲ καὶ ἄλλως ἐνήργει τὰ τῆς διδασκαλικῆς ἀποστολῆς, οὐ στόμασιν ἑτέρων ἐπιτρέπων διακονεῖσθαι τοῖς διδάγμασιν, ἐπιπέμπων δὲ τὴν οἰκείαν αὐτὸς φωνὴν ἐνσεσημασμένην βίβλοις, ὃς καὶ αὐτὸς νόμος
Mc. fol. 110. a. ἀ||ποστολικός, ὁ καὶ Παῦλον σεμνύνας, τὸν τῆς ἐκκλησίας ῥήτορα.

36. Καιρὸς οὖν οὐ μακρός, καὶ λύκος ἑῷος, κακὸν Ἀσσύριον, γλωσσαλγίᾳ Βαβυλωνίᾳ ὠρύετο κατὰ τοῦ θείου ποιμνίου, καὶ φωνὴν ἀπόφημον ἠρεύξατο, καὶ τρόπου δίχα εἰπεῖν· ἀλλότριός τις ἀνήρ, σοφὸς μὲν τὰ ἑαυτοῦ, τὰ δὲ ἡμέτερα ὡς ἐν μέθης λόγῳ παραλαλῶν, κυνηδὸν κατὰ τῶν θειοτάτων ὑλάκτησεν, εἴτε καὶ ὡς ἵππος ἐξελάκτισε, φριμασσόμενος κατὰ τοῦ κυρίου αὐτοῦ, ὃν οὐδὲ ἐπέγνω. Καὶ μελετήσας κενά, ξυνεφόρησεν ἀλλοκότους παραλογισμούς· καὶ δοκῶν πάγας πλέκειν, συνέχεε καὶ βιβλίον οἷον συνθέμενος ἀποστασίου, ἐξέπεμπε μὲν τὴν συζευχθεῖσαν ἀνθρώπῳ παντὶ θεόθεν γνῶσιν, ἑτέραν δέ, ἣν οὐκ ἐχρῆν, εἰσποιησάμενος, ἐδήλου τὴν ἄνοιαν τῷ καὶ χερσὶ δυνατῷ καὶ λόγοις κραταιῷ βασιλεῖ, ἐνδεικνύμενος, δύνασθαί τι κατὰ τῆς ἐν ἡμῖν ἱερωτάτης θρησκείας λαλεῖν, καὶ τὰ μὲν ἑαυτοῦ ἀνιστᾶν ἐθέλων, ὡσεὶ καί τινα ἐξ ἄμμου οἰκοδομήν, καταῤῥιπτεῖν δὲ πειρώμενος τὰ ἡμεδαπὰ νήπιος, ὧν οὐκ ἂν οὐδὲ πύλαι Ἅιδου κατισχύσαιεν. Ὁ δὲ βασιλεὺς ταχὺ ἐπελθὼν (οὐ γὰρ ἦν ἐκείνου, τοῖς τοιούτοις ἐπινυστάζειν), καὶ καταγνοὺς καὶ προβληματισάμενος ἑαυτῷ τὰ τὴν βαρβαρικὴν ἐρεσχελίαν κατασιγάσοντα, εἶτα καὶ τοῖς βουλομένοις ἐκδέδωκεν εἰς ἀντίῤῥησιν, στρατηγὸς ἀγαθός τε καὶ ἱερός, στρατιώταις ἱκανοῖς καὶ αὐτοῖς ταῖς τοιαύταις μάχαις ἐνησκημένοις. Καὶ πάντες μὲν κατετοξάζοντο τοῦ θηρίου ἐπιτυχῶς, ἐν δὲ τοῖς καὶ ὁ εὐρυφαρέτρας, καὶ πολλοὺς πλουτῶν τοὺς κατὰ λόγον πτερόεντας βασιλεύς· καὶ τοῖς μὲν ἄλλοις οὐ κατὰ καρδίας ὁ θὴρ ἐβάλλετο, αὐτὸς δ' ἀλλὰ τυγχάνει μέσης αὐτῆς. Καὶ ὁ τῆς θήρας ταύτης ἐπιστατῶν θεός, ναὶ μὴν καὶ ψαλμικῶς εὐλογῶν αὐτήν, ἔχαιρε. Καὶ νῦν τὸ ἐκλεκτὸν ἐκεῖνο βέλος ἔν τε χερσὶ φιλοκάλοις, ἔν τε ὄψεσι φιλοθεάμοσι φέρεται, καὶ ὁ ἐπαφεὶς εὐλογεῖται μακαριζόμενος. Καὶ τῇ λοιπῇ φιλοσοφίᾳ ἐκείνου καὶ τοῦτο σύγκειται εἰς μαρτύριον.

37. Ταύτης τῆς σοφίας μέρος οὔκουν ἐλάχιστον καὶ οἱ φθάσαντες ἐκκλησιαστικοὶ ἀγῶνες, ἐν οἷς καὶ αὐτοῖς βασιλικὰ σὺν θεῷ ἐκνικήματα, καὶ θεομάχων γλωσσῶν ἐκρίζωσις, ὅσαι τὴν κοσμοσωτήριον προσφορὰν τοῦ μεγάλου καὶ θύτου καὶ θύματος ἀπενόσφιζον αὐτοῦ, ἰδιάζουσαι ταύτην τῷ πατρί, ὡς εἴπερ εὐλαβοῦντο γλισχρότερον, μή ποτε τὰ τῆς προσαγωγῆς οὐκ εἴη τῇ ὑπερθέῳ τριάδι ἀρέσκοντα, κἀντεῦθεν αὐτὴν ἀφρόνως εἰς τὸν πατέρα μονάζουσαι, καὶ τοιούτου κεφαλαίου παγκοσμίου σωτηρίας ἀκοινώνητον τόν τε υἱὸν ἀφιεῖσαι (τό γε εἰς αὐτὰς ἧκον) τό τε πνεῦμα, ὡς μηδὲν ὄν, καὶ αὐτοῖς τούτου μετόν. Καὶ πρόκειται τὸ βασιλικὸν κἀνταῦθα πόνημα, ἡ ἱερὰ βίβλος, ἣν τὸ

ἐκκλησιαστικὸν ἀνάκτορον ἐντεθησαύρισται, τὴν βασιλικὴν μηνύον σοφίαν καὶ τὴν ὑπὲρ τῶν τοῦ θεοῦ ἐκκλησιῶν μέριμναν.

38. *Οὔπω πᾶν εἴρητο ἔπος ἐκεῖνο τὸ δογματικόν, καὶ ὁ αὐτοφθόνος δαίμων βασκήνας, εἴπερ ἡ τοῦ θεοῦ ἐκκλησία εἰς ἑνότητα ἥρμοσται, καὶ τὴν διχόνοιαν σχάσασα συνῆκται εἰς ἕν, καὶ πρὸς πνευματικὴν συνῆπται ὁμόνοιαν, περιεργάζεται τὸ τοῦ πατρὸς μεῖζον πρὸς τὸν υἱόν, τὸ εὐαγγελικῶς ἐκλαλούμενον. Καὶ προσκόμματα κἀνταῦθα, καὶ πολὺ τοῖς πλείοσι τὸ ἀπερίσκεπτον, τῶν μὲν εἰκαίως ἐντρεχόντων τῇ εὐαγγε-* Ms. fol. 170. b. *λικῇ || ὁδῷ, οὐχ ὥστε μὴ καὶ πάντῃ μέχρι πέρατος ἐκδραμεῖν τῆς ὀρθῆς, ἀλλ' εὐθέτως ἔχειν ἐμβιβασθῆναι ποτὲ εἰς τὸ εὐθύτατον· τῶν δὲ καὶ παντελῶς τῆς βασιλικῆς ἐκκλινάντων, καὶ εἰς ἀπωλείας κατακυψάντων βάραθρον, ὡς καὶ ἐμπεσεῖν αὐτόθι ἑλέσθαι. Ὅτε καὶ οἱ μὲν τὸ τῶν ἐν τῷ σωτῆρι θεανθρώπῳ φύσεων εὐκρινὲς συνέχεον, ὡς ἂν καὶ λάθοι τις οὕτως ἐξαμαρτάνων, οἱ δὲ τῇ ἀσυγχύτῳ ἑνώσει ἐπεβούλευον τῷ αὐθάδει τοῦ δυσμοῦ. Καὶ ἦν αὖθις κἀνταῦθα ὁ σοφὸς βασιλεὺς ὁδοποιῶν τὴν εἰς θεὸν τρίβον, καὶ διανοίγων γραφάς, καὶ εἰσάγων δι' αὐτῶν εἰς τὸν τῆς ἀληθείας παράδεισον. Καὶ οἷς μὲν ἐπῆλθε μὴ ὑπακοῦσαι τῷ εἰς σωτηρίαν καλοῦντι, ἀπωλείας υἱοὶ ἐκεῖνοι, καὶ ὤλοντο, πεισμονὴν παθόντες, ᾗ καὶ συγκατεβλήθησαν· οἱ δὲ τῆς βασιλικῆς διδασκαλίας, εἰπεῖν δὲ ταὐτὸν ἐνθέου καὶ ἀποστολικῆς, ἐπιγνώμονες, καὶ παρεκνεύσαντες μὲν ἐπὶ βραχὺ ὅσον τῆς εἰς ὀρθὸν ὁδοῦ, ἣν θεὸς ἑαυτῷ οἰκειοῖ, καὶ πρὸς ὄνομα, ἐπιστραφέντες δὲ πάλιν, καὶ ἀνὰ πόδα ἐπαινετῶς χωρήσαντες, ἀλλ' αὐτοὶ τὸ μεθ' ἡμῶν εἶναι καὶ τῆς ἀληθείας ἐκέρδαναν. Καὶ ἰδοὺ γέγραπται καὶ ταῦτα ἐν βίβλῳ βασιλειῶν ἑκατέρων, τῆς τε τοῦ θεοῦ, καὶ τῆς πρὸς αἴσθησιν, καὶ τὸ πολυγραφεῖν ἐντεῦθεν ἡμῖν ἐγκόπτεται.*

39. *Ἵνα δὲ τοὺς λόγους τούτους ἐπισφραγίσωμαι κεφαλαιωσάμενος, οὕτω καὶ τὴν πνευματικὴν ἐξήσκετο διαλεκτικήν, ὡς πῦρ βαλεῖν ἐνθέου ζήλου ἐν τῇ καρδίᾳ, καὶ λέγειν ἐθέλειν, εἰ ἤδη ἐξανήφθη λαμπρῶς, καὶ ὑπὲρ τῆς κοινῆς ἑνώσεως ἐκκαίεσθαι τῶν διεῤῥωγότων ἐν τοῖς θείοις δόγμασιν. Ἐπεποίθει μὲν γὰρ καὶ τῇ λογαδικῇ τάξει, ὅση τε ὑπ' αὐτῷ ἀλείπτῃ εὖ μάλα τὰ θεῖα ἠσκήσατο, καὶ ὅσην ἡ παρ' ἄλλοις διδασκαλία πρὸς ἀγῶνας τοιούτους ἐθρέψατο. Οὐκ ἂν δέ τις τῶν ἀγαθὰ φρονεῖν εἰδότων ἀξιώσοι, τὸν οὕτω σοφὸν αὐτοκράτορα μὴ ἑαυτὸν τοιοῦτον ὄντα εἰδέναι, εἰ μὴ καὶ στρατηγὸν κύδιστον, καὶ κυβερνήτην ἄριστον, καὶ ἰατρὸν ἐπιστήμονα, καὶ τὸν ὅλως ἐπαινετοῦ τινος εἰδήμονα νομοθετοίη, μὴ τῆς καθ' ἑαυτὸν τυγχάνειν ἕξεως ἐπιγνώμονα, ὡς οὕτω κινδυνεύειν, ἀνεπιστημόνως τεχνοῦσθαι τὰ ἐπιστημονικά, καί πως κατὰ τὸ αὐτόματον εὐοδοῦσθαι τὰ τεχνικά. Οὐκοῦν ἑαυτὸν εὖ εἰδὼς ὁ αὐτοκράτωρ, ὥσπερ ἐν πρακτέοις, οὕτω καὶ ἐν σοφίᾳ μέγαν (οὐ γὰρ ζώοις μὲν τοῖς ἑτέροις δοτέον αἰσθάνεσθαι τῶν ἐν σφίσιν αὐτοῖς καλῶν, τοὺς δὲ καὶ λογικοὺς καὶ λογίους στερητέον τοῦ τοιούτου πλεονεκτήματος), μὴ καὶ λεληθότως ἑαυτοῦ τὸ λογιστικὸν στερόμενον εἰς ἀλογίαν μεταπλάττηται, ἤδη δὲ καὶ ἀργίᾳ καταψηφισθείη, λόγου σοφοῦ παρεγγυωμένου γινώσκειν ἕκαστον ἑαυτόν, ἐθάῤῥει, ὥσπερ τὴν ἐν χερσὶ συμπλοκὴν ὁ τὴν ἀνδρίαν δεξιώτατος, οὕτω καὶ τὴν ἐν λογομαχίαις ὁ τῆς σοφίας τρόφιμος. Καὶ ὅπου δίκην ἐπεποίθει συναγαγεῖν τὸ τῆς ἐκκλησιαστικῆς ἑνώσεως διεῤῥυηκός, οὐχ ὑπεραιρόμενος οὐδ' ἐνταῦθα, ὡς τὴν γνῶσιν ἀποτελευτῶν εἰς φυσίωσιν τὸ τῶν πολλῶν πάθος, οὓς ἀλαζονείας πνεῦμα φυσῶν ὑπεραίρει τῆς γῆς, ἀλλ' ὕπερθεν ἄρσεσι φερόμενος θειοτέραις, καὶ || φιλοσοφῶν ἑαυτόν, καὶ μετρῶν κανόσιν ὀρθότητος,* Ms. fol. 171. a. *καὶ πρὸς τοῖς ἄλλοις θείοις ὁπλίταις καὶ ἑαυτῷ προσανέχειν ἐγνωκώς, εἴ ποτε καιρὸς ἐνσταίη ἀγῶνος προκαλουμένου τὸν εὖ εἰδότα μάχης τῆς ὑπὲρ τοῦ θεοῦ.*

40. *Καὶ οὕτω μὲν καὶ τὰ ἐν τοῖς τοιούτοις. Ἐπεὶ δὲ καὶ ὁ οὐράνιος Παῦλος οὐ μόνον τῇ ὕψου ἐσεμνύνετο ἄρσει, ἀλλὰ καὶ τὰ περὶ γῆν ποτε καὶ ταπεινὰ εἶχεν αὐτόν, κάτω μὲν βαίνοντα, οὐρανῷ δὲ κάρη στηρίζοντα τῇ πρὸς τὸν ὕψιστον ἐγγύτητι, τὸν ὅμοιον τρόπον καὶ ὁ αὐτοκράτωρ τοῖς τε ὑψηλοτάτοις ἐξήρετο φιλοσοφήμασιν, συνδιίκνειτο δὲ μεγαλοπρεπῶς καὶ τοῖς, ὅσα περὶ γῆν καὶ κατ' ἄνθρωπον, σοφίας αὐτῷ καὶ τοῦτο καταπραττομένης τὸ ἀγαθόν. Φύσεως γοῦν κατασκέψασθαι βάθη, καὶ αἰτιολογῆσαι γένεσιν, καὶ ἀνακαλύψαι μυστήρια πλάσεως, οὔτ' ἂν Ἀσκληπιαδῶν λεπτότης εἶχεν εἰς σαφὲς οὕτως ἐκθέσθαι, οὔτε τις λοιπὴ ἐπιστήμη τοῦ φυσικεύεσθαι.*

41. *Ἦν δὲ δεινός, καὶ τοῖς ἐπιπολῆς καὶ κατ' ὄψιν προσβάλλων, τὰ ἐν βάθει κατοπτεύειν, καὶ ἐξακριβοῦσθαι σοφωτάτῳ φύσεως γνώμονι. Καὶ τὸ πρᾶγμα οὐκ ἦν στοχάζεσθαι, ἀλλ' αὐτὸ τοῦτο ἐν ἀληθείᾳ εἶναι, καὶ μὴ διεκπίπτειν τὸ λαληθέν, ὡς καὶ εἰκοτολογίαν τινὰ συνελογίσατό τινα ἐμβριθῆ (καὶ ἦν τοιοῦτος ὁ νοηθείς), ἀλλὰ εὐήθη. Καὶ οὐκ ἦν ἑτεροῖος ὁ γνωματευθείς· διώπτευε τὸν κρυψίνουν, τῷ παντὶ πλέον τὸν ἐπιπόλαιον, τοὺς τῶν λοιπῶν ἠθῶν ὁμοίως. Καὶ εἶπεν ἂν ἐνταῦθα ἰδὼν ἅπας ὁστισοῦν, καρδίαις αὐτὸν ἐμβαθεύειν ἀνθρώπων, ὡς*

τὴν φύσιν ἔνδοθέν ποθεν αὐτῷ ἐκλαλεῖν τὰ καθ' ἑαυτὴν ἀπόῤῥητα.

42. Οἶδέ ποτε καὶ τὸν ἐμὸν ἐν λόγοις καθηγητήν, ὕπουλόν τινα νόσον τρέφοντα, ὅτε τῶν σοφιστευόντων προήδρευε· καὶ ἡ ὄψις ἐμήνυεν οὐ μακρὰν ζωὴν τῷ ἀνδρί. Καὶ τοῖς μὲν ἄλλοις ἀπρόοπτον ἦν τὸ σημαινόμενον· ὁ δὲ νοερωτέραις ἐπιβολαῖς ὄψεως παρανοιγομένας οἷον θυρίδας ἑωρακώς, δι' ὧν οἶδε ψυχὴ ἀπέρχεσθαι, προέφη τὴν οὐ μετὰ μακρὸν ἔξοδον τοῦ ἀνδρός. Καὶ ἀπῆλθεν ἐκεῖνος, οὐ παραπροθεσμήσας τὴν πρόγνωσιν. Νόσων δὲ ἀκέσεις τῆς αὐτῆς καὶ αὐταὶ σειρᾶς ἔχονται. Οὐ γὰρ χρηστὰ μόνον ἐξεῦρε καὶ πιστὰ φάρμακα, ὃ δή τις ἐπιγράφει τῷ παλαιῷ Προμηθεῖ σεμνολόγημα, οἷς δὴ βασιλικοῖς ἐστιν ἐπιλέγεσθαι πρός τε τῶν χρωμένων, πρός τε τῶν χορηγούντων (χορηγοῦσι δὲ δημόσιοι ταμίαι δόσιν ἄφθονον αὐτὰ καὶ εἰς δωρεὰν τοῖς χρήζουσιν)· ἀλλὰ πρὸς τοῖς καινοῖς εὑρήμασι τούτοις καὶ τὰ πάλαι προϋποκείμενα θαυμασιώτερον ἐξειργάζετο. Οἷς γὰρ οὐκ ἐδίδου τὸ τῆς βασιλείας ὅσιον, αὐτὸν παρεῖναι τὸν θεραπευτὴν αὐτοκράτορα, ὡς καὶ πείρᾳ γνῶναι τὴν κακουργίαν τοῦ ἀῤῥωστήματος, καὶ τῇ δυστροπίᾳ τῆς νόσου τεχνηέντως ἐπεξαγαγεῖν ἑαυτόν, ἀλλ' ἐνταῦθα ὑπούργει μὲν ἀκοή, νοῦς δὲ γνωματεύων τὴν θεραπείαν ἐξέστελλεν. Ἐλεπτολόγει δὲ ἐρωτήσεως, τὰ τοῦ κειμένου ἐμάνθανε, διεγίνωσκεν, ἐπέταττε, καὶ ἐπηκολούθει τὰ τῆς ἰάσεως· τὰ πολλὰ δὲ καὶ πρὸς αὐτοῖς θανάτοις τε καὶ ἦν εἰπεῖν προσφυές, ὡς μικροῦ

Ms. fol. 171. b. ἐρωτῶν, || καὶ ποῦ θάπτεται, ἀνίστα τῆς θανατηφόρου νόσου τὸν κάμνοντα.

43. Ὃ δὲ καὶ εἰςέτι πλέον θαυμάζειν ἄξιον· κατειργάζετο μὲν αὐτὸν ἡ χείριστος νόσος, τὸν κοσμικὸν θεμέλιον ὑπονομεύουσα. Καὶ αὐτὴ μὲν δεινὰ ἐποίει, καθυποσπῶσα τὴν φύσιν, καὶ τὸν ἐκτὸς ἄνθρωπον βλάπτουσα· ὁ δὲ ἐντὸς αὐτοκράτωρ σωζόμενος, εἰς ὁλόκληρον τοῖς τε ἄλλοις ἐξήρκει καλοῖς. Καί τινα βλέπων τῶν, ὅσοι πρὸς βασιλικὴν ἐξικνοῦντο θέαν, ὁμοίῳ πάθει προςτετηκότα, μεθόδοις ἐνῆγε θεραπευτικαῖς προμηθέστατα. Καὶ ἐμέμφετο μὲν τὸν ἄνθρωπον, οἷς ἑαυτοῦ ἀμελὴς ἐξέπιπτε· κατήρτιζε δὲ πρὸς ὑγίειαν. Εἰ δὲ οὕτω μὲν ἀπώνατο καὶ περίεστι, ὁ δὲ καθηγεμὼν αὐτοῦ τοῦ ἀγαθοῦ ἀπελήλυθεν, ἕτερος ἄν τις θαυμάσειεν. Ἡμῖν γὰρ οὐχ οὕτω δοτέον μαίνεσθαι, ὡς τοιαῦτα νοεῖν. Ἀνδρίζεταί τις ἡρωϊκῶς, καὶ συχνοὺς ῥίπτει τῶν πολεμίων, πίπτει δέ ποτε καὶ αὐτός. Καὶ οὐκ ἤδη τὸ ἀνδρεῖον περιᾴδεσθαι συγκαταπέπτωκε τῷ ἀνδρί. Μακρά τις κυβερνήσας, καὶ μυρίους ὕσους περισωσάμενος, εἶτα βαψάμενος ἐς ἁλμυρὸν βυθόν, ἐξαπόλωλε. Καὶ οὐ συγκατέδυ τῷ ἀνθρώπῳ τὸ τοῦ δεξιοῦ κυβερνήτου ὄνομα. Ἀσκληπιάδης κατὰ νόσων παγκρατιάζων, καὶ συχνὰ στεφανωσάμενος, οὐκ ἔσθ' ὅπως οὐ πεσεῖται θανάτῳ. Καὶ οὐκ ἄν τις δικαίως τοὺς στεφάνους ἀφελεῖται τοῦ ἀνδρός, ἀλλὰ κληρονομήσει τῆς νικητικῆς διὰ παντὸς ἐκεῖνος κλήσεως.

44. Οὕτω δὴ καὶ ὁ ὑμνούμενος, ἐν οἷς αὐτὸς ἔπασχε, τοῖς πειραζομένοις βοηθεῖν δυνάμενος, ὅμως καλούμενος πρὸς τοῦ κρείττονος, ἀπελήλυθεν, ἔχων σεμνύνεσθαι τῇ καὶ τῶν σμικροτάτων ἐπιστροφῇ διὰ τοὺς ἑκάστων ἀγγέλους, οἳ παριστατοῦσι θεῷ. Οἷς μὲν οὖν τὸ θεῖον σμικρολογεῖται, ἀλλ' ἐκείνοις εὐαρεστεῖται, μέχρι καὶ εἰς σελήνην ἐξ ὑψίστων χαλᾶσθαι τὴν τῆς προνοίας σειράν· ἐπὶ δέ γε τοῖς ἐκεῖθεν καὶ περὶ ἡμᾶς μὴ ἂν ἐθέλειν γλισχρεύεσθαι τὴν θειότητα συγκατακερματιζομένην τοῖς οὕτω πολυσχιδέσι, καὶ ἀπασχολοῦσαν ἑαυτήν, ἔνθα τὸ σμικροπρεπὲς ἐπιλέγεται. Θεὸς δὲ καὶ ἐνταῦθα ἕτερα βούλεται· καὶ οὐ φέρει, παρ' ἡμῖν ἀτέχνως σεμνύνεσθαι, καὶ προσχήματι μεγαλειότητος εὐμεθόδως κατασμικρύνεσθαι. Ἦ γὰρ οὐ τυραννεῖ θεὸν ἄντικρυς ὁ τοῖς μὲν ὕψου ἐπιπρέπειν αὐτὸν ἀφιείς, τῶν δὲ περὶ ἡμᾶς οὐκ ἐντὸς εἶναι σοφιστευόμενος, καὶ τὰ κατ' ἄνθρωπον, ὃς δὴ βασιλεύειν τῶν ἐπὶ γῆς πέπλασται, ἀπάγων θεοῦ; ὡς ἂν οὕτω τοῦ καὶ παμβασιλέα ἐκεῖνον εἶναι ὑπούλως ἀφέλοιτο καὶ μὴν θεῖον ἀληθῶς ἡ ἐν προνοίᾳ λεπτοτομία, καὶ τὸ ἐν τοῖς ἁδροτέροις ἀνελικτικόν τε καὶ ἀναλυτικόν· οὗ δὴ πρὸ πάντων ἀνάγκη μετέχειν τὸν ἐπὶ πάντων θεόν, τὸν μόνον σοφόν· ὃς οὐ μόνον τὴν ἕως καὶ εἰς ἡμᾶς οὔτε ὤκνησε κάθοδον, ὁ καὶ σωματικῶς αὐτὴν (ὢ τοῦ θαύματος) ποιησάμενος, οὔτε μὴν συγκαταβαίνων ὀκνεῖ, ἐργαζόμενος εἰςαεὶ κατὰ τὸν πατέρα· καὶ οὐ μόνον τὰ ταπεινὰ ἐφορῶν, ταῦτα δὴ τὰ ἐξεπιπολῆς, ἀλλὰ καὶ τῶν μυχαιτάτων γινόμενος, καὶ ὥςπερ τοῦ ἐμψύχου κόσμου, ὅτε καρδίαις ἐμβατεύει καὶ διαλογισμοῖς, οὕτω καὶ τοῦ λοιποῦ, ὅτε μέχρι καὶ εἰς ῥίζας γῆς τοὺς προνοητικοὺς λόγους ἀφίησι.

45. Τούτου γινόμενος ὁ ἔνθεος ἐκεῖνος βασιλεὺς τοῦ ὑποδείγματος, οὐ μόνον τοῖς λογάσι καὶ μεγαλείοις τῶν ἐν ταῖς πράξεσι λόγων ἑαυτὸν ἐπεδίδου, || ἀλλὰ Ms. fol. 172. a.

καὶ τοῖς εἰς τὸ ὑποδεὲς πυθμενιζομένοις τὴν κηδεμονίαν ἐμέριζεν, οὐ καταβαίνων ταπεινῶς, ἀλλὰ συγκαταβαίνων τρόπον ἔνθεον. Καὶ ἦν βλέπειν ἐκεῖνον ἐν λαῷ βαρεῖ καὶ συλλόγῳ πλήθοντι, οὐ μόνον εἰς κοινὸν βροντῶντα λόγοις, ὧν ἐχρῆν ἐπὶ ἴσου μετέχειν ἅπαντας, ἀλλὰ καὶ τοῖς κατ' ἄνδρα διομιλούμενον,

ἤτοι πρὸς ὅπερ ἂν ἕκαστος προβάλοιτο, ἢ ἔνθα τὸν αὐτοκράτορα ἢ κατ᾽ ἄνθρωπον ἔννους περιπέτεια προκαλέσεται. Ταύτης τῆς μεθόδου ἡ καθ᾽ ἡμᾶς ὡς ἑκάστοτε, ὡς ἂν εἴποι τις, οὐρανόπολις ἐπειρᾶτο, ταύτης αἱ περιοικίδες ἅπασαι, ταύτης ἅπαν Ῥωμαϊκὸν στρατόπεδον, καὶ φῦλον ἅπαν Χριστιανικόν, καὶ ὅσον δὲ παρ᾽ αὐτό· τὸ μὲν ὑπήκοον, τὸ δὲ εἰ καὶ παρήκοον, οἷς αὐτονόμως ἤθελεν ἔχειν, ἀλλὰ τρόπον ἄλλον ὑπακοῦον καὶ αὐτό, οἷς ἤγχετο τὴν σιαγόνα, ὅσα καὶ χαλινοῖς καὶ κημοῖς ταῖς βασιλικαῖς ἀντιπράξεσι, καὶ τῆς ἀτάκτου φορᾶς εἰργόμενον, καὶ ὡς οἷον ἀναχαιτιζόμενον, τῆς θρασύτητος ἀνεσειράζετο.

46. Καὶ ἦν ἐπὶ πᾶσι τὸ βασιλικὸν τοῦτο προμηθὲς ἱκανόν, καὶ συνδιῆκε τοῖς ὅλοις, καὶ ἀπὸ τῶν ἄνωθεν ἕως καὶ κάτω ἱκανούμενον, ἀνεχέετο καὶ εἰς τὰ κύκλῳ, καὶ ψυχῆς δίκην τοῖς τοῦ παντὸς ἐγκατέσπαρτο μέρεσι, καὶ σμικρολόγον εἶχεν οὐδέν, ἀλλὰ τὰ πάντα θεῖα, καὶ ὁποῖα βλέπων τις ἀνενδεῆ βασιλέα τοῦτο εἶπεν καὶ μόνον, καὶ ἑαυτῷ ἐπὶ πᾶσιν ἀρκοῦντα, καὶ μηδενὸς τῶν ἁπάντων ἐπιδεόμενον, εἰ μὴ ὅτι γε εἰς τοσοῦτον, εἰς ὅσον αὐτοὺς βασιλεύεσθαι, καὶ τὸ φύσει δουλευτικὸν ἐνδείκνυσθαι, δι᾽ οὗ τὸ τοῦ βίου μὲν ἄνομον καὶ θηριῶδες μακρὰν ἀφορίζεται, τὸ δὲ πολιτικὸν καὶ νόμιμον εἰσοικίζεται. Ἔστιν ἀναλέξασθαι λογαδικοὺς ἄνδρας, ἔστιν ἀπολαβεῖν μέσους, ἔστιν ἀπαριθμήσασθαι τοὺς ὑπὸ τούτοις μυρίους ὅσους, οἷς ἐκεῖνος τὰς εἰσαεὶ ὁμιλίας διένεμε· τὰς μὲν ἐμπράκτους, ὅποι ἐχρῆν, ἔστι δὲ ἃς καὶ ἐν λόγοις, ὅσοις τε τὸ ζῆν κληροῦται, καὶ τοῖς ἐν γράμμασιν.

47. Ἐνταῦθα δὲ οὐ πάνυ φιλῶ τὸ κατὰ τὸν ἥλιον ὑπόδειγμα προσαρμόσαι τῷ λόγῳ, λάμποντα καὶ πᾶσιν ἐπαφιέντα τοῖς καταλαμπομένοις τὸ ἑαυτοῦ καλόν· σοφῷ δὲ διδασκάλῳ ἐκεῖνο παραβάλλω, οὗπερ ἀγαθὸν πᾶσί τε κοινοῦσθαι τὸ διδασκάλιον, οὗ πάντες δέοιντο ἄν, καὶ αὖ πάλιν, οὗ χρεών, συνδιασχίζειν ἑκάστοις τὴν μέριμναν· μάλιστα μὲν οὖν, ὃ καὶ εἰπεῖν προσετέθη θεῷ, τῷ πᾶσι τὰ πάντα, ὃ δὴ καὶ Παῦλος ὁ μέγας ἐκεῖθεν εἰς μίμησιν ἀνεμάξατο, τῷ καὶ κοινῇ, καὶ πρὸς μερίδας δὲ βίων, ἔτι δὲ καὶ πρὸς ψυχὰς ἑκάστας διοικονομουμένῳ τὸ σύμφορον.

48. Καὶ ταύτης δὲ τῆς βασιλικῆς ἀρετῆς τὰ καθ᾽ ἕκαστον αἱ συγγραφαὶ λαλείτωσαν. Ἡμεῖς γὰρ οὐκ εἰς ἀπέραντον ἐξαγαγεῖν τὰ τοῦ λόγου προτεθυμήμεθα, οἷς γε καὶ βραχέα λαλεῖν οὔτε ἐν καλῷ καιροῦ κεῖται, ὅπου τοῖς παθαινομένοις οὐκ εὔπορος ἡ ἀκοή, οὔτε ἐν εὐχερεῖ, διὰ τὸ καὶ οὕτω πολυπληθὲς τῶν μνήμης ἀξίων· ἐν οἷς καὶ ὡς ἀγαθῶν ὑποῤῥεόντων ἦν καινιστής, ἀταξίας ἁρμοστὴς καιρικῆς, ἐπισκευαστὴς τῶν εἰς ἀρετὴν ἀφωρισμένων ἐνδιαιτήσεων, χρόνου φθορᾶς ἀντίπαλος. Ὁ μὲν γὰρ πάντα δαμάζειν ἐθέλων, βαθὺ ἔχασκε κατά τε θείων ναῶν· καὶ ὅσον αὐτοῖς εἴτε Ms. fol. 172. b. || σύνναον, εἴτε καὶ ἄλλως οἰκειούμενον, ὁ δὲ αὐτοκράτωρ εἰς κενόν, ὅ φασι, χαίνειν αὐτὸν ἀφιεὶς ἐπεσκεύαζεν, ἐπεποιεῖτο, ἐξήγειρε τὰ καταπεπτωκότα, ἰᾶτο τὰ πεπονηκότα, πάντα ἐποίει, ὅσα χρονικῷ ἀντιπίπτει στόματι ἀνοιγομένῳ εἰς φθορὰν τῶν ὅσα μὴ χρεὼν φθείρεσθαι.

49. Σεισμοί ποτε ἀναταράττοντες τὰ τοιαῦτα καὶ ἐκμοχλεύειν ἔχοντες, καὶ ἡ γῆ τοὺς θεμελίους ἀνέπτυε· καὶ ἡ βασιλικὴ χεὶρ ἀνίστα τὰ ἱερὰ πτώματα. Εἰ δὲ μὴ θεμελίοις ἐπεβούλευε τὸ κακόν, ἀλλ᾽ αὐτὰ μὲν ἀφίει κατευμεγεθεῖν τοῦ βλάπτεσθαι, τοῦ δ᾽ ὑπερφαινομένου κατεπεχείρει, ἐνταῦθα μικρὸν ἐδόκει τῇ βασιλικῇ μεγαλοδωρεᾷ, τὸ ἐνδέον ἀναπληρῶσαι τῆς οἰκοδομῆς, εἰ μὴ καὶ τὰ ἐντὸς ἀγαθοχυσίας ἐμπλήσει τοῖς ἐν ἀναθήμασιν ἱεροῖς. Καιροί τινες, καὶ ἀνήφθη πῦρ, ἢ αὐτόματον, ἢ καὶ ἄλλως ἐκ μηχανῆς ἐπίβουλον, καὶ τὰ ἑαυτοῦ ἠναιδεύσατο, μήτε τῶν κοινῶν φειδόμενον, καταβοσκηθὲν δὲ καὶ πολλά, ὧν ἦν τὸ πολλοῖς ἄβατον. Καὶ πάλιν κἀνταῦθα τὸ βασιλικὸν προμηθὲς ἀντεπεξήγετο τοῖς κανονικοῖς, καὶ τὸ ἀπελθὸν καλὸν ἀποκαθίστατο. Καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, κακὸν οὕτω φιλονεικηθὲν ἐκκορυφωθῆναι εἰς μήκιστον, ὃ μὴ ταχὺ ἐξηφάνιστο.

50. Καὶ οὐ περιεγράφετο ἐν μόνοις ἡμῖν οὐδὲ ταυτὶ τὰ ἀγαθά· τὰ πλείω δὲ οἱ τῆς ἑῴας λήξεως ἐκληροῦντο, καὶ τὸ Εὐρωπαῖον πλάτος, καὶ νῆσοι ἐγκαινιζόμεναι καὶ οὕτω προφητικῶς, οἷς ἐκκαινῆς τὸ ἀποιχόμενον ἐν ἱεροῖς κάλλος ἀνεκομίζοντο. Καὶ ὁ ἐνταῦθα κενούμενος πλοῦτος δόξειε μὲν ἂν ἐκ μέρους στοχᾶσθαι τοῦ εὐεργετεῖν, οἷς ἐκερματίζετο. Τὸ πλῆθος δέ τις καταλέξας τῶν ἐπιποιηθέντων καὶ σεμνείων καὶ θείων ναῶν, πάνυ πολλὰς ὁλότητας καὶ μεγίστας δαπάνης ἐκκορυφώσειε τῷ ἀθροιστάτῳ τῆς ἐκχύσεως. Καὶ οἱ μὲν φθάσαντες τῶν ἐν ἡμῖν αὐτοκρατόρων μίαν δήπουθεν, ἢ καὶ δευτέραν καλλονὴν θείαν φωτὶ δείξαντες, νεοτήσιον σεμνὸν καὶ μέγα τι ποιῆσαι κέκρινται, καὶ ἀληθῶς πεποιήκασιν. Ὁ δὲ συννοησάμενος, κρεῖττον εἶναι, φυλάξαι τὸ εἶναι τοῖς οὖσι μέν, κίνδυνον δὲ ὑπομένουσιν ἀπιέναι, πρὸς τῷ ἔργῳ τούτῳ εἶχε τὸ πᾶν, φιλοτιμούμενος, μηδέν τι τῶν ἱερῶν ἔργων ἀπογενέσθαι, ἀλλὰ τὸ πάλαι κτητορικὸν αὐτοῖς ἐναπομεῖναι μέχρι τέλους ἐκφώνημα πρὸς μνήμην τοῖς ἀνεγείρασιν. Ἐπηκολούθει δὲ ἄρα τῷ βασιλεῖ αὐτοφυῶς ἐντεῦθεν, κληρονομεῖν αὐτὸν μάλιστα τῆς τοιᾶσδε κλήσεως. Καὶ τῷ μὲν πρώτῳ κτησαμένῳ ἤδη ἐπαλείφων

ἣν ὁ χρόνος τοὔνομα τῆς μνημονικῆς δέλτου, τά γε εἰς αὐτὸν ἥκοντα· ὁ δὲ βασιλεὺς δεύτερος ἥκων τῷ χρόνῳ, ἐκεῖνόν τε αὖθις εἰς μνήμην ἐνέγραφε τὴν προτέραν, καὶ ἑαυτὸν προσενέγραφεν· ὅτι μηδὲ ἔστι τὸ νεάζον λαθεῖν, καὶ παρευδοκιμηθῆναι τῷ φθάσαντι, καὶ τὸ τῆς μνημοσύνης ἀπενέγκασθαι δευτερεῖον, ἔνθα τὸ παλαιὸν οὐκ ἂν συνεστήκοι, μὴ τοῦ νεάζοντος ἐπιγεγονότος.

51. Ἐπεὶ δὲ τὸν ἀγαθαῖς μιμήσεσιν ἐντηκόμενον, καὶ εἰς τὸ ἀεὶ προβαίνοντα, τέλειον ἐχρῆν κἀνταῦθα τῆς ἐν τοιούτοις καὶ αὐτὸν ὁλότητος εἶναι μέτοχον, οὐκ ἀρκοῦν ἡγεῖται τὴν τοιαύτην ἐπιποίησιν, ἀλλὰ ὁλοκληροῖ καὶ αὐτὸς θεῖον ἔργον, καὶ αὐτὸ οὐ πρὸς κενὸν φαντιασμὸν καὶ σοβαρὸν ὄγκωμα, ὡς ἂν δὲ θαυμάσειεν ὁ || [Ms. fol. 173 a.] φρονῶν εἰς στρυφνότητα· καὶ χαρισάμενος ἀνδρὶ μονάδος βίου κατακόρως ἔχοντι (ἔχαιρε γὰρ τοῖς τοιούτοις, εἴπερ τινὶ τῶν ἑτέρων), ἀνιστᾷ φροντιστήριον, οὗ τὸ μὲν ἀνακεχωρηκὸς ἐρήμου τμῆμα, τὸ δὲ κάλλος ἐξαρτύσοι ἂν λόγου λαμπρὰν πανήγυριν. Ἡ δὲ τῆς ἐν αὐτῷ πολιτείας διάταξις οἰκειότατα λεχθείη ἂν ἀγγέλοις πρέπουσα. Καὶ νῦν πέπληθεν ἀνδρῶν ἐκεῖνο ἀσκρυμένων φερωνύμως τῇ ἐπικλήσει, καὶ τὸ μικροῦ ἀσώματον βιαζομένων, οἷς ἄγγελον φοιτὸς ἐφίστασθαι αὐτοῖς καὶ ὀνομάζονται καὶ πιστεύονται, καὶ αὐτοὶ οἴδασι, καὶ περιᾴδεται λόγος ἐκείνου ὑμνητός, ὡς ὅτι ἐπιθυμίᾳ ἐπεθύμησε, τοὺς ἑαυτοῦ ἱεροὺς τούτους ἄνδρας πάντων ὑπερεῖναι τῶν ὁμοιοβίων. Καὶ ἦν ἡ ἐπιθυμία εἰς ἀνάλογον. Αὐτός τε γὰρ οὐδενὸς τῶν φθασάντων ἐξέπιπτε δεύτερος, ὅσοι τοιούτοις ἐνηγλαΐσθησαν ἀγαθοῖς, καὶ οἱ τῆς κατ' αὐτόν, εἰπεῖν δὲ καὶ τῆς κατὰ θεὸν ἐπιθυμίας ἄνδρες, ὀφειλέται πάντων περιέμμεναι ἄλλων. Καὶ τοίνυν γίνονται τοῦ τοιούτου καλοῦ, εἰς ὅσον οὐκ ἔστιν ἐλλιπεῖν δυνάμεως, καὶ ἁμιλλῶνται τὸ τῆς ἀρετῆς κρατεῖν στάδιον, ὡσεὶ καὶ εἰς ἀπαραμίλλους καταστῆναι παγκρατιαστάς. Καὶ οὐκ ἔστιν ἀπείπασθαι, ὡς θεοῦ ἐπαλείφοντος οὐκ ἐκπεσοῦνται τῆς ἀγαθῆς προθέσεως.

52. Ἀλλὰ γὰρ οἷον τὸ ἀκοῦσαι γεύσασθε καὶ ἴδετε, ὅτε γλυκύτης θεία τοῖς βουλομένοις ἐμβρωματίζεσθαι πρόκειται. Ἅμα ὁ τὰ θεῖα λιχνευόμενος ἤκουσε, καὶ ἅμα ἔφαγε, καὶ ἔπιε τὸ κερασθέν, ὡς οἶδεν ἡ Σολομόντειος δαιταλουργεῖν σοφία· καὶ δαπανήσας τὸ παρατεθέν, ἐρεθίζεται εἰς πλείω ἐπιθυμίαν, καὶ τῆς θείας οὐκ ἔχει τρυφῆς κορέννυσθαι. Τοιοῦτος καὶ ἐκεῖνος, ὁ τῷ ὄντι μακαριστός, καὶ τοῦ μεγάλου δειπνοκλήτορος δαιτυμὼν φίλιος. Ἐγεύσατο, καλὸν εἶναι οὕτως ἐργάζεσθαι· καὶ ἡ ἐν αὐτῷ τῆς ψυχῆς ἀνδρεία κατάστασις οὐκ ἐσβέννυε τὴν λιχνίαν, δι' ἧς ποδηγεῖταί τις εἰς τοιαύτην ὀρθὴν βίου τρίβον ἐξανῆπτε δὲ εἰς πλέον ἀναῤῥιπίζων θείῳ πνεύματι, καὶ ἐπιποθῶν τῇ ψυχῇ πρὸς θεόν, ὅθεν προσβιβαζόμενος ἐμελέτα, καὶ ἑτέροις ὁμοίοις ἐπιβάλλειν πράγμασι. Καὶ οἱ τόποι ἐν ἑτοίμῳ, ἐπιλεγέντες ἐξ ἐπικρίσεως, καὶ τὰ τῆς ὕλης ηὐτρέπιστο, καὶ τὸ τεχνικὸν φῦλον προκατείληπτο τοῖς μισθοῖς, τό τε ἀρχιτεκτονοῦν καὶ τὸ ὑπουργικόν· καὶ τούτων οἱ μὲν τοῖς Ναζιραίοις θέσθαι σκηνώματα, ἐγγὺς δέ ἐστι φάναι καὶ θεῷ, διά τε τὸ θεῖον τοῦ σκευάσματος, καὶ ὅτι τοῖς ἐν αὐτῷ καθαρεύουσι θεὸς ἐνσκηνοῦν οἶδε καὶ ἐμπεριπατεῖν· οἱ δὲ σκευάσαι ξένοις ἀνάπαυλαν, καὶ αὐτοῖς τραυματίαις, ἢ καὶ ἑτέρως νόσοις ἐνολισθήσασι. Καὶ ὁ μὲν οὕτω τῇ θείᾳ ἐπιθυμίᾳ ἐκθερμανθείς, κνιομένην εἶχε τὴν καρδίαν ἐν ἑαυτῷ, εἴ πως ἴδοι τὸ ἐπιθυμητόν. Ὡς δὲ τὸ χρεὼν ἤπειγεν, ἀπῆλθε, προσάγων θεῷ τὴν ἔφεσιν καὶ τὴν εἰς τἀγαθὸν πρόθεσιν, ὡσεὶ καὶ ἔργον ἤδη τέλειον, ἀφέμενος τῷ υἱῷ βασιλεῖ τελεσφορῆσαι τὸ || [Ms. fol. 173 b] ἔλλειμμα, καὶ τὴν μὲν ἀρχὴν ἐνδοὺς αὐτὸς καὶ σποῦδε τοῦ ἀγαθοῦ, ἐκεῖνο δὲ φιλοτιμησάμενος τὸ παντέλειον.

53. Ἦν δὲ τῆς αὐτῆς ἐπισκευῆς καὶ ἡ τῶν πόλεων καὶ φρουρίων, τῶν μὲν ἔγερσις ἐκ τοῦ πάλαι κεῖσθαι, τῶν δὲ ποίησις, καὶ εἰπεῖν καιριώτερον, κτίσις καινή. Καὶ Τιβερίῳ μὲν προνοίας προσμεμαρτύρηται ἀγαθόν, ὅτι πολλὰς πόλεις κατασεισθείσας ταῖς εὐεργεσίαις ἀνέλαβεν. Ὁ δὲ καὶ τοῦτο μὲν ἐπὶ τοσοῦτον, εἰς ὅσον οὐκ εἰπεῖν ἡμῖν εὐμαρὲς ἔν γε τῷ παρόντι, μὴ καὶ τὴν ἐπιμεμετρημένην ὥραν τοπικοῖς ὀνόμασι προσδαπανήσωμεν· ὅσας δὲ καὶ ἐκκαινῆς ἐν ἐπικαίροις χωρίοις ἀνέστησεν, ἀριθμὸς ἕτερος αὗται, οὐχ οἷος μὴ ἐπεξισοῦσθαι ταῖς λοιπαῖς. Οὐ γὰρ εἰς ἑκατὸν ἅπαξ, οὐδὲ εἰς διπλοῦν τοῦτο, ἀλλὰ καὶ ὑπερέκεινα κορυφούμενα ὑπερανίστανται, δι' ὧν ἀποτειχίζων τοὺς πολεμίους εἶργε τῆς ἐκδρομῆς, ἐχόμενα τρίβου σκάνδαλα τιθέμενος αὐτοῖς, καὶ προοδεῦσαι μὲν κωλύων, βιασαμένοις δὲ τὴν ὁδὸν φόβον θανάτου ἐπισείων ἐκ τῶν ὄπισθε, καὶ μένειν οὕτως οἴκοι βιαζόμενος, καὶ ἢ τὸν θυμὸν πέττειν, ἢ κατὰ σφᾶς αὐτοὺς θυμομαχοῦντας ῥήγνυσθαι.

54. Οὐχ ἧττον δέ τι καὶ ἐκεῖνο καινόν, ὅτι τοῖς πλείοσι τῶν τοιούτων ἔργων ἑαυτὸν ἀρχιτεκτονεῖν ἐφίστα, καὶ διευκρινεῖν τά, δι' ὧν ἀσφαλῶς ἐστήξονται, τὰ πολλὰ δὲ καὶ διακονεῖν καὶ χειρουργεῖν τοῖς πολίζουσι, καὶ παραφορεῖν, ὅσον χρήσιμον. Καὶ χθὲς μὲν τὰς βασιλικὰς ἔτριβον χεῖρας, καὶ εἰσαύριον δὲ τρίψουσιν, ἣ σπάθη βαρυνομένη πολλῷ τῷ σιδήρῳ, καὶ ὅσον δίχα γε τοῦ τέμνειν οὐκ ἂν οὐδ' ἄλλως φέροι κατενεχθέντα πολέμιος ὅμιλος, ἀλλὰ συχνὸς τοῦ βίου

ἐκθεριζόμενος, δραγμεύοιτο ἂν εἰς στοιβάς· ἢ κορύνη σιδηρέα, χάλκεον ὕπνον τῶν πληττομένων καταφέρουσα, ἢ βριθὺ δόρυ, καὶ ὅπερ εἴκασεν ἂν ποιητικὴ μεγαλοφωνία ὡς εἰς νηὸς ἱστὸν ἐεικοσόροιο. Τοιοῦτον γὰρ ἡ βασιλικὴ παλάμη ἀνεῖχέ τε καὶ ἐχώρει. Καὶ ταῦτα μὲν χθές τε καὶ εἰςαύριον ἔργα τηνικαῦτα τῷ βασιλεῖ· μεταξὺ δὲ χάλικες ἐν χερσὶν ἀθρόοι καὶ ἀνδραχθεῖς, λίθοι προςκόμματος καὶ αὐτοὶ τοῖς ἐχθροῖς τοῦ θεοῦ. Καὶ δήπου ἀγαπητόν, εἰ μέχρι τούτων ὁ κάματος. Ὁ δὲ καὶ εἰςέτι πλέον ἐπετείνατο. Μεθ' ἡμέραν μὲν γὰρ τοιαῦτα ἦν· ὁ δὲ αὐτοκράτωρ καὶ τὴν νύκτα πολεμικοῖς ἔργοις ἐδίδου, καὶ τὴν ὥραν τῆς ἀναπαύσεως καιρὸν ἐποιεῖτο τῆς εἰς τοιαύτην ζέσιν ἐκκαύσεως, διακαρτερῶν ἄυπνος, καὶ μηδὲ γόνυ κάμπτων, καὶ στήλην οὕτω καρτερίας ἑαυτὸν ἀνιστῶν· ὃ δὴ εὐμαθῶς μεμελέτηκε διὰ βίου, εἰς τὸ παντοίως ὑπομενετικὸν ἑαυτὸν ἐκπονούμενος.

55. Ὅλως γὰρ εἰπεῖν, εἰς πλείω διῃρημένης τῆς ὑπομονῆς, καὶ τῆς μὲν εἰς τὰ περὶ σῶμα ἐχούσης, ἣν φερεπονίαν ὀνομάζειν οἴδαμεν, τῆς δὲ εἰς ἐπιθυμιῶν συνοχήν, ὃ δή ἐστιν ἐγκράτεια, τῆς δὲ εἰς παντὸς λυπηροῦ κατακέρασμα, τοῦτο δὴ τὸ καὶ σωφροσύνης καὶ καρτερίας, ἔτι μὴν καὶ πρᾳότητος ἐκνίκημα, οὐκ ἔστι, περὶ ἣν ἰδίαν ὑπομονῆς οὐκ εἶχεν ἄκρον τὸ εὐδόκιμον, βασιλεὺς κἀνταῦθα ὢν καὶ ἑαυτοῦ, ὅτι μηδὲ Ms. fol. 174. a. ἐχρῆν τὸν οὕτω μεγάλως || ἄρχοντα εἴκειν τοῖς χείροσι. Διήρκει οὖν εἰς ἅπαν φερεπονῶν, ψῦχος μὲν ὑπομένων, ὡς ἐὰν καὶ μεσαιτάτου θέρους φρύγοντος φιλοτιμίαν εὐκράτου πνοῆς εὕρισκε, θερινῷ δὲ θάλπει αὖθις παραβαλλόμενος καὶ ἐγκαρτερῶν, ὡς εἰ καὶ ζωογόνοις αὔραις ἐψύχετο· δίψαν δέ, ὡς οὐδ' ἂν οἱ τῆς ἱστορίας Ἄδιψοι, ἀνεχόμενος· λιμὸν δὲ ἀεργῷ μὲν ἀνδρὶ σύμφορον εἶναι φιλοσοφῶν, ἐργατικῷ δὲ ἀνθρώπῳ ἀπροσάρμοστον, ὃν οἶδε τρέφειν τὰ σπουδαῖα ἔργα, ἑαυτοῖς ἀπασχολοῦντα τὸ τῆς ψυχῆς ἐναγώνιον.

56. Ἀμέλει καὶ ἐπεῖχε τὰ εἰς γαστρὸς θεραπείαν, ὅσα καὶ τις ἀνδριάς, εἰς τοσοῦτον ἐθέλων τὴν ἔνθεσιν, εἰς ὅσον καὶ ὁ ὑπερπλησθείς· οὔτε γὰρ ἐκεῖνος ἐπισάττοι ἂν τὸ ὑπέρφορτον· οὔτ' αὐτὸς εἶχε τὴν καθάπαξ σφιγχθεῖσαν λόγῳ συστέλλοντι ἀνευρῦναι εἰς βρῶσιν κατὰ τοὺς κοιλιοδαίμονας. Καὶ ἔστι ταὐτὸν ἐπ' ἀμφοῖν τὸ αἴτιον. Οὔτε γὰρ τὸ πλῆρες ἔτι στέγει τὸ ἐμβαλλόμενον, οὔτε τὸ εἰςάγαν σύστομον ἀφίησί τι τῶν ἐντιθεμένων προκύπτειν ἐντός.

57. Οὕτω κατισχύων ἦν ἐπιθυμίας, τοῦ δεινοτάτου κόλακος. Θυμὸν γάρ, ὅσα καὶ βασιλεὺς ἔννομος, ἐξώθει τύραννον. Στρωμνῇ δὲ αὐτῷ πρὸς γῆς τραχύτητα, στρώμασι μαλακοῖς ἀμεσολάβητος, οὕτω τι λελόγιστο φίλον, ὡς πραγματειῶδες αὐτῷ ἐν καιρῷ εἶναι, μηδὲ τῷ παντὶ τοῦ μεγέθους κατακλίνεσθαι, ἀλλὰ καθῆσθαι ὀρθούμενον, καὶ οὕτως ἐκκλίνειν τὸν σοφὸν κατευναστὴν ὕπνον τῆς φύσεως. Τὸν μὲν οὖν Ὁμηρικὸν Δία ὕπνος ποτὲ περιεχύθη ἐπίβουλος οὐχ ἑκόντα, καὶ ὁ λόγος ὑπονοεῖται δηλοῦν τὸ τοῦ ὕπνου βίαιον, μὴ μόνον ἐν τοῖς ἄλλως ἔχουσι τοῦ βιοῦν, ἀλλὰ καὶ ἐν τοῖς πλατὺ ἄρχουσι. Τῷ δὲ καὶ προκαλούμενος ὕπνος οὐχ ὑπήκουε· τὸ γὰρ φροντιστικὸν τοῦ χρειώδους περιεγίνετο· καὶ ἐπιπετασθεὶς δὲ ταχὺ ἀπεπήδα, μετρῶν ἑαυτόν, ὡς ὁ βασιλεὺς ἐπέταττε, καὶ τοῖς τῶν ἔργων καιροῖς ἐπιοῦσιν ὑπεξιστάμενος, καὶ πως ὀκνῶν, τῷ ἀεικινήτῳ παρεῖναι, καὶ τῷ ἀθανασίας ἐπαξίῳ θάνατον οἷον τεχνᾶσθαι τῇ ἀργίᾳ τῶν αἰσθήσεων, καὶ τῶν σπουδαίων ἔργων ἐγκόπτειν τὸν τῆς κοσμικῆς ἐργάτην συστάσεως.

58. Ὕδωρ μὲν αὐτῷ φίλον ποτόν, δελεαζόμενον, ὅτι τρυφᾶν δέει πρός τινα σκευωρίαν ἡδονῆς σώφρονα, εἰς ἣν καὶ ὁ γλυκὺς συμβολήν τινα παραμίγνυσι κάλαμος· ἔτι γε μὴν καὶ ὁ στύφων χυλός· ἔστι δ' ὅπου καὶ ἠρέμα ὀξὺς ὁ κρίθινος. Εἰ δὲ καὶ οἴνῳ προςδεήσει χρήσασθαι, ἀλλ' ἐκεῖνος ἀγλευκής· καὶ ὀξίνης ἐκίρνατο, καὶ τοῖς πλείοσιν ἀπρόσιτος. Καὶ ἦν τοῦτο βασιλικοῦ κρατῆρος ἐπίσημον, οὐχ οὕτω χαίροντος τοῦ βασιλέως τῷ πόματι (οὐ γὰρ ἡδὺ τὸ τῇ γεύσει μὴ προσηνές), ὅσον οἶμαι καταμηχανωμένου τῆς ἄγαν ὀρέξεως. Καὶ οἶδα πρὸς ἀκρίβειαν ἀσκητὰς ἄνδρας τοιοῦτον ἑαυτοῖς οἰνοχοοῦντας κέρασμα, ὡς ἂν κατευμεγεθῶσι καὶ αὐτοὶ τοῦ ἔνδον ἐχθροῦ.

59. Στάσιν δὲ ὀρθίαν, ὃ δὴ καὶ ἐῤῥέθη, ὡσεὶ καὶ κίων ἐκπονησάμενος ἀστραβής, καὶ ἀναστηλῶν ἑαυτὸν καὶ οὕτω πρὸς εὔκλειαν, οἷς ἀνεῖχεν ὕψου τὰ ἡμέτερα, γόνατα κάμπτειν αὖθις θεῷ εὐχῆς λόγῳ, καὶ οὕτω πρεπόντως ἀφοσιοῦσθαι τὸ γονάζεσθαι, ἀρχετύπῳ παράμιλλος ἦν τῷ μεγάλῳ ἐκείνῳ δικαίῳ, οὗπερ οἱ τῶν γονάτων τύλοι τὸ συχνὰ γονυπετὲς ἠγόρευον. Καὶ οὕτω τὸ ἐν ἀριστεύμασιν ἀνάστημα πεπραγμάτευτο. Οὐδὲ γὰρ ἐχρῆν, τὸν εἰς θεὸν κατανεύοντα μὴ κατεξανίστασθαι τῶν ἐχθρῶν, μηδὲ τῶν ἐξ ὕψους οὕτω μακροῦ ἑαυτὸν ταπεινοῦντα μὴ θεόθεν ὑψοῦσθαι, καὶ τοῦ μέχρι καὶ εἰς γῆν ταπεινοποιοῦ ἀντιλαμβάνειν ὕψωμα εὐκλείας οὐράνιον.

60. Τὸ δὲ βαδιστικὸν ἐντεῦθεν διαδεχόμενον, ἀλλὰ καὶ αὐτὸ καρτέρημα ἦν. Οὐ γὰρ ἀνέπαυε λιπαροὺς πόδας εἰλαπινάζων, οὐδὲ ἵππου κουφότητι αἰρομένου πρὸς τάχος εἰςαεὶ τοὺς δρόμους ἐπίστευεν. Ἀλλὰ δεήσαν τοὺς πεζοδρομεῖν ἐπιστημονικοὺς παρήλαυνεν, οὐκ ἀπαξιῶν τὸ πεζὸν κατὰ τὸ πάλαι Περσικὸν ὑψηλόφρον,

ἦν ὁ χρόνος τοὔνομα τῆς μνημονικῆς δέλτου, τά γε εἰς αὐτὸν ἥκοντα· ὁ δὲ βασιλεὺς δεύτερος ἥκων τῷ χρόνῳ, ἐκεῖνόν τε αὖθις εἰς μνήμην ἐνέγραφε τὴν προτέραν, καὶ ἑαυτὸν προσενέγραφεν· ὅτι μηδὲ ἔστι τὸ νεάζον λαθεῖν, καὶ παρευδοκιμηθῆναι τῷ φθάσαντι, καὶ τὸ τῆς μνημοσύνης ἀπενέγκασθαι δευτερεῖον, ἔνθα τὸ παλαιὸν οὐκ ἂν συνεστήκοι, μὴ τοῦ νεάζοντος ἐπιγεγονότος.

51. Ἐπεὶ δὲ τὸν ἀγαθαῖς μιμήσεσιν ἐντηκόμενον, καὶ εἰς τὸ ἀεὶ προβαίνοντα, τέλειον ἐχρῆν κἀνταῦθα τῆς ἐν τοιούτοις καὶ αὐτὸν ὁλότητος εἶναι μέτοχον, οὐκ ἀρκοῦν ἡγεῖται τὴν τοιαύτην ἐπιποίησιν, ἀλλὰ ὁλοκληροῖ καὶ αὐτὸς θεῖον ἔργον, καὶ αὐτὸ οὐ πρὸς κενὸν φαινητισμὸν καὶ συβαρὸν ὄγκωμα, ὡς ἂν δὲ θαυμάσειεν ὁ [Ms. fol. 173. a.] || φρονῶν εἰς στρυφνότητα· καὶ χαρισάμενος ἀνδρὶ μονάδος βίου κατακόρως ἔχοντι (ἔχαιρε γὰρ τοῖς τοιούτοις, εἴπερ τινὶ τῶν ἑτέρων), ἀνιστᾷ φροντιστήριον, οὗ τὸ μὲν ἀνακεχωρηκὸς ἐρήμου τμῆμα, τὸ δὲ κάλλος ἐξαρτύσοι ἂν λόγου λαμπρὰν πανήγυριν. Ἡ δὲ τῆς ἐν αὐτῷ πολιτείας διάταξις οἰκειότατα λεχθείη ἂν ἀγγέλοις πρέπουσα. Καὶ νῦν πέπληθεν ἀνδρῶν ἐκεῖνο ἀσκουμένων φερωνύμως τῇ ἐπικλήσει, καὶ τὸ μικροῦ ἀσώματον βιαζομένων, οἷς ἄγγελον φωτὸς ἐφίστασθαι αὐτοῖς καὶ ὀνομάζονται καὶ πιστεύονται, καὶ αὐτοὶ οἴδασι, καὶ περιᾴδεται λόγος ἐκείνου ὑμνητός, ὡς ὅτι ἐπιθυμίᾳ ἐπεθύμησε, τοὺς ἑαυτοῦ ἱεροὺς τούτους ἄνδρας πάντων ὑπερεῖναι τῶν ὁμοιοβίων. Καὶ ἦν ἡ ἐπιθυμία εἰς ἀνάλογον. Αὐτός τε γὰρ οὐδενὸς τῶν φθασάντων ἐξέπιπτε δεύτερος, ὅσοι τοιούτοις ἐνηγλαΐσθησαν ἀγαθοῖς, καὶ οἱ τῆς κατ᾽ αὐτόν, εἰπεῖν δὲ καὶ τῆς κατὰ θεὸν ἐπιθυμίας ἄνδρες, ὀφειλέται πάντων περιέμμεναι ἄλλων. Καὶ τοίνυν γίνονται τοῦ τοιούτου καλοῦ, εἰς ὅσον οὐκ ἔστιν ἐλλιπεῖν δυνάμεως, καὶ ἁμιλλῶνται τὸ τῆς ἀρετῆς κρατεῖν στάδιον, ὡςεὶ καὶ εἰς ἀπαραμίλλους καταστῆναι παγκρατιαστάς. Καὶ οὐκ ἔστιν ἀπείπασθαι, ὡς θεοῦ ἐπαλείφοντος οὐκ ἐκπεσοῦνται τῆς ἀγαθῆς προθέσεως.

52. Ἀλλὰ γὰρ οἷον τὸ ἀκοῦσαι γεύσασθε καὶ ἴδετε, ὅτε γλυκύτης θεία τοῖς βουλομένοις ἐμβρωματίζεσθαι πρόκειται. Ἅμα ὁ τὰ θεῖα λιχνευόμενος ἤκουσε, καὶ ἅμα ἔφαγε, καὶ ἔπιε τὸ κερασθέν, ὡς οἶδεν ἡ Σολομόντειος δαιταλουργεῖν σοφία· καὶ δαπανήσας τὸ παρατεθέν, ἐρεθίζεται εἰς πλείω ἐπιθυμίαν, καὶ τῆς θείας οὐκ ἔχει τρυφῆς κορέννυσθαι. Τοιοῦτος καὶ ἐκεῖνος, ὁ τῷ ὄντι μακαριστός, καὶ τοῦ μεγάλου δειπνοκλήτορος δαιτυμὼν φίλιος. Ἐγεύσατο, καλὸν εἶναι οὕτως ἐργάζεσθαι· καὶ ἡ ἐν αὐτῷ τῆς ψυχῆς ἀνδρεία κατάστασις οὐκ ἐσβέννυε τὴν λυχνίαν, δι᾽ ἧς ποδηγεῖταί τις εἰς τοιαύτην ὀρθὴν βίου τρίβον ἐξανῆπτε δὲ εἰς πλέον ἀναῤῥιπίζων θείῳ πνεύματι, καὶ ἐπιποθῶν τῇ ψυχῇ πρὸς θεόν, ὅθεν προςβιβαζόμενος ἐμελέτα, καὶ ἑτέροις ὁμοίοις ἐπιβάλλειν πράγμασι. Καὶ οἱ τόποι ἐν ἑτοίμῳ, ἐπιλεγέντες ἐξ ἐπικρίσεως, καὶ τὰ τῆς ὕλης ηὐτρέπιστο, καὶ τὸ τεχνικὸν φῦλον προκατείληπτο τοῖς μισθοῖς, τό τε ἀρχιτεκτονοῦν καὶ τὸ ὑπουργικόν· καὶ τούτων οἱ μὲν τοῖς Ναζιραίοις θέσθαι σκηνώματα, ἐγγὺς δέ ἐστι φάναι καὶ θεῷ, διά τε τὸ θεῖον τοῦ σκευάσματος, καὶ ὅτι τοῖς ἐν αὐτῷ καθαρεύουσι θεὸς ἐνσκηνοῦν οἶδε καὶ ἐμπεριπατεῖν· οἱ δὲ σκευάσαι ξένοις ἀνάπαυλαν, καὶ αὐτοῖς τραυματίαις, ἢ καὶ ἑτέρως νόσοις ἐνολισθήσασι. Καὶ ὁ μὲν οὕτω τῇ θείᾳ ἐπιθυμίᾳ ἐκθερμανθείς, καιομένην εἶχε τὴν καρδίαν ἐν ἑαυτῷ, εἴ πως ἴδοι τὸ ἐπιθυμητόν. Ὡς δὲ τὸ χρεὼν ἤπειγεν, ἀπῆλθε, προςάγων θεῷ τὴν ἔφεσιν καὶ τὴν εἰς τἀγαθὸν πρόθεσιν, ὡςεὶ καὶ ἔργον ἤδη τέλειον, ἀφέμενος τῷ υἱῷ βασιλεῖ τελεσφορῆσαι τὸ || [Ms. fol. 173. b.] ἔλλειμμα, καὶ τὴν μὲν ἀρχὴν ἐνδοὺς αὐτὸς καὶ σπουδὲ τοῦ ἀγαθοῦ, ἐκεῖνο δὲ φιλοτιμησάμενος τὸ παντέλειον.

53. Ἦν δὲ τῆς αὐτῆς ἐπισκευῆς καὶ ἡ τῶν πόλεων καὶ φρουρίων, τῶν μὲν ἔγερσις ἐκ τοῦ πάλαι κεῖσθαι, τῶν δὲ ποίησις, καὶ εἰπεῖν καιριώτερον, κτίσις καινή. Καὶ Τιβερίῳ μὲν προνοίας προςμεμαρτύρηται ἀγαθόν, ὅτι πολλὰς πόλεις κατασεισθείσας ταῖς εὐεργεσίαις ἀνέλαβεν. Ὁ δὲ καὶ τοῦτο μὲν ἐπὶ τοσοῦτον, εἰς ὅσον οὐκ εἰπεῖν ἡμῖν εὐμαρὲς ἔν γε τῷ παρόντι, μὴ καὶ τὴν ἐπιμεμετρημένην ὥραν τοπικοῖς ὀνόμασι προςδαπανήσωμεν· ὅσας δὲ καὶ ἐκκαινῆς ἐν ἐπικαίροις χωρίοις ἀνέστησεν, ἀριθμὸς ἕτερος αὗται, οὐχ οἷος μὴ ἐπεξισοῦσθαι ταῖς λοιπαῖς. Οὐ γὰρ εἰς ἑκατὸν ἅπαξ, οὐδὲ εἰς διπλοῦν τοῦτο, ἀλλὰ καὶ ὑπερέκεινα κορυφούμενα ὑπερανίστανται, δι᾽ ὧν ἀποτειχίζων τοὺς πολεμίους εἶργε τῆς ἐκδρομῆς, ἐχόμενα τρίβου σκάνδαλα τιθέμενος αὐτοῖς, καὶ προοδεῦσαι μὲν κωλύων, βιασαμένοις δὲ τὴν ὁδὸν φόβον θανάτου ἐπισείων ἐκ τῶν ὄπισθε, καὶ μένειν οὕτως οἴκοι βιαζόμενος, καὶ ἢ τὸν θυμὸν πέττειν, ἢ κατὰ σφᾶς αὐτοὺς θυμομαχοῦντας ῥήγνυσθαι.

54. Οὐχ ἧττον δέ τι καὶ ἐκεῖνο καινόν, ὅτι τοῖς πλείοσι τῶν τοιούτων ἔργων ἑαυτὸν ἀρχιτεκτονεῖν ἐφίστα, καὶ διευκρινεῖν τά, δι᾽ ὧν ἀσφαλῶς ἐστήξονται, τὰ πολλὰ δὲ καὶ διακονεῖν καὶ χειρουργεῖν τοῖς πολίζουσι, καὶ παραφορεῖν, ὅσον χρήσιμον. Καὶ χθὲς μὲν τὰς βασιλικὰς ἔτριβον χεῖρας, καὶ εἰςαύριον δὲ τρίψουσιν, ἣ σπάθη βαρυνομένη πολλῷ τῷ σιδήρῳ, καὶ ὅσον δίχα γε τοῦ τέμνειν οὐκ ἂν οὐδ᾽ ἄλλως φέροι κατενεχθέντα πολέμιος ὅμιλος, ἀλλὰ συχνὸς τοῦ βίου

ἐκθεριζόμενος, δραγμεύοιτο ἂν εἰς στοιβάς· ἢ κορύνη σιδηρέα, χάλκεον ὕπνον τῶν πληττομένων καταφέρουσα, ἢ βριθὺ δόρυ, καὶ ὅπερ εἴκασεν ἂν ποιητικὴ μεγαλοφωνία ὡς εἰς νηὸς ἱστὸν ἐεικοσόροιο. Τοιοῦτον γὰρ ἡ βασιλικὴ παλάμη ἀνεῖχέ τε καὶ ἐχώρει. Καὶ ταῦτα μὲν χθές τε καὶ εἰςαύριον ἔργα τηνικαῦτα τῷ βασιλεῖ· μεταξὺ δὲ χάλικες ἐν χερσὶν ἁδροὶ καὶ ἀνδραχθεῖς, λίθοι προςκόμματος καὶ αὐτοὶ τοῖς ἐχθροῖς τοῦ θεοῦ. Καὶ δήπου ἀγαπητόν, εἰ μέχρι τούτων ὁ κάματος. Ὁ δὲ καὶ εἰςέτι πλέον ἐπετείνατο. Μεθ' ἡμέραν μὲν γὰρ τοιαῦτα ἦν· ὁ δὲ αὐτοκράτωρ καὶ τὴν νύκτα πολεμικοῖς ἔργοις ἐδίδου, καὶ τὴν ὥραν τῆς ἀναπαύσεως καιρὸν ἐποιεῖτο τῆς εἰς τοιαύτην ζέσιν ἐκκαύσεως, διακαρτερῶν ἄϋπνος, καὶ μηδὲ γόνυ κάμπτων, καὶ στήλην οὕτω καρτερίας ἑαυτὸν ἀνιστῶν· ὃ δὴ εὐμαθῶς μεμελέτηκε διὰ βίου, εἰς τὸ παντοίως ὑπομενετικὸν ἑαυτὸν ἐκπονούμενος.

55. Ὅλως γὰρ εἰπεῖν, εἰς πλείω διῃρημένης τῆς ὑπομονῆς, καὶ τῆς μὲν εἰς τὰ περὶ σῶμα ἐχούσης, ἣν φερεπονίαν ὀνομάζειν οἴδαμεν, τῆς δὲ εἰς ἐπιθυμιῶν συνοχήν, ὃ δή ἐστιν ἐγκράτεια, τῆς δὲ εἰς παντὸς λυπηροῦ κατακέρασμα, τοῦτο δὴ τὸ καὶ σωφροσύνης καὶ καρτερίας, ἔτι μὴν καὶ πραότητος ἐκνίκημα, οὐκ ἔστι, περὶ ἣν ἰδίαν ὑπομονῆς οὐκ εἶχεν ἄκρον τὸ εὐδόκιμον, βασιλεὺς κἀνταῦθα ὢν καὶ ἑαυτοῦ, ὅτι μηδὲ ἐχρῆν τὸν οὕτω μεγάλως || (Ms. fol. 174. a.) ἄρχοντα εἴκειν τοῖς χείροσι. Διήρκει οὖν εἰς ἅπαν φερεπονῶν, ψῦχος μὲν ὑπομένων, ὡς ἐὰν καὶ μεσαιτάτου θέρους φρύγοντος φιλοτιμίαν εὐκράτου πνοῆς εὕρισκε, θερινῷ δὲ θάλπει αὖθις παραβαλλόμενος καὶ ἐγκαρτερῶν, ὡς εἰ καὶ ζωογόνοις αὔραις ἐψύχετο· δίψαν δέ, ὡς οὐδ' ἂν οἱ τῆς ἱστορίας Ἄδιψοι, ἀνεχόμενος· λιμὸν δὲ ἀεργῷ μὲν ἀνδρὶ σύμφορον εἶναι φιλοσοφῶν, ἐργατικῷ δὲ ἀνθρώπῳ ἀπροσάρμοστον, ὃν οἶδε τρέφειν τὰ σπουδαῖα ἔργα, ἑαυτοῖς ἀπασχολοῦντα τὸ τῆς ψυχῆς ἐναγώνιον.

56. Ἀμέλει καὶ ἐπεῖχε τὰ εἰς γαστρὸς θεραπείαν, ὅσα καί τις ἀνδριάς, εἰς τοσοῦτον ἐθέλων τὴν ἔνθεσιν, εἰς ὅσον καὶ ὁ ὑπερπλησθείς· οὔτε γὰρ ἐκεῖνος ἐπισάττοι ἂν τὸ ὑπέρφορτον· οὔτ' αὐτὸς εἶχε τὴν καθάπαξ σφιγχθεῖσαν λόγῳ συστέλλοντι ἀνευρῦναι εἰς βρῶσιν κατὰ τοὺς κοιλιοδαίμονας. Καὶ ἔστι ταὐτὸν ἐπ' ἀμφοῖν τὸ αἴτιον. Οὔτε γὰρ τὸ πλῆρες ἔτι στέγει τὸ ἐμβαλλόμενον, οὔτε τὸ εἰςάγαν σύστομον ἀφίησί τι τῶν ἐντιθεμένων προκύπτειν ἐντός.

57. Οὕτω κατισχύων ἦν ἐπιθυμίας, τοῦ δεινοτάτου κόλακος. Θυμὸν γάρ, ὅσα καὶ βασιλεὺς ἔννομος, ἐξώθει τύραννον. Στρωμνὴ δὲ αὐτῷ πρὸς γῆς τραχύτητα, στρώμασι μαλακοῖς ἀμεσολάβητος, οὕτω τι λελόγιστο φίλον, ὡς πραγματειῶδες αὐτῷ ἐν καιρῷ εἶναι, μηδὲ τῷ παντὶ τοῦ μεγέθους κατακλίνεσθαι, ἀλλὰ καθῆσθαι ὀρθούμενον, καὶ οὕτως ἐκκλίνειν τὸν σοφὸν κατευναστὴν ὕπνον τῆς φύσεως. Τὸν μὲν οὖν Ὁμηρικὸν Δία ὕπνος ποτὲ περιεχέθη ἐπίβουλος οὐχ ἑκόντα, καὶ ὁ λόγος ὑπονοεῖται δηλοῦν τὸ τοῦ ὕπνου βίαιον, μὴ μόνον ἐν τοῖς ἄλλως ἔχουσι τοῦ βιοῦν, ἀλλὰ καὶ ἐν τοῖς πλατὺ ἄρχουσι. Τῷ δὲ καὶ προκαλούμενος ὕπνος οὐχ ὑπήκουε· τὸ γὰρ φροντιστικὸν τοῦ χρειώδους περιεγίνετο· καὶ ἐπιπετασθεὶς δὲ ταχὺ ἀπεπήδα, μετρῶν ἑαυτόν, ὡς ὁ βασιλεὺς ἐπέταττε, καὶ τοῖς τῶν ἔργων καιροῖς ἐπιοῦσιν ὑπεξιστάμενος, καί πως ὀκνῶν, τῷ ἀεικινήτῳ παρεῖναι, καὶ τῷ ἀθανασίας ἐπαξίῳ θάνατον οἷον τεχνᾶσθαι τῇ ἀργίᾳ τῶν αἰσθήσεων, καὶ τῶν σπουδαίων ἔργων ἐγκόπτειν τὸν τῆς κοσμικῆς ἐργάτην συστάσεως.

58. Ὕδωρ μὲν αὐτῷ φίλον ποτόν, δελεαζόμενον, ὅτι τρυφᾷν δέει πρός τινα σκευωρίαν ἡδονῆς σώφρονα, εἰς ἣν καὶ ὁ γλυκὺς συμβολήν τινα παραμίγνυσι κάλαμος· ἔτι γε μὴν καὶ ὁ στύφων χυλός· ἔστι δ' ὅπου καὶ ἠρέμα ὀξὺς ὁ κρίθινος. Εἰ δὲ καὶ οἴνῳ προςδεήσει χρήσασθαι, ἀλλ' ἐκεῖνος ἀγλευκής· καὶ ὀξίνης ἐκίρνατο, καὶ τοῖς πλείοσιν ἀπρόςιτος. Καὶ ἦν τοῦτο βασιλικοῦ κρατῆρος ἐπίσημον, οὐχ οὕτω χαίροντος τοῦ βασιλέως τῷ πόματι (οὐ γὰρ ἡδὺ τὸ τῇ γεύσει μὴ προςηνές), ὅσον οἶμαι καταμηχανωμένου τῆς ἄγαν ὀρέξεως. Καὶ οἶδα πρὸς ἀκρίβειαν ἀσκητὰς ἄνδρας τοιοῦτον ἑαυτοῖς οἰνοχοοῦντας κέρασμα, ὡς ἂν κατευμεγεθῶσι καὶ αὐτοὶ τοῦ ἔνδον ἐχθροῦ.

59. Στάσιν δὲ ὀρθίαν, ὃ δὴ καὶ ἐῤῥέθη, ὡςεὶ καὶ κίων ἐκπονησάμενος ἀστραβής, καὶ ἀναστηλῶν ἑαυτὸν καὶ οὕτω πρὸς εὔκλειαν, οἷς ἀνεῖχεν ὑψοῦ τὰ ἡμέτερα, γόνατα κάμπτειν αὖθις θεῷ εὐχῆς λόγῳ, καὶ οὕτω πρεπόντως ἀφοσιοῦσθαι τὸ γονάζεσθαι, ἀρχετύπῳ παράμιλλος ἦν τῷ μεγάλῳ ἐκείνῳ δικαίῳ, οὗπερ οἱ τῶν γονάτων τύλοι τὸ συχνὰ γονυπετὲς ἠγόρευον. Καὶ οὕτω τὸ ἐν ἀριστεύμασιν ἀνάστημα πεπραγμάτευτο. Οὐδὲ γὰρ ἐχρῆν, τὸν εἰς θεὸν κατανεύοντα μὴ κατεξανίστασθαι τῶν ἐχθρῶν, μηδὲ τῶν ἐξ ὕψους οὕτω μακροῦ ἑαυτὸν ταπεινοῦντα μὴ θεόθεν ὑψοῦσθαι, καὶ τοῦ μέχρι καὶ εἰς γῆν ταπεινοποιοῦ ἀντιλαμβάνειν ὕψωμα εὐκλείας οὐράνιον.

60. Τὸ δὲ βαδιστικὸν ἐντεῦθεν διαδεχόμενον, ἀλλὰ καὶ αὐτὸ καρτέρημα ἦν. Οὐ γὰρ ἀνέπαυε λιπαροὺς πόδας εἰλαπινάζων, οὐδὲ ἵππου κουφότητι αἰρομένου πρὸς τάχος εἰςαεὶ τοὺς δρόμους ἐπίστευεν. Ἀλλὰ δεῆσαν τοὺς πεζοδρομεῖν ἐπιστημονικοὺς παρήλαυνεν, οὐκ ἀπαξιῶν τὸ πεζὸν κατὰ τὸ πάλαι Περσικὸν ὑψηλόφρον,

οἷς ἤρεσε νομοθετῆσαι, δίχα τοῦ κατ' οἰκίαν περιπάτου λοιπὴν πορείαν || Ms. fol. 174. b. ἐφ' ἵππου τίθεσθαι· ἀλλὰ ταῖς μὲν ἀνάγκαις, καὶ ὅτε δὲ θρίαμβοι, τὴν ἱππασίαν ἐγκρίνων, τοῦ δὲ λοιποῦ ποσὶ χρώμενος εἰς τὸ καρτερόν.

61. Οὕτω τὰ τοὺς πολλοὺς λυποῦντα, καὶ τῷ ἐναγωνίῳ πικράζοντα, κατεκίρνα γλυκάσμασιν ἀρετῆς, ὑφ' ἧς καὶ τὸ ἀνεξίκακον ἐπορίζετο, νουθετούμενος κατ' ὀρθὸν λόγον εἰς ἄμυναν, καὶ καιρὸν εἰς ἐπιστροφὴν ἐνδιδοὺς τοῖς ἑαυτοὺς ἀποστρέψασιν εἰς φαυλότητα, τὸν σωτῆρα Χριστὸν ἑαυτῷ κἀνταῦθα προϊστῶν εἰς ἀρχέτυπον μιμήσεως, τὸν καὶ ἐπὶ πάντων ὄντα, καὶ πάντων προνοητικῶς ἀνεχόμενον· οὗ καὶ τὸ αὐτουργὸν ἐμιμεῖτο, καὶ τὸ ἐν ἔργοις αὐτοδιάκονον, καὶ μάλιστα τοῖς μεγίστοις. Οὐ γὰρ ἤθελε χερσὶ μὲν ἑτέραις ἐκπονεῖσθαι τὸ καλόν, αὐτὸν δὲ τοῖς ἀνδραγαθήμασιν ἐπιγράφεσθαι, οὐδ' ἀκοὰς παραβάλλειν τοῖς βασιλικοῖς πρακτέοις, ὀφθαλμοὺς δ' ἐπιβάλλειν, καὶ χερσὶ καταβάλλειν τὸ ἀντικείμενον.

62. Ἀμέλει καὶ κινδύνοις ἑαυτὸν παρενετίθει, ἔνθα τῷ στρατῷ ἄλλως ἦν ἄφυκτον· καὶ διδοὺς ἑαυτὸν ἕως καὶ εἰς θάνατον, κατηλλάττετο τοῖς λοιποῖς τὸ σώζεσθαι. Ὅθεν καὶ ἐφιλοτιμεῖτο τοῖς διὰ παντὸς τοῦ σώματος τραύμασιν, ἤπερ τοῖς ἐν διαδήματι ἀγλαΐσμασι, καὶ σφραγῖδας ταύτας ἔφερεν, ἐγγεγλυμμένας τὸ ἀνδρικόν. Βασιλέα μὲν οὖν θεωρεῖν αὐτόν, ἀλλὰ τοῦτο διαδοχῆς, ἣν θεὸς παραδόξως αὐτῷ διέθετο, ἐπικρίνας εἰς βασιλέα τὸν ἐν ἀδελφοῖς μεγάλοις τε καὶ καλοῖς μικρὸν μὲν τηνικαῦτα, κάλλιστον δέ, εἰς δὲ τὸ ἐπιὸν καὶ μέγιστον. Στρατηγὸν δὲ οὐκ ἂν εἴη πόῤῥω τοῦ καὶ οὕτω βασιλέα διασκέπτεσθαι. Ἔστι γὰρ βασιλεὺς ἅπας (οὐκ ἔξω λόγου εἰπεῖν) στρατηγῶν στρατηγός. Ἱππότην μέντοι ἄριστον τεθεᾶσθαι, καὶ πεζομάχον, καὶ μονομάχον ῥώμην πνέοντα, καὶ πρόμαχον, καὶ πολιορκητὴν δεινότατον, καὶ λόχους καθίζειν δεξιόν, καὶ λοιπαῖς ἁπάσαις παρεῖναι μάχαις θερμότατον, ταῦτα δὲ οὐκέτι διαδοχῆς ἁλύσει συμπέπλεκται, εἰ καὶ ἐκ γένους καθῆκεν ἄχρι καὶ εἰς αὐτόν, ἀσκήσεως δὲ ὁτιμάλα συχνῆς, καὶ τριβῆς διαρκοῦς, καὶ ὀργανώσεως, ἣν φύσις ἐφιλοτέχνησεν ὑπὸ θεῷ ἀρχιτέκτονι.

63. Ταῖς μὲν οὖν ἄγαν ὑπερορίοις μάχαις οὔτε αὐτὸς ἔκρινε δέον παρεῖναι, τοῦ ἀνέκαθεν χρόνου τὰ μεταξὺ τὰ μὲν ἐκπολεμώσαντος, τὰ δὲ ἐν ὑπόπτῳ θεμένου· ὅθεν καὶ ἦν ἀνάγκη, πρὸς τῷ μέσῳ εἶναι τὸν βασιλέα, καὶ καρδίας λόγῳ τὰ πέριξ θάλπειν καὶ ζωογονεῖν. Οὔτ' ἄν, εἴπερ αὐτὸς ἔκρινεν (ἔκρινε δὲ ἐν ἅπασι τὸ τῆς ψυχῆς ζέον), ἀδυσώπητος ἔμενε πρός γε τοῦ συγκλήτου λόχους, καὶ τοῦ λοιποῦ. Ἀμέλει καὶ προελθὼν τῆς βασιλίδος τῶν πόλεων, καὶ τὴν ἐπὶ τοὺς πολεμίους πῇ μὲν διχῇ τεμὼν τῷ στρατοπεδεύματι, πῇ δὲ καὶ ὑπερμεσώσας, ἐξέστελλεν ἐγγύθεν τὸ στρατιωτικόν, καὶ κατεπράττετο, οἷα θεὸς ἐδίδου, ὁ τῶν ἔργων αὐτῷ συνεπιλαμβανόμενος. Κἂν εἰ μὴ καινόν τι καὶ μέγα συνεπεπτώκει, οὐκ ἦν ἀναστρέψαι τοὺς βασιλικοὺς ἐκεῖθεν ἀποστόλους, μὴ τὸ πᾶν ἐν καλῷ καταστήσαντας. Συνεξέπεμπε γὰρ ἐκείνοις ὁ αὐτοκράτωρ βουλεύματα, δι' ὧν ὡς αὐτὸς παρὼν ἐνήργει τὰ τρόπαια. Οὐδὲ γὰρ ἦν, βουλευσάμενον μὴ οὐκ ἐπιτυχεῖν. Εἰ δέ που ἡ στρατοῦ ἀτασθαλίᾳ ἔσφαλλε τὰ τῆς μάχης, ἢ τὸ συμμαχικὸν οὐκ ἀπονήρως ἐμισθοφόρει, τυχὸν δὲ οὕτω καὶ κύβος μάχης οὐ πρὸς ἀγαθοῦ ἐῤῥιπτο, τούτου μὲν ἄλλοθεν τὸ αἴτιον, τὸ βασιλικὸν δὲ ἔργον ἀναίτιον.

64. Καὶ οὕτω μὲν τὸ τῆς στρατείας διῳκονομεῖτο ἔκτοπον. Οὐκ ἂν δέ τινι ἐγγένοιτο, συχνὰ τοιαῦτα ἐξαριθμήσασθαι. Τὰ πλείω γὰρ αὐτὸς καὶ τῶν τοιούτων ἔργων ἐπέβαινε, οὐκ ἔχων ἑτέροις τὰ οὕτω μέγιστα πιστεύειν καὶ ἐπικίνδυνα. Κίλικες οἴδασι ταῦτα, καὶ Ἀρμένια φῦλα, καὶ γένος Ἀσσύριον, καὶ λοιπόν, ὅσον πρωτοφαέσι βολαῖς ἡλίου βάλλεται. Σκυθικὴν δὲ ἀγριότητα οὐ μόνος ὁ πολυαριστεὺς πατὴρ ἡμερώσατο, ἀλλὰ || Ms. fol. 175. a. καὶ οὗτος ἐπ' οὐδὲν ἔλαττον. Ἴστρου δὲ τὰ πέραν οὕτω κατέδραμεν, ὡς εἰ καὶ ἀδεῶς τις περιῳκοδομημένα θηρία κυνηγετῶν, τὰ μὲν ἁλίσκει, τὰ δ' εἰς φόβον κινεῖ· καὶ αὐτὸ οὐκ εἰσάπαξ. Ἀλεξάνδρου γὰρ τοῦτο πάθος, κατισχύσαντος μόγις τῆς τοιαύτης γενέσθαι περαίας, καὶ ἅμα πεφευγότος ἀμεταστρεπτί· καὶ οὐκ ἦν ἐρυμνότητα χωρίου εἰπεῖν, ἧς μὴ ταχὺ περιεγίνετο αὐτὸς τοῖς πραττομένοις ἐπιδεδημηκώς. Ἀλεξάνδρου τοῦτο μεγαλούργημα, ὃς — ἔστιν εἰπεῖν ὅπου — τὸ τοῦ Ἡρακλέος σεμνὸν ἀπήλεγχεν. Αὐτίκα γὰρ ὁ μὲν τὴν Ἄορνον (πέτρα δὲ αὕτη, τὸν Ἰνδὸν ποταμὸν ὑπομένουσα ταῖς ῥίζαις προσαρασσόμενον) ἑλεῖν οὐκ ἔσχεν, εἰς τρὶς μὲν προσβαλών, τοσαυτάκις δέ φασιν ἀποκρουσθείς· Ἀλέξανδρος δὲ εἰσάπαξ προσβεβηκώς, εἷλεν ἐγκρατῶς.

65. Εἰ μὲν οὖν πρὸς πολλαῖς τῶν πόλεων πολλ' ἐμόγησεν ὁ ἡμέτερος βασιλεύς, πολιορκίᾳ τριβόμενος, πολέμου νόμος καὶ τοῦτο. Ἔχει δὲ ἡ συγγραφή, καὶ ἃς ἅμα τε εἶδε, καὶ τὰς μὲν κατέῤῥιψεν, ὅσας οὐκ ἐχρῆν ἵστασθαι, τὰς δὲ ἀφῆκεν ἑστάναι, ὅσαις τὸ συντελεῖν πρὸς ἡμῶν ἦν. Ἀριθμὸν δὲ τούτοις ἐπιστῆσαι, συγγραφικῆς ἔργον λεπτολογίας καὶ ὅλης δέλτου βούλημα. Εἶδον ἡμέραι δύο ποτὲ πέντε πόλεις ἀνδραποδισάμενον τὸν πολὺν Ἀλέξανδρον. Καὶ τούτων οἷα μὲν τὰς τρεῖς ἐκεῖνος διέθετο, οὐκ ἀκριβοῦσιν οἱ τὰ τοιαῦτα

φιλοπονησάμενοι. Αἵ γε μὴν λοιπαὶ δύο τοὺς σφῶν πολίτας ἄρδην ἀνῃρημένους ἔκλαυσαν. Καὶ οὐκ οἶδα μὲν εἰπεῖν πρὸς ἀκρίβειαν, ἐφ' ὅτῳ κακῷ προϋπάρξαντι· οὐκ ἔχω δὲ μὴ ἀπόρως ἔχειν, τί ποτ' ἂν ἦν ἐκεῖνο μέγα, ὃ τοσούτοις ἀνδράσι βασιλείαν ἐζημίωκεν. Ἐνταῦθα δὲ καὶ τὰ τρόπαια οὐδὲν ἐλάττω, καὶ τὸ ἁλισκόμενον ἐσώζετο, καὶ περιεποιεῖτο εἰς εὐχρηστούμενον· ἵνα καὶ οὕτω, καθὰ καὶ ἀνόπιν ὁ λόγος ὀρθῇ κρίσει ἐζυγοστάτει, τὸ θεῖον ἐπαύξηται τάλαντον. Οἳ πῶς οὐκ ἂν τοῦ λοιποῦ ὑπὲρ τῆς Ῥωμαίων γῆς πρόοιντο καὶ τὴν ζωήν, ἄνθρωποι θανάτῳ μὲν περιτετυχηκότες, πεφιλοτιμημένοι δὲ τὰς ψυχὰς πρὸς τοῦ αὐτοκράτορος, πρὸς δὲ καὶ τοῖς εἰς βίον ἀρκοῦσι καταντλούμενοι δαψιλῶς; Οἷς καὶ ἄλλως ἀρκοῦν, πρὸς μάχης ἐρεθισμὸν τὸ ἐν πολέμοις οὐ μόνον ἐκβοᾶσθαι πρὸς τοῦ βασιλέως τὰ εἰς τὸν Ἐνυάλιον διεγερτήρια, ἀλλὰ καὶ αὐτὸν προθέειν τῶν ἄλλων εἰς ἔργον, καὶ προαρπάζειν τὸν στέφανον.

66. Ἦν γὰρ τῷ ὄντι παραθῆξαι μὲν εἰς μάχην λόγοις Τυρταίου ῥητορεία, ἢ Τιμοθέου πρὸς μέλος ἅρμοσις, ὧν ὁ μὲν ᾄδεται τοῖος εἶναι εἰς πόλεμον ὀτρύναι, ὡς δεξιῶς ἔχειν ἐρεθίσαι εἰς θάνατον· Τιμόθεος δὲ τὸν πολὺν Ἀλέξανδρον ᾄδων ποτὲ εἰς θυμὸν ἐκμῆναι Ἀρεϊκόν, καὶ πεῖσαι, πρὸς ὅπλα δραμεῖν, ὡς εἰ καὶ πόλεμος ἐνίστατο· προθυμηθῆναι δὲ εἰς ἔργον, ἀστραπῆς ἔχων ἔξαλμα, ἔργου δὲ γενέσθαι πῦρ, ὕλης δραττόμενον. Καὶ ἔστι καὶ ταῦτα τῶν οὐκ οἶδ' οἷς ἀγνώστων. Ναὶ γὰρ εἰς ἀνδρίαν κραταιοῦσθαι τὸν ὑμνούμενον, ἔκδηλον, ὅσοις καὶ αὐτοκράτωρ ἔγνωστο (ὅσον γὰρ τῆς γῆς — ἦν δὲ τὸ ἅπαν τοῦ οἰκουμένου τμήματος αὐτῆς —, οἶδε θάτερον, οἶδε καὶ τὸ λοιπόν), βασιλεὺς πανταχοῦ γῆς περιᾳδόμενος καὶ ἀνδρεῖος οὐκ ἔστιν ὅπου μὴ τῆς οἰκησίμου γῆς. Ἐνταῦθα τίς ἂν ἔχοι ἑαυτὸν ἀπασχολῆσαι τοῖς ἀνδραγαθήμασι, καιρῷ βραχεῖ μετρούμενος; Βίβλοι ὅλαι καὶ ταῦτα. Βιβλιογραφεῖν δὲ νῦν τίς ἂν αἰτήσειεν ἢ ἀπαιτήσειεν;

67. Ἀναμνηστέον τοῦ μεγάλου ἐκείνου πολέμου, ἐν ᾧ μόνος ἁπάντων ὥσπερ βασιλεύων ὑπερεῖχεν, οὕτω καὶ ἀνδραγαθιζόμενος, ἑαυτόν τε σώζων ἐξ οὕτω μεγάλου μαχίμου κλύδωνος, καὶ τοὺς λοιποὺς εἰς ἑαυτὸν κατακολπίζων || [Ms. fol. 175. b.] ὡς εἰς λιμένα σωτήριον. Ἑρμῇ μὲν οὖν εἰκάσαι τὸν ἀποστολικοῖς λόγοις ἐλλαμπόμενον τοῦ σωτῆρος Χριστοῦ μαθητὴν ἐπιτυχῶς ἔσχεν, οὐ διὰ τὸ πάνυ μέγα τοῦ τῆς εἰκόνος ἀφομοιώματος, ἀλλ' ὅτι μὴ καὶ ἐπὶ πλέον ὁ Ἕλλην εἶχεν ἐμβαθύνων σεμνύνειν τὸν ἀπόστολον. Τὸ δὲ βάρβαρον τότε τὴν Ἑλληνικὴν σοφίαν ὑπεραναβέβη, καὶ θειοτέραν ἐσχημάτιζε παρ' ἑαυτῷ ἔννοιαν, καὶ ἀγγέλου τόπῳ τὸν αὐτοκράτορα προσεβίβαζε, καὶ ἔτι ἑτέρᾳ κρείττονι φύσει, ὡς ἀσύμμετρον ὄν, ἀνθρωπίνοις ἔργοις παραβαλεῖν τὰ φαινόμενα.

68. Καὶ οὐδ' ἐνταῦθα πλεῖον ἡμῖν ἔστι διατρίβειν, ἀλλ' ἢ ἐς ὅσον ἀνακινῆσαι τοῖς ἀκροωμένοις τὴν μνήμην, οὐδὲ ἄλλως καθεύδουσαν. Οὐδεὶς γὰρ οὕτως ὑπνηλός, ὡς ἀπολέσαι τὴν ἐν τούτοις ἐγρήγορσιν. Ἀλλὰ τότε μὲν ἀκμαῖος ἦν τὴν ῥώμην, καὶ ἔργα μέγιστα μέν, ἀπὸ σώματος δ' ἐκεῖνα εὐτόνου καὶ τῆς στοιχειακῆς κράσεως εὖ ἔχοντος· τὰ δὲ εἰσέτι ἔναγχος, οἷς ἡ τοῦ Κλαυδίου γραῦς πόλις ἐνεκαλλωπίσατο, ἄλλο τοῦτο θαῦμα, ὅτι καὶ στρατηγοῦ ἔργα ἐκεῖνα οὐκ εὐθηνουμένου εἰς εὐεξίαν, ἀλλ' οἵου ἀξίως ἔχειν, τημελεῖσθαι καὶ νοσοκομεῖν ἑαυτόν, καὶ ἀνακαλεῖσθαι τὸ τῆς ὑγιείας ἀπελθόν· ὅτε καὶ ἦν ἀγὼν φύσεώς τε καὶ σπουδῆς· τῆς μὲν οἷον ὑπολαλούσης φείδεσθαι ἑαυτοῦ, τῆς δὲ θνήσκειν ὑπὲρ τοῦ κοινοῦ. Καὶ ἦν τὸ πλεῖον ἐνταῦθα, καὶ ἡ σπουδὴ ἐξενίκα τὴν φύσιν. Καὶ ἡ μὲν νοσήλιος κλίνη ἀφίετο εἰς θαῦμα τοῖς βλέπουσιν, ἵππος δὲ τὸν αὐτοκράτορα ἔφερεν οὐ γυμναστήριος, οὗ καὶ μόνου χρεία ἦν ἀνδρὶ οὕτω καταπόνῳ, ἀλλὰ μάχιμον φρυαττόμενος, καὶ διατινάσσων τὸν ἐπιβάτην εἰς ἐναγώνιον· καὶ προέθεε τῶν λοιπῶν καὶ πάλιν ὁ στρατηγὸς αὐτοκράτωρ ἀνδρίαν πνέων, ὡς εἴπερ οὐκ ἀπὸ νοσηλείας, ἀλλὰ μακρᾶς ἀναπαύσεως ἤλαυνε· καὶ μανθάνων χερσὶν ὀλίγαις πρὸς μυριόχειρας ἀρτύειν τὴν ἔφοδον, ἐπὶ μᾶλλον εἰς προθυμίαν προέκοπτε, τὸ εἰς θεὸν προβεβλημένος θάρσος· ᾧ συζυγοῦν καὶ τὸ μέγος τὸν ὑπὲρ ἡμῶν φόρτον συνδιέφερε. Καὶ τοίνυν ἤνυσται προσβολῇ πρώτῃ, ὅ τις οὐδὲ ἐπὶ νοῦν ἔλαβεν ἄν, πτῶσις τῶν θαῤῥησάντων τὸ τῆς μάχης ἀντιπρόσωπον, φυγὴ τῶν ὅσοι προμηθέστερον ἴσχον τοῦ ζῆν, εἰς πολλὰς μὲν χιλιοστύας κορυφούμενοι, κολοβωθέντες δὲ τῷ πλείονι τῆς στρατιᾶς.

69. Ταῦτα εἰς διάνοιαν ἀνασκάλλοντες, καὶ ὅσα τῇ συστοιχίᾳ ταύτῃ σύνθετα, οὐκ ἔχομεν ὅπως οὐ διὰ μακροῦ πενθεῖν· καὶ τὸν τάφον περιϊστάμενοι, τὸν τοσούτου καλυπτῆρα καλοῦ, ἐξαγόμεθα καὶ πρὸς οἴκτους οἱ παραμυθεῖσθαι καὶ ἑτέρους ὀφειλέται ὄντες. Καὶ αὖ, φαμεν, ὅποι κατήντησας, τὸ κοινὸν ἡμῖν ἀγαθόν; Ὅποι πρὸς αἴσθησιν περιγέγραψαι, ὁ καὶ πληρῶν τὰ πάντα θαύματος, οἷς ἠνδραγαθίζου, καὶ πληρώσων εἰσέπειτα; Ἕως εἴη δὲ θεὸς ἐπινεύων τοῖς λόγοις, ὁ καλὸς λεοντιδὴς βασιλεὺς κραταιωθῇ τοὺς ὄνυχας, ὡς καὶ ἐμπείρειν ἔχειν τοῖς καθ' ἡμῶν ὀργῶσι θηρίοις. Τέως γὰρ βρυχηθμῷ διοικονομεῖται τὰ τοιαῦτα βασιλικῷ καὶ σταθεραῖς ἐπαγγελίαις τοῦ μέλλοντος.

70. Καὶ μὴν ἡ κοινωνός σοι καὶ βίου καὶ βασιλείας, καὶ συνέσεως ἄκρας μέτοχος, καὶ (τὸ πᾶν

συντελεῖν) βασιλεῖ οὕτω μεγάλῳ εἰς συμβίωσιν ἐπιπρέπουσα, καὶ συμπάρεστι τῷ νέῳ αὐτοκράτορι, καὶ πάντα οἶδεν, οἷς οἰκουμένη κατορθοῦται, τῆς σῆς ἀποναμένη καὶ μαθέσεως καὶ μιμήσεως· καὶ τὰ διδασκάλια ἔργοις προϊσχομένη, οὐκ ἂν ἔχοι, μὴ οὐκ εἰς τὸ πᾶν κατευστοιχεῖν τοῦ κοινωφελοῦς. Ἀλλ' ἡμεῖς καὶ νοῦν μὲν βασιλικὸν ἐθέλομεν καὶ τὰ ἐκεῖθεν ἀγαθά· ποθοῦμεν Mo. fol. 176. a. δὲ καὶ ὁπλίτην || κατὰ σέ, καὶ χεῖρας οὕτω γενναίας, καὶ Ἀρεϊκὸν ἀτένισμα πρὸς τὸ ἀντίμαχον, καὶ ἀνδρῶδες ἔξαλμα, καὶ χύσιν αἱμάτων, οἷς ἀνοίγει τὸ ῥεῦμα σίδηρος, χερσὶ βασιλικαῖς εὐθυνόμενος.

71. Ἔδυς, ὦ μέγιστε βασιλεῦ ἥλιε. Καὶ νῦν μὲν ἡ σὴ σελήνη φωσφορεῖ τοῖς περὶ γῆν, μέλαινα μὲν τῷ τε πενθίμῳ ζόφῳ καὶ τῷ προφαινομένῳ δέ, καλὸν δὲ καὶ φεραυγὲς ἀπαστράπτουσα τοῖς βασιλείοις ἐνθέοις κάλλεσι. Καὶ φωσφορήσοι δὲ οὐ κατὰ τοὺς ὀψὲ δύοντας, ἀλλ' εἰς ἄδυτον, εἴπερ ἔστιν εὔξασθαι. Δοίη δὲ θεός. καὶ τὸν ἥλιον τοῦτον ἐλθεῖν εἰς ὅσον μήκιστον, καὶ τὸ καλὸν ἡμῖν οὕτω πληθυνθῆναι, καὶ ὑπὸ φωτὶ διάγειν ἑκατέρωθεν, ὃ διαδοχὴν οὐκοῦν ἑτέραν οἶδεν, ἢ τὴν εὐτακτουμένην ἐκ φύσεως.

72. Ὦ τάφος, τὸ τῆς φύσεως ἀπάνθισμα κρύψας, ὦ τὸ τῆς φρονήσεως πλάτος συστείλας, ὦ συγκλείσας τὸν ἀεικίνητον· οὐκ ἔδει τοιαύτην τῷ βασιλεῖ ἀποτελευτηθῆναι αὐτῶν μακρῶν πόνων ἀνάπαυλαν. Ἔδει τοὺς μακροὺς καμάτους παύσαντα καθ' ἡσυχίαν μεῖναι, καὶ τοὺς ἱδρῶτας ἀποψήσασθαι, καὶ βίον διατελέσαι ῥᾴονα, εἶτα καὶ εἰς τὴν ἔμφρονα ῥᾳστώνην καὶ ἄλυπον μετατάξασθαι. Ὁ δὲ χθές που τὰ πολέμια παγκρατιάζων, καὶ τοσοῦτον ἀνεθείς, ἐφ' ὅσον στεφανώσασθαι, ἀφῆκε μὲν τὰς περὶ γῆν στρατιὰς καὶ δυνάμεις, τῶν δὲ ἀνωτάτω γέγονεν.

73. Ὦ κράτιστε βασιλεῦ, ὦ κάλλιστε μὲν προφανῆναι, ἄριστε δὲ πρᾶξαι, εἰπεῖν δὲ ἥδιστε· τί δή ποτε ἀποκρυψάμενος, τοιαῦτα καλὰ συναπέκρυψας; Σεπτὸς ὁ κατὰ σὲ τάφος, τοιοῦτον ἔσω κρύπτων ἄνδρα, οὗ μηδὲ πᾶς ὁ καθ' ἡμᾶς κόσμος ἀντάξιος. Πικρὸς ὁ τάφος οὗτος, τοιαύτην ἀπαγαγὼν ἐξ ἁπάντων γλυκύτητα. Ἤδη τὶς ἰδὼν ὡς ἐπὶ σίμβλον δραμεῖται τοῦτον, τρυγήσων τοῦ ἔνδον μέλιτος· ἀπελεύσεται δὲ χολὴν σπάσας, πικρίας καὶ θλίψεως κέντρῳ νυγείς· καὶ ψωμιεῖται δάκρυα. Τοῖς δ' αὐτοῖς οὐκ ἐν μέτρῳ καὶ ποτιεῖ ἑαυτόν. Ὦ λίθος οὗτος τάφου, τὸν παντάρβην ἔσω λίθον κρυψάμενος.

74. Ἦν γὰρ ἀληθῶς τοῖς ἐχθροῖς συντρέχον ἰδεῖν ἅμα τοῦτον, καὶ ταρβῆσαι, καὶ τραπέσθαι εἰς φυγήν, ἐφιεμένην ἀεὶ τῶν ἔμπροσθεν· εἰ δὲ καὶ πίπτειν, ἀλλὰ τοῦτο χειρὸς βασιλικῆς ἔργον, δρυοτομούσης, ὡς ἐν ἀξίναις λόχμην, τὸ τῆς βαρβαρικῆς στρατιᾶς ἐν πυκνότητι λάσιον· οἳ καὶ βραχύ τι ἀναψύχοντες ἑαυτοὺς ἄρτι, καὶ βουλῶν καὶ τραυμάτων ἀπηλλαγμένοι, ὧν εἰς βάθος ἐντετηκυίας τὰς οὐλὰς φέρουσιν, ὅμως οὔ τι που διὰ τέλους χαίρουσι. Παραιρεῖται δ' αὐτοῖς τὰ τοῦ χάρματος τὸ πολὺ καὶ ἐκπλῆττον τοῦ θαύματος, προσέτι μὴν καὶ ἡ τοῦ ἀρχετύπου ἀπέλευσις, πρὸς ὅπερ αὐτοὶ τοὺς ἐν σφίσιν αὐχοῖς ἐθνάρχας ἤθελον γράφεσθαι. Ἤρεσκε γὰρ ἑκάστοις γνωματεύειν. Καὶ καλῶς ἄρα εἶχε τὸ γνωμάτευμα, ὡς, εἴπερ τοιοῦτος αὐτοῖς ἐφίστατο στρατηγός, οὐκ ἂν ἔπασχον οὕτω τὰ πάνδεινα· πᾶσαν δὲ ἂν μάχην ἐκράτουν, καὶ τὸ ἀήττητον ἐπεγράφοντο. Συνενοοῦντο γάρ, ὡς οὐ συστέλλων ὁ αὐτοκράτωρ τὼ χεῖρε, καὶ εἰς τὸ ἀπρᾶγμον καταλύων, διῳκεῖτο τὰ τῆς ἀρχῆς· τὰ πλείω δὲ κινδύνοις ἐπιτολμῶν, καὶ βριαρότητα προφαίνων χειρῶν, καὶ νίκαις παρασπιζόμενος. Καὶ μὴν ἤθελε πολλάκις τὸ τοῦ πολέμου στόμα ἐγχανεῖν καὶ αὐτῷ πρὸς θάνατον καὶ φιλόνεικος ἦν, ἐπαληθεῦσαι κἀνταῦθα, ὡς ἄρα ὁ πόλεμος ἐν ἀνδράσι τὸ κρεῖττον ἀεὶ ἐπιλέγδην αἱρεῖται. Κίνδυνοι γοῦν ἐν ποταμοῖς, κίνδυνοι ἐν ἐφόδοις, κίνδυνοι ἐν λό||χοις, πλείονες ἐν σταδίᾳ μάχῃ, οὐκ ὀλίγοι ἐν πολιορκίαις· καὶ ὡς ἐν συναιρέσει φάναι, μυριαχοῦ κίνδυνοι, εἰς ἓν τῷ θανάτῳ φρονοῦντες. Mo. fol. 176. b.

75. Ἐπεὶ δὲ οὐκ ἔπρεπε, τοιαύτης φύσεως κατακαυχήσασθαι σίδηρον, μηδὲ πεσεῖν αἵματι πεφυρμένον τὸν πολλὰ τῶν ἀλλοφύλων χέαντα, ἵνα μὴ καί τις τῶν βαρβάρων ἄρτι τὰ ἔργα τάδε γενέσθαι σκώψειε, πίπτει κατὰ φύσιν, μηδενὶ τῶν ἁπάντων κατ' αὐτοῦ δοὺς ἐναβρύνασθαι ὁ εἰςαεὶ νικητής, καὶ ὑπνοῖ τὸν μακρὸν μέν, μακαρίως δὲ αὖθις ἐγέρσιμον· ἀοίδιμος μὲν τοῦ πρώην βίου, ἀοίδιμος δὲ εἰςέτι πλέον τοῦ πρὸς τῷ τέλει, ὅτι καὶ βασιλείας ἐκεῖνος αὐτὸν ἐπεβίβασεν, ἧς ἐξαίσιον τὸ ἀτελεύτητον.

76. Τίς δὲ οὐκ ἂν ἐνταῦθα κρινεῖ πρὸς θαύματος, ὅτι καὶ τὸν βίον ἤδη ἀπομετρῶν, καὶ πρός τε τῆς ἐν τῇ θνητότητι φύσεως, εἰ καὶ μήπω ἔδει τὸν τηλικοῦτον, πρός τε τῆς ἄνωθεν κλήσεως διχαζόμενος, καὶ τὸ σῶμα μὲν ἀνάγκην ἔχων παρατιθέναι τῇ γῇ, τῇ δὲ ψυχῇ ἀναβαίνειν πρὸς τὸν ὕψιστον, ὤκνει μὴ εὐγενῶς ἀναλῦσαι, ἀλλ' ἐπὶ τέλους ταπεινὸν καὶ τοῖς φθάσασιν ἀσύντροχόν τι παθεῖν; Μάχη μὲν οὖν ἅπασα ὑπερόριος ἐλήλατο· κατήπειγε δὲ οὐδ' ἄλλο οὐδέν, ὅ τι τῶν ἁπάντων, εἰς πόνον μείζονα. Θήρας τοίνυν νεανικοὺς ἐξέριπτε, τὸ τοῦ Ἡρακλέους τοῦτο σεμνόν, ὑποκοριζόμενος μάχην ταύτην, ὡς ἐν γυμνάσματι. Τοῦ βαδιστικοῦ δὲ τόνου ὑπενδιδόντος, κατὰ συχνὰς αὖθις ἀναπαύλας ἐγίνετο τοῦτο. Καὶ ἡ νόσος μὲν ἡσυχάζειν

προὐτρέπετο, ἡ δὲ χεὶρ τῶν γενναίων ἔργων οὐκ ἀπείχετο· καί πως αἰδὼς αὐτὸν περιέτρεχεν, εὑρεθῆναι μὴ εἰς τὸ πᾶν ἐγρηγορότα, ὅτε κληθῆναι δεήσειε.

77. Καὶ τοίνυν τὸ τοῖς ἅπασιν εὐκταῖον, οἷς μέτεστι τοῦ πρὸς ὀρθὸν φρονήσεως ἵστασθαι, ἐξήρκεσε μέχρι καὶ εἰς τέλος τοῦ ἀπεληλυθέναι εἰς τὸν πεποθημένον θεόν, ἑαυτοῦ ὢν εἰς τὸ πάντη τέλειον· στέλλων πρεσβείας· ἐπιστέλλων, ὅποι ἐχρῆν· χρηματίζων τοῖς μυριαχόθεν πρέσβεσι· δημηγορῶν ἐμβριθῶς, ἃ δή τις ὀνομάσοι ἄν, ἀπὸ κλίνης βασιλικῆς, καιριώτερον παροιμιάζεσθαι θέλων, ἥπερ τὰ ἀπὸ κηπαίας λεγόμενα· ἀπομνημονεύων καὶ ἀνελίττων σπουδαίας πράξεις, τὰς μέν, ἃς νοῦς βασιλικὸς ἐκείνου προεβάλετο, τὰς δὲ παλαιάς, αἷς παραδειγματικῶς τὰς ἑαυτοῦ παρέβαλλε· διαιτῶν ὑποθέσεσι, δι' ὧν ἀπευθύνονται πόλεις· διδάσκων, ἅτε δὴ καὶ ἀνὴρ ἀποστολικός, εἴ που διδασκάλιόν τι ἀπορηθείη· ἐν δικαιώμασι θεοῦ ἀδολεσχῶν μετὰ τοῦ Δαυΐδ· θεολογίαις ἐμβαθύνων λεπτῷ λογισμῷ καὶ θυμῷ, καὶ ὀλίγα μετέχοντι σώματος· τάσσων ἐμφρόνως τὰ κατ' αὐτόν· ἐπιτάσσων μεγαλοφυῶς τὰ μετ' αὐτόν· εἰς τέλος προάγων, ἃ μὴ φθάσας εὐεργετικῶς εἰς ἐντελὲς ἤγαγε· δημοσίᾳ τε καὶ κατ' ἄνδρας ἀξίαις ἐμβιβάζων· πλούτους ἐπιβρέχων τοῖς ὅσα καὶ γῆ διψῶσα ἐπιδεομένοις· χρυσᾶς ἐπιτιθεὶς κορωνίδας ἱκετηρίοις γράμμασι, σφραγίζων, ἐπισφραγίζων, τὰ μὲν ἐκ καινῆς, τὰ δ' εἰς πλεῖον στερέωμα, ἐν οἷς καὶ ἡ τῶν ἐκκλησιῶν φροντὶς καὶ προμήθεια, ἣν ἀγχοῦ που ἡμερῶν ἡ τῶν ἐκκλησιῶν κορυφαία ἐκρότει περισαλπιγχθεῖσαν ἐξάκουστα· τὸ πᾶν εἰπεῖν, θεμελίους ὑφιστῶν στερεοὺς τῷ τὴν οἰκουμενικὴν οἰκοδομὴν διαδεξομένῳ υἱῷ βασιλεῖ· ὃς ἅμα ἦν ὅτε σπαργάνοις περιειλίχθη, καὶ ἅμα διαδήματι περιελήφθη, καὶ στέμ || [Mc. fol. 177. a.] ματι βρεφόθεν ὡραΐσθη βασιλικῷ, ἵνα διαπαντὸς ὢν βασιλεύς, συνδιϊκνούμενον φέρῃ ταῖς ἡλικίαις ἁπάσαις τὸ τοῖς βασιλεῦσι πρέπον εὐεργετικόν, καὶ συνεπαυξάνοι τὸ ἔνθεον, καὶ τὸν μέγαν βασιλέα καὶ παῖδα εἰς ἄνδρα τελειώσειε μέγιστον, βασιλεύτατον· ὅπερ καὶ εὐαγγελίζεται ἡμῖν τεκμήρια παραφαῖνον, οἷς οὐκ ἔστι λύεσθαι ἢ ἐκπίπτειν εἰς τὸ δυστέκμαρτον.

78. Ἀλλὰ ταῦτα μέν μοι ἡ ἐν λόγῳ θερμότης ἔξω τοῦ προκειμένου παρέθετο. Ἐκεῖνος δὲ ἀλλ' ἐπεὶ πάντα πέρας αὐτῷ εὗρε τὰ κρείττω, καὶ εἰπεῖν ἔσχε καὶ αὐτός, ὡς ἤδη τετέλεσται, καὶ ἃ μὲν κατὰ σκοπὸν καὶ τὸ βιώσιμον δέ, ἀποῤῥιπτεῖ μὲν τὸ ἔμβιον, γίνεται δὲ τοῦ ἀβίου. Καὶ χρυσὸς μὲν ἡλίου ἀντίμιμος, καὶ μάργαρος ὑποκρινόμενος φῶς, καὶ λίθοι πυραυγεῖς, καὶ ὅσοι κάλλος ἅπαν ἀνθέων παρευδοκιμοῦσι, λογίζονται ὡσεὶ οὐδέν. Ἐπικρίνεται δὲ τὸ νύκτερον ἄμφιον, ὃ τὴν εἰσέπειτα ἡμέραν εὐαγγελίζεται, ἧς εἰ μὲν ὄρθρος προηγήσεται, λόγον ἂν ἔχοι· νυκτὸς δὲ οὐκ ἂν εἴη διαδοχή. Καὶ συμβόλῳ τοιούτῳ δεδωκὼς ἑαυτόν, ἀπολέγεται μὲν τὴν ὑψηλὴν καὶ τρυφερὰν σειβάδα· ῥίπας δὲ ὑποστορεσθῆναι θελήσας, τυγχάνει τοῦ ἐφετοῦ. Καὶ στρωμνὴν ἐσχάτην ταύτην ἑαυτῷ τίθεται ὁ πολλάκις ὅμοια πεπονθώς, οἷς ὑπὲρ ἡμῶν ἐνήθλει· καὶ καταβὰς τὴν ἐν ταπεινώσει ταύτην κατάβασιν, ἀναβέβηκεν, οὗπερ ἀνωτέρω οὐ θέμις ἀνελθεῖν ἄνθρωπον. Καὶ φιλοσοφήσας, ὅσα ψυχὴ καθαρὰ καὶ θεοειδής, μονάζουσα σώματος, καὶ ἐπιγνώμων γενόμενος τῆς ἀναλύσεως, καὶ εἰπὼν ἡσυχῇ, καὶ ἀκούσας πρὸς τῶν ἔγγιστα, ὅσα ἐχρῆν, ἀπελύθη τοῦ δεσμοῦ· μᾶλλον μὲν οὖν ἀληθῶς ἐκδεδήμηκε, συνταξάμενος, ὃ δὴ μακαριώτατον ἀληθῶς, καὶ ἀνθρώποις γε οὖσιν ἡμῖν ἅπασιν εὐκταιότατον. Κεῖσθαι μὲν γὰρ ἐμπνέοντα, καὶ σιωπῇ κατάσχετον, καὶ οὐδὲ φρονεῖν εἰδότα, τοῦτο θνήσκειν ἂν ῥηθείη ἀληθῶς· μεταστῆσαι δὲ λαλοῦντα, ὧν μεμνήσεταί τις εἰς ἀγαθόν, καὶ σῶα φρονοῦντα, τοῦτο δὲ ἀποδημία λέγοιτ' ἂν μάλιστα, καὶ αὕτη μακαριστέα. Εἰ δὲ καὶ θάνατος, ἀλλ' οὗτος οὐδέν τι τοῦ νοεροῦ παρακερδήσας, οὐδὲ τοῦ τῆς ζωῆς καιροῦ νοσφισάμενος, οὔτε μὴν κατακλείσας τὸ φρονοῦν εἰς ἄπρακτον, καὶ τῷ οἰκοδεσποτοῦντι λογισμῷ ἐπιβουλευσάμενος, ἀπελθόντος δὲ τῷ οἰκίσκῳ καταμόνας ἐπιθέμενος, καὶ κατὰ ἑαυτοῦ δεδρακώς.

79. Καὶ οὕτως ὁ μὲν βασιλεὺς εὐλογίαν τὴν ἐκ θεοῦ λελοιπὼς τῇ τε ὁμοζύγῳ δεσποίνῃ, καὶ τῷ βασιλεῖ τέκνῳ, καὶ τοῖς ἄλλοις δέ, ὅσοι τὸ ἱερὸν περιΐσταντο σκήνωμα, συνῆπτο τοῖς ἀνωτάτω τάγμασι, καὶ τῷ παμβασιλεῖ παρέστη θεῷ, οὗ πρὸς θεραπείαν ἀεὶ τὴν βασιλείαν ἀπεύθυνεν. Ἡ δὲ πόλις — οὐκ ἂν εἴπες οἴκησιν αὐτὴν ἀνθρώπων εἶναι φωνὴν ἐχόντων· ἀλλ' ἤθελον μηκέτ' εἶναι. Καὶ τοῦ θεμελίου ὑποσπασθέντος, καὶ αὐτοὶ συγκατέπιπτον· καὶ τὸ τοῦ βίου φῶς ἀπολωλεκότες, τὴν ἐντὸς ἐκτὸς ὑπέφαινον μέλανσιν, ζοφώσαντες ἑαυτούς, καὶ τῷ τοιούτῳ νέφει ὁμόλογον ὑετόν, τὸ δαψιλὲς δάκρυ, κατάγοντες. Κἂν ἐξέλιπον εἰς τὸ παντελές, εἰ μὴ τὸν τοῦ θεμελίου τόπον ἐκεῖνον ἀρτιωθέντα εἶδον, τοὺς βασιλεῖς ἡμῶν, τὴν θειοτάτην κορυφήν, οἳ τὴν τοῦ κράτους ὀροφὴν ἡμῖν ὑπατέχουσιν. Οὓς καὶ εἴη συντηρῶν παγίως βεβηκότας ὁ μέγας οἰκοδόμος θεός, ὁ μὴ μόνον πόλεις οἰκοδομῶν, ἃς εἰ μὴ φυλάξει αὐτός, εἰς μάτην ἀγρυπνηθήσεται ἡ φυλακή· ἀλλὰ καὶ πηλοποιΐαν πλάττων εἰς τὸ στερέμνιον, καὶ οἴκους οὕτως οἰκο || [Mc. fol. 177. b.] δομῶν, τούς τε ἄλλους τοὺς ἐν ἀνθρώποις, καὶ μάλιστα τοὺς μεγίστους, οἳ πρὸς ἀλεωρὴν παντὸς κακοῦ τοῦ ἐν κόσμῳ

ἀνῳκοδόμηνται (τοὺς βασιλεῖς λέγω, ἐν οἷς τὸ κορυφαῖον), οἱ καθ' ἡμᾶς, ὧν τῆς εὐεργεσίας ἐξ αὐτῶν ἤδη βαλβίδων τοῦ τῆς αὐτοκρατορίας δρόμου ἀνεπιμπλάμεθα. Λαβόντων μὲν ἐκεῖθεν τὸ τοῦ παντὸς ἐνδόσιμον, προςεπαυξανόντων δὲ καὶ ἐπὶ πλέον τὸ ἐξομοιοῦν θεῷ τῆς εὐεργεσίας τάλαντον· ὃ δὴ αὐτοῖς ἐκεῖνος ὡς ἀγαθοῖς οἰκονόμοις παρέθετο, θέλων ἐπιπλέον χεθῆναι τὸ ἀγαθὸν κατὰ θείαν μίμησιν, καὶ εἶναι πλείω τὰ εὐεργετούμενα, καί γε τὰ εὐεργετήματα.

80. Ὠσιωσαίμην τὸν λόγον, ὦ μακαριστὲ βασιλεῦ, εἰς ὅσον ἐπεμέτρει καιρός. Εἰπεῖν γάρ, εἰς ὅσον καὶ δύναμις, οὐκ ἂν ἀληθὲς ἀπελεγχθείη μοι, ἐνδαψιλευσαμένῳ καὶ χρόνον ἐοικότα καὶ τὸ τῆς ἀδείας καλόν. Ἀπέστω δὲ νέμεσις.

Τοῦ αὐτοῦ Εὐσταθίου Θεσσαλονίκης ἐπίσκεψις βίου μοναχικοῦ ἐπὶ διορθώσει τῶν περὶ αὐτόν

1. Ὦ ἀκριβεῖς μοναχοί· ὦ ἀληθεῖς Ναζιραῖοι· ὦ ἀναχωρηταί· ὦ τὴν τύρβην μὲν λιπόντες καὶ τὸν κατὰ βίον ἀγῶνα, τῆς γωνίας δὲ διὰ τὸν θεὸν γενόμενοι· καὶ κόσμου μὲν ἀπαναστάντες, θεῷ δὲ προςχωρήσαντες, καὶ τῇ καταμόνας ἡσυχίᾳ πράξεσι θεαρέστοις ἐγγυμνασάμενοι πρὸς ἐντέλειαν, καὶ τῇ θεωρίᾳ ἐπαναβάντες εἰς τὸ ἀγχίθεον καὶ οὕτως ἰσάγγελον· καὶ τὴν μὲν κάτω δουλείαν ἀπειπάμενοι, καὶ τὸν τῆς κακίας οὕτως ἄρχοντα διεκφυγόντες εὐλογητοὶ δραπέται, τῷ δὲ ὄντως ἐλευθερωτῇ δεσπότῃ προςδραμόντες, καὶ τῶν γηΐνων ἀλλαξάμενοι τὰ οὐράνια· ὦ τοίνυν ὑμεῖς ὅσιοι τῷ θεῷ, καὶ ἀντὶ κοσμοπολιτῶν οὐρανοπολῖται, ἀκούσατέ μου εὐμενῶς, προθεμένου λαλῆσαι πρὸς τοὺς ἐν τοῖς καθ' ἡμᾶς ἀνομοίους τῇ ἐν ὑμῖν πολιτείᾳ, καὶ ἐγκράξαι αὐτοῖς ἀποπλανωμένοις τῆς τρίβου, ἣν ὑμεῖς εἵλεσθε· καί μοι συνάρασθε τῆς προθέσεως, εἴ πως βελτιωθεῖεν τῶν τινες περὶ ἐμέ, οἷς οὐδὲ ἀποκρύψομαι τήνδε τὴν λαλιάν, ἀλλ' εἰς ἐμφανὲς ἀναμνήσας, ἢ ἀνακαλέσομαι τῆς ἀβελτερίας, ἢ ἀλλὰ τὸ γοῦν ἐμὸν ἀποπλήσω χρέος, καὶ ἐλέγξω, καὶ ἀνεπιτιμήτως παρακαλέσω (ἐπιτιμᾷν γὰρ αὐτοῖς οὐκ ἔστιν), ὡς οὐδὲ τοῖς πλημμελῶς πεπληγόσιν εἰς βάθος ἐπισπάσαι ῥίζας πικράς, ἢ δριμέα προςπλάσαι φάρμακα· καὶ τέως πρό γε τῶν ἄλλων μνήμην αὐτοῖς ἀνακαινίσω τοῦ σκοποῦ, καθ' ὃν ἀπελέξαντο τὴν λαϊκὴν κοινότητα, καὶ τὸ οὕτω κοσμικὸν κοινόβιον· καὶ εἰς ἐνθύμησιν δὲ ἀνακομίσω τῶν ὑποσχέσεων, ἃς τοῦ δευτέρου βίου προκατεβάλοντο ἐπ' αὐτοῦ ἁγιωτάτου ἀρχείου, ἔνθα βασιλεῖ μεγίστῳ τῷ θεῷ ἐπὶ συγκλήτου τῆς κατ' αὐτὸν ἐτάξαντο.

2. Τούτων δὲ προβεβλημένων, τῆς προθέσεως, λέγω, ἣν ἑκάστοις ὁ νοῦς ὠδίνησε, καὶ τῆς ὑποσχέσεως, ἣν ἀπέτεκεν, ἐκφήνας αὐτὰς εἰς γνῶσιν ἐνώπιον ἀνθρώπων, οὓς ὁ καθένα ἤθροισε πανηγυρίσοντας ἐπὶ τῇ αὐτοῦ σωτηρίᾳ, καὶ πρό γε αὐτῶν ἐπὶ θεοῦ, καὶ τῶν αὐτοῦ ἀγγέλων, εἶτα προενέγκωμαι εἰς ἔκθεσιν οὐκ ἀμφιβαλλομένην καὶ τοὺς βίους καὶ τὰς πολιτείας, ὧν γίνονται οἱ || ἔνδαποι μοναχοὶ μετὰ τὴν τοῦ κόσμου ἀπαλλαγήν· ὡς ἄν, εἰ μὲν καλὰ ποιοῦσι, καὶ ὑμῶν τῶν ἁγίων ἄξια, πρὸς οὓς ὡς ἀρχέτυπα θεῖα τυποῦνται καὶ γράφονται, καθὰ πέμπουσι δόκησιν, ἐπευλογήσητε αὐτούς, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν κατευθυνεῖτε, ψαλμικῶς εἰπεῖν, ἐπ' αὐτούς· εἰ δὲ ὡς ἐκλαθόμενοι, ὅτι μονάζουσι, πάντα τἄλλα ποιοῦσιν, ἤπερ τὸ προτεθέν, ἢ οἰκονομήσητε διόρθωσιν τὴν ἐπ' αὐτοῖς, καταργήσαντες, ἃ ἐνεργοῦσιν, ἢ ἀλλὰ πραγματεύσησθε ἡμῖν, θεῷ πρεσβεύοντες, γαλήνην ψυχῆς· ὡς νῦν γε οὐκ ἐν ἀκυμάντῳ καθέσταμεν, οἷς πνεύματα πονηρὰ ταράττουσιν, ὥσα γε καὶ ἡμᾶς βλέπειν, κόλπον σωτήριον, ὃς μόνος τῆς ἐκ θαλάσσης βίου καταίρουσιν ἀκλύστους ὅρμους ἀγκαλιζόμενος ἐγγυᾶται τὰ σώζοντα.

Ms. fol. 118 a.

3. Προκείσθω τοίνυν τοῦ λόγου ἡμῖν, ὅπερ αὐτοὶ προέθεντο, ἡνίκα τὴν ἀρχὴν ἐμελέτησαν γενέσθαι ἀπόβιοι· καὶ οὐ δεήσομαι λόγου μακροῦ ἐνταῦθα, οὐδὲ τρίψω χρόνον, πέρα τοῦ δέοντος ἐμπλατυνόμενος. Ὡς γάρ, ἔπος φάναι, σωτηρία ψυχῆς καὶ πρὸς θεὸν, οὕτως οἰκείωσις ἀπανέστησεν αὐτούς, ἧς πρῴην μετεποιοῦντο, ζωῆς. Αὐτῆς μὲν γὰρ κατέγνων, ἐπέκριναν δὲ τὴν βελτίονα, τὴν ἀποστολικήν, καὶ διὰ τοῦτο ἀγγελικήν· καὶ πρὸς αὐτῇ γενόμενοι, ἐμάκρυναν φυγαδεύοντες, ὡς ἐν ἐρήμῳ αὐλισθησόμενοι, μάλιστα μὲν οὖν ὡς εἰς γῆν ἐπαγγελίας ἀποκαταστησόμενοι· δι' ἣν ὡς θεοῦ καλοῦντος ἐξῆλθον ἐκ τῆς γῆς αὐτῶν καὶ ἐκ τῆς συγγενείας, καὶ ἦλθον εἰς γῆν καὶ βιοτήν, ὁποίαν ὁ θεὸς ὑποδείκνυσι τοῖς τοῦ Ἀβραάμ, καὶ ὅσοι αὐτοῦ εἰσιν ἄξιοι.

4. Καὶ τοιοῦτος μὲν αὐτοῖς ὁ σκοπὸς τῆς μεταναστεύσεως, οὗ χάριν ὁ μὲν καὶ γυναῖκα καὶ τέκνα, ὁ δὲ καὶ περιουσίαν καὶ συρφετὸν ἅπαντα τῆς ἐν βίῳ ἀναστροφῆς, ὁποῖον ἂν εἴποι τις, κοινῶς δὲ πάντες τὸ κατὰ κόσμον θέλημα ἐκλιπόντες, ἑνὸς ἐγένοντο καὶ

μόνου τοῦ κατὰ τὴν ἐκλελεγμένην πρόθεσιν ἢ καὶ στοιχήσαντες, εἶτα καὶ ἅψασθαι μέλλοντες ἔργων, ὅσοις ἐξορθοῦνται εἰς ὁδὸν ἄνθρωποι τοιαῦτα προθέμενοι, οὐχ ἁπλῶς, καὶ ὅπως ἂν τύχοι, καὶ ὡς αὐτοὶ ἐβουλήθησαν, τοῖς θείοις ἔργοις ἐπέβαλον. Ἢ γὰρ ἂν εἶχον ἀπόλογον ὕστερον, ἐφ' οἷς προσέπταισαν, ὡς αὐτοὶ ἐγχειρήσαντες, αὐτοὶ κυρώσαντες, αὐτοὶ ἐναρξάμενοι, μηδενὸς ὑπομνήσαντος, μηδενὸς διδάξαντος, μηδενὸς ὑποδείξαντος τὴν ὁδόν, μηδενὸς ἐμπεδώσαντος, οὐδέν τι καινοπραγοῦσι, τραπόμενοι ἄλλην παρὰ τὴν τῆς προθέσεως, οὐδὲ ὑπόκεινται λογοπραγίᾳ, ἐργωδίαν εὑρηκότες, ἐφ' οἷς ἐσκόπησαν, καὶ ἐνήρξαντο ἀνεπίτακτοι, καὶ δι' αὐτὴν ἀφέμενοι τῶν ἐφεξῆς, καὶ προποδίσαντες μὲν βραχὺ ἐλπίδι τῆς ὁμιλῆς, ἀναποδίσαντες δὲ αὖθις, ὅτι τραχεῖαν ἔτριβον; Οὔκουν ἀπροβουλεύτως ἐνήρξαντο τοῦ μοναχικοῦ βίου, ἀλλὰ σκεψάμενοι, καὶ βουλευσάμενοι, καὶ ἀναμνησθέντες, καὶ διδαχθέντες, καὶ μετὰ παρεγγυήσεων οἱ πλείους καὶ καταθέσεων, κ ὶ αὐτῶν, ὁποῖαι φρίκης γέμουσιν, εἰ καὶ μόνον λέγοιντο· καὶ ὑποκρούσεται αὐτὰς ὁ λόγος προϊών, ἐφ' ὅσον ἔσται ἱκανόν.

5. Οὕτως οὖν ἐχόντων, ὧν καὶ προέθεντο καὶ ὑπέσχοντο ἀμεταθέτως καὶ ἀσφαλῶς οἱ τοιοῦτοι (ἔχουσι δὲ πάντως οὐκ ἄλλως), ἐκθετέον βραχυλογικῶς, ἃ νῦν βλέπομεν ἐπ' αὐτοῖς. Καὶ εἴη μὴ παρεκνεύειν αὐτούς, ἧς ἐκύρωσαν, πολιτείας· ὡς, εἴγε τοῦτο φανείη, ἀνάγκη πάντως, κατορθωθῆναι τοὺς τοιούτους μετὰ τὴν ἐπὶ ἐλέγχων ἔνδειξιν· ἵνα μὴ δύο πλημμελῶσιν ἐκεῖνα φορτικά, μήτε αὐτοὶ γινόμενοι τῆς ὀρθῆς, καὶ τοὺς δυναμένους δὲ προβαίνειν αὐτῇ ἀπάγοντες, οἷς αὐτοὺς τῇ μιμήσει ἐκτρέπονται.

6. Ἀναγκαῖον δὲ ἄρα, πρὶν ἢ καταγράψασθαι τὴν ἐν τοῖς ἄρτι καὶ καθ' ἡμᾶς πλατεῖαν μοναχικὴν βιοτήν, ἐκθέσθαι, οἷα ταξάμενοι τὸν λαϊκὸν βίον μετέθεντο· εἶτα τῇ τοιαύτῃ μεθόδῳ συνεπιπλέξαι, καὶ ἅπερ μετὰ τὴν τύπωσιν || Ms. fol. 178. b. *οὐκ ὀκνοῦσι ποιεῖν· καὶ οὕτω περάναι τὸν λόγον, εἰς ὃ προεθέμεθα.*

7. Μνησόμεθα δὲ πρό γε τῶν ἄλλων εὐλόγως τῆς ἐν τοῖς τοιούτοις ἐξαρχούσης ὁμηγύρεως, τῆς καὶ τελείας καὶ τελειοποιοῦ, ἣν ὁ ὀρθὸς κανὼν ἀπαιτεῖ, ὅσα καὶ θεούς τινας γραφικοὺς τοῖς λοιποῖς ἐπιστατεῖν μικροῦ δεῖν ἅπασι. Τοιοῦτοι δέ εἰσιν οἱ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, οἱ δι' αὐτοῦ ἀληθῶς μεγάλοι, ὡς ἀγγελικοί, κατὰ τὴν κατανυκτικὴν καὶ ἀπαίτησιν, καὶ κατάθεσιν, καὶ μυστικὴν τελείωσιν. Αὐτοὶ γὰρ τὴν γῆν καταποντισάμενοι, μάλιστα μὲν οὖν ἐλαφρισθέντες ἀπ' αὐτῆς πτέρυξι πνεύματος, ὡς εἰς αὐτὸν θεόν, ἐποπτεύειν ἐπιστατικῶς ἔχουσιν, εἴπερ ἐθέλουσιν, ἐξ ὑψωμάτων θείων τὰ κατὰ κόσμον, ἑνὶ καὶ μόνῳ θείῳ τάγματι ἐκχωροῦντες, καὶ ὑπεξιστάμενοι τοῦ θειοτάτου πρεσβείου τῷ ἀρχιερατικῷ, τῶν δὲ ἐφεξῆς ὑπερανεστῶτες τῇ προθέσει καὶ τῷ τυπώματι. Τῶν γὰρ ὑπ' οὐρανὸν θείων κατ' ἀνθρώπους ταγμάτων, ἃ τῶν ὑπερουρανίων δευτερεύουσι, τοὺς μὲν τοῦ πρώτου καὶ μεγίστου τῆς ἡμῶν σωτηρίας ἀρχιερέως ἀντιτύπους, οἳ προσεχῶς τὰ ἐκεῖθεν ἐκμάττονται ἀγαθά, οὐκ ἂν δύναιντο μὴ πρὸς ἐκείνῳ ἀφιέναι εἶναι ἕκαστον, ὡς ἐτάχθησαν. Αὐτοὶ δὲ τῆς ἐφεξῆς τυγχάνουσιν ἐλλάμψεως, ἵνα τριῶν τούτων φώτων, τοῦ ἀσυγκρίτως ὑπὲρ ἥλιον (ὅπερ ἐστὶν ὁ θεός), τοῦ μετὰ τὸ ἀγγελικὸν ἡλιώδους (ὃ παραυγάζει τὸν ἀρχιερέα), καὶ τοῦ, ὡς οὕτως εἰπεῖν, σεληναίου τοῦ κατὰ τὸν μεγαλοσχήμονα μοναχόν, ὕστεροι ἐπανατέλλωσιν οἱ λοιποὶ κατὰ θεὸν πάντες περὶ γῆν ἀστέρες, φωτί τε καταυγάζοντες, καὶ ζωογόνοις ἐνεργείαις θάλποντες τοὺς ταπεινοτέρους ἀνθρώπους, ὅσα καὶ γῆν πίονα εἰς καρπογονίαν· ἧς ἀπαρχαὶ ἀφοσιοῦνται θεῷ καὶ οἱ τοιοῦτοι μοναχοί, καὶ οἱ κατ' αὐτούς, καὶ ἄλλοις δὲ ὑπὲρ αὐτοὺς ἀρχιερεῖς· κατ' αὐτοὺς μὲν διὰ τὴν ἰσοπολιτείαν, ὑπὲρ αὐτοὺς δὲ διὰ τὸ τῆς ἀρχιερωσύνης ὕψιστον· ὅτι καὶ βασίλειον αὐτὸ ἱεράτευμα· δι' οὗ καὶ αὐτοὶ ἐξάπαντος εὐλογοῦνται, ὡς πάντῃ πάντως ἐλάττονες, ὑπὸ μείζονος, εἰ καὶ ἀχθέσονται ἴσως, αὐτὸ ἀκούσαντες, ὡς ἔστι τεκμήρασθαι, ἀφ' ὧν ὡς ἑκάστοτε πειρώμεθα· οὐκ εὐλόγιστοι ἐκεῖνοι ὄντες, ὅτι μηδὲ λόγον ἔχουσιν ἀποδιδόναι τοῦ τοιούτου ἄχθους, εἴ τις αὐτοὺς ἀπαιτήσειεν.

8. Εἰ γὰρ ἅπας ὁ ἐν τοῖς καθ' ἡμᾶς ἁγιασμός, οἷον ἐν τῷ ἁγιωτάτῳ βαπτίσματι, καὶ ὁ ἐν τῇ λοιπῇ κατὰ βίον ἀναστροφῇ τῶν βεβαπτισμένων, καὶ οἱ ἱερατικοὶ βαθμοὶ ἅπαντες, ἤδη δὲ πρὸς ἄλλοις καὶ αὐτὸ τὸ κούρευμα, δι' οὗ οἱ μοναχοὶ τῷ θεῷ καθοσιοῦνται, οὐκ ἄλλως τελεταρχοῦνται, ἀλλὰ τῷ νοουμένῳ μὲν ἐξ ἁγίου πνεύματος, τῷ δὲ βλεπομένῳ ἢ ὑπὸ ἐπισκόπων, ἢ ἀλλὰ ὑπὸ ἱερέων, οὓς οἱ ἐπίσκοποι τοιούτων θεοπραξιῶν προϊστῶσιν ἐργάτας, πῶς ἄν τις τῶν μοναζόντων, οὓς καὶ αὐτοὺς οἱ τοιοῦτοι ἁγιάζουσι μυστηριωδῶς, τολμήσοι ἀντειπεῖν, ὡς οὐχ ὑφίσταται προεστῶτι ἀρχιερεῖ, καὶ ἐλάττων ἐστὶν αὐτοῦ; καὶ οὐ μόνου τοῦ προσεχῶς τελειώσαντος, καὶ οὕτως ἁγιάσαντος, ἀλλὰ παντός, οὑτινοσοῦν κἂν ὕστερον οἱ μὴ βαθυγνώμονες ἐπεγείρωνται ταῖς κεφαλαῖς, καὶ ἀπάγειν αὐτὰς ἐθέλωσι· δοκοῦντες μὲν οἱ τοιοῦτοι κεφαλαὶ εἶναι, τῷ ὄντι δὲ αὐχένες ὄντες ἀκέφαλοι, καὶ οὕτως ἀποκαθιστάμενοι τῇ ἀλαζονείᾳ εἰς χειρῶν πλάσματα, τοῖς αὐτὰ ποιήσασιν ἀντιλέγοντα. Οὐ γὰρ ἐννοοῦσιν, ὅτι πατέρες

μὲν αὐτοὶ διακρίνονται ἀρχιερατικῷ ῥυθμῷ, πατὴρ δὲ πατέρων ὁ ἀρχιερεύς· οὔθ' ὅτι ποιμένες μὲν αὐτοί, Ms. fol. 178. a. ὅτι καὶ ἡγούμενοί ποτε· ἀρχι || ποίμην δὲ ὁ ἀρχιερεύς, ἐπεὶ καὶ ἡγουμένων ὕπερθεν ἔλαχεν εἶναι, ὁ καὶ ἐπισκόπων ἐπίσκοπος ἐν πολλοῖς· οὔτε ὅτι μικρὸν ὅσον ἐμμελετήσαντες τῇ μοναχικῇ ἐργωδίᾳ, εἶτα ἐπιθυμήσουσι, καὶ εἰς ἱεράρχας αὐτοὶ μεταβῆναι· οὐ δήπου ὑποκαταβησόμενοι ὡς ἀπὸ ἀκρωρείας εἴς τινας κρημνούς, ἀλλ' ὡς ἀρθησόμενοι ἐκ γῆς εἰς Ὄλυμπον.

9. Ἀλλὰ τί μοι παρεξοδεύειν εἰς πλέον, καὶ μὴ ἐπανακάμψαι εἰς τὸ προτεθειμένον γρόχασμα; Ἦν δὲ αὐτὸ ἐπιλογὴ τῆς μεγαλοσχήμονος βιοτῆς, καὶ θεωρία δι' αὐτῆς τοῦ ὅλου μοναχικοῦ βίου, ὃν οἱ τῆς καθ' ἡμᾶς γῆς εἴδοξοι μοναχοὶ παραγράφοντες ἀχρειοῦσι, τό γε εἰς αὐτοὺς ἧκον. Εἰ δὲ πρὸς εὐταξίαν λόγου τοὺς τοιούτους πρώτους μεταχειρίζομαι, αὐτό, φασι, δηλώσει παντὶ τάγματι κοσμικῷ, μεγάλῳ καὶ μικρῷ, περὶ μείζω καταγινομένῳ καὶ περὶ ἐλάττονα. Ὁ μέν τις ἐπιτέτακται εἰς μεῖζον, ὁ δὲ εἰς δεύτερον, καὶ ἑξῆς εἰς ὑποδεέστερον· καὶ περιελθεῖν ἐπαγωγικῶς τὰ τοιαῦτα, οὐδεὶς ἡμᾶς ἀπαιτήσει, ὅτι μηδὲ εἴη ἂν ὁ ἀμφιγνοῶν τουτὶ τὸ λῆμμα.

10. Ἔστι δὴ τάγμα τι καὶ τὸ μοναχικόν, καὶ οὐ τὸ τυχόν, ἀλλὰ θεῖον τῷ ὄντι· στρατὸς ἱερός· θεοῦ παρεμβολή· ἐκλεκτοὶ κυρίῳ· ἔνδοξοι τοῦ οὐρανοῦ· τῷ παντὶ ἀφεστηκότες τῶν ἐνδόξων τῆς γῆς, οἷς κακὰ προτίθενται· στρατιῶται κατὰ τοῦ ἀποστάτου καὶ ἀντάρτου δαίμονος· ἀγγέλων μιμηταί, καὶ δι' αὐτὸ φύλακες ἀνθρωπίνων οὐ μόνον ψυχῶν, ἀλλὰ καὶ σωμάτων, οἷς ὑγιάζουσιν, ἀπαλλάττοντες ἁμαρτιῶν, αἳ καὶ τὴν ἐν ἡμῖν πολλάκις εὐάρμοστον στοιχειακὴν ἁρμονίαν παραλύουσιν· ἀρετῆς αὐτοὶ δοχεῖα, εἰ πρὸς αὐτὴν εὐθέτως ἀνοίγονται· μύρου θείου ἀγγεῖα, ὅτε μὴ τύχωσι σαπρῶς ἔχειν· ἀποστολικὰ ἐκμαγεῖα, ἡνίκα μὴ ἀφυῶς ἔχουσιν ἐκμάττεσθαι τὰ τοῦ θεοῦ· παράδεισοι σωτήριοι, ἀπρόσβατοι ψιθύροις ὄφεσι, δι' ὧν ὁ δαίμων ἐθέλει λαλεῖν παρὰ τοῖς ἀνορθιάζουσιν αὐτοῖς τὰ ὦτα. Τοῦτο τὸ πάγκαλον τάγμα, οὗπερ ἄλλως προτοστατεῖ πάντως τὸ ἀρχιερατικόν, προϊσταμένους αὐχεῖ τοὺς τοῦ ἀληθῶς μεγάλου σχήματος, οὓς χρὴ πάντως μήτε τὸ μέγα ψεύδεσθαι (ἀπολύτως οὕτως εἰπεῖν), μήτε μὴν συνθέτως τὸ μέγα σχῆμα· οὗ τὴν ἔννοιαν οὐκ οἶμαι εἰς τὰς πάντων ἀναβαίνειν ψυχάς, τά τε εἰς ἀκριβῆ κατανόησιν, τοιάνδε τινὰ οὖσαν, ὡς ἐν πρώτῃ ἐπιβολῇ θεωρῆσαι.

11. Τῶν κατὰ μάθησιν σχημάτων πολυειδῶν ὑποτεθειμένων ὑπερκεῖσθαι τὸ κατὰ τὴν σφαῖραν δοκεῖ, καθ' ἣν καὶ ἡ ἀπλανὴς περιηγμένη, καὶ τῷ κατ' αὐτὴν γύρῳ τὸ πᾶν ἔσω σφίγγουσα, καὶ λίαν πολὺ σέμνωμα ἐντεῦθεν πλουτοῦσα, ὀρθῶς διὰ τὸ κατ' αὐτὴν μεγαλεῖον λέγοιτο ἂν μέγα σχῆμα. Ὁ τοίνυν τὴν ἀρετὴν οὐράνιος μοναχός, καὶ οὕτως ἀγχίθεος, ἀπεικονίζεσθαί πως ὀφείλων πρὸς τὴν κατ' οὐρανὸν ἀπλανῆ, ὡς ὁ λόγος προϊὼν ἐκφανεῖ, δοκοίη ἂν ἐντεῦθεν μεγαλοσχήμων ὀνομάζεσθαι, καλούμενος οὕτω πρὸς διαστολήν, ὥσπερ ἡ σφαῖρα σχημάτων ἑτέρων, οὕτω καὶ αὐτὸς τῶν μὴ κατ' αὐτόν.

12. Καὶ τοῦτο μὲν οὕτω διὰ βραχέων εἰρήσθω, οὐ πάντη ἀπροσφυῶς, οἶμαι. Εἰκὸς δέ, τοὺς διὰ φιλοσοφίας ἐληλυθότας ἁγιωτάτους πατέρας καὶ ἄλλως ἐξονομάσαι τὴν θείαν ταύτην μεγαλοσχημοσύνην. Τριῶν γὰρ πεφασμένων σχημάτων τοῖς ἀποδεικνύειν προτιθεμένοις φιλοσόφως τὰ λογικά, καὶ τοῦ ἐν αὐτοῖς τεθεωρημένου πρώτου σεμνυνομένου ἐπὶ τοῖς μετ' αὐτὸ τά τε ἄλλα, καὶ ὅτι δι' αὐτοῦ ἐκεῖνα τελειοῦνται, || τὸ δεύτερον δηλαδὴ καὶ τὸ τρίτον, ὡς καὶ αὐτὸ ἀπο- Ms. fol. 178. b. δεικνύουσιν οἱ σοφοί, τάχ' ἂν ἐκεῖθεν καὶ ὁ μεγαλοσχήμων εἴη λαχὼν τοὔνομα. Πρωτεύει γοῦν καὶ αὐτὸς ἐν τοῖς μετ' αὐτόν. Οἱ δέ εἰσιν· ὁ (ὡς εἰπεῖν) δευτεροσχήμων μανδυώτης, καὶ ὁ ὕστερον ἐκείνου εἰσαγωγικός. Καὶ σεμνύνεται ὁ τοῦ μεγάλου σχήματος, ὅτι ἀποδεικνὺς λογίως τὰ πνευματικὰ ἔν τε τῷ ποιεῖν αὐτά, καὶ ἐν τῷ διδάσκειν, εἰ μὴ συλλογιστικαῖς ἀνάγκαις, ἀλλὰ πειθοῖ γοῦν πνεύματος ἁγίου, τελειοῖ τὰ ὑπ' αὐτὸν σχήματα πρὸς ἀρτίωσιν, τῷ μόνῳ σοφῷ θεῷ ἀρέσκουσαν. Ἀλλὰ ταῦτα μὲν τοῖς πλείοσι τῶν μοναχῶν, ὡς οἷα καὶ εἴς τινας γρίφους ἀποκαθεστῶτα, ἐς τοσοῦτον περιελευστέον ἐν βραχεῖ· λεκτέον δέ τι νόημα καὶ τρίτον, οὗπερ ἐστὶν ἅπαντας δράττεσθαι.

13. Ὁ πολλοστὸς ἄνθρωπος, ὁ περιττὸς ἄνθρωπος, τὸ πᾶν εἰπεῖν, ἅπας ἄνθρωπος βίου, ὁ παρὰ τὸν ἰδίως λεγόμενον μοναχόν, ἀδιατύπωτος εἶναι δόξοι ἄν, καὶ πως ἀνείδεος, καὶ ἀχαρακτήριστος, καὶ ἀδιάρθωτος, καὶ ἀμόρφωτος, καὶ ἀκατασκεύαστος, ἕως ἐν τοῖς κάτω στρέφεται. Αἴτιον δὲ τῆς τοιαύτης δοκήσεως τὸ ποικίλον τοῦ βίου καὶ πολυειδὲς καὶ μυριόστροφον, κἀντεῦθεν οὐκ εὐδιατύπωτον. Χρώζων γάρ τις ἑαυτὸν ὡς εἰς ἀρετήν, ὅτε βιοῖ χθαμαλώτερον, εἶτα παρυψωθείς, μεταχρώζεται εἰς τὸ ἔμπαλιν. Ἕτερός τις ἀγριούμενος τυραννικώτερον, ὅτε βίος αὐτὸν ἀμφέπει δυναστευτικός, εἶτα παραλυθεὶς τοῦ δύνασθαι, σχηματίζεται οὐχ ἑκὼν εἰς ἱλαρότητα, ἐξαλλάττων τὴν θηριωδίαν εἰς ἀνθρωπότητα. Ἐμορφάσατό τις αὖθις ἐν καιρῷ καὶ ἐλεημοσύνην· ἀλλὰ μικρὸν καὶ εἰς ἑτεροίαν μετηλλάγη ἕξιν, ἣν ὁ τραγικευόμενος ἀναρπαξάνδραν εἴποι ἄν. Ἔμπαλιν δὲ τοῖς τοιούτοις οἴδαμεν

καὶ ἅρπαγας ἀνθρώπους, οἳ μετεγράφησαν πρὸς μετάδοσιν, καὶ ἱλαρούς, ἐξηγριωμένους ἐν ὑστέρῳ χρόνῳ· καὶ ἄφρονας ὑψηλούς, μεταπεσόντας εἰς τὸ ἐνάρετον. Εὔριπος βίου μυρίους τοιούτους οἶδε στρέφειν ἑλιγμούς, δι' ὧν πολυπρόσωπός τις ὁ τοῦ βίου ἄνθρωπος, καὶ Πρωτέως πολυμορφότερος, εἰς ὅσον οὐκ ἔστιν εἰπεῖν.

14. Καὶ οὕτω μὲν ὁ βίος διὰ τὸ πολυσχημάτιστον, καὶ ἀόριστον, καὶ οὕτως ἄστατον, ἐπὶ ἑνὸς κατηγορεῖ τοῦ καλοῦ ζώου, τοῦ ἀνθρώπου, τὸ μὴ σχῆμα ἔχειν οὐδέν. Ἐθέλει γάρ πως ἡ ἀοριστία ὑποκρίνεσθαι στέρησιν. Ἀλλ' ἐπειδὰν αὐτὸς τὸ τῆς συνειδήσεως προστησάμενος ἔνοπτρον ἀπερείσῃ τὸ νοερὸν ὀπτικὸν εἰς αὐτό, καὶ φαντασίᾳ πνευματικῇ ἀναλεξάμενος ἐκεῖθεν μάθοι, ὡς οὐκ ἔχοι ἀνθρώπῳ πρέπον σχῆμα, ὃ καὶ ὁ Ναβουχοδονόσορ ἐποίησεν ἄν, ὅτε τοῦ καθήκοντος ἐξέπεσε χαρακτῆρος, καὶ ὁ ἐν ὑστέροις χρόνοις Τιριδάτης (τοὺς γὰρ Κιρκαίους μύθους τί χρὴ παρεισκρίνειν ἐνταῦθα;), τότε δὴ ἀχθεσθεὶς μελετᾷ, τί ἂν ποιήσας, εἰς ἕν τι μορφῆς ἑαυτὸν σχηματίσει, καὶ καταστήσει τὸ ἐν αὐτῷ ἄστατον. Καὶ τοίνυν εἰς τὸ κατὰ τὸν ἥλιον σεμνὸν ἀναδραμὼν τῇ διανοίᾳ, ἔτι δὲ καὶ εἰς τὸ κατὰ τὴν σελήνην, καὶ ἐκεῖνον μὲν θαυμάσας τοῦ διηνεκῶς ἐν ταυτότητι μένοντος σχήματος, τῶν δὲ σεληναίων αὐξομειώσεων καταγνοὺς διὰ τὸ ἐκεῖθεν κατ' αὐτὴν πολύσχημον, φεύγει μὲν τὴν γῆν, δι' ἣν καὶ αὐτῇ τῇ σελήνῃ προσγειοτέρᾳ κειμένῃ ῥύπασμά τι προσωπικὸν ἐπιφαίνεται· γίνεται δὲ τῶν ὑπεργείων.

15. Καὶ τότε δὴ ὡσεὶ καὶ ἄρκτου εἰδεχθές τι καὶ
Mc. fol. 190. a. ἄμορφον ἔμβρυον εἰς εὐμορφίαν αὐτῷ || πρέπουσαν μεταποιηθείς, καὶ ἐγγραφεὶς εἰς θεοῦ λαὸν κατεσκευασμένον, εὐαγγελικῶς φάναι, καὶ οὕτω κόσμιον, ἐνάρχεται σχῆμα σταθερὸν ἀπολαμβάνειν, καὶ χρηματίζεσθαι εἰς τέλειον ἄνθρωπον μάλιστα μὲν οὖν εἰς μορφὴν εἰδοποιεῖσθαι θείαν, τὸ δὲ πάντῃ σεμνότατον, εἰς θεοῦ, γραφικῶς φάναι, πρόσωπον· καὶ οὐκέτι ἀσχημόνως, καθὰ καὶ πρίν, τῇ τοῦ βίου ἐμπεριοδεύει νυκτί, ἀλλ' ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖ· καὶ ἔχει καὶ αὐτὸς εὐσχήμων θεοῦ ἄνθρωπος ὀνομάζεσθαι κατὰ τὸν νύκτερον κυριακὸν Ἰωσήφ, ὃς καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ τοῦ αὐτοῦ κατὰ θεὸν σχήματος ἦν, οὐ μεταμορφούμενος τοῦ λοιποῦ εἰς ἀλλόκοτον, οὐ μεταπίπτων, οὐκ ἀλλοιούμενος. Καὶ ἔστι τὸ τοιοῦτον σχῆμα, τὸ τῆς κατὰ πνεῦμα εὐσχήμονος μορφωτικῆς ἐνάρξεως δηλαδή, θεῖον μέν, καὶ ἀκριβῶς ἀνθρωποπρεπές, καὶ μεταγράφον εἰς μονοπρόσωπον τὸν πρώην πολύμορφον ἄνθρωπον· μικρὸν δὲ ὅμως αὐτὸ εἰσέτι. Διατί μικρόν; Ὅτι οὔπω τὸ μεγαλεῖον ἐντελῶς ἀπείληφεν ὁ τοιοῦτος τοῦ θεοῦ μελαμφόρος ἄνθρωπος, οὐδ' εἰς τὸ ὄντως ἀκρότατον ἐφετὸν ἀναβέβηκεν· ἀλλὰ περιπέζιος μὲν εἶναι ἀφῆκεν, ἀπήρξατο δὲ γίνεσθαι τοῦ ὄρους, ὡς ἀναῤῥιχᾶσθαι εἰς αὐτό, ἐφ' ὅσον δύναμις· ἀπαλλαγεὶς μὲν τῆς λείας πεδιάδος καὶ τοῦ περὶ αὐτὴν καπνώδους ἀτμοῦ, πελάσας δὲ εἰλικρινεστέρῳ ἀέρι καὶ ζωογόνῳ πνεύματι, εἰ καὶ καταβλέπει ἄλλως εἰς γῆν ἔτι καὶ τὰ περὶ γῆν, καὶ ἀναπεμπάζει τῇ μνήμῃ τὰ πρώην ἐκεῖνα, ἐξ ὧν τὸ ἀληθῶς ἀνθρώπινον σχῆμα ἠφάνιζε· καὶ δέδιε, μὴ κατασυρεὶς τῆς ἀνόδου, καὶ κάτω πεσών, χεῖρόν τι πείσεται.

16. Ἀλλ' ὅτε φοβηθεὶς φόβον, οὗ ἦν φόβος, ἀναλάβηται πτέρυγας αὐτοῦ κατ' ὄρθρον, ὃν ὀρθρίζει νήφων, εἰς ἐντεύξεις, ὧν ἐπακούει ὁ θεός· καὶ μύσει τοὺς ὀφθαλμούς, ἅμα δὲ καὶ πᾶσαν αἴσθησιν, ὡς μηκέτι ἐθέλειν γῆς ἄνθρωπος ὅλως εἶναι, ἀλλ' ὑπερουράνιος, καὶ στήσει, κυρώσας παρ' ἑαυτῷ, τὴν ἐνάρετον πατῆσαι ἀκρώρειαν, καὶ καταλεῖψαι μὲν τὸ τοῦ ἀέρος λιμνάζον, καὶ τοὺς περὶ αὐτὸν γνόφους, καὶ τὰς θυέλλας τὰς παντοδαπάς, γενέσθαι δὲ τοῦ ἀνεφέλου τόπου καὶ ἀεὶ φωτοφανοῦς· καὶ δὴ καὶ τεύξηται τῆς τοιαύτης ἐφέσεως, εἴτ' οὖν φαύσεως, καὶ εἰς τὸν θεὸν ἀποκαταστῇ, τόπου γενόμενος ὑψηλοτάτου, ἀφ' οὗ ἐπιβλέπων ὁ κύριος διοπτεύει πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, καί πως ἐκείνῳ συμπροκύπτων, δύναται καὶ αὐτὸς ἐφορᾶν ἀνθρώπους, ὅσοι τῆς αὐτοῦ ἐφορείας δέονται, καὶ πάντα καὶ αὐτός, ὅσα ἐθέλει, ποιεῖν— τότε δὴ τὸ μικρὸν ὑπεραναβάς, εἰς ὅσον οὐκ ἂν εἴη ἐξαριθμήσασθαι, τοῦ μεγάλου γέγονε σχήματος, προσώπῳ ἐνὶ λαμπρῷ καὶ πολυμεγέθει σεμνυνόμενος, ἐν τῷ ὀπτάνεσθαι τῷ προσώπῳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς ὑπερφάτου τριάδος, καὶ τῷ λοιπῷ δὲ τῆς κατὰ πνεῦμα διαρτίας ἐξ ἀναλόγου μεγαλείως καὶ ἑνικῶς ἐσταλμένος, καὶ οὕτω μὴ ψευδόμενος τὴν τοῦ μεγάλου σχήματος ἀνάληψιν, ὅπερ ἦν ἂν — καὶ μέγιστον εἰπεῖν — εἰ μὴ διαστέλλειν αὐτὸ οἱ πατέρες εὖ ποιοῦντες, διέκριναν τῆς κατὰ θεὸν παμμεγίστης μονοσχημοσύνης, καὶ πρὸς ἣν ἀπαραποίητον αἰωνίως οὖσαν αἱ λοιπαὶ ὡσεὶ καὶ σκιαί τινες τεθεώρηνται.

17. Τοιούτου τοίνυν ὡς ἐν τριπλῇ ἐννοίᾳ ὄντος τοῦ μεγαλοσχήμονος βίου, καθὰ εἴρηται, τῆς τῶν ἀγαθῶν || Χριστιανῶν καταφυγῆς, ὅτε πολεμίων ἐξ ἀέρος βαλ- Mc. fol. 190. b.
λόντων κρύψασθαι βούλονται, μακάριος μὲν ὁ κατ' αὐτὸ ἀληθῶς ἐσχηματισμένος, εἴτ' οὖν εἰδοπεποιημένος θεοειδῶς, καὶ θειότερον μεμορφωμένος, ὡς οἷα ἐν μορφῇ θεοῦ καθεστώς, καὶ τὴν μεγαλοσύνην ἐντεῦθεν αὐτοφυῶς κληρωσάμενος· ἔτι δὲ τελειοποιὸς τῶν ὑπὸ τὸ μέγα, καὶ οὕτω πρῶτον σχῆμα φιλοσοφίας λόγῳ

καὶ πᾶσιν ἐκείνοις τὸ ἐνδέον ἀναπληρῶν μεθόδῳ θείᾳ συλλογιστικῇ, δι' ἧς ἡ τῶν ἀγαθῶν γνῶσις περαίνεται, καὶ μὴν καὶ εἰς οὐρανοῦ ἀνατεινόμενος μίμησιν, ὡς ἐν τοῖς ἑξῆς ὑποτυπωθήσεται. Καὶ οὕτω μὲν μακάριος ὁ τοιοῦτος λόγων τοιούτων τριῶν, ἐπὶ ἀναβάσει τῇ κατὰ τὸν μεγαλοσχήμονα, ὡς εἰς τρίτον ἐλαφρισθεὶς οὐρανόν· ἄθλιος δέ, καὶ οὐκ εἰςάπαξ, ἀλλὰ τριςάθλιος ὁ ἄλλως καθ' ὑπόκρισιν προςωποποιούμενος δι' αὐτοῦ, καὶ σχήματι μὲν ἀντεπάγγελτος θεοῦ πεφηνὼς πρόςφυξ, πράγματι δὲ ἀπροςκόλλητος ὢν ἐκείνῳ, ὡς ἢ καταπαίζων, ἢ μὴ ἐκουσιαζόμενος, ἢ ἀλλὰ ἐμπολῆς χάριν τὸ καλὸν προβάλλων πραγματευτικῶς· ὃς τὸ τριχῶς ἤδη ἀνεπτυγμένον μέγα σχῆμα ψευσάμενος, οὔτε λογικῶς μεμόρφωται προςώπῳ θεοῦ, καὶ ἀσυλλογίστως βιοῖ, κατασοφιζόμενος ὑπὸ τοῦ τὴν κακίαν πανσόφου, καὶ τοῦ κατὰ νοῦν δὲ οὐρανοῦ ἀπολισθήσας, ὡς εἰς ἑωςφόρον κατέπεσε. Καὶ ἦν ἄρα κρεῖττον αὐτῷ, καθὰ καὶ εὐηρεστεῖτο ἐν τῷ καιρῷ τῆς κουρᾶς, μὴ τάξασθαι τῷ θεῷ, ἢ ταξάμενον ψεύσασθαι. Ἐκεῖνο μὲν γὰρ εἶχεν ἂν κρίμα· τὸ δὲ δεύτερον εἰς ἀκριβῆ κατάκρισιν ἀποτελευτᾷ.

18. Φέρε γάρ, ὀλιγόστιχον ἐπιδρομὴν ποιησώμεθα, ὧν κατατίθενται οἱ πρὸς μεγαλοσύνην πνευματικὴν ἐσχηματισμένοι, καὶ οὕτως ὑπεσχημένοι ἐκπροςωπεῖν τῷ θεῷ· ἵνα τῇ πρὸς αὐτὰ τῶν κατ' αὐτοὺς πράξεων παραθέσει ἐπιγνῶμεν, εἰ πρὸς ἀκριβὲς ἐξομοιοῦνται προκέντημα οἱ πρὸς ἔνθεον ἑαυτοὺς ἐν τοῖς περὶ ἡμᾶς μορφάζοντες πρόςωπον. Ἔχει δὲ τὰ τῆς ἐπιτομῆς ταύτης οὕτως ἐπελευστικώτερον.

19. Πρῶτα μὲν ἐκ θειοτάτης ὁπλοθήκης ἀναλαμβάνονται τὰ φραγνύντα τούτους πνευματικῶς ἐπὶ πολέμῳ, εἰς ὃν ταττόμενοι ἑτοιμάζονται. Ἃ γὰρ ἱερῶς ἀμφιέννυνται ὁπλισμοῦ τύπῳ, ἡ μὲν φθάσασα ἑσπέρα ἔσω τῶν τοῦ ναοῦ ἀδύτων ταμιεύει ἁγιαζόμενα, καὶ οὕτω βαπτόμενα εἰς θωρακισμοῦ στεῤῥότητα. Ἡ δὲ ἐφεξῆς ἡμέρα προβάλλει περιδύεσθαι αὐτὰ πρὸς τελετὴν ἁγίαν, παρατείνουσαν ἕως καὶ εἰς ἡμέραν ἀκμάζουσαν, ἵνα καὶ οὕτως ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας ἀπαγγέλλωνται τὰ τοῦ θεοῦ θαυμάσια. Ὅτε δὲ καὶ τελεῖσθαι χρὴ τὸ τῆς ἐργασίας ταύτης μυστήριον, προηγοῦνται ᾠδαὶ πνευματικαὶ καὶ ψαλμοί, ψυχὴν συμβολογραφοῦντες χαίρουσαν (χαροποιὸν γάρ τι καὶ ἡ ᾠδή, καθὸ καὶ οὐδὲν ζῶον λυπούμενον ᾄδειν λέγεται)· συνεφέπονται δὲ καὶ μακαρισμοὶ τῶν προαιρουμένων οὕτω κατὰ θεὸν σχηματίζεσθαι· καὶ βίου δὲ κατάγνωσις ἐκφωνουμένη ψαλμῳδικῶς, ἔτι δὲ καὶ εὐαγγελικῶς, ὡς ἐκ προςώπου τοῦ μέλλοντος κείρεσθαι, οἷα μετεγνωκότος καὶ αἰσχυνομένου, εἴπερ ἑαυτὸν ἀπηχόλει τοῖς κάτω καὶ πατουμένοις, τὰ ἀνωτάτω ὑπερορῶν. Ἐπὶ τούτοις, ὡς ἤδη τοῦ μοναχοῦ ἐγγίσαντος τῷ θεῷ, καὶ πρὸς αὐτῷ γενομένου, καὶ αὐτόχρημα προςεληλυθότος, ἐρωτᾶται ὁ πυλίτης, τί δήποτε προςῆλθε, καὶ εἰ παραμένειν τῷ μοναστηρίῳ κατατίθεται καὶ τῇ ἀσκήσει ἕως καὶ εἰς τέλος· ὃ ταὐτόν ἐστιν οὐ μόνον τῷ εἰς ἀκέραιον καὶ ἐντελές, ἀλλὰ καὶ τῷ ἕως καὶ εἰς θάνατον. Εἶτα προςεπερωτᾶται καὶ ὑπακοήν, καὶ ὑπομονήν, καὶ θλίψιν, καὶ τὸ στενόχωρον, καὶ ἄλλα [Ms. fol. 181. a.] ||σύστοιχα τούτοις· καὶ ἐπειδὰν κατάθηται, παραγγέλλεται βλέπειν, οἷά τε συντίθεται, καὶ τίνι ἀνατίθησι τὴν συνθήκην, δῆλον, ὅτι θεῷ, καὶ ὅτι ἀγγέλοις, ὧν τὸ σχῆμα ἐπιποθεῖ.

20. Ἀναδιδάσκεται δὲ καί, ὅτι ἄγγελοι παρεστᾶσιν, ἀπογραφόμενοι, ἅπερ αὐτὸς ὁμολογεῖ· μανθάνει δὲ καί, ὅτι ὁ οὕτως ἀποτασσόμενος σταυρὸν καὶ θάνατον ἐπαγγέλλεται, καὶ ὅτι ἐκ τῆς ἄρτι σταυροῦσθαι χρὴ καὶ νεκροῦσθαι αὐτόν τε τῷ κόσμῳ, καὶ τὸν κόσμον αὐτῷ· ἵνα μήτε αὐτὸς πρὸς τῷ κόσμῳ τὸν νοῦν ἔχῃ, ἅτε γῆθεν ὑψοῦ σταυρικῶς ἐξηρμένος, μήτε ὁ κόσμος προςπαθῶς τῷ οὕτως ὑψωθέντι προςανέχῃ διὰ τῶν προςῳκειωμένων αὐτῷ, δραττομένων οἷον τοῦ ἐσταυρωμένου, καὶ κατασπώντων αὐτόν. Αὐτίκα γὰρ ἐπιφωνεῖται, καὶ γονεῦσιν ἀποτάσσεσθαι, καὶ ἀδελφοῖς, καὶ συγγενείᾳ πάσῃ, καὶ συνηθείαις φιλικαῖς, καὶ κόσμου θορύβοις καὶ φροντίσι καὶ κτήσεσι, ταῖς δηλαδὴ μετὰ τὴν κουράν, καὶ ὑπάρξεσι, καὶ ἡδονῇ, καὶ δόξῃ, οὐ ταῖς ἁπλῶς, ἀλλὰ ταῖς ματαίαις ταῖς τοῦ βίου, διὰ τὸ καὶ ἡδονῶν θεοπρεπῶν ἑτέρων κατάρχεσθαι, ὧν ἡ κορυφαία τὸ μεμνῆσθαι τοῦ θεοῦ, καὶ οὕτως εὐφραίνεσθαι, καὶ δοξῶν δέ, καθ' ἃς καὶ αὐτὸς ὁ θεὸς ἐνδόξοις δοξάζεται. Τοιαῦται δὲ πάντως, ὁπόσαι οἷα καὶ πατρὸς τοῦ κατὰ θεὸν πόνου ἐκφύονται, εἴ γε πόνοι γεννῶσι δόξαν, ὡς οἴδαμεν.

21. Πρὸς τούτοις κατηχεῖται ἀπαρνεῖσθαι καὶ αὐτὴν τὴν ψυχήν. Ποίαν αὐτήν; Καθ' ἣν ψυχικὸς ἄνθρωπος οὐ φρονεῖ τὰ τοῦ πνεύματος· ἣν ὁ ἀπολέξας αἴρει σταυρόν, καὶ ἀκολουθεῖ τῷ Χριστῷ. Ἔτι παραινεῖται τηνικαῦτα ὁ τῷ θεῷ προςχωρήσας, μήτε ἀνέσεις ἐθέλειν, ὁποῖαι τοῖς ἀγελαίοις καὶ οὕτως ἀνέτοις φιλοῦνται, μήτε ἀμεριμνίας καὶ τρυφάς. Παρακαλεῖται δὲ καὶ εἰς ἀγῶνας πνευματικούς, καὶ εἰς πτωχείαν· ὁποίαν ταύτην εἴποι τις ἄν, εἴτε τὴν κατὰ πνεῦμα, καθ' ἣν πτωχεύει τις ἁμαρτιῶν, εἴτε τὴν ἐν περιουσιασμῷ τῷ κατὰ κόσμον. Ἔτι προκαλεῖται καὶ εἰς πένθος ἀγαθόν, ὁποῖον πραγματεύεται ὁ, ὡς ἐῤῥέθη, σταυρούμενος καὶ νεκρούμενος· ὃς καὶ ζητεῖ τὴν ἐντεῦθεν ἀνάλυσιν, καὶ κλαίων λέγειν τὸ οἴμοι, ὅτι ἡ παροικία μου

ἐμακρύνθη, καὶ οὐκ ἀπολύομαι ταχὺ τῆς ζωῆς. Ἐπισκήπτεται δὲ καὶ φῶς, εἴποτε πεινήσει, καὶ διψήσει, καὶ γυμνιτεύσει, καὶ ὑβρισθῇ διὰ τὸν ἐν τοῖς οὐρανοῖς πολὺν αὐτοῦ μισθόν οὗπερ ἕνεκεν χαίρειν αὐτὸν χρεών. Καὶ ἔχει μὲν ἐν τούτοις εἰπεῖν καὶ αὐτὸς τὸ τίς ἄρα δύναται σωθῆναι; Εἰδὼς δὲ ἀκούσειν εὐαγγελικῶς, ὡς τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ τῷ θεῷ, σιωπῇ εὐλαβῶς, εὖ γε ποιῶν, καὶ κατακύπτων. Καὶ οὕτως ἀνθομολογούμενος, δέχεται τὰ ἐκλαλούμενα, ψυχαγωγούμενος, οἷς ἀκούει αὐτίκα τότε, ὅτι ἐξελέξατο αὐτὸν ὁ θεός, καὶ διεχώρισεν ἀπὸ τῆς ἐν κόσμῳ ζωῆς· καὶ ὡς ἐκ προσώπου αὐτοῦ, πρὸς ὃ σχηματίζεται μεγαλυνόμενος, ἔθετο αὐτὸν στρατευσόμενον εἰς διαγωγὴν ἀγγελοειδῆ ἐν ὕψει οὐρανομιμήτου πολιτείας.

22. Καὶ εἰσὶ μὲν καὶ τοιαῦτα πάντα φρικτά, ὦ ἀδελφέ. Ἐμὲ δὲ πλέον παράγει ἐς φρίκην καὶ ἐκεῖνο τοῦ θειοτάτου βιβλίου τῆς ἀποταγῆς, ὅτι ὡς οἷα κατηχούμενος ὁ τοιοῦτος ἀπολαμβανόμενος ἀκούει, βάπτισμα λαμβάνειν αὐτίκα, τό τε εἰς καταυχὴν ζωῆς ἑτέρας καὶ || [Me. fol. 181 b.] βίου μετάθεσιν, προσφυέστερον δὲ εἰπεῖν, παλιγγενεσίαν σωτήριον, καὶ τῶν ἁμαρτιῶν αὐτοῦ καθαίρεσθαι, καὶ υἱὸς φωτὸς γίνεσθαι· καὶ ὅτι αὐτὸς Χριστὸς ὁ θεὸς συγχαίρει μετὰ τῶν ἁγίων ἀγγέλων ἐπὶ τῇ αὐτοῦ μετανοίᾳ, θύων τὸν μόσχον τὸν σιτευτόν· καὶ ὅτι ἐξ ἐκείνης τῆς ὥρας ἐνάγεται εἰς τὸ περιπατεῖν ἀξίως τῆς κλήσεως, καὶ τῆς τῶν ματαίων προσπαθείας ἀπαλλάττεσθαι, καὶ μηδόλως εἰς τὰ ὀπίσω στρέφεσθαι· μὴ καὶ γένηται, φησι, στήλη ἁλὸς κατὰ τὴν γυναῖκα τοῦ Λώτ, ἢ ὡς κύων, φησίν, ἐπιστρέφων εἰς ἴδιον ἔμετον, ἢ ἐξομοιωθῇ ἀνδρὶ ἐπιβαλόντι χεῖρα ἐπὶ ἄροτρον, καὶ εἰς τὰ κατόπιν στραφέντι, καὶ οὕτω μὴ εὐθέτῳ εἰς τὴν τοῦ θεοῦ βασιλείαν ὄντι.

23. Τὸ δὲ ἅγιον βιβλίον ἐκεῖνο πρὸς τούτοις ἐπιτάσσει, ἀπεῖναι τοῦ μεγαλοσχήμονος ἀνηκοΐαν, ἀντιλογίαν, ὑπερηφανίαν, ἔριν, θυμόν, κραυγήν, βλασφημίαν, καταλαλιάν, ἀεργίαν, παῤῥησίαν, μερικὴν φιλίαν, λαθροφαγίαν, περπερείαν, γογγυσμόν, ψιθυρισμόν, ἐπίκτησιν ἰδιάζουσαν οἰκτροῦ πράγματος· οἰκτρὰ λέγοντος τοῦ παραγγέλματος ἢ πάντα τὰ κατὰ βίον, ὡς οἴκτου ἄξιον ἀποτελοῦντα τὸν αὐτοῖς προσανέχοντα, ἢ τὰ εὐτελέστατα· ἵνα ὁ μοναχὸς μηδὲ τὰ σμικρότατα ἐγχειρῇ ἐπικτᾶσθαι· ὃ δὴ τοῖς ὄντως ἀκτημονοῦσιν ἐπιπρέπει εἰς μάλιστα, οἳ σχεδὸν μόνους ἑαυτοὺς κέκτηνται. Εἰ δέ τι καὶ ἔχειν τοὺς τοιούτους χρὴ (ἕξουσι δὲ πάντως, ὡς ὁ θεὸς ἀρέσκεται), ἀλλ' οὐδ' αὐτὸ ἔξω κεῖται τῆς τηνικαῦτα βιβλιακῆς ὑποθήκης. Ἐπιτέτραπται γὰρ αὐτοῖς εἰς κτῆσιν ἁγιοπρεπῆ φιλαδελφία, ἡσυχία, ἐπιείκεια, εὐλάβεια, μελέτη θείων λογίων, ἀνάγνωσις, ἐργασία ἡ κατὰ δύναμιν, ἐγκράτεια, ὑπομονὴ ἡ μέχρι θανάτου.

24. Τούτων δὲ οὕτω παρηγγελμένων, οὐ μέχρι λόγου ψιλοῦ ἔσταται τὰ τῆς παραινέσεως· ἀλλ' ἐρωτᾶται ὁ σχηματιζόμενος, εἰ ταῦτα πάντα οὕτω καθομολογεῖ φυλάττειν ἐπ' ἐλπίδι, οὐ τῆς κατ' αὐτὸν δυνάμεως, ἀλλὰ τῆς τοῦ θεοῦ· καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσεται μέχρι τέλους ζωῆς, οὐ δυνάμει, οὐδὲ αὐτὸ οἰκείᾳ, ἀλλὰ χάριτι Χριστοῦ. Καὶ ἐπειδὰν τὸ ναί, πάτερ, ὁ κειρόμενος ἀποκριθῇ, καὶ οὕτως ἀσφαλίσηται τὸ πνευματικὸν θησαύρισμα, ἐπεύχεται ὁ κείρων τὰ εὐκταῖα· καὶ σφραγίδα ἐπιτιθεὶς εὐλογητικήν, θεοκλυτεῖ λαλῶν, ἃ χρὴ φυλάττειν τὸν κειρόμενον, κείμενον κάτω ἕως συμπληρώσεως τῆς εὐχῆς, καὶ ὡς οἷον τὴν μητέρα γῆν ἀσπαζόμενον τῇ κατακλίσει, ὡς μακρὰν αὐτῆς μέλλοντα στέλλεσθαι· ἵνα καθ' ἡσυχίαν ἀπολυθεὶς τῆς σαρκός, αὐτὴν μὲν ἐν καιρῷ κάτω πέμψῃ, τῇ γῇ προσρίψας, ἢ καὶ δίκην χρέους ἀποδούς, ὅπερ ἐξ αὐτῆς ἔσχε, γυμνῷ δὲ τῷ νῷ ἀνελεύσεται εἰς τὸν μετακαλεσάμενον, ᾧ καὶ ἐτάξατο.

25. Καὶ οὕτω μὲν ἀνέκαθεν οἱ τοῦ θεοῦ ἄνθρωποι ἐκυρώθησαν, τῆς αὐτοῦ γίνεσθαι ὑποταγῆς. Ἐγὼ δὲ ἥκω φράσων, οἷα τεχνάζονται ὕστερον οἱ τοῦ καθ' ἡμᾶς βίου ἅγιοι μοναχοί, οἱ πολύβιοι ἄβιοι, οἱ τῇ κατ' ἀρχὴν μὲν προθέσει οὐρανοβάμονες, τῇ δὲ τοῦ σκοποῦ μεταθέσει γεωχαρεῖς· οἳ μικρόν τι μονώσαντες, εἶτα οὐ μόνον δυάζονται (καὶ αὐτὸ οὐ κατὰ τοὺς διφυεῖς Μολιονίδας, ὧν τὸ κατ' ἀνδρίαν σθένος ἀπρόσπελαστον· οὐδὲ μὴν κατὰ τὸν Πλατωνικὸν διπλοῦν ἄνθρωπον, οὗπερ ἀπότροφος ὁ δυασμὸς πέπλασται, καταναγκαζομένων ἄλληλα τῶν συμφυῶν· τῷ παντὶ δὲ μᾶλλον οὐδὲ κατὰ τὸν περιᾳδόμενον Ἰαννον, ὃς προσώποις μόνοις ἐδυάζετο)· ἀλλὰ τρόποις ἄλλοις, οὐκ ἂν ἐπαινουμένοις, εἰς πολλαπλάσιον ὁ δυασμὸς αὐτοῖς ἐπεκτείνεται. Καὶ τοῦ θεοῦ τοῖς τοιούτοις πάντως κε|| [Me. fol. 182 a.] λεύσαντος, ὅτε τῷ ἀνωτάτω κόσμῳ ἐπιδεδώκασιν ἑαυτούς, ὡς οἷον ἐγκαινιζόμενοι, καὶ οὕτω μεταθέμενοι, αὐξάνεσθαι, καὶ πληθύνεσθαι, ταῖς ἀγαθοπραξίαις δηλαδὴ καὶ τῷ κατ' ἀρετὴν περιουσιασμῷ ἐν σφίσιν αὐτοῖς· ἔτι δὲ καὶ τῷ μαθητὰς εἰς πλῆθος ἐκφύειν αὐτοῖς ἐξομοιουμένους· οἱ δὲ ἐπαναστραφέντες ἄνωθεν κάτω, καὶ ὡς οἷον κατωκάρα βληθέντες, τὰ τοῦ προτέρου βίου αὔξουσι καὶ πληθύνουσι, φιλονεικοῦντες ὑπερβῆναι καὶ τοὺς ἀληθῶς βιωτικοὺς ταῖς κτήσεσι, καὶ τὸν πρότερον συρφετὸν τῆς ἐν κόσμῳ ἀναστροφῆς ἀπελέγξαι, τὸ μηδὲν ὄντα πρός γε τὸν

ὕστερον· τηνικαῦτα ὑπερεκπερισσοῦ κτώμενοι, ὅτε μηδενὸς προςδέονται, καὶ ὅτε πτωχεύειν ἐχρῆν, πλουτοῦντες εἰς οὐδὲν δέον· παρανοοῦντες αὐτοὶ τὸ ζητεῖτε τὴν βασιλείαν τὴν ἄνω, καὶ προςτεθήσεται ὑμῖν τὰ κάτω. Οὐ γὰρ ἀφιᾶσιν ἀπραγμάτευτα ἐπιῤῥέειν ἐκεῖνα πρὸς θεοῦ, ὡς ἐπιχυθέντα ἐξαντλεῖσθαι πάλιν, ὅποι χρὴ, καὶ οὕτως ἐπανακάμπτειν πρὸς τὸν πέμψαντα, ἐλεημοσύνης λόγῳ καὶ λοιπῆς διακρίσεως· ἀλλὰ καὶ πραγματεύονται τὸ τοιοῦτον πάθος, καὶ ἁρπάζουσι, καὶ τὰ οὕτω περιελθόντα ἐναποτίθενται, θησαυρίζοντες ἐν τῷ καὶ ἀποθήκας ἀνευρύνειν.

26. Καὶ ἦν ἂν τοῦτο συγγνωστὸν τάχα τοῖς ἁπλουστέροις τὰ εἰς ἀκρίβειαν. Οἱ δέ που καὶ ἐξαντλοῦσιν αὐτὰ ἐπιῤῥήτως, ὡς οὐκ ἄν τις οὐδὲ ἀκούων ἀνέξεται. Καὶ ἔστιν αὐτὸ τοῦ εἰκότος. Εἰς τί γὰρ ἂν καὶ ταμιεύσηται τοιοῦτος ἄνθρωπος, εἰ μὴ ἐπὶ κανονικῷ; Διατί δὲ ὁ τεταγμένος ἀκτημονεῖν, ταμειουχήσει, ὅτι μὴ ἐφ' ἁμαρτίᾳ; Καὶ οἴδαμεν ἐνταῦθα οἱ διοικούμενοι ὄψεσί τε καὶ ἀκοαῖς λαϊκοὺς ἄνδρας, οὓς ῥύπος ἀμπέχων, ὅλον ἐπύκαζεν αὐτοῖς τὸ σῶμα, ὡς οἷα καί τι περίβλημα, καὶ γυμνιτεία πολλὰ τοῦ σώματος ἐνεφάνιζεν, οὔτι ἀνεκτὰ βλέπεσθαι. Ἐλαγαροῦτο δὲ καὶ ἡ γαστὴρ, διάκενος οὖσα τὰ πλείω· καὶ ἐκρύπτοντο ἐκεῖνοι διὰ ταῦτα τὸν ἥλιον, δυςωπούμενοι τὴν τῶν πολλῶν θέαν αἰδοῦς λόγῳ, καὶ τῇ κατὰ βίον ἀφανείᾳ ζοφούμενοι. Ἐπεὶ δὲ φυγόντες τὸν κόσμον ἰδίασαν, καὶ τῷ θεῷ παραστατεῖν ἐκύρωσαν, ἐξέλαμψαν κοσμικώτερον· καὶ τόν τε ῥύπον ἐξεκαλέσαντο, πυέλοις θερμῶν ὑδάτων συχνὰ ἐμβαψάμενοι· καὶ οὕτως οὐ μόνον τὸν σπῖλον ἀπαγαγόντες ἑαυτῶν, ἀλλὰ καὶ τὸ μεμνῆσθαι, ὅτι τοῦ κατὰ θεὸν προςώπου εἰσὶν, ὡς καὶ ἀπηγ[illegible]θησαν καὶ εὐηρεστήθησαν· καὶ ἱματισμοῖς δὲ ἐνέπρεψαν ψευδομένοις τὸν μοναχικὸν τρίβωνα, καὶ τὰς κοιλίας ἐξώγκωσαν, ὡς μηκέτι μηδὲ ἔχειν φέρειν τὸ σύμφυτον βάρος, ἀλλὰ καὶ ἡμιόνοις ἀδροῖς ἀνατιθέναι αὐτό· καὶ οἱ μηδέποτε παραιτούμενοι πεζῇ τρέχειν, τὴν γῆν ἀπείπαντο αὐτὴν ἐς τὸ παντελές, ἢ τιμῶντές που τὴν μητέρα οὕτως, καὶ καταπατεῖν αὐτὴν ὀκνοῦντες, ἢ σοφιζόμενοι τὸ ὑπέργειον· ὥςτε καὶ θᾶττον ἂν Πέρσης ὁ παρὰ τῷ καλῷ Ξενοφῶντι ἀνάσχοιτο ποσὶν εἰς βάδισιν χρήσασθαι, εἴτε Κένταυρος ἀπολέξεται τὸν ἵππον, ἤπερ αὐτοὶ προτραπήσονται εἰς ὁδὸν τὴν διὰ ποδῶν οἰκείων.

27. Τάχα γὰρ παικτικῶς ἀφοσιούμενος ὁ τοιοῦτος μεγαλοσχήμων τὸ νενεκρῶσθαι τοῖς κάτω, καθὰ καὶ παρήγγελται, καὶ ὡμολόγηκεν· ἀφίησι μὲν ἄλλως αὐτὸ ἐπιδείκνυσθαι πρὸς ἀλήθειαν δι' ἀργίας τοῦ ζῆν ἐμπαθῶς, καὶ τοῦ μὴ κινεῖσθαι κατὰ ζωϊκὰς ὀρέξεις· ἀνατίθησι δὲ εἰς ὑποζύγια ἑαυτὸν, καθὰ καί τι ἄχθος, καὶ αὐτὸ ἐτώσιον, καὶ οὕτω φέρεται ξυνωρίδι ἀλόγων, τοῦ τε κρυπτομένου, καὶ ὃ προφαίνεται· σοφιζόμενος ὁ ἐλεεινὸς, καὶ οὐκ ἐννοούμενος, ἑτεροίαν ἱππασίαν χρῆναι ποιεῖσθαι αὐτὸν, προφητικὴν, τὴν καὶ ἀποστολικὴν, τὴν ἐπὶ σωτηρίᾳ, || τὴν ταράσσουσαν ὕδατα, ὁποῖα ἡ γραφὴ νοεῖν ὑποβάλλει· ζωογόνα μὲν ἄλλως πολυειδῶς, παραβεβλημένα δὲ θαλάσσῃ διὰ τὸ ἄπλετον καὶ ἀληθῶς μέγα καὶ εὐρύχωρον, ἤδη δὲ καὶ διὰ τὸ δυςπρόςιτον εἰς γεῦσιν τοῖς γε μὴ δυναμένοις, ἢ κατηξιωμένοις ἐμπίνειν τοιούτου ὕδατος· ὅπερ κατὰ θεωρίαν ἑτεροίαν ζῇ, καὶ ἅλλεται, καὶ ζωῆς αἰωνίου αἴτιόν ἐστιν, εἰ καὶ ὁ λαμπρὸς οὗτος ἀναβάτης ἀββᾶς τοῦ τοιούτου ἀπεχόμενος ὕδατος, ὅσα καὶ ἅλμης, οὐχ ἱππασίαν ἐννοεῖται ταράσσουσαν ὕδατα γραφικὰ, σάλους δὲ τυφωνικοὺς ἀνακυκᾷ καὶ χαρύβδεις καὶ ἀμπώτιδας, ὧν κοσμικὸς πειρᾶται ἄνθρωπος, νηχόμενος διὰ θαλάσσης πραγμάτων, οὐ μὴν ὁ τὸν ἀκύμαντον καὶ ἀσάλευτον βίον ἑλόμενος. Ms. fol. 182. b.

28. Ὦ ἁρματηλάτα Ἠλία, τί δήποτε μὴ καταπέμπεις φωνὴν ἄνωθεν, ὅπως τοὺς τοῦ θεοῦ τοιούτους ἀνθρώπους ἱππάζεσθαι χρὴ, ὡς μὴ ἀχρειοῦν τὸ κατὰ πνεῦμα διαβατικὸν ἐκ τοῦ κατὰ γῆς ἕρπειν; Ἢ σὺ μὲν πύρινος διφρευτὴς ἀπεκβὰς, καὶ τὸν κόσμον ὑπεραναβὰς, ὀλίγα ἐπιστρέφῃ τῶν μὴ ἐθελόντων ζηλοῦν τὸ σὸν δίφρευμα· ἡμῖν δὲ ἐφίης λαλεῖν, εἴ τί που καὶ θεόθεν ἐπέλθῃ φθέγγεσθαι; Καὶ δὴ ποιῶμεν οὕτω, ὅσιε τῷ θεῷ μοναχέ. Ὥςπερ οὐ πάντοτέ σοι βαδιστέον, ἀλλά που καὶ ἠρεμητέον· οὐδὲ ὀρθοστάδην διανυστέον τὸ πᾶν τῆς ζωῆς ἀκατάκαμπτον, ἀλλὰ ἐν καιροῖς καὶ κατακλίσει δοτέον τὸ σῶμα, καὶ αὐτῇ οὐ μόνον κατὰ γῆν, ἀλλ' εἰ δεήσει ἐν χαμεύνῃ καὶ κλίνῃ, καὶ ταύτῃ μετὰ στρώματος· οὕτως οὐδὲ ποσὶ διόλου τριπτέον τὴν γῆν, ἀλλὰ καὶ ἐποχητέον διὰ περιπέτειαν, ὁποίας πολλὰς ὁ τοῦ βίου τροχὸς περιφέρει, στρεφόμενος ἄνω κάτω, καὶ ἀνακυκλῶν τὰ βιωτικά. Καὶ οὐ λέγω τὴν κατὰ νόσον, ὁποῖαι καὶ αὐταὶ πολυειδεῖς τὸ ἐν ἡμῖν ταπεινὸν σωμάτιον ἀνατιθέασιν εἰς βάσταγμα, ἑτεροῖα δέ τινα περιπτώματα, ὧν ἕνεκεν ἀνάγκη καὶ τὸν ἐν μοναχοῖς ὑπέρμεγαν ἀπολέγεσθαί ποτε τὸ ποσὶ βαδίζειν. Μακρὰ τοίνυν ὁδὸς βιάσεται αὐτῷ τὴν εἰς ὑποζύγιον ἀνάβασιν, καὶ σεμνότης δὲ ἀστεία, προςήκουσα καθαρείῳ ἀνθρώπῳ, μεγαλυνομένῳ ἐπίτηδες, ἵνα μὴ παραῤῥιπτῆται εἰς ἄγροικον.

29. Πολλαχοῦ γὰρ καὶ τὰ τοιαῦτα παρατηρητέα διὰ τοὺς ἀφραίνοντας, οἳ μὴ προκύπτειν εἰς τὸν ἔσω δυνάμενοι ἄνθρωπον, ἐκ τῶν ἔξω χαρακτηρίζειν αὐτὸν ἐθέλουσιν. Ὅθεν οὔτε εἰς εἰδεχθὲς χρῴζοιτο ἂν ὁ

τοιοῦτος μέγας μοναχός, ἵνα μὴ καὶ σιελογραφῆται τοῖς ἀπαιδεύτοις· εἰ δὲ μὴν ἀπέχοιτο, οὐδὲ τοῦ ἄλλως ἐπάγεσθαι τοὺς ἐντυγχάνοντας. Καὶ γὰρ καὶ ἱλαρυνεῖται, ὅτε καιρός, καὶ ὑπομειδιώσει γαληνιῶν. Τί δέ; εἰ πλεονάσας τουτὶ τὸ κατάστημα, καὶ γελάσει. Οὐ γὰρ ἔχω φιλεῖν ἐγὼ τοὺς παντάπασιν ἐξωθοῦντας τὸν γέλωτα, ἕως ἀκούω μακαρίους εἶναι τοὺς κλαίοντας νῦν, ὅτι γελάσουσιν. Οὐκοῦν καὶ ὁ τοιοῦτος θεραπευτὴς τοῦ θεοῦ πείσεται ὅμοιον, εἴ τί που παραπέσοι ἐφολκὸν εἰς ἀστειότητα· καὶ γλυκὺ δὲ ἐμβλέψει, καὶ ἀκοὴν ἐφελκύσεται, γλυκάζων, οἷς λαλεῖ· καὶ εὐωπὸς ἐντρανίζων ἔσται εἰς ἀνυπόκριτον, κατὰ τὸν ὡραῖον κάλλει κύριον ἡμῶν.

30. Δοτέον οὖν, καθὰ καὶ τροφὴν καιρίως ἐξαλλον καὶ λουτρὸν καθάρσιον καὶ στολὴν ἀτριβῆ, οὕτω καὶ ὄχημα διὰ ταῦτα τῷ μεγαλοσχήμονι, ὥστε χρᾶσθαι, οὐ μὴν ὑπερχρᾶσθαι, εἴτ' οὖν παραχρᾶσθαι. Ποιήσει δὲ αὐτὸ ἐκεῖνος εὐλαβῶς, ἐνθυμούμενος τόν, ὡς γέγραπται, ἐπὶ ὀσαγῆ πῶλον ἐπιβεβηκότα, καὶ μετὰ
Ms. fol. 182. a. ὕμνων θριαμβεύ||σαντα κατὰ τοῦ κοινοῦ πολεμίου δαίμονος πομπικῶς· οὐ μὴν ἄλλως τρυφερῶς κατά τοὺς καὶ οὕτω σπαταλῶντας, ἵνα μὴ τῷ λόγῳ τούτῳ καὶ τῇ ἀδιακρισίᾳ καὶ τῷ ἀδιαφόρῳ τῶν, εἰ χρὴ οὕτω φάναι, προτακτικῶν οἱ ὑποτακτικοὶ διαστρέφωνται τοῦ ἰθυτενοῦς, φαύλοις τούτοις ἀρχετύποις ἐξομοιούμενοι, καὶ οὐκ ἐντέχνως, οὐδὲ πρὸς ἀκρίβειαν τὰ πνευματικὰ γραφόμενοι. Μὴ γὰρ οὐ φιλοσοφία κατὰ τοὺς ἁγίους πατέρας ἐστὶ καὶ ἡ πολιτεία τῶν οὕτως ὑψηλῶν μοναχῶν; οἳ τὸν τῷ ὄντι φιλόσοφον ἐν σφίσιν αὐτοῖς εἰκονίζουσι, τὸν ὡς ἀληθῶς πρῶτον καὶ ἀνυπόθετον· ὃς πρὸς οὐδεμίαν ὅλως ἀρχὴν ἄλλην σχηματίζει τὰς κατ' αὐτὸν θεωρίας, ὅτι μὴ πρὸς τὴν ὑπέραρχον καὶ ἄναρχον· εἰς ἣν ἀναβαίνων, καὶ δραττόμενος αὐτῆς, καὶ ἐμπνεόμενος, ἀποκαθιστᾷ ἑαυτὸν εἰς αἰτήματα καὶ λήμματα καὶ ἀξιώματα καὶ ἐννοίας, δι' ὧν συνάγει τῷ θεῷ φίλα θεωρήματα, θεάμασιν αὐτὰ συγκροτούμενα, οἷς ἐλλάμπεται, ἀμέσως ὁμιλῶν τῷ θεῷ σχήματι μεγάλῳ καὶ ὑψηλῷ τῷ κατ' αὐτόν· τὰ μικρὰ καὶ χαμερπῆ παραλογισάμενος, καὶ ὡς, εἰ οὐδὲν θέμενος, ὅτι μηδὲ οἱ κατ' αὐτὰ ἐσχηματισμένοι λόγοι τε καὶ ἄνθρωποι τὸ ἐντελὲς ἀπειλήφασιν.

31. Ἀλλὰ γὰρ ἐνταῦθα ὑποβλέπομαι τοὺς μικροσχήμονας μοναχούς, οἷς μέμηλε τὰ πλείω ἱπποκομεῖν καὶ ἱππάζεσθαι, τονθορύζοντας, καὶ μύζοντας, καὶ ὧδε κἀκεῖ στρεφομένους· τάχα μὲν εἰς ἀπόστροφον τὸ ἐπ' ἐμοί, τυχὸν δὲ καί, ἵνα ὀργάνῳ περιτετυχηκότες ἐξ αὐτομάτου, χρήσωνται κατὰ τῶν ἐμῶν χειλέων, ὡς λάλων ὑπὲρ τὸ δέον. Ἐγὼ δὲ ἀφιεὶς αὐτοὺς κατὰ τὰ θυμομαχοῦντα τῶν θηρίων διατεθεῖσθαι, καὶ προφωνησάμενος ἀναμένειν ἡσυχῇ τὸν ἐπ' αὐτοῖς λόγον, τῶν ἐμῶν πάλιν μεγάλων μοναχῶν γίνομαι, καὶ εἰς νοῦν αὐτοῖς τίθημι, ὁποῖα μὲν τῷ θεῷ ηὔξαντο, οἷα δὲ ἐπιδείκνυνται· οὐχ ἁπλῶς ἑτεροῖα, ἢ ἀλλοῖα, ἢ ἄλλα, ἢ διάφορα, ἐναντία δὲ εἰς τὸ πᾶν, ὡς εἴπερ μὴ ἠρωτήθησαν ἐπὶ διορθώσει κακιῶν καὶ ἐπ' ἀναλήψει ἀρετῶν· ἀλλ' ἵνα τὰ φαῦλα ἐπεγνωκότες ἀνδρίσωνται ἐν αὐτοῖς ἐκείνοις, καὶ ἑρμηνευθέντες τὰ δεινά, οἷς ἐκπολεμεῖται ὁ τοῦ θεοῦ ἄνθρωπος, προςχωρήσωσιν ἐπ' αὐτά, καὶ φιλιωθέντες ἔλθωσιν εἰς ἓν αὐτοῖς, καὶ μη ἔχωσι τοῦ λοιποῦ ἐξ ἐκείνων πράγματα· δεδιότες οἷον, μή ποτε ὁ θεῖος ὁπλισμός, ὃν ἀναληφθέντα ἐκ τοῦ κατὰ θεὸν θωρακίου περίκεινται, ὡς ἀνόπιν ὁ λόγος ἐδήλωσεν, οὐ δεφενδεύσῃ αὐτοῖς τὴν ἀσφάλειαν, οὐδὲ δυνήσονται κατασβέσαι τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ· ἅπερ κατὰ μὲν σιδηρέου θώρακος, τοῦ κατὰ θεόν, καὶ κατὰ στερεοῦ θυρεοῦ, ἔτι δὲ καὶ παντὸς ἐρυμνοῦ τειχίσματος μικρὰ ἢ οὐδὲν ἐνεργοῦσι, κατὰ δὲ καλάμης καὶ χόρτου καὶ λοιποῦ συρφετοῦ δύνανται εἰς ἐκφλόγωσιν καὶ ἀπώλειαν.

32. Τοῦτό τε οὖν οὕτω δειλιῶν ἐπὶ τοῖς πνευματικοῖς ὅπλοις ἐοίκασι, καὶ οὐδὲ τὰ προπεφρασμένα ἱερὰ ἐκεῖνα τῆς πνευματικῆς κουρᾶς εἰς νοῦν ἄγειν ψάλματα φαίνονται, δι' ὧν ὅσα καὶ σαλπίγγων καὶ λοιπῶν ὀργάνων, οἷς θαρσοποιοῦνται εἰς μέγαν πόλεμον ἄνθρωποι, γλυκέως ἐτάξαντο τὸν κατὰ τοῦ δαίμονος ἕκαστος πόλεμον, κατεπᾳδόμενος καὶ μακαρισμοῖς, ὡς ἐρρέθη· ὧν οἱ τοιοῦτοι στρατιῶται τοῦ θεοῦ ἐπιτυγχάνουσιν ἀριστεύσαντες. Οὐκ ἐνθυμεῖται δὲ ὁ τοιοῦτος μοναχὸς οὐδὲ τὴν τοῦ βίου κατάγνωσιν, ἣν καταψαλλομένην ἀκούων συνηγαλλιᾶτο καὶ συγκατεγίνωσκεν· ἀλλ' ὡς οἷον μεταμελόμενος, ὅτι καλοῦ πράγματος κατεγίνωσκεν, ἐπάνεισιν εἰς τὰ πρώην,
Ms. fol. 183. b. καὶ ἐκμειλίσσεται αὐτά, βιο||τεύων φαύλως, οὐχ ὥςπερ καὶ πρίν, ἀλλὰ θερμότερον, εἴ γε δύναται· καὶ οὐ διαλογίζεται, τί μὲν ἠρωτήθη, ἐναρχόμενος τοῦ ἱεροῦ πολιτεύματος, τί δὲ ἀπεκρίνατο.

33. Ἡ ἐρώτησις ἐκείνη, ὦ ἀδελφέ, τὸ τῆς προςελεύσεως ἐπολυπραγμόνει αἴτιον· ἐπυνθάνετο δὲ καί, εἰ προςελθὼν ἐργασίᾳ σπουδαιοτάτῃ, παραμενεῖς αὐτῇ μέχρι τέλους φερεπονώτερον, εἰ χρὴ τὸ πᾶν εἰπεῖν ἐν οὕτως ὀλιγίστῳ. Σὺ δὲ κατέθου θερμῶς, καί, ὡς ἐφαίνετο, ἐκ βυθίου θελήματος. Καὶ τοῦτο μὲν τότε. Καὶ οἱ μάρτυρες πολλοί, καὶ οὐδὲ παραγραφὴν εἰδότες πάσχειν, καὶ μάλιστα οἱ τῷ κρείττονι πλησιάζοντες, ὧν εὔχεταί τις ἀκοῦσαι φωνήν, οἱ τοῦ θεοῦ ἄγγελοι· οὓς εἴ τις παραγράψασθαι ἀπαυθαδίσεται, αὐτίκα

καὶ θεοῦ αὐτοῦ κατεπιχειρήσει. Οὐ [illegible]λὲς δὲ καθορᾶται χρόνος, καὶ ἡ ἀνθομολόγησις ἐκείνη κατήργηταί σοι ἄλλως φυλαττομένη, κατά τινα παράνοιαν, καὶ οὐ πρὸς ὀρθότητα καὶ ὑγίειαν λογισμοῦ. Ὑπακούεις μὲν γὰρ — πλὴν οὐ καθὰ ἐτάξω, ἀλλ' ὅτε τις προκαλέσεταί σε εἰς κοινοποίησιν βαλαντίου, καὶ εἰς προαγωγὰς κρύψεως ἀνδρῶν ἀθώων εἰς γῆν, καὶ εἰς ἄλλα ὅμοια. Ἢ γὰρ οὐ τοιαῦτα τὰ διὰ σοῦ ἐντριβόμενα πράγματα τοῖς οὐδὲν αἰτίοις; Σοῦ γὰρ εἶναί φημι ἔργα τὰ ὑπὸ σοῦ κελευόμενα. Καὶ οὕτω μὲν ὑπακούεις, ὡς μὴ ὤφελες· ὤφελες γὰρ κεκωφῶσθαι μᾶλλον, ἢ οὕτως ἀκούειν καὶ ὑπακούειν. Θλίβεσθαι δὲ εἰς τοσοῦτον ἀπέχεις, ὡς διὰ τὴν ἐν σοὶ θηριώδη χαροπότητα, καὶ πραγματεύεσθαι θλίψεις ἑτέροις, ἵνα σὺ χαίρῃς. Τῷ γὰρ λόγῳ τῆς ἐνδοξότητος, ἣν ἀπελέξω, καὶ τῇ ἀφορμῇ τοῦ ἀκαταφρονήτου, ὃ καὶ αὐτὸ ἀπηρνήσω, οἷς πρόβατον θεοῦ γεγονὼς προείλου ταπείνωσιν, οὐχ ἁπλῶς θλίβεις, εἴτ' οὖν πιέζεις (τοῦτο γάρ ἐστι θλίβειν), ἀλλὰ συμπνίγεις, ἄγχεις, αἰκίζεις, κολάζεις, ὑπερβαίνων εὐμεθόδως τὴν θλιπτικὴν ἐνέργειαν· ἵνα συντριπτικὸς ἀποκαταστὰς καὶ ἀπρόσιτος, ἔχῃς τοῖς ἀλλοτρίοις ἐμπλατύνεσθαι· ὃ δὴ καὶ ποιεῖς χάριτι τῆς ὑστερογενοῦς ἔν σοι προθέσεως· καὶ οὕτω ψευδῆ καὶ τὴν στενοχωρίαν, ἣν ἔστερξας, τὴν ἄλλως μὲν ἀποστενουμένην ἐν τοῖς ὧδε, καὶ θλίβουσαν εὐαγγελικῶς, ἐν δὲ τοῖς ἐκεῖ ἀνοίγουσαν εὐρυχωρίαν ἀνεκδιήγητον.

34. Μνήμη δέ μοι στενοχωρίας ἐνταῦθα, οὐ τῆς καθάπαξ ἐν τοῖς ἀναγκαίοις, καὶ ὧν ἄνευ οὐκ ἔστι βιοῦν ἄνθρωπον τοιοῦτον, ὅτι μηδὲ εἰς αὐτόχρημα νοῦν ὁ μεγαλοσχήμων μετεσκεύασται· ἀλλὰ τῆς ἀνεπιμίκτου τῷ περιουσιαστικῷ πλατυσμῷ· ἐπεὶ οὔτε τὸ στενόχωρον ἀνεπίδεκτόν ἐστι τοῦ ὅλως χωρεῖν, καὶ οὐδὲ ταὐτὸν στενοχωρεῖσθαι καὶ ἐμπλατύνεσθαι· διὸ καὶ ἔστι πολλοὺς μὴ ἀπερίττους ὄντας, ὅμως ἐστενοχωρημένους καὶ εἶναι καὶ λέγεσθαι, καὶ αὐτὸ ἐπί τε τῶν τοῦ κόσμου, καὶ τῶν, ὅσοι τοῦ θειοτάτου πνεύματος. Ἔοικε γὰρ πηγῇ τινι καὶ ὁ κατὰ βίον πορισμός, καὶ ὁ ἐντεῦθεν περιουσιασμός· καὶ ἔστιν ἰδεῖν, ὅτι, καθάπερ ἐπὶ μεγάλου καὶ πολυανθρώπου τόπου βραχεῖα πηγή, οὐκ ἀξιόλογον ἐκβλύζουσα λιβάδιον, ἀχρεία ἐστὶ τῆς ὀλιγότητος· εἰ δέ που εὐπερίγραπτός τις εἴη κώμη, πληθύουσα ὕδασιν, εἰς οὐδὲν ἐκείνη ἀναγκαῖον εὐμοιρεῖ τοῦ πλησμίου ὕδατος — οὕτω καὶ ἐπὶ μοναστηρίου μὲν σμικροῦ μάταιος ἡ ὑπέρπλεως κτῆσις, καὶ μάλισθ', ὅτε οἱ μονάζοντες εἰς κενὸν ἀφιᾶσι κατακεῖσθαι τὸ περιττόν· μεγεθυνομένῳ δέ, καὶ οὐ μόνον οἰκοδομαῖς, ἀλλὰ καὶ πληθυσμῷ θείῳ, πολλῆς χρεία τῆς περιττότητος, καθὰ καὶ νομῆς δαψιλοῦς μεγάλῳ ποιμνίῳ.

35. Καὶ ἔχει τις ἐπιλέγειν τῷ μὲν εὐπεριγράπτῳ φροντιστηρίῳ τό. ἡ πηγή σοι τοῦ ὕδατος || ἔστω ἰδία, μὴ παραπίνοντι κλοπιμαίας γλυκύτητος· τῷ δὲ εὐπεριουσιάστῳ εἰς ὑπερβολὴν τὸ ὑπερεκχείσθω τὸ ἔν σοι ὕδωρ ἔξω τῆς γραφικῆς ὁδοῦ, ὃν καὶ ὁ ψαλμῳδὸς τῇ ἀβάτῳ καὶ ἀνύδρῳ ἀντιδιαστέλλει. Καὶ ὁ θεὸς εἰς ἀμάραν πολύῤῥουν τεχνᾶται τοῖς δευμένοις ἀρδείας κανονικῆς· ὡς, εἰ μή γε οὕτως ἐξαποῤῥέειν μέλλοι τὸ τῆς ὑπερκτήσεως ὕδωρ, κρεῖττον ἦν, ἢ μηδὲ τὴν ἀρχὴν θεμέλια ὀρυγῆναι τοιαύταις οἰκοδομαῖς, ἢ ἀλλὰ τελεσφορηθείσας ἐκ μέσου γενέσθαι ἁρπυίαις καὶ σεισμοῖς καὶ θείῳ πυρί. Ms. fol. 184 a.

36. Τί γὰρ κτητέον καὶ ἐπικτητέον εἰς πονηρὰν κτῆσιν τοὺς εἰδότας, ὅτι καὶ γῆ μετάλλοις τιμίοις πλουτοῦσα οὐ συνέχει αὐτὰ εἰς ἐνδόμυχον, ἀλλὰ τὰ μὲν ἐπιπολῆς ἐξανθεῖ, ὡς καὶ φαίνεσθαι καὶ συνάγεσθαι εἰς χρῆσιν ζωῆς· τὰ δὲ κρύπτει μέν, ἐμφαίνει δὲ ἄλλως ἐν τῷ πολυπραγμονεῖσθαι βαθύτερον, καὶ οὕτω διδόναι αὐτὰ μεταλλευταῖς ἐπὶ οἰκωφελίᾳ, οἳ καθά τι ὄψον κόπου τὰ κερδαλέα λαμβάνουσι; Καὶ κοιλίαι δὲ γῆς, ὕδατος μεμεστωμέναι, ἄλλαι μὲν ἀνερεύγονται τὸ ἐν αὐταῖς καλὸν εἰς ἐμφανές, καὶ οὕτω κοινὴ ἀπόλαυσις πρόκειται· πλείους δέ γε συστελλόμεναι εἰς κρύφιον, τοῖς φρεωρύχοις ἀρετὴν παρέχουσι, δεξιουμένοις αὐτὰς τεχνικῶς, καὶ εἰς φῶς προάγουσι. Καὶ οὕτω μέν, ὦ ἡμέτεροι μεγάλοι ἐν τοῖς ὧδε μοναχοί, οὐ καθ' ἑαυτοὺς μέντοι ἄλλως μεγάλοι, ἀλλὰ διὰ τὴν τοῦ εὐαγγελικοῦ μεγάλου περίθεσιν σχήματος, ὅμοιον δὲ εἰπεῖν, διὰ τὸ προφαινόμενον, περιουσιαστέον καὶ ὑμᾶς ὕπερθεν ἴσως μέτρου· ἄλλως δὲ οὐκ ἄν. Προμηθεία γὰρ καὶ μόνη τοῦ μέλλοντος, καὶ αὐτὴ σταθερὰ καὶ θεοφιλής, τὴν τοῦ πλεονάζοντος ἀπόθεσιν συνιστᾷ, χρησίμην ἐσομένην καὶ ἀναγκαίαν ἐν τοῖς εἰςέπειτα. Ὅπερ ἐν τῇ μεγίστῃ τῶν πόλεων μάλιστα ἐφωράσαμεν· οἰκονομίας λόγῳ καταπράττεσθαι· ὅπου ἀποτίθενται μὲν καθὰ καὶ ἐν εὐαγγελικοῖς κοφίνοις, ἔτι δὲ καὶ σπυρίσιν, ἐλλείμματα θεῷ φίλα, εὐλογητοῦ κόρου λείψανα· οὐ δαπανῶνται δὲ ἀχρείως εἰς οὐδὲν δέον, ἀλλ' ὅτε καιρὸς καλέσει δαπάνης, ἐξαντλοῦνται τὰ συνηγμένα· ὥστε ἢ ψυχὰς πεινώσας ἐμπλῆσαι ἄρτων, καὶ ἐν ἡμέραις χορτάσαι λιμοῦ, ἢ κατὰ αἰχμαλωσίας ῥυῆναι· ὡς παρασύραι μὲν κακὰ δουλώσεως, ἀποκαταστῆσαι δὲ τοὺς ᾐχμαλωτισμένους εἰς τὸ ἐλευθέριον· ἢ ἀντικαταστῆναι χρόνῳ ἐγχανόντι κατὰ τῆς μονῆς, ἢ ἄλλο τι ἐνάρετον καταπράξεσθαι.

37. *Τοιούτῳ δέ τινι λόγῳ δίχα πολλῶν ἄλλων, δι᾽ ὧν τὰ κατὰ κόσμον συνίσταται, καὶ τῷ Δαυϊτικῷ μνήματι τάλαντα ἐγκέκρυπτο χρυσίου πολλοῦ. Ὑμνεῖται δὲ καὶ γλωσσόκομον ἐκεῖνο καλὸν ὄν, εἰ καὶ ὁ βαστάζων αὐτὸ Ἰούδας οὐ καλὸς ἦν. Ἠγάπα δὲ καὶ ἡ ἀποστολικὴ γερουσία τὰς ἐπὶ ἐλεημοσύνῃ ἀρκούσας προσφοράς. Συγκεχώρηται οὖν διὰ ταῦτα καὶ τὸ τοιοῦτον περίσσευμα, καθὰ καὶ ἐν ἱεροῖς ἡ τῶν ἁγίων σκευῶν καὶ λοιπῶν κτήσεων περιττότης. Κόλποις δὲ μοναχικοῖς ἰδίως ἐμφωλεύειν αὐτά, ὡς καὶ νεοττεύειν ἀκάθαρτα καὶ τῷ Θεῷ ἀπρόσφορα, τίς ἂν γνωματεύσειεν; ὁποίους κόλπους ἐν τοῖς καθ᾽ ἡμᾶς ὁρῶμεν, ἀπὸ χειρῶν πληρώσεως ἐν θερισμῷ καὶ συλλογῆς δραγμάτων (Δαυϊτικῶς φράσαι) ἐξογκουμένους εἰς ὑπέρμετρον, καὶ ταῦτα ἐν ἀνδράσι μικροῦ ἡμιωβολιαίοις.*

38. *Ἢ γὰρ οὐκ οἴδαμεν ἄνδρας, τοὺς μὲν ἱστὸν ὑφαίνοντας ὀλίγου τιμώμενον, καὶ μόγις δι᾽ ἡμέρας ἀποφερομένους κέρδος τοῦ καμάτου νούμμους εὐαριθμήτους, τοὺς δὲ ἱμάτια ῥάπτοντας, ἢ χαλκὸν κατακροτοῦντας, ἢ σκηνὰς καταρτύοντας, ἑτέρους δὲ σκευω-* Ms. fol. 184 b. *|| ροῦντας παντοῖα δέρματα, καὶ ἄλλους ὀχλοῦντας τὴν θάλασσαν ἐπὶ ὀλιγίστοις ἀλφίτοις· πολλοὺς δὲ καὶ αὐτόχρημα ἐπαίτας, καὶ δι᾽ αὐτὸ κακούργους; Οἷς προσενθυμητέον καὶ τοὺς ἐξ ἱεροσυλίας καὶ λοιπῆς κλεπτικῆς τὴν μὲν πόλιν ταύτην ἀπειπαμένους ὡς δυσεργον, ἄραντας δὲ τοὺς ὀφθαλμοὺς εἰς ὄρος τοῦτο καὶ ἐκεῖνο καὶ ἄλλο τὰ περὶ ἡμᾶς, ἔνθα πάλαι μὲν ἐνέλαμπεν ἡ ἀρετὴ καὶ τὸ ἐκεῖθεν τίμιον, νῦν δὲ τὰ ἔμπαλιν· καὶ τὴν ἐκεῖθεν βοήθειαν πραγματευσαμένους τά γε εἰς δόκησιν ἐπὶ σωτηρίᾳ ψυχῆς καὶ ἀπαλλαγῇ, τοὺς μὲν ματαίου βίου, τοὺς δὲ καὶ ἐφαμάρτου, καὶ νῦν πεπλησμένους τὰς χεῖρας, ὧν οὔτε ἐχρῆν, οὔτε πρέπει. Οὐκ ἐχρῆν μέν, ὅτι δέον ἐστί, τοὺς πρώην ἀκτημονοῦντας εἰς πλέον ἄρτι τοιούτους εἶναι· οὐ πρέπει δέ, ὅτι διὰ τό, ὡς ἐῤῥέθη, πλήρωμα τῶν χειρῶν οἱ πόδες αὐτοῖς εἰς κακίαν τρέχοντες, πονοῦνται περὶ τὰ μὴ τῷ Θεῷ φίλα. Συχνότερον γὰρ βλέπει τούτους ἡ ἀγορά, ἤπερ τὸ ἐκκλησιαστικὸν ἄθροισμα· οἳ καὶ θᾶττον ἂν ἀπολέξωνται μονάζειν, ἤπερ ἀγοράζειν. Καὶ μὴν ἔδει τοὺς τοιούτους μὴ ψεύδεσθαι τὴν μονήν, ἀλλὰ μένοντας ἠρεμεῖν τὰ πολλά, καὶ μὴ σοφίζεσθαι τὴν πνευματικὴν ἡσυχίαν, μηδὲ ποιεῖν αὐτὴν ἀρχὴν τοῦ κινεῖσθαι, παρ᾽ ὃ δεῖ, ἐν τῷ παρακούειν, ἠρεμίαν προηγεῖσθαι πάσης κινήσεως, ἵνα τι καὶ πρὸς ἱλαρότητα φθέγξωμαι.*

39. *Μένειν ἐτάχθης, ὦ μοναχέ, καὶ οὕτω φιλοσοφεῖν, οὐ μὴν περιπατητικῶς ἀναστρέφεσθαι. Μόνιμος ἔλαχες εἶναι θειότερον· οὐ μὴν μεταβατικὸς κοσμικώτερον ἀπαιτέστης καὶ μετέστης κόσμου καὶ τῶν ἐν αὐτῷ. Τί γοῦν παλίντροπος εἰς αὐτὸν ἐπανέρχῃ; Ἐνεφυτεύθης, ἔνθα τέταξαι· καὶ ἡ κατά σε αὕτη φυτεία δεξιᾶς Θεοῦ ἔργον, ψαλμικῶς εἰπεῖν· καὶ ὁ τόπος μονή· καὶ σὺ μοναχός· καὶ ὁ σκοπός, παραμένειν ἐκεῖ. Τί οὖν τούτων κατεγνωκώς, καὶ οὕτως ἐκσπῶν σεαυτόν, ἀχρειοῖς τὴν πνευματικὴν φυλακίαν, καὶ ψεύδῃ τὸν γεωργόν, ᾧ πεπίστευσαι; Ῥιζώθητι μείνας, καὶ ἀνάβαινε εἰς ὕψος, κυπαρίσσου δίκην καὶ κέδρου καὶ πεύκης, τῶν εὐγενῶς ἀειθαλῶν, καὶ ἔτι κατὰ τὰ φιλητῶς κάρπιμα· ὡς ἂν οὕτω καὶ ῥίζας ἁπλώσῃς, δι᾽ ὧν ἔσται σοι τὸ θάλος διηνεκές, καὶ εἰς πρέμνον ἁδρυνθῇς· ὃ καὶ παραφυάδας εὐφυεῖς ἀναθηλήσει, ἀνθρώπους δηλαδὴ τὴν σὴν ἀρετὴν ζηλοῦντας, καὶ οὕτω στεῤῥῶς παραπεφυκότας σοι, καὶ στελέχη ἀνατελεῖ καὶ κλάδους καὶ ὅρπηκας· καὶ αὐτοὺς τέως μὲν ἄνθεσι βρύοντας τοῖς τοῦ καρποῦ προδρόμοις, ἐν δὲ καιρῷ καρπογονοῦντας τα ψυχικῶς τρόφιμα· ὧν δὴ πάντων ἐστέρηται τὰ μήτε παγίως εἰς βάθος ῥιζούμενα, μήτε εἰς ὕψος ἀναβαίνοντα, προσπεπτηκότα δὲ τῇ κατὰ γῆν ἕρψει. Ὧν ἐκφεύγων τὸν ζῆλον, ὦ μοναχέ, μηδὲ σὺ ἕρπε, ὡσεὶ καὶ τρίβολος ἀχρειοῦσα τὸ θεῖον κήπευμα, μενοῦν γε μηδὲ κατὰ τὴν κάππαριν, ἧς εἰ καὶ χρηστοὶ πρὸς βρῶσιν οἱ κόρυμβοι, καὶ που καὶ τὰ ἄκρα, ὅμως, οἷς ἠκάνθωται, ἀπρόσβατός ἐστι καὶ αὐτὴ τοῖς μὴ καλῶς ὑποδεδεμένοις εἰς ἑτοιμασίαν ὁδοῦ. Ἐνταῦθα ἐνθυμοῦ καί, ὅτι νόμος γεωργικὸς παραδέδοται, τῷ πλείονι μὲν ἵστασθαι τὸ φυτὸν ἐγκεχωσμένον τῇ γῇ, τῷ δὲ ἐλάττονι, κινεῖσθαι, ὡς ἂν οὕτω τῆς μητρὸς γῆς ἀπολαῦον εἰς πλήσμιον, ἀναβαίνῃ ὄρθιον ἀσφαλῶς ἐπὶ καρποῦ ἐπαγγελίᾳ. Προσμένων οὖν καὶ αὐτός, καὶ ὡς οἷον ἐγκατορωρυγμένος εἰς γῆν τῇ τῶν ἔξω λήθῃ, καὶ ῥιζούμενος, ἀνάβαινε τῷ κατ᾽ ἀρετὴν ὕψει, καὶ οὕτω τεχνάζου βάθος τοῦτο καὶ ὕψος θεάρεστον, μόνιμα πάντως καὶ αὐτά.*

40. *Τί γὰρ γελοιότερον τοῦ τὴν μὲν ἀρχὴν ἐκπετασθῆναι τῶν κατὰ τὴν πόλιν διατριβῶν, καὶ ἐξ ὀφθαλμῶν γενέσθαι φιλίας ἁπάσης, τῆς τε κατὰ συγγένειαν καὶ λοιπῆς, καὶ ἀρετῶν ὄρει προσβῆναι, καὶ ζητεῖσθαι, καὶ μὴ εὑρίσκεσθαι; μετὰ δὲ μικρὸν ἐπανελθεῖν, || καὶ εὑρεθῆναι τοῖς μηκέτι ζητοῦσιν, ἀλλ᾽ ἐκφορτίσασιν;* Ms. fol. 185 a. 91. *Ὀψὲ μέν, ὦ οὗτος, ἀπῆλθες ὡς ἐπὶ μετανοίᾳ· ταχὺ δὲ ἐπανῆλθες μεταμέλος· ἀνέκαμψας κακῶς, ὅθεν συμφερόντως ἔφυγες. Οὐχ οὕτως οὐδὲ στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ, καὶ φαντασάμενος νομὰς παλαιὰς καὶ λουτρά, οἷς ἐναθύρων ἔβοσκε, τὸ τῆς ἐπιθυμίας*

ἄλογον, τὰ δεσμὰ ῥήξας, ἐκεῖ τρέχει, ὅποι καὶ πρώην ἐνέμετο. Ἀγνοεῖν ἔοικας, ὦ ἀδελφέ, ὅτι τὴν θεωρίαν, ἣν συνάγει ὁ καταμόνας ὁμιλῶν θεῷ, ἀπόλλυσιν αὖθις, ὅτε τῆς ἀγορᾶς γένηται καὶ ὅτι ἐκκρούεται ἡ ἡσυχαστικὴ μνήμη διὰ τῆς κοσμικῆς, καὶ ὡς ἐν ἀντιπεριστάσει τινὶ ἐκεῖνα μὲν τὰ ἐκ τοῦ ὄρους πνευματικὰ ὁ καταβὰς ἀσκητὴς κάτω ἀφίησι, καμήλου δίκην ἀποθέμενος αὐτὰ δι᾿ ὑποπτώσεως, τὰ δὲ τῆς τύρβης ἀχθοφορῶν ἄνω φέρει, καὶ τοῦ παντὸς ἀλλαξάμενος τὸ μηδὲν ἄνεισιν, ἀντὶ ἀσκητοῦ ἀσκίτης θύλακος, ἐμπεπλησμένος τὰ πολλὰ καὶ ἀγωγίμων, ἅπερ μισοῦσιν οἱ ἐγκρατεῖς, καὶ τοῖς ἐξ ἀφαιρέσεως φαντάσμασιν, ὁποῖα κάτωθεν ἀνεμάξατο, ἀπαλείψας τὸ κατ᾿ εἰκόνα, ὃ διὰ νοημάτων θείων ἐνετυπώσατο ἐκ τῆς μονῆς ἡ ψυχή.

41. Ἀνέβης εἰς ὕψος, ὦ κεκαρμένε, πνευματικῶς, καὶ ἄνθρωπος οὕτως ἐγένου θεοῦ, ὅτε εἰς τὸ ὄρος ἀνῆλθες. Τί γοῦν κατακυλιόμενος, πρινὴ καὶ κατασταθῆναι, πεδινὸς φέρῃ; Ὑψηλὸς γέγονας· διατί ἀποτελευτᾷς εἰς χθαμαλότητα; Οὐράνιος· διατί κατάγειος; Ἀνέβης ἐκ φθορᾶς εἰς ζωήν, ὡς οἷα μεταπεπλασμένος· ἱνατί γοῦν ἐθέλεις ἀναλύεσθαι εἰς τὰ πρότερον; Μετέθου, κατὰ τὸν Ἐνὼχ ἀναληφθεὶς τῷ θεῷ· μεῖνον οὖν κατὰ τὸ θέλημα τοῦ θεοῦ, ὃς ἐθέλει καὶ σὲ μένειν, ἕως ἔρχεται, ὁποίαν ἂν ταύτην ἔλευσιν ἐθέλεις νοεῖν. Οὐκ ἔστι σοι ἀτιμία, εἴπερ τῇ τοιαύτῃ προσεδρείᾳ μεταθέμενόν σε καλοῦμεν. Οὐ γάρ ἐστι κἀνταῦθα ἐφύβριστος ὁ καλούμενος μεταθέμενος.' Ἐξετόπισας τοῦ βίου σεαυτόν. Τί τοίνυν ἐθέλεις ἔντοπος τοῖς πρώην προστετηκέναι, καὶ οὕτως ἐκβαίνειν ἄτοπος, καὶ που καὶ ἀκούειν ὡς ἐν μυκτηρισμῷ καταψαλλόμενόν σου τὸ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς; Ἀλλὰ γὰρ ἐοίκασιν οἱ μικροσχήμονες πανουργεύσασθαι καὶ νῦν καθ᾿ ἡμῶν, οἷς ἀποστήσαντες ἡμᾶς τῶν κατ᾿ αὐτοὺς πατέρων ἀπησχόλησαν τὸν λόγον πρὸς τοῖς κοινοῖς φορτικοῖς, ὡς ἂν ἐν τῇ τοιαύτῃ κοινοπαθείᾳ συγχεόμενα τὰ ἑκατέρων ἔχωσιν, εἰ δυνατόν, κρύπτεσθαι. Οὐκ ἂν δὲ ἀνύσωσι τὸ σφίσι προκείμενον.

42. Ἀφέμενοι γάρ, ἰδού, τῶν κοινῶν, ἐπανερχόμεθα πρὸς μόνους τοὺς μείζονας, οἳ τῇ πρὸς αὐτοὺς ἐξομοιώσει συνδιαστρέφουσι τοὺς ὁμιλητάς, καὶ ψευδόμενοι τὸ ἄβιον, καθὰ καὶ τὸ κοινόβιον, διὰ τοῦ εἶναι ἰδιόβιοι, καθηγοῦνται τοῦ αὐτοῦ παιδεύματος καὶ τοῖς εὐφυῶς διακειμένοις πρὸς διαστροφὴν μαθηταῖς. Ἀναβιβάζω δὴ ἐς νόησιν τῷ μεγαλοσχήμονι μοναχῷ, καὶ ὅτι ἀγγέλων σχῆμα ἐπιποθεῖν ἐδιδάχθη, ὥστε καὶ εἰς πρόσωπον αὐτὸς ἀγγέλου τέτακται. Ἔστι δὲ ἄρα τοῦτο οὐ μέγα εἰς ἐντροπὴν τοῖς τοιούτοις, οἳ καὶ ἄγγελον ὑπεραναβαίνουσιν, ὡς τῆς ἱερωτάτης ἀσκητικῆς γραφῆς ἐκμανθάνομεν, εἴπερ ἐθέλουσι, τὴν ψαλμικὴν βραχεῖαν ἐλάττωσιν παραύξοντες αὐτοὶ καὶ ὑπὲρ τὴν ἰσότητα. Κάτεχε οὖν, ὦ ἄβιε καὶ τῇ προθέσει ἅγιε μοναχέ, καὶ τοῦτο, καὶ εἴ σοι τηλικούτῳ ὄντι πρέπον || ἐστί, κατασπασθεὶς τῆς αὐλίας Ms. fol. 185. b. εἰς ἀγεννές τι μέταλλον γῆς, καὶ μηδὲ λογισάμενος, ὡς ἡ παλαιὰ ἱστορία τοῖς Ἀβίοις αὐτίκα καὶ τὸ δικαιότατον συνέθηκε διὰ τὸ κατ᾿ αὐτοὺς ὀλιγόβιον, ἔσω μαγνῆτις βίου, ἐπισπωμένη σιδήρια μοχθηρὰ ἢ καὶ ὡς ἤλεκτρος ἐφελκόμενος ἄχυρα, οἷς ὀρθῶς εἰκάζεται τὰ βιωτικά, πυρὸς ἀσβέστου δεόμενα. Ἐδιδάχθης, ὦ μοναχέ, τὰς ἀρχὰς καὶ ἀγγέλους παρεστάναι, ἀπογραφομένους τὰς ὁμολογίας σου. Διάβαλλε τοίνυν αὐτούς, εἰ βούλει, ἀφαρπάζων, καὶ τὸ σύμφωνον ἔγγραφον.

43. Ἔμαθες, καὶ ὅτι σταυρὸν ἐπηγγείλου καὶ θάνατον. Εἰ γοῦν ἀποδυσπετεῖς, βάσταζε μηκέτι σταυρόν, ἀλλὰ ῥῶπον, εἴτ᾿ οὖν φόρτον πραγματευτικὸν κάτω βαρύνοντα, ἵνα καὶ εἰς ῥωποπερπερήθραν σκωφθῇς. Πρὸς γὰρ τῷ ῥώπῳ καὶ τὸ πέρπερον ἐξασκεῖς, εἰ καὶ αὐτὸ ἀπηρνήσω, καθὰ προϊὼν ὁ λόγος ἀποφανεῖ. Μήτε τοίνυν σταυρόν, ὡς ἔφαμεν, εἰ βούλει, βάσταζε, καὶ μηδὲ θνῆσκε, τοῖς κάτω νεκρούμενος εἰς ἀντάλλαγμα ζωῆς αἰωνίου ἀλλὰ ζῆθι, καὶ ἀγάλλου, καὶ ἅλλου, καὶ τρύφα, καὶ κατὰ πάντων ἀνδρίζου, καὶ δίδου ἀντίψυχον τοιοῦτον χάριν σου τῷ θανάτῳ καὶ οὕτως, εἴπερ οἷόν τε, μόνος κληρονόμει τὸ πᾶν.

44. Ἔτι κατηχήθης, δίχα τῶν ἄλλων, τῶν καὶ πολλῶν καὶ μεγάλων καὶ εὐκόλων, καὶ τὴν ἔριν ἀποπροσποιεῖσθαι, καὶ τὸν θυμόν, καὶ τὴν κραυγήν, καὶ τὴν ἀεργίαν, καὶ τὴν παῤῥησίαν, καὶ τὴν μερικὴν φιλίαν, καὶ τὸ περπερεύεσθαι, καὶ τὸν γογγυσμόν, καὶ τὸ ψίθυρον, καὶ τὴν ἰδιάζουσαν ἐπίκτησιν. Λογοπράγησον οὖν σεαυτόν, καὶ διὰ τῶν τοιούτων ἐλθὼν ὁμολογιῶν, αὔχησον ἀποστολικῶς, εἰ δύνασαι καυχήσασθαι, ἐπὶ μιᾷ γοῦν τῶν τοιούτων σου συνταγῶν· εἰ δὲ αὐτὸς ὀκνήσεις τὴν λαλιάν, ἰδοὺ ἐγὼ ἐπὶ σε. Καὶ τοίνυν ἀκούων ἢ ἐξέλεγχε ὡς ψευδομένους ἡμᾶς, ἢ ἀλλὰ ἐντρέπου πρὸς διόρθωσιν· ἵνα καὶ σὺ κερδήσῃς τὴν τοῦ θεοῦ παράστασιν, ὡς ἐτάξω, ἧς μακρύνεσθαι κινδυνεύεις· καὶ ἡμεῖς μισθὸν ληψόμεθα τοῦ ἐπιστρέψαι σε. Βλέπω τὸν θυμόν σου παρατιθέμενον ὡς εἰς ὁμοίωσιν ὄφεως. Οὐ γὰρ συρίττεις μόνον, καὶ ἰὸν ἐντήκεις δάκνων, τὰ πλείω δὲ ἀκοντίζων αὐτὸν ἐκ στόματος· ἀλλὰ καὶ τὸν ὁλκὸν ἑλίττων εἰς βλάβην, οἷς

οὐ μόνον σφίγγεις εἰς ἐμφανές, ἀλλὰ γαὶ στρέφων δόλους, ἵνα προβάλλῃ σκοπὸν πάντων, ὧν ῥαδιουργεῖς τῇ καὶ ἐν φωτὶ καὶ ἐν ἀποκρύφῳ ἐνέδρᾳ· ὃ δέ ἐστι, τὸν ἀθῷον ἀποκτείνειν. Ἀθῷον δὲ νῦν λέγω οὐ μόνον τὸν μηδὲν μηδόλως ἐξαμαρτόντα σοι, ἀλλὰ καὶ τὸν παραπικράναντα, βιαίως δὲ φάναι, καὶ τὸν τὰ χείριστα κατά σου δράσαντα. Τίνα γὰρ καὶ ἔχοις ἂν αὐτὸς εἰπεῖν μὴ ἀθῷον τὰ ἐπὶ σοι, ἄνθρωπος νενεκρωμένος τῷ κόσμῳ δι' ἁπλότητα, καθ' ἣν ἀγνοεῖ τις οὐ δεξιὰ καὶ ἀριστερὰ μόνον, ἀλλὰ καὶ ἐὰν ζῇ, καὶ παρὰ βραχύ τι ἐκβιούς, καὶ μηδὲν ἔχων, ὃ ἂν ζημιωθείης; Ἀθῷος οὖν, τό γε εἰς σὲ ἧκον, ἅπας καὶ παντοῖος ἄνθρωπος. Σὺ μὲν γὰρ ἀκραιφνοῦς ἀκτήμων δὲ οὐδεὶς ἂν ζημιοῖτο πρὸς οὐδενός. Εἰς τί οὖν σοι ἔσται ὁ θυμός, ὅτι μὴ μόνον κατὰ τοῦ πολεμίου ὄφεως, τοῦ δυναμένου τοὺς κατά σε ζημιοῦν, καὶ οὕτω μὴ ἀθῴου ἐπὶ σοι ἀπεκβαίνοντος; Εἰ δὲ ζητεῖς ἀπόδειξιν τοῦ ἔν σοι βραττομένου θυμοῦ, ῥᾴων μὲν αὕτη διὰ τὸ τῆς ἐκζέσεως ἀρίδηλον.

45. Ὀκνῶ δὲ τῷ τέως τὴν κατὰ μέρος ἠκριβωμένην || Ms. fol. 186. a. ἐπὶ σοι στηλίτευσιν. Καὶ οὕτω μὲν θυμοβολεῖς οὐ πρεπόντως, οὔτε σοί, οὔτε ἄλλῳ τινὶ πρὸς ἀκρίβειαν Χριστιανικήν. Ἔνθα δὲ θυμὸς οἰκεῖ ἀποικίζων γῆς πρᾳέων τὸν διὰ κενῆς αὐτῷ κάτοχον, ἐκεῖ δῆλον ὅτι καὶ φαύλη παραπέπηγεν ἔρις, ἡ τοῦ θυμοῦ καὶ πρόγονος τὰ πλείω καὶ ἐπίγονος· εἰπεῖν δὲ ἄλλως, ἡ τῷ θυμῷ συνουσιωμένη, καὶ διόλου ὅλη συναναπεφυρμένη. Οὔτε γὰρ μακρὸς θυμὸς οὐδεὶς ἔριδος δίχα, οὐδὲ μὴν ἔρις ἄθυμος, εἰ μή τις ἐνταῦθα τὴν ἐπαινετὴν καὶ θεῷ φίλην ἀντιπαραγάγῃ. Αὕτη γὰρ χαρᾷ ἐν θεῷ συνανακέκραται, καὶ οὐδὲν ἐν αὐτῇ λυπηρόν· διὸ οὐδὲ θυμικόν. Ἀμφοῖν δὲ τούτοιν, ἔριδι καὶ θυμῷ, παρομαρτεῖ καὶ κραυγή, παρά γε τοῖς ὀξυτέροις καὶ οὐδὲ βαθύφροσιν. Οἱ γὰρ ἄλλως ἀγχιμαθεῖς καὶ ἐχέμυθοι, οὓς καὶ μεγαλοθύμους ἡ παλαιά φησι λεκτική, οὔτε τὴν ἔριν προφαίνουσιν, ἀλλ' ἐνδόμυχον κρύπτουσι, καὶ τὸν θυμὸν βυσσοδομεύοντες ἐπηλυγάζουσι. Θυμὸς γοῦν καὶ ἔρις παρὰ σοὶ καὶ κραυγὴ φατριάζουσιν. Ὅπου δὲ τρία ταῦτα κακὰ παῤῥησιάζονται, πῶς ἂν μὴ οὐχὶ καὶ ἀεργία, τὸ μέγα κακὸν καὶ μοναχοῖς ἀπόῤῥητον, παρεισκρίνοιτο; Ἔνθα δὲ τύρβη περὶ ἀπεοικότα πολλὰ (πολλὰ δὲ τέως λέγω τὰ ἐκτεθειμένα τρία, καὶ οὐ ψεύδομαι τὴν πληθύν), ποῦ ποτε ἐκεῖ ἔργον μοναχικῇ πολιτείᾳ πρέπον; οὗπερ ὁ ἐστερημένος μέγας μοναχὸς νεκρός ἐστι τὰ εἰς θεοφιλῆ χειρουργίαν, καὶ ἄπρακτος, καὶ ἀνενέργητος.

46. Ἔτι ἔχεις, ὦ ἀδελφέ, παραιτησάμενος ἐκ παραγγελίας καὶ τὴν παῤῥησίαν, τὴν ἄκαιρον πάντως, τὴν ἄκριτον, ταὐτὸν δ' εἰπεῖν, οὐκ εὐδιάκριτον· ἣν οἱ σοφοὶ συνθέντες ἀκαιροπαῤῥησίαν φασί. Παῤῥησία μὲν γὰρ ἡ κυρίως ἐστὶν ἐν τῷ θαῤῥεῖν πᾶν ῥῆμα καὶ πρὸς πάντα ἄνθρωπον λαλεῖν εὐτόλμως ἀρετῆς κανόνι καὶ πρὸς μέτρον ἠθικῆς ἐπιστήμης, τὸ κατὰ χρόνον, τὸ προσωπικόν, τὸ κατὰ τρόπον, τὸ ἐν ποσότητι· ἵνα, ὥσπερ οἱ ἀκούοντες πᾶν ῥῆμα πονηρὸν ἕνεκεν τοῦ θεοῦ μακαρίζονται, οὕτως εἴη μακάριος καὶ ὁ παντὶ ῥήματι χρώμενος ἐπ' ὠφελείᾳ τῶν ἀκροωμένων, καὶ μηδέν τι καταλείπων τῶν δεόντων ῥηθῆναι, εἰ καὶ δακνηρά τινα φθέγγεται· ἵνα λέγῃ καὶ αὐτὸς τό· ε ἰ μ ὴ ἦ λ θ ο ν, κ α ὶ ἐ λ ά λ η σ α α ὐ τ ο ῖ ς, ἁ μ α ρ τ ί α ν ο ὐ κ ε ἶ χ ο ν· οὕτω παῤῥησιαζόμενος ἐν ἀλληλουχίᾳ τῇ κατὰ διδασκαλίαν καὶ ἔλεγχον. Καὶ ὁ μέγας θεὸς ἡμῶν, Ἰησοῦς Χριστός, ὅτε παῤῥησίᾳ ἐλάλει, ἐξενεύριζε τὰς χεῖρας τῶν ἐθελόντων καταμελετᾶν αὐτοῦ. Δι' αὐτῆς καὶ οἱ ὁμολογηταὶ καὶ οἱ λοιποὶ δὲ ἐθαυμαστώθησαν μάρτυρες ὑπὸ τοῦ θεοῦ, τοῦ καὶ ἐν ἐκδικήσεσι παῤῥησιαζομένου, ψαλμικῶς.

47. Καὶ τοιάδε μὲν ἡ ἐπαινουμένη παῤῥησία, ἣν καὶ ἄλλως ἡ ἱερωτάτη μυσταγωγία τόλμαν θείαν ἀκατάκριτον ὑποβάλλει νοεῖν. Εἰ μέντοι πᾶν τὸ ἐπελθὸν καὶ πρὸς πάντας ἐξερεύγεταί τις, καὶ παντὶ ῥήματι ἐκπετάννυσι τὸ στόμα, τολμῶν οὐκ εὐπαίδευτα, μηδὲ ἔχων φυλακὴν θείαν ἐπιτεθειμένην, μηδὲ θύραν περιοχῆς περὶ τὰ χείλη αὐτοῦ, δαιμονᾷ ὁ τοιοῦτος ἄντικρυς, καὶ οὐκ ἐν καθεστῶτι μένει, ὡς ἀδιακρίτως τὰ ἐπιόντα φθεγγόμενος. Οὔσης δὴ καὶ παῤῥησίας τῆς ἀπειρημένης παρὰ τῷ τοιούτῳ μεγάλῳ καλογέρῳ, καθ' ἣν πρὸς ἀναίδειαν τολμῶν θρασύνεται, τίς ἂν ἀποφήσῃ τοῦ τοιούτου καὶ τὸν γογγυσμὸν καὶ τὸ ψίθυρον, τὰ ἐλάττω κακά, καὶ προάγοντα τοὺς ὡς οἷον προαγῶνας τῆς τε ἔριδος καὶ τοῦ θυμοῦ, τῶν προεκτεθειμένων ἐναγωνίων κακῶν; ὧν καὶ φόνοι πολλαχοῦ ἀποτέλεσμα.

48. Ἔτι ἀπεῖπας, ὦ ἀδελφέ, καὶ τήν, ὡς εἴρηται, μερικὴν φιλίαν, ὅτε τοῖς ἀγγέλοις ἐνεγράφου, ὡς παραστησόμενος τῷ καὶ τῆς φιλίας ἐφόρῳ θεῷ. Θεώρει τοίνυν ἀναπεμπάζων τὴν μερικὴν φιλίαν διαστελλομένην σοφίᾳ θεωρητικῇ πρὸς τὴν καθολικήν· καὶ τάχα μὲν ὑπολάβοις ἄν, παράδοξόν τι νομοθετεῖσθαί σοι ἐνταῦθα. Εἰ γὰρ τὸ ἐν ἀτόμοις || Ms. fol. 186. b. μικρόν, λογιστέον φευκτόν, ὁποῖον καὶ τὸ φιλεῖν μερικῶς, πολλῷ δὴ πλέον τὸ ἐν τῷ καθόλου καὶ γενικῶς. Τὸ δέ ἐστιν, ὦ ἀδελφέ, οὐχ οὕτω διακείμενον· ἀλλ' ἔχει ὧδέ πως.

49. Τὰ μερικὰ δυσπερίληπτά εἰσι πάντως, καὶ οὐδὲ ῥᾳδίως εἰς ἐπέλευσιν ἱκνούμενα, διὰ τὴν ἐν αὐτοῖς ἀπειρίαν καὶ τὸ ἐντεῦθεν μυριοσχιδές, καὶ οἷον

μήτε εἰς γνῶσιν ἐλθεῖν, μήτε μεθοδευθῆναι πρὸς ἀκρίβειαν, μήτε εἰς ἐπιστήμην προσενεχθῆναι. Ἡ δὲ καθολικὴ σύλληψις ὥρισται, καὶ δι' αὐτὸ καὶ εἰς ῥᾴονα γνῶσιν ἥκει, καὶ μεθοδεύεται, καὶ τεχνοῦται, καὶ οὕτως εἰς βιωφελὲς προβαίνει. Διὰ τοίνυν ταῦτα καὶ ἀπηνήθης, καὶ συνέθου ἐνώπιον καὶ θεοῦ καὶ ἀγγέλων, μὴ τῇ μερικῇ προσανέχειν φιλίᾳ, τῇ εἰς ἀπειρίαν διεκπιπτούσῃ ἀπερίληπτον· ἵνα μὴ τὰ ἀκίχητα διώκων, εἰς μάτην ποιῇς· ἀλλὰ τῇ συνεσπειραμένῃ, καὶ εἴς τι ἓν σφιγγομένῃ, καὶ στρογγυλλομένῃ πρὸς ὁλότητα μίαν. Καὶ οὐ λέγω ταύτην γενικήν, ἵνα μὴ καὶ εἰς ἀδύνατον ἐκπεσοῦμαι παράγγελμα, προκαλούμενός σε, πάντας ἀνθρώπους ἁπλῶς οὕτω καὶ ἀνεπιστάτως φιλεῖν· ὅπερ οὐδ' αὐτὸ ῥᾴδιον, ὅτι μὴ καὶ μᾶλλον, τῆς μερικῆς καὶ ἐν ἀτόμοις φιλίας δυσκατεργαστότερον. Οὔκουν θαῤῥῶ, γενικὴν εἰπεῖν, ἀλλὰ μάλιστα ὁλικήν. Τοιαύτη δὲ ἡ τοῦ θεοῦ, ἡ πρὸς τὸν θεόν, ἡ κατὰ θεόν, ἡ ἐν αὐτῷ θεῷ· ὃν εἴπερ φιλεῖς, οὐκ ἔχεις φιλίαν μερικήν, οὐδὲ μὴν τὴν (σεμνότερον φάναι) γενικήν· ἀλλὰ καιριώτερον ἀποφήνασθαι, τὴν ὁλικήν. Εἰ γὰρ τὸ κυρίως ὅλον ὁ θεός, δι' οὗ ξύμπασα ὁλότης πέφηνεν, ἥ τε κατὰ κόσμον καὶ ἡ ὑπερκόσμιος, ὁλικὴ πάντως ἐστίν, ὥσπερ ἡ αὐτοῦ πρὸς πάντας ἡμᾶς φιλία (ὃς τοὺς αὐτοῦ θεράποντας οὐκέτι δούλους καλεῖ, ἀλλ' εἰς φίλους ἐγκρίνει), οὕτω καὶ ἡ ἑκάστου τῶν αὐτοῦ θεραπόντων πρὸς αὐτὸν ἀγάπη φιλοθέως ἀνακάμπτουσα, ὁλική ἐστι διὰ τὸ κατ' αὐτὴν ὁλόκληρον, καὶ ἐν ἀκεραιότητι ἐντελές.

50. Ὁ γοῦν μεγαλοσχήμων τοῦ θεοῦ ὅσιος ἐκεῖνον φιλῶν ὁλικῶς, καὶ τῷ τρόπῳ τούτῳ τὴν πρὸς τοὺς ὁμοφύλους φιλίαν ἔχων ὁλικήν, αὐτίκα κατὰ μετάβασιν εὔτακτον ὡς γενικὴν αὐτὴν πλουτεῖ, οὐ μὴν μερικήν. Παντὶ γὰρ ἀνθρώπῳ φιλουμένῳ ὑπ' αὐτοῦ ἐπικάμπτει τὸν θεόν, ὡς λαμβάνων ἐκεῖθεν πᾶν, ὅπερ ἂν αἰτῆναι. Καὶ οὕτω λοιπὸν οὐκ ἐστενοχωρημένην καὶ μερικὴν φιλίαν ἔχει, προσπαθῶς περὶ μόνον τοῦτον ἢ ἐκεῖνον διατεθειμένος· ἀλλ' ἐμπλατύνεται κατ' αὐτὸν πᾶσι τοῖς τοῦ θεοῦ, τοῖς ἐν πόλεσι, τοῖς ἐν κώμαις, τοῖς ἐν ἀγροῖς, τοῖς περὶ νήσους, εἰπεῖν συνόλως, τοῖς πανταχοῦ γῆς, ὅπου ἂν ἐπινεύσῃ· ἵνα θέσει καὶ αὐτὸς θεὸς ὤν, δύναιτο φιλεῖν πρὸς θεοῦ ἐξομοίωσιν ὁλικῶς, αὐτίκα δέ πως καὶ γενικῶς, καθ' ὑποκατάβασιν δὲ ἤδη που καὶ μερικῶς· ᾧ δὴ λόγῳ καὶ ὁ πάντας φιλῶν κύριος ἐφίλει καὶ τοπικῶς, ἀλλὰ καὶ ἐνιαίους· ὡς καὶ ὁ παμφίλητος Μωυσῆς διαδείκνυσι, καὶ ὁ ἔγγιστα θεραπεύων θεὸν τῆς καρτερίας ἀνήρ, ὁ Αὐσίτης Ἰώβ. Οὓς καὶ μερικῶς ὀρθῷ λόγῳ φιλεῖν λέγοιτο ἂν ὁ κύριος, εἴτ' οὖν ἀκριβῶς εἰπεῖν, κατὰ ἕνα· ὁποῖος καὶ ὁ ἐφ' ἅρματος ἁρπαγεὶς μόνος Ἠλίας, καὶ ὁ ἐξ ἁπάντων εἷς, ὁ ὡς αὐτὸς μόνος μείζων ἐν γεννητοῖς γυναικῶν, καὶ ὁ κατ' ἐξαίρετον ἠγαπημένος, ἀλλά γε καὶ συνηγαπημένος παντὶ μερικῶς ἐκλεκτῷ. Οὐ γὰρ τῇ μερικῇ φιλίᾳ δήπουθεν, τῇ καθ' ἕκαστον τοιοῦτον, ἐκβέβληται ἡ κοινῶς ὁλική. Εἰπὲ δή μοι καὶ σύ, ὦ καθ' ἡμῶν τῶν τελωνῶν Φαρισαῖε μεγαλοσχημονέστατε, εἰ, ὡς εἴπομεν, ἀπαρνῇ τὴν μερικὴν φιλίαν, εἴ τι τέως ἐπαΐεις, ὧν λέγομεν; Εἴτε δὲ νοεῖς, εἴτε καὶ μή, λέγω σοι, ὅτι φιλίαν μὲν ἐξάπαντος μερικὴν ἀπαρνῇ τὴν ἐφ' ἡμῖν. Ἡμᾶς γὰρ τοὺς ἐνικοὺς παπάδας οὐ φιλεῖς· δι' αὐτὸ δὲ οὐδὲ ὁλικὴν ἢ γενικὴν φυλάττεις φιλίαν. || Ὁ γὰρ μέρος ἄξιον λόγου πολλοῦ ἀποπροσποιούμενος, θεῷ τε ἀφωσιωμένον καὶ συμπαραστατοῦν ἐκείνῳ κατὰ σέ, πῶς ἂν λεχθείη καθ' ὁλότητα φιλεῖν, μισῶν μέρος τὸ καιριώτατον; Μέρους γάρ τινος, καὶ αὐτοῦ τοῦ τυχόντος, μὴ ὅτι γε τοῦ ἐν πλείονι λόγῳ, ὑποσπωμένου ἐκ τῆς κατὰ γένος ὁλοκληρίας, οὐκ ἂν τῇ ὁλότητι πάσῃ τὸ γενικὸν ἢ τὸ ὅλον ἐπαληθεύοιτο. Ms. fol. 187

51. Φέρε δὲ καὶ ἄλλως ἐπιβαλών, κατ' ἔννοιαν σαφεστέραν ἔκθωμαί σοι τὴν μερικὴν φιλίαν, οἷά τίς ἐστιν, οὐδὲ οὕτω μακρὰν ὀρθότητος. Ἔγνωσται τοῖς εἰδόσιν, ὥσπερ τὸ μέρος πρὸς ὅλον, οὕτω καὶ τὴν μερικὴν ποιότητα πρὸς τὴν ὁλικὴν λέγεσθαι. Τούτῳ δὴ τῷ λόγῳ καὶ σὺ αὐτὸς ἠρωτημένος, εἰ τὴν μερικὴν φιλίαν ἀπαρνῇ, κατέθου ἀρνεῖσθαι αὐτήν, ὡς ἐντεῦθεν ἀντεισάγεσθαί σοι τὴν ὁλικήν. Ἔστι δὲ τοιαύτη ἡ ἐξ ὅλης ψυχῆς, ὡς εἴγε μὴ τοιαύτη, μερικὴ ἂν εἴη φιλία. Λέγω δὲ ψυχὴν ὅλην, τὴν μὴ ψευδομένην τὸ κατ' αὐτὴν θεῖον τριμερὲς ἐν τῷ φιλεῖν, τὴν μὴ ἀχρειοῦσαν τὸ ἐμφυὲς τριστέλεχον, ὅτε τὴν φιλικὴν ἄνθην προΐσχεται.

52. Οἷον τί λέγω; Χρὴ τὸν ἀληθῆ μεγαλομόναχον, ὥσπερ καὶ πάντα τὸν τῷ ὄντι Χριστιανόν, ἡτοιμᾶσθαι παντοίως εἰς θεραπείαν φίλου ἐφ' ἅπασιν, οἷς ἂν ἐκεῖνος αὐτοῦ προσδέηται, καὶ καθιστᾶν καὶ συμβιβάζειν ἁρμονικῶς καὶ κατὰ θείαν ἐμμέλειαν πρὸς συμφωνίαν πνευματικὴν αὐτοῦ τε καὶ ἐκείνου τὰ κατὰ ψυχὴν λ' βουλεύματα, καὶ συντροχάζειν, ὡς ὁ θεὸς βραβεύει, ἐπὶ νίκῃ τῇ κατὰ τοῦ δαίμονος· ἵνα καὶ τὸ ἐκ θεοῦ ἔπαθλον κοινώσηται, οὗ χάριν αὐτὸς ῥυθμίσας πρότερον, καὶ τάξας ἐναρμονίως παρ' ἑαυτῷ τήν τε κατὰ τὸ λογικὸν ἀρετήν, καὶ τὴν τὸ θυμικὸν μετροῦσαν καὶ καταρτίζουσαν θεοπρεπῶς, ἔτι δὲ καὶ τὴν τὸ ἐπιθυμικὸν παιδεύουσαν, εἶτα καὶ τὸ πρόσωπον ὡς δυνατὸν ἑαυτῷ ἐξομοιώσας, οὐ τὴν φιλίαν μοναχικῶς πραγματεύεται, τοιουτοψύχως προσενεχθήσεται τῷ τοιούτῳ,

καθὰ κειρόμενος ὡμολόγησας· καὶ τῷ κατ' αὐτὸν λογικῷ ἐπιθυμητικῷ τε καὶ θυμικῷ θεοφιλῶς ἐρρυθμισμένοις συμφ[ύ]ων, καὶ τὰ τοῦ φίλου ἁρμοσάμενος, τριάδα φιλικὴν τριάδι ἐκείνῃ μοναχικῇ ἑνώσει, καὶ ὡς διά τινος ἑξάδος ταύτης τελείας εἰς τελειότητα συγκραθεὶς τῷ φίλῳ, ἐξανύσει φιλίαν οὐ μερικήν, ἀλλὰ τῷ ὄντι ὁλικήν, ὅλος ὅλῳ συγκεκραμένος πνευματικῶς, τῷ εἴτε φίλῳ, εἴτε ἀδελφῷ, εἴτε καὶ τέκνῳ. Πάντα γὰρ ταῦτα θεοῦ χάριτι ἐσμὲν ἀλλήλοις οἱ τοῦ θεοῦ, ἐὰν φρονῶμεν ὀρθά· τὸ μὲν διὰ τὴν κοινωνίαν τῆς κατὰ θεὸν ἀγάπης· τὸ δέ, ὅτι τὸν μέγαν καὶ πρῶτον πατέρα κοινούμεθα· τὸ δὲ τρίτον, ὅτι ἀλλήλους ἀναγεννῶμεν τὰ θεῖα, εἰ τὸν τοῦ θεοῦ φόβον συλλαμβάνοντες ὠδίνομεν, καὶ τίκτομεν σωτηρίας πνεῦμα, ἕκαστος τὸν πλησίον ἐπωφελοῦντες· ὅτε καὶ ὁ μὲν ὠφελῶν φίλος πατὴρ ἂν λογίζοιτο διὰ τὸ κατ' ἀρετὴν πρεσβεῖον, ὁ δὲ ὠφελούμενος εἰς τέκνον τάττοιτο.

53. Ἔχεις ἰδοὺ καὶ δευτέραν, ὦ ἀδελφέ, τῆς μερικῆς φιλίας ἀνάπτυξιν· καὶ γένοιτό σοι ἐκ θεοῦ ἐπίπνοια, καταπράττεσθαι τὸ οὕτως ὁλοκλήρως φιλικόν. Εὔχομαι δὲ τοῦτο οὐκ εἰς μάτην, ἀλλ' ὅτι βλέπω τὰς ἐν τοῖς κατὰ σὲ ἀδελφότητας φιλουμένας κατὰ μέρος· καὶ αὐτὸ οὐχὶ ἁδρομερές, ἀλλὰ μικροῦ ἀμερές. Τὸ δὲ αἴτιον, ὅτι δυσμελῶς ἁρμόττῃ τὸ σύμφωνον τοῦ τριαδικοῦ τῆς ψυχῆς, τοῦ τε ἐν σοί, καὶ τοῦ κατὰ τὴν ἀδελφότητα· καὶ οὔτε τοὺς θυμοὺς μετρεῖς, ὡς ἀνωτέρω ἐλέγομεν, οὔτε τὰς ἐπιθυμίας συμβιβάζεις, ὡς ὁ κανὼν βούλεται· καὶ τὸ κοινὸν δὲ λογικὸν ἐν ἡμῖν τετάρακται· καὶ οὐ κατέχεις, ὅτι οὐκ ἔστιν οὔτε ἀδελφότης, οὔτε φιλία, οὔτε κοινοβιαρχία, οὔτε ἄλλη τις κοινωνία — καὶ οὐ λέγω μόνον τὴν πνευματικήν, ἀλλὰ καὶ πᾶσαν ἑτεροίαν — ἐν ᾗ οὐκ ἔστιν ἰσότης ἔλλογος, καὶ ἡ ἐντεῦθεν ἰσηγορία. Τὸ γὰρ ἀνόμοιον καὶ ἄνισον συγχυτικὸν πανταχοῦ, ὅτε μὴ κατὰ λόγον ἀποτελεῖται, ὃν δύναται μέν τις καὶ γεωμετρικὸν εἰπεῖν, ὃς ἐν ἀνομοίοις
Ms. fol. 187. b. ὁμοιότητα φυλάττει· μάλιστα δὲ καλῶς ἂν εἴ || ποι πνευματικόν, ὅτι καὶ ἀποστολικόν, οὗ θεωρία καὶ τὸ μὴ πάντες ἀπόστολοι, καὶ τὰ ἑξῆς· ὅπερ καὶ σὺ εὖ εἰδώς, ὦ μεγαλομόναχε, ὅμως οὐ θέλεις ἐξακριβοῦν· ὡς, εἴγε αὐτὸ ἤθελες, ἐχρῆν σε προσφερόμενον ἅπασιν, ὡς ἔπρεπεν, ἀποκαθιστᾶν ἕκαστον ἀδελφόν, ἔνθα ἔδει.

54. Πάντως δὲ δεῖ τὸν μὲν μετὰ ἀρετῆς πρακτικὸν ἐγκαθιστάνειν τοῖς μοναστηριακοῖς πράγμασι, τὸν δὲ δοκοῦντα μὲν εὐφυῶς ἔχειν, ἐπιτρέπειν ἔργῳ τοιούτῳ, μήπω δὲ πληροφοροῦντα τὴν τοιαύτην δόκησιν, παραδιδόναι τῷ κατ' ἀρετὴν πραγματικῷ ἐν τοῖς ἔξω· ἵνα συνεζευγμένος ἐκείνῳ, οἷα καὶ βοῦς ἀπείρατος ἐργατείας, μανθάνῃ συγγεωργεῖν· καὶ μαθὼν μὲν ἀποταχθείη καὶ αὐτὸς ἐς βοῦν ἐργατικὸν διδάσκαλον· σκληρὸς δὲ ἀπεκβάς, ὡς καὶ ἄροτρον συντρίβειν, καὶ ἄμαξαν κατακλᾶν, καὶ οὕτως ἀχρεῖος εἶναι, ἐπιταχθείη ἄλλο τι ἔργον ποιεῖν, δι' οὗ μὴ ἔχει βλάπτειν τὸ μοναστήριον· οὐ μὴν οὕτω σκληροτράχηλον ἐληλεγμένον ὑπερτιθέναι καὶ προτιμᾶσθαι τοῦ ταλαεργοῦ καὶ σώφρονος ἐκείνου βοός, ὡς αὐτὸν μὲν παρατηρεῖν καταγνωστικῶς, τῷ δὲ κακούργῳ ἐκείνῳ ἐφιέναι τὰ γεωργικά· οὐκ αὐτὸ μόνον, ἀλλὰ καὶ περιορᾶν ἐκεῖνον κατασκιρτῶντα τῆς ἅλωος, οὔτε ἀλοῶντα, ὡς μὴ φιμοῦ δέεσθαι, ἀλλὰ εἰκῇ κατεσθίοντα τὰ δράγματα, οὔτε ἀπεχόμενον τοῦ σπαράττειν τὸ τρόφιμον σὺν τῷ καὶ ἀμύνεσθαι κέρασιν, εἴ τις προςπελάσει ἐθέλων ἀποκωλύειν τοῦ καταβιβρώσκειν τὰ τῆς μονῆς.

55. Καὶ ἐχρῆν μὲν οὕτω γίνεσθαι, ὡς ἔφαμεν· ου γίνεται δέ. Διὰ τί; Ὅτι τῆς ἅλωνος ἀπελαθείς, καὶ εἰς σὲ προςδραμών, ὦ ἀδελφέ, καὶ τὰ μὲν πλείω καταμασησάμενος, καὶ εἰς γαστέρα πέμψας, ἕνα δὲ στάχυν, ἤπου καὶ δύο τῶν χειλέων προβεβλημένος, γοητεύει τὴν ἐν σοὶ ἐπιείκειαν, ἀγαπῶσαν, ὅτι καλόν τι παρακομίζει τῇ διακρίσει σου, ὃ ψωχόμενον συντελεῖ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ πάσης ἄλλης πλημμελεῖται διακονίας. Ὁ ἐπὶ τοῦ ἀμπελῶνος ἀγαθὸς μὲν ὢν παρευδοκιμεῖται, προςλαμβάνεται δὲ ὁ κατὰ τῶν βοτρύων ἐνεργής· ὁ μὲν καταγινωσκόμενος, οἶμαι, ὅτι μὴ ἐλεεῖ τὰς ταπεινὰς ἀμπέλους βαρυνομένας ἐπαχθεῖ τῷ καρπῷ, ὡς καὶ κατασπᾶσθαι εἰς γῆν· ὁ δὲ εὐλογούμενος, ὅτι ἀναπαύει τὰ κλήματα, τὸ πολὺ τοῦ βάρους ἀπάγων, καὶ οὕτως ἐνδίδωσιν αὐτοῖς ἐπὶ πλέον θάλλειν ἐς νέωτα. Εἰ δέ τι τοῦ κλέμματος καὶ τῷ πατρὶ προςφέρει, ἀλλὰ τοῦτο εἰς σωτηρίαν ἐκείνῳ κρίνεται ἀνθομολογησαμένῳ τὸ πταῖσμα, καὶ ἀπαρχὴν αὐτοῦ προσενεγκόντι τῷ πατρί, καὶ οὕτως ἐν τῷ τὴν εὐλογίαν κλέψαι ἀφεθέντι εἰς αὐτὸν παράδεισον, μήπου δὲ καὶ εὐχῶν καταξιωθέντι, ὁποίων καὶ ὁ Ἰακώβ, ὅτε τὸν μέγαν καὶ πατέρα καὶ πατριάρχην θρέψας ἐψυχαγώγησεν. Ἔτι καὶ ὁ ὀψωνητής, κηδόμενος μὲν τῆς ἀδελφικῆς κοινότητος, οὐ πάνυ μέγας κρίνεται ὑπὸ σοῦ· ἀλλά που καὶ θλίβει σε, εἰ τοῖς μικροῖς ἐς ταὐτὸν ἄγει τὸν ἐν αὐτοῖς ὕψιστον. Καὶ τοίνυν, εἰ συχνάκις τοιοῦτος διαμένει, καταπαύεις ἐκεῖνον τοῦ κοπιᾶν. Εἰ δὲ ὁ μετ' αὐτὸν ἐπιγνοὺς τὸ αἴτιον, ἁβρὸν ἰχθὺν πραγματεύσεται, μικρὰ ἢ οὐδὲν τῆς ἀδελφότητος ἐμπαζόμενος, καὶ αὐτοὶ ἐπιμύζουσι, τότε δὴ στεφανοῦται ὁ τὰ ὑπέρ σου διακονήσας, καὶ καταρρητορεύεται ἡ κοινότης, ὁποία οὖσα οἵῳ καὶ ἡλίκῳ ἀντιφερίζει πατρί. Καὶ τοῦ λοιποῦ γίνεται ἡ τοιαύτη προτίμησις ἐς διηνεκές. Καὶ οἱ μὲν

ἄλλοι ἐσθίουσι, τῇ γῇ μόνῃ χάριτας ὄφλοντες τῆς τροφῆς· σὺ δὲ τῇ θαλάσσῃ τὰ πλείω, δι᾽ ἧς τὴν πανδαισίαν πλουτεῖς, ὁποίαν οὐδὲ οἱ σπάταλοι κοσμικοί. Κελεύεις, ἐπελεύσομαι καὶ τὰ λοιπὰ τοιαῦτα, ἢ οὔ; Ms. fol. 188. a. Ἀπο || φήσεις, οἶμαι. Εἰ γὰρ κατανεύσεις, οὐκέτι ἂν ἔχοις ἀνανεῦσαι, κατακύψας ὑπὸ ἐντροπῆς. Οὕτως οὐδὲ τὴν μερικὴν φιλίαν δύνασαι κατορθοῦν, οὔτε ἐν τῇ μονῇ, οὔτε πολλῷ πλέον ἐν τοῖς ἐκτός. Ὁ γὰρ τὰ ἐντὸς ἄκοσμος ὢν σχολῇ γ᾽ ἂν ἐν τοῖς ἔξω τὸ κόσμιον ἐπιδείξηται.

56. Ἐπὶ τούτοις, ὦ δέσποτά μου, ἐξακριβοῦμαι, καὶ εἴπερ τὸ τῆς περπερείας κακὸν οὐ κατεπεμβαίνει σου, ἣν ὁ μὲν ἱερογραφικὸς λόγος τῇ φυσιώσει προσεταιρίζει, καὶ εἰς ἔχθραν τῇ κατὰ θεὸν ἀγάπῃ ἀποτετάχθαι διδάσκει· οἱ δὲ ἄλλως περιλαλοῦντες ἔξαρμα ψυχῆς φασιν εἶναι τὴν περπερείαν, οὐκ ἐνάρετον, καὶ οὕτω θεῖον κατὰ τὸ θάρσος, ὃ θεία τις ἄρσις ἐστίν· ἀλαζονικὸν δέ, καὶ οὐχ ἁπλῶς, ἀλλὰ ὑπερεκπερισσοῦ, ὡς καὶ ἡ λεκτικὴ ἐτυμότης ἐκφαίνει· καθ᾽ ἣν ἔννοιαν ποιοῦσί τινες καὶ ὑπερηφανίαν ἐκπερισσοῦ. Λέγεται δὲ καὶ ἡ παρὰ τὸ φέρεσθαι ὠνομάσθαι αὐτὴν (ὑστατεῖ γαρ ὡς οἷα περιφερόμενος ὁ πέρπερος), ἢ παρὰ τὸ περιπέττεσθαι, καὶ μὴ σταθερῶς βεβηκέναι· ᾧ δὴ λόγῳ καὶ πετόμενοι σκώπτονται οἱ τοῦ τοιούτου ἤθους. Καὶ φιλοσοφεῖ μὲν περὶ κακίας τοιαύτης καὶ ὁ Σταγειρόθεν, καὶ οἱ τὰ κατ᾽ αὐτὸν εὐκρινοῦντες. Κεφαλαιοῦται δὲ πᾶσιν ὁ λόγος εἰς τό, μετὰ βλακείας ἐπηρμένον εἶναι τὸν πέρπερον, καὶ λάλον δὲ τὸν αὐτὸν διὰ τὴν ἔπαρσιν. Καὶ προπετῆ δέ φασι, καὶ μηδὲν λόγῳ ποιοῦντα, καὶ (τὸ πᾶν κατ᾽ ἐκείνους εἰπεῖν)· φλύαρον· οἳ καὶ τὸ περπερεύεσθαι εἰς ταὐτὸν ἄγουσι τῷ ματαιοῦσθαι, καὶ ἀτακτεῖν, καὶ κατεπαίρεσθαι μετὰ βλακείας· βλακείαν ἐκεῖνοι καλοῦντες ψυχῆς ἕξιν ἀναβεβλημένην, καὶ μὴ ἐγρηγορυῖαν, καθ᾽ ἣν τὸ σῶμα θρυπτόμενον, ταὐτὸν δ᾽ εἰπεῖν, θρασυνόμενον, οὐδὲ ὀρθοῦσθαι παγίως δύναται, ἀλλὰ πάσχει τῇ θρύψει, ὁπόσα καὶ τῇ νόσῳ. Τρυφῶν τε γὰρ ἄνθρωπος οὐ κρατεῖ τῆς διὰ ποδῶν οἰκείων βάσεως, ὁμοίως δὲ καὶ νοσῶν. Ὁρῶνται γοῦν οἱ βλάκες βαδίζοντες οὐκ ἁπλῶς, εἰ μὴ τοὺς ὑπερείδοντας καὶ ὑπανέχοντας ἑκατέρωθεν ἐξευρίσκουσι, τοὺς μὲν εἰς τοῦτο μόνον χειροτονητοὺς αὐτοῖς, τοὺς δὲ καὶ ἐξ αὐτομάτου, ὅτε που τύχοι. Εἰπεῖν δὲ κατὰ τοὺς παλαιούς· μαλακός ἐστιν ὁ βλάξ, καὶ χαῦνος, καὶ ὁπόσα ἐκεῖνοι τοιαῦτα ἐπιτιθέασι τῷ τοιούτῳ, ἐπακολουθοῦντα τῇ κατ᾽ αὐτὸν μαλθακότητι. Καὶ δοκῶ μέν, ἄπυρον εἶναί σε τοῦ τοιούτου πάθους· ἐλέγχει δέ σε τὰ πράγματα μὴ ἀληθῶς ἐξαρνούμενον. Τὸ συχνὸν γὰρ τῆς τρυφῆς, καὶ τὰ πυκινὰ λοετρά, καὶ οἱ πέρα τοῦ προσήκοντος προάγοντες καὶ ἀκολουθοῦντες, καὶ τὰ τούτοις ἑπόμενα, βλακείας εἰσὶν ἐνδείξεις, δι᾽ αὐτὸ δὲ καὶ περπερείας. Πέφηνε γάρ, μὴ ἀπηλλάχθαι βλακείας μηδὲ τὴν περπερείαν, ἀλλ᾽ ἀδελφὰ φρονεῖν ἑκατέρας ἀλλήλαις, καὶ ἀδιαστάτως ἔχειν τῆς ἑνώσεως.

57. Ἔτι πρὸς τοῖς εἰρημένοις ἀπεῖπας ἐν ταῖς πρὸς θεὸν ὁμολογίαις σου καὶ τὴν ἰδιάζουσαν ἐπίκτησιν. Καὶ προβάλλομαί σοι θεωρῆσαι οὐ μόνον ἁπλῶς τὴν ἐπίκτησιν, ἀλλὰ τὴν ἰδιάζουσαν· ἵνα, εἰ μὲν καὶ κατ᾽ ἄμφω ἀνεπιλήπτως βιοῖς, μακαρίζῃ· ἄλλως δὲ εἰς ἄθλιον ἐγγραφόμενος, μὴ βαρέως φέρῃς τὸ ἔγκλημα.

58. Χρὴ δὲ ἡμᾶς προλαλεῖν τοῦδε τοῦ λόγου, ὅτι πρὸ τῆς ἐπικτήσεως ταύτης ἀνωτέρω ἀπετάξω καὶ κτήσεσι καὶ ὑπάρξεσιν, ὥστε οὐχ ἕν τι ἀπηριθμης ἀπαρνήσασθαι, ὡς οἷα πολυωνυμίας λόγῳ εἰς ἓν δῆθεν συντρεχόντων νόημα τριῶν τούτων ὀνομάτων, κτήσεως, ὑπάρξεως καὶ ἐπικτήσεως· ἀλλὰ τρία παρῃτήσω κακά, σύστοιχα μὲν ἄλλως, τρόπῳ δὲ διεστηκότα καὶ χρόνῳ. Καὶ ἔστιν εὐθυβόλως ἐπιβαλεῖν, ὅτι κατάρχει μὲν ἐν τούτοις ἡ ὕπαρξις, δευτερεύει δὲ ἡ || κτῆσις, Ms. fol. 188. b. ὑστερεῖ δὲ ἡ ἐπίκτησις· ἵνα τις ἔχῃ νοεῖν ὕπαρξιν μέν, ἅπερ ἔχειν ἔλαχες ἐξ αὐτῆς ἀρχῆς, ὅτε βιοῦν ὑπῆρξω, καθήκοντα ἐπὶ σὲ ἢ προγονικῶς, ἢ ἔκ ποθεν τοιαύτης συλλογῆς, ἣν ἔχων οὐδεμίαν οἶδας χάριν σοι αὐτῷ, ἀλλὰ τοῖς κληροδοτήσασιν, ἢ ἄλλως χαρισαμένοις. Οὕτω γὰρ εἴθισται λέγειν τοῖς ὀρθολεκτοῦσιν. Ἡ ὕπαρξις καθὰ καὶ τὸ ὑπάρχειν· ὑπάρχει γάρ τις μάχης, ἢ κατάρχει ἔργου, ἀρχὴν δηλαδὴ αὐτὸς ποιούμενος. Κτῆσις μέν τοι νοοῖτο ἂν ἡ μετὰ τὴν τοιάνδε ὕπαρξιν. Ὁ γὰρ μετὰ τὴν ἄπονον κληρουχίαν πορισάμενος αὐτὸς ἐκτήσατο, ταὐτὸν δὲ εἰπεῖν, κτῆσιν ἔσχε· καὶ ἔχει δέ, ἕως ἂν τὰς τρίχας πνευματικῶς ἀπειπάμενος, συναποκείρῃ καὶ τὸ τῆς πρώην ζωῆς λήϊον, καὶ ἀπόθηται, ὥσπερ τὴν τρίχα συμβολικῶς, οὕτω καὶ τὰ τοῦ βίου δράγματα, καὶ γένηται ἀληθῶς ἀκτήμων, οὔτε ὕπαρξιν περιβεβλημένος, οὔτε κτῆσιν. Εἶτα, ἵνα μὴ τῶν προτέρων μνησάμενος ἐπαναδράμῃ τις πάλιν εἰς ἐκεῖνα· προσαπαιτεῖται ἀρνήσασθαι αὐτίκα καὶ τὴν ἐπίκτησιν, εἴτ᾽ οὖν τὴν μετὰ ταῦτα κτῆσιν, τὴν δευτέραν, δι᾽ ἧς τοῦ βίου αὖθις γίνεται, καὶ εἰς τὰ ὀπίσω στρέφεται, ἄθετος ὢν εἰς βασιλείαν οὐρανῶν, καὶ αὐτόχρημα στήλη μωρίας, εἴ τι χρὴ οὕτως τήν, ὡς ἤκουσας, γραφικὴν τῆς τοῦ Λὼτ γυναικὸς ἐκλαβέσθαι στήλην διὰ τὸ μωραινόμενον ἅλας, ὡς παρελάβομεν· ὃ τὸν πατρικὸν ἀδελφὸν ἀποκαθιστᾷ, ὡς οἷα καὶ γῆν καρποφόρον, εἰς ἅλμην ἄγονον.

59. Ἐχόντων οὖν τούτων οὕτως (οὐ γὰρ ἄλλως),

ἤθελον μέν, ἑνὸς γοῦν τῶν εἰρημένων τριῶν ἀπέχεσθαι ὑμᾶς, ὦ ἡμέτεροι πατερικοί. Ἀποπίπτω δὲ κἀνταῦθα τοῦ ἀγαθοῦ θελήματος ἐν τοῖς πλείοσι. Πολλοὶ μὲν γὰρ πρὸ τῆς κουρᾶς ἐμελέτησαν, καθὰ πεπείραμαι, ὥςπερ μὴ τὴν κεφαλὴν ἐκκόψαι, οὕτω μήτε ὕπαρξιν, μήτε κτῆσιν σκορπίσαι, εἴ τινά που καὶ εἶχον· ἀλλὰ ἔμφορτοι τοῦ μοναχικοῦ βίου γενέσθαι, ὡςεὶ καὶ ναύκληροι βαρεῖ φόρτῳ ἐς ναυτιλίαν στελλόμενοι, θριξὶ μόναις κεφαλικαῖς ἐζημιωμένοι· τὸ δέ γε λοιπὸν κατὰ βίον φορτίον ἐπηχθισμένοι καὶ μετὰ τὸ κούρευμα. Ὅσοι δὲ καὶ ἀπεγύμνωσαν ἑαυτοὺς τῶν ὑπαρξάντων καὶ τῶν κτηθέντων, μετάμελον ἀναλαβόντες ἐν τοῖς μετὰ ταῦτα, τὴν ἐπάρατον ἐπίκτησιν εἵλοντο. Οὐαὶ δὲ τοῖς καὶ τὰ τρία πραγματευσαμένοις· οἳ ταμιευσάμενοι τὰ πρὸς τῆς κουρᾶς δύο, προςέθεντο καὶ τὰ τῆς ἐπικτήσεως, σχοινίον ἁμαρτίας τοῦτο τρίπλοκον εἰς ἀγχόνην σφίσιν αὐτοῖς ἐπιπλέξαντες.

60. Καὶ ἔχομεν σήμερον ἐν τοῖς καθ' ἡμᾶς καὶ τοιοῦτόν τι φῦλον, οἳ τοῦ κουρεύσασθαι τὸ ἐμπορεύεσθαι ἀπώναντο, καὶ ἀδεῶς αὐτὸ πλημμελεῖν. Μὴ κρεοφαγοῦντές τε γάρ, κερδαίνουσιν, ὀλιγοσιτοῦντές οὕτως, καὶ μηδὲ εὐλαβούμενοι δυνάστας, οἳ φορολογοῦντες κολούσουσιν αὐτοῖς τὴν ἐμπολήν. Ἀμπέλους τε οὖν φυτεύουσι, καὶ κήπους τημελοῦσι, καὶ ζωογονοῦσι παντοίας ἀγέλας, ἀφιέντες τὰ τοῦ θεοῦ ζῶα· οἱ ἄλλως φιλόζωοι ἐξαλογίζεσθαι· καὶ πάντα ποιοῦσι, δι' ὧν φιλοτιμήσονται τοῦ κόσμου εἶναι· καὶ οὐχ ἁπλῶς, ἀλλὰ ἄρχοντες, ἵνα καὶ αὐτοὶ φυτὰ εἶεν οὐράνια, οὐ || Mo. fol. 189. a. κατὰ τὸν σοφῶς τοῦτο τεθεωρηκότα, τρόπον δὲ ἄλλον, ὡς οὐρανῷ μὲν ἐπικαλούμενοι, προςπεφυκότες δὲ τοῖς περὶ τὴν γῆν. Καὶ μὴν τὸ φαύλως οὐράνιον οὐδὲν τὸν ἑωςφόρον ὠφέλησεν, ἐκεῖθεν κάτω πεσόντα.

61. Ὧδε γοῦν ἡμῖν καθεστηκμένου καὶ τοῦδε τοῦ λόγου, ὅρ', ὦ μεγαλοπρεπέστατε, εἰ τὰ τρία ταῦτα, τὴν ὕπαρξιν, τὴν κτῆσιν, καὶ τὴν ἐπίκτησιν πόῤῥω ἀπετινάξω, καὶ εἰ μὴ φόρτου γέμεις· τὸν μὲν ἔχων, ὅτε τοῦ πνευματικοῦ λιμένος γέγονας, τὸν δὲ προςεπικτησάμενος. Καὶ μὴν τοῦτο ἔχει τι καὶ τοῦ εἰκότος. Πρόληψις γὰρ ἐκείνη παλαιὰ χρηματισμοῦ ὁλκῆς τινος λόγῳ ἐπισπᾶται καὶ τὰ ἐξ ἐπικτήσεως. Ὅτε δέ τις λεπτός, καί, ὡς ἂν εἴποι τις, ὑπέρινος τῇ ἰσχνότητι, τὸν μονήρη βίον ὑπειςελθὼν λιπαίνεται, παχύνεται, πλατύνεται, εἰς ὅσον οὐδὲ τὰ λακκιζόμενα τῶν θρεμμάτων, καὶ οὐκ αὐτὸ οὐ κατὰ σάρκα διατριβῆς, ἀλλ' εἰς χρήματα δι' ἐπικτήσεως, πῶς ἂν συστήσει, μοναχὸν ἑαυτὸν εἶναι, καὶ οὐ παχὺν βοῦν, ἢ μοσχίον;

62. Εἰσὶ δέ τινες περίφημοι ἐν τοῖς τοιούτοις, οἳ καὶ ἀπὸ πραγματειῶν πλουτίζονται. Καὶ οὐκ ἂν εἰς πολὺ τῶν τοιούτων καθάψηται ἡ συγγραφὴ αὕτη, μὴ καὶ χαίρωσιν ἀκούοντες, καθὰ καὶ πράττοντες. Παρομαρτεῖ γάρ ποτε καὶ τοῦτο τοῖς τοῦ μὴ ἀγαθοῦ ἐρασταῖς, οἳ ψεγόμενοι τῶν πρακτέων, ἐπιτείνουσι τὴν ἐπιθυμίαν εἰς ἀνυπέρβλητον. Ἀλλ' αὐτοὶ μὲν ποιείτωσαν τὸ σφίσιν ἐφετόν, καὶ ἔστωσαν ψευδόμενοι, τὸ κατὰ τὴν μοναχικὴν πολιτείαν οὐράνιον φυτὸν ἀφιέμενοι τεθηλέναι, ἕως ἂν ἢ καρπὸν ἐκφήνωσιν, εἰς ὃν πεφυκότες, ὅμως οὐ προβάλλονται αὐτόν, ὡς ἐπιτάσσει θεός· ἢ ἀλλὰ τῇ ἀξίνῃ κατακοπέντες, γένωνται τοῦ πυρός.

63. Σὺ δὲ μοναχέ, ὁ πρὸς ἀλήθειαν, μελέτησον σὺν θεῷ, καὶ μάθε καλῶς ἐπικτᾶσθαι μετὰ τὴν ἀπόκαρσιν· καὶ τοῦτο μὴ ἁπλοϊκῶς οὕτως, ἀλλὰ πρὸς διπλόην, ἣν φθάσας ἤκουσας ἐνώπιον θεοῦ, ὡς καὶ ὁ κουρεύων ἐξεφώνησεν, εὖ εἰδώς, τί ἐλάλει, καὶ ὡς αὐτὸς οἶδας πρὸς ἀκρίβειαν, καὶ ὡς οἱ παρεστῶτες ἠκροάσαντο. Ἤκουσας δέ, καὶ ἀπηρνήσω οὐ τὴν ἁπλῶς καὶ κατά τι μονήρες ἐπίκτησιν· ἀλλὰ πρόςέκειτο ἐν τοῖς τότε καὶ τὰ τὴν ἰδιάζουσαν, ὃ ταὐτόν ἐστι τῷ τὴν σοὶ μόνῳ ἰδίαν· ἵνα μὴ τὸ Σολομώντειον ἐκεῖνο παρανοήσας τό· ἡ πηγή σοι τοῦ ὕδατος ἔστω ἰδία, ἐξιδιοῦσθαι μελετήσῃς τὸ μετὰ τὴν κουρὰν ἐπιῤῥέον σοι ὁθενοῦν, ἀλλὰ μετοχετεύῃς αὐτό, ἔνθα πρέπει· καὶ προεστὼς μὲν κοινότητος, ἀποκαταστήσῃς αὐτὸ τῇ μοναστηριακῇ δεξαμενῇ, ὡς ἂν τῇ κοινῇ συνειςέλθῃ κτήσει καὶ αὐτό· ὑφεστὼς δέ, καὶ οὕτως ἐλαττονούμενος, προςαγάγῃς τῷ καθηγουμένῳ, ἵνα ἐκεῖνος μὲν ποιήσῃ τὸ κανονικόν, ἡ δὲ ἐν σοὶ σεμνότης φυλάξηται τὴν δι' ἐπικτήσεως πολυκτημοσύνην, ὡς παρήγγελται, καὶ τὴν ἐντεῦθεν ἀσχημοσύνην· δι' ἣν κεκώλυται τοῖς μονάζουσιν οὐ δίχα παρασημάνσεως τὸ ἢ κεκτῆσθαι, ἢ προςεπικτᾶσθαι, ἀλλὰ τὸ ἰδιάζον· ἵνα πολλὰ κακὰ ἐκφύγῃς ἀκτημονῶν. Πολυσύνθετος γὰρ φαυλότης καὶ τὸ πολυκτημονεῖν, ᾧ καὶ ζῆλος παρέπεται, καὶ ἔρις, καὶ ἀδιακρισία, καὶ περιττότης κενή, καὶ ἡδονὴ δὲ ματαία, || Mo. fol. 189. b. καὶ δόξα ὁμοία· οἷς καὶ αὐτοῖς ὁ κυρίως μοναχὸς ἀπετάξατο, καθὰ καὶ τῇ λαθροφαγίᾳ, ἣν οὐκ ἂν ἔχοι μὴ ἐγκαλεῖσθαι, κατ' ἰδίαν χρηματιζόμενος. Ὁ γὰρ τοῦ μείζονος ἁλισκόμενος ὕποπτος ἂν εἴη οὐχ ἥκιστα καὶ ἐπὶ τῷ ἐλάττονι· μεῖζον δὲ πάντως ὁ ἄκαιρος χρηματισμὸς τοῦ λαθροφαγεῖν. Καὶ μὴν μοναχὸς τὰ πρὸς δαπάνην συνάγων τάχα ἂν καταβαλεῖταί τι καὶ ἐπὶ ἀπολαύσει. Μέρος δὲ οὐκ ἐλάχιστον ἀπολαύσεως ἐν κοσμικοῖς μὲν τὸ φαγεῖν, ἐν μοναχοῖς δὲ οὐ τό, ἀσυνθέτως εἰπεῖν, φαγεῖν (αὐτὸ γὰρ πάγκοινόν ἐστιν),

ἀλλὰ τὸ λαθροφαγεῖν, ὃ ταὐτόν ἐστι τῷ ἡδέως φαγεῖν· καθότι καὶ κλοπῆς ὕδωρ γλυκερὸν γράφεται. Ἓν τάχα μόνον ὁ τοιοῦτος ἅγιος χρηματιστικὸς νομίσοι ἀγαθὸν ἔχειν τό (καθὰ ἐξωσιώσατο)· μὴ ἀεργὸς εἶναι εἰς τὸ παντελές. Καί που καὶ αὐτὸς παρανοήσας τὸ ἔργον δ' οὐδὲν ὄνειδος, προβαλεῖται ἂν εἰς δικαίωσιν τὸ μηδέν τι ἔργον πρὸς ὀνειδισμοῦ εἶναι τῷ μοναχῷ, οὐκοῦν μηδὲ τὸ χρηματίζεσθαι· εἴγε καὶ αὐτὸ εἰς ἔργον ὑπάγεται. Ἀπατᾷ δὲ ἀριδήλως ἑαυτὸν ὁ οὕτω νοῶν. Καθὰ γὰρ ὁ πρακτικὸς ἐπὶ ἐπαινουμένων προσώπων εἴθισται λέγεσθαι, οὕτω καὶ ὁ ἐργατικός· ᾧ ἐναντίος ὁ ἀεργός. Εἰ γὰρ καὶ ὁ ῥέκτης καὶ ὁ κακοεργὸς (ὁ δι' αὐτὸ καὶ κακοῦργος) ἔργῳ καὶ πράξει παρωνυμοῦνται, ἀλλὰ ἡ ἐνάρετος φράσις, ἡ ἐθὰς διάλεκτος, ἡ ἀξιωματική, τὸ ἐνάρετον κύρωμα, τὸ χρηστολογικὸν τύπωμα εἰς ἀγαθὴν ἀπεκλήρωσαν ἔννοιαν καὶ ὑψηλήν· καὶ οὕτω θείαν, ὥσπερ τὴν πρᾶξιν, οὕτω καὶ τὸ ἔργον καὶ τὴν αἰτίαν.

64. Περιττόν, ἐν τοῖς ἄρτι φυλοκρινεῖν. Οὐ τοίνυν, ὦ κτητικὲ μοναχέ, καὶ ἀκανονίστως χρηματιστικέ, καὶ μετὰ ἐπιορκίας ἐνεργέστατε, ἢ πρακτικός, ἢ ἐργατικὸς κατὰ θεὸν εἶναι κριθήσῃ, παρά γε τοῖς νοῦν ἔχουσιν, ἕως ἂν τοιοῦτος μένῃς· ἀλλὰ πραγματευτικός, καὶ ἀεργός, καὶ ἐμπορευτικός, καὶ ἐμπολαῖος, καὶ κερδῷος, καὶ βίος αὐτόχρημα, καὶ πάντα μᾶλλον τὰ ἄλλα, ἢ μεγαλόσχημος. Ἔγνως, οἶμαι, ἤδη, ὅπερ κτητέον ἐστὶν οὐ καὶ ὑπερεκπερισσοῦ. Ἐγὼ δὲ πλεονάζουσαν ἐν τοῖς τοῦ κατὰ σὲ βίου εὖ εἰδὼς τὴν τῆς ἀκαίρου κτήσεως κακίαν, προςεπιτίθημι καί τι πλέον, καὶ λέγω θαῤῥούντως, ὅτι ἀνάγκη μέν ἐστι, καὶ ὑπερκεκτῆσθαί σέ ποτε, ὡς καὶ περισσεύειν. Αὐτὸ δὲ οὐ μόνον κατὰ τέχνην περιουσιασμοῦ γίνεται, ἀλλὰ καὶ θείᾳ χάριτι τοῖς ἀξίοις τοῦ τοιούτου καλοῦ οἳ μηδὲν ἔχοντες, πάντα κατέχουσι. Καὶ δηλοῦσι περιουσίαν τοιαύτην οὐ μόνον αἱ εὐαγγελικαὶ σπυρίδες, καὶ οἱ κόφινοι, καὶ τὸ ἀποστολικὸν δίκτυον, ὅπερ ἐμεστώθη περιττῶς τοῖς τρισὶ καὶ πεντήκοντα καὶ ἑκατὸν μεγάλοις ἰχθύσιν· ἀλλὰ καὶ τὰ καθ' ἱστορίαν καὶ παλαιὰν καὶ νέαν αἴφνης ἐμπιπλάμενα ὡρεῖα δίχα πόνου καὶ ἐργασίας, καὶ ἡ τοῦ θεραπεύσαντος λιμὸν προφήτου ἀλεύρου ὑδρία, καὶ ὁ τὸ ἔλαιον ἐκβλύσας καμψάκης εἰς αἰῶνα· ἔτι δὲ καὶ τὰ μέχρι νῦν βλεπόμενα τεράστια. Πεπείρανται γὰρ καὶ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ δοχεῖα ἐν οἴκοις θεοφιλέσιν, οἶνον καὶ ἔλαιον στέξαντα μέχρι πολλοῦ εἰς δυςεξάντλητον, οἷς οὐδὲ ἦν ἂν ἐπιλεῖψαι, οἶμαι, τὸ στεγόμενον, εἰ μὴ ἐξελαλεῖτο τὸ θαῦμα ὑπὸ τῶν ἐξαντλούντων. Ἐκφανθὲν δὲ ἀνθομολογήσεως λόγῳ τὸ μυστήριον, οὐκέτι μένειν ἀφείθη, ἀλλὰ συνεξέλιπεν ὁ μυστηριασμὸς τῷ ἐξαγγέλματι, θεοῦ οἰκονομήσαντος αὐτὸ ἐπ' ἀγαθῷ ἢ τῶν τὸ καλὸν παθόντων, || [Ms. fol. 100 a.] ἢ τῶν μαθόντων· εἰκὸς δὲ καὶ δι' ἀμφοτέρους.

65. Ὅτι δὲ καὶ τὸ κτᾶσθαι κατὰ λόγον ὀρθόν, καὶ τὸ ἐπικτᾶσθαι, καὶ αὐτὸ δὲ τὸ διὰ συχνῆς προςθήκης ὑπερκτᾶσθαι οὐ κεκώλυται, φθάσας μὲν καὶ ὁ μέγας ἐπιστώσατο Ἰώβ, ὃν οὐδὲν ἡ πολυκτημοσύνη ἐκώλυσε μεμαρτυρῆσθαι παρὰ τοῦ θεοῦ αὐτοῦ, ὑπὲρ πάντας τοὺς τότε ἀνθρώπους ἐγγύτατα παρεστάναι αὐτῷ. Ἐπέρχεταί δέ μοι, καὶ προςφάτῳ τινὶ τὸν λόγον τοῦτον ὑποδείγματι πιστώσασθαι.

66. Μεμνήμεθα τοῦ ἐν ἀγαθοῖς βασιλεῦσι περικλύτου Μανουήλ· οἴδαμεν καὶ τὸ μεγαλοπολιτικὸν Προδρομικὸν σεμνεῖον, τὴν πέτραν, ἐξ ἧς ψαλμικῶς καὶ ὕδατα φυΐσκονται σωτήρια τοῖς εὐαγγελικῶς πίνειν ἐθέλουσι· καὶ μέλι δὲ θηλάζουσιν οἱ ἐκ πικρίας βιωτικῆς αὐτῇ πελάζοντες· εἰς ἣν οἱ καταφεύγοντες λαγωοὶ λέοντες τοῖς δαιμονιώδεσι θηρίοις ἐκβαίνουσιν. Ἐκεῖνος δὴ ὁ μακαριστὸς βασιλεύς, μυρίαις περιεστοιχισμένος φροντίσιν, αἷς τὰ κατὰ κόσμον μέγα διοικονομούμενος παρεκρούετο, ἔστιν οὗ ταχὺ καὶ τῶν σμικροτάτων ἐπιμέλεσθαι, ἀναλαβόμενός ποτε εἰς νοῦν ἀωρὶ νυκτός, γάμον εὐγενῆ ἐξαρτύσαι (οὐδὲ γὰρ οὐδὲ νύκτες ἀνέπαυον ἐκεῖνον ἐγρηγορότα ὑπὲρ τοῦ κόσμου, καὶ γυμνάζοντα ἑαυτὸν μικροῦ καὶ εἰς ἄϋπνον), ἐκέλευσε τελεσθῆναι τὸν γάμον. Ἦν δὲ τόπος τῷ γάμῳ τὸ ἐν Βλαχέρναις παλάτιον, οὗπερ οὐκ εἰς μακρὰν ἡ πέτρα διέσταται· καιρὸς δὲ ἡ τῆς μεγάλης νηστείας πρόδρομος τυροφάγος. Ὡς δὲ οἱ ἐπὶ τῆς θεραπείας ἐθαύμασαν, εἰ ἐν ὥρᾳ τοιαύτῃ ἐπιτάσσονται πράγματι δεομένῳ τριβῆς καιροῦ ἱκανῆς, καὶ ἐπύθοντο τοῦ ἐπιστημονάρχου βασιλέως, πῶς ποτε ἄρα καὶ ἐξανύσουσι τὸ ἐπίταγμα, ὅτε οὐδεμία γαμήλιος χορηγία ὑπόκειται, ὅτι μὴ μόνον τὰ τῆς εὐλογήσεως· ἐκεῖνος ἀναπολήσας εἰς νοῦν ἀγχινοίας λόγῳ, καὶ ἐν ἀδιαστάτῳ χρόνῳ τὴν πέτραν ἐνθυμηθείς, ἔφη, ἐκεῖθεν γενήσεσθαι ἂν τὸ πᾶν τοῦ ἔργου. Καὶ εὐθὺς ἐπιτάξας ἐξέστειλε. Καὶ οἱ δουλευταὶ ταχυδρόμοι αὐτίκα ἐπὶ τὴν πέτραν· καὶ ἐκόπτοντο αἱ πύλαι θερμότερον, ὡς οὐκ ἂν εἶναι δοκεῖν τὸ κροῦμα εὐπαίδευτον. Καὶ ἦν οὕτω θόρυβος. Καὶ ὁ θυρωρὸς εὐλαβέστερον σκώψας, εἶτα τὸ αἴτιον τοῦ ταράχου μαθών, ἀνατρέχει, καὶ τῷ προεστῶτι ἀγγέλλει τὸ συμπεσόν. Καὶ ἐκεῖνος ἀσπασίως ἐπιτάσσει, ἀποτελεσθῆναι τὸ ἀρέσαν τῇ βασιλείᾳ. Καὶ ἅμα λόγος οὗτος, ἅμα ἔργον ἐκεῖνο. Ἕτοιμος ἄρτος παντοῖος· ὁ δίκην ἀφροῦ καὶ σομφός· ὑπέρλευκος· ὁ μετ' ἐκεῖνον οὔτε τοιοῦτος, ἀλλὰ καὶ ναστός. Ἡ

πολυειδὴς μάζα. Οἶνος πρόχειρος, οὐ μόνον ὁ στύφων, ἀλλὰ καὶ ὁ γλυκάζων. Ἡ παραμεμενηκυῖα ὀπώρα. Ἡ ἁλμὰς ἐλαία. Τυρὸς δαψιλής. Ἰχθύες ταριχευτοί· τινὲς δὲ καὶ ἐκ προσφάτου ἀλίπαστοι, πολλοὶ δὲ καὶ ὀξωτοί. Οὐκ ἐνέλιπον δὲ οὐδὲ ὠὰ ἰχθύων τεταριχευμένα· γένος αὐτὰ ἑκάτερον, ὅσα τε εἰς δυάδα πλακώδη παράκειται παραυγάζοντα εἰς ὑπέρυθρον, καὶ ὅσα ἐπὶ ἀῤῥίζων μέλανα κέχυνται σωρηδόν· ὧν χορηγὸς ἐκ τῶν βορείων πρὸς ἄλλοις τόποις καὶ ὁ εἰς τὸν Εὔξεινον ἐκβάλλων Τάναϊς. Ἤθροιστο ταῦτα ὁμοῦ καὶ ἀναληφθέντα ἐπί τε ἡμιόνων καὶ λοιποῦ βαστάγματος ἀπήχθη. Καὶ εἰς ὄψιν πεσόντα τῷ βασιλεῖ, ἐκείνῳ μὲν ἐνεθησαύρισαν θαῦμα εὐλογητόν, καὶ ἠγαλλιάσατο· τῷ δὲ γάμῳ ἐχορήγησαν ἅπαν τὸ πρόσφορον. Ἐντεῦθεν ἐθεραπεύθη ὁ μέγας βασιλεὺς ἐκεῖνος, καὶ (Ms. fol. 190. b.) || ἐδοξάσθη ὁ παμβασιλεὺς Θεός· συνεδοξάσθη καὶ ὁ ἁγιώτατος Πρόδρομος, φιλήσας, ὥσπερ τὴν παλαιτάτην γύμνωσιν αὐτοῦ, οὕτω καὶ τὸ ὕστερον δι' αὐτοῦ κτητικὸν τῆς Προδρομικῆς μονῆς. Ἐπηκολούθει δὲ τούτοις αὐτίκα καὶ βασιλικὴ ἀντισήκωσις δι' ἐπικτήσεως. Καρπὸς αὕτη εὐγνωμοσύνης καὶ διακρίσεως πνευματικῆς· μισθὸς ἐξαντλήσεως, εἰ καὶ μὴ πρὸς πένητας, ἀλλ' οὖν εἰς δέον ἄλλως καὶ Θεῷ εὐπρόσδεκτον. Καὶ ἰδοὺ ὑπέρκτησις καὶ αὕτη μοναχική, πολὺν ἐθέλουσα τὸν ἔπαινον. Κτητέον οὖν, καὶ ἐπικτητέον, καὶ ὑπερκτητέον τοὺς μοναχούς, ὡς δέον ἐστίν. Ἄλλως δὲ κάλλιον, λιμῷ θανεῖν αὐτοὺς οἴκτιστα, ἢ περικεῖσθαι κτῆσιν ἀκανόνιστον.

67. Οὕτω δὲ καταστήσας καὶ τὸν περὶ κτήσεως μοναχικῆς λόγον, καὶ τὰ λοιπὰ δέ, οἷς ἀπετάξω χειρόμενος, ἐκθήσων ἥκω κἀκεῖνο εἰς ὑπόμνησιν, ὡς, ἃ μὲν προσετάχθης μὴ ἔχειν, οὐ μόνον ἔχεις, ἀλλὰ καὶ ἐπιτείνεις τὴν ἐπ' αὐτοῖς ἀντοχὴν καὶ ἕξιν· ὅσων δὲ ἐνετάλθης ἐγκρατῶς ἔχειν, καὶ ἀπρὶξ αὐτῶν ἀντέχεσθαι, ἀφῆκας ἀκολούθως τῇ ἐντολῇ κατέχειν· οὐδ' ἐνταῦθα φυλάττων τὴν ἐπὶ Θεοῦ αὐτοῦ ἀοράτως παρόντος, ὡς οἶδας, ἐν τῇ κουρᾷ σου κατάθεσιν. Καὶ τοίνυν ἄκουε.

68. Ἀνάγκη ἐπίκειταί σοι, ὦ οὗτος, ἔχειν φιλαδελφίαν, ἡσυχάζειν, ἐπιεικεύεσθαι, μελέτης μεταποιεῖσθαι καὶ ἀναγνώσεως θείων λογίων, καὶ ἄλλα πράττειν, ἅ τις τῶν ἁπάντων οὐκ οἶδεν ἐποφείλεσθαι πράττεσθαι ὑπὸ σοῦ. Δεῖκνυε γοῦν τὸ φιλάδελφον, ποῦ ποτε ψυχῆς παρά σοι κεῖται. Ἡμεῖς γὰρ οὐ συνίεμεν. Ὅσα κατὰ τοῦ ἀδελφοῦ ἐπιθυμήσεις, ποιεῖς, καὶ οὐ χρονίζων, ἀλλὰ ἐν ἀκαρεῖ χρόνου· ὡς ἄν, οἶμαι, μὴ καὶ φθάσασα μετάνοια δράξηταί σου τῆς ἐνεργείας εἰς κώλυσιν, ἐὰν θυμωθῇς κατὰ τοῦ ἀδελφοῦ. Λέγω δὲ ἀδελφὸν πάντα τὸν εἰς κοινωνίαν τὴν μετά σου ἥκοντα μακάριον, εἰ ἄξιφος ἐπιπίπτεις αὐτῷ. Ἢ γὰρ ἂν οὐκ ἂν οὐδὲ ἔζη. Τοῦ δὲ ἐν σοὶ λογιστικοῦ οὐκ οἶδα ὁπόσον ἀπονέμεις τῷ ἀδελφῷ, οὕτω χαριζόμενος τῷ κατ' αὐτοῦ ἐπιθυμητικῷ τε καὶ θυμικῷ, εἰ μὴ ἄρα, ὅτε λογιστεύεις αὐτόν. Τότε γὰρ ἄλλως τὸ πᾶν λογιστικόν, ὅπερ ἐστὶ λογιστευτικόν, ἐκείνῳ καὶ μόνῳ προςνέμεις, σὲ μὲν αὐτὸν οὐδέν τι λογιστεύων, κατ' ἐκείνου δὲ καθέλκων φαρισαϊκῶς τὴν ῥοπὴν τῆς ἐν σοὶ κριτικῆς πλάστιγγος. Ὁ δὲ οὕτω τὴν ἀδελφότητα παραθεωρῶν, πῶς ἂν ἡσυχαστὴς ὁλοτελὴς κληθήσῃ; Ἡσυχίας μὲν γὰρ τέλος ἀταραξία ψυχῆς. Ἀτάραχος δὲ πῶς ἂν εἴη ὁ θυμὸν μὲν καὶ ἐπιθυμίαν μὴ πατάξας, καὶ οὕτω τάξας; ὧν τὸ μὲν θρασύτατον ἐν ἀνθρώπῳ θηρίον, τὸ δὲ ὕπουλον· τὸν λογισμὸν δὲ ὑποτάξας κακοῖς τοιούτοις, ὧν πεπαταγμένων ἡσυχίαν εὗρεν ἂν ὁ νοῦς, καὶ δι' αὐτοῦ ὁ ὅλος ἄνθρωπος.

69. Ἐνταῦθα δὲ μεθοδεύων ἐστὶν οὐ τοπικὴν ἐξωτερικὴν μετάστασιν, ὡς ἐπὶ θεραπείᾳ τοῦ πάθους, νομίζεις μὲν ἡσυχάζειν· ἔχεις δὲ ἄρα τότε τὸν μέγιστον τάραχον, οὐκ ἀφιέμενος, οὔτε πρὸς τοῖς ἔξω ἔργοις εἶναι, δι' ὧν ἀποσοβεῖται πᾶσα πονηρὰ ἐνθύμησις, οὔτε πρὸς τοῖς ἔνδον, ὧν κεφάλαιον τὰ θεῖα λόγια μελετώμενα, καὶ οὕτω γινωσκόμενα, καὶ ἀντιστρόφως δέ πως φάναι, ἀναγινωσκόμενα, καὶ οὕτω μελετώμενα ἐμπράκτως καὶ ἐνθέρμως· ἧς δὴ μελέτης καὶ πῦρ, Δαυϊτικῶς εἰπεῖν, ἐξανάπτεται, οὗπερ οὐ μόνον ἔργον μέγα τὸ κατεμπιπρᾶν ἅπασαν κακίαν ὑλαίαν, ἀλλὰ καὶ φωτίζειν λύχνον τὸν ἐν ἡμῖν διὰ κυρίου· ὃς φωτίζει οὐ μόνον προφητικὸν λύχνον, ἀλλὰ καὶ πάντα ἄνθρωπον, ἀνατείνοντα τοὺς ὀφθαλμοὺς εἰς αὐτόν· καὶ οὐ τοὺς σωματικοὺς μόνον, ἀλλὰ πρὸ αὐτῶν τοὺς κατὰ ψυχήν, οὓς καὶ κυρίως || (Ms. fol. 191. a.) λύχνους τοῦ σώματος οἴδαμεν.

70. Ἀπόφαθι τοίνυν, ὦ μεγαλομόναχε, καὶ τὸ ἡσυχαστὴς λέγεσθαι, ἕως ἂν ψεύδῃ τὸν φιλάδελφον. Ἁρπάζεις εἰς ἐμφανές, ἐρίζεις, ὑβρίζεις, βλασφημεῖς, πάντα ποιεῖς τὰ τοιαῦτα ἐπὶ ἀδελφῷ. Πῶς οὖν τὸν τοιοῦτον φιλεῖς; Πῶς δὲ τολμήσεις εἰπεῖν ἐπιεικεύεσθαι, τοιοῦτος ὤν; Ἐπιείκεια μὲν γὰρ παράθραυσίς ἐστιν ἰδίου δικαίου ἐθελούσιος ἐπὶ εἰρήνῃ. Ὁ δὲ καὶ τὰ τῶν ἄλλων ἀδίκως ἐξιδιαζόμενος, οὐκ ἔχω νοεῖν, ὅπως ἂν εἴη ἐπιεικής.

71. Τί μοι πλείω ἐν τοῖς τοιούτοις τρίβεσθαι, ἐξὸν ὄν, κεφαλαιώσασθαι, ὅτι οὔτε, ἃ κατέθου ποιεῖν, πράττεις, οὔτε τῶν ἀπηρνημένων ἀπέχῃ; ὅθεν καὶ ἀντέστραπται παρά σοι τὸ σκοπιμώτατον τῆς κουρᾶς. Ποιεῖς τε γάρ, ὅσα μὴ ἐχρῆν, καὶ ἀπέχῃ, ὧν οὐκ ἐχρῆν·

καὶ ἀντὶ κατὰ σῶμα καὶ ψυχὴν διπλοῦ τῷ ὄντι ἀνθρώπου ἀλλοῖος ἀποβαίνεις διπλοῦς· ἄγγελος, οἷς ὑπέσχου· ἄνθρωπος ὁ τυχών, οἷς ἐργάζῃ· ἔνθεος τὰ ἔξω, οὐ φιλόθεος τὰ ἐντός· οὔτε θεὸς τιθέμενος ἐν τῷ καταλύειν, ὅπου ἐφωδιάσθης, οὔτε ἄγγελος γινόμενος, πρὸς ὃν ἐσχημάτισαι· οὐδὲ μὴν ἄνθρωπος μένων, ὁ πρὸς ἀλήθειαν ἐπαγωγός, οἷς προφαίνῃ· φευκτέος, οἷς ἐνδομυχεῖς· γλυκὺς τὰ ἐξεπιπολῆς, ἀγλευκὴς τὰ ἐς βάθος· κάλλιστος εἰς πρόσωπον, οὗ καθικνεῖται ὄψις ἀνθρώπου· αἴσχιστος τὴν καρδίαν, εἰς ἣν ἐμβαθύνων βλέπει ὁ θεός· λαμπρὸς τὸ κονίαμα, σαπρὸς τὰ ἐντός. Ὅθεν οὐκ οἶδα, εἰ μὴ τὰς τρίχας ἐκ τῆς κεφαλῆς σου ἀπώλεσας· ὧν οὐδὲ γοῦν μίαν ἀπόλλυσιν ὁ ζῶν εὐαγγελικῶς.

72. Ἐπὶ τούτοις ἐγὼ ἐκπλήττομαι, ἐνθυμούμενος, οἷα μὲν πρὸ τῶν ἀδύτων τοῦ θειοτάτου ναοῦ ἑστῶτες ἀνθομολογοῦνται οἱ κατὰ σὲ τὸν κόσμον λιπόντες, καὶ οἷα καὶ ὅσα μυστηριάζονται· ἡλίκα δὲ πλημμελοῦσι μετὰ τὴν τοῦ μυστηρίου τελετήν. Ἐκδύονται μὲν γὰρ τὸν παλαιὸν ἄνθρωπον, τὴν ἀρχήν, οἷς ἀποδύονται τὰ κατὰ κόσμον ἄμφια· καὶ τὴν λειότητα καταῤῥιπτοῦντες ἀναλαμβάνονται ῥάκη, δι' ὧν σῶμα κολακεύεται καταψώμενον εἰς τρυφήν, ἀλλ' οὐδὲ λίνεα περικείμενοι, τραχύτητα δὲ αὐτὴν ἐκείνην, ὡς ἂν εἴποι τις, τὴν διὰ τριχῶν, αἷς ἐπώνυμος ὁ μέγας Τριχινᾶς· ὧν τὸ κέντημα ὡσεὶ καὶ κυνόσβατοι καὶ κάκτοι καὶ ῥάμνοι· καὶ ἐφ' ἑκάστῳ ἐπιθήματι ἐπαοιδὴ πνευματικὴ ἐκλαλεῖται λόγῳ τελετῆς εἰς εὐλογίαν τοῦ ἐνδύματος, ἐπιφωνουμένης τῆς ἁγίας τριάδος. Τὸ μὲν γὰρ χιτὼν δικαιοσύνης καὶ ἀγαλλιάσεως τελεστικῶς ὀνομάζεται· τὸ δὲ ἀκακίας περιβολή· τὸ δὲ περικεφαλαία ἐλπίδος, τῆς εἰς σωτηρίαν· καὶ ἄλλο ζώνη σωφροσύνης, καὶ δυνάμεως, καὶ ἀληθείας· καί τι ἕτερον ἑτοιμασίας εἰρηναίας σύμβολον. Ἔστιν ἐν αὐτοῖς καὶ σημεῖον σταυροῦ. Μυστήρια ταῦτα πάντα, στόματος ἀγγελικοῦ δεόμενα εἰς ἔκφανσιν. Ἡ δὲ τῆς βίβλου τῶν ἁγίων εὐαγγελίων τηνικαῦτα μεταχείρισις ἄλλο σύμβολον αὐτὴ μέγιστον, κατάθεσιν τῷ κοινῷ ἀσπασμῷ ὑπογράφουσα τοῦ καὶ πάντας τοὺς συνειλεγμένους καὶ αὐτὸν δὲ τὸν κειρόμενον στοιχεῖν τῷ εὐαγγελίῳ, καὶ τάσσεσθαι τὰ ἐν ἐκείνῳ πληροῦν ἀσπασίως κυριακὰ παραγγέλματα.

73. Καὶ ταῦτα μὲν ἐν καταρχαῖς, ὁπηνίκα ὁ τοῦ κόσμου ἀπαναστὰς ἄνθρωπος ὁμολογεῖ ἀγγέλοις ὅμοιος ἔσεσθαι, εἰς θεοῦ ἀμνὸν ἐπιγραφόμενος· καὶ ἄφωνος μὲν μὴ ὢν || (Mc. fol. 131. b.) ἐναντίον τοῦ κείραντος αὐτόν, εὔφωνος δὲ ἄλλως καὶ θεόφθογγος, οἷς τὰ τῷ θεῷ φίλα ἐπαγγέλλεται, τελούμενος τὰ ἔνθεα, ἅγιος τῆς προθέσεως, καθαρὸς αὐτίκα, καὶ εἰς τὸ πᾶν ἀῤῥύπαρος, φιλητὸς ἀγγέλοις, ζηλωτὸς ἀνθρώποις· ὅτε καὶ ἡ κορυφαία κουρὰ τοῦ τελουμένου τὰ θεῖα, ὃς καὶ ἱερείου δίκην παρέστηκε τῷ θεῷ, εἰς ἀπαρχήν τινα τοῦ καθ' ἡμᾶς ὅλου σώματος ἐκείνῳ ἀνατίθεται, τῷ καί, ὡς εἰπεῖν, ἐξέτι παίδων αὐτὸν κουροτροφήσαντι, καὶ νῦν δὲ ἀναλαμβάνοντι πρὸς ἀκριβεστέραν ποίμανσιν.

74. Ἤδη δὲ καὶ ὡς εἰς θείαν σκηνὴν αὐτοῦ σκευαζομένου χορηγοῦνται τρίχες αὐται, κατὰ τὸν πάλαι ποτὲ τύπον χρησιμεύουσαι νοερώτερον. Καὶ ἄλλως δὲ τὸ ὑπὲρ κεφαλῆς ὁ κειρόμενος οὐκ ἀναγκαῖον ἀποτίθεται, λόγῳ συμβολικῷ αἰνιττόμενος, χρῆναι τὸν μοναχὸν κούφως κεφαλῇ τε καὶ τῷ λοιπῷ τοῦ σώματος ἀνωφορεῖσθαι πρὸς τὸν ὕψιστον κύριον· ἔτι δὲ καὶ γυμνῇ, ὅ φασι, τῇ κεφαλῇ ἀντεπεξιέναι τῷ παλαμναίῳ δαίμονι· οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶν τὸ κατὰ σῶμα περιττὸν ἀποθέσθαι δηλῶν· πρὸς δὲ καὶ μηδὲν τοῦ λοιποῦ μεσολαβεῖν τῇ πρὸς θεὸν ἑνώσει τοῦ κατ' ἄνθρωπον λογιστικοῦ· ἵνα μηδ' αὐτὸ τοῦτο λέγηται παροιμιακῶς ἐνταῦθα τό· θρὶξ ἀνὰ μέσον· ἅμα δὲ παραδεικνὺς καί, ὡς, εἴπερ ἦν καὶ τῆς σαρκός, ἐξέτεμεν ἂν ἄλλον τρόπον, ἤπερ εἰ κατὰ τὴν Ἑλληνικὴν ἀπηργμένοι φλυαρίαν, ἵνα μὴ κάτω βρίθων βαρύνηται· ὑπογράφων δὲ καί, ὡς ἐπὶ πενθίμῳ βίῳ τελεῖται, ᾧ σύμβωμος καὶ ἡ μελαμφορία· ὡς, εἴπερ ἔδει κειράμενόν τινα τρίβεσθαι εἰς βίον, καὶ κοσμικώτερον εἶναι, κρεῖττον ἦν, μὴ οὕτω μαθεῖν, ἀλλὰ τρέφειν σίκλους κόμης ὑπὲρ τὸν Ἀβεσαλώμ, ἤπερ τὸ ἅγιον πνεῦμα ψεύσασθαι, προσενθυμούμενον ἐνταῦθα καὶ τοὺς κατὰ τὴν παροιμίαν αἰγυπτιάζοντας λῃστάς, οἳ πρὸς τῇ περιέργῳ κουρᾷ καὶ τὸ πρόσωπον ἀμαυροῦσιν, ὡς μὴ γνωρίζεσθαι· ἔτι δὲ καὶ τοὺς ἱστορουμένους Ἀκαρνᾶνας, παρ' οἷς οὐδέν τι σεμνὸν οἱ Κουρῆτες ἀπεφέροντο.

75. Ἔτι ὁ κειρόμενος ἄλλως πάντως, ἤπερ ὁ πρὸ τῆς τελευταίας κουρᾶς μακάριος Σαμψών, κατεκροτεῖτο καὶ ψαλμοῖς τηνικαῦτα, εἴτε πανηγυρικῶς, οἷα τῶν περιϊσταμένων ἑορταζόντων τὴν αὐτοῦ σωτηρίαν, εἴτε καὶ καθάπερ εἰ προεπέμπετο ἐπὶ τὰ κρείττω, ἀπαρνούμενος τὸν τῇδε βίον, ὡς οἱ τρόπῳ ἀποβιώσεως τὰ κάτω ἐκλείποντες. Προσανάπτονται δὲ καὶ φῶτα πυκνά, ὡς ἀπὸ βιωτικοῦ σκότου εἰς φῶς ἐξιόντι, ἀγγέλοις τε πρέπον καὶ ἀνθρώποις, ἀγγελικῶς προελομένοις βιοῦν.

76. Καὶ τοιαύτη μέν, ὅπερ ἔφαμεν, ἡ καταρχὴ τῆς μεγάλης κουρᾶς, ὡς εὐπεριγράπτως ἐκθέσθαι. Ἀλλ' ὅτε καιρὸς παρέλθοι, ὁπόσον ἑκάστοις αἱ προαιρέσεις μετρήσουσι, καὶ ὁ δαίμων ἀθλητὰς τούτους

ἰδὼν κατ' αὐτοῦ ἀποδυσαμένους ἀντεπεξέλθῃ, ὡς ἐκεῖνος οἶδε τεχνᾶσθαι, καὶ προςβαλεῖ, καὶ πρῶτα μὲν ἀκροβολίσεται, ὥςπερ ἐκείνου τρόπος, ἢ καὶ λόχον μεθοδεύσει, ἔπειτα καὶ φανερὰν μάχην συῤῥήξει, καὶ ἀντιπρόςωπον ἀναιδευσάμενος τὴν παράταξιν· τότε δὴ ἔστιν ἰδεῖν — καί γε βλέπομεν οἱ συνιέντες ἐμφανῶς — διαφορὰν τῶν μοναχικῶς τῷ θεῷ στρατευσαμένων μυρίαν ὅσην. Οἱ μὲν γὰρ μεμνημένοι, ὅτι τε στρατεύονται, καὶ ὅτι θεός ἐστιν ὁ στρατολογήσας αὐτούς, ᾧ καὶ ἐπονομάζονται, καὶ ἠκριβωμένοι, τί πράττειν ὀφείλουσι, καὶ ἐνθυμούμενοι, ὅσα καὶ ἀπητήθησαν ποιεῖν καὶ κατέθεντο, καὶ λαμβάνοντες ἐπὶ νοῦν, τίνων ἀπαναστάντες ὅποι προςεχώρησαν, καὶ ὡς οὐκέτι γῆς εἰσιν ἄνθρωποι, οὐδὲ πρὸς σάρκας ἀνθαμιλλῶνται, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀνταγωνίζονται· ἀναπολοῦντες δὲ καί, ἡλίκα μὲν ἐλπίζουσιν ἀγαθά, νικήσαντες, ὁποῖα δὲ πείσονται, προςχωρήσαντες τοῖς ἐξ ὕψους πολεμοῦσιν ἐχθροῖς· || [Ms. fol. 192. a.] φέρουσι μέν, πάσχοντες μυρία ὅσα δεινά, καὶ τραυματίζονται, καὶ ἀλγοῦσι πάντως, ἵνα τὸ φερέπονον αὐτοῖς δοκιμάζηται. Ἔστι δὲ οὗ καὶ συμποδίζονται, παραχωροῦντος θεοῦ, διατίθεσθαι αὐτοὺς οὕτως εἴς τε ἐπίγνωσιν τοῦ ἀνθρώπους εἶναι, καὶ ἵνα θεοῦ μεμνημένοι, αὐτῷ προςλογίζωνται τῆς νίκης τὸ πᾶν. Ταχὺ δὲ ὅμως ἀνασφάλλοντες, καὶ ὀρθούμενοι (οὐ γάρ ἐστιν αὐτοὺς καταῤῥαχθῆναι, ὅταν πέσωσιν), ἀντιτραυματίζουσι τοὺς ἐξ ἀέρος βάλλοντας, καὶ δυνάμει θεοῦ (καθὰ καὶ ἤκουσας κειρόμενος, ὦ μοναχέ· οὐ δήπου γὰρ ἀνθρωπίνῃ) προτροπάδην φεύγειν τοὺς δαίμονας ἀναγκάζουσιν, ὡς μηδὲ τολμᾶν εἰςέτι ἐπιστραφῆναι καὶ ἀντιτάξασθαι. Τοιοῦτον γὰρ ἡ ἐγκρατὴς ἀρετή, καὶ τὸ μαθεῖν δι' αὐτῆς ἐπιστημονικῶς τὸ καλόν. Οὐ γὰρ ἔτι ὁ οὕτω μαθὼν δύναται ἀπομαθεῖν αὐτό, καὶ ἑτεροῖος διεκπεσεῖν.

77. Καὶ οἱ τοιοῦτοι μέν, οἱ μετὰ τὸ θειότατον μέγα κούρευμα τὴν καθήκουσαν αὐτοῖς μνήμην τε καὶ ἀγωνίαν ἀναλαμβανόμενοι (λογίζονται γὰρ εἰς γνώσεως τύπον τήν τε ἐν χρῷ κουρὰν καὶ τὴν τῶν κατὰ κόσμον ἀμφίων ὑπόδυσιν), κἀντεῦθεν ὡς μηδέν τι περικείμενοι βίου βάρος, ἐν τῇ ἀληθείᾳ τοῦ θεοῦ ψαλμικῶς πορεύονται· ὃν καὶ ἐνδέδυνται, πολλοὶ αὐτοί, καὶ σχεδόν τι πανταχοῦ γῆς διεσπαρμένοι, τῆς τε οἰκουμένης, καὶ ὅση μηδὲ οἶδε κατοικεῖσθαι· δι' ὧν καὶ σώζεται ὁ κόσμος, θεῷ καὶ μόνῳ καὶ εἰςαεὶ προςανεχόντων, καὶ ἀγγελικώτερον ὄντων πρὸς αὐτῷ, κόσμου δὲ μὴ ἐπιστρεφομένων, ὅτι μὴ ἄρα κατά γε τὸ μεμνῆσθαι ἡμῶν καὶ ὑπερεύχεσθαι. Οὐδὲ γὰρ οὐδὲ τροφῆς ἐπίστροφοι οἱ τοιοῦτοι, ὁποίαν ἡ γῆ χορηγεῖ, ὡς δι' αὐτῆς γίνεσθαι αὖθις αὐτοὺς τῶν περὶ γῆν· ἐπεὶ τρέφει αὐτοὺς τῶν περὶ γῆν ὁ θεός, νέκταρ ἐνσταλάζων, καὶ ἀμβροσίαν ἐντιθεὶς τὴν παρ' αὐτῷ, καὶ οὕτω ποιῶν ἐξαρκεῖν αὐτοὺς ἀγεύστους βρώσεων εἰς τεσσαρακοντάδας τε ἡμερῶν καὶ εἰς ἑτεροῖα ποσὰ καιροῦ, ὁποῖα παραδιδόασιν οἱ τὰ θεῖα ἐξιστοροῦντες.

78. Ὁδηγεῖ δὲ ὁ αὐτὸς καὶ κόρακας εἰς χορηγίαν τροφῆς τῶν οὕτω θεραπευόντων αὐτόν, οὕς τινας δὴ τούτους λογιστέον κόρακας· τὸ μὲν προφαινόμενον καὶ ἱστορούμενον, τοὺς ἀερίους διὰ τὸ πτητικόν· ἤδη δὲ καὶ τοὺς περιγείους· εἴ γε πολλοὺς τῶν ἀσκουμένων οἱ πειραταὶ θεόθεν ὑποκινούμενοι τρέφουσιν, ὡςεὶ καὶ λύκοι διὰ ἁρπαγῆς ἀρνίων· καί που καὶ πρηκτῆρες, οὓς ἡ ἁρπακτικὴ βορότης ἐγγράφει ὡς εἰς κόρακας, θεοῦ καὶ τοῦτο οἰκονομοῦντος εἰς ἀγαθόν· ἵνα καὶ οἱ αὐτοὺς ἀσκηταὶ ἄπονον καὶ ταύτην τροφὴν ἀγαθὴν ἔχοιεν, ὡς οἷα ἐξ ἀναξίων ἀξίαν ἐξαγομένην, καὶ οἱ μεταδιδόντες ἀγαθοπραγοῖεν ἐφ' ὁποσονοῦν, αὐτοί τε μεμνημένοι ἐλεημοσύνης· δι' ἣν ἔχοι ἂν θλίψιν ὁ αὐτοὺς ὑποκινῶν δαίμων, βλέπων ἐν αὐτοῖς ἐμπύρευμα θερμότητος ἀγαθῆς, καὶ αὐτοὶ δὲ μὴ παντελῶς ἐκλανθάνωνται τοῦ ὑπὸ θεῷ εἶναι· καὶ ἵνα δὲ τῷ τρόπῳ τούτῳ καὶ ἄλλοι πρὸς ὅμοιον ἐκθερμαίνωνται ζῆλον τοῦ ἐλεεῖν. Εἰ γὰρ ἐκ τοιούτου ἤθους καὶ βίου θηριακοῦ ἐλεημοσύνη πρόεισιν, ὡς ἂν εἰ καὶ ἐξ ἔσθοντος μέλι, τὸ γραφικόν· πόσῳ μάλιστα ἐκ τῶν λόγῳ θείῳ διοικουμένων, καὶ ποσαπλοῦν τὸ αὐτὸ ἀγαθὸν ἐξελεύσεται;

79. Καὶ οὕτω μὲν ὁδηγοῦντος θεοῦ καὶ διὰ κοράκων οἱ τοῦ θεοῦ μεγάλοι μοναχοὶ τρέφονται. Εἰ δέ τι τροφῆς οἴκοθεν ἐθέλουσι καὶ αὐτοὶ πορί||[Ms. fol. 192. b.]ζεσθαι, ὀλίγα τῆς γῆς μέλον αὐτοῖς (οὐ γὰρ παρενοχλοῦσιν αὐτῇ, ζητοῦντες τρυφερὰν δίαιταν, ὅσα καὶ ἀπὸ μητρὸς οἱ γαλακτοτροφούμενοι), ἀλλὰ βοτανῶν δρεπόμενοι, ὅσαι αὐτόματοι φύονται, καὶ ἀκρίδων εὐαγγελικῶν, καὶ ἀκροδρύων τῶν παρατυχόντων, ἀφοσιοῦνται τὴν θεραπείαν τῆς φύσεως.

80. Οἷα δὲ καὶ οἱ κατὰ κόσμον ἀγαθοὶ ἄνθρωποι περὶ τοὺς τοιούτους τεχνῶνται, ἀλλήλοις ἐς τὸ καλὸν ἁμιλλώμενοι, τί χρὴ καὶ λέγειν, ἐγνωσμένα πᾶσιν ὄντα, καὶ ἱστορίας οὐδὲν δεόμενα; Οἳ περιουσιάζουσιν αὐτοὺς ἐς τοσοῦτον καὶ ἑτέρους ἐπωφελεῖν, καὶ ἐξερεύγεσθαι τὰ ἐκείνων ταμιεῖα ἐξ αὐτῶν εἰς ἄλλους λόγῳ περιουσιασμοῦ ἀπραγματεύτου καὶ αὐτόχρημα θεοκτήτου, ἄσπαρτα καὶ ἀνήροτα, ὡς ἀληθῶς καλὰ ταῦτα μάννα βρεχόμενον ἄνωθεν, καὶ πολυειδεῖ μορφώσει τραπέζας ἐξαρτύον, ὁποίας εὐλογεῖ θεός, καὶ εἰς αὐτάρκειαν τὴν αὐτίκα, καὶ εἰς περίσσευμα.

81. *Ποῦ τοίνυν ἐν τοῖς οὕτω βιοῦσι κακίας ἴχνος, ἣν ἀπωμόσαντο, καθὰ προεκτέθειται; Ποία δὲ τῶν ἀρετῶν ἀπέσται, ἃς παρηγγέλθησαν οὗτοι καὶ μόνοι ἐν μοναχοῖς; οἳ καὶ τὸ ναὶ συγκλείοντες εἰς τὸ ναί, καὶ τὸ οὒ δὲ τῆς κουρᾶς μὴ ψευδόμενοι. Ἐν αὐτοῖς καὶ μόνοις ἡ ἀλήθεια κατοικεῖ· ἐν τούτοις ἡ τοῦ θεοῦ δύναμις ἐντελῶς ἐνεργεῖ· αὐτοὶ τὸν Χριστὸν ἀοράτως παρόντα, ὥςπερ ἔβλεπον ἐν τῷ κείρεσθαι, οὕτω καὶ ἐν τοῖς ἐφεξῆς. Αὐτοὶ μέμνηνται, τίνι μὲν προςῆλθον; τίνι δὲ συνταξάμενοι, τίσιν ἀπετάξαντο; Τούτων ἔστι καὶ μόνων τὸ ἀμέμπτως κατὰ τὴν ἐπ' αὐτοῖς ἐκκλησιαστικὴν εὐχὴν καὶ ἀκατακρίτως τὸν σκοπὸν ἐξανύειν τοῦ μεγάλου σχήματος, καὶ εὐλαβῶς ἔχειν καὶ σεμνῶς ἐν τῷ τρέφειν ἐν ψυχῇ τέλειον φόβον τοῦ θεοῦ. Οἱ τοιοῦτοι πάσης κοσμικῆς ἀπηλλάγησαν ἐπιθυμίας, καὶ τῶν κατὰ σάρκα συγγενῶν, ἀνθρώπων δηλαδὴ καὶ παθῶν, οἷς οἱ ἐμπαθεῖς μικροῦ δεῖν καὶ συνουσιώμεθα κατὰ σύντηξιν τὴν ἐκ φαύλων συνηθειῶν. Αὐτοὶ τὸν τοῦ θεοῦ ἄνθρωπον ἀνεκαίνισαν, ἐνδυσάμενοι τῇ τοῦ παλαιοῦ ἀποθέσει τὸν νέον, ὃς ἐκτίσθη κατ' εἰκόνα θεοῦ.*

82. *Τῷ τοιούτῳ μοναχῷ ἡ τῆς μετανοίας ἤνοικται θύρα κατὰ τὴν ἀψευδῆ τῆς κουρᾶς ὑπόσχεσιν, καὶ ὁ χρηστὸς ζυγὸς ἤρθη, καὶ τὸ ἐλαφρὸν ἐβαστάχθη φορτίον. Ἐν τῷ οὕτω βιοῦντι καὶ ὁ ἁγιώτατος σταυρὸς ἐπ' ὤμων μὲν φερόμενος εἰς Κυρηναῖον ἂν Σίμωνα εἰκονίσοι τὸν αἴροντα· ἐκ γῆς δὲ αὐτὸν αἴρων, καὶ προςπατταλεύων τῷ τοῦ θεοῦ πόθῳ, καὶ καθηλῶν ἐκ τοῦ φόβου αὐτοῦ τὰς σάρκας τοῦ ἀσκητοῦ, ὡς δοκεῖν σταυροῦσθαι τῇ νεκρώσει τῆς ἐμπαθείας, εἰς μιμητὴν αὐτὸν ἀνυψοῖ τοῦ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· ὡς μετὰ τὴν σταύρωσιν ταύτην ταφέντα τῇ κατὰ θεὸν ταπεινώσει ἐξαναστῆναι εἰς ζωὴν αἰωνίαν, καὶ ἐμφανῆ γενόμενον τοῖς αὐτὸν φιλοῦσι μαθηταῖς, καὶ τεράστια κατεργασάμενον, ἀναληφθῆναι εἰς τὸν ὕψιστον πατέρα, καὶ κληρονομῆσαι τῶν αὐτοῦ ἀγαθῶν, καὶ ἀναδραμόντα εἰς εὐθὺ εὑρεῖν ἀνάπαυσιν τῇ αὐτοῦ ψυχῇ, καθὰ ὁ κατὰ πνεῦμα κείρων αὐτὸν ἐπεύξατο.*

83. *Τῷ τοιούτῳ καὶ ὁ κούριμος, ὡς οὕτω φάναι, τῆς τελετῆς γάμος προέβη, καὶ ὁ ἀχειροποίητος ἐθεωρήθη νυμφών, καὶ ἡ ἄνωθεν ἐξ οὐρανοῦ ὑφαντὴ ἐπετέθη στολή, καὶ τἄλλα πάντα προςήρμοσται θεο-*

Ms. fol. 193. a. *πρεπῆ || μυστήρια· ὧν ἡ ἔκθεσις ταμιεύεται μὲν ἱερογραφικοῖς βίβλοις πατέρων ἁγιωτάτων, οἳ τὰ τοιαῦτα ἐξ ἀποκαλύψεων ἐνομοθέτησαν· ἐκλαλεῖται δέ, ὅτε προςφέρονται τῷ θεῷ οἱ κατὰ πνεῦμα παγκρατιασταί, καὶ ἐξακούεται τοῖς παρατυγχάνουσι. Καὶ συντηρούμενα μὲν βελτιοῦσιν εἰς κοινόν· μὴ φυλαττόμενα δέ, τὸν ταξάμενον μὲν βλάπτουσι, τοὺς δὲ λοιποὺς σκανδαλίζουσι, καὶ τὸ σκάνδαλον οὐ τὸ τυχόν, ἀλλ' οἷον εἰς βλάβην κοινὴν ἀποτελευτᾶν, καυτηριάζουσαν καρδίας, ὡς οὐκ ἂν ὁ θεὸς θεραπεύοιτο.*

84. *Καὶ τοιοίδε μὲν οἱ τὴν θείαν κουρὰν τιμῶντες, καὶ ὑπ' αὐτῆς τιμώμενοι. Καὶ εἰσὶ τοιοῦτοι οἱ ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ῥωχμαῖς γῆς, καὶ στύλοις, καὶ ἐγκλεισμοῖς, καὶ ὅσοι ἄλλοι πολυειδῶς τὸν κόσμον κρύπτονται. Γέμει δὲ πολιτείας τοιαύτης καὶ ἡ τῷ ὄντι Μεγαλόπολις, τὸ τοῦ κόσμου κάλλος, ὁ τῆς γῆς καλὸς καὶ γλυκὺς ὀφθαλμός· ὅπου καὶ λόγοι ἀρετῶντες, καὶ ἔλλογοι ἀρεταί· ἣν εἴ τις ἐξέλοι τοῦ κόσμου, μήποτε οὐκ ἂν ἔτι οὐδὲ κόσμον αὐτὸν εἶναι ἀφήσοι. Ταύτης τρόφιμον ἅπαν ἀγαθόν· καὶ εἴ τι δὲ ἀλλοθί που παραφαίνεται καλόν, ἐκεῖθεν ἐκπέταται. Παράδεισός τις αὐτή, οὐ τέσσαρσιν ἐκβλύζουσα ποταμοῖς μεγάλοις, ἀλλὰ μυρίοις ὅσοις, ἄλλοτε ἄλλοις ἀναστομουμένοις εἰς ἀπόῤῥυτα χεύματα, καὶ γλυκέα, καὶ πλήσμια. Ταύτης καὶ τὸ κύτος μέν, ὅσον ἐμβαδόν, μεμέστωται μεγαλοσχήμων ἀνδρῶν, οἳ φωτὸς ἐκφαίνονται στῦλοι, κάτωθεν μὲν ἐκλάμποντες, οὐρανομήκεις δὲ ταῖς ἐκφάνσεσι τοῦ κατὰ θεὸν ἡλιοβολοῦντος βίου. Περιθέουσι δὲ αὐτήν, καθὰ καί τις κύκλος ἐπὶ κύκλῳ, καὶ αὐτὸς μέγας, ὡςεὶ καί τις οὐράνιος πόλος, τὰ πέριξ ἐξωτερικὰ σεμνεῖα, τὰ καὶ πολύτοπα τῇ θέσει, καὶ τῷ κατὰ θεὸν βίῳ πολύτροπα. Προβέβληται δὲ αὐτὰ καὶ ὁ τῆς Προποντίδος αὐλών, πρὸς κουρῶν μέχρι καὶ εἰς τὰς Εὐξείνου προβολάς, καὶ που καὶ ἐφεξῆς. Πλουτοῦσι δὲ καλοῖς τοιούτοις καὶ νῆσοι, ὅσας ἡ Προποντὶς αὕτη κλύζει.*

85. *Καὶ γέμουσιν αἱ τοιαῦται μάνδραι ποιμνίων ἱερῶν γραφικῆς ἀγέλης μυρίας, κεκαρμένης ἄλλης ἀλλαχοῦ. Τῆς δεξιᾶς πάντες οὗτοι μερίδος τοῦ ἀρχιποίμενος θεοῦ. Ἐρίφια γὰρ ἐν αὐτοῖς, τῇ ἀριστερᾷ πρέποντα, οὐκ ἔχουσι κατασκιρτᾶν. Μάνδραι καὶ αὗται, εἰ καὶ ἄλλως προβάτων, ἀλλὰ τρόπον ἕτερον λεόντων, ὧν οὐδεὶς λύκος ἔχει κατακαυχήσασθαι. Οἱ δὲ ἐν αὐτοῖς ἀρχιμανδρῖται ὁπλῖται πάντες ἔνθεοι καὶ τὰ ὅπλα. Πῶς μέν; Κατὰ τῶν ἐν βίῳ, οἷς τὰ κοσμικὰ πειρῶνται ἀπάγειν ἀπό τε σφῶν αὐτῶν καὶ τῶν κοσμοπαθῶν· τὰ πλείω δὲ ὑπὲρ τοῦ κόσμου, ὃν ἐξ ἀκοσμίας ἐπανάγουσιν εἰς τὸ κοσμικώτατον, καὶ εὔσχημον, καὶ ἐγγίζον, ὡς οἷόν τέ ἐστι, βίῳ μεγαλοσχήμονι. Οὐκ ἔστιν ἐν αὐτοῖς εὑρεῖν ὕλην, ὅτι μὴ μόνην τὴν τιμίαν θεῷ, τῇ πυρίνῳ κεφαλῇ, καθὰ γέγραπται· ἢ τὰς ὑλαίας κλίνοντες κεφαλὰς οἱ εὐαγγελικῶς κειρόμενοι εὐλογοῦνται καὶ ἁγιάζονται εἰς ἐντελέστατον.*

86. Ἔχουσι καὶ ἑτέραν ὕλην αὐτοί, οὐχ οὕτω τιμίαν, τὴν κατὰ σάρκινον πάθος· εἰπεῖν δὲ ἀκριβέστερον, φθάσαντες ἤδη ἔσχον αὐτήν, ἣν καὶ νοερῶς κατεμπρήσαντες, καὶ τὸ ὑλαῖον οὕτως ἐκεῖνο ἀποθέμενοι, καὶ ὡς εἰς ἀϋλίαν ἀπολεπτυνάμενοι, πρὸς τῷ θεῷ γίνονται, τὴν τοιαύτην ὕλην ἔξαμμα ποιησάμενοι πυρὸς καὶ φωτὸς νοητοῦ, ὅσα καὶ ἀτμίδα εὐέξαπτον· ἐπεί τοι καὶ ἀτμίδι καπνοῦ ἡ θειοτάτη σοφία τὸ ἅγιον πνεῦμα συμβολογραφεῖ θεωρητικῶς, ὁποία τις ἀτμὶς καὶ τῷ θυμιάματι ἐπιπρέπει τῷ κατευθυνομένῳ ἐνώπιον θεοῦ, ὅτε τις προσευχόμενος ἰθυτενῶς ἀνοιφορεῖται πρὸς αὐτόν.

87. Ταύτην τὴν ὕλην, δι' ἧς ἀνάπτεται φῶς ἀποπαλλόμενον || (Ms. fol. 193. b.) ἐκ τοῦ τῶν φώτων πατρὸς τῇ πρὸς ἐκεῖνον ἀφομοιώσει, καὶ ἐν ταῖς διὰ κηροῦ λαμπάσιν οἱ κειρόμενοι μεγάλοι ἀσκηταὶ σημειοῦνται· ὡς εἴ τι χρὴ καὶ πάλιν λεπτολογῆσαι τὰ κατ' αὐτάς, ὡς οἷον γαμηλίους ἐρεῖ τις, τὸν ἀνωτέρω τελούμενον ἱεροπρεπῶς γάμον ἐνθυμούμενος. Σύμβολα γὰρ τοιούτου πυρὸς καὶ φωτὸς οἱ ἀναπτόμενοι τηνικαῦτα κηροί, ὧν τὸ σεμνὸν ὑπὲρ πάντα τὰ ἐκκαιόμενα. Δᾷδες μὲν γὰρ καὶ λοιπὰ ξύλα, ὁποῖά τις ἂν εἴποι, καὶ νάφθα, καὶ πιμελή, καὶ λοιπὴ δὲ παντοία ὕλη, δι' ἧς ἀνάπτεται πῦρ, εἴτε ῥᾷον, καὶ ὡς εἰπεῖν ἀχρόνως, εἴτε καὶ παρατατικῶς, οὐχ οὕτω κατὰ πολλὴν σεμνότητα φῶς ἐξάπτουσιν ὁπωσοῦν, ὡς ὁ κηρὸς αὐτὸ δεξιοῦται. Τὰ μὲν γὰρ ἄλλα τῇ τοῦ φωτὸς ἱλαρότητι παραπήγνυσι καί τι σκυθρωπόν. Αἰσθήσεις τε γὰρ λυποῦσιν ὀδμαῖς καὶ ἀτμῷ δάκνοντι, καὶ σωμάτων στιλπνότητας καταικίζουσι, καπνῷ μεμορυγμένας, εἴποι ἂν ποιητής. Κηροῦ δὲ ἔξαμμα οὐδὲν ἄλλο ἐστίν, ἢ φῶς ἄλυπον ἀκραιφνές· καὶ ἔχει παλαιὰν παροιμίαν παραξέσας ὁ τὸν κηρὸν ἀνάπτων, καθ' ἣν ταῖς Μούσαις ἄκαπνα θύουσιν οἱ ἀοιδοί, λέγειν καὶ αὐτός, ὅτι πῦρ ἐκκαίει ἄκαπνον, καὶ μὴν καὶ ἄλυπον ἐς τὸ πᾶν. Ἔστι γὰρ ἀληθῶς φωτὸς καθαροῦ ὄχημα ὁ κηρός, ὃς καὶ τῷ πρυτανευομένῳ μυστικῷ πυρὶ Ἀθήνησι καθυπουργεῖν ποτε εἰς ἐνδελεχὲς λέγεται. Σεμνὸν δὲ τοῦ κηροῦ καί, ὅτι ἐκ μυρίων καλῶν ἀνθολογεῖται· ὧν τῷ κεράσματι σκευωρούμενος εἰς δοχεῖα σεμνὰ φύσει διὰ τὸ κατ' αὐτὰ τῶν συρίγγων ἑξάγωνον, καὶ οὕτως αἰνιγματίζων τὴν τελειότητα (ἐπειδὴ καὶ πρῶτος ἐν ἀριθμοῖς τελείοις πεφιλοσόφηται ὁ ἓξ ἀριθμός), ἐναποτίθεσθαι δίδωσι τὸ καλὸν μέλι ταῖς παρ' αὐτῷ σήραγξι· καὶ ἐπειδὰν αὐτὸ πιεσθὲν ἐκφορηθῇ, βασιλεῦσι προσφορὰ εἰς ὑγίειαν καὶ πένησιν, ὡς παγκόσμιον καλόν.

88. Εἶτα καὶ ἡ ἀποθήκη, ὁ κηρός, εἰς ἀγαθὸν μέγα συντελεῖ (τὴν ἔκφανσιν φημὶ τοῦ φωτός), ἵνα τῷ μὲν κειμηλιωθέντι μέλιτι τὰ ἐντὸς οἱ χρώμενοι παρηγορώμεθα, τοῖς δὲ τοῦ μέλιτος ἀγγείοις τῷ κηρῷ μυρίαν τὴν ἐντὸς ψυχαγωγίαν ἔχοιμεν, εὐεξίας τε παντοδαπῆς φάρμακον αὐτὸν ἐξευρίσκοντες, καὶ ἡλίῳ δὲ ἀντίμιμον κατὰ σκότους παντοίου· ἅπερ ἀγαθὰ οὐδενὶ τῶν κάτω σωμάτων ὁ τῆς φύσεως δημιουργὸς ἀπέταξε. Πολλαὶ μὲν γὰρ ἐν τῷ κόσμῳ καὶ ἄλλαι γλυκύτητες· πολλὰ δὲ καὶ φῶτα, τὰ μὲν αὐτόματα κατά τι αἰωνίζον διεκφαινόμενα· τὰ δὲ καὶ πρός τινα καιρόν. Τοιοῦτον δέ τι οὐδὲν πέφηνε δύασμα, ὁποῖον τῷ μελισσείῳ κηρίῳ ἐντεθεώρηται. Μέλιτός τε γὰρ γλυκύτητα τίς ἀναγγελεῖ; καὶ κηροῦ δὲ φῶς τίς ἂν ἀξίως ἀποσεμνυνεῖ; Ἔνθα καὶ μυστήριον μέγα τοῖς κατὰ θεὸν βιοῦσιν ἐνδομυχεῖ. Κηρός τε γὰρ ἀναπτόμενος εἰς φῶς ὁ ὅλος ἀναλύεται, οὐδέν τι σημεῖον ἐγκαταλεῖπον ἑαυτοῦ μετὰ τὴν σβέσιν· οὔτε γὰρ τέφραν, οὔτε τι κάπνισμα σὺν τῷ μηδέ τι δύσοδμον ἀποφέρειν. Καὶ ἄνθρωπος δὲ τὴν πνευματικὴν κουρὰν τέλειος, καθὰ ἐκύρωσεν, εἰς φῶς ἑαυτὸν ἀνάπτει, ὀξείᾳ φορᾷ πρὸς θεὸν ἀνατεινόμενος, καὶ τῷ πρώτῳ φωτὶ φιλονεικῶν ἐγγίσαι, καὶ ὡς εἰπεῖν συναφθῆναι, καὶ μηδέν τι ἐν τοῖς κάτω λείψανον ὑλαῖον ἀφεῖναι, δι' οὗ καὶ δύσοδμόν τι ἐκφήνῃ, ἀλλ' εἰς ὀσμὴν εὐωδίας λογισθῆναι τῷ θεῷ, || (Ms. fol. 194. a.) οἷς ἐκ τῶν κάτω κηλίδων ἄσπιλος εἰς τὸν ὑπερκάθαρον καὶ ὑπεράγιον θεὸν ἀναβέβηκεν.

89. Οὕτω φιλοσοφοῦσι τούς, ὡς ἐῤῥέθη, γαμηλίους κηροὺς οἱ Μεγαλοπολῖται εὐσχήμονες. Οὕτω φωτίζουσι τοὺς ἢ τὴν ὄψιν ἐστενοχωρημένους, ἢ εἰς τὸ πᾶν τυφλώττοντας. Οὕτω παιδεύουσι τοὺς ὅσα καὶ ἀπὸ σκότους καὶ ἐρέβους καὶ ζόφου, ἃ δὴ καὶ ὅσα τοιαῦτα ὁ κάτω βίος ἐπικέκληται, εἰς τὸ τῆς μοναχικῆς πολιτείας προϊόντας φῶς, ὅσα καὶ ἀπὸ γῆς εἰς τὸν ἀνέφελον αἰθέρα· οὕπερ οἱ μὴ ἐπιστρεφόμενοι ἴστωσαν, ὡς ἀεὶ ἐν σκότῳ διάγουσιν ἀλαμπεῖ, καὶ αὐτῷ οὐ κατὰ τοὺς Κιμμερίους, οἷς καὶ ἥλιος ἐλλάμπειν λέγεταί ποτε· ἀλλὰ κατὰ τοὺς ἐν σκιᾷ θανάτου, τῇ καὶ ὑπὲρ σκότος ταρτάριον. Οἱ δ' αὐτοὶ Μεγαλοπολῖται, οἱ τὴν πνευματικὴν πολιτείαν μεγάλοι, καὶ τὸ μοναχικὸν μέλαν τὸ κατὰ τὴν ἔνδυσιν καὶ τὰς λοιπὰς δὲ ἱερὰς ἀμπεχόνας πολυειδῶς ἀνάγουσι, καὶ φωτεινὴν θεωρίαν τῇ τοιαύτῃ μελανίᾳ ἐναυγάζουσι. Νοοῦσι γάρ, καὶ οὐ δήπου παρανοοῦσι (μὴ γένοιτο), οὐ κατά τι χρωματικὸν ἐξαίρετον ἐπιλεγῆναι τοῖς πατράσι τὸ τοῦ φορήματος μέλαν τά γε εἰς κάλλος, ὅτι μήδ' ἂν ἔχοι συνηγορίαν ἐπὶ κάλλει τὸ εὐτελές. Οὐκοῦν ἐπεκρίθη ἐπὶ συμβόλοις βίῳ θείῳ πρέπουσιν.

90. Ἐπιπρέπει γὰρ τὸ τῶν ἀμφίων μέλαν τοῖς

μοναχοῖς εἰς τὸ δι' αὐτοῦ ὅσα καί τινος νυκτὸς ἐκφαίνεσθαι τοὺς τῆς ἀρετῆς ἀστέρας ἐν αὐτοῖς προλάμποντας. Ὡς γὰρ ἐν νυκτὶ παῤῥησιάζονται ἀστέρες εἰς φαῦσιν, οὕτω καὶ ἐν τοῖς ἱεροῖς μελαμφόροις ὀφείλεται παμφαίνειν ἡ πρὸς ἀλήθειαν φωτοειδὴς ἀρετή. Καὶ ἄλλως δὲ σύμβολον τὸ τοιοῦτον μέλασμα τοῦ δεῖν εἶναι κρύπτεσθαι ἀρετῶντα τὸν ἀσκητήν, καὶ μὴ φανητιᾷν· ἵνα τῷ ὄντι, καὶ μὴ πρὸς φαντασίαν, ὅσιος ὢν τῷ Θεῷ, ἔχῃ οὕτω καὶ αὐτὸς αὐχεῖν, ὅτι ἐν ταῖς νυξὶν ἐπαίρει τὰς χεῖρας αὐτοῦ εἰς τὰ ἅγια, ψάλλων αὐτὸ διὰ τὸ τῶν πράξεων ἀφανὲς καὶ ἀπανηγύριστον. Ἔτι βούλεται τὸ δι' ὅλου μέλαν ἄμφιον καὶ ἄλλως οὐράνιον ταῖς ἀρεταῖς εἶναι τὸν μονάζοντα, καὶ οὕτω θεῷ τῷ ὑπερουρανίῳ πελάζοντα. Καὶ γάρ τοι κατὰ τοὺς ὀρθὰ φιλοσοφοῦντας κυάνεον καὶ τὸ οὐράνιον διαφαίνεται χρῶμα· οἳ καὶ αἰτιολογοῦσι, προσπίπτειν αὐτὸ τοιοῦτον ταῖς τῶν βλεπόντων ὄψεσιν ἐπ' ὠφελείᾳ, διὰ τὴν κατ' αὐτὸ μεσότητα, εὖ μάλα κεκραμένην τῇ τῶν ἄκρων συνελεύσει· ὡς μήτε διακρίνειν τῇ ἀκράτῳ λευκότητι, μήτε συγκρίνειν τῇ κατάκρας μελανίᾳ, καὶ οὕτω βλάπτειν τὸ ἐν ἡμῖν ὀπτικὸν τὸ κατά γε σῶμα.

91. Ἀκούεις, ὦ μέγα μοναχέ, ὁποῖον τινὰ οὐρανὸν καὶ σὲ ὁ ὀρθὸς λόγος εἶναι βούλεται; Βλάπτεις τοὺς βλάπτοντας· οὐ μὴν δὲ ἀλλὰ καὶ σεαυτόν, ὁπηνίκα ἐκτραχύσεις τοῖς κατά σε, εἴτε πρὸς ἄκρον μεμελάνωσαι, εἴτε προλάμπεις ἄκρατα. Χρὴ γὰρ διατεθεῖσθαι τὰ ἐν σοὶ μέσως καὶ οὕτως ἐναρέτως, εἴγε μεσότης ἀρετὴ πᾶσα. Κατακίρνα τοίνυν σεαυτὸν θευρέστως· καὶ μελαινόμενος, ἐφ' ὅσον χρεών, καὶ αὖ πάλιν διαλευκαινόμενος, τὸ μὲν ποίει, κρύπτων τὴν ἐν σοὶ ἀρετήν, καὶ σκιὰν ἐκτείνων σωτήριον, οὐ μὴν θανάτου· καὶ ἐμβαθύνων θειοτάτοις νοήμασι, καὶ νυκτὶ ἐοικὼς τὰ ὑπώπια, ὅτε δυσκολαίνων ἀγριαίνεις κατὰ κακίας· καὶ κρυπτόμενος δὲ τὸν δαίμονα, καὶ οὕτω
Ms. fol. 194. b. λανθάνειν || αὐτὸν πειρώμενος, καὶ μὴν καὶ ἀναπαυόμενος τοῦ περὶ τὰ κενὰ μοχθεῖν. Ἀπονεύει γάρ τοι καὶ εἰς αὐτὸ συμβολικῶς τὸ τοῦ μοναχικοῦ σχήματος νύκτερον, ὃ καὶ ἡ πρὸς αἴσθησιν ἀναπαύσιμος νὺξ κεκλήρωται.

92. Τοιαύτης οὔσης ἐν σοὶ μελάνσεως, ᾀδέτω ἡ κατά σε διαρτία τὸ μέλαινα εἶναι καὶ καλή. Ἄλλως γὰρ οὐ καλὸν τὸ μέλαν ἁπλῶς, εἴγε καὶ νεκρώσεώς ἐστι σύμβολον ἐν καχεξίαις σωματικαῖς. Πῇ μέντοι καὶ αὐτὸ καλὸν εἶναι φαίνεται, εἴ που ἔχει τι ἐπικόσμημα. Σεμνύνονται γοῦν καὶ ἐν ἐρίοις μελαναυγέσι τὰ κοραξὰ οὐχ ἁπλῶς, ἀλλὰ παραθέσει τῇ πρὸς ἑτεροῖα μέλανα. Καὶ οὕτω μὲν καὶ ἐς τοσοῦτον γίνου τοῦ μέλανος. Διαλευκαίνου δέ, λάμπων ἀρεταῖς, καὶ ἀληθείας ἀποδισκεύων φῶς, καὶ τὸ τῆς ὑποκρίσεως βαθὺ νέφος ῥηγνύς, καὶ οὕτω λαμπρὸς ἐκεῖθεν ἐκκύπτων, καὶ αἰθριάζων τοῖς βλέπουσι, καὶ τὸ πᾶν εἰπεῖν ἐγγίζων τῷ φωτὶ τῷ ἀληθινῷ, οὗπερ ὁ πέλας γενόμενος οὐκ ἔσθ' ὅπως ἐν σκότῳ μένει, οὐδὲ σκοτοφορεῖ, κἂν ὁ πάντων εἴη μελάντατος.

93. Ἔτι διανοοῦ, κ ὶ ὅτι τὸ προφαινόμενον ἐν σοὶ μέλαν καὶ ὡς εἰς θανάτου σύμβολόν σοι προκέκριται· ὥστε νεκροῦσθαι μὲν ἐμφαίνεις τῷ σώματι, τῷ δὲ πνεύματι καὶ ζῆν, καὶ ὑπεραναβαίνειν τὴν γῆν, καὶ κατ' αὐτὴν πάντα, ὅσα πολλοῦ τιμᾶται τοῖς πεδινοῖς. Πένθιμος γὰρ βίος ὁ κατὰ σέ, ὡς οὐκ ἂν ἔχοις ἀντειπεῖν. Καὶ διὰ τοῦτο χαραῖς ἁπάσαις καὶ ἡδοναῖς, ὅσαι κατὰ βίον, καὶ διαχύσεσιν ἀμιγής, ἀπήνθησας, ὅτε τὴν κόμην πνευματικῶς ἀπεθρίξω· εἴγε καὶ ἀνθεῖν λέγεται κεφαλὴ ἐν τῷ κομᾶν. Ἐνθυμοῦ τοίνυν, ὅτι τε καρποῦ καιρίου δόσιν ὑπέσχου μετὰ τὴν ἄνθην, οὗ πρόδρομος ἦν ἐκείνη· καὶ ὡς οὐκ ἔστι σοι ἐξανθεῖν κοσμικώτερον μετὰ τὴν θείαν κουράν. Καὶ τούτου αἴνιγμα καὶ ἡ τῶν ἀνθηρῶν ἀμφιασμάτων ἀπόθεσις, καὶ ὅσοις ἄλλοις φλεγμαίνει τρυφῶν βίος, συνεκβαλλομένων τοῖς βαθυτέροις βιωτικοῖς καὶ τῶν ἐξεπιπολῆς.

94. Μὴ γὰρ οἴου, μηδὲ ἀναβαινέτω λογισμὸς εἰς τὴν καρδίαν σου, εἶναί τι ὅλως ἢ μοναχοῦ ἀγαθοῦ γνώρισμα, ἢ λαϊκοῦ εὐχρήστου παρά σοι ἐκ μόνου τοῦ μελαμφορεῖν, ὅτι μὴ μόνον τὸ κατάγειν το μέγα σχῆμα τῷ κατ' ἀρετὴν σχηματισμῷ εἰς μεγάλην ὑπόκρισιν, εἴτ' οὖν τὸ καλὸν πρόσωπον εἰς προσωπεῖον ὑποκριτικόν, καὶ φενακίζειν τῷ προφαινομένῳ τοὺς ἁπλουστέρους, καὶ μήπω πεπειραμένους τῆς σῆς διαθέσεως. Ὃ καὶ λῃστής ποτε καὶ κλέπτης μιμησάμενος ὑποκρίναιτο ἂν τὸν καλόγερον ἐπὶ ἐξαπάτῃ, καὶ μᾶλλον, ὅτε τὰς τρίχας ἐκεῖνος ἀπάγει τῆς κεφαλῆς, ἐν χρῷ ψιλωθείς· ὡς ἂν μήτε τὸν ἐκεῖθεν ἑλκυσμὸν πάσχοι, καὶ ἐν εὐσχήμονι θέᾳ μονάζοντος ῥᾳδιουργῇ λανθάνων, καὶ οὕτω μὴ κωλυόμενος ἐν ἡμέρᾳ κακοπραγεῖν. Νύκτωρ γὰρ ἔχουσιν οἱ τοιοῦτοι ἀποκρυβῆς πρόβλημα τὸ βαθὺ τῆς νυκτός· εἰς ἅπερ ἀφομοιοῦται καὶ ὁ προβεβλημένος μὲν τὸ θεῖον μέλαν τοῦ σχήματος, κλέπτων δὲ τοὺς πολλοὺς δι' αὐτοῦ· καὶ τῇ φενάκῃ ἀπάγων εἰς ὄλεθρον, ἴσως μὲν καὶ σωματικόν, μάλιστα δὲ τὸν κατὰ ψυχήν· ἣν λῃστεύει τὸ καθ' ὑπόκρισιν βάθιστον σκότος, τὸ μὴ Χριστιανικόν, ἀλλὰ δαιμόνιον· ὃ φευκτέον τὸν ἀληθῶς τοῦ θεοῦ ἄνθρωπον.

95. Εἰ γὰρ καί τι νυκτὸς ὁμοίωμα, ἡ μοναχικὴ μελανία καθυπογράφει. Ἀλλὰ καὶ φῶς ἔχειν ἀπαιτεῖται πρὸς μίμησιν τῆς κατὰ κόσμον αἰθριαζούσης

νυκτός· μάλιστα μὲν οὖν ὑπὲρ μίμησιν· ἵνα τις ἔχῃ Ms. fol. 195. a. λέγειν καὶ ἐπὶ τοιούτου μελανείμονος, || οὗπερ ἡ κατὰ πνεῦμα νὺξ ἡμεροφαὴς θείῳ κράματι, τό· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγηται ῥῆμα θεωρητικῶς, καθὰ ζώῳ λογικῷ πρέπει καὶ νοερῶς λαλητῷ, εἴποι ἂν ὁ Ἰώβ· ἀκολούθως δὲ καὶ νὺξ νυκτὶ ἀναγγέλλῃ γνῶσιν, ἣν τῷ σχολαστικῷ ἀνδρὶ οὐ θεωρία μόνον, ἀλλὰ καὶ πρᾶξις περιποιεῖται σχολάζοντι, καὶ οὕτω γινώσκοντι τὸν θεόν.

96. Τῇ δέ, ὡς ἐῤῥέθη, κεκραμένῃ νυκτὶ ἐπιφωνοῖτο ἂν προςφυῶς καὶ τό· ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς· τουτέστιν, ὡς τὸ βαθὺ καὶ μυστικῶς κρύφιον, οὕτω καὶ τὸ νοερῶς διάλευκον· ἵνα μὴ νὺξ ἀφεγγὴς εἴη, καὶ οὕτως ἀποπλανῶσα τῆς ὀρθῆς τοὺς μὴ εὐμαθῶς αὐτῆς ἔχοντας. Εἴθε δὲ εἴη, καὶ στύλῳ πυρὸς τὴν μοναχικὴν φωτίζεσθαι νύκτα, ὡς περισώζειν τοὺς ἀπὸ Αἰγύπτου τῆς νοουμένης εἰς τὴν τῆς ἐπαγγελίας ἐπαναστρέφοντας γῆν. Λόγῳ δὲ ὁμοίῳ καὶ νέφος· ὑποδύεσθαι λογιζόμενος ὁ τῷ ὄντι μεγαλοσχήμων, ὡς ἐπὶ ἀφανείᾳ καὶ κρύψει τῇ κατὰ κόσμον, οὐχ ἁπλῶς ἔσται νέφος αἰγιδῶδες, καὶ οὕτω φθοροποιόν, ἀλλὰ νεφέλη φαιδρὰ κατὰ τὸ γραφόμενον· ἐν ᾗ κρυπτόμενος ὁ κατ ἀρετὴν ἥλιος οὐκ ἐξαφανίζεται, ἀλλ' ὡς οἷον οἰκουρήσας ἐκεῖ, ἐν καιρῷ λαμπρὸς προκύπτει, ὁποῖα ἔνδοξος νυμφίος ἐκ παστοῦ αὐτοῦ· καὶ δι' ἧς ὄμβρος ῥήγνυται, ζωογονεῖν δυνάμενος· ἵνα οὕτω καὶ δήμιος καὶ δυνατὸς ἀποτελούμενος ὁ τοιοῦτος μοναχός, ἔχοι μιμεῖσθαι τὸν ἐπὶ νεφέλης ἐλευσόμενον τεραστίως μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

97. Τοιούτῳ νέφει, καιριώτερον δὲ νεφέλῃ φάναι, καὶ ἡ πάναγνος παρθένος ἀπείκασται· λόγῳ μὲν ἄλλως ὑψηλοτάτῳ, ῥυθμίζοντι δὲ τὸν ὄντως μοναχὸν εἰς ὁμοιότητα θεῷ ἀρέσκουσαν. Οὕτω καὶ εἰςέτι βέλτιον οἱ τῆς τοῦ μεγάλου Κωνσταντίνου τρόφιμοι μεγαλοσχήμονες, καὶ ἐπὶ τοιούτοις λόγοις, καὶ ἔτι πλείοσι καὶ κρείττοσι, τῇ κατὰ μελανίαν χρώσει καλλύνονται, καὶ παράσημον αὐτὸ πνευματικὸν περίκεινται, καὶ οὕτω σκότος ἱερὸν τοῦτο ἀποκρυφὴν ἑαυτοῖς τίθενται· ὑφ' ὧν τάχα ἂν ὀνειδιζόμενος, ὦ ἐν ἡμῖν μεγαλεῖε μοναχέ, καὶ ὡς αὐτὸς χαίρεις ὀνομάζων σεαυτόν, μέγα πρόσωπον, ἀκούσοις ἂν εἰς πλείω καὶ σαφεστέραν μάθησιν, ὅτι νεφέλη μὲν ἐξάπαντος εἰκονικῶς ἔσῃ περιβεβλημένη σκότος ἀέριον· ἐὰν δὲ μὴ φαιδρά, καὶ φῶς κρύπτουσα, καὶ ἐκτινάσσουσα εἰς λάμψιν, τέως γοῦν ὕδωρ ὠδίνουσα, δι' οὗ πιαίνεται γῆ, οὐ μόνον ἡ αἰσθητή, ἀλλὰ καὶ ἡ νοουμένη κατ' ἄνθρωπον· ὡς ἂν παρακολουθῇ καὶ σοὶ θεωρία σκοτεινοῦ ὕδατος ἐν νεφέλαις ἀέρων. Ἔσται γὰρ καὶ σοὶ καταβρέξαι ὑετῷ τὴν γῆν κατὰ τὸν Θεσβίτην λόγῳ θεοῦ, ὃς ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ποιῶν πάντα, ὅσα ἐθέλει, δίδωσι καὶ τοῖς αὐτοῦ θεραπευταῖς ποιεῖν ὅμοια.

98. Ἔτι διδάξουσί σε οἱ Μεγαλοπολῖται, καὶ ὅτι οὐ κατὰ τὸ κρύφιον τῆς ψυχῆς, καὶ βυσσοδομευτικόν, καὶ ἐνδόμυχον, καὶ ὕπουλον, καὶ οὕτω σκοτεινόν, καὶ ἀόρατον, καὶ ἀκατανόητον ἐξομοιωθήσῃ πρὸς νεφέλην, ἀλλὰ κατὰ τὸ ἀθριάμβευτον, καὶ οὕτως ἀνέκφαντον τῆς ἐν σοὶ ἀρετῆς· ὥςτε σὺ μὲν φῶς αὐτόχρημα ὀφείλεις εἶναι, περὶ δὲ σὲ κρύψις τοιαύτη ἔσται μιμήσει θεοῦ· οὗ κύκλῳ νεφέλη καὶ γνόφος. Οὐκοῦν οὐ σκοτεινὸς ἔσῃ ἁπλῶς, ἀλλὰ κυκλώσει σε τὸ ζοφῶδες, ἐπικρύπτοντα τὸ κατ' ἀρετὴν φῶς· ὃ καὶ κρυπτόμενον ὅμως ἐκδραμεῖται, ἄλλως φαῖνον, καὶ σοῦ μὴ θέλοντος· ὁποῖόν τι καὶ περὶ τὰ λαμπρὰ φανία || γίνεται. Ms. fol. 196. b.
Τοιαῦτα φῶτα φιλεῖ ὁ πατὴρ τῶν φώτων θεός, ἀγαθὰ δηλονότι ἔργα· ὧν ὁ ἦχος ὅσα καὶ βροντὴ τρανεστάτη μακρὰν ἐξηχεῖται· ὧν ἡ ἀστραπὴ φαίνει τῇ οἰκουμένῃ, λάμπουσα ἔμπροσθεν τῶν ἀνθρώπων· ὧν ἡ ὀδμὴ οὐ θείου ὄζει, ἀλλ' εἰς οὐρανὸν αὐτὸν εὐώδης ἀναβαίνει.

99. Τοιούτῳ γοῦν λάμπε φωτί. Καὶ δραμοῦνται πάντες ἐπὶ σε, καὶ ἀνάψουσι καὶ αὐτοὶ μεταλήψει τῇ ἀπὸ σοῦ φῶτα ὅμοια. Καί πως ἁμιλλώμενοι λαμπάδων ἀγῶνα τοῦτον τελέσουσι διά σοῦ, τῷ παντὶ σεμνότερον τοῦ ἐν τοῖς πάλαι ἱστορουμένου. Ἤδη δὲ καὶ ὑπὲρ τὰ τῶν Νικομηδέων φῶτα ἐν ἀκαρεῖ πολλαχοῦ γῆς τὴν ἐν σοὶ δείξεις φωτοφάνειαν. Λάμπων μέντοι σύστελλε τὸ ἄγριον πυρῶδες, δι' οὗπερ αἱ φαῦλαι νεφέλαι, οἱ δεινοὶ μοναχοί, τὸ παραπίπτον καταφλέγουσιν, ὡς ἄγρωστις ξηρὰ βρονθήσεται κατὰ τὸν ἅγιον Ἡσαΐαν ὑπὸ πυρός· ἔσο δὲ ταμιεύων αὐτὸ ὕλαις ἀξίαις καύσεως ἐπιτιμητικῆς, ὁποίας πολλὰς ὁ ὑλαῖος ἀναφύει βίος.

100. Συνελεῖν γὰρ τὸ πᾶν ἐν βραχυτάτῳ· νεφέλῃ φωτὸς ὀφείλεις εἰκάζεσθαι, οὐ μὴν ἐκπυρηνιζούσῃ κεραυνούς, ὁποῖόν τι κεραυνοβόλον φαίνεται νέφος, καὶ ὁ μὴ Δαυϊτικῶς ἐναδολεσχῶν ἐν τοῖς τοῦ κυρίου δικαιώμασιν, ἀλλὰ καταφλυαρῶν βλασφήμως καὶ διαβόλως, ὧν ἂν βούλοιτο, καὶ οὕτως ἀφιεὶς χάλαζαν καὶ πυρὸς ἄνθρακας, ψαλμικῶς εἰπεῖν, δι' ὧν τὸ τοῦ πυρόεντος θυμοῦ σκιαγραφεῖται νεκροποιόν. Οὕτως ἡ ἐμὴ παλαίπολις τὴν μοναχικὴν μελαμφορίαν σεμνυνεῖ φιλενδεικτικώτερον. Ἄλλως μέν τοι οὐκ ἀπηκρίβωται, τὸ μέλαν χρῶμα προκαθῆσθαι τῶν ἄλλων ὑπερφυῶς, εἰ τὸ τοῦ ἀποστολικοῦ ἤθους ἐπάγγελμα; καὶ τὴν εὐαγγελικὴν ὁμοιότητα, καὶ τὴν θεόθεν ἔλλαμψιν

ἀφέληταί τις τοῦ μοναχοῦ· καθ' ἣν ἐν τῇ δῆθεν σκοτίᾳ τῆς μελαμφορίας φῶς θειότερον τοῖς ὀρθὰ πολιτευομένοις ἐκφλέγεται καὶ προλάμπει ἔμπροσθεν τῶν τοιούτων ἀνθρώπων, εἰ καὶ ὁ κατὰ σῶμα κρύπτειν αὐτὸ πειρᾶται μόδιος· ὡς, εἴ γε τὸ τοιοῦτον οὐράνιον φῶς, τὸ ἡλιῶδες, εἰπεῖν δὲ ἀληθῶς, ὑπὲρ ἥλιον, τῆς μοναχικῆς μελανίας ἀπαγάγοι τις, ὅμοιόν τι γίνεται τηνικαῦτα, ὡς εἰ καὶ ἄνθραξ πῦρ φλόγεον στέγων, εἶτα σβεσθεὶς καὶ ἀμαυρωθεὶς εἰς μελάντερον, ἦΰτε πίσσα, οὐκέτι τὸ πρεσβεῖον φέρει τοῦ χρηστοῦ ἄνθρακος, ἀλλὰ μελάσματι μόνῳ ἀπομνημόνευμα ἐκείνου περισώζει τοῖς βλέπουσιν.

101. *Εἴη δὲ ἂν καὶ θεωρητικώτερον μιᾷ μὲν ταύτῃ χροιᾷ, τῇ κατὰ τὸν μονάζοντα, νομίζειν χαίρειν τὸν παμβασιλέα κύριον, οὗ καλὰ τὰ πάντα ποιήματα· ἐξουθενοῦν δὲ τὰ λοιπὰ χρώματα, ὡς μηδὲ ἑνὸς αὐτῶν ἀφιέντος τὸν αὐτὰ περιβεβλημένον ἀξιοῦσθαι τῆς εἰς τὸν παράδεισον εἰσελεύσεως· ὃν οὐκ ἂν εἴποιμι, ἀλλ' οὐδὲ ἐνθυμηθείην, μελανδρύοις μὲν τεθηλέναι καὶ ἐβένοις, καὶ ὅσοις ἄλλοις οὐ μόνον ἡ καρδία τὸ μέλαν φέρει, ἀλλὰ καὶ ἡ ὁλότης τοιούτῳ πυκάζεται χρώματι· δένδροις δὲ μὴ ἐνευθηνεῖσθαι καὶ καρποῖς, ὧν καὶ ἄνθη πάντως ἀνάλογα προβέβληνται, οἷς ἐλλάμπει φανότης λευκότητος, φίλη τοῖς τοῦ φωτὸς ἀγγέλοις. Εἰ δέ τις τῶν ἐριστικωτέρων πρὸς λίαν πάνυ μέγα σέμνωμα τῆς μελαμφορίας τὸ οὐράνιον ἀντιπροφέρει κυάνεον, καὶ τὸ κατὰ γῆν καὶ θάλασσαν μέλαν (μέλαινα γὰρ καὶ ἐκείνη καὶ αὕτη), εἶτα τῶν στοιχειακῶς μεγίστων ἀφέμενος, τῶν σμικροτάτων γένηται, ὧν μέρος καὶ τὰ καλὰ ἔνοπτρα, καὶ αἱ || Mc fol. 196. a. κατὰ τοὺς γλυκεῖς ὀφθαλμοὺς κόραι, καὶ ὅσα τοιαῦτα σεμνῶς ἐκ θεοῦ τῇ μελανίᾳ κοσμοῦνται — ὁ μὲν ἀντιλέγων τοῖς ὀρθῶς οὕτω νοοῦσιν εἴη ἂν ἢ αἰσθήσεως χρήζων, ἢ κόλασιν ἐθέλων. Ὁ δὲ κατατιθέμενος — ἀλλ' αὐτὸς λογίζοιτο ἂν οὐκ ἄμοιρος λογισμοῦ ἀγαθοῦ.*

102. *Καὶ τοίνυν οὕτω φρονῶν καὶ ἐγὼ πρὸς ὀρθότητα, εἰδὼς δὲ καί, ὡς πρὸς τοιαῦτα μελάσματα καὶ μοναχὸς ἅπας κέχρωσται συμβολικώτερον, ἐπιθυμῶ βλέπειν ἐν αὐτῷ τὰ σεμνὰ τῶν τοιούτων μελάνων σωμάτων (τοῦ οὐρανίου, τοῦ γηΐνου, τοῦ θαλαττίου, τοῦ τῆς κόρης, καὶ τοῦ κατ' ἔνοπτρον)· ἵνα πρὸς ὁμοιότητα τῶν ἐν τοῖς τοιούτοις ἀγαθῶν (τῶν πολλῶν, τῶν πολυειδῶν, τῶν ζωογόνων, τῶν συστατικῶν καὶ κόσμου παντὸς καὶ ζωῆς τῆς καθ' ἕκαστον, τῶν εἰς εὐπρέπειαν, τῶν εἰς ἐπιποίησιν κάλλους ἐπαινετοῦ, τῶν εἰς λοιπὰς ἐνεργείας, δι' ὧν καὶ φύσις ἀποσεμνύνεται, καὶ ἡ ταύτην ἐκμιμουμένη τέχνη συνδιατιθέμενος ἐκφαίνεται) καὶ ὁ ἀληθὴς μεγαλομόναχος καὶ θεωροῖτο καὶ αὐτός· οὐρανὸς μὲν κατὰ τὰ μυρία ἐν αὐτῷ καὶ δι' αὐτοῦ καλά, δι' ὧν οὐράνιος γένοιτ' ἂν ζήλῳ θείῳ· γῆ δὲ οὐ τὸ ἀόρατον καὶ ἀκατασκεύαστον, ἀλλὰ κατὰ τὸ ἐναρέτως κάρπιμον, καὶ θείᾳ δρόσῳ πάμφορον· θάλασσα δὲ κατὰ τὸ ἐξ αὐτοῦ πολυωφελὲς ἐν ἀνθρώποις, καὶ παντὸς ἐνδέοντος ἀναπληρωτικόν (οὗ μέρος καὶ τὸ τρέφειν ζῶα· καὶ μεγάλα ἐν ἡμῖν, διὰ τὸ ἐν αὐτοῖς μεγαλόνουν· καὶ μικρά, διὰ τὴν κατὰ νοῦν ἀφέλειαν)· ὀφθαλμὸς δὲ τῷ κατὰ θεοπτίαν διορατικῷ· καὶ ἔνοπτρον τῷ δεκτικῷ τῶν θείων ἐμφάσεων· ὡς, εἴγε μὴ τοιοῦτος ὁ μεγαλοσχήμων ἐκφαίνεται, ἀλλὰ μόνον μελαμφορῶν, βρενθύεται τῇ τοιαύτῃ στολῇ.*

103. *Ἔμοιγ' οὖν μὴ ἀποκληρωθείη τὸ κατ' ἐμὲ ἱερὸν μέλαν ἄμφιον εἰς τοιοῦτόν τι, οὐχ ἵνα μὴ πρὸς χάος ἀπεικάζηται καὶ πρὸς ἔρεβος, ἢ καὶ πρὸς ἑτεροῖον ᾅδου φόρημα· οὗπερ οὐδέν τι μελάντερον (παίζειν γάρ ἐστι τὸ οὕτω παραβάλλεσθαι)· ἀλλ' ἵνα μὴ τὸ σκότος ἐκεῖ λάχω τὸ ἐξώτερον. Καὶ αὐτὸς δὲ ὁ πεφρασμένος μοναχὸς δεδιέτω, μήποτε καταχρώξωσιν αὐτοῦ ψόγοι, πολλὰ παράγοντες, μελαινόμενα μὲν εἰς ὅμοιον, ἀγαθὸν δὲ οὐδὲν ἐπισυρόμενα πρέπον τῷ μεγαλοσχήμονι.*

104. *Ἵνα γὰρ ἀποκεῖσθαι ἀφέμενος, ὅσα περὶ χρωμάτων ἐφιλοσόφησαν τῶν παρά γε τὸ μέλαν οἱ καὶ τὰ τοιαῦτα σοφοί, τῶν προχείρων γένωμαι· πρῶτα μὲν τὸ λευκὸν οὐκ ἐν σμικρῷ τέθειται λόγου, τά τε ἄλλα, καὶ διὰ τὸν ἐν τῇ κοσμοσωτηρίῳ ἀναστάσει ἐξαστράπτοντα τῇ μορφῇ ἄγγελον, καὶ στολῇ λευκῇ διαλάμποντα· οὗ μιμητὴς ἅπας μοναχός, εἰ καὶ μελαμφορεῖ· ἔτι δὲ καὶ διὰ τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον, πρὸς ὃν ὁ αὐτὸς τυποῦσθαι προέθετο· καὶ μὴν καὶ διὰ τὴν ἐν τῷ Θαβὼρ θειοτάτην λάμψιν, τὴν — εἰ καὶ μὴ ὑπέρφωτον, ἀλλ' οὖν ὑπὲρ ἥλιον. Τί δὲ τὸ ὑπέρφωτον; Ὁ εἰπών· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ πατὴρ τῶν φώτων, ἡ ἀρχίφωτος οὐσία, ἐξ οὗ καὶ δι' οὗ ἅπας ἐν ἡμῖν φωτισμός, ὅ τε πρὸς αἴσθησιν, καὶ ὁ κατὰ νοῦν· πρὸς ὅπερ φῶς ἀπεικονιζόμενος, ὡς ἀνθρώπῳ δυνατόν, κατὰ μίμησιν ὁ μελαμφόρος μέγας ἀσκητὴς διαυγάζει τὴν κατ' αὐτὸν μελανίαν τῇ ἐκεῖθεν φωταγωγίᾳ καὶ φωσφορίᾳ. Ἄλλως γάρ, ὥσπερ ἡλίου ἔκκαυσις, μελαίνουσα πρόσωπον, οὐκ ἔχει χρώζειν τοὺς οὕτω πάσχοντας εἰς αὐτόχρημα αἰθίοπας, ἄλλως εἰπεῖν, εἰς ψευδαιθίοπας. Οὕτως οὐδὲ μέλαν μόνον φόρημα τοὺς ἀληθεῖς ἐκτελεῖ μοναχούς, ἀλλὰ τοὺς δοκήτας, καὶ δι' αὐτὸ ψευδομονάχους· οἳ τὴν μοναχικὴν εὐτέλειαν ὑποκρινάμενοι πορισμὸν βίου, καὶ τοῦτο προσεξευρίσκουσιν, ὀλίγα μὲν δαπανῶντες εἰς τὴν*

ἐπιπολήν, τὰ πλείω δὲ εἰς χάος γαστρὸς κατασπῶντες. Me. fol. 196. b. Καὶ ἑτέρως δὲ φράσαι τὴν || τοιαύτην ἔννοιαν λευκὰ μὲν φῦλα Γερμανῶν ἱστορεῖται, οὐκ ἤδη δέ που τοιοῦτοι καὶ οἱ ἐψιμμιθιωμένοι. Τὸν ὅμοιον δὴ λόγον οὐδὲ μέλαν φόρημα ἀκριβολογεῖ τὸν μοναστηριακόν. Ἦ γὰρ ἂν ἦσαν μοναστηρίου ἄνδρες καὶ τὸ ἔθνος οἱ Μελάγχλαινοι. Ζωπυρητέον οὖν φλογεόν τι καὶ φωτεινόν, πρὸς δὲ καὶ θερμὸν τοὺς ἐν τῇ μοναχικῇ πολιτείᾳ· ἵνα ὡς εἰς ἄνθρακας ἀναπτόμενοι θεοῦ, χρηματίζωσι καὶ εἰς ἀναφορὰν εὐωδίας θειοτάτ[illegible] χρήσιμοι θυτηρίῳ προσήκοντες. Ἄλλως γὰρ ψεύδ[illegible]αι τὸν ἐνεργὸν ἄνθρακα.

105. Καὶ οὕτω μὲν τοῖς πλείοσι φιλητὸν τὸ ἀπραγμόνως λευκὸν ὡς μάλιστα, ὅτι καὶ τὸ ὁρᾶν, ὃ διὰ φωτὸς περαίνεται. Σεμνύνεται δὲ μετά γε τὸ λευκὸν χρῶμα καὶ φαεσφόρον τὸ ἐρυθρόν, εἴτ' οὖν κόκκινον οὐδὲν δὲ ἔλαττον, ὅτι μὴ καὶ εἰς πλέον, καὶ τὸ ἁλουργόν, ὅτι συμβολογραφεῖ βασιλείαν, ὅση τε περὶ γῆν, καὶ τὴν ὑπερουράνιον· καὶ μᾶλλον, ὅτε τὴν Ἶριν πρὸς ἀπειροκαλίαν χρώζει, μηδέν τι σκυθρωπάζουσαν τῇ μελανίᾳ, εἰ καὶ ἄλλοις στυγνὸν εἶναι τὸ τῆς ἁλουργίδος ἄνθος ἐρρητόρευται. Διὸ καὶ εἰς ἱερὰν ἐπιπρέπει στολὴν τοῖς μὴ πανηγυρίζουσι τελεταρχικῶς. Καὶ τοίνυν, ὅτε τις ἄνθρωπος ὢν κόσμου καὶ τῆς κατ' αὐτὸν τύρβης, ἀρεταῖς ἐπιπρέπει, καὶ κατὰ παθῶν οὕτω βασιλεύει, τοιούτοις ἂν πρέποι κοσμεῖσθαι χρώμασιν· οὐ μὴν τῷ ἁπλῶς μέλανι. Ὁ δ' αὐτὸς ὁμοίῳ λόγῳ καὶ ὡς εἰς φλόγα πυρὸς ἀγγελικῶς προλάμπει, θεῷ λειτουργῶν, ἐπεί τοι ἐρυθροῦ χρώματος εἶδός τι καὶ τὸ φλόγεον.

106. Τίς οὖν αὐτὸς λογισθείης πρὸς ἐκεῖνον τὸν λαϊκόν, ὦ μοναστηριῶτα, ἥκων διὰ μελανίας ἀκράτου, καὶ μηδέν τι πυῤῥάζον ἔχων, καὶ οὕτω λαμπρόν; Καὶ μὴν ὁ τοιοῦτος ἐρυθροφόρος καὶ εἰς πατέρα ἐγγραφήσεται τῶν ὑπ' αὐτοῦ καταρτιζομένων εἰς ἀρετήν, καὶ μιμητὴς θεοῦ, τοῦ πρὸ πάντων πατρός, λογισθήσεται· δι' αὐτὸ δὲ οὐδὲ ἀσχημάτιστος κατὰ τοὺς χύδην λαϊκούς. Διὸ καὶ ἀββᾶς ὁ αὐτός (ὃ δὴ καὶ σὺ ἐπικέκλησαι), ἤδη δὲ καὶ μοναχός, οἷα μονῆς θείας ἄνθρωπος, ὁποίας πολλὰς ὁ σωτὴρ Χριστὸς θεὸς ἡμῶν εὐηγγελίσατο. Ἦ γὰρ οὐχ ὑπομένει τὸν κύριον καὶ ὁ τοιοῦτος, φυλάσσων τὰς ὁδοὺς αὐτοῦ; Καταμόνας ἐπ' ἐλπίδι τῇ πασῶν κρείττονι κατοικίζεται, καὶ οὕτω κατακληρονομεῖ γῆν ἑκατέραν, τήν τε ὑπερανῳκισμένην, καὶ ἣν ἡμεῖς πατοῦμεν. Ἆρα δὲ οὐχ ὑπομένων ὑπομένει, καὶ ὁ κύριος προσέχει αὐτῷ ἐς τοσοῦτον, ὡς καὶ θαύματα δι' αὐτοῦ ἐκτελεῖν, ὁποῖα πολλὰ οἴδαμεν; Εἰ δὲ ὁ οὕτω φορῶν ἐρυθρὰ ἱμάτια, καὶ πρὸς κάλλος ἐνάρετον ἐρευθόμενος, ἐθέλει καὶ ὀφθαλμοὺς ἀνθρώπων λανθάνειν, καὶ οὕτω κρύπτεται τὸν ἀνθρωπόλεθρον θῆρα, οὐκ ἄν, οἶμαι, οὐδ' ἐνταῦθα ὑπὸ τοῦ κατὰ θεὸν μελαμφοροῦντος παρελαθήσεται. Οὗτος μὲν γάρ, ὅσα καὶ θολὸν σηπίας μέλανα, τὸ τῆς χρόας ἀμαυρὸν περίκειται· ὁ δέ, ὅσα καὶ τευθὶς θολώματι ἐρυθρῷ κατὰ ζωϊκῆς ἱστορίας ἔμφασιν, ἐκφεύγειν τὸν ὀλοθρεύοντα δύναται.

107. Ἀλλ' ἐπειδή με τὸ λευκὸν ἔτι περιέλκειν ἐθέλει διὰ τὸ κατ' αὐτὸ φωτεινόν, ἀναβλέπω πάλιν εἰς ἐκεῖνο, καὶ χάριν αὐτοῦ συγγράφομαι τοῖς φιλακροάμοσιν, ὃ καὶ ἐγώ ποτε εἶδον, ὅτε περιεπόλουν τὴν μεγίστην τῶν πόλεων, καὶ σὺν ἐμοὶ λογὰς ἱερωτάτη ἐκεῖσε, καὶ λοιπὸς δὲ μυρίος ὅσος ὅμιλος. Εἶχεν ἡ τῶν καθ' ἡμᾶς ἐκκλησιῶν μήτηρ ἔν τινι καιρῷ συμπαρεδρεύοντα τῷ κατ' αὐτὴν μεγίστῳ ἀρχιερεῖ καὶ τὸν ἐν Ἀλεξανδρείᾳ μέχρι καὶ εἰς ἄρτι πατέρων πατέρα, τὸν ἡγιασμένον Ἐλευθέριον· καὶ περιΐσταντο ἐκεῖνον ἄλλοι τε τῶν Ἀλεξανδρέων πολὺ || χρωμοι, ἐν οἷς καὶ μονάζοντες γεραροί, ἀμπισχόμενοι κοσμίως κατὰ τοὺς ἐν ἡμῖν. Me. fol. 197. a. Καί τις δὲ λευκοφόρος, ὑψηλὸς ἐκεῖνος τὸ ἀνάστημα, μελάγχροος μὲν ἰδεῖν, εὖ δὲ χαρακτῆρος ἔχων, καὶ θείας ἄξιος· καὶ ἡ ἀναβολὴ αὐτῷ λίνεος χιτών, λάμπων, ὅσα καὶ φῶς· οὗ τὸ καθ' ἡμᾶς βαθὺ καὶ πλατὺ προκόλπιον ἀπεστένωτο περὶ τὸν ἀριστερὸν ὦμον ἰθαγενεῖ τρόπῳ· καὶ τὸ κάλυμμα δὲ αὐτῷ τῆς κεφαλῆς, ἐξ ὀθόνης μακρᾶς καὶ λεπτῆς καὶ λευκῆς εἰλιγμένον, ἔσκεπεν αὐτήν, ἐθνικῶς καὶ αὐτό. Καὶ ἐθαύμαζον οἱ ὁρῶντες τὸν ἄνθρωπον. Ἦν γὰρ ἀληθῶς ὠμίας ἐν τοῖς ἐκεῖ, καὶ ὑπεράνω. Τεθηπὼς οὖν καὶ ἐγὼ τὸν ἄνδρα, ἠρόμην τῶν τινα τοῦ καλοῦ ἐκείνου ἀρχιερέως, ὅστις ποτ' ἂν εἴη ὁ προέχων ἐκεῖνος λευχείμων. Καὶ ἔμαθον, ὅτι πρωτοδιάκονος ἦν τῆς τῶν Ἀλεξανδρέων καθολικῆς ἐκκλησίας, καὶ ὡς πολλοῦ τιμᾶται τῷ πατριάρχῃ. Τί οὖν; ἐξουδενώσω ἐκεῖνον τῆς ἱερᾶς ὁμηγύρεως, ὦ κύδιστε μοναχέ, ὅτι μὴ κατ' ἐμὲ καὶ κατὰ σὲ μελάγχιμον εἶχε στολήν, ἀλλὰ λευκὴν ὑπὲρ χιόνα; Οὐμενοῦν· ἀλλὰ ἔχοιμι τὴν ἐκείνου εὐχήν, ὡς ἀποστολικοῦ ἀνδρός, εἰ καὶ σὺ τυχὸν ὀκνεῖς αὐτό. Ἐνεδέδυντο γὰρ κατά τι κρίνον καὶ αὐτός, εὐαγγελικῶς εἰπεῖν· ἤδη δὲ καὶ κατὰ λευκοφαῆ μάργαρον.

108. Ἀλλὰ τοῦτο μὲν ἐσάπαξ ἡμῖν τότε κατεφάνη, παρεοικὸς ἴσως τῇ καλῇ στολῇ τοῦ Ἰακώβ, ἣν ἡ μήτηρ αὐτὸν Ῥεβέκκα περιέδυσεν, εὐλογησόμενον ὑπὸ τοῦ πατρός. Σὺ δὲ ὁ μηδὲν ἄλλο σεμνός, ἢ τὴν μελανίαν, τί δή ποτε, ὅτε τὰ θεῖα λειτουργεῖς, ὁμιλῶν τῷ θεῷ, ἐρέαν ἐρυθρὰν περιβάλλῃ, καὶ λευκὴν δὲ τὰ πλείω, καὶ τὸ περιτραχήλιον ἅγιον ἄνθινον περίκεισαι, καὶ

που καὶ χρυσῷ καταπεπασμένον, καὶ εἰς κροσσωτοὺς ἀπολῆγον περιβλέπτους; Τὸ δὲ δὴ μεῖζον· ὅτε καὶ σὺ προσαναβήσῃ ἐς ὕψος ἀρχιερατικόν, ὃ πολλαχοῦ πραγματεύῃ κατὰ σπουδὴν πολλήν, διατί ἐπενδύῃ λαμπρὰν στολὴν ἱεράν, καὶ οἷαν διὰ τὸ περιμάργαρον καὶ κατάλιθον ἀποβλέπεσθαι; Ἣν ὁ ὀρθὸς κανὼν ἐνδέδωκε, προκαλύπτων αἰσθητοῖς τούτοις παραπετάσμασι μυστήρια κρύφια, συνεπιλαμβανομένης τι κἀνταῦθα τῆς κορυφαίας λευκότητος ἐν σοί, καθ' ἣν τηνικαῦτα καινοπραγεῖς, ἐλλαμπόμενος ἀνθηρῶς. Πολλοὶ γὰρ τῶν κατὰ σὲ θεωροῦνται ἀνεπισφαλῶς, ἅμα ἐπίσκοποι καὶ ἅμα λευκοί, τὴν σκέπην τῆς κεφαλῆς. Ὅτε καὶ ἔστιν εἰπεῖν τὸ τοιοῦτον ὡς οἷον πρέμνῳ μέλανι προσπεφυκυῖαν ἐμβολάδα λευκήν. Καὶ τότε δὴ ἀγαπώης ἂν τὸν πρὶν μισητὸν παπᾶν, καθὰ καὶ σεαυτόν (μήπου δὲ καὶ εἰς πλέον), εἴγε τὸ κατ' αὐτὸν ὕστερον σύμβολον ὕπερθεν τῆς κεφαλῆς θέμενος, ὑποβιβάζεις τὸ προηγησάμενον μέλαν.

109. *Προςεπιτούτοις ἀναβαίνω ἐπελευστικῷ λόγῳ καὶ εἰς τὰ τῆς θείας ἐκείνης σκηνῆς τυπώματα, οἷς δίχα γε τοῦ ἀρχιερατικοῦ πολυτελῶς ποικιλτοῦ περιβλήματος καὶ τὸ ἐρυθρόδανον συνεβάλλετό τι καλλωπισμοῦ, καὶ ὁπόσα δὲ ἄλλα τὸν ἱερὸν συνεκρότει κόσμον, χροίαις διαφόροις προφαίνοντα· ἐν οἷς ἀναθεωρῶ καὶ τιμίους λίθους πολυχρόους ἐκείνους, ὧν οὐκ οἶδα εἴ τις ἦν μελαναυγὴς ἐς ἄκρατον. Ἀκούεις, ἤδη δὲ καὶ οἶδας, ὡς ἐν βίῳ στρεφόμενος, λίθον ἄνθρακα, ὃς τῇ πρὸς ἐμφέρειαν ὁμωνυμίᾳ οὐ ψεύδεται. Τοὔνομα ἔγνως. Καὶ σάπφειρον, οὐδ' αὐτὸν ἀμαυροῦ χρώματος ὄντα, οὐκ ἀγνοεῖς· οὐδὲ τὸ λιγύριον, Ms. fol. 197. b. ἡδὺ μὲν οἷον || προσμειδιῶν τοῖς ὁρῶσιν, ἀπαναινόμενον δὲ τὴν μελανίαν καὶ αὐτό. Ἐν καλῷ κεῖται λόγου τοῖς ἁγίοις γράψασι καὶ ὁ πρασίζων λίθος, ὃς δι' αὐτὸ καὶ χλοάζειν λέγοιτ' ἄν. Ἀγαθοὶ τὴν χρόαν καὶ οἱ καθαροὶ διβινοὶ λίθοι, οὓς ὁ ἑλληνίζων εἰς οἰνοχρόους μεταλαμβάνει. Βέβαπται ὁ χρυσὸς πρὸς ὠχρίαν, λάμπει δὲ ἄλλως καὶ εἰς ἡλιώδη θέαν ἀνάγεται· καὶ σεμνύνεται οὕτως ὁ ὦχρος, πρὸς ὃν σεμνῶς καὶ τὸ ἀρσενικὸν κέχρωσται μέταλλον, καὶ ἅπαν δὲ χρῶμα κιῤῥόν, ἤδη δὲ καὶ τὸ κατὰ τὴν ἀνθρωπίνην πλάσιν ξανθίζον τῆς χολῆς. Εἰ δὲ καὶ τὸ μέλαν αὐτῆς ἡ καθ' ἡμᾶς πλάσις οἶδεν, ἰδοὺ φύσις ἐπιταχθεῖσα παρήγαγε μὲν καὶ αὐτό· οὐκ ἂν δὲ δήπου, ὡς καὶ κατακαυχᾶσθαι τῶν ὁμοειδῶν· εἰ μὴ ἄρα καί τι μέμψεως ἔχει πλέον εἰς καιρόν, εἰ καταναιδεύσεται τοῦ πλάσματος.*

110. *Εἰσὶ καὶ ἐν τοῖς περὶ οὐρανὸν πυῤῥάζοντά τινα νέφη, καὶ ἕτερα λευκὴν χρόαν προβεβλημένα, οὐχ οὕτω δὲ πολὺν φόβον αὐτὰ προΐσχονται, ὡς ὅτε νέφος μέλαν πυκνωθὲν ἐκνεφίαν ὠδίνει φθοροποιόν. Ὧι δὴ νέφει μὴ γένοιτό σε παρεοικέναι, ἄνθρωπε τοῦ θεοῦ, μέγα μοναχέ, ἀλλ' ἔχοις νοῦν ἐκ θεοῦ κρείττονα, ἤπερ ὅτε ἀνεστρέφου ἐν βίῳ· καὶ ἀγαπῶν τὸ ἐν σοὶ μέλαν, καθὰ ἔοικε, πλουτοίης πλεῖον αὐτοῦ τὸ φωτεινόν· καὶ ὡς ἐκ σιδήρου, μέλανος πάντως καὶ αὐτοῦ, ἐν παρατρίψει βίου τραχέος, ὅσα καὶ πυρίτιδος λίθου πυρεκβολοίης ἐκπυρηνίζων σπινθῆρας, δι' ὧν ἐξανάπτεται φλὸξ θεῷ ἀρέσκουσα εἰς ἀποτέλεσμα θυσίας ἑσπερινῆς· θυσίας ἀναφορουμένης διὰ τῶν ἐν σοὶ κατὰ σάρκα ἐνεργειῶν, ὅτε νεκροῦται τῷ κόσμῳ, εἰς τὸν ὕψιστον· ἑσπερινῆς διὰ τὸ ἐκ βίου κρυπτοῦ καὶ οὕτω νυκτέρου τρόπον τινὰ καὶ ἑσπέρου προϊέναι φωτοφανῶς.*

111. *Σὺ δὲ ἀλλὰ τὸ τῆς ἀμφιάσεως μέλαν καὶ εἰς ἀπαῤῥησιάστου ζωῆς ἐκδέχου σύμβολον, καὶ τῆς ἐντεῦθεν ἐπικρύψεως. Μέμνησαι γάρ, οἶμαι, ὅτι κειρόμενος ἀπελέξω καὶ τὴν παῤῥησίαν, ὡς καὶ φθάσαντες εἴπομεν· ἵνα ἐν τῷ ταύτην βιωτικῶς παραιτήσασθαι τὴν πρὸς θεὸν εὑρήσεις. Οὐκοῦν κρύπτου τὰ πλείω, τὴν θρυαλλίδα τοῦ φαντασμοῦ συστέλλων, ἵνα μὴ τὸν μισθὸν τῆς λάμψεως ἀποσχὼν ἐνταῦθα, εἰς ἀλαμπὲς ἐκεῖ σκότος ἀποκληρωθῇς. Ἔτι φιλοσόφει, καὶ ὅτι μέλαν προφαίνεται ἅπαν μέγα σπήλαιον τά γε ἐντός, διὰ τὸ τοῦ ἐν αὐτῷ ἀέρος ἀφώτιστον. Οὐ γὰρ διικνεῖται τῇ θίξει καὶ εἰς αὐτὸ ἀκτινοβολία ἡλίου φωτίζοντος. Αὐτίκα δὲ συμφιλοσόφει, καὶ ὅτι τοιοῦτόν τι καὶ ὁ διὰ μέλανος ἱματισμοῦ κόσμος ἐν τοῖς κατὰ σέ. Ὑποδὺς γὰρ αὐτὸν ὁ μέγας μοναχός, οὐκέτι ῥᾷον ὀφείλει καθορᾶσθαι πρὸς κοσμικὴν συνήθειαν. Οὐκοῦν ἐκρύβης καὶ αὐτός, ὡς ἐν σπηλαίῳ, τῷ θείῳ μέλανι. Τί γοῦν αὐτῷ σπηλαίῳ, αὐτῇ κατακρύψει, αὐτῇ ἐνοικήσει σεαυτὸν ἐκφαίνεις τῷ κόσμῳ, ὡς οἷα φερέοικος, καὶ θριαμβεύεις, ὡς λαμπρυνόμενος; ὅμοιόν τι ποιῶν, ὡς εἰ καί τι τῶν τιμαλφεστέρων κρυβὲν ὑπό τι σκεῦος, ὡς καὶ λανθάνειν, εἶτα δημοσιεύεται παρὰ τὴν ἐξαρχῆς πρόθεσιν. Ἢ τί ποτε καὶ κρύπτεσθαί σε τὴν ἀρχὴν ἐχρῆν, εἰ οὕτως ἤθελες περιβλέπεσθαι;*

112. *Κέλυφος οἷον τὸ ἐν σοὶ προφαινόμενον μέλαν, καὶ χρὴ ἐντὸς αὐτοῦ κατακεῖσθαί σε, ὡς ἀνθρώπῳ Ms. fol. 198. a. πρέ || πον τοιούτῳ. Λέπυρον ὥσπερ αὐτὸ περὶ σέ· ὅθεν οὐ χρὴ περινοεῖν σε τὸ καλὸν ἐν τῷ προφαινομένῳ καὶ μόνῳ, ἀλλὰ μάλιστα ἐν τῷ κρυπτομένῳ δι' αὐτοῦ κατ' ἄνθρωπον τὸν ὄντως. Περικαρπίῳ ἔοικεν. Ἐπιμελοῦ τοίνυν τοῦ καρποῦ τοῦ ἀναγκαιοτάτου, καὶ οὗ χάριν τὸ περικάρπιον. Ἠφάνισας σεαυτὸν τῇ*

προθέσει τοῦ κρύπτεσθαι. Τί δὴ φαντιᾷς; Ἔδυς ἐκ τοῦ κόσμου. Τί γοῦν ἐκφαίνῃ παρὰ καιρόν; Καταμηνυέτω σε ἡ ἀρετή· καὶ οὕτως οὐχ ἑκὼν ἐκφαίνου. Ἄλλος γὰρ προαγόμενος, οὐδέν τι διαφέρεις τῶν, ὅσοι κατὰ τὰς ἀγυιὰς πομπεύουσι τὰ ἐμπολώμενα. Ὡς ὑπὸ σποδιᾷ τινι τὸ ἐν σοὶ κοσμικὸν θερμὸν ἔκρυψας, ἀναθέμενος τῷ θεῷ. Φύλαττε οὖν αὐτὸ εἰς ὄναψιν εὔκαιρον· ἀγάπα τοίνυν ἠλευθερωμένος. Ἐσταυρώθης, καθὰ τὴν ἀρχὴν ἐτάξω κειρόμενος. Εἰ τοίνυν ἢ πράγματα ἢ ἄνθρωποι βοῶσι πρός σε· κατάβα νῦν ἀπὸ τοῦ σταυροῦ· μὴ κατάβαινε, ἀλλὰ πρόςμενε τὴν διὰ πνευματικῆς ἀποκαθηλώσεως οὐ κατάβασιν, ἀλλ' ὄντως ἀνάβασιν· ἵνα μὴ σκανδάλων αἴτιος ἀποβαίης δεινῶν. Μὴ θέλε ἀμφίβιος εἶναι, ὁ κυρώσας εἶναι μονόβιος.

113. Ἡ μοναχικὴ πολιτεία κόσμου κατάγνωσις εἶναι δέδοται, οὐ μὴν ἔφεσις· ἀναχώρησις ἐξ αὐτοῦ, οὐ προςχώρησις ἐπ' αὐτόν· ἀπραγμάτευτος βίος, οὐ πραγματευτικός. Σοὶ δὲ ἡ τοῦ κόσμου ἀπόταξις ἀκοσμίας ἐστὶν ἐπίταξις· καὶ οὔτε τὸ ἐν σοὶ ναὶ τὸ τῆς κουρᾶς εἰς ἀκριβὲς ἀπεκβέβηκεν, ὡς εἶναι αὐτόχρημα ναί· καὶ τὸ οὐ δὲ ψεύδεται τὴν ἄρνησιν· ὡς ἀντιμεταχωρεῖν αὐτὰ λόγῳ οἷον ἀντιπεριστάσεως, καὶ οὕτως ἀντὶ ἀλλήλων παρά γε σοι τίθεσθαι. Ἠρωτημένος γὰρ ἐπὶ τοῦ θειοτάτου βήματος, εἰ ὁμολογεῖς, μὴ ἐν κοσμικαῖς εἶναι φαυλότησιν, ἃς ὁ ἐρωτῶν ἐξετίθετο, κατέθου φάμενος ναί, ὁμολογητικῶς δηλαδή. Τὸ δ' ἦν, ὡς ἀκριβῶς εἰπεῖν, ἀπαναίνεσθαι. Προςτέτηκας γάρ, ὅσα γε ἡμᾶς βλέπειν, τῷ κόσμῳ ἐπιπλέον ἔκτοτε· καὶ εἰς τὸ οὐ δὲ καταστρέψας τὴν ἀπόκρισιν καθ' ἑτέρας ἐρωτήσεις, ἐν αἷς ἀπώμνυες, ποιεῖς οὐκ αὐτό, ἀλλὰ ἐνεργεῖς τὰ ἀπειρημένα, ὡς εἴπερ ὡμολόγησας ναί. Καὶ οὕτω μεταποιεῖς τήν τε ἄρσιν, τήν τε θέσιν, ἐξ ἀρχῆς αὐτῆς, οἶμαι, ῥᾳδιουργεῖν ἐπιβαλόμενος, καὶ μετὰ τῆς ὀρθολεκτικῆς φράσεως καὶ τὴν ὀρθὴν πολιτείαν, φαύλης ἀπάτης λόγῳ, ἀποπροςποιησάμενος.

114. Ἦν οὖν ἄρα κάλλιον, ὦ οὗτος, λαϊκὸν μένοντά σε φυλάττειν τὸ κοινὸν ἐκ γενετῆς θεῖον ἐπάγγελμα, ἤπερ ἰδιάσαι μὲν καὶ τάξασθαι καταμόνας ἐπίταξιν βίου κρείττονος, μὴ φυλάξασθαι δὲ τὸ κατιδίαν ἀρέσαν, εἶτα καὶ ἐνώπιον τῶν θειοτάτων ἀγγέλων καὶ αὐτοῦ θεοῦ τυπωθέν. Ἐκεῖνο μὲν γὰρ τὸ ἀρχῆθεν, τὸ μετὰ τὴν γένεσιν, μηδὲν τῶν βρεφῶν εἰδότων, ἄλλως κεκύρωτο, ἡνίκα τῷ θείῳ ἐσημειοῦντο βαπτίσματι. Τὰ δὲ τῶν ἐπαναιρουμένων μονάζειν καταθετικὰ ἐξ αὐτῶν ἐκείνων, εὖ εἰδότων, τῷ θεῷ ἀνατίθενται· ᾧ ψεύσασθαι τίς ἂν τολμῴη; Εἴη ἂν δὲ τοίνυν ὁσιώτερος τῷ θεῷ ἄνθρωπος τοῦ λαοῦ ὁ φυλάττων, ἅπερ ἔτι ὄντος αὐτοῦ ἀτελεστάτου συντέθειτο, οὐδὲ λαλιὰν διαρθροῦντος, μὴ ὅτι γε ηὐξημένου τὴν φρόνησιν, ἤπερ ὁ αὐτὸς τυπώσας, αὐτὸς κυρώσας, αὐτὸς νοήσας, αὐτὸς λαλήσας, εἶτα παραβάς, καὶ καταναντισάμενος, ἃ κατέθετο, ἀγγέλοις ὁμόσκηνος ἐπαγγειλάμενος εἶναι καὶ ἰσοστάσιος.

115. Ἀλλὰ ταῦτα μὲν σὺ καὶ ἐκεῖνος καὶ ἄλλος τις, οἱ χωρικῷ μὲν λόγῳ διὰ τὸ ἔντοπον ἐμοί, || τῇ δὲ Ms. fol. 198. b. διαθέσει οὔτε ἐμοί, οὔτε τῶν κατ' ἐμὲ διὰ τὸ τῆς γνώμης ἄτοπον· ὡς οἵ γε ἀληθῶς ἐμοί, καὶ ὡς ἂν ἰδιωτεύσας εἴπω, οἱ ἰδικοί μου (ἀκούοις δέ μου τῆς ἀληθείας, ὦ ἁγιώτατε ἰσαπόστολε βασιλεῦ) κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ὑμῶν ἀπέχουσι, προςθετέον δὲ καὶ τό, ὡς ἀνατολαὶ ἀπὸ δυσμῶν, οὐράνιοι ἐκεῖνοι ταῖς ἀγαθοπραξίαις, ἥλιοι ταῖς ἀρεταῖς, παραδείσου πολῖται, φωτὶ θείῳ περιουσιαζόμενοι, ἀχρημοσύνην πλουτοῦντες τὴν κατιδίαν, πολλοὶ δὲ καὶ ἀκτημοσύνην ἄκραν, δι' ἧς θεὸν αὐτὸν κτῶνται. Ὑμεῖς δὲ γῆς ἄνθρωποι, καὶ αὐτῆς ὕλης ἠκανθωμένης, οἷς μερίμναις διηνεκῶς κεντεῖσθαι περὶ τῶν οὐδενὸς ἀξίων λόγου. Καὶ ἐκεῖνοι μὲν πραγματεύονται τὸ ἀειλαμπές, ἐνακμάζοντες τῷ κατ' αὐτοὺς φωτί, ἐν τῷ πραγματεύεσθαι πάντοτε τὴν ἀνατολὴν ταῖς ἐκ τῶν ὑφειμένων ἀγαθῶν ἀναβάσεσιν ἐπὶ τὰ ὑψηλότερα. Ὅτε δὲ καὶ μεσημβριάσουσιν (ἀνάγκη γάρ, καὶ τοῖς τοιούτοις ἡλίοις αὐτὸ γίνεσθαι), ὀκνοῦσι τὴν κατάβασιν, μὴ καὶ εἰς δύσιν ἐμπεσοῦνται. Καὶ δὴ κατορθοῦσιν αὐτό, θεοῦ ἐπιτάσσοντος, τοῦ καὶ τον κατ' αἴσθησιν ἥλιον ἐν Γαβαὼ στήσαντος τὸ παλαιὸν διὰ τοῦ ἁγίου στρατηγοῦ Ἰησοῦ, καὶ ἐν τοῖς ὕστερον δὲ διά τινος μεγάλου πατρὸς ἐν τῷ τοῦ μεγίστου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνόματι· οὗ ἡ κλῆσις καὶ τὸν Ἰησοῦν ἐκεῖνον ἐπὶ ὁμοίῳ τεραστίῳ ἐσέμνυνε.

116. Καὶ οὕτω μὲν ἡλιακὴν ἀνατολὴν μιμοῦνται θεῷ παρεξισούμενοι κατά γε τὸ ἐγχωροῦν οἱ ἐμοὶ ἐκεῖνοι μεγαλοσχήμονες, οἱ πόλεων ἑκατέρων πολῖται, τῆς τε κάτω μεγάλης καὶ τῆς ἄνω ὑπερμεγέθους, ὅτι καὶ ὑπὲρ λόγον καὶ νοῦν ἅπαντα. Ἀλλ' ὑμεῖς εἰ μέν ποτε ἀνετείλατε, οὐκ εἶδον ἐγώ· ἐξότου δὲ ὑμῖν ἐνετράνισα, κυκλοῦντες κυκλοῦτε τὴν γῆν ἄλλως παρὰ τὸ γεγραμμένον, καὶ ἐστὲ ἀεὶ τῶν δυσμῶν· ἀγνοοῦντες ἀνατολικὴν ἀνάβασιν, ἣν πρᾶξις καὶ θεωρία οἶδεν ἀνάγειν, ἡ καλὴ ξυνωρίς· δι' ἧς εἰς οὐρανὸν ἀνατρέχει θεοῦ ἄνθρωπος. Πρᾶξις ἄλλη παντελῶς παρὰ τὴν ἐν ὑμῖν πολιτευομένην· θεωρία ἑτεροία πάντη, πάντως καὶ αὐτὴ παρὰ τὴν καθ' ἡμᾶς. Οἷα γὰρ πράττετε ὑμεῖς, καὶ ὁποῖα θεωρεῖτε, οὐδ' ἂν ἀγελαῖοι ἄνδρες

μιμήσαιντο. Πράξεως γὰρ μοναχικῆς ἁπάσης πρὸς μίμησιν ἀπευθυνομένης Θεοῦ, ὃς ἀεὶ ἐνεργὸς ὤν, ἕως καὶ ἄρτι ἐργάζεται, ὑμεῖς ἄλλως ἐνεργεῖτε, πρακτέα ἐργαζόμενοι, ἐξ ὧν ὁ πράκτωρ καὶ ὁ πραγματευτικὸς ὀνομάζονται, οὐ μὴν καὶ ὁ πρακτικὸς ἄνθρωπος, καθὰ καὶ φθάσαντες διεγραψάμεθα. Τῇ μὲν γὰρ μονῇ τοσοῦτον προστετήκατε, εἰς ὅσον καὶ σκηναῖς οἱ ἀμπελουργοί, καὶ ὀπωροφυλακίοις οἱ περὶ τὰ σικυήλατα. Καὶ ἔστι καὶ τοῦτο πολύ. Τὰ πλείω γὰρ κατὰ τοὺς Ἀμαξοβίους διαζῆν πραγματεύεσθε, καὶ συχνὰ τόπους τόπων ἀμείβειν, ἔνθα καθαρὸν ἀέρα σπάσετε, δι' οὗ τὸ μακρόβιον ὑμῖν περιγενήσεται.

117. Τῆς τε ἁγιωτάτης ἐκκλησίας ἐπιθυμεῖτε μέν, οἶμαι, ὡς δοῦλοι Χριστοῦ καὶ ἡμῖν σύνδουλοι· ἀπάγεσθε δὲ τοῦ ἐφετοῦ διὰ τὸ ἐργατικόν, οὗ χάριν ῥέμβεσθε τὰ πολλά· τὸ μὲν ἀκριβῶς ἔργον ἀφιέντες, τοῖς δὲ πα‖ρέργοις ἐντριβόμενοι· [Ms. fol. 199. a.] καὶ λεπτὸν μὲν εἰδότες οὐδέν, δι' οὗ ἀγγέλοις ἔστι συνάπτεσθαι, τῶν δὲ παχέων καὶ οὕτω βαρέων μεταποιούμενοι, δι' ὧν κατασπᾶται ὁ θεόσδοτος νοῦς εἰς γῆν, τοῦ ἀνωφορεῖσθαι παραλυόμενος. Κἀντεῦθεν ὁ παρ' ὑμᾶς φοιτῶν ἀντὶ σεμνότητος, καὶ συννοίας, καὶ εὐπρεπείας, καὶ μαθήσεως ἀγαθῆς, ἄπεισι, μηδὲν ἀποτάμενος τῶν ἀσκητῶν, ἢ μόνην εἴδησιν βιωτικήν, καὶ αὐτὴν οὐκ εὐγενῆ, ἀλλ' εἰς τὸ πᾶν χυδαίαν· οἷον, ὡς ἐκ πολλῶν ὀλίγιστα φάναι, πῶς ἂν καὶ ἐπὶ πόσον φυλάξωνται τὸ σιτάριον, καὶ πηνίκα καιροῦ πολλοῦ τιμήματος ἀποδῶνται αὐτό· πόθεν δὲ καὶ εὑρηκότες ἄλλο ἄξιον, ταὐτὸν δ' εἰπεῖν, εὔωνον, εἰσοδιάσωσι, καὶ οὕτω κερδήσωσι καὶ δι' αὐτοῦ· πῶς δ' ἂν καὶ ἐπὶ τῷ οἴνῳ ταὐτὰ διάθωνται. Τὰ γίγαρτα φυλακτέον εἴς τινα ἐλεημοσύνην τοῖς ἀπαιτοῦσι, καὶ εἰς πλέον τὰ πίτυρα· καλὰ γὰρ τοῖς τοιούτοις καὶ αὐτὰ ἐν ἡμέραις λιμοῦ εἰς χόρτασμα. Ἡ παροικία ἐνευθηνεῖται τοῖς ἐκ γῆς ἀγαθοῖς· φορολογητέον ἄρα τοὺς ἐν αὐτῇ βαρύτερον. Ἡ ἐνοικία πλουτοῦντας ἔχει ἄνδρας ἔκ τε ἐμποριῶν παντοδαπῶν καὶ ἄλλοθεν· ἐπαυξητέον οὖν αὐτοῖς τὸ στεγατόμιον. Ἀδελφὸς ὁ δεῖνα τὸ τῆς μονῆς κτησείδιον ἀμφιπονούμενος ὑπόνοιαν πέμπει, κερδαίνειν ἐκεῖθεν· μετελευστέον οὖν αὐτὸν δεξιῶς, μὴ καὶ μονοφαγῇ. Καὶ αὐτίκα λογοπραγεῖται πρὸς βίαν ὁ διακονητής· καὶ ἢ μηδὲν ἔχων καταγινώσκεται, ὡς ἀφελής, καὶ εὐήθης, ἢ καὶ ἠλίθιος· ἢ ἀλλὰ πεφωραμένος ἔχειν, καὶ τυχὸν μὴ διδοὺς ἐν τῷ ἀπαιτεῖσθαι, καταπατεῖται, καὶ οὕτω διαφορεῖται πρὸς βίαν· οὐχ ὥστε προσλογισθῆναι τοῖς τοῦ φροντιστηρίου τὸ διαχωρηθέν, ἀλλὰ τῷ μεγάλῳ πατρί, καὶ τοῖς μετ' αὐτὸν λογάσι, καὶ ὅ φασι προκρίτοις τῶν μοναχῶν.

118. Τούτου δὲ οὕτως ἀποχειροτονηθέντος τοῦ προνοεῖσθαι, ἀναψηλαφᾶται πρακτικὸς ἕτερος, ὃς οὐκ ἂν κριματίσοι δῆθεν τὴν κεφαλήν, καὶ τὴν λοιπὴν λογάδα θυμομαχεῖν ἀναγκάζων, καὶ μελαγχολᾶν, καὶ οὕτω ψεύδεσθαι τὸ φιλάδελφον. Καὶ δὴ καὶ εὑρίσκεται ὁ ποθούμενος ἀδελφός (οὐ γὰρ ἂν αὐτοὺς ἐπιλείψοι ποτὲ τοιοῦτος ἄνθρωπος)· καὶ κατιδίαν παραληφθείς, καταρτίζεται εἰς προσοχήν, καὶ ὑπακοήν, καὶ ἀφιλοχρηματίαν· καὶ παιδεύεται παρὰ τοῦ πατρός, ἄλλως μὲν ζῆν, καθαρείως, καὶ ὡς πρέπει τῷ ἐπέχοντι κεφαλῆς λόγον ἐν τοῖς ἔξω· ἅπαν δὲ τὸ ἐπερχόμενον κέρδος ἀπὸ Θεοῦ (φείδεσθαι γάρ, φησι, χρὴ οὐδὲ τοῦ τυχόντος ἐν τοῖς καθήκουσι) παρακομιστέον τῇ γερουσίᾳ, καὶ θετέον αὐτὸ πρὸ τῶν πατρικῶν ποδῶν, καὶ μηδὲ ψευστέον, μηδὲ ἄχρι γοῦν ὀβολοῦ· ἵνα, εἰ μὴ καὶ τὸ κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν μέγα κακὸν πείσεται, ἀλλὰ γοῦν μὴ καταπατηθείη καὶ αὐτός, ὅσα καὶ ὁ πρὸ αὐτοῦ εἰς ἐκφόρησιν.

119. Καὶ ταῦτα μὲν οἱ παραινέται, ὧν κατάρχει ὁ μέγας πατήρ. Ὁ δὲ μύστης ἐπινεύσας καὶ κατακρύψας κοσμίως εἰς ὑπακοὴν ἀνομοίαν τῇ πνευματικῶς ὀφειλομένῃ, ἀποτρέχει, καὶ ποιῶν, ὁπόσα εἰκὸς ποιεῖν τὸν τοιοῦτον, ἐπανέρχεται ἐν καιρῷ, ἐν ᾧ καὶ δίδωσι τὸν σαπρὸν καρπὸν αὐτοῦ, οἷς ἐτάξατο· ‖ [Ms. fol. 199. b.] καὶ οὕτως εὑρίσκει ἀγαθὰ τῇ αὐτοῦ ψυχῇ. Οὔτε γὰρ συμπατεῖται, καὶ εἰς φίλτατον παῖδα ἐγγράφεται. Καὶ μερίτης δὲ γενόμενος τοῦ καὶ κλέμματος καὶ ἁρπάγματος, ἔπειτα τῆς μεθόδου ταύτης κατὰ τὸ πάλιν καὶ αὐτὸ συχνάκις γενόμενος, ἐκβαίνει βαρύπλουτος. Μικρόν, καὶ ζηλοῖ αὐτὸν ἕτερος, εὖ πεφυκὼς ἐπὶ ὁμοίᾳ μαθήσει. Καὶ συχνάσαν τὸ διδασκάλιον τοῦτο, ἐπλήθυνε τοὺς οὐκ ἀφυεῖς τοῦ πατρὸς μαθητάς. Καὶ οὕτως ἐξόλλυνται καὶ αὐτὸς καὶ αὐτοὶ καὶ τὰ τῆς μονῆς.

120. Ἔτι καὶ ἐκεῖνο εἰς ὁμοίαν μοῖραν πράξεως μοναχικῆς ἐν τοῖς καθ' ἡμᾶς ἀποτέτακται. Πλουτεῖ, φησιν, ὁ δεῖνα· ἐλλάμπεται ἀγροῖς, οἰκήμασι, ζώοις, ἑτέροις, δι' ὧν οἱ κατὰ κόσμον εὐδαιμονεῖν δοκοῦσι. Μεταχειριστέον δὴ τὸν τοιοῦτον θεραπείαις, αἷς θέλγονται οἱ κοσμικώτεροι. Καὶ γίνεται τοῦτο. Καὶ δελεάζοντες οἱ πολλαπλοῖ μοναχοὶ τοὺς ἁπλουστέρους ἐφέλκονται· καὶ θερμοῖς προκαθάραντες λοετροῖς, ὃ δὴ περιῤῥαντηρίου δίκην προτέλεσμά τι μυστικὸν αὐτοῖς ἐπαγωγὸν εἰς εὔνοιαν ἐξεύρηται, παρατιθέασι μὲν ἐκείνοις τὰ τέρποντα καὶ βρώματα καὶ πόματα. Τὸ δὲ ἦν ἄλλως, οὐχ ὡς ἄν τις ἴσως ἐρεῖ, Πάτροκλος πρόφασις, ὃ δὴ λέγεται· ἀλλὰ γοητεία τιθευτική. Τὰ πλείω γὰρ αὐτοὶ κατασπῶντες, ἀπαιτοῦσι τοὺς

δαιτυμόνας, ὄφλειν αὐτοῖς χάριτας. Καὶ ὅμως ὁπωςοῦν ἐκείνους θεραπεύσαντες, εἶτα καὶ τὰ πνευματικὰ περιηγοῦνται εἰς δέλεαρ, τὴν κατὰ σφᾶς ἐγκράτειαν οἱ ἀδιάφοροι· τὸ κατ' ἀρετὴν ἄλιμόν τε καὶ ἄδιψον οἱ κατάκοροι· τὸ ἐντεῦθεν ἄγρυπνον διὰ τὸ ἀνερμάτιστόν φασι τῆς σαρκὸς φιλοσοφοῦντες ἁγίως, καὶ ὅτι βαρουμένη γαστὴρ, ὥςπερ οὐ πρὸς δρόμον, οὕτως οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία. Προφέρουσι δὲ εἰς αὔχημα καὶ ὁράσεις, καὶ θεοπτίας, καί που καὶ θαυματουργίας, καὶ ἄλλα τοιαῦτα, δι' ὧν εὐλαβέστερος νοῦς καὶ τῶν θείων ἐραστὴς ἀναπτερύσσεται, καὶ τῶν ἄνω ἐφίεται θεοφιλῶς. Τὰ δέ εἰσιν ἀναπλάσματα ὕπνου, ὁποῖα τὰ τῶν ἐλεφαντίνων πυλῶν ἐκπετιννύμενα.

121. Ἐπειδὰν δὲ κατεπᾴδοντες τὸν ἀκροατὴν, εἰς κουρὰν ἐφελκύσωνται πνευματικῆς πειθοῦς ἴυγξι, καὶ αὐτὸς προβαλεῖται τὸ σκληρὸν τῆς μοναχικῆς ἀγωγῆς, καὶ ὀκνεῖν τὴν κουρὰν δι' αὐτὸ εἴπῃ — τότε δὴ σειρῆνας ἑτεροίας προβάλλονται, δι' ὧν θέλγοντες τὸν μελετώμενον εἰςάγεσθαι, ὑπισχνοῦνται ἁγιωσύνην ἄπονον, σωτηρίαν τὴν ἄνευ ἱδρώτων, ἐγγύτητα πρὸς θεὸν ἀμεσίτευτον, εἴςοδον παραδείσου, ἧς ἀπέσται ῥομφαία φλογίνη· ἀρετὴν, εἰς ἣν οὐκ ἀναγκαῖον ἐλθεῖν τινα, λουσάμενον ἱδρώτων ποταμοῖς· θέρος ἄσπαρτον καὶ ἀνήροτον· τρυγητὸν αὐτοφυῆ· πλοῦν πρὸς τῷ ἀκινδύνῳ καὶ κερδαλέον, καὶ εἴ τι ἄλλο τοιοῦτον ἐπαγωγόν. Καὶ ὅτε ὑπαγάγωνται τὸν ἄνθρωπον, διδάξαντες
Mc. fol. 200. a.
καὶ πείσαντες, μὴ πόνοις κτᾶσθαι τὴν || ἀκρότητα, καὶ τὸν ἀπατηθέντα δικτύων ἔσω θηράσωνται αὐτῇ πάσῃ περιουσίᾳ καὶ κτήμασι καὶ χρήμασι, τότε διαδεικνύουσιν, ὁποῖοί τινες τὴν ἐπιστήμην εἰσί, καὶ οἷα καὶ ὅσα σοφίζονται δι' αὐτῆς. Ἐκκενώσαντες γὰρ τὸ τοῦ νεήλυδος προκόλπιον, καὶ τὸ κατὰ σφᾶς αὐτοὺς ἐπιθυμητικὸν ἀποπλήσαντες, ἀφιᾶσι νέμεσθαι ἄνετον ἐκεῖνον, οὐδὲ ἴκταρ, ὅ φασιν, ἀρετῆς βάλλοντα· ἵνα μὴ καὶ ἐλέγχοι τούτους φαύλως ἔχοντας, αὐτὸς ἀγαθὸς ὤν, ἀλλὰ ὁμοίοις ὅμοιος συναναφύροιτο. Εἰ δέ που τυχὸν ὁπωςοῦν ὑπογρύζει, τηνικαῦτα πολὺ κατ' αὐτοῦ τό· καὶ τίς εἶ σὺ ἄνθρωπος; καὶ τίς ἡ ἐν σοὶ δύναμις; καὶ τίς τὸ ἐκ σοῦ ὄφελος; καὶ ἀπειλοῦσι προςαποστερήσειν τὸν ἄνθρωπον, καὶ ὧν ἀφειμένος ἔχει κοινῇ συνθήκῃ· καὶ προβάλλονται τὸν κανόνα καὶ τὸ σεμνὸν τυπικόν, δι' οὗ πρὸς ἀκτημοσύνην ἕκαστος τῶν ἀδελφῶν ἀποκαθίσταται παρ' αὐτοῖς, τοῖς, ὡς μὴ ἐχρῆν, βαρυκτήμοσιν.

122. Ὁ δὲ τῶν μὲν ἄλλων διεκπεσών, ὅσα γε ὑπὸ κόλπῳ ἔφερεν· ἐν μόνοις δὲ τοῖς, ὡς μὴ ὤφελε, περιλελειμμένοις αὐτῷ σαλεύων, καὶ τῶν τριχῶν, ὡς εἰπεῖν, κατεχόμενος (οὐ δύναται γὰρ διὰ τὴν κουρὰν οὕτω ῥᾷον διεκφυγεῖν τοὺς ἑλόντας, καὶ ὡς οἷον κουρὶξ αὐτὸν ἐν δαπέδῳ βαλόντας), μένει, κακίαν ἅπασαν τοῦ λοιποῦ ἀθροίζων. Καὶ καχεκτῶν οὕτω τὰ ἐντός, ἀφίεται πρὸς τοῦ ἁγιωτάτου πατρὸς καὶ τῶν ὑπ' αὐτὸν ταγμάτων, πορεύεσθαι κατὰ τὰς ἐπιθυμίας αὐτοῦ, καὶ ἐν τῷ μονήρει βίῳ καταπράττεσθαι ἀνυποστόλως τὰ πολιτικά. Θερίζει τε γὰρ ἐκεῖνος, καὶ τρυγᾷ, καὶ ἀλοᾷ, καὶ ληνὸν πατεῖ μονώτατος· καὶ ἀποθήκας τὰς μὲν συνιστᾷ, τὰς δὲ καθαιρῶν μεγεθύνει· καὶ ἵπποις ἐναλύει, ψευδέσι μὲν εἰς σωτηρίαν, χρηστοῖς δὲ εἰς ἐμπορίαν. Ἐμπρέπει δὲ καὶ ὄνοις, ὧν τοὺς μὲν ἀνίησιν εἰς ἐπιγονήν, τοῖς δέ γε πλείοσιν εἰς ξυλοφορίαν χρῆται· οἳ πρὸς κέρδους φορτηγοῦσι τοῖς μὲν ἄλλοις ἐπὶ ἐξάψει πυρός, διακονοῦντος τοῖς ὧδε, τῷ δὲ δεσπότῃ πρὸς φλόγωσιν αἰωνίζουσαν τὴν ἐκεῖ. Πλουτεῖ δὲ καὶ ἡμιόνοις, ἐν οἷς ἔχει φαντάζεσθαι προςφυῶς τὸ καθ' ἑαυτὸν ἐκ πάντῃ ἀνομοίων σύνθετον. Ἐκεῖνοί τε γὰρ τὸ εὐγενὲς ἀχρειοῦσι ζωϊκὸν τῇ συνανακράσει τοῦ δυςγενοῦς, καὶ αὐτὸς τὸ ἐνάρετον σχῆμα τῷ κοσμικῷ. Καὶ βόας δὲ ἀκολούθως ἐκτρέφει, ὧν μοῖρα μέν τις ἀποδοθεῖσα χρυσίνους καὶ ἀργύρια ἐκπορίζει, ἕτερα δὲ εἰς γεωργικὰ συντελέσει. Ἔτι ὁ αὐτὸς ἐπιμελεῖται καὶ λοιπῆς ἁπάσης προβάσεως, καὶ τῷ βοσκηματώδει πληθυσμῷ ψευδεπιγραφεῖ τὸ τοῦ βίου ἔλλογον ἑαυτῷ. Καὶ μὴν αὔχει καὶ παῖδας γεωργικοὺς πορίζόμενος. Καὶ τοῦτο μὲν κτηματικόν. Ἱνατί δὲ καὶ παιδίσκας, καὶ αὐτὰς ἀσυμμέτρους τῷ τῶν παίδων ἀριθμῷ, ὡς ὑπερεκπίπτειν τῷ πληθυσμῷ; Ταῦτά τε οὖν ὁ οὕτως εἰς ἁμαρτίαν ἐκδεδομένος πλημμελεῖ, καὶ λοιπὰ δὲ καθ' εἱρμὸν ἄλλα, ὁπόσοις ὁ κοσμικὸς ἐντρίβεται ἄνθρωπος· ἀσκούμενος καὶ τοκογλυφεῖν [illegible] ἐλεεινὸς κοινοβιακός, καὶ παντοίως
|| μεθοδευόμενος εἰς περιουσιασμόν· ἵνα θανών ποτε Mc. fol. 200. b.
τῷ μὲν ἐχθρῷ τῆς σωτηρίας ἡμῶν τὴν ψυχήν, τῷ δὲ φροντιστηρίῳ παραθήσει τὰς ἀκανονίστους ἐπικτήσεις, βροχθισομένας ἐς μακαρίαν, τὴν παροιμιακὴν δήπουθεν· οὐ γὰρ δηλαδὴ τὴν τοῦ ἀδελφοῦ· ὃς ἀπέλθοι ἂν ἴσως ἄθλιος, ὑπὸ τοῦ τιμίου πατρὸς κατηρτισμένος, ὡς οὐκ ἐχρῆν.

123. Καὶ οὕτω μὲν οἱ ἐν ἡμῖν σοφοὶ πρακτικοὶ βόσκουσι τὸν ἐν αὐτοῖς πλούσιον εἰςαγωγικόν. Πένητα δὲ ὑπολαβόντες, καὶ αὐτὸν ὡς τὰ πολλὰ οὔτι ἑκόντα, μετὰ πολλῆς δὲ ὅτι μάλα πραγματείας, εἰ μόνον οἴκημα καλυβίῳ παρεοικὸς ὕπεστιν ἐκείνῳ, ἐν καιρίῳ τόπου κείμενον, ὢ οἷα τεκταίνονται καὶ ἐν ἐκείνῳ καὶ δι' ἐκείνου· ἐν ἐκείνῳ μέν, ὅτι οὐκ ἀφιᾶσι διὰ βίου τὸν ἄνθρωπον ἀναπαύεσθαι παρ' αὐτοῖς, εὐτελιζόμενον, ἐξουθενούμενον, παραβλεπόμενον, τἄλλα πάσχοντα, ὧν

πειρῶνται καλυβῖται ἄνθρωποι καὶ ἀσυντελεῖς ὑπὸ δεσποτῶν, οὓς ἡ τρυφὴ καταφέρει τῶν τοιούτων εἰς περιφρόνησιν· δι' ἐκείνου δέ, ὅτι ἐνεδρεύουσι παρακαθήμενοι, πότε τοῦ πλησιάζοντος τῇ πτωχικῇ καλύβῃ ἀμπελίου, ἢ ἀγριδίου, εἴτε οἰκήματος, εἴτε ληΐου καιρὸν λάβωσιν εὔθετον ἐπιδράξασθαι· ἢ ἄγξαντες τοὺς ἐκ γειτόνων, ἢ καὶ ὑποποιησάμενοι. Καὶ οὕτω πυρὸς δίκην ἐπινεμομένου τοῖς παρακειμένοις ἐπειςφροῦσιν, οὐχ ὅτι χρείαν ἔχουσιν, ἀλλ' ἵνα καὶ τὸ ἀνεξέλεγκτον, ἐφ' οἷς πλημμελοῦσιν, ἔχωσι τῇ ἐρημίᾳ τῶν πλησιαζόντων, καὶ πρὸς τῇ πολυκτημοσύνῃ καὶ φοβεροὶ δόξωσι, καὶ πάντας ὡς εἰς δουλείαν ἐλαττώσαντες, εἰ δυνατόν, ὑπαγάγωνται.

124. Τοιαύτη καὶ αὕτη πρακτικὴ παρ' αὐτοῖς. Τὴν δὲ λοιπήν, ὅση δημοτικωτέρα, καὶ παχυτέρω κεχρωσμένη τῷ ῥύπῳ, στηλιτευτικὸς ἀνὴρ ἐπιλέξηται ἂν εἰς ὕλην γραφῆς, οὗπερ μακροῖς ὁρίοις ἡμεῖς ἀφεστήκαμεν, οἱ μὴ πρὸς ἀγανάκτησιν ἄρτι λαλοῦντες, ἀλλὰ πρὸς ἐξόρθωσιν τῶν παρ' ἡμῖν, εἴ τί που καὶ ἔστιν ἐν τοῖς νῦν διορθώσασθαι. Καὶ τοιάδε μέν, ὡς τύπῳ καθυποδεῖξαι, ἡ τῶν ἐξωτερικῶν μεγάλων. τούτων μοναχῶν πρακτική, ἡ καὶ παράμουσος, καὶ ἀπῳδός, καὶ ἀῤῥύθμιστος, καὶ πρὸς οὐδεμίαν ἡρμοσμένη ἐμμέλειαν· ἣν ὡς ἔοικε προορώμενοι καὶ οἱ πάλαι ποτὲ μακαριστοὶ βασιλεῖς ἐμπολιτευσομένην, οἷς αὐτοὶ φροντιστηρίοις ἡρμόσαντο, εἰ μὴ προμηθεύσονταί τι σοφόν, καθὰ οἷόν τε ἦν, ἔθεντο βουλήν, δι' ἧς ἡ μὲν νόθος πρακτικὴ καὶ τῷ μοναχικῷ βίῳ ἐπίβουλος, καθ' ἣν οἱ μονάζοντες οὔτε σφᾶς αὐτοὺς βελτιοῦσι, καὶ τοὺς παραβάλλοντας δὲ ἢ ἄλλως πειρωμένους βλάπτουσιν, ἐξωθοῖτο ἂν σκορακιζομένη μακρὰν τῆς μονῆς, ἀντειςάγηται δὲ ἡ θεοφιλής, καὶ κοινωφελ[illegible] καὶ μὴ πλαττομένη τὸ ἔνθεον ὄνομα. Καὶ ἦν τὸ τῆς βασιλικῆς ἐκείνης προμηθείας τέλος ἐπιστασία ἐν τοῖς μεγάλοις σεμνείοις ἀρχόντων ἐκ τῶν ἐν κόσμῳ, ἵνα οἱ μὲν ἀσκηταὶ τῶν θείων εἶεν ἔργων καταμόνας, οἱ δὲ ἄρχοντες αὐτοὶ τυρβάζοιεν περὶ πολλά, καὶ ὡς οἷα τινὲς πρό-
Ms. fol. 261. a. βολοι κατὰ κυμάτων βιωτικῶν ἀντι||στάμενοι, θραύοιεν ἐκεῖνα καὶ ἀποστρέφοιεν πλαζόμενα εἰςοπίσω, τὸ δὲ σεμνεῖον φυλάττοιεν ἀκύμαντον μέν, εἴ γε οὕτω φύσεως ἔχει τὸ πρᾶγμα· τὰ πλεῖω δὲ ἀκατάσειστον.

125. Εἰσὶ δέ, οἳ τῶν ἐν τοῖς τοιούτοις φροντιστηρίοις καὶ αὐτοὶ ἑκόντες ὑπό τινι μεγάλα θεοφιλῶς δυναμένῳ τάξαντες ἑαυτούς, ἐκείνῳ μὲν ἐφῆκαν προμάχεσθαι, καὶ πάντα ποιεῖν, καὶ πάσχειν, ὅσα πρὸς νόμου καὶ δίκης· αὐτοὶ δὲ μένοντες ἥσυχοι, ψυχῶν ἐπιμέλονται, πρὸς ἑνὶ τυγχάνοντες ἔργῳ, τῇ ἐκπληρώσει τῶν συνταγῶν. Καὶ τοιοῦτοι μὲν αὐτοί, καὶ ὅσοι κατ' αὐτούς. Οἱ δὲ διὰ πείρας ἡμῖν ἥκοντες ἐνθάδε μεγάλοι ἀσκηταί, αὐτοὶ ἄρχοντες κοσμικοί, αὐτοὶ τυρβασταὶ πνευματικοί, αὐτοὶ τὰ ἔξω πάντα, καὶ ὑλώδη, καὶ σαρκικά, καὶ τὸ ὅλον εἰπεῖν κοσμικά, διὸ καὶ τῶν ἐκτὸς πεπληρωμένοι, ὑπόκενοι τῶν ἐντὸς ἀγαθῶν μένουσιν· οἳ μόγις πολλοστούς τινας ἀδελφοὺς ἀπολαβόντες, καὶ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ὅσα καί τινας ἥλους προςπήξαντες, αὐτοὶ καθὰ καὶ πάσσαλοι σκηνῶν ἄλλοι ἀλλαχοῦ μεταπήγνυνται. Καὶ ἀντὶ ψαλτηρίου καὶ λοιπῆς ἁπάσης ἱερᾶς βίβλου ἀνὰ χεῖρας αὐτοῖς οἱ ζυγοὶ τοῦ ἀδικεῖν, καὶ τὰ παραλογιστικὰ κεράτια. Καὶ οἱ δάκτυλοι τούτοις ἁρμόττονται πρὸς ἐκλογισμοὺς καὶ παραλογισμούς, δι' ὧν καὶ σοφίζονται τοὺς χωριτικούς. Καὶ τοῦτό ἐστιν αὐτοῖς ἡ πᾶσα θεωρία, ἐχομένη τῆς ἀνόπιν εἰρημένης πραγματικῆς. Οὐ γάρ ἐστιν ἐνταῦθα ἰδίᾳ μὲν ταύτην θέσθαι, ἰδίᾳ δὲ αὖθις ἐκείνην· ἀλλ' ἀναμὶξ πέφυρται ταῦτα, τῶν μὲν φαύλων εἰς πρᾶξιν ὑποτεθειμένων, τῶν δὲ ἐπ' αὐτοῖς μεθόδων εἰς θεωρίαν ὑποτεταγμένων, καὶ αὐτὴν πάντως οὐκ ἔλλογον.

126. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ μισολόγον τὸ τοιοῦτον φῦλον ἐστίν. Οἳ δι' αὐτὸ πάντα μὲν ἄλλον ἄνθρωπον καταδέχονται, προςεληλυθότα εἰς κουρὰν· ὅτε δὲ καί τις ἐλλόγιμος, καὶ γραμμάτων τρόφιμος, καὶ σοφίᾳ κατακώχιμος, καὶ τοῖς ἐντεῦθεν ἀγρωγίμοις ἔμφορτος, πρὸς τῷ κατ' αὐτοὺς λιμένι γένηται, καὶ αὐτοὶ μάθοιεν τοῦτο, αὐτίκα πανθυμαδὸν ὀκριόωνται. Καὶ ὀργὰς ἀναλαβόμενοι, ὅσα καὶ ὅπλα, ἐπεὶ μὴ δύνανται Λαιστρυγόνων δίκην τὸν τοιοῦτον θοινήσασθαι, ὅμως ἐξωθοῦσι τοῦ λιμένος, λοιδορίαις ἀντὶ λίθων βάλλοντες. Καὶ δύςχρηστον αὐτοῖς τὸν ἄνθρωπον εἶναι ἀποφηνάμενοι (μηδὲ γὰρ δέεσθαι τὸ φροντιστήριον γραμματικῶν ἀνδρῶν), ἀνοίγουσι πλατείας θύρας τῇ ἀγροικίᾳ, καὶ ἀφιᾶσιν αὐτὴν ἐμπολιτεύεσθαι τῇ κατ' αὐτοὺς ἁγιότητι, πόῤῥω ποιούμενοι τοὺς γραμματεῖς τοῦ θεοῦ· οἳ μαθητευθέντες εὐαγγελικῶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, χορηγοῦσι καινά τε καὶ παλαιά. Οὐ γὰρ ἐνθυμοῦνται οἱ τῶν ἐργαστηρίων, οἱ τοῦ ἀγροτικοῦ βίου, οἱ τῆς χειρομάχας πληθύος, οἱ χύδην προκείμενοι, οἱ ψωμοῦ ἀποδόμενοι τὴν τρίχα, οἱ τῶν ἀμμάτων, οἱ τῶν ῥαμμάτων, πόλιν γραμμάτων ἐκείνην πολύκλυτον, ἣ καὶ αὐτὴ παραδέδοται ἡμῖν· ἣν δέον ζηλοῦν αὐτούς, καὶ ἐν αὐτῇ πολιτογραφεῖσθαι θείας χάριν σοφίας, δι' ἧς τά τε θεῖα φιλοσοφούσης καὶ τὰ κατ' ἀνθρώπους, ἑνοῦνται τῷ θεῷ οἱ ὀρθῶς καὶ ἐντελῶς αὐτῷ προςανέχοντες, ἀλλ' αὐτοὶ τὸ ἀγράμματον προαιροῦνται, καὶ παντελῶς ἰδιωτικόν· τάχα μὲν ἐνθυμούμενοι καὶ τό· ἐπεὶ οὐκ ἔγνων

γραμματείας, εἰςελεύσομαι ἐν τῷ οἴκῳ κυ- Ms. fol. 201. b. ρίου· καὶ ἀθλίως παρανοοῦντες || τὸ Δαυϊτικόν, προφέροντες δὲ τὰ πλείω ἐπὶ γλώττης καὶ ἐκ τῶν ἐςύστερον ψαλλομένων τό· τοὺς ἀγραμμάτους μαθητάς· μὴ προςεπισυνείροντες δὲ αὐτίκα καὶ τό· παιδευτὰς ἀνέδειξας, Χριστέ, ὁ Θεός.

127. Εἰπέ μοι, ὦ θεωρητικὲ μοναχέ, ἀγράμματος ὢν ἐς τὸ πᾶν (τί δέ μοι ἐπὶ σὲ ἀποτείνειν τὸν λόγον εἰς κενόν;), ἀλλὰ γοῦν ὀλιγογράμματος (πρὸς σὲ γάρ ἐστι τις λόγος)· πρὸς δὲ καὶ ζῶν βιοτήν, ὁποίαν τρίβεις, ὡς ἐξεθέμεθα· τίνα παιδεύειν ἀποστολικῶς δύνασαι εἰς ἀγαθόν; Ἢ πάντως διδάξεις μέν, πλὴν ὡς οὐκ ἀγαπᾷ ὁ Θεός· παιδεύσεις πάντως τὰ ἄλλα πάντα, πλὴν τοῦ μονάζειν· καταρτίζεις τὸν μαθητήν, ἀναπατεῖν συχνὰ παρὰ τὰς λεωφόρους, προκύπτειν ἔσω θυρῶν, ὁπόσαι διαπέπτανται εἰς θεωρίαν ἑτοίμην φιλιοῦσθαι παρατυγχάνουσι λαϊκοῖς εἰς ἐπιξένωμα· ἀκριβοῦσθαι τὰ τῆς ἀγορᾶς· ἐνεθίζεσθαι λοετροῖς, οἷς πρὶν οὐκ ἐθάμιζε· διακρίνειν οἴνου, τίς μὲν εὐπρόςιτος εἰς γεῦσιν, τίς δὲ οὐ χρηστός· καὶ αὐτὸ τὰ πολλὰ οὐδὲ εἰς ἀπόλαυσιν τὴν ἁπλῶς, ἀλλ' ἵνα ὁ πρὶν μὴ πεπειραμένος οἴνου μηδὲ ἄχρι γοῦν ὀδμῆς νῦν ἀρτιμαθὴς αὐτοῦ γένηται πρὸς θεραπείαν σου, τοῦ μεγάλου πατρός· προςεπιδιδάξεις δὲ αὐτόν, καὶ ἀτενὲς βλέπειν, καὶ τρανὲς λαλεῖν, καὶ ἀντιλαλεῖν, καί που καὶ θρασύνεσθαι, καὶ καταψάλλειν ὕβρεσιν, ἀπεναντίας ταῦτα πάντα, οἷς αὐτὸς ἐτάξω. Ἐφήσεις δὲ καὶ χεῖρας αἴρειν εἰς οὐδὲν ἅγιον· καὶ βακτηρίᾳ μέν, οὔκουν ῥάβδῳ δὲ σιδηρᾷ κεχρῆσθαι, οὐχ ὡς εἰς ποίμανσιν πατρικήν, ἀλλ' ὡς εἰς πημονὴν ληστρικήν.

128. Τοιαῦτα σὺ ἀντιδιδάξεις, ὁ ἀγράμματος μοναχός, ἑτεροῖα μόνα, πρὸς ἅπερ αὐτὸς παρηγγελμένος ὡμολόγησας τὴν αὐτῶν φυλακήν· ὁ πρακτικὸς μὲν οὔκουν (θεία γὰρ αὕτη λέξις, καὶ οὐδέν σοι προςήκουσα), πραγματικὸς μέν τοι καὶ ἐμπορικός· καὶ θεωρητικὸς μὲν οὐκ ἂν εἴποιμι, θεωρικὸς δὲ καὶ ἀγοραῖος ὡς τὰ πολλά, οἷα μήτε φύσιν πολυπραγμονῶν ἢ προςώπων ἢ πραγμάτων, μήτε θεολογίαν ἰσχνολογῶν, μήτε ἁρμονίαν ἤθους ῥυθμιζόμενος· καὶ βίβλον μὲν ἅπασαν παραβύων, ὅποι τύχῃ, ὡς ἀντὶ σοῦ μονάζειν αὐτὴν ἡσυχάζουσαν, καὶ μὴ παρέχουσαν πράγματα τοῖς μετιοῦσιν· ἀπασχολῶν δὲ τὰς ἐν σοὶ αἰσθήσεις, ἔνθα μὴ ἐπιτάσσουσιν οἱ ἱεροὶ λόγοι· οὓς οἶμαι καὶ δι' αὐτὸ κατακλείεις καὶ ἐκκλείεις, ἵνα μήποθεν ἐξ αὐτῶν ἀπηχουμένη φωνὴ κατά τι τεράστιον ἐξελέγχῃ τὰς σὰς ἐργασίας ἀντιπραττούσας αὐτοῖς. Καὶ τί λέγω, ἐκκλείεις; Ἀπεμπολεῖς μὲν οὖν, καπηλεύων καὶ τοῦτο τὸ ἀγαθόν, καί πως ὑπακούων τῷ πονηρῷ ὑποφωνοῦντι σοι· πώλησον τὰ ὑπάρχοντά σοι ταυτὶ βιβλία· καὶ δαπανήσας, ἔνθα βούλει, δεῦρο ἀκολούθει μοι. Σὺ δὲ καὶ ἰουδαΐζειν δοκεῖς τῇ ἐνταῦθα μαθητείᾳ, τὸν μὲν τοῦ Θεοῦ λόγον αὐτὸν ἐκεῖνον, τὸν ἐνούσιον καὶ ὑπερούσιον, οὐκ ἔχων διαπιπράσκειν· τοὺς δὲ αὐτοῦ λόγους ἐκδιδοὺς τοῖς ἀγοράζουσι, καὶ οὐδὲ ἀξίου γοῦν τιμήματος, ἀλλὰ τοῦ παραῤῥιπτομένου· καθά που καὶ ἀνδραποδισταὶ καὶ κλέπται, τροχαζόμενοι φόβῳ, βραχέων τιμῶνται τὰ εὐγενῆ καὶ πολλοῦ τιμώμενα πρόςωπά τε καὶ χρήματα. Ἀλλ' ὤμοι· τί δήποτε, ὦ ἀγράμματε, τὴν μοναστηριακὴν || βιβλιοθήκην τῇ σῇ παρεξισάσεις ψυχῇ; Ms. fol. 202. a. καὶ ὅτι μὴ σὺ κατέχεις γράμματα, ἐκκενοῖς καὶ αὐτὴν τῶν γραμματοφόρων σκευῶν; Ἄφες αὐτὴν στέγειν τὰ τίμια. Ἐλεύσεταί τις μετὰ σέ, ἢ γράμματα μαθών, ἢ ἀλλὰ φιλογράμματος. Καὶ ἐκεῖνος μὲν ἐνδιατρίβων αὐταῖς ἐξ ἀφορμῆς τῆς πρώην, ἔσται σοφώτερος· ὁ δὲ δεύτερος, αἰδεσθεὶς τὸ παντελῶς ἀγράμματον, εὑρήσει διὰ τῆς βιβλιακῆς διδασκαλίας τὸ ποθούμενον. Τί δὲ μὴ καὶ σὺ τὸ αὐτὸ μεταχειρίζῃ καλόν; καὶ ἀναλφάβητος μέν, ὅ φασιν, ἀπεκβὰς, ἐντρίβεσθαι τῇ ἀναγνώσει σπουδάζεις· γευσάμενος δὲ ἀναγνώσεως ἀμυδρᾶς, καὶ ὡς ἄν τις ἐρεῖ ἀφανοῦς διὰ τὸ κατ' αὐτὴν ἀλαμπές, διαφωτίζεις αὐτήν, καὶ σεαυτὸν ἀποτελεῖς ἀντὶ ἀναξίου ἄξιον, καὶ ἀντὶ ἀνοήτου νοερόν, καὶ ἀντὶ ἁπλῶς ἀνθρώπου λόγιον ἄνθρωπον, ἢ γοῦν ἀλλὰ ἔλλογον; Μάθε, ὦ οὗτος· εἶτα ἢ γράψον, ἢ ἀλλὰ εἰπέ· ἵνα γράψας μὲν μακαρίζῃ, προχειριζομένης τῆς κατά σε βίβλου εἰς ἀγαθὴν μνήμην· εἰπὼν δὲ ἀπομνημονεύῃ τοῦ ἢ ἀποφθέγματος ἢ ἑρμηνεύματος. Λεγέσθω καὶ περί σου τό· εἶπε γέρων· καὶ ἀνυμνείσθω εὐθὺς καὶ διὰ σὲ ὁ τῆς σοφίας καὶ τῆς συνέσεως δοτήρ, Θεός. Εἰ δὲ μήτε τοῦτο τὸ ἀγαθὸν ἐν σοὶ διεκφαίνεται, μήτε τὸ κατὰ πρᾶξιν ἐνάρετον, λείπεταί σοι θανόντι κεῖσθαι κατὰ τὸν τῆς τύρβης λαϊκόν· μήποτε δὲ οὐδὲ κατ' ἐκεῖνον, ὅς γε οὔτε θεῷ παρέστη πρὸς ὁμολογίαν, οἵαν σὺ ἔθου, οὔτε μοναχοῖς ἐνεγράφη κατὰ σέ.

129. Γίνωσκε δὲ καί, ὅτι περικείμενος μὲν τὰ θεῖα ῥάκη, δι' ὧν ὁ κυρίως μοναχὸς κοσμεῖται, πράττων δὲ μὴ κατ' ἐκεῖνον, ἀλλὰ περὶ τὰ κερδαλέα, κἀντεῦθεν χυδαῖα, καὶ σαρκικά, καὶ λαϊκά, καὶ εἰς τὸ πᾶν κοσμικὰ τριβόμενος, οὐ μονάζεις πνευματικῶς, ἀλλὰ τεχνικῶς ἰδιάζεις, σαφῶς δὲ εἰπεῖν, ἐργατικῶς μοχθεῖς, σαφέστερον δὲ φάναι, τεχνίτου βαναύσου δίκην κοπιᾷς· ὃς ἐν τοῖς ἀγεννέσιν ἔργοις, δι' ὧν ἢ ῥυπαίνεται ἢ κατατρίβεται τὸ καλὸν ἄμφιον, ῥακενδυτεῖ, καὶ οὕτω κερδαλεώτερον τὴν τέχνην διαχειρίζεται.

Θεώρησον, ταπεινὲ ὑψηλέ· τί δή ποτέ ἐστιν ὁ μοναχός; Καὶ ἐπειδὴ οὔτε σὺ αὐτομαθῶς τὸν τοιοῦτον οἶδας, οὔτε μὴν ἐκ βιβλίου ἔχεις μαθών (πῶς γάρ, ὅπερ μισῶν κἂν ἀνοιγόμενον ἴδῃς, χάος δοκεῖς βλέπειν κατά σου χαῖνον), ἄκουσον ἀπὸ λαλιᾶς οὐκ ἀσυμφώνου ταῖς ἱεραῖς διφθέραις.

180. Μοναχός ἐστι πολίτης οὐρανοῦ· μὴ γὰρ γῆς, εἰ καὶ περὶ γῆν εἱλεῖται. Αἰθέριος τὴν πολιτείαν ἄνθρωπος· ἀεροβάμων, οἷς τὰ κατὰ γῆν ὑπερπέτεται· γῆς ἁπάσης βασιλεὺς διὰ τὸ κατ' εἰκόνα τοῦ παμβασιλέως θεοῦ, ὃ πᾶς μὲν ἄνθρωπος φυλάττειν τέτακται, αὐτὸς δὲ πρὸς τῷ κοινῷ χρέει καὶ ἰδικῶς ἐποφείλει, μεμνημένος, ὅτι, ὁπηνίκα ἡ κουρὰ τῷ θεῷ αὐτὸν παρεστήσατο, καὶ αὐτὸ ἀπηγύθη, ὡς δηλαδὴ ἀπαλιφὲν βιωτικοῖς ὑγροῖς τὸ κατ' αὐτὸν ἀρχέτυπον εἰκόνισμα εἰςαῦθις ἀνανεώσων πολιτείᾳ μοναχικῇ. Ἔτι μοναχός ἐστι ζωγράφος ἀρετῆς ἀπηκριβωμένης, πρὸς ἣν. αἱ τῶν βλεπόντων ψυχαὶ γράφοιντο ἄν. Γράφοι δὲ ἂν ὁ τοιοῦτος αὐτὰς πρὸς ἀκρίβειαν, ἐὰν σοφὸς τέλειος γένηται τὴν γρα || [Ms. fol. 202. b.] φικὴν ταύτην, ὡς καὶ τρίβειν πνευματικὰ χρώματα, καὶ συγκιρνᾷν καὶ ἐμμελῶς παρατιθέναι πρὸς ἄλληλα, καὶ μετρεῖν, ὡς οἶδε ζωγράφος τεχνᾶσθαι τὴν κατ' αὐτὰ συμμετρίαν. Τοιοῦτος δὲ πάντως ἢ ὁ ἐξ ἀναγνώσεως, ἢ ὁ ἐξ ἀποκαλύψεως, τῆς διὰ πρακτικῆς· ὧν τὸ μὲν ἔχει διὰ σοφίαν ὁ μονάζων, τὸ δὲ διὰ τῆς ὄντως πράξεως, δι' ἧς καὶ αὐτῆς ἀποκαλύπτονται Δαυϊτικῶς ὀφθαλμοὶ εἰς τὸ κατανοεῖν τὰ τοῦ θεοῦ θαυμάσια· ἐν οἷς καὶ τὰ τῆς ἐκείνου σοφίας ἄδηλα καὶ κρύφια. Δυοῖν δὲ τούτων, πράξεως καὶ θεωρίας, ὁ μέγας μοναχὸς ἀπεστερημένος, οὔτε ζωγράφος ἂν εἴη θεῷ πρέπων, οὔτε ἀληθεύσοι τὸν μοναχόν.

181. Ἔτι κριτὴς ὁ μοναχός, δικάζων ἀντιπάλοις· καὶ ἡ κρίσις διχασμὸς ψυχῆς ἀπὸ σώματος, ὡςεὶ καὶ θανεῖν ἐκρίθη τὸ ἐν ἀνθρώπῳ σύνθετον. Τὸ δὲ οὕτω διχάζειν φιλοσοφίας ἔργον παραδέδοται εἶναι, ἧς τὸ τέλος ἐνταῦθα, ἡνωμένως διακρίνειν ψυχὴν σώματος, καὶ αὖ πάλιν διακεκριμένως ἑνοῦν, ἢ καὶ (ἄλλως εἰπεῖν) νεκροῦν μὲν τὸ ζῶν μὴ ἐναρμονίως, ζωογονεῖν δὲ τὸ νενεκρωμένον. Ταῦτα δὲ μοναχός, ἰδιώτης εἶναι αὐχῶν ἐν τῷ μὴ μέλεσθαι γραμμάτων, καὶ μηδὲ ἀριστοπραξίας ἐλλαμπόμενος χάριτι, οὐκ οἶδα εἴπερ ἀνύσει, ὡς μὴ ψεύδεσθαι τὸν φιλοσόφως θεῖον δικαστήν, ὃς οὐ κατὰ νόμους τοὺς χαμαὶ συρομένους κρίνει, ἀλλὰ τοὺς δακτύλῳ θεοῦ γραφομένους εἰς καρδίαν σαρκίνην, εὔεικτον θεῷ τῷ γράφοντι. Ἀλλ' ἐνταῦθα — ὢ οἷον κρίμα πάσχει ὁ καθ' ἡμᾶς κριτικὸς ὅμιλος. Ἀκούσαντες γάρ, οὐ μὴν καὶ μεμαθηκότες, κριταὶ εἶναι, καὶ σπεύδοντες, τοῦ λοιποῦ μὴ ὑπὸ κριταῖς εἶναι, οἱ ἄλλως ὑποκριταί, μετάγουσιν ἑαυτοὺς καὶ εἰς (εἴ τι χρὴ οὕτως ὀνομάσαι) κατακριτάς. Οὔκουν ὀκνοῦσι κατακρίνειν οὐκ ἔσθ' ὅντινα οὔ, παραζηλοῦντες ἐνταῦθα τοὺς ἠξιωμένους κρίναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

182. Ἀλλὰ τοῦτο μὲν ὁ λόγος ὑποκαταβὰς ἐκφανεῖ σαφέστερον. Ἡμεῖς δὲ τοῦ μοναχικοῦ γενόμενοι πάλιν ὅρου, φαμὲν καί, ὅτι κόσμου ἐστὶν ὁ μοναχός· διὸ καὶ ὑπερκόσμιος. Εἰ δὲ τοῖς τοῦ κόσμου συναναχρώννυται ἰδιωτικῶς, πῶς ἂν τὸ ὑπερκόσμιον ἐπαληθεύσοι αὐτῷ; Πῶς δὲ ὁ ὑπὲρ τὸν κόσμον δεδεημένος κόσμου καὶ αὐτὸς οὐκ ἂν ὀφλήσῃ γέλων; Ὅμοιον γάρ τι πρὸς μέμψιν, εἰ κόσμου προςδέεται ὁ κόσμιος, ὡς εἰ καὶ τὸ ἅλας νοστίμου ἅλατος. Κοσμεῖ δὲ μοναχόν, ὥςπερ καὶ πάντα ἄνθρωπον, ὁ λόγος. Μετελευστέον σοι ἄρα τὸν λόγον, ὦ διὰ τὸ μεγαλόσχημον εὐσχημονέστατε, ἵνα δι' αὐτοῦ ἐπὶ πλέον εἴης κοσμιώτερος. Κόσμος γὰρ ὥςπερ ἄλλοις τῶν σωμάτων καὶ τῶν πραγμάτων ἄλλα τινά, οὕτω καὶ ἀνθρώπῳ τῷ κυρίως, οὗ μέρος καὶ ὁ κατ' ἀλήθειαν μοναχός, οὐδὲν ἄλλο ἢ λόγος, ὁ μετὰ ἐμπράκτου ἀρετῆς· οὗπερ ἐκπίπτων σὺ τὴν ἀρχήν, ὁ καὶ ἀγράμματος καὶ οὐδὲ πρακτικός, ἀγάπα δευτέρῳ λόγῳ τοὺς μὴ κατὰ σέ. Καὶ οὕτω γίνου τρόπον τινὰ σοφὸς καὶ αὐτός (σοφία γάρ τις καὶ τὸ φιλεῖν τοὺς σοφούς), καὶ μὴ ἐξουθένει ἀκέδην καὶ ἀπαρακαλύπτως, ἐν ὕβρει μεγίστῃ τιθεὶς τὸ γραμματικέ. Εἰ δὲ μήτε σὺ ἑρμαϊκὸς ἄνθρωπος εἶ, μήτε ἀγαπᾷς τοὺς τοιούτους, καὶ οὐδὲ τὸ ἐκ τῶν πράξεων ἔχεις ἐπικόσμημα· σὺ αὐτὸς λόγισαι, ποίας τάξεως ἐν ἀνθρώποις εἶναι τετύχηκας. Ὅτι δηλαδὴ οὐ τῆς ἐπαινουμένης (ἵνα μή τι τραχύτερον || [Ms. fol. 203. a.] εἴπω), ἀλλὰ τοῦτο μὲν οὐ λίαν πάνυ καινόν, εἰ μηδὲν ὢν ἀλαζονεύῃ διὰ τὸ φίλαυτον, ὃ τοῖς πλείοσι τῶν ἀνθρώπων παραπέφυκε.

183. Τὸ δὲ καὶ μὴ νομίζειν, ἀλλὰ κρίνειν ὡς ἐν πληροφορίᾳ, ὅτι οὐδεὶς ἕτερος ὑπὲρ σέ, ἀλλὰ συμπρωτεύων οὐδὲ τὸν δευτερεύοντα ἔχεις, τὸ παράδοξον ποῦ ποτε παρανοίας θήσομαι; Ὁ καταμόνας ναυτικὸς ἀπαρνεῖται τὰ τακτικά· ὁ περὶ τὰ ὅπλα ὀκνεῖ θαλαττουργὸς ἐπιλέγεσθαι· ὁ παραβεβλημένος τέχνῃ γεωργικῇ οὐχ ὑπισχνεῖται τὴν τεκτονικήν· ὁ τέκτων ἀφυῶς ἔχειν τοῦ γεωργεῖν ὁμολογεῖ. Τίς δ' ἂν ἕκαστος τῶν ἄλλων ἐπιστήμων ὑπόσχηται εἶναι, ὧν οὐκ οἶδεν; Οὐ χαλκεύς, οὐ ζωγράφος, οὐ λυρικός, οὐκ ἄλλος οὐδείς. Καὶ οὐκ αὐτὸ μόνον ἀλλὰ καὶ τοῖς περὶ τὰ σφίσιν ὅμοια τεχνίτας οἱ τοιοῦτοι θαυμάζουσιν, εἴ που καιρός, καὶ ταῦτα μηδὲ ἐς λίαν σπουδαίους

ὄντας ἐπὶ μεγάλοις καθ' ὑπεροχήν. Σὺ δὲ οὔτε ἔργοις, οὔτε λόγοις ἀξίωμα πλουτῶν, ἀποτολμᾷς ὑπεραίρεσθαι πάντων καὶ τὴν πρᾶξιν ἐπιλεγόμενος, καὶ οὐδὲ αὐτῆς εὐστοχῶν, ἀλλ' εἰς τὸ παράπαν διεκπίπτων αὐτῆς, οὐ μόνον ἐν οὐδενὶ οὐδὲ τὸν λόγον τίθης, ἀλλὰ καὶ ἐκβάλλεις αὐτὸν τοῦ κατὰ σὲ βίου, ὅσα καὶ συρφετὸν οἴκου λαμπροῦ. Διὸ καὶ πάντας ἐκτρεπόμενος τοὺς ἔσω λόγου, καὶ τὴν λογιὄτητα παρωθούμενος διὰ τῦφον καὶ ἀλαζονείαν ὑπερβάλλουσαν, ἀποπροσποιῇ καὶ τοὺς ἀρχιερεῖς· ἅμα κειράμενος, οἷα θεοῦ πρόβατον δεξιᾷ ἐπικηρυχθὲν στάσει, οὐ μὴν τῇ κατὰ ἔριφον, αὐτίκα κερασφορήσας ἐπ' αὐτοῖς, καὶ κυρίττων οὐκέτι κατὰ πρόβατον, ἀλλὰ κελαινορρίνου δίκην ἐλέφαντος, καὶ ἐν πρώτοις φιλονεικῶν, κατὰ τοῦ μείζονος ἐν ἀνθρώποις βαθμοῦ νίκην φαύλην στήσεσθαι, ἵνα καθ' ἓν ἅλμα τοῖς ἄλλοις προσεπιβαίνῃς ἀμογητί. Οὐ παύῃ οὖν ἐξοπλιζόμενος εἰς ἀρχιερωσύνης πόλεμον, τῆς θεομιμήτου, τῆς πάντων ἁγιαστικῆς ἐν Θεῷ, τῆς ἐνθέου, τῆς εὐθὺς μετὰ θεὸν ἕν γε τοῖς κατὰ κόσμον. Οὐ δή πουθεν γὰρ ἀγνοεῖς, ὅτι ἀρχιερεὺς μὲν τῆς ἡμῶν σωτηρίας ὁ θεὸς ἀξιοῖ λέγεσθαι, ὁ καὶ ἐπισκοπῇ γραφικῶς ἐπισκεπτόμενος τοὺς αὐτῷ αἱρετούς· καλόγερος δὲ οὔκουν, οὐ μὴν οὐδὲ μοναχὸς ὁποιοσοῦν.

184. Ἀνάβλεψον εἰς τὴν ἀρχιερωσύνην, εἴ που καὶ δύνασαι· ἢ καὶ κατασταθεὶς ἐπί τινος φυλακῆς περιόπτου, ἀποσκόπευσον, καὶ κατάμαθε τὸν ἀρχιερέα, ὅ τί ποτέ ἐστιν. Ἐξ ἀρχιερέως καὶ σὺ ἔχεις, ἅπερ ἂν καὶ ἔχῃς. Ἐκεῖθέν σοι καὶ τὸ ἱερῶς διακονεῖν ἐν τῷ λειτουργεῖν τῷ θεῷ. Ἐξαίρετος ἡ ἐκείνου ἐνέργεια παρὰ τὴν ἐν σοί. Ἔχει ἐκεῖνος ἀνάγκην, φυλάττειν καὶ τὰ ἐπὶ σοὶ ἐκπεφωνημένα καλά. Ὅσα γὰρ εὐαγγελικῶς λαλεῖται, ἅπασι λαλεῖται, ὡς γέγραπται. Ἔχει δὲ καὶ πολλά, ὧν σὺ ἀποκεκώλυσαι κειράμενος. Χρίει ἐκεῖνος πνευματικῶς· τελειοῖ θεοπρεπῶς· περιοδευτής ἐστι ἀποστολικός· πολιτεύεται ἀπαρακαλύπτως πολιτείαν παντοδαπήν, ὀρθῷ κανόνι ἀπευθυνόμενος· περίεισιν ἐξευρίσκων τοὺς διδαχθησομένους, καὶ ποιεῖ αὐτὸ ἠναγκασμένως. Σὺ δὲ μένειν ἄλλως ἐτύχθης, καὶ στηρίζειν, ὡς ἐπὶ ἑνός. Δικάζειν ἐκεῖνος ὥρισται, καί που δι' αὐτὸ καὶ τυρβάζει, ἐπιστατῶν πραγματικαῖς ὀχλήσεσι καὶ ἐριθείαις. Τί δὲ μὴ καὶ σὺ θρασυνάμενος ἐρεῖς, ἔξεῖναί σοι αὐτό; Ἐκδικεῖν τέτακται, παῤῥησιάζεται, ἄσχολός ἐστι κατά τι ἐργῶδες· ἐν καιρῷ διορθούμενος, εἴ τί που καὶ κατ' ἀγορὰν στρεβλοῖται τοῖς ἐν τῷ βίῳ. Τὸ πᾶν εἰπεῖν· φαῦλος ἐπίσκοπος, ὃς ἐγκλείσας ἑαυτόν, καὶ οὕτω μονάσας καθεδεῖται, Ms. fol. 202. b. μηδενὸς τῶν ἐν τῷ || κοινῷ ἐπιστρεφόμενος. Αὐτίκα γὰρ ἀκούει πρὸς πάντων τό· καὶ τί δήποτε ἀρχιερατεύει, καὶ οὐκ ἐγγωνιάζει μοναχικῶς;

185. Κεῖται δὲ ἄρα ἐνταῦθα παρόραμά τι μοναχικόν. Εἰς ταῦτα γάρ, οἶμαι, ἀποβλέποντες οἱ τὰ ἀρχιερατικὰ παραθεωροῦντες μοναχοί, καὶ ἀναλύοντες αὐτὰ ὡς εἰς δόξαν καὶ φαντισμὸν καὶ βίου λαμπρότητα, πραγματεύονται καὶ τὸ ἀρχιεράτευμα κραταιῶς, ὡς ἂν τῷ τρόπῳ τούτῳ τῆς κατὰ πνεῦμα ὀπῆς, ἣν οἱ Μωσαϊκῶς θεόπται φιλοῦσι, καὶ τοῦ κατ' αὐτὴν φωλεοῦ ἐξερπύσαντες, τῶν λεωφόρων εὐθαρσέστερον γένωνται, καὶ ἐπανακάμψωσιν ἀδεῶς εἰς τὰ πρότερον, οὐ προκληθέντες, οὐδὲ ἄλλως ἀνερευνηθέντες, ὅπῃ κρύπτονται. Οἱ πλείους γὰρ οὐδὲ πρὸς ὄνομα γινώσκονται, ἀλλ' αὐτοὶ προπηδήσαντες, καὶ τὴν ἐντυχίαν ταύτην ἁρπάσαντες, οὐχ ἵνα τοῖς πρώην μοναχοῖς καλοῖς τὸ ἀρχιερατικὸν προσεπιτεθέντες, πολλαπλασιάσωσι τὴν ἀρετήν· ἀλλ' ἵνα ἢ καὶ τῶν προτέρων ἀγαθῶν ὑφέλωνται διὰ τὸ ἐπίπονον, εἴπερ τι καὶ ἔσχον πλέον τῆς κοσμικότητος· ἢ ἀλλὰ τῇ ἀφορμῇ τῆς ἐπισκοπῆς ἀποβουκολήσωσι τὸ ἀκριβές, ὡς μὴ ἐξὸν δῆθεν ὄν, τῶν ἐν μέσῳ πραγμάτων τετυχηκότα ἐπίστροφον εἶναι τῆς πρὸς ἀκρίβειαν ἀρετῆς.

186. Καὶ τότε δὴ ἔστι βλέπειν τὸ γελοιότατον ἐν αὐτοῖς. Οἱ γὰρ ἐκ τῆς πρώην καλιᾶς καὶ τῆς ἐν αὐτῇ στενοχωρίας κατὰ τῶν ἐπισκόπων τοξαζόμενοι, τότε κατὰ τῶν ὁμοχρόων μοναχῶν θωρακισάμενοι, οὐ μόνον ἀντιβάλλουσιν ἀκροβολιζόμενοι, ἀλλὰ καὶ ἢ θανατοῦσιν, ἢ τοῦ φροντιστηρίου ὑπεξάγουσιν, οὐ κανονίζοντες ὀρθῶς, ἀλλὰ τῇ ἐπισκοπικῇ ἀξίᾳ παραχρώμενοι δεινότερόν τε καὶ ἐμβριθέστερον. Καὶ οἱ σχήματι μοναχικῷ θέλγοντες τὰς ἀρχάς, τότε οὐκ ἔτι στέγοντες εἶναι, ὅπερ ἦσαν, πρὸς πικρίαν ἐκμαίνονται, τῷ μὲν προσωπείῳ γλυκαίνοντες τούς τε μεγαλοσχήμονας καὶ τούς, ὅσοι μικρῷ ἔτι σεμνύνονται σχήματι· τῷ δὲ αὐτοπροσώπῳ πικράζοντες. Καὶ ἔστιν ἐνταῦθα ἰδεῖν, εἴτε εἰπεῖν, ἀρετὴν ἀρετῇ μαχομένην, εἴ τίς που καὶ ἔστιν ἀρετὴ ἐν τοῖς τοιούτοις, καὶ οὐδὲ τῷ ὁμοίῳ χαῖρον τὸ ὅμοιον. Συχνὸν δὲ ἀπορητικῶς ἐν τούτοις καὶ τό· τί δήποτε γαλόγερος καὶ αὐτὸς ὤν, βαρὺς ἐπίκεισαι τοῖς ὁμοίοις; Ἑτέρωθεν δὲ λυτικῶς τό· ἀλλὰ καὶ ἐπίσκοπός εἰμι. Κἀνταῦθα μόνον ὡς ἐν ἐπινοίᾳ λεπτῇ διαφαίνεται ὑπερέχειν τὸ ἀρχιερατικὸν τοῦ μοναχικοῦ, ὡς τά γε πρὸ τούτου ἐψεύδετο ἡ ἀδικία ἑαυτήν· ὅτε καὶ ἐκλαθόμενος ὁ διπλοῦς ἅγιος, ὁ καὶ μοναχὸς καὶ ἐπίσκοπος, ὧν πρώην ἐφρόνει, ἀνακράζων τό· τί μετέχει ἐν ἡμῖν ὁ ἐπίσκοπος; φιλοσοφεῖ, τὸ πᾶν εἶναι τὸν ἐπίσκοπον καὶ ἐν μοναχοῖς καὶ ἐν ἅπασι· καὶ ἀποσεμνύνων τὴν τοῦ ἐπισκόπου κλῆσιν,

τῷ θεῷ αὐτὴν ἀφοσιοῖ τελεταρχικῶς, τῷ παντεφόρῳ, τῷ παντεπόπτῃ, τῷ πάντα ἐπισκοποῦντι· δεικνύς, περιπετῆ ἑαυτῇ τὴν κακίαν εἶναι ὡς τὰ πολλά.

137. Τέως γε μήν, ὦ ἔτι ταπεινὲ μοναχέ, πρὶν ἢ καὶ ἀναβῆναι εἰς ἀρχιερωσύνης ὕψος, τί ποτε φρονῶν ἀποπροσποιῇ τὸν δίχα πάσης ἀντιλογίας ὑπερκαθήμενόν σου ἀρχιερέα; Ἱνατί ἐκφεύγεις αὐτόν; Τίς ὁ ἀπ' ἐκείνου φόβος ἔν σοι; Ἐλαφρός σοί ἐστιν ὁ ἐξ ἐκείνου ζυγός. Καὶ τί καταῤῥιπτεῖς αὐτόν, σκληρὸν ὑπέχων τράχηλον; Ἀλλὰ βαρύς· καὶ ὑπό‖μενε. [Ms. fol. 204. a.] 11. Ἢ ποῦ ἡ ὑπομονή, ἣν ἐτάξω, θεοῦ καὶ τῶν αὐτοῦ ἀγγέλων παρόντων, καὶ αὐτὴ ἡ μέχρι θανάτου; Ἀλλὰ κεντρίζει λόγοις αὐστηροτέροις· καὶ μὴ λάκτιζε πρὸς κέντρα, ἡ παροιμία σοι ἐγκελεύεται. Πορεύου δὲ ὀρθὸς εἰς ὁδόν. Τί δέ; ἀλλ' ἔγκειταί σοι πολλάκις καὶ φέρε σύ, τοσαυτάκις ἐπιλέγων ἐπῳδοῦ δίκην ἐκ παραποιήσεως τό· θλίβουσί με πάντες, θλίβεται δὲ οὐδείς (ἧς ἐννοίας καὶ ὁ κατὰ τὸν Ἀνάξαρχον ἐξήρτηται θύλακος)· ἵνα κληρωσάμενος τὸ φερέπονον, εὑρήσεις μακαρισμόν. Ἔστω σοι καὶ αὐτὸς τῇ σαρκὶ σκόλοψ ἐκ θεοῦ κατὰ τὸν ἀπόστολον. Εἰ δὲ βούλει, πρόσθες καὶ τὸ ἑξῆς. Ἀποδυσπετῶν γὰρ ἀκούσεις πάντως καὶ σὺ τό· ἀρκεῖ σοι ἡ χάρις μου, ὅθεν ἂν καὶ ἀκούσῃς αὐτό. Καί που καὶ αἰτιαθήσῃ, καταχλῶν ἀγερωχίας νόμῳ δίχα θείας κελεύσεως τὸν κατὰ σοῦ σκόλοπα. Εἰπεῖν δὲ ἀκριβέστερον· ἐξέσται σοι ἄλλως, ἐν ὑπομονῇ καταχλᾶν τὸν τοιοῦτον σκόλοπα διὰ τοῦ χαριτώσαντός σε θεοῦ. Τίς γὰρ οὐ λιθολευστήσει ἀρχιερέα, ἐπηρεάζοντα θεοῦ ἀνθρώποις; ποῖος ἄρχων; ποῖος δυνάστης; Τί δέ; ἀλλὰ ὁ βασιλεὺς ἀπονυστάζει, ἐφ' οἷς θλιβερῶς ἔχεις. Τὸ πάντων μεῖζον· συνεκπολεμήσει μετά σου ἡ κτίσις κατὰ τοῦ ἀδικοῦντός σε· βρεχθήσεται πῦρ ἐπ' ἐκεῖνον· κατακλυσθήσεται ὑετοῖς· ἀγανακτήσει κατ' αὐτοῦ θαλάσσης ὕδωρ· πᾶν κακὸν ἐλεύσεται ἐπ' αὐτόν.

138. Ἀλλὰ ταῦτα μὲν ἐγένοντο ἄν σοι, ἐὰν ἐπ' ἀληθείας κακῶς ἔπασχες ἐν τῷ ἀρχιερατικῶς ἐπισκέπτεσθαι. Εἰσὶ δέ σοι πάντα κεναὶ προφάσεις, καὶ μοχθηριῶν ψυχικῶν ἐπικρύψεις, καὶ φενάκαι ἀκοῆς. Πρὸς δὲ ἀλήθειαν· φθόνου καὶ τύφου ὑποκινοῦντος, καταγίνεσθαι τῶν ἐπισκόπων ἐθέλεις. Ἔχεις ὕβριν οὐ φορητήν, ἀκοῦσαι, ἀμαθέστερος εἶναι τοῦ ἀρχιερέως· οὐ φέρεις, ἐπαινούμενον ἀκούειν ὑπὲρ σέ· οὐκ ἀνέχῃ, εὐφήμως αὐτὸν προάγεσθαι μετὰ τοὺς βασιλεῖς· κρίνεις εἰς ὕβριν, κλίναι κεφαλὴν ἀρχιερεῖ· ἀφόρητον λογίζῃ, προποδίσαι εἰς ὑπαντήν, εἴπερ ἔρχεται ἐπὶ σε· ἀτιμοῦσθαι φαντάζῃ, ἐὰν καθέδρας αὐτῷ ὑπεξαναστῇς· κἂν ὑφιζήσῃς, θνήσκεις ὑπὸ χολῆς. Δέδιας, μήποτε ἁμαρτὼν ἢ λογοπραγηθῇς, ἢ ἀλλὰ πέσῃς ὑπὸ παραίνεσιν· ὅθεν καὶ παροιστρεῖς ἀλλοκότως· καὶ σπεύδεις, αὐτὸν μὲν ἀφιέναι, ἀντεπιλέγεσθαι δέ, ὃν ἂν προέλῃ· καὶ οὕτως εἰς ἀοριστίαν ἐκκλίνας, κασαλβαδικῶς οἷον ἐρωτιᾷς, ἢ καὶ ὕλης τῆς ἀρχεγόνου δίκην τόνδε μὲν παραδέχῃ πρὸς ἐπισκόπευσιν, ἐκεῖνον δὲ ἀποπτύων μικρὸν ὅσον, εἰςδέχῃ ἕτερον, στέργων καὶ ἀποστέργων, οὓς ἂν κυρώσῃ τὸ ἐν σοὶ τῆς ψυχῆς προαιρούμενον, καὶ πατέρας οὕτω πολλοὺς οὔτε φύσεως ἀκολουθίᾳ, οὔτε πνευματικῇ τιθέμενος.

139. Ἐρωτῶ σε, ὦ σοφὲ μοναχέ, εἰ οὕτως ἀπαρέσκῃ τῷ ἀγχιτέρμονι καὶ συνόρῳ ἀρχιερεῖ, ὃν ὁ κανονικὸς ἀσιώδασμος ἔθετο· τί ἔσται ἕτερος ὁ καταρτίζων ‖σε πνευματικῶς; [Ms. fol. 204. b.] Ἆρα ὃν σὺ ἐπιλέξῃ; Καὶ τί πλέον ἕξει ὁ ἀρχιερεύς; Σὲ παραιτεῖται, εἴπερ ἐθέλει, ὁ δι' ἐξομολογήσεως εἰς παῖδά σοι ποιούμενος. Εἰ δὲ καὶ οὐ τὸν ἀρχιερέα σου, τί ἄρα ἐκείνῳ πρός σε τὸ διάφορον; Υἱὸς πατρὶ δίκαια λέγων πρὸς ἀντιλαλιάν, ἐπιτιμᾶται δικαίως. Παραιτεῖσθαι μέντοι αὐτόν, οὐκ ἂν οὐδὲ διὰ στόματος θαῤῥήσοι προσενεγκεῖν. Σὺ δὲ ὁ μικρὸς πατὴρ ἀπαρνῇ τὸν — καλῶς ἂν εἴποιμι — πρωτοπάτορα. Ἤδη δὲ καὶ Μελχισεδὲκ λογίζεσθαι βούλει, ἀπάτωρ εἶναι πραγματευόμενος. Οὐαί σοι, πατραλοία μοναχέ, ἀποίμαντε μόναρχε.

140. Ἀλλὰ σὲ μὲν ἀφίημι χαίρειν, καὶ τὴν πνευματικὴν ἀποσείεσθαι ζεύγλην, καὶ πραγματεύεσθαι τὴν ποθουμένην σοι πλάνην διὰ τὸ ἀνεξέλεγκτον, ὡς ὁ μέγας φιλοσοφεῖ Σολομῶν. Ποῖον σέ; τὸν οἰηματίαν· τὸν κενότροπον· τὸν διὰ τὸ περιὸν τῶν πταισμάτων φιλοτιμούμενον τὸ ἀνεπιτίμητον· τὸν ὑπὲρ πάντων μέν, καὶ αὐτῶν τῶν ἐχθρῶν, ὀφείλοντα εὔχεσθαι, μόνῳ δὲ τῷ ἀρχιερεῖ καὶ τὴν δι' ἀναφορᾶς μνήμην ἐκκλείοντα, καὶ μηδὲ ἐγγράφοντα τοῦτο εἰς μνησικακίαν· τὸν ἀφύλακτον τὴν γλῶσσαν· τὸν ἀπεριμέριμνον τὰ εἰς λαλιάν, καὶ οὐδὲ ἐχέφρονα, εἴ τι χρὴ τοῖς ἐναγχός που ῥήμασι τεκμήρασθαι καὶ τὰ πρὸ τούτων. Μελετῶν γὰρ κορακικῶς τὰ καθ' ἡμῶν, καὶ ἄλλα μὲν ἔκρωξας, ἐν δὲ τοῖς καί, ὅτι ἄπειμι, ἐξεράσων τὰ κατὰ τοῦ μητροπολίτου. Ὡμολόγησας ἄρα ἐν συλλόγῳ τῷ κατὰ σέ, ἐξεραστὴς εἶναι· καὶ κείσθω σοι τοὔνομα εἰς λαμπρὸν ἐπώνυμον. Ἀλλὰ σὲ μὲν οὕτως ἀφίημι, παραῤῥιπτῶν τῷ σῷ ἐξεράματι· ὡς ἂν καὶ οὕτω δῆλον εἴη, ὡς ἐπανέκαμψας εἰς τὸν παλαιὸν ἔμετον, οὗπερ ἐχρῆν ἀπέχεσθαί σε, ὡς ἡ κουρὰ παρήγγειλεν.

141. Ἀναβαίνω δὲ πάλιν τῷ λόγῳ εἰς τὸν μοναχικὸν ὁρισμόν. Ὁ μοναχὸς πρὸς τοῖς ἄλλοις καὶ θεοκῆρυξ

ἐστίν. Τί δὲ ἂν κηρύξῃ ἀγαθὸν καὶ θεῷ πρέπον ἀγράμματος ἄνθρωπος, ὃν δὴ πρὸ βραχέων ὁ λόγος ἐσκέπτετο; εἰ μὴ ἄρα ἐκεῖνο καὶ μόνον τό· ἀπόνιψαι, πάτερ· καὶ τό· εὐλόγησον τὸ θερμόν. Ἔτι μοναχὸς ὁ κυρίως ἐστίν, ὃς πλάσας, ταὐτὸν δ' εἰπεῖν, ἀναπλάσας καταμόνας τὴν καρδίαν αὐτοῦ, συνίησιν εἰς πάντα τὰ ἔργα τοῦ θεοῦ. Ἡ δὲ τοιαύτη σύνεσις τὸ μοναχικὸν θεωρητικὸν ἅμα καὶ πρακτικὸν ἐμφαίνει. Θεωρίας μὲν γὰρ ἔνδειξις ἡ σύνεσις, λογικὴ ἀρετὴ οὖσα, καὶ εἰς ταὐτόν τι ἐρχομένη τῇ σοφίᾳ. Τὸ δὲ πάντα ἔργα τὴν πρακτικὴν παραδείκνυσιν. Ἐργατικὸς γάρ τις καὶ ὁ κατ' ἀρετὴν πρακτικός. Ζητῶ γοῦν τὸν ἐν τοῖς καθ' ἡμᾶς εἴτε γραμματέα, εἴτε ἀγράμματον, ὃς τὴν καρδίαν διατίθεται κατὰ σύνεσιν τοιαύτην, καὶ ἔργα τὰ κατ' αὐτήν· ὑπομιμνήσκων καί, ὡς οὐκ ἂν δύναιτο συνιέναι τὰ κατὰ θεὸν ἄνθρωπος μήτε μαθών, μήτε μανθάνων ἐν τῷ ὅλως ἀναγινώσκειν, ἢ θείας ἀκροάσεις περιεργάζεσθαι (ὃ καὶ αὐτὸ μαθήσεώς ἐστιν εἶδος)· μηδὲ μὴν πρακτικὴν ἔχειν ἀρετήν, ἣ καὶ αὐτὴ γνώσεως ἰδέα καθυποβάλλεται Ms. fol. 205. a. || θεοδιδάκτου, ὁποίαν ἡ αὐτοσοφία, ὁ θεός, ἐλλάμπει τοῖς καὶ πρακτικῶς αὐτὸν θεραπεύουσιν· οὓς καὶ ἰδιώτας ὄντας οἶδε σοφίζειν αὐτός.

142. Ἔτι δεδομένου τοῦ, τὴν μοναχικὴν μετέλευσιν τέχνην εἶναι τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, ὃ δὴ καὶ φιλοσοφίας ὅρος ἐστίν, εἴη ἂν καὶ ὁ καταμόνας ἐπ' ἐλπίδι τῇ εἰς τὸν θεόν, καὶ τὴν κατ' αὐτὸν θεωρίαν κατῳκισμένος, φιλόσοφος ὄντως. Φιλοσοφεῖν δὲ πῶς περιέσται τινί, μήτε γραμμάτων ἅλις ἔχοντι, μήτε εἰς τὴν κατὰ πνεῦμα πρακτικὴν ἔλλαμψιν παρακύψαντι; Ἔτι τὸ πάντων ὕπερθεν παραστάτης θεοῦ ὁ πρὸς κυριωνυμίαν μοναχός, καὶ δι' αὐτὸ σχολαστικός. Εἰ δὲ παραστατεῖ, καὶ θεωρεῖ ἄρα ἐκεῖνον κατὰ τό· σχολάσατε καὶ γνῶτε, τὸν θεὸν δηλαδή. Θεὸν δὲ πῶς ἂν γνοίη τις πεπηρωμένος ἑκατέρους ὀφθαλμούς; ὧν ὁ μὲν τὰ κατὰ πρᾶξιν, ὁ δὲ τὰ κατὰ θεωρίαν διέξεισιν, ὧν ὀλίγον τὸ μεταξύ, καὶ ὅσον οὐδὲ λεπτότης τριχός. Θεωρία τε γὰρ ἡ ἐντελὴς οὐκ ἂν εἴη τῇ πράξει ἀσύντροχος, καὶ πρᾶξιν δὲ μὴ θεωροῦσα τετύφλωται. Θεωρεῖ δὲ τὰ πολλὰ διὰ βίβλων, αἷς καὶ δόγματα ἱερὰ ἐμπεριέχεται, καὶ γραφῶν ἀποῤῥήτων ἀνάπτυξις, καὶ ἱεραὶ ἱστορίαι· φάντα θεῖα ἐκεῖναι, εἰκόνες παιδεύσεως, φῶτα πράξεων ἀγαθῶν, χαρακτῆρες εὐσχημοσύνης, ὀρθότητος προκεντήματα.

143. Ἐγὼ δὲ ἤθελον, τοὺς τοιούτους καὶ ἱστορίας ἐξωτερικὰς ἀνθολογεῖν, καὶ γνώμας καὶ ἀποφθέγματα, ἐξ ὧν καὶ οἱ πάλαι ἁγιώτατοι πατέρες ἐρανισάμενοι ἐμελιτούργησαν, σιμβλοποιησάμενοι τὰ γλυκέα ἐκεῖνα βιβλία, οἷς ἐνέθεντο τὰ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον λόγια, καὶ οὕτως ἀρεσκόντως τῷ θεῷ ἐλειτούργησαν. Καὶ ἐπεθύμουν μὲν αὐτός, τοιούςδε καὶ παρ' ἡμῖν εἶναι τοὺς προφαινομένους μοναχούς. Ὅτι δὲ αὐτοὶ πρὸς ταῖς ἔξω βίβλοις ἐξαθερίζουσι καὶ τὰς ἡμετέρας, ὁπόσαι καὶ μᾶλλον ἐμβαθύνουσι τοῖς εἰς θεὸν καὶ τὰ θεῖα, εὔχομαι λογισμὸν αὐτοῖς ἐντεθῆναι, μὴ καὶ εἰςέτι οὕτως ἀφραίνειν.

144. Οἷον γάρ, ὦ γῆ καὶ οὐρανέ, λόγον ἐξ ἀνδρὸς τοιούτου φθάσας ἤκουσα. Ἔμαθον κατακεῖσθαί που βίβλον ἱεράν, ἣν ἐπονήσατο Γρηγόριος, ὁ καὶ θεολόγος, πῦρ πνεύσας καὶ καλλιλογίᾳ ἐλλαμψάμενος. Καὶ ἡ βίβλος εἶχε πολὺ τὸ παράσημον, καὶ τὸ κατ' αὐτὴν κλέος ἐξηγεῖτο εἰς πολλούς, καὶ ἐφείλκετο τοὺς ἀκροατὰς οὕτως ἐκείνη, καὶ ἐθεῶντο αὐτὴν πρὸς θαῦμα· καὶ ἦν ἐντρυφᾶν τοὺς βλέποντας τοῖς τε ἐντὸς καὶ τῷ προφαινομένῳ εἰς ἀγαλλίαμα καὶ ψυχῆς καὶ ὄψεως. Θέμενος οὖν καὶ ἐγὼ σπουδήν, ἐντυχεῖν τῷ καλῷ Γρηγορίῳ τούτῳ, οὐκ εὐστόχησα· μετετέθη γάρ πως, τά γε εἰς ἐμέ. Ἀμέλει καὶ λελυπημένος ἐπυθόμην τοῦ καθηγουμένου (ἦν δὲ ἐνάρετος ὁ ἀνήρ, καὶ γραμμάτων δὲ ἴδμων), ποῖ ποτε τόπου τὸ καλὸν βιβλίον ἐστίν; Ὁ δὲ τὸν τῆς δεξιᾶς λιχανὸν κατασείσας || Ms. fol. 205. b. ὡς εἰς κύκλον, οὐδὲν ἀπεκρίνατο. Ἐμοῦ δὲ ἐγκειμένου, καὶ ἱλαρῶς ἐπανερωτῶντος, ἀπεμποληθῆναι εἶπε τὴν βίβλον. Τίς γάρ, φησι, καὶ χρεία ἦν ἡμῖν αὐτῆς; Ἐνταῦθα ἐμοῦ θυμὸν ἐνδόμυχον ὑπανάψαντος, ἤδη δὲ καὶ προφήναντος ἠρέμα, ἐπήγαγε καὶ αἰτίαν ἐκεῖνος ὁ σεμνὸς μοναχὸς διάλευκον τό· εἰς τί γὰρ καὶ δεόμεθα βιβλίων τοιούτων ἡμεῖς; Ὡς δ' ἐγὼ τὸν θυμὸν μεταβαλὼν εἰς βαρὺν γέλωτα, ἐξωνείδισα, ὑπειπών· τίνος γὰρ καὶ δεήσεσθε οἱ λόγου ἄξιοι μοναχοί, ἐὰν τὰ τοιαῦτα βιβλία παρ' οὐδὲν ποιῆσθε; παρῆλθέ με ὁ ἄνθρωπος ἐντραπείς, καὶ οὐκέτι διὰ βίου εἰς ὄψιν ἦλθέ μοι, βαρυνθεὶς οἶμαι τὸ ἐν ἐμοὶ οὕτω φιλόβιβλον.

145. Ὦ δὴ τοιοῦτοι μοναχοί, οὕτως ἐξουθενοῦν ἐθέλετε τοὺς θεολόγους, ἤδη δὲ πάντως καὶ τούς, ὅσοι κατ' αὐτούς; Οὕτως ἄχρηστοι παρ' ὑμῖν οἱ θεόφθογγοι; Ὦ Φαῦστε, ὦ Δαλμᾶτε, ὦ Στουδιῶτα Θεόδωρε, ὦ Κύπρου Ἐπιφάνιε, ὦ μυρίοι τοιοῦτοι ἅγιοι μοναχοί· οὕτως ὑμεῖς ἐζῆτε, οὕτω τὰς θεολόγους δέλτους ὡςεὶ οὐθὲν ἐλογίζεσθε σκορακίζοντες; Ὦ Ἐφραὶμ ἁγιώτατε, τί δή ποτε τοσαύτης ὑνεφορήθης φιλοσοφίας ὑπὲρ κόρον, ὡς καὶ ποτνιᾶσθαι καὶ θεοκλυτεῖν, ἀνεῖναι τὸν θεὸν τὸ ὑπεράγαν ἐν σοὶ τῆς γνώσεως;

146. Μοναχὲ χωρητικέ, εἰ δέ ποθεν ἀνακύψει καὶ νῦν ζήτημα ἐκκλησιαστικὸν ἐμβριθές, ἀμφίμαχον, καὶ

πρέπει ἀγωνίζεσθαι τοὺς ἱεροὺς ἄνδρας, ὧν μέλος καὶ μέρος οὐ τὸ τυχὸν καὶ οἱ κατὰ σέ· τί ἂν τηνικαῦτα ποιήσῃς αὐτός; Πῶς ἂν λαλήσῃς, ἀπαγαγὼν σεαυτοῦ, καὶ τρόπον τινὰ ἐκτεμὼν τήν τε γλῶσσαν, τά τε χείλη, τὰ θεολογικὰ δηλαδὴ νοήματα, δι' ὧν ὡς ἐπίπαν αἱ στρεβλούμεναι συζητήσεις λύονται, ἀποκαθιστάμεναι εἰς ὀρθόν; Εἰς τί σοι χρησιμεύουσι τότε τὰ σὰ πραγματικά; οἷς ὅσαι ὧραι προσταλαιπωρῶν, ἀφεὶς τὴν βιβλικὴν τριβήν, καὶ τὴν ὑψηλοτέραν ἀνάγνωσιν, καὶ ὑπερανῳκισμένην, καὶ θεοῦ ἁπτομένην οὐ μόνον οὐδὲ ἀναλαμβάνων ἔφεσιν τοῦ τοιούτου καλοῦ, ἀλλὰ καὶ καταγινόμενος τῶν μετερχομένων αὐτό· ἐκείνην μόνην ἀκριβωσάμενος τριάδα κατὰ τὴν σὴν αὔχησιν, τὴν ἐν τῇ ἐκκλησίᾳ προσκύνησιν, καὶ τὸ κελλίον σου, καὶ τὴν τράπεζαν καὶ οὐκ εἰδώς, μὴ ἀρκεῖν ταῦτα τῷ κυρίως μοναχῷ εἰς ἀρετῆς ἐντέλειαν, ἀλλὰ προσδεῖσθαι αὐτὸν λίαν πάνυ καὶ γνώσεως. Καὶ οὐ λέγω, μόνης τῆς θειοτάτης, ἀλλὰ καὶ τῆς ἀπὸ ἱστοριῶν, ὡς ἐῤῥέθη, καὶ ἑτεροίας δὲ πολυειδοῦς, δι' ἧς ἔχοι ἂν χρηστὸς εἶναι τοῖς ἐντυγχάνουσιν.

147. Ἢ πόθεν οἱ μεγάλοι ἐκεῖνοι ἅγιοι ἐσοφίσθησαν; Ἆρά γε ἀναστρεφόμενοι ἐν κώμαις καὶ πόλεσι, καὶ ἀναμετροῦντες ῥυμοτομίας καὶ στενωπούς, καὶ τύρμαις καὶ ῥεγιῶσιν ἐνδιατρίβοντες; Ἢ ἐγγωνιάζοντες, καὶ παντοίαις συγγινόμενοι ἀναγνώσεσι; Πῶς δὲ οἱ μὴ τὴν ἀρχὴν τοιούτοις ἐπιβεβληκότες ὅλως πονήμασι σοφίας ὕστερον ἐνεπλήσθησαν, πρεπούσης ἀποστόλοις θεοῦ, καὶ ‖ (Ms. fol. 206. a.) ἐφθέγξαντο βροντόφωνα, ἐξακουόμενα ἕως περάτων γῆς; Ἆρά γε πλανώμενοι περὶ ἀμφόδους ἐκεῖνοι, καὶ ῥεμβόμενοι ἄνετα, καὶ διαλοιδορούμενοι τοῖς ἀγοραίοις, καὶ ὀφθαλμοῖς ἐννεύοντες, καὶ μύλλοντες, καὶ τὰς ὄψεις διδόντες, οἷς οὐ χρή; Ἢ βιβλίοις αὐτὰς ἐπαφιέντες, ἢ γοῦν ἀλλὰ σὺν τῇ ἐξ ἀκροάσεως ὠφελείᾳ προστετηκότες καὶ ἐργοχείροις; Ἃ δὴ μισοῦντες οἱ ἀεργοὶ λογικοί, οὐ μόνον ὡς ἐπὶ ἀκανθῶν ἐν τῇ τοῦ βίου βαδίζουσι τρίβῳ, κατὰ τὸν φάμενον, ἀκάνθαις ἐστρωμένας εἶναι τῶν ἀεργῶν ὁδούς· ἀλλὰ καὶ ἐξαλογίζονται ἄντικρυς, ἓν μόνον τεχνασάμενοι καὶ εὖ εἰδότες, καθελκύσαι μέχρι καὶ αὐτοῦ μικροῦ στόμα τὸ κάλυμμα τὸ τῆς κεφαλῆς ἐν τῇ ἀγορᾷ, δοκήσεως χάριν τῆς κατ' ἐπίκρυψιν· εἰ δέ που παρεμπέσοι φλυαρία βίου, ἀλλὰ τότε ταχὺ ἀναστεῖλαι ἀνασυρομένους τὸ μέλαν παραπέτασμα ὑπὲρ τὸ μέτωπον, ἕως καὶ εἰς αὐτὸν βρεχμόν· ἵνα τάχα γυμνῷ τῷ προσώπῳ θρασύνωνται ὡς εἰ καὶ πόρνης ὄψιν εἶχον. Ὅτε καὶ ὁ τὰ πρὶν κατάβλεψ ἐκεῖνος ἀναπετάσας τοὺς ὀφθαλμούς, ὡσεὶ καὶ πυρπνόους, δεινὰ ποιεῖ, φλέγων θυμῷ, κυκῶν τὸν σύλλογον, πάντα δρῶν, δι' ὧν ἐντρέψας οὐ καταισχυνεῖ τὴν λευφόρον, ἣν φιλεῖ.

148. Τί σε τηνικαῦτα προσεροῦμεν, ὦ μοναχέ; ἀστικόν, ἢ ἐρημικόν; γωνίας ἄνθρωπον πνευματικῆς, ἢ ἀμφόδου πολιτικῆς; κωμοπολίτην, ἢ ἐρημοπολίτην; Ναί, οἶμαι, τοιοῦτον, ὡς ἐρημοῦντα τὴν ὑπό σου τριβομένην πόλιν μιμήσεως ἀγαθῆς. Καὶ μὴν ὤφειλες ἐπίγειος μὲν εἶναι τὸ φαινόμενον, οὐράνιος δὲ τό γε κρύφιον, τὸ φίλον τῷ κοινῷ πατρί, θεῷ· ὃς βλέπων ἐν τῷ κρυπτῷ, ἀποδίδωσιν ἐν τῷ φανερῷ. Σὺ δὲ ἀλλὰ ὀρθριάζεις μὲν τῷ σχήματι οὐρανοβάμονος δίκην, προσκέκυφας δὲ τῇ γῇ καὶ προσπέφυκας, ὡσεὶ καὶ μανδραγόρας, ἢ ἄλλο τι δυσέκσπαστον. Ἢ τῷ θεῷ, φησιν, ἢ τῷ μαμωνᾷ. Ἢ γὰρ ἄλλως; Οὕτω δὲ καὶ ὁ πρὸς ἀλήθειαν μονάζων, ἢ τῷ κόσμῳ πάντως, ἢ τῷ φροντιστηρίῳ. Δυάζεσθαι γὰρ οὐκ ἔστι τὸν ἀληθῶς μονάζοντα.

149. Σεμνὸν παρὰ τοῖς πάλαι σοφοῖς ἡ μονάς, διὰ τὸ εἰς ἑαυτὴν ἐστράφθαι, καὶ ἀδιαστάτως ἔχειν· καὶ ἀρχὴ μὲν ἀριθμοῦ τεθεῖσθαι καὶ πληθυσμοῦ αἰτία, μὴ μέντοι καὶ αὐτὴ πολύχοος εἶναι καὶ εὐσχιδής. Διὸ καὶ εἴς τι θεῖον ἐτάσσετο, καὶ τῆς τῶν ἀγαθῶν συστοιχίας προεταχθῆτο ἐν τῇ φιλοσόφῳ καταγραφῇ. Καὶ οὕτω μὲν σεμνὸν ἡ μονάς. Ἡ δὲ δυάς, πρώτη τῶν ἐφεξῆς ἀριθμῶν, διάστασιν μελετήσασα, καὶ οἷον ἀποσχισθεῖσα τῆς ἀρχῆς, καὶ πλήθους κατάρξασα, τόλμα ἐπεκλήθη, οὐ πάνυ σεμνῶς, ἀλλὰ σκωπτικώτερον. Καὶ τοίνυν ἀπ' αὐτῆς καὶ τὴν κακοπάθειαν οἱ τὰ τοιαῦτα σοφοὶ δύην ἐκάλεσαν, ὡς τὴν κατὰ σῶμα στοιχειώδη καθ' ἡμᾶς ἑνότητα δυάζουσαν κατά τε τὸ πάσχον καὶ τὸ ποιοῦν. Οὐκοῦν καὶ τοῖς ἔσω καὶ τοῖς ἔξω μεριστέος ὁ μοναχός, ὡς οὕτως ἀντὶ τοῦ ζῆν μονὰξ δυάζεσθαι (ὅπερ οὐκ ἐτάξατο), καὶ ἐντεῦθεν ἀφιλοσόφως διαχέεσθαι εἰς πληθυσμὸν οὐ θεοφιλῆ.

150. Εἰ δ' ἴσως, ὦ μοναστηριακέ, προφέρεις ἡμῖν εἰς ἀθώωσίν σου ἐκεῖνο τὸ μακαριστόν, ὡς ἄρα, καθὰ ἡ εὐαγγελικὴ Μαρία, ἡ πρὸς τοῖς ποσὶν ἀεὶ τοῦ Ἰησοῦ, δέεται καὶ δευτέρας τῆς Μάρθας, τυρβαζούσης, καὶ οὐχ ἁπλῶς, ἀλλὰ περὶ ‖ (Ms. fol. 206. b.) πολλά, οὕτω δυνασθήσεται καὶ ἡ μοναχικὴ ἀδελφότης· δός μοι τὴν Μαρίαν ἐνταῦθα, τὴν ἐκλεξαμένην μερίδα, ἥ τις ἀγαθὴ οὖσα, οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς· καὶ ἰδὼν αὐτήν, συγγνώσομαι τῇ κατὰ σὲ Μάρθᾳ τῆς τύρβης· ἄλλως γὰρ οὐκ ἄμεμπτον, Μάρθαν μόνην εἶναι τὸ φροντιστήριον. Οὕτω πως καὶ ὁ τοῦ Ζακχαίου οἶκος, καὶ ὁ τοῦ μεγάλου Ματθαίου. Ζακχαῖος μόνος ἦν ποτε, καὶ Ματθαῖος μόνος. Ἀλλ' ὕστερον ἀφέντες τὸ τοιοῦτον μονάζον, ἐπλήθυναν ἑαυτοὺς ἀρεταῖς καὶ τοῦ κόσμου

ἀπαναστάντες, ἐκόλλησαν τὰς ψυχὰς αὐτῶν ὀπίσω τοῦ θεοῦ· καὶ ἔκτοτε πορευόμενοι, ἐπορεύοντο βάλλοντες τὰ σπέρματα αὐτῶν ἐπ' ἀγαθῷ τέλει, ᾧ καὶ προςέσχον, χρυσοῦν θέρος δρεψάμενοι. Οὐ σὺ πῶς ἂν ἐπιδράξῃ, ὁ κατὰ κόσμον μὲν γλίσχρως ποιησάμενος τῇ γαστρί, καὶ διὰ τοῦτο καταγνοὺς ἐκείνου, καὶ μεταβαλὼν εἰς τὸν κρείττονα βίον· πλεονάσας δὲ ἐκ τῆς τότε πονηρεύμασι; Τί κερδαίνεις μοναχὸς τῆς μεταπάξεως, τῆς προτέρας ὢν τάξεως; Σύμφορόν σοι, στραφῆναι εἰς τὸν πρώην ἔμετον, καὶ ὀλίγοις κακοῖς ὑπεύθυνον εἶναι, ἤπερ τῷ καθαρείῳ βίῳ προςβάπτειν ῥύπον διὰ κακοπραξιῶν ἐπισύρασθαι ἄσμηκτον.

151. Δός μοι τὸν ὠφελούμενον ἐκ τῶν σῶν μοχθηριῶν. Ἆρά γε τρέφεις ἀσκητὰς πατέρας; Καὶ ἁγίοις ἐκείνοις οὖσι μοχθεῖς, αὐτὸς χορηγῶν; Καὶ οὕτω μερίτης αὐτοῖς γίνῃ τοῦ καλοῦ, καθὰ καὶ ἡ ὑμνουμένη Μάρθα τῇ Μαρίᾳ; Καὶ μὴν ἐν τῷ κατὰ σε χειμάῤῥῳ εἴ τις ἐπιμελῶς ἀνορύσσων ἀποπλύνῃ τὸν χοῦν μεταλλευτικῶς, βραχύ τι ψῆγμα χρύσεον ἢ ἀσήμου ἀργύρου ἐκλέξεται· τὸ δὲ λοιπὸν τῆς μεταλλείας μήποτε οὐδὲ χάλκεα παραυγάζει ψηγμάτια ἢ σιδηρᾶς ἀτόμους· ἀλλὰ τὸ πᾶν ψαμμία εἰσὶν ἀπόβλητα. Τί δὲ ἀλλὰ τοιούτοις μὲν ἀδελφοῖς οὐ πονεῖς, μεταδίδοις δὲ τῶν σῶν πονημάτων τοῖς ἐνδεέσι; Καὶ ποίοις ἐκείνοις ἀπραγματεύτως ἐνδαψιλεύῃ πένησιν, ὁ μὴ ὅτι γε μεταιτῶν τὰ εἰς πλουτισμόν, ἀλλ' εἴ που δυνατόν, καὶ ἀφαρπάζων προφάσει τῶν τῆς μονῆς; καὶ ἀεὶ τοῦ συνάγειν ὤν, οὐκέτι δὲ καὶ τοῦ σκορπίζειν, ὡς ἐπιτάσσει ὁ θεὸς τοῖς μεγαλοπολίταις μόνοις, ὡς ἔοικε, καὶ τοῖς, ὅσοι ἀλλοθί πού κατ' αὐτούς. Ὑμεῖς γὰρ αὐτῷ διαλαλοῦντι κωφεύετε.

152. Τέως γε μήν, ἃ προκείμενε, εἰ καὶ δοτέον, χρῆναι κυρβάζειν τοὺς μοναχοὺς ἐπὶ πολλοῖς, καὶ κοσμικῶς ἀναστρέφεσθαι· τί δή ποτε σὺ αὐτόχειρ ἀναδέχῃ τὸν τοιοῦτον κάματον, ἄλλους ἔχων καματηρούς; Τί δὲ μὴ αὐτὸς μὲν προςέχεις, οἷς χρεὼν προςανέχειν τοὺς κατὰ δὲ θειότερον, ταῖς δὲ τύρβαις ἀποστόλους πέμπεις διακονήσοντας; ἀλλὰ συχνὰ προεργάζεσαι ἅμα ἐκείνοις, ὡς οἷα καὶ φαλαγγάρχης, καὶ τοὺς μὲν τῶν μοναχῶν οὐραγοὺς ἕπεσθαι τάξας, τοὺς δὲ ὡς εἰς στόμα προβαλλόμενος, μέσος αὐτὸς πομπεύεις; καὶ προφορούμενος τὰς ὁδούς, θύρας ἐκτρίβεις; Καλὸν μὲν ἴσως, ἐὰν δυναστευτικάς· πλὴν ἀλλὰ
Ms. fol. 207. a. τὰς πλείους ἰ || διωτικάς, καὶ οὐδὲ ἐπισήμους· ὧν τῆς ἔσω αὐλαίας ἀποστερουμένης, τὰ πλείω τῶν ὑποζυγίων θύραζε μένοντα καταμηνύουσιν, ἔσω εἶναι τὸν ἀσκητήν, καὶ καταρτίζειν τὰ πνευματικά. Οὐκ οἶδας, ὅτι ἀπρόςιτος ὡς ἐπιπολὺ ἅπας ἀσκητής, δι' αὐτὸ δὲ καὶ ἀπρόςιτος τοῖς πολλοῖς, ἢ δυςπρόςιτος; Εἰ δέ ποτε καὶ προϊέναι χρὴ τὸν τοιοῦτον, ὀκνεῖ πάντως ἐκεῖνος θριαμβεύειν ἁβρότερον, τιθέμενος τῇ ἐντροπῇ ἀποκρυφήν τινα, μὴ καὶ βλέποιτο τοῖς τοῦ κόσμου ὁ τὴν πρόθεσιν ὑπερκόσμιος. Διατί δέ (ἵνα τι καὶ μεῖζον εἴπω), μεγάλα ὑπεσχημένος τῷ θεῷ, οὐκ ἐνδείξεις ταῖς πράξεσι κατ' ἐκεῖνα; καὶ οὕτω καταμηνυθεὶς καὶ ἐξάκουστος γεγονώς, ἐφέλκῃ τοὺς μανθάνοντας ἐπισπώμενος ἐν σχοινίῳ μακρῷ, τῷ κατ' ἀρετὴν δηλονότι; ὡς ἐντεῦθεν μὴ ἀνάγκην εἶναί σε παρὰ τοὺς ἄλλους φοιτᾷν, ἀλλ' ἐκείνους ἐπί σε ἥκειν ἁγιασμοῦ χάριν, καὶ που καὶ ποτνιᾶσθαι, λέγοντας ἐπιθυμητικῶς· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προςώπῳ τοῦ ἐνθέου μοναχοῦ;

153. Τί δ' ἀλλὰ ταῦτα λέγω ἀνθρώποις, οὓς μᾶλλον συμφέρον ἦν ἔξω τοῦ φροντιστηρίου διατρίβειν, ἤπερ ἔνδον μένειν; Προεντετεγμένοι μὲν γὰρ ἐκεῖθεν, ἀδειάζειν δοκοῦσι τοῦ πάντῃ ἀργεῖν. Καὶ τι φαίνονται ποιεῖν, εἰ μηδὲν ἄλλο, ἀλλὰ καὶ τοὺς πόδας γυμνάζοντες, καὶ ταῖς αἰσθήσεσιν εἰς πλατὺ ἐνεργοῦντες· τοῦ δὲ ἀσκητηρίου ὄντες, παντελῶς ἄπρακτοι ἀποκαρτεροῦσιν, ὡς εἰ καὶ ἄχειρες ἦσαν καὶ ἄποδες. Γράμματα μὲν γὰρ οὐκ οἴδασιν, ἐξ ἐργαστηρίων οἱ πλείους ἥκοντες, καὶ ἄλλως δὲ χειρώνακτες ὄντες· καὶ οὐδὲ οἱ τυχόντες, ἀλλὰ ἐπιστήμονες βάναυσοι· πολλοὶ δὲ καὶ τριόδων τρίβωνες· ὥςτε οὔτε περιέλευσις ἐν αὐτοῖς βιβλιακοῦ ἐδαφίου εἰς ἐμπορίαν πνευματικήν, οὔτε ἀκρόασις ἀναγνώσματος ἱεροῦ, πλὴν εἰ ἄρα ἐν καιρῷ κοινοβιακῆς ἑστιάσεως· ὃ καὶ φαίης ἂν ἐπιτραπέζιον εὑρίσκειν ἔδεσμα, ὡς οἷα τοὺς λόγους οὕτω τοῦ θεοῦ ψωμιζόμενος.

154. Καὶ ἔστι μὲν καλὸν καὶ αὐτὸ παρά γε τοῖς καὶ μανθάνειν ἐθέλουσι καὶ ἀναμιμνήσκεσθαι, ἵνα εἴη μεῖζον κἀνταῦθα τοῦ ἔργου τὸ πάρεργον. Σὺ δὲ ἀλλὰ παροιμιακόν τι ζῶον ἀκούεις λύρας ταύτης πνευματικῆς, ὑπερηχῶν τὴν ἠρεμαίαν ἀνάγνωσιν τῷ τε κόμπῳ τῶν μασημάτων, καὶ οἷς τὰ πολλὰ καὶ ἐν τῇ τραπέζῃ βλασφημεῖς, καὶ μάλισθ', ὅταν σπανίζῃ ἑταιρίας τὸ ἑστιατόριον. Φίλων γάρ τοι παρατετυχηκότων, βαθεῖα νηνεμία κοσμεῖ τὴν τράπεζαν, τῆς δεσποίνης ὑποκρίσεως διοικονομουμένης τουτὶ τὸ καλόν. Οὔτε τοίνυν, ὅπερ ἔφαμεν, ἀνάγνωσις ἐν τοῖς ἀνατεταγμένοις μοναχοῖς, οὔτε καλῶν ἔργων ἐπιβολή, ὧν ἀπέχουσι τὰς χεῖρας ὡςεὶ καὶ τινος μιάσματος· τάχα που καὶ εὐλαβῶς ἔχοντες ἀκκισμοῦ λόγῳ ἢ σικχασμοῦ, μὴ καὶ δυςγενὲς εἴη καὶ ἀτιμοποιὸν μοναχοῖς τὸ ἐν δέοντι χειρουργεῖν. Κἀντεῦθεν ἀργολογίαι πολιτεύονται παρ' αὐτοῖς, ὧν οὐδὲν κέρδος πνευματικόν. Καὶ τοῦτο μὲν

ζωϊκώτερον, ἐπεὶ καὶ ζώοις ἀλόγοις τὰ τοιαῦτα ἐμπέφυκε. (Ms. fol. 207. b.) Καὶ αὐτὰ γὰρ μηδέν τι πε || φυκότα διαπράττεσθαι, οὕτω πως διατίθενται. Ἄιδουσι μὲν γάρ, ὅσοι τῶν ὀρνίθων εὐφυῶς ἔχουσιν. Ὅσα μὴ τοιαῦτα, ἢ κλάζουσιν, ἢ κρώζουσιν, ἢ στρουθίζουσιν, ἢ ἄλλως ἠχοῦσι· βρυχῶνται δὲ ἕτερα, καὶ μυκῶνται ἄλλα. Τὰ πάντα δὲ διακινοῦνται πρὸς ὄρεξιν ἀργοφωνίας τινός, εἰ οὕτω χρὴ ὀνομάσαι. Οἷς ὁμοίως ἀργολογοῦντες καὶ οἱ ἀεργοὶ μοναχοί, μικρόν τι ποιοῦσι κακόν. Ἀλλ' ὅτε τις τῶν ἁπάντων τολμήσει, μὴ ἐπαινεῖν τοὺς τοιούτους ὡς καὶ ἁγίους, καὶ λογίους, καὶ θαυματουργούς, μηδὲ κατατείνη ῥήσεις μακρὰς ἐγκωμίων ἐπ' αὐτοῖς — ὢ τῆς ἐνταῦθα λοιπῆς ἀργολογικῆς ἐπεξελεύσεως, ὢ τῶν θυμομαχιῶν, ὢ τῶν ἀντιλογιῶν· μᾶλλον μὲν οὖν, ὢ τῶν πολέμων, ὢ τῶν συῤῥαφῶν, ὢ τῶν καταγραφῶν. Οὐδ' ἂν βασιλεὺς βλασφημούμενος, οὕτως ἐπεξελεύσεται, οὐδ' ἂν θεὸς αὐτός. Οὕτως δαιμονεῖς οἱ μοναχοί, μοναχοί, ὡς ἐτάξαντο· οὕτως ἥσυχοι.

155. Τί δὲ ἄρα καὶ βούλει, ὦ μοναχέ; Μακαρισθήσῃ εὐκαίρως; Ναί, φησι. Πατὴρ γάρ εἰμι· πατρὶ δὲ ἀντιλέγειν υἱούς, οὐκ ἔξεστι. Καὶ μήν, ὦ κατὰ σὲ πάτερ, δέδοται καὶ υἱῷ, εἰ μηδενὸς ἑτέρου κακουργήματος, παρανοίας γοῦν ἁλίσκειν τὸν γειτάμενον. Εἰ γοῦν καὶ σὺ παρὰ τὸν μοναχικὸν κανόνα πράττων παρανοεῖς, καὶ οὕτω παρανομεῖς, τί δυσχεραίνεις τὴν ἐπὶ παροινίας γραφήν; Ἔοικας δὲ ἄρα τοὺς αἰτιωμένους παρακρούεσθαι, ἵνα καὶ τὴν ἐκ τοῦ ἀρχιερέως μέμψιν ἐκφύγῃς, τοῦ μείζονος πατρός, ἢ κατὰ σέ, τοῦ εἰς τύπον θεοῦ. Λέγω δή σοι τολμήσας, ὡς εἰ μὴ ὁ ἐπίσκοπος, τίς ἄρα ἕτερος θαῤῥήσει πρός σε λαλῆσαι; Ποῖος δὲ κανὼν ἀφίησί σε ἀδέσποτον, ἀκυρίευτον, ἄναρχον, ἀκέφαλον, ἀνεκλόγιστον, ἀλογοπράγητον; Οὐδὲν ἔθνος ἀβασίλευτον· οὐκοῦν οὐδέ τις λαὸς θεῷ κεκληρωμένος ἄναρχός ἐστιν. Ἐξ ἄρα δή τι ἔπειτα θεὸς φρένας ὤλεσεν, εἰ οὕτως ἀλλοφρονεῖς· ὃς ἀξιῶν πάντοθεν ἀνεξέταστος εἶναι, ὅμοιόν τι ποιεῖς, ὡς εἰ καί τι χρυσίον ὑπόχαλκον καὶ οὕτω κίβδηλον ἐθέλει παραιτεῖσθαι τὴν διὰ πυρὸς δοκιμήν. Καὶ μὴν αὐτὸ οὐδὲ πατριαρχική τις διαφυγγάνει κεφαλή, ἀλλ' ἐν καιρῷ λογιστεύεται καὶ αὐτή, δι' οὗ ἐχρῆν. Καὶ θεὸς δὲ αὐτὸς ἀνέχεται ἄλλως, ἐπιεικῶς λογιστεύων, ἀνθρώπων θεοφιλῶν καὶ πυνθανομένων· τί ὅτι, κύριε, τάδε καὶ τάδε ποιεῖς; Καὶ οὕτως ὑπομένει ἐπανερωτῶντας δῆθεν εἰς ἔλεγχον. Καὶ ποτε κατακαμπτόμενος ἐλεημόνως, ποιεῖ τὰ εἰς ἱλαρότητα.

156. Πάνυ γοῦν σὺ μέγας οὕτω, καὶ ὑπὲρ πᾶσαν λογοπραγίαν, καὶ διὰ τοῦτο ὑπέρθεος, ἀποπροσποιούμενος πάντη πάντως τὸ ἐφορεύεσθαι ἀποστολικῶς. Εἰ δὴ τοιοῦτος ἦσθα, τί δὴ τὴν ἀρχήν, ὅτε κειρόμενος λογοπραγίας εἶχες, καὶ ἐρωτήσεις, καὶ πύσματα, μὴ ἔσφιγξας τὴν καρδίαν || σου στεῤῥῶς, (Ms. fol. 208. a.) καὶ ἰσχυρογνωμονήσας ἀντέστης τοῖς πολυπράγμοσιν ἐρωτηματικοῖς, μὴ καὶ συνελαύνοντες κατακλείσωσι καὶ σὲ εἰς ἀποριῶν λίνα δυσδιάφυκτα· ἀλλ' οὕτως ἀπραγμόνως ὑπεῖξας, καὶ κατέθου, ἀντιφωνήσας μηδέν; Ὅτι γοῦν ὑπέμεινας ταπεινωθῆναι τὰς ἀρχάς, ἄκουε τοῦ λοιποῦ καὶ ἄκων τὰ συνοίσοντα, καὶ ἐλέγχου, καὶ γίνου σοφός, καθὰ ἡ Σολομώντειος ὑποθήκη βούλεται καὶ ἀγάπα, οὕτω διορθούμενος, εἰ καὶ μὴ κατὰ Προμηθέα, δι' Ἐπιμηθέως γοῦν.

157. Ἐνθυμήθητι ἐν τούτοις καί, ὡς πολλὰ καὶ τῶν ἀλόγων ζώων ἐγκραζόμενα, ὅτε σφάλλονται, ἀνορθοῦνται. Τῷ παντὶ δὴ πλέον ὁ ἄνθρωπος καὶ ποθήσει αὐτό, καὶ ζητήσει· καὶ εὑρὼν εὐφρανθήσεται. Καὶ ἦν μὲν ἐνταῦθα ἐπιλέξασθαι ἡμᾶς ὁμοιότητα μυρίαν πράγματος καὶ ἄλλοθεν. Ἀρέσκει δὲ ὅμως τὸ προτεθησόμενον. Ἱστοροῦνται Μαυρούσιαι γυναῖκες, ἐπειδὰν περί τινα κώμην ἐκεῖ που ἐπιχωριάσωσι λέοντες, μὴ παρόντων ἀνδρῶν (πέπληθε δὲ θηρίων τοιούτων τὸ Μαυρούσιον κλίμα), ἐπιλαλεῖν αὐτοῖς ἐθάδι γλώσσῃ ὀνειδισμούς, καὶ τὸ ὄνειδος· τί δή ποτε ὁ βασιλεὺς λέων, ὁ οὕτως ἀξιωματικός, οὐκ ἐντρέπεται, παρὰ πρόσωπα ἥκων μὴ ἀξιόμαχα, οἷς οὔτε ῥώμη χειρῶν, οὔτε ἄλλο τι μετὸν ἀνδράσι; Καὶ ὁ λέων ἀκούων, αἰδεῖται, φασί, καθ' ὑποβολήν τινα φύσεως ἐλλόγου, καὶ κατακύψας αἰδημόνως, ἐς τὰ οἰκεῖα ἤθη παλιννοστεῖ, μηδέν τι δράσας δυσγενές. Τί οὖν μὴ καὶ σύ, ὁ κατὰ παθῶν κοσμικῶν λέων εἶναι ἀποταχθείς, οὐ μόνον οὐ προΐσχῃ τοῦ προσώπου πρόβλημα αἰδοῦς, τῆς ἐθάδος ἡσυχίας ἀπανιστάμενος, καὶ διαβαίνων εἰς τὰ κοσμικά, καὶ ὀνειδιζόμενος δι' αὐτός. Ἀλλὰ καὶ βρυχώμενος λεόντειον ἐπεμπηδᾷς, καὶ διασπαράττειν βούλει τὸν ἐγκραγόντα σοι; Καὶ μὴν οὐ μόνον λοιδορούμενος τετύπωκας, οὐκ ἀντιλοιδορεῖν, ἀλλὰ καὶ πάσχων, μηδὲ γοῦν ἀπειλεῖσθαι.

158. Ἰδοὺ τὸ βιβλίον τῆς συνταγῆς, καὶ λαβὼν ἀνάγνωθι, καὶ κατάγνωθι σεαυτοῦ. Ὅτε ἀναισχυντεῖς, ὦ μοναχέ, νόμιζε, ὅτι νεκρὸς ὢν φαντάζῃ. Τέθνηκας γὰρ ἐν τῷ κείρεσθαι. Ὅτε καταλαλεῖς, ἐννόει, ὅτι ἐν ἀφώνοις τεταγμένος, διαρθροῖς βλασφημίαν. Οὐ γὰρ ἐτύπωσας, οὕτω λάλος εἶναι. Διὸ ἄφες τοιαῦτα τερατουργεῖν ἐπὶ σοί, μὴ καὶ παρουργίσῃς τὸν ὡς ἀληθῶς ὕψιστον θαυματουργόν. Στέρνα τύπτειν τέταξαι τὰ σὰ ἐπὶ μετανοίᾳ, οὐ μὴν κατὰ καρδίας τύπτειν τοὺς μικρὰ ἢ οὐδὲν αἰτίους· δάκρυα καταῤῥέειν ἐπὶ μεταμέλῳ τῷ ἐφ' ἁμαρτίαις, οὐ μὴν τυραννεῖν εἰς δάκρυα

ψάλλειν, οὐ κατακράζειν ὀρθοστάδην ἄϋπνος ἐντυγχάνειν θεῷ, οὐ μὴν ἐπ' ἀμφοτέραις χωλεύειν ἰγνύαις ἁμαρτητικῶς γόνυ κλίνειν ἐπὶ προσευχαῖς, οὐ κατακλᾶν σκέλη δίκην ληστοῦ· ὁποῖα καὶ τοιαῦτα πολλὰ Ms. fol. 208. b. ἐν τοῖς καθ' ἡμᾶς βλέπομεν. Ἡ ῥάβδος || σου καὶ ἡ βακτηρία σου παραλαλείτωσαν τοὺς ὑπὸ σέ, καὶ λοιποὺς δὲ ἄλλους, ὅσους ἐξισχύεις· μὴ παραλυέτωσαν δὲ τῆς ζωῆς φοβερώτερον. Ἀγκαλίζου χερσὶν εἰς πνευματικὴν χαρμονήν· μὴ σφίγγε εἰς πνιγμονήν.

159. Ἀλλὰ ταῦτα μὲν κοινῶς πρός τε τοὺς μεγαλοσχήμονας καὶ τοὺς μὴ κατ' αὐτούς. Τοῦ λοιποῦ δὲ ἰδίᾳ καὶ τοῖς μήπω ἀπογραψαμένοις τὰ τελεώτατα ὁμιλητέον διὰ βραχέων εἰς μόνην ἀνάμνησιν· οὐ γὰρ οἶμαι ἀγνοεῖν οὐδ' αὐτούς, ἅπερ ἀκούσονται. Καὶ τέως προεκθετέον τὴν τοῦ μοναχοῦ κλῆσιν, ὅ τί ποτε βούλεται. Ἤρεσε τῇ κατὰ σοφίαν ἀκριβείᾳ, τὸ μόνον καὶ τὸν μόνον καὶ τὴν μόνην νοεῖσθαι μὲν καὶ ἄλλως ὁμωνυμίας νόμῳ, λέγεσθαι δέ ποτε καὶ πρὸς τὸ συζυγοῦν τῷ ἄρτῳ εἰς τροφῆς ἀρτίωσιν. Οὕτω καὶ μόνος χιτών τινι πρόσεστιν, ὅτε ἀσυνδύαστός ἐστιν ἑτεροίᾳ περιβολῇ, ἧς παρούσης ὡς ἔν τινι συζεύξει οὐκέτι μεμόνωται ὁ χιτών. Τῷ δ' αὐτῷ λόγῳ καὶ μόνην ἔχειν λέγεταί τις χλαῖναν, ὅτε τῆς ἐπιλοίπου συζυγίας, εἴτ' οὖν συστοιχίας, αὐτὴ διέσταται. Τὸ δὲ ὅμοιον θεωρεῖται καὶ ἐπὶ μυρίων ὅσων ἑτέρων.

160. Οὗτος δὴ ὁ λόγος ὁ κατ' ἔννοιαν, ὦ μοναχέ, ὅστις ποτ' ἂν καὶ εἴης, καὶ τῇ σῇ ταύτῃ κλήσει ἐγκάθηται. Τοιούτου τοίνυν οἷα καί τινος θεμελίου ὑποβεβλημένου σοι, ἀναμνήσομέν σε μετὰ βραχὺν λόγον, ὡς σὺ κατ' αὐτὸν οἰκοδομεῖς, ἀλλὰ τῷ ὑποκειμένῳ θεμέθλῳ ἀνακόλουθόν σοι τὸ παρύφωμα. Ὁ γὰρ ἀποστολικὸς μοναχός, ταὐτὸν δὲ εἰπεῖν, μόνος, οὐδὲν ὀφείλει ἔχων ἄλλο ζῆν, εἰ μὴ ἑαυτόν, δίχα δηλαδὴ συζυγοῦντος τῇ κατ' ἄνθρωπον ζωῇ ἅπαντος πράγματος, οἷον ἄτερ πήρας καὶ βαλαντίου, τῶν καὶ ἀχρειωδῶν καὶ μοχθηροτάτων· εἰ καὶ τοῖς ἀφελεστέροις ἐν σμικρῷ τίθεται ἡ τῆς τούτων ἀποχῆς παραγγελία. Τῷ βαλαντίῳ μὲν ἐνταῦθα ὁ θησαυρὸς συνεκβέβληται, τῇ πήρᾳ δὲ ὁ λοιπὸς χρηματισμός· σάκκος γάρ τις καὶ ἡ πήρα. Τῷ δὲ σακκίῳ δοχεῖον ἅπαν συνεπινοεῖται χρηματιστικόν. Ἐπίκειται οὖν καὶ σοὶ χρέος, ὦ εἰσαγωγικὲ μοναχέ (ἀπὸ σοῦ γάρ τό γε νῦν ἄρχομαι), γεγυμνῶσθαι. Τοῦτο γάρ ἐστι τὸ χρῆναι τὸν μοναχὸν ἑαυτὸν καὶ μόνον ἔχειν. Γεγυμνῶσθαι δέ φημι οὐ τὸ περιεστάλθαι μηδέν τι ἐς ἀναβολήν, διατεθειμένον Βραχμᾶνος δίκην γυμνοσοφιστοῦ, κατὰ τὸν πεσόντα ἐκ κοιλίας ἄρτι πρώτως μητρικῆς (ὃ δή ποτε ἀγαθὸν καὶ ἡμετέροις ἁγίοις πατράσι θαυμασίως ἐνέλαμψεν), ἀλλὰ τὸ τοῖς ἀναγκαιοτάτοις ἀρκεῖσθαι, καὶ μηδέν τι περικεῖσθαι, λόγῳ δηλαδὴ περιττότητος. Τὸ δὲ οὕτω περιβεβλῆσθαι γυμνώσεώς τινα λόγον ἔχον, ἐκβάλλει πᾶσαν ἄλλην περίθεσιν διὰ τὸ αὔταρκες, καὶ φυλάττειν ἔν σοι τὴν εἰρημένην μόνωσιν τὴν μοναχοῖς πρέπουσαν.

161. Ἀναγκαιότατον ὁ ψωμός· εἰς ἴσον ἔρχεται καὶ ὁ μέτριος οἶνος· ὅμοιον καὶ τὸ σῶφρον || ὄψον. Ταῦτα Ms. fol. 209. a. ἔχων, τρόπον μέν τινα οὐκ ἀναστρέφῃ μοναχὸς ἐν κόσμῳ (ἔχεις γάρ τι ὁπωσοῦν συζυγοῦν)· τρόπον δὲ ἄλλον ἀληθὴς πέφηνας μοναχός. Ἀπέζευξας γὰρ σεαυτοῦ τὰ περιττά, καὶ ὅσα μὴ ἀναγκαῖον συνεζεῦχθαι τῷ ἐγκρατευτικῶς ζῆν πραγματευομένῳ, οὐχ ὑπερπαθῶς, ὡς ὑπερβαίνειν καὶ τὴν φυσικὴν ἀπαίτησιν. Εἰ μὲν οὖν δύνασαι ζῆν οὕτω (πάντως δὲ δύνασαι), καθὰ καὶ προείλου, ζῆθι ἐν τῇ μονῇ τοῦ λοιποῦ μετὰ τὴν εἰσδρομήν. Εἰ δὲ καταγινώσκεις, μὴ ἂν δυνήσεσθαι, ἀπόδραμε. Εἰς τοῦτο γὰρ καὶ χρόνος κεκανόνισταί σοι σκέψεως, ἵνα ἢ θαῤῥῶν παραμείνῃς, ἢ μὴ πεποιθὼς ἀπέλθῃς. Ἀλλὰ μὴν καὶ ἐσκέψω, καὶ κατέθου ἐπὶ τοῦ ἱεροῦ καὶ σὺ βήματος, καὶ εὐλογήθης ἱερῶς, καὶ τὴν ἀποστολικὴν ἐνεδύσω στολήν. Παράμενε τοίνυν ὡς ἀποστολικός, αὐτίκα δὲ καὶ εὐαγγελικὸς μοναχός. Παραμενεῖς δὲ διχῶς, μήτε τῇ ψυχῇ ἔξω ῥεμβόμενος, τῷ κρείττονι πάντως μέρει τῆς κατὰ σὲ διαρτίας, μηδὲ μὴν τῷ σώματι καταχρώμενος εἰς αὐτεξούσιον. Ἄλλως γὰρ διακονεῖν ἐπιτεταγμένος, ἐξελεύσῃ· καὶ αὖθις εἰσελεύσῃ μοναχός, ὁποῖος καὶ ἐξῆλθες, καθαρὸς καὶ σῶμα καὶ ψυχήν. Εἴ τι δὲ καὶ συνεισαγαγεῖν δεήσει ἐν τῇ ἐπαναστροφῇ, κατὰ μίμησιν αὐτὸ φιλεργοῦ μελίσσης ποιήσεις, ἀνθολογήσας δηλαδὴ καὶ φέρων ἀγαθόν — εἰ μὲν παραπέσῃ, καὶ σωματικὸν ἔκποθεν φιλοχρίστου δωρεᾶς εἰς ὠφέλειαν τῇ μονῇ· ἄλλως δέ γε νοερώτερον ἐν τῷ ἢ λόγους ἀγαθοὺς ἐνωτίσασθαι, ἢ ἐνθυμήσεις ἀγαθὰς εἰσοικίσασθαι ἐν ψυχῇ. Καὶ οὕτω κέρδος τι ἔξωθεν πορισάμενος, ἔχοις ἂν οὕτω σεμνύνασθαι διὰ τῆς ἐξελεύσεως. Ἐκφορῆσαι δέ γε τῆς μονῆς δίχα κελεύσεως οὐδὲ ἄχνην λεπτοτάτην ἐξέσται σοι.

162. Ἀλλ' οὕτω μὲν ἡμῖν ἡ τοῦ μοναχοῦ κλῆσις ἀνεπτυγμένη τεθεώρηται, οὐκ ἔξω, οἶμαι, ἀγαθοῦ λόγου. Ἔστι δὲ καὶ καθ' ἑτεροίαν ἐπιβολὴν τὸ αὐτὸ διαθέσθαι ὄνομα. Ὁ μόνος ἐν πολλοῖς ὑπεροχήν τινα ἰδιάζειν δοκεῖ οὐσίας, εἴτε ποιότητος· καὶ αὐτῆς ὁτὲ μὲν ἐπαινουμένης· οὐκ ἂν δὲ εἴποι τις, ὡς μὴ καὶ ψεγομένης ἑτέρας ἔστιν οὗ. Εὕρηται γοῦν τις ἀποτεταγμένος μόνος ἐν φιλοσόφοις τοῖς πάλαι, καὶ μόνοις ἐν τοῖς ῥητορεύειν ἠσκημένοις· οὕτω δὲ καὶ ἐν δικαίοις,

καὶ οἷς ἡ ἀνδρία προςέσχεν. Ἀπηνέγκατο δέ τις ἄλλος τὸ μονῆρες καὶ ἐν κακίᾳ, ἧς προκάθηται ὁ ἀρχέκακος δαίμων. Ὁ τοίνυν ἰδίως λεγόμενος μοναχὸς ἐν τοῖς κατὰ κόσμον ἀνθρώποις, ὅςτις ποτ' ἂν καὶ εἴη, μονήρης ἐστὶ καὶ αὐτὸς φερωνυμίας λόγῳ, καθότι καὶ μονάζων· εὐθὺς δέ καὶ μόνος· καὶ οὐ δή που τὴν κακίαν, ἣν φεύγων ἐξεπίσθη μὲν τοῦ κοινοῦ καὶ πολλοῦ, εἵλετο δὲ τὸ μοναχικόν, ἀλλὰ τὴν ἀρετὴν δήπουθεν. Καὶ ἔστι λοιπὸν ὁ μοναχὸς ἐν ἐξοχῇ θειότατος μόνος, ὡς οἷα θεῷ προςχωρήσας, τῷ ἀληθῶς μόνῳ τὴν ἀγαθότητα, καὶ πρὸς ἐκεῖνον τυπωθείς, καὶ χαρακτηρισθείς, καὶ μένειν εὐαγγελικῶς ἐν ἐκείνῳ ταχθείς· ἵνα μὴ ἔξω βληθείς, πάθοι τὰ πάνδεινα. Ὥςτε κατ' ἐξαίρετον ἀρετὴν ὑπεροχικῶς ὁ μοναχὸς ὠνόμασται, θειοτάτην ταύτην περιδυσάμενος μεγαλοπρέπειαν ὀνόματος.

163. Αὕτη δευτέρα ἡμῖν ἔννοια ἑρμηνείας ἐπὶ τῷ μοναχῷ, τῷ ἀξυμβλήτῳ πρὸς τοὺς λοιπούς, τῷ ἀσυγκρίτῳ, τῷ ἀσυνδυάστῳ, [Ms. fol. 209. b.] || καὶ δι' αὐτὰ μονάζοντι κατ' ἐξοχήν, ὡς ἐῤῥέθη, ἐνάρετον, οὐ μὴν τυραννιῶσαν ὡς δοκεῖν τὸν κειράμενον μόνον οἰκεῖν ἐπὶ τῆς γῆς, μήπου δὲ καὶ συνθλίβεσθαι, μὴ χωρούμενον ἐν αὐτῇ. Φάναι δὲ κατὰ τρίτην ἐπιβολὴν ἐτυμότητος, ὡς τῇ τοῦ μοναχοῦ κλήσει τὸ ἄχος ἔγκειται, εἰς ἔνδειξιν τοῦ καὶ μονοῦσθαι αὐτόν, καὶ ὀφείλειν ἄχνυσθαι λόγῳ πενθίμου βίου τοῦ κατὰ τὴν κουράν — ἐπιστρεπτικὸν μὲν ἐστι τοῦ μονάζοντος εἰς ταπείνωσιν, λογοπραγηθήσεται δέ, γραφὲν τολμηρίας, παρά γε τοῖς καὶ τὰ τοιαῦτα κριτικοῖς.

164. Ἐνταῦθα δὲ λόγου ἐλθών, ὦ ἀδελφέ, πυνθάνομαί σου, εἰ πρὸς ἀκρίβειαν καθέστηκέ μοι ταῦτα; Δοκήσας δὲ ἀκοῦσαι, ὡς ἠκριβωσάμην τὸ λαληθέν, προςεπερωτῶ σε, καὶ ποῖον ἂν ἔχοι τις ψόγον, καθαπτόμενος μοναχοῦ εἰςαγωγικοῦ, τοιούτου μὲν καὶ αὐτοῦ ἐποφείλοντος εἶναι, ἀλλοίου δὲ ἀπεκβαίνοντος εἰς τὸ παντελές; Δοκῶ μοι κἀνταῦθα ἐνηχεῖσθαι, ὡς ἐπαινετέος καὶ ὁ τὸν τοιοῦτον μοναχὸν ἐπισκώπτων, καὶ οὕτως ἀνακόπτων τῆς ἐπὶ τὰ φαῦλα ὁρμῆς· πολλῷ δὲ μάλιστα καὶ ὁ τὸν πολυχρόνιον. Καὶ ἐπὶ τούτοις ὁμολογῶ τοιοῦτος καὶ αὐτὸς εἶναι λίαν μάλα, ὡς καὶ εὖ εἰδώς, χρῆναι κατ' ἴχνη τῷ μεγαλοσχήμονι τοὺς μὴ τοιούτους ἐπακολουθεῖν, καὶ παρηγγελμένος ἐκ θεοῦ, παρακαλεῖν ἐν τοῖς τοιούτοις πνευματικῶς, καὶ ἐλέγχειν, καὶ ἐπιτιμᾶν.

165. Ἢ τίς ἂν παρεστηκὼς θρόνῳ αἰσθήσεως, καὶ βλέπων τοὺς ἐν ἡμῖν φορτικοὺς πρωτοπείρους τοῦ μονάζειν, καὶ ἄλλως μικροσχήμονας, δυνήσεται ψυχὴν ἀθορύβητον ἔχειν, καὶ μὴ προςεπιμέμφεσθαι καὶ τὸν ἐν αὐτοῖς ὁπωςοῦν μέγαν, ὃς βλέπων τοὺς ἀτελῶς ἀρτιμαθεῖς ἐξοκέλλοντας εἰς ἀπώλειαν, οὔτε ἀναχαιτίζει φριμασσομένους, ἀλλὰ καὶ προςερεθίζει κεντρίζων, καὶ φιλοτιμεῖται τὸ κατ' ἐκείνους ἄστομον καὶ δυςήνιον, ἐναγλαϊζόμενος αὐτὸς τῇ κατ' αὐτοὺς γενναίᾳ θρασύτητι· ὡς οὐδὲ στρατηγὸς ἐλλάμψεται μαχηταῖς ἀνδρικοῖς ὑπ' αὐτῷ τεταγμένοις· καὶ τιθέμενος ἐν σπουδῇ περιουσιάζεσθαι τοιοῖςδε μαθηταῖς, ὅθεν καὶ τὴν ἀρχὴν μανθάνων φαυλεπιφαύλους εἶναι τούς, ὡς εἰπεῖν, προσηλύτους ἐπὶ σωτηρίῳ κουρᾷ, οὔτε φυλοκρινεῖ τὰ κατ' αὐτοὺς ἤθη, οὔτε καταρτίζων ἀσφαλίζεται εἰς ἐπιστροφήν, ἀλλ' αὐτὸ τοῦτο στρατηλατικῶς ὑπειπὼν ὁ ψυχικός, ὁ τῆς εἰρήνης, ὁ τῆς ἀγάπης, ὁ τοῦ θεοῦ, ὡς ἡ μονὴ καὶ τοιούτων διακονητῶν δέεται, ὡςεὶ καὶ τύραννος, οἶμαι, δημίων, προςίεται τοὺς ἐξώλεις ὡς δηλαδὴ τοιούτους, καὶ σωμασκεῖ ἐπιμελῶς, οὓς ἐχρῆν διὰ βίου ἢ ἀκειρεκόμας μένειν, εἰ καὶ ἐβιάζοντο τὴν κουράν, ἢ ἀλλὰ κατὰ κακούργους κείρεσθαι· καὶ πρὸ προςώπου τίθεται, καὶ ἐκτρέφει ἀναλόγως, οἷς ἠθικεύονται· καὶ σωματοφύλακας ἐφιστᾷ ἑαυτῷ, εἰς ἀνδρίαν ἐξασκῶν;

166. Καὶ τοιοῦτοι μὲν προςερχόμενοι τῷ τῶν ψυχῶν καθηγητῇ παραδέχονται, ὀνομαζόμενοι ἐνεργεῖς, καὶ σπουδαῖοι, καὶ ἐντρεχεῖς, καὶ πραγματικοί, καί, ὡς αὐτοί φασι, ζῶντες. Εἰ δὲ ἀνάπαλιν ἤθους τοιούτου ἔχουσιν, ἐκδιώκονται ὡς ἀχρεῖοι· ἵνα μὴ κηφῆνες αὐτοὶ ἀεργοὶ μοναστηριακοῖς ἐντρέφωνται σίμβλοις. [Ms. fol. 210. a.] || Καὶ δὴ στρατολογήσαντες τοιοῦτον στῖφος οἱ πρωτομόναχοι, καὶ τάξιν ἄτακτον φατριάσαντες, ἐπακμάζουσιν οὐ μόνον κατὰ τῶν γειτόνων, ἀλλὰ καὶ τῶν, ὅσοι ποῤῥώτερον· καὶ νικῶσι διὰ τῆς τοιαύτης ἐκτάξεως οἱ κύριοι καθηγούμενοι, ῥᾷον ἀπηρτικότες τὴν ἐπισύστασιν. Τῷ ὄντι γάρ, ὅτ' ἂν εὐλογητὸς ἡ ἁμαρτία εἴη, καθά τις ἔφη, πολλὴ καὶ λογὰς ἡ στρατολογία κατὰ τῆς ἀρετῆς ἐπισυνίσταται· ὃ δὴ καὶ οἱ παρ' ἡμῖν ποιοῦντες, ἀρχέτυπον καὶ ἄλλοις τῶν παρακειμένων μοναχῶν πρόκεινται κανόνι φαύλης ἔριδος, ἄλλων ἄλλοις διαπεμπομένων τὴν μίμησιν· δι' ἧς ἐμπρησμοῦ δίκην ἐπινεμομένου τὰ κύκλῳ, ἡ κακία προϊοῦσα δεινὰ ποιεῖ. Ἔρις γὰρ ἐξαπτομένη ἐν τοῖς προάρχουσιν, ὧν ἔνιοι καὶ μεγαλοσχήμονες, πυρσοῦ δίκην καταμηνύει τοῖς ἑκασταχοῦ τοὺς περὶ ἕνα τινὰ τόπον ἀνδριζομένους μοναχοὺς κατὰ τῶν ἢ γειτνιώντων, ἢ ἄλλως μὲν ἀφεστώτων, περιβλεπομένων δὲ τοῖς ὑψηλοῖς, καθηγουμένοις ὡς ἀπὸ σκοπιᾶς.

167. Καὶ συχνὸν ἐν τοῖς τοιούτοις ἐκ τοῦ πυρσεύματος νόημα ἡ ψυχὴ φανταγωγεῖ τό· „εἰ δὲ Θεσσαλονίκη οὕτως ἀνδρείους ἐκτρέφει μοναχούς, οἳ καὶ

κατὰ κανόνων καὶ νόμων ἀνδρίζονται, καὶ τὸν ἀρχιερέα περιφρονοῦσι, καὶ οὐδεὶς οὐδὲ λόγον ἀνταίρει πρὸς αὐτούς· τί δή ποτε ἡμεῖς ἐνεοὶ καθήμεθα, ὡς οἷα καὶ ἐκπεπληγότες, καὶ μηδὲ χερσὶ καὶ στόμασι διοικούμενοι;“ Καὶ αὐτίκα τὸ τῆς ψυχῆς θυμούμενον, εἴ που καὶ ἐκοιμᾶτο, ἀφυπνίσαντες, καὶ ὅσα δεινὸν ὁπλίτην ἢ στρατηγὸν (καθά τις ἐφιλοσόφησε) καταφράξαντες χορηγίᾳ παντευχίας, ὁποίαν αὐτοὶ μεθοδεύειν κακομηχάνως οἴδασιν, ἀποκαθίστανται εἰς ἱεροῦ τινος πολέμου στρατιάν. Καὶ ὅσον μὲν ἐν αὐτοῖς μεγαλόσχημον καὶ ἡγουμενικόν, ἐλλοχῶσι κατὰ τῶν οὐδὲν μὲν αἰτίων, προσδοκωμένων δὲ ἀντιβήσεσθαι, εἰς ἐμφανὲς προστησάμενοι τοὺς λοιπούς. Εἰ δέ που καὶ φωραθῶσι, λόχου δίκην ὑποκαθήμενοι, ἐκπηδῶσι καὶ αὐτοὶ καὶ καταστάντες εἰς μέτωπον, καὶ τὴν τάξιν κοσμήσαντες, ἐπαφιῶσι τὴν μικροσχήμονα φάλαγγα, καὶ ἀνύουσι δι' αὐτῶν, εἰ καὶ μὴ τὰ θεληταὰ σφίσι διὰ τὴν ἐκ θεοῦ καὶ βασιλέως ἁγίου ἐπικουρίαν, ὅσα γοῦν, δύνανται. Οὐ μὴ γὰρ φείσωνται ψυχαὶ τοιαῦται, εἰ μὴ καὶ θανατώσουσιν. Οὗτος ὁ ζῆλος ὁ εἰς κακὸν ἐξώλεσε τὰ ἐν ἡμῖν, εἴτε ἐντεῦθεν ἀρξάμενος, καὶ διαδοθεὶς ἕως καὶ εἰς Μυρτῷον αὐτὸν κόλπον, καὶ τὸν ἐπέκεινα Μαλειακόν, καὶ τὸν ἔτι πορρωτέρω Ἰόνιον, καὶ οὕτω τὰ ἑσπέρια περιζώσας· ἢ τυχὸν ἐκεῖθεν διαβὰς ἐπὶ τὰ καθ' ἡμᾶς, ὡςεὶ καί τι λοιμῶδες κακόν, ὁποῖον καὶ τὸ πάλαι ποτὲ συγγεγραμμένον Αἰθιοπικόν.

168. Ὢ τοῦ τῶν Μελαγχλαίνων τοῦδε φωσσάτου. Ὢ τῆς τῶν κεράτων ποικίλης διασκευῆς. Ἐῶ τοὺς Ms. fol. 210. b. ψιλοὺς καὶ πεζαιτέρους. Ἀλλ' ὦ τῶν ἱππι || κωτάτων μοναχῶν, τῶν οὐ παραπολὺ Κενταύρων, ὧν ἐκεῖνο καὶ μόνον θαυμάζειν ἄξιον, ὡς οἱ μηδέποτε εἰς ὄνον γοῦν ἀναβεβλημένοι, δεξιοὶ τὰς ἱππικὰς ἐξελίξεις μετὰ τὴν κουρὰν ἀπεκβεβήκασι, δαιμονοφόρητον ἱππασίαν ταύτην δεδιδαγμένοι· οἷς ἀεὶ δι' ἐφέσεως ἡ πνευματικὴ μὲν οὔκουν ἀνάβασις, ἡ δὲ παρ' αὐτήν. Πρόφασις τοῖς ἄλλοις οὐδὲ ἡμιόνοις ἐθέλουσι χρῆσθαι, ἀλλὰ δι' ἵππων εὐγενῶν κατοχεῖσθαι πραγματεύονται, καὶ αὐτῶν ὠκυπόδων καὶ δρομάδων, ὁποίους νικηφόρους ἡ ἀντιπαρεξέτασις ἐπιλέγεται· ὡς ἐξανεμοῦσθαι εἰς τάχος, εἴ που διώκειν ἢ φεύγειν δεήσει. Βαρύνουσι δὲ καὶ τὴν δεξιὰν κορύναις, μήπου καὶ ἀνδραχθέσιν, οἱ βριαρόχειρες· καὶ εἴ τις αὐτοῖς ἐμπελάσει μισούμενος, καταφέρουσιν ἀφορήτους· καὶ συντρίβοντες τὸν πληγέντα, εἶτα καυχῶνται, ὡς γενναῖοι καὶ παλαμναῖοι πεπλασμένοι, αὐτοὶ πάντως τηνικαῦτα ὑπὸ τοῦ πολεμίου πληττόμενοι δαίμονος· ὃς ἀνδρίζεται κατ' αὐτῶν.

169. Πολλοὶ δὲ τῶν τοιούτων καὶ τοξοφοροῦσι, καὶ ἀφιᾶσι βέλη· καὶ ἐπιτυχόντες ἀνακαγχάζουσι. Γελῶνται δὲ ἄρα τότε αὐτοὶ ὑπὸ τοῦ ἐξ ἀφανῶν βάλλοντος δεινοῦ τοξότου, ἤδη δὲ καὶ δυνατοῦ, εἰ καὶ ἄλλως ἀσθενῆ αὐτοῦ τὰ τόξα ἐπὶ τοῖς δυνατοῖς τοῦ θεοῦ. Εἰ δὲ τοῖς ἐπαγγειλαμένοις μονάζειν ἔπεισι, καὶ λαϊκοὺς ὁπλοφόρους ἔχειν ὑπασπιστάς, ἔχοιεν ἂν ἴσως αὐτὸ ἀπόλογον τὸν ὡς ἐπὶ ἀσφαλείᾳ τῇ καθ' ὁδόν. Καθυλακτοῦσι δὲ τῆς τοιαύτης ἀπολογίας οἱ ὀπαδοὶ κύνες, οὓς ἐπισύρονται ἀγρεύοντες· κατακλάζουσι δὲ καὶ οἱ θηρατικοὶ ὄρνις, οὓς ἐπὶ χειρῶν αἴρουσιν, ἵνα συνεπιλαμβάνωνται τῆς θήρας αὐτοῖς. Οἷς καὶ πλατὺς αὐτῶν καταχέεται μῶμος πρὸς τῶν ὁρώντων αὐτοὺς οὕτω παροδεύοντας· εἴπερ ὁ μέν τις ἐκείνων ὁδοῦ σπουδαίας γίνεται, ὁ δὲ ἀρότρῳ σχίζων τὴν γῆν καταστάζεται ἱδρῶτι· ὁ δὲ σπέρμα μερίζων πονεῖται, ἢ σκάπτων ἄλλως ἐπὶ φυτείᾳ, καί τις λαχαίνων φυτά, καὶ δρυτομῶν ἄλλος, καὶ λοιποὶ τοιοῦτοι πενόμενοι πολυειδῶς, καὶ οὕτω τὴν σάρκα τήκοντες εἰς δέον, καὶ ὡς οὐκ ἂν οὔτε ἄνθρωπος ψέγοι, οὔτε θεὸς ὀργίζοιτο· οἱ δὲ τῷ κόπῳ ἐστοιχημένοι, καὶ τοῖς ὑπὲρ ἀρετῆς ἱδρῶσιν ἀποκεκληρωμένοι, ὡς καὶ ὀφείλειν θνήσκειν, οὕτω περιϊᾶσιν ὡπλισμένοι κατά τε ἀνθρώπων, κατά τε θηρῶν, τῶν τε περὶ γῆν, καὶ ὅσοι δὲ ἀέριοι φέρονται. Ἡρακλέες αὐτοὶ ἄλλοι, μήτι δὲ καὶ ὑπὲρ ἐκεῖνον τὸν παλαιόν. Καὶ τοῦτο ἐπιψόγως. Ὁ μὲν γὰρ φαύλους ἀνθρώπους, καὶ ἀδικοῦντας θῆρας, καὶ πτηνὰ βλάπτοντα ἐκ μέσου ἀπῆγε μόχθῳ πάνυ πολλῷ, καὶ αὐτὰ οὐδὲ ἑκών· ἀλλὰ ἀναγκαζόμενος μέν, μὴ ἔχων δὲ ἀντιβαίνειν τῷ ἐπιτάσσοντι. Αὐτοὶ δὲ τρυφῆς ἀκαίρου χάριν ἑκούσιοι τὰ μηδὲν αἴτια καταβάλλουσιν, οἱ ὑπερκόσμιοι, καὶ αὐτοὶ τῇ κατ' ἀρχὴν πνευματικῇ προθέσει (κοσμικοὶ γὰρ πῶς ἂν εἶεν οἱ διὰ κουρᾶς ὅσιοι τῷ θεῷ;), οἱ ἐκλεκτοὶ (ὄφελον) τῷ κυρίῳ, εἰ καὶ αὐτοὶ || ἐθέλουσι τοῖς φαύλως ἡγουμένοις αὐτῶν. Ms. fol. 211. a.

170. Ἢ οὐκ οἶδας, ὦ εἰςαγωγικὲ μοναχέ, ὅτι καὶ σὺ μετὰ τὴν ἐπίσημον μέν, λεπτὴν δὲ καὶ ἀπεριλάλητον κουρὰν αὐτίκα τῷ θεῷ καθωσιώθης; Διὸ καὶ προσφυῶς ψάλλοις ἂν τό· μηδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐδουλώθης ἤδη οὐ πρὸς βίαν, ἀλλὰ ἑκών. Προτέτακται ὁ πάντιμος σταυρός, ὃν προςκυνητῶς ἐπ' αὐτοῦ προσώπου ἐχάραξας. Οὐκ ἀπελιμπάνοντο οὐδὲ ἀπὸ σοῦ οἱ ἐν τῇ δουλώσει μάρτυρες, ὧν οὐκ ἔστι καθικέσθαι παραγραφήν. Ἄγγελοι πρὸ χειρῶν, καὶ τὸ σὸν φέρουσι δουλόσυνον ἔγγραφον. Μὴ γὰρ νόμιζε, μηδὲ τὰ κατὰ σὲ εἰςαγωγικὰ θεῖα μυστήρια εἶναι θεῷ καὶ τοῖς αὐτοῦ ἀγγέλοις ἀνεπισκόπητα. Τί γοῦν οὐ προςτίτησας τῇ εὐηρεστημένῃ

σοι δουλείᾳ, καὶ προςμένεις τῷ δεσπότῃ μονάζων, ἀλλὰ ἀφηνιάζεις; Καὶ ὡς οἷον ἐκλαθόμενος δοῦλος εἶναι, τολμᾷς ῥέμβεσθαι καὶ πλάζεσθαι; Ἐκ πλούτου ἥκεις ἐπὶ τὴν μονήν· καὶ χαῖρε, ὅτι δεσπότην εὗρες ὑπέρπλουτον, ὃς ἐν τοῖς αὐτοῦ ἀποκαταστήσας καὶ σέ, οὐκ εἰς τὸ πρώην καταδέξεται πλοῦτον ἐπαναγαγεῖν σε τὸν περιπέζιον, ἀλλ' εἰς βασιλέα προχειρίζεταί σε· καὶ οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν κατ' αὐτόν. Ἀλλ' ἐκ πενήτων προςῆλθες· καὶ χαῖρε καὶ οὕτως. Οὐ γὰρ ἀφήσει πτωχόν σε εἶναι ὁ παμβασιλεύς, ἀλλὰ καὶ προςβιάσεται βασιλικῶς πλουτῆσαι, εἰ ποιεῖς μονὴν παρ' αὐτῷ. Προςῆλθες ἄδοξος· καὶ δοξάσει σε. Ἀλλ' ἔνδοξος· καὶ ὑπερδοξάσει σε. Μέγα καὶ τὸ σὸν ἀξίωμα, ὦ εἰςαγωγικέ. Ἤδη γὰρ εἰς βασιλικὴν ἐνεγράφης ὑποταγήν. Καὶ τοίνυν οὐαὶ τῷ ἐκεῖθεν ἀποσπασομένῳ καὶ ἀπάξοντί σε. Τίς δὲ τοιοῦτος ἔσται, ὅτι μὴ μόνος ὁ τοῦ σκότους ἄρχων, ὁ σατανᾶς, εἰ μὴ ἐγκρατῶς τῷ θεῷ προςτέτηκας;

171. *Ἵνα δὲ γνῷς, ὡς οὐκέτι ἔστι τοῦ κόσμου ἄνθρωπον εἶναι οὐδὲ τὸν κατὰ σέ, πειράθητι ἀπεκδύσασθαι τὸ ἱερὸν ἐν σοὶ ἄμφιον· καὶ μάθῃς ἂν ἐξ αὐτῶν ἔργων, ὅτι οὐδὲ μυρία σπουδάζων ἀποδοθῆναι τῷ κόσμῳ κατὰ κανόνα δύνασαι. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὸν ἀνατεθειμένον τῷ θεῷ κατὰ σὲ ἀποστασίαν τολμῆσαι, ὅτι μὴ μετὰ ἀναθέματος. Ἄφες τοίνυν τὸν ἡγούμενον, ὅτε σοι τὰ πρὸς ἁμαρτίαν κοσμικὰ ἐπιτέλλεται λαλεῖν ἁπλῶς. Οὐ γὰρ ἐτάχθης εἰς αὐτόχρημα δοῦλον ἐκείνου, ἀλλ' εἰς ἀδελφὸν καὶ σύνδουλον, μᾶλλον μὲν οὖν εἰς μαθητήν. Μαθητὴς δὲ οὐδείς, Χριστὸν εἰδώς, ἀλλοτριόφρονι διδασκάλῳ πείθεται. Οὐδὲ μὴν ἀγαθοῦ δεσπότου δοῦλος μὴ πονηρὸς ὁμοδούλῳ ὑπείκει ἐπιτάσσοντι πράξεις, δι' ὧν ὁ δεσπότης λυπήσεται. Καὶ ἀδελφὸς δὲ συνετὸς εἴη ἂν μακρὰν κρίματος, μὴ ὑπακούων ἀδελφῷ ἄφρονι ἐρεθίζοντι κατὰ τοῦ κοινοῦ πατρός. Οὐκοῦν καὶ σὺ ὁ τῆς εἰςαγωγῆς, εἰ τὸν ἐν οὐρανοῖς ἡμῶν πατέρα φιλεῖς, εἰ μὴ ψευδῆ τὴν ἀπόνηρον δουλείαν, εἰ πρὸς τῷ μεγίστῳ διδασκάλῳ τὸν νοῦν ἔχεις, κανονίζοντι μὲν ὀρθῶς τῷ προηγουμένῳ ἐφέπου, ὅσα καὶ δοῦλος ἀγαθός, ἅμα καὶ ὡς ὑπὸ δεσπότῃ αὐτῷ ||* Mo. fol. 211 b. *ταττόμενος, καὶ ὡς πατέρα ἤπιον ὑπεραγαπῶν. Εἴτε δὲ τῆς δεξιᾶς ὁδοῦ ἀποπλανῶν, προςβιβάζει σε εἰς ἐπαρίστερον, καὶ τοῖς ὀρθὰ φρονοῦσιν ἄτρεπτον, κατάστηθι, παῤῥησίασαι μετ' εὐλαβείας· ἀλλὰ ταύτην παῤῥησίαν, ἣν οὐδεὶς ἀπαρνεῖται. Ἱκέτευσον, δικαιολογήθητι πνευματικῶς. Αἰδέσεται σου ἢ τὸ παῤῥησιαστικόν, ἢ τὸν ἱκέσιον, ἢ τὸ δικαιολόγημα. Ἐὰν δὲ εἴπῃ, μὴ χρῆναι παῤῥησιάζεσθαί σε, ἀναδίδαξον ἐκεῖνον, ὡς ἄλλη μὲν ἡ παῤῥησία, ἣν αὐτὸς μεγαλοσχήμων εἶναι λαχὼν ἀπείπατο, καθὰ προδεδήλωται· ἄλλη δὲ ἡ νῦν ἀπὸ σοῦ πρὸς ἐκεῖνον. Ἐκείνη μὲν γὰρ τόλμαν οὐκ ἔλλογον ἐξέφαινεν, αὕτη δὲ εἰς ἔκκλισιν ἀπονεύει κακοῦ. Ἐὰν δὲ αὖ πάλιν ἐκφοβῇ ἐκεῖνος, ἐπαγαγὼν τό· υἱὸς πατρὶ δίκαια λέγων τεθνάτω, ἐθέλων πατραλοίαν ἀποκαθιστᾶν τὸν οὕτως αὐτῷ ἀντιτείνοντα, ἔασον παραλαλεῖν ὡς μηκέτι φρενήρῃ, ἀλλὰ παρανοοῦντα, ὅ τί ποτέ ἐστιν, ὃ λέγει. Οὔτε γὰρ τοιοῦτος πατὴρ αὐτός, ᾧ μὴ ἔξεστιν ὅλως υἱὸν ἀντιλέγειν· οὔτε οἱ σοὶ λόγοι κατὰ τὰς πρὸς πατέρα ἐκεῖνον ἀντιλογίας εἰσί. Καὶ οὐδὲ ὁ μέγιστος πατὴρ ὀκνεῖ ἐπιτάσσων, παραίτησιν· ἀκούειν, οὐδὲ θανατοῖ, οὐδὲ μὴν ἀπωθεῖται· ἀλλὰ πείθει πρὸς ὑπακοὴν τὸν παραιτούμενον· καὶ ταῦτα, μηδὲ ἀκούων ἐξ ἐκείνου δίκαια. Μὴ τοίνυν ὑπάκουε, φαύλοις ἐμβιβαζόμενος ἔργοις, ἀλλὰ ἐλευθερίως ἀποδυσπέτει καὶ ἀληθῶς. Εἰ δὲ εἰςέτι ὁ πατὴρ ἔγκειται, ἀποπήδησον ἐξ ἐκείνου ὡς ἀπὸ πυρός, φθάσας τὴν ἀποκήρυξιν. Καὶ ἐπαναστὰς πατρὶ τοιούτῳ, καὶ ἀπειπάμενος αὐτόν, ὡς εἰ καὶ παρανοίας ἑάλω, γενοῦ τοῦ πρώτου καὶ μόνου καὶ πρὸ πάντων πατρός, καὶ ἔλπισον ἐπ' αὐτόν. Καὶ αὐτὸς ποιήσει· ᾧ καὶ τὴν ἀρχὴν προςήνεγκας σεαυτόν, τὰς κατὰ κόσμον ἐπιθυμίας ἀπολιπών· οὗ σύμβολον καὶ ἡ τῶν τριχῶν ἀπόθεσις, χρήματος ἄλλως μὲν ὀλίγα συντελοῦντος, ἐπιθυμητοῦ δὲ λίαν πάνυ τοῖς ἐν βίῳ τρυφῶσι· διὸ καὶ ἀπολιπούσας τὴν κεφαλὴν ἐκείνας ἐπιποθοῦσι. Καὶ εἴ τις αὖθις αὐτὰς εὐτυχήσει ἀναλαβέσθαι, αὐτὸς μὲν χαίρει, ὡς εἰ καὶ ἑρμαίῳ πολυτιμήτῳ περιτύχοι· μοναχὸς δὲ ὁ κυρίως εἴπερ αὐτὸν οὕτω διατιθέμενον εὕροι, μέμφεται τῆς εἰς μάτην χαρᾶς.*

172. *Εἰ μὲν οὖν, ὦ τῆς ἀρχῆς μοναχὲ καὶ τῶν προτελείων, κατ' ἴχνη βαίνειν ἐθέλεις τῶν εἰς θεὸν ὁδεύειν προθεμένων, καλῶς ἀπέθου τὴν κοσμικὴν τρίχα ἐπ' ἀγαθῷ συμβόλῳ. Εἰ δὲ ἀπ' αὐτῆς εἰςόδου, ὡς οἷα παρὰ θύραν ἥκων ἐπλαγίασας, ἀφέμενος τῆς εὐθείας, μάτην ἐψιλώθης τῶν τριχῶν. Κρεῖττον γάρ σε βαρεῖσθαι ταύταις καὶ ὑπὲρ τοὺς χαιτήεντας ὁποιδήποτε γῆς καὶ καλλίτριχας, καὶ οὕτω παραφαίνειν τι σεμνόν, ἤπερ τῇ πολιτείᾳ μὲν αἰσχύνειν τὴν ψυχήν, τῇ δὲ τῶν τριχῶν ἀποθέσει τὴν κεφαλήν. Καὶ μὴν οἱ πλείους ||* Mo. fol. 212. a. *παρανομεῖτε κἀνταῦθα, τρέφοντες κόμην καὶ ὑπὲρ τὰς κοσμικάς· τὴν ἀρχὴν μὲν Κουρῆτες τινὲς φαινόμενοι, μικρὸν δὲ ὅσον Ἀκαρνᾶνες ἀπεκβαίνοντες οἱ καθ' ἱστορίαν· καὶ αὐτὸ οὐχ ὡς μέχρι ποδῶν ἀφεῖναι καθερπύσαι τὰς τρίχας· ὃ δὴ πνευματικὴ περιφρόνησις κόμης ἀπετέλεσε παρὰ τοῖς πάλαι ἁγίοις· οἳ λασιούμενοι ταῖς θριξίν, εἰς σκέπην οἷον αὐτὰς περιεβέβληντο σώματος, αὐτοφυῆ τινα χιτῶνα τεχνασάμενοι*

τοῦτον, ἐκ τῶν ἄνω, εἰ καὶ μὴ ὑφαντόν, ἀλλὰ καινῶς κάθετον ὡς εἰς ποδήρη. Οὐ τοίνυν κατὰ τοὺς τοιούτους ἀμνοὺς τοῦ θεοῦ καὶ οἱ καθ' ἡμᾶς κομῆται μοναχοὶ πυκνῷ οὕτω βρίθονται τῷ μαλλῷ, ἀλλ' ὥςτε τὸ ὑπὲρ κεφαλῆς μέλαν περίθεμα καλλύνειν ὡραιότερον. Πολλοὶ γοῦν ἐν τοῖς τοιούτοις καὶ τὸ στρεψίμαλλον δεξιῶς πραγματεύονται, σοφιζόμενοι οὕτως καὶ τὸ μὴ βαθεῖαν τὴν κόμην προφαίνεσθαι, καὶ καταγελᾶσθαι τοῖς βλέπουσιν. Ἔνθα τις ἔχοι ἂν ὀρθῶς ἀποφήνασθαι, ὅτι μοναχὸς μὴ τὸ περιττὸν ἀποτιθεὶς τῆς τριχός, σχολῇ γ' ἂν ἄλλο τι βιωτικὸν ἀποθήσεται.

173. Ταῦτά σοι τῷ εἰςαγωγικῷ προςλαλήσας ἀδελφικῶς πρὸς ὠφέλειαν, ἀναβαίνω πρὸς τὸν ὑψηλότερον, τὸν οὐκέτι κατὰ σὲ ψιλὸν ὁπλίτην θεοῦ, ἀλλὰ ἤδη καὶ θωρακισθέντα, καὶ εὐχὴν δεξάμενον, μορφωθῆναι δι' ἔργων ἀγαθῶν ἐν αὐτῷ τῷ σωτῆρι Χριστῷ, καὶ αὐτίκα σημειωθέντα, οἷς εἰς ὄνομα τῆς ἁγίας τριάδος ἀπέθετο τὴν περιττὴν τρίχα ὡς ἐπὶ πένθει, καὶ τὸν ἱερὸν μανδύαν ὅσα καὶ θώρακα στεῤῥὸν περιθέμενον, καὶ οὕτω μέσον οἷον θεοῦ καὶ ἀνθρώπων γενόμενον θεοῦ, τοῦ ἐνθέου μεγαλοσχήμονος ἀνθρώπων, τῶν ἔτι κατωτέρω διὰ εἰςαγωγικῆς, καὶ στρεφομένων περὶ τοὺς τῆς ἀρετῆς πρόποδας· ὃς τῷ τῆς μεσότητος λόγῳ κεκραμένος ἐπ' ἄμφω τῇ ἑκατέρων τῶν ἄκρων μετοχῇ, καὶ σοῦ μέν, τοῦ ἔτι ἐν εἰςαγωγαῖς, πολὺ πλέον τὸ πρεσβεῖον αὐχῶν, τῷ δὲ τελείῳ ὑποβεβηκὼς μακρῷ διαστήματι, ὅμως ἔχει θεωρίαν διαιρετικήν. Μανδυώτης μὲν γὰρ ἁπλῶς μένων, ἀκραιφνῶς ἐστι μέσος. Καὶ μικροῦ δέω εἰπεῖν· ὅσον αὐτὴ ἠλάττωται τοῦ μεγίστου, ἐς τόσδν ὑποκάθηταί σου. Εἰ δὲ κορυφαῖος αὐτὸς γένηταί τινος ἀδελφότητος, τότε δὴ οὐκ αὐτὸ δὴ τοῦτο μέσος ἔλαχεν εἶναι, μιᾷ μὲν οἷον χειρὶ τοῦ ἀνωτάτω δραττόμενος, ἑτέρᾳ δὲ τοῦ πάντη κάτω κατὰ εἰςαγωγὴν λαμβανόμενος· ἀλλ' ὑπεραναβὰς τὸ κοινῶς μέσον, προςκυρεῖ τῷ ὑψηλοτάτῳ, καὶ μικρᾷ τινι βαθμίδι καθυφίεται τοῦ σχεδόν τι οὐρανίου διὰ τὸ ἱκανῶς πεφιλοσοφημένον ἐπάγγελμα· καὶ δυσὶν οἷον πτέρυξι, τῇ τε μανδυωτικῇ καὶ τῇ καθ' ἡγουμενείαν, ἐλαφρίζεται εἰς ἐγγύτητα μεγαλοσχήμονος. Καὶ ἔχει θαῤῥοῦντως ἐρίζειν ἐκείνῳ τοῦ τε κλέους καὶ τοῦ ὕψους, φιλόνεικος μὲν ὢν τοῦτό γε, τόπους δὲ ἐξευρίσκων ἐπιχειρηματικούς, δι' ὧν ἁμιλλᾶται τὴν ἐξίσωσιν, ὧν κραταιότερος || Ms. fol. 212. b. ὁ κατὰ τὴν ποιμαντικὴν προστασίαν· δι' ἧς βαρὺν ζυγόν, ὅτι καὶ πραγματικόν, ἀνεδέξατο.

174. Τοῦτον δὴ τὸν αἰθεροβάμονα μανδυώτην ἡγούμενον, ὃς καθ' ἑτέραν μετάβασιν εἰς οὐρανὸν αὐτὸν ἀναβαίνει διὰ τοῦ μεγάλου σχήματος, τὸ μὲν πρᾶγμα, καὶ ὀρθὸς κανών, καὶ ἡ κατὰ θεὸν ἀκολουθία μέγαν ἀπαιτεῖ ἄνθρωπον εἶναι, καὶ οἷον οὐδὲ βραχύ τι ἀγγέλου ἠλαττῶσθαι, τοῦ ἐνθεωρουμένου, ὅσα καὶ ἀνθρωπίνῳ ἀρχετύπῳ, τῷ μεγαλοσχήμονι. Ἐκεῖνος γὰρ πρὸς αὐτὸν ἄγγελον κανονικῶς ἐκτετύπωται. Τοιοῦτος δὲ ἀπαιτούμενος καὶ φαίνεσθαι καὶ εἶναι ὁ μικροσχήμων μέν, καθηγούμενος δέ (ὃς καὶ αὐτὸς ἤδη κατὰ τὸν μέγαν ἐσχημάτισται, μάλιστα μὲν οὖν, ἀκριβέστερον εἰπεῖν, μεμόρφωται χαρακτῆρι θείῳ, εἰ καὶ μὴ πρὸς τὴν ἐκείνου μεγαλειότητα), ἐν μὲν τῇ περιωνύμῳ τῶν πόλεων, καὶ ἐν ἄλλοις δὲ τόποις, ὅσους τοὺς μὲν πλείω ἐξ ἱστοριῶν, ἐνίους δὲ καὶ κατ' ὄψιν ἔγνωμεν, ἐκπληροῖ τὴν ἀπαίτησιν· καὶ μετὰ δεύτερον οἷον οὐρανόν, τὸν παντέλειον μοναχόν, δεύτερος αὐτὸς ἐκτέταται, ὡς εἰ καὶ μετὰ τὴν ἀπλανῆ αὐτὸς ἀπεσφαίρωτο.

175. Ἐν δὲ τοῖς καθ' ἡμᾶς οὐκ ἔχω διαλευκᾶναι πρὸς ἀλήθειαν, ὁποῖός τις ἐξήπλωται καὶ ποδαπός. Ἐπαγγέλλεται μὲν γάρ, καὶ ὑπὲρ τὸν πρῶτον οὐρανὸν εἶναι πρὸς ὁμοιότητα ὑδάτων τῶν ὑπεράνω τοῦ οὐρανοῦ, πρωτεύειν αὐτὸς ἐν ἅπασιν ἀνθρώποις οἰόμενος· διεκφαίνεται δὲ κατά τινα παροιμιακὸν Αἰγινήτην (μάλιστα μὲν οὖν Αἰγιέα) οὔτε δεύτερος, καὶ οὐδὲ τρίτος, ἢ ἄλλος πολλοστός. Ψεύδεται μὲν γὰρ ἐμφανῶς τὸν μεγαλοσχήμονα — οὐκ οἶδα πότε — κατ' ἐκεῖνον ἀπὸ κατηχουμένου, ὃ δὴ καὶ αὐτὸ γράφεται, εἰς νεοφώτιστον σχολαστὴν ἀποκαταστησόμενος, καὶ τῇ ἐν ἑπτὰ ἡμέραις ἐκ τῶν ἔργων σχολῇ ἀποτελευτήσων εἰς τὸν παντελῶς ἀναμάρτητον ἄνθρωπον· ὡς ἐκδυσόμενος μὲν τότε τὸν παλαιόν, ἐνδυσόμενος δὲ τὸν νεοίτατον, καὶ ἀναπλασθησόμενος εἰς τὸ κατ' εἰκόνα θεοῦ. Μήποτε δὲ ἡ ἐν αὐτῷ μοχθηρία οὐδέποτε ἀφήσει αὐτὸν ἀνανῆψαι τοῦ πολλοῦ κάρου, καὶ τοῦ παροίνου βίου, καὶ τῆς ἐκεῖθεν μέθης, καὶ ἀναφρονῆσαι, ὥςτε σωθῆναι τῇ μεταλήψει καὶ μορφώσει τοῦ μεγάλου σχήματος· εἰς ὃ καὶ μόνον, ὡς ἔοικεν, ἀναρτῶντες ἑαυτοὺς οἱ μικροσχήμονες, δρῶσι τὰ χείριστα, καχεξίαν ἀθροίζοντες κενωθησομένην ἐν τῷ τῆς μεγαλοσχημοσύνης καιρῷ· ἵνα ὁ τῆς ψυχικῆς ἐκείνης ἰατρείας ἐπιστημονάρχης θεὸς χάριτας ὀφλήσῃ τῷ οὕτω καχέκτῃ ἐξαμαρτών, ὡς τεθαυμαστωμένος δι' αὐτοῦ. Καί πως οἱ τοιοῦτοι στέρησιν ἀγαθοῦ παντὸς περιποιησάμενοι, πραγματεύονται τὴν εἰςέπειτα ἕξιν διὰ τῆς μεγάλης κουρᾶς, ἀφιλόσοφα μεθοδεύοντες, καὶ μεταλαμβάνοντες οὐ καλῶς τό· φάγωμεν, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. Ὅπερ ἐστίν· ἁμάρτωμεν ἀνυποστόλως· αὔριον γὰρ διὰ τοῦ ἀγγελοθέου σχήματος θανόντες || Ms. fol. 213. a. τῷ καὶ φθαρτῷ καὶ

φθαρτικῷ βίῳ καὶ κόσμῳ, παραστησόμεθα τῷ θεῷ, οὐκέτι ἁμαρτωλοί, ἀλλὰ ἀγγέλοις ὅμοιοι.

176. *Καὶ γένοιτο μὲν τυχεῖν τοὺς τοιούτους, οὗ λέγουσι. Τίς δὲ οἶδε τὸν τῆς ἐπιούσης τόκον, εἰ μὴ ἐξαμβλωθήσεται; Τέως γε μὴν ἐπαγγέλλεται, ὅπερ ἔφαμεν, τὸν οἷον μεγαλοσχήμονα ὁ μὴ εἰςέτι τοιοῦτος ἡγούμενος. Ψεύδεται δέ, σεμνότητι μὲν προςώπου, καὶ ὀφρύων συνθέσει, καὶ κυφώσει τοῦ κατ' ὄψιν ἡλίου, καὶ βλέμματος ὑπουλότητι, καὶ κατανεύσει τῇ εἰς γῆν, καὶ λαλιᾶς ἐμμελείᾳ, καὶ προσχήματι ταπεινώσεως, καὶ τῷ συχνῷ τοῦ εὐλόγησον, καὶ βαθεῖ προςκυνήματι, καὶ καταστήματι εὐλαβεῖ ἄχρι καὶ αὐτοῦ βαδίσματος τὸν πρώτιστον ἐν μοναχοῖς ὑπεμφαίνων· τὰ πολλὰ δὲ καὶ ὑπερβαίνειν ἐκεῖνον, πέμπων δόκησιν· ἄλλως δὲ ὑπέρφευ εἰς ὅσον ὑποβαίνων καὶ ἐλαττούμενος. Τί δέ φημι ἐλαττούμενος ἐκείνου, δέον εἰπεῖν πρὸς ἀλήθειαν, ὅτι οὐδὲ πρὸς τὸν τῆς εἰςαγωγῆς μοναχὸν ἁμιλλήσαιτο ἂν ὁ τοιοῦτος, ὅτε τις πρώτην ἀράξας βαλβῖδα τοῦ κατὰ θεὸν σταδίου, ὀρθὸν ἐξανύειν ἀπάρξεται δρόμον ἐπὶ τὰ θεῖα. Ἐργοχείρων μὲν γὰρ μοναχικῶν ἅπτεσθαι τοσοῦτον ἀποδέει, ὅσον καὶ χειρῶν ἐνδεὴς ἄνθρωπος. Κάθηται γὰρ διόλου ἀεργός· καὶ δι' αὐτὸ ἐνθυμεῖται καὶ διαλογίζεται, ὡς εἰκός, παντοῖα, ὧν τὰ πλείω καὶ εἴς τινας ἐπιθυμίας ἐκνεύει, καὶ αὐτὰς ἴσως οὐκ ἀποβλεπούσας εἴς τι ἀγαθόν.*

177. *Διττῆς γὰρ οὔσης τῆς ἐπιθυμίας, τῆς μὲν ἐπαινουμένης, καθ' ἣν ἐπιθυμιῶν ἀνὴρ ὁ διορατικώτατος εἴρηται Δανιήλ· τῆς δὲ ἐπιψόγου (τοιαύτη δὲ ἡ τῶν ἀργούντων κατὰ τὸν ὀρθῶς εἰπόντα, ἐν ἐπιθυμίαις εἶναι τὸν ἀεργόν) οὐκ ἀπεικός, φαύλων ἐπιθυμιῶν κλύζεσθαι κύμασι τὸν καθηγούμενον, ὅτε συνάξας ἑαυτὸν ἔσω τοῦ κελλίου, καὶ τῶν ἔξω πάντων ἀφέμενος, ἐν ἀργίᾳ μένει. Ὅτε καὶ ἀναβαίνοντες εἰς αὐτὸν διαλογισμοὶ καὶ πολιορκοῦντες, ἀποκληροῦσιν αὐτὸν τῷ θρήνῳ τῷ ἐπὶ τοῖς οὕτως ἡσυχάζουσιν. Οὐαὶ γάρ, φησι, τῷ ἑνί, ὅτι, ἐὰν πέσῃ, οὐκ ἔχει τὸν ἐξεγεροῦντα. Τοιοῦτος δὲ εἷς καὶ ὁ καθηγούμενος, ὃς ἐν ἀργίᾳ διάγων, οὔτε τοῖς τῶν ἄλλων ἀδελφῶν πτώμασι βοηθεῖ, ἐξανιστῶν ἐκείνους· καὶ οὐδὲ ἑαυτῷ μηχανὰς ἐξευρίσκει, δι' ὧν πεσὼν ἀναστήσεται, μετεωρισθεὶς ἐκ τοῦ βοθρεύματος, ᾧ περιπέπτωκε.*

178. *Καὶ οὕτω μὲν μονάζει ὁ πατὴρ ἐν τῷ ἀργεῖν. Ὅτε δὲ καὶ ὁμηγερέες οἱ ἀδελφοὶ γένωνται, τότε ἂν ἴδοι τις ἐκεῖνον, ἄνθρωπον ὄντα τὸν τυχόντα, καὶ κατὰ τὴν παροιμίαν οὐδὲν ἱερόν, καὶ ἄλλως δὲ φάναι, πρόσωπον σεμνοπρεπὲς ἁδροῦ γενείου ὑπερκαθήμενον, ὁποίους τὰ πλείω ἐφιστᾷ τοῖς φροντιστηρίοις ἡ καθ' ὑπόληψιν, ὡς οὕτως εἰπεῖν, ἐν ἡμῖν ἀπάτη. Ἐφ' ὧν ὁ ἐντεθυμημένος, τὸ κωμικευόμενον ἱερεῖον, οὐδὲν ὄν, ἀλλ' ἢ κέρατα καὶ γένειον, παρῳδήσαι ἂν τὸν κατ' αὐτοὺς κτίλον καθηγούμενον, σεμνὴν ὀφρὺν εἶναι καὶ γένειον. Ἐν δὲ τοῖς τοιούτοις καθυπογράφεται μὲν καὶ τὸ μεγαλό||σχημον. Καινότερον δέ· οὐ πράγματι* Mc. fol. 213. b. *γάρ, ἀλλὰ σχήματι τὸ κατ' ἀρετὴν μεγαλεῖον προφαίνοντες μέγα σχῆμα, προΐσχονται, ὡς εἴ τις εἴποι, μεγάλην ὑπόκρισιν. Ὅτε τοίνυν ὁμήγυρις, ὡς ἐῤῥέθη, ἀδελφικὴ γένηται, τότε δὴ ὁ καθ' ἡμᾶς ἡγούμενος, ὁποῖος ἂν καὶ εἴη (ἔστι δὲ ἀληθῶς οὐ μέγας), ἔργου ἐξ ἀνάγκης οὐχ ὑποκειμένου (πῶς γὰρ ἐν πολλοῖν ὄψεσιν οὐκ αἰδέσεται τὴν ἐργασίαν ὁ κατομόσας αὐτὴν μυσαττόμενος;), γίνεται τοῦ λαλεῖν· καὶ ἡ λαλιὰ οὐ προβλήματα γραφικά· οὐ λύσεις ἱερῶν αἰνιγμάτων· οὐ διηγήματα πατέρων ἁγίων· οὐκ ἀναπτύξεις θείων λογίων· οὐκ ἀφήγησις πολιτειῶν θεσπεσίων· οὐ παραινέσεις (ὧν τε πράττειν χρὴ τὴν ἀδελφότητα, ὡς εἶναι αὐτὴν ἐντεῦθεν πρακτικὴν πνευματικῶς, καὶ ὧν χρὴ ἀπέχεσθαι)· οὐ μέθοδος ἠτιςοῦν (ἐκλογῆς μὲν τῆς τῶν ἀγαθῶν, ἀπεκλογῆς δὲ τῆς τῶν φαύλων)· οὐ περιέλευσις οὐδεμία γραφική, δι' ἧς ὁ μὲν ἤδη μεμαθηκὼς ἐπὶ ἀφορμῇ προδεδομένῃ σοφώτερος γίνεται, ὁ δὲ μήπω μαθὼν ἐνάρχεται καὶ τελειοῦται τὰ εἰς θείαν ἐπίγνωσιν. Οὐκοῦν τοιαῦτα τινὰ τὰ λαλήματα τοῦ καθηγητοῦ, ἀλλὰ λόγοι παντοῖοι τυρβαστικοί. Ἀρξάμενος μὲν ἀπὸ ἀμπέλων, καὶ ληΐων, καὶ εἰςπράξεων φορολογικῶν, καὶ ἑτέρων τοιούτων ἁδρομερῶν, ὅτε μὴ ἐνευκαιροῦσι λογοπραγίαις προςωπικαῖς οἱ γέροντες, καταλήγοντες δὲ εἰς ἐλαίαν καὶ ἰσχάδα καὶ λοιπὴν ὀπώραν, φιλοσοφεῖ γοῦν, ποία μὲν ἄμπελος οἶνον ἀγαθὸν δίδωσι· ποία δὲ γῆ ἐνάρετός ἐστιν εἰς πολλαπλάσιον καρποδοτεῖν· πόθεν δὲ τοῖς ἀδελφοῖς ἡ πλείων φορολογία· καὶ τίς μὲν τῶν διακονητῶν ἁπλοῦς τὴν δρᾶκα πέφυκεν εἶναι. τί δὲ τοῖς προκρίτοις τῶν μοναχῶν σφίγγει τὴν χεῖρα· ἑαυτὸν γὰρ ἀηδεῖται διαῤῥήδην παρειςκυκλῆσαι τῷ λόγῳ. Διδάσκει δὲ καὶ περὶ ἐλαίας μὲν τυχόν, οὐχ ὅτι τὸ αὐτῆς ἀπολειβόμενον ὑγρὸν βασιλικῷ καὶ φωτιστικῷ θειοτέρῳ ἐφιερῶται χρίσματι, οὐδ' ὅτι πρὸς τῷ ἁγιάζειν καὶ ὑγιείαν πολυειδῆ χορηγεῖ τοῖς χριζουσιν, οὐδ' ὅτι αὐτὴ μόνη τὸ ἀσυνδυάστως καὶ ἀσυνθέτως ἔλαιον ἀποθλίβει (ἄλλο γάρ τι ἅπαν ἔλαιον προςθήκῃ τινὶ συνδυάζεται· ἀμυγδάλινον γάρ τι ἔλαιον, καὶ καρύϊνόν φαμεν, καὶ σησάμινον)· οὐ μὴν ἐν ἁπλότητι ἔλαιον, ἀλλ' ὅτι αὐτὸ καὶ μόνον ἡδὺ λίπασμα, καὶ πιότατον, καὶ οἷον χρηστὸν εἶναι τραπέζαις μοναχικαῖς. Περὶ δὲ ἰσχάδος ἰσχνολογεῖ, οὐχ ὅτι χλωρόν τε ὂν τὸ σῦκον μέλιτός ἐστιν*

ὑποκόρισμα, καὶ ξηρανθὲν δὲ οὐκ ἐξίσταται τῆς γλυκύτητος· διὸ καὶ γλυκερὰν τὴν συκῆν οἱ σοφοὶ κατ' ἐξαίρετόν τι φασιν· οὐδὲ ὅτι καὶ τοῖς φύλλοις τοῦδε τοῦ δένδρου χάριτας ὀφλομεν διὰ τοὺς γενάρχας, οὓς αὐτὰ ἐσκέπασαν· οὐδ' ἄλλο τι σεμνὸν καὶ ἐπαγωγὸν Ms. fol. 214. a. πρὸς χάριν· καὶ μὴν οὐδ' ὅτι φθεῖρας ἀπο || γεννᾷν οἶδε τὸ ξηρὸν σῦκον τῇ διὰ βίου παραχρήσει, ὃ δὴ πρὸς ἱστορίαν λεχθὲν πολυμάθειαν ἐνέφηνεν ἂν τοῦ καθηγητοῦ· ἀλλ' ὅτι πρὸς ἡδονῆς, ἐμφαγεῖν σύκου, ὥσπερ χλωροῦ, οὕτω καὶ ἀπισχνανθέντος· καὶ ὅτι καλόν ἐστι καὶ αὐτὸ εἰς κερδαλέαν κτῆσιν· καὶ ὡς ἀγαθόν τι πέφηνε καὶ ἡ συκομιγίς, ἐν ᾗ, πολλῶν ὁμοῦ συμπεφυρμένων, οὐκ ἔστι τὸ μὲν ἐκλέγεσθαι, τὸ δ' ἀπεκλέγεσθαι, ἀλλ' ὁμοῦ πάντα συμμεμιγμένα καταθοινᾶσθαι εἰς κέρδος τῷ κτησαμένῳ. Ἔτι παραδίδωσιν ὁ προκαθήμενος τοῖς ὁμιληταῖς, καὶ ὡς φυλάξει τις ἀπίους, ἢ μέλιτι ἐμβυθίσας, ἢ λακκίσας εὔθετον γῆν, καὶ ἀπαιωρήσας αὐτούς, λέγων, ὡς μετεώρους εἶναι, καὶ χοῦν ἐπιφορήσας ἐπὶ παραμονῇ. Σεμνύνει δὲ καὶ τοὺς ἀγρίους ἀπίους, ὡς γνώμονας ἀγαθοῦ, Λατῖνος ἂν εἴποι ἀνήρ, μούστου. Ἐπιπολάζοντες μὲν γὰρ ἐν αὐτῷ, ἀμιγὲς ὕδατι τὸ γλεῦκος εἶναι δηλοῦσι· βυθισθέντες δὲ κατηγοροῦσι καπήλευμα. Εἶθε δὲ ἦν τῷ γέροντι τούτῳ, τήν τε αἰτίαν συνειδέναι τοῦ πράγματος, καὶ προσεπινοήσασθαι ὁμοιότητά τινα ἐνταῦθα πρὸς τὸν περιᾳδόμενον Ῥῆνον, τὸν Κελτικὸν ποταμόν. Νόθον γάρ τι κἀνταῦθα διακρίνεται τῷ ἐπιπολασμῷ καὶ τῷ βυθισμῷ, εἰ καὶ τρόπον ἄλλον. Ἐκεῖ μὲν γὰρ ὑγρῷ διακρίνονται τὰ γνήσια μὲν τῶν βρεφῶν, ἐπιπολάζοντα· βυθιζόμενα δέ, τὰ μὴ ἀπὸ γάμου. Ἐνταῦθα δὲ ὑγρὸν γνήσιον καὶ μὴ τοιοῦτον τῇ τῶν ἀπίων καταδύσει καὶ τῷ ἀνάπλῳ καταμηνύεται. Ἔτι μεθοδεύει ὁ οὕτω πολυμαθὴς καθηγούμενος, καὶ ὅποι τόπου εὐκράτου μῆλα μετεωριστέον, ἑτεροῖά τε καὶ κυδώνια, εἰς παράμονον. Ποῖ δὲ ἀέρος ῥοιαὶ κρεμήσονται φυλαξόμεναι· καὶ ὡς οἶδε συντηρεῖν αὐτὰς παραμόνους καὶ τὸ ἄχυρον. Αὐτίκα δὲ φιλοτιμούμενος προσεπιφιλοσοφεῖ καί, ὡς φυλακτικόν τι χρῆμα ἐς τὸ πᾶν ἡ τοῦ ἀχύρου φύσις. Θερμοῦ τε γὰρ ἐξαιρεῖ κατοχήν, ἐμβληθέντος εἰς αὐτὸ καὶ ψυχρὸν δὲ ἐμπεπιστευμένον, οὗ μέρος καὶ ἡ χιών, ἐνακμάζειν δίδωσι τῇ οἰκείᾳ φύσει. Εὐθὺς δὲ καὶ εἰς οἷόν τι πόρισμα γλαφυρώτερον ἐμβαθύνας, παροιμίαν ἐξευρίσκει αὐτὸς ἰδίαν, αὐτὸ μὲν τὸ ἄχυρον εὐυπόληπτον ὀνομάζων, ἄνδρα δὲ εἰδότα μυστηριάζεσθαι ἀχύρου εὐυποληπτότερον παροιμιαζόμενος· ἐπεί, φησι, καὶ τὸ ἄχυρον δεφενδεύει ταμιευτικῶς ἐν ἀκεραίῳ τὸ παρατιθέμενον. Προσεπιθεωρεῖ δὲ ὁ αὐτὸς ταῖς ῥοιαῖς οὐ τοὺς ἱερατικοὺς ἐκείνους ῥοΐσκους, οἳ πρὸς αὐτὰς ἐτυποῦντο νοερώτερον, οὐδὲ τοὺς θαυμαστοὺς Μεγαβύζους, οὓς Περσικὸς βασιλεὺς περιεῖναί οἱ εὔξατο κατὰ πλῆθος κόκκων μεγάλης ῥοιᾶς, ἣν ἐν καιρῷ ἐκεῖνος κεχείριστο· οὐδ' ὅτι σοφός τις, γλυκὺς τὴν φράσιν, ἐνύγρους ἄνθρακας ἐκαλλι || γράφησε τὰ τῶν Ms. fol. 214. b. ῥοιῶν βρώσιμα· οὐδ' ὅτι σὺν τῷ ἔνδον ἀνθρακοειδεῖ φλόγεον ὡς τὰ πολλὰ ἐκλάμπουσιν ἐκεῖναι καὶ τὰ ἔξωθεν· ἀλλ' ὅτι δύο χυμῶν τῶν ἐν αὐταῖς καλλίων τοῦ γλυκάζοντος ὁ ὀξίζων. Ταῖς κυούσαις τε γὰρ πρόσφορός ἐστι τὰ ἐς κίσσαν, καὶ εἰς μαγειρείαν ἥδιστος. Ὠφέλιμον δέ φησιν αὐταῖς καὶ τὸ λέπυρον. Ζοφοῦται γὰρ δι' αὐτοῦ τὸ γραφικὸν μέλαν εἰς βαθύτερον, καθὰ καὶ διὰ τοῦ χλωροῦ καρυΐνου λέμματος. Ἔτι ἐκεῖνο; καὶ ἀμυγδάλου ἑκατέρου σεμνότητα μὴ μαθὼν ἐκθέσθαι, φιλεῖν αὐτὸ λέγει τῆς ἀστειότητος· Ὁ γὰρ δεξιός, φησι, τὰ εἰς εὐτραπελίαν ἄνθρωπος, γεύσας τινὰ ἑνὸς ἢ δύο τῶν γλυκέων ἀμυγδάλων, καὶ ἐπαγαγόμενος τῷ ἡδύσματι, εἶτα πικρὸν ἐπιδοὺς εἰς ἔκβρωμα, ἐκίνησε τοῖς θεωμένοις γέλωτα τῷ πικράσματι. Ἔτι περιεργάζεται ὁ αὐτὸς καὶ μιμαικύλων τὸ εὐανάδοτον μετὰ τροφήν, τεχνώμενος τοὺς ἀκροατὰς πείθειν, οἴνου φειδοῖ τὴν ἐκεῖθεν μέθην σοφίζεσθαι. Ἀστεΐζεται δέ που καί, ἐρυθραῖς ῥίναις αὐτὰ ἐοικέναι διὰ τὰς ἐπανθούσας αὐτοῖς πυκνὰς κεγχραμίδας. Εἰκάζει δὲ αὐτοῖς καὶ τὰ κατὰ Πύδναν ὕδνα· πλὴν ὅσον ἐκεῖνα μέν, φησι, καὶ εἰς πολὺ μεγέθους τὰ πλείω ἐξώγκωται, καὶ ἀμαυρὰν ἔχουσι τὴν τραχύτητα, καὶ οὐδὲ εἰς ἀκρίβειαν ἀπεσφαίρωνται· τοῖς δὲ μιμαικύλοις ἄλλως ἔχει καὶ τὰ τοῦ μεγέθους, καὶ τὰ τῆς χρώσεως, καὶ τὰ τοῦ σχήματος. Ἔτι λαμυρεύεται ὁ πατὴρ καὶ περὶ σταφυλῶν, ὁπόσα ἐκείνῳ ἐπέρχεται (ἐπέρχεται δὲ πάντως ἀκροατηρίου τοιούτου ἐπάξια)· καὶ τῆς λοιπῆς δὲ ὀπώρας τὴν ἐπελθοῦσαν καταῤῥητορεύσας, ὡς ἔχει ἐπιστήμης καὶ φράσεως, καί που παρενσπείρας καὶ ὀσπριώδη θεωρίαν τινά· μετὰ δὲ καὶ ἰχθυολογήσας, ὡς αὐτὸς χαίρει λαλῶν, λύει τὸν τῆς ἀδελφότητος σύλλογον, ἐμφορήσας χρηστολογίας ἀζήλου, ἣν τραπεζοδόμοι φιλοῖεν ἂν καὶ μάγειροι· καὶ σοφίσας τὰ ὡς ἐκεῖνος οἶδε καθήκοντα.

179. Εἰ δέ ποτε καὶ ἐπὶ ἄλλων ἀνδρῶν, μεγάλων τά γε ἐν κόσμῳ καιρὸς ἔλθοι λαλῆσαι αὐτόν, ἀλλὰ τότε παντοῖος ὁ ἀνὴρ γίνεται· καὶ τὰ πρῶτα ἐφ' ἱκανὸν σιγήσας, ὡς οὐδ' ἂν Πυθαγόρας, καὶ ἐν τοιούτῳ σχήματι τὸ βαθὺ τῆς ἀρετῆς ἐνδειξάμενος, καὶ σιγηλὸν ἑαυτὸν παραφήνας ἥρωα, ὃ δὴ λέγεται, εἶτα καί τι λεπτὸν ὑπολαλῶν, ὡς εἰ καὶ νυκτερὶς ἔτριζε, καὶ τὸ ἔνδον σεμνὸν ὑπογρύζων τῷ τοιούτῳ τρισμῷ,

ἀφηγεῖται τὰ καθ' ἑαυτόν, καὶ αὐτὰ οὐ πρὸ τῆς κουρᾶς (ἐκεῖνα γὰρ ὡς ἐν μυστηρίου λόγῳ ἀνέκφορα μένοντα σιγῇ τιμᾶσθαι βούλεται), ἀλλὰ μετὰ τὴν απόθριξιν, ὡς δουλεύσοι μὲν ἁγίῳ πατρί, σεμνύνων ἐκεῖνον ἑαυτοῦ χάριν· ἵνα τῇ ἐκεῖθεν δῆθεν μεταδόσει Ms. fol. 215. a. δοκοίη καὶ αὐτὸς ἁγιώτατος, || οἷα μέτοχος· ὡς θεραπεύσοι ἐκεῖνον διόλου καλῶς, ἐθέλων οὕτως ἑαυτὸν συστῆσαι εἰς ὑπακοήν· ὡς ἀποφοιβάσοι ἐκεῖνος ὁ διδάσκαλος γέρων προκοπὴν τούτου καὶ τελειότητα καὶ τιμήν, τήν τε ἐν κόσμῳ καὶ τὴν κατὰ θεόν, προκαλούμενος τὸν ἀκροατὴν καὶ τῷ λόγῳ τούτῳ εἰς τὰ ὑπὲρ ἑαυτοῦ· ὡς θανόντος ἐκείνου καὶ ἀποκαλύψεις ἴδοι, καὶ θαύματα δι' ἐκείνου ποιήσοι αὐτός· εἰς τί καὶ ταῦτα παραλαλῶν; εἰς ἔνδειξιν τῆς κατ' αὐτὸν θεωρητικῆς τε καὶ πρακτικῆς, ὁ, εἴ τι χρὴ οὕτως ὀνομάσαι, οὐδέτερος, οἷα καὶ λόγου παντὸς καὶ ἔργου σπουδαίου ἀπείρατος. Εἶτα προφέρει ὁ πάντιμος καὶ προεδρίας καὶ τιμὰς εἰς ἑαυτὸν βασιλικάς, πατριαρχικάς, ἀρχοντικάς, φιλενδεικτῶν ἅμα ἐν τούτοις καὶ ἐκφοβῶν.

180. Ὅτε δὲ ταῦτα ἐρεῖ πρὸς ἁβρότητα, καὶ νομίσει, ἐφολκὸς εἶναι τῷ ἀκροωμένῳ, καὶ ὑπαγαγέσθαι ἤδη αὐτόν, ἐκτίθησιν ἢ πτωχείαν τῆς μονῆς ἐπὶ χρηματισμῷ ἐπαιτοῦντος δίκην, ἢ κατηγορίαν ἐπί τινι, ὡς ἀδικεῖν δοκοῦντι. Καὶ ὁ ἀδικῶν ἐκεῖνος ἢ ἀρχιερεύς ἐστιν, ἀσώματα βλασφημούμενος τὰ πλείω, ἢ πλησιαστὴς ἐνσώματον μέμψιν πάσχων· ἐκεῖνος μέν, ὅτι δύσχρηστός ἐστιν αὐτῷ, καὶ πολυπράγμων, καὶ ἐξεταστικός, καὶ ἐθέλων ἐκδικεῖν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτοῦ, καὶ κανόνων ψηλαφητής, καί, τὸ πᾶν εἰπεῖν, οὐκ ἀφιεὶς αὐτὸν ποιεῖν ἀπραγμόνως, ὁπόσα βούλεται. Καὶ διὰ ταῦτα μὲν βλασφημεῖται ὁ ἀρχιερεύς. Ὁ δὲ πλησιάζων, ὅτι κτῆμα ἔχων παρακείμενον τοῖς μοναστηριακοῖς (λήϊόν τι θετέον εἰπεῖν, ἢ ὅλον ἀγρίδιον, ἢ παραῤῥέον ὕδωρ, δι' οὗ καὶ κηπεύσει τις, καὶ ἀλετὸν ἀπαρτίσει), βαρύς ἐστι τῇ μονῇ πενομένῃ· καὶ οὔτε ἀποδόσθαι αὐτὸ ἐθέλει, τῷ παντὶ δὲ πλέον οὐδὲ ἀποχαρίσασθαι. Καὶ τοῖς ἀδελφοῖς δὲ φορτικὸς ἔγκειται, εἴ τι λαλήσουσι πρὸς αὐτόν. Καὶ ταῦτα εἰπών, καί που εὑρὼν ἁπλοϊκὴν θεοφιλίαν, βλάπτει ἑκατέρους, τόν τε ἐλεεινὸν ἀρχιερέα, καὶ τὸν ταπεινὸν ἀγχιτέρμονα.

181. Καὶ τοῦτον μὲν ὅπως διατίθεται, περιττόν, καὶ λέγειν διεξοδικῶς. Ἐκεῖνο δὲ καὶ μόνον ἄρτι λογιστέον, ὅτι οὐδ' ἂν ἐθνικὴ καταδρομὴ τοῦ γειτνιῶντος τοσαῦτα καταπράξηται, ὁπόσα οἱ ἱεροὶ πατέρες. Ὁ δὲ ἀρχιερεὺς — ἀλλὰ ποῖον μὲν αὐτὸς οὐ βλέπει βέλος ἡγουμενικὸν πετόμενον κατ' αὐτοῦ· ποῖον δὲ ὅπλον ἀγχέμαχον οὐχ ὑπομένει καταφερόμενον· βέλος (τὴν διαβολήν), φαρμάκῳ δεινῷ κεχρισμένον, τῇ πιθανότητι· ὅπλον πλῆττον ἐκ τῶν ἐγγύθεν, τὴν κατὰ πρόσωπον ἀναίδειαν, καθ' ἣν ὁ τὴν ἐχεμυθίαν πλαττόμενος, ὁ ἡσυχαστής, ὁ πυθαγορίζων, ὁ σιγηλός, πρόσωπον ἅμα καὶ φωνὴν πόρνης ἀναλαβών, καὶ ὡς οἷον αὐλὸς δαίμονι ἐμπνευσθείς, καταψάλλει τὰ μὴ προσήκοντα, καὶ αὐτὰ οὐ λαϊκοῦ τινος ἐπισκοπικοῦ, ἢ τοῦ τυχόντος ἱεροῦ ἀνδρός, ἀλλ' αὐτοῦ τοῦ ἐπισκόπου, φιλοτιμούμενος ἐνταῦθα καὶ τὸ εὐρύφωνον. Καὶ ὁ ἐπ' ἐκκλησίας βραγχιῶν λάρυγξ || τηνικαῦτα σαλπίζει Ms. fol. 215. b. μὲν τὰς ἀρχὰς ὀξυφωνῶν. Ὅτε δὲ τὸ ὑγρὸν ἐπιπροσθήσει τῷ καθαρῷ τοῦ πνεύματος, εἰς τυμπάνου μεταπίπτει βοήν, εἶτα ὑποβάσεως λόγῳ καὶ εἰς βαϋσμόν, καὶ οὐκ ἀνίησιν, ἕως οὗ ἡ τῆς λαλιᾶς δίοδος ἀποφραγῇ.

182. Καὶ τοιοῦτος μὲν ὁ τιμιώτατος, ὅτε κατὰ ἀνδρὸς μέμηνε μελαγχολῶν. Εἰ δέ ποτε καὶ γυναικὶ πρὸς λοιδορίαν ἐγχάνοι — ἀλεξίκακε, τῆς κακοστομίας ἀνεξίκακε, τῆς τῶν κακολογιῶν ἐπιχύσεως, τοῦ τῶν βλασφημιῶν πλούτου — πόρνης εἴη ἂν καὶ μόνης ἐξονομάσαι τὴν αἰσχροῤῥημοσύνην, ἣν ἐξησκημένος ὁ τῆς καθηγήσεως οὐκ ἐθέλει τὸ ἔλαττον ἀποφέρεσθαι· οὐδὲ ἀηδόνες ἂν εἰς ὅμοιον ἀλλήλαις ἀντᾴδοιεν· οὐ χελιδόνες οὕτως ἂν βατταρίζοιεν. Βατράχοις δέ γε εἰκάσαι τὴν τοιαύτην βοήν, ἀπροσφυές, οὓς τὸ ὕδωρ ἐπιστομίζον ἀνακόπτει τῆς μακρᾶς φωνῆς. Καὶ οὐκ αἰσχύνεται ὁ τὸν καλὸν ὑπεσχημένος ἄνθρωπον τῷ θεῷ, ἀχρειῶν τὸ ἐν αὐτῷ θεῖον ὄργανον, τὸ στόμα, καὶ ἀντὶ παραδείσου δενδρήεντος εἰς ἀκανθεῶνα μεταποιῶν· οἷα μὴ ἐθέλων ἀκούειν Σολομῶντος εἰπόντος· ἴαμα γλώσσης δένδρον ζωῆς. Ἔνθα θεωρητέον ἐν ἐπισημάνσει τὸ ἴαμα γλώσσης. Ἀληθῶς γὰρ δεινοτάτη νόσος καὶ ἡ γλωσσαλγία. Εἰ δέ που ἰατρευθῇ, ἀφίησι τὴν γλῶσσαν δένδρον εἶναι ζωῆς, ταὐτὸν δ' εἰπεῖν, θεοῦ, τοῦ εἰπόντος· ἐγώ εἰμι ἡ ζωή· καὶ μηδὲ ἐθέλοντος, παρακαίριόν τι λαλεῖσθαι ἀργολογικῶς· ὑπὲρ οὗ λόγος ὀφλεται τῷ κακολογοῦντι.

183. Ὥσπερ δέ ἐστι φοινίκων δένδρον, καὶ ἀπίων, καὶ μεσπίλων, καὶ λοιπῶν, οὕτω καὶ γλῶσσα ὑγιαίνουσα ἐν τῷ ἀγαθολογεῖν δένδρον ἔσται ζωῆς· οὗπερ ἐν ψυχῇ μὲν αἱ ῥίζαι, ἡ δὲ γλῶσσα ὡσεί τι πρέμνιον λογίζεται. Καρποὶ δὲ αὐτοῦ αἱ ζωαί· ἡ κατὰ θεολογίαν, ἡ κατὰ διδασκαλίαν ἠθικήν· καὶ ὅσαι ἄλλαι· οὐ μὴν αἱ ἐπίῤῥητοι κακολογίαι, ὧν μία καὶ ἡ ἐν τοῖς καθ' ἡμᾶς φιλότιμος Ναζιραϊκὴ φλυαρία· ἧς οὕτω πανηγυριζομένης, ἄλλος μέν τις τῶν περιτετυχηκότων

ἐπισκόψας, ἄλλως πάσχει τὰ βαρύνοντα, εἰς ἀσέμνους ἀλληλοφωνίας ἐκτρέπων τὸν ἀσκητήν. Εἰ δὲ ἀρχιερεὺς ἢ παρὼν ἢ ἀκοῇ παραλαβὼν μέμψεται, τότε ἂν καταμάθοι τις τὴν μοναχικὴν ἀμυντικὴν καὶ τὸ κατ' αὐτὴν ἀργαλέον. Εὐθὺς μὲν γὰρ εἰς ἐμβρίθειαν ἑαυτὸν συνάξας βρυχᾶται, βριμᾶται, μύζει, σφύζει, γογγύζει, βύθιον ὑποστενάζει, προπέμπει τῶν μυκτήρων ἆσθμα συχνόν, ἐθέλων καὶ πυρπνόος εἶναι· συνάγει τὰς ὀφρῦς· νεφοποιεῖ τὸ πρόσωπον, νῦν εἰς ὠχρὸν βαπτόμενος, αὖθις φλογερὸν ἐρευθόμενος, πάσχων καί τι τεφρὸν εἰς χρῶσιν, καί πως οὕτω πρωτεΐζων ταῖς [Ms. fol. 216. a.] τοιαύταις μεταβολαῖς, καὶ τέως||πνίγων τὸν προφανῆ καὶ θυμὸν καὶ λόγον. Γενόμενος δὲ τοῦ κελλίου, ἃ μὲν λέγει θυμομαχῶν, κατ' αὐτοῦ καὶ μόνου τράποιτο καὶ τῶν ὁμοίων αὐτῷ· ἃ δὲ βυσσοδομεύσας καὶ μελετήσας εἰς φῶς προάγει, ἔν τισι θεωροῦνται τοιοῖσδε.

184. Ἄρχεται ἀπὸ τῶν σωματικωτέρων ὁ πνευματικός. Καὶ ἀμπέλοις μὲν ἐκκλησιαστικαῖς ἐπαφίησι ζῶα κατατρώγοντα τὰς μητέρας αὐτοῖς καρποῖς, δένδροις δὲ ἡμέροις ἐπιπέμπει τοὺς παρ' αὐτῷ φαυλοκόλακας, οἷα καί τινας κόρακας, οἳ ψιλώσουσιν αὐτὰ τοῦ καρποῦ· ὕλαις δὲ φρυγάνων καὶ λοιπῶν θάμνων ἐπαποστέλλει φλόγα παμφάγον. Ἀποφράττει τὰς ἀγροτικὰς ἁμαξιτοὺς καὶ λοιποὺς λεωφόρους τοῖς τῆς ἐκκλησίας, ἄλλην τέμνειν καινὴν ὁδὸν ἐπιτελλόμενος ὁ καινότροπος, καὶ δι' αὐτὸ καινοτόμος. Ἐκκλείει αὐτοὺς καὶ τοῦ ἀλετοῦ ὁ προσφυῶς φάναι ἀλιτήριος. Κακουργεῖ καὶ εἰς ὕδωρ, εἴ τις ἐξ αὐτοῦ ψυχαγωγία τοῖς ἐπισκοπικοῖς, οὐ δεήσεται φλεγόμενός ποτε ἀκατάκαυστα. Ὀρογλυφεῖ ἐν τοῖς ἔξω ὁ τὴν ἐξουσίαν πλατύς, καὶ δυσπεριόριστος, καὶ οὐ ῥᾷον περίγραπτος. Ἐν τῇ συνοικίᾳ περιεργάζεται κατοπτείας ὁ περίβλεπτος μὲν τὰ ἐς μοχθηρίαν, ἄλλως δὲ ἀμυδρᾶς θέας ἄξιος. Ἐπιτρέπει κλοπάς, ἐκ τοῦ ἀξιωματικῶς λογίου Ἑρμοῦ εἰς τὸν φῶρα κατενεχθείς. Ἐνδίδωσι καὶ τὰ ἐς ὕβριν καὶ ἐς πληγὰς ὁ καὶ ἐμπλήγδην ζῶν καὶ ἐφύβριστος, πάντα ποιῶν καὶ ἁμιλλώμενος, δι' ὧν ὑπερτερήσας ἔσται φοβερὸς καὶ ἀπρόσιτος.

185. Καὶ ταῦτα μὲν σωματικώτερα. Αἱ δὲ κατὰ πνεῦμα τερθρεῖαι, καὶ σκευωρίαι, καὶ μηχαναί, ἄλλο κακὸν ἐκεῖναι, οὐκέτι κατὰ σωμάτων, ἀλλὰ κατ' αὐτοῦ τοῦ παναγίου πνεύματος, ὀκνοῦσι τὴν ἀρχιερατικὴν ἀναφοράν. Καὶ ἐκλαλουμένου τοῦ ἐπισκόπου ἐν τοῖς εὐαγεστάτοις μυστηρίοις, ἀκούουσι μὲν (πῶς γὰρ ἂν οὔ;), τῶν θυρῶν ἀνεῳγμένων τῇ ἀκοῇ, καὶ εἰςδεχομένων αὐτοφυῶς τὸ λαλούμενον, ὅτε τις μὴ κωφεύει. Ὅπως δὲ διάκεινται περὶ τὸν ἀναφορικὸν λόγον, ὁ παρατυχὼν εἴσεται. Τί δὲ εἴσεται; Ἀνθρώπους οὔτε τῷ στόματι αὐτῶν ἐνδιακειμένως εὐλογοῦντας, καὶ τῇ καρδίᾳ δὲ καταρωμένους, ὡς ἔοικεν. Οἱ δ' αὐτοὶ ἀπαρνοῦνται καὶ τὴν διὰ τοῦ οἰκείου ἐπισκόπου χειροτονίαν. Διόπερ ὁ μέγας, ἡ κεφαλή, ὁ θεός, δεῆσαν προβιβασθῆναι αὐτὸν εἰς ὕψος ἱερέως, ὑποθεῖται μὲν τὴν κεφαλὴν τῷ ἰθαγενεῖ ἀρχιερεῖ (ἐξάγιστον οἴεται), ἀνθρώπῳ καὶ ταῦτα ὄντι, μεμαθηκότι τὴν τοῦ πνεύματος δωρεάν, καὶ κατορθοῦντι τό· δωρεὰν ἐλάβετε, δωρεὰν δότε· καὶ τὸ σιμωνίζειν εἰς τάρταρον καθιέντι δι' ἀναθέματος. Ἑτέρῳ δὲ ξενικῷ τά γε εἰς ἐνορίαν πρόςεισι, καὶ αὐτῷ ἁπλουστέρῳ, καὶ εἰς ἀφέλειαν πεπλασμένῳ, καὶ οἵῳ μὴ ἐκβάλλειν ἔξω τὸν ὁπωςοῦν αὐτῷ προςερχόμενον· ὀκνοῦντι δὲ καὶ πολυ||πραγμονῆσαι τὸν πολὺν μοναχόν, τίς ὤν, καὶ [Ms. fol. 216. b.] οἷος, καὶ πόθεν, καὶ διατί πρὸς αὐτὸν ἔρχεται; Καὶ προςελθὼν τῷ τοιούτῳ ἐπισκόπῳ παριστᾷ καὶ μαρτυρικοὺς ἄνδρας, τυχὸν μὲν καὶ ἐκεῖθεν ἀγνῶτας ἐπισκοπικούς· οὐκ εἰδότας μέν, ἐγγραφομένους δὲ δώρων τὰ ὑπὲρ τοῦ μαρτυρουμένου· ἴσως δὲ καὶ ἐκ τῆς μονῆς (ποίας μονῆς;), εἰς ἣν ἄλλοθεν ἀπὸ ξένης ἥκων κουρᾶς ὁ ἡγούμενος, καὶ βραχύν τινα χρόνον ἐπισχών, καὶ ἀκολούθως βραχυτάτην πεῖραν ἑαυτοῦ δεδωκὼς τοῖς ἀδελφοῖς, μαρτυρεῖται παρὰ τῷ ἀλλοδαπῷ ἐπισκόπῳ ὑπὲρ τοῦ ἐκ γενετῆς ὅλου βίου· οὐ μόνον ἑαυτὸν ψεύδων ὁ ἀδιάφορος, καὶ τὸν χειροτονήσαντα, καὶ τὸν ἀμφ' αὐτῷ κλῆρον, ἀλλὰ καὶ τοὺς μάρτυρας μοναχοὺς ὑποβάλλων τῷ ἐκ θεοῦ κρίματι. Καὶ οὕτω τεχνασάμενος, καὶ τὴν ἱερατείαν κλέψας ἅμα καὶ τυραννήσας, προςλαμβάνεται καὶ ἄλλους, εἴ περ ἐθέλει, μετόχους ὁμοίας πράξεως, καὶ ἐπισυράμενος αὐτίκα εἰς παράστασιν μοναχοὺς ἐκ τῆς κατ' αὐτὸν ποίμνης, καὶ μιᾷ ταύτῃ ὁδῷ πλείω ἐξανύσας αὐτῷ ἀρέσκοντα ἔργα, ἵνα μὴ καὶ κόπους ἄλλους καὶ δαπάνας προξενοίη τῇ ἀδελφότητι. Μαρτυρηθεὶς αὐτὸς ἀντιμαρτυρεῖ, οὓς ἂν αἱροῖτο· ἀποδοὺς τὸ ἀνόσιον ὄφλημα, καὶ τὴν οὐκ ἐπαινουμένην διάλληλον τῆς ἀρετῆς δεῖξιν ἐνταῦθα μεθοδεύσας. Ἀληθῶς γὰρ δι' ἀλλήλων κατά τινα ἔμφασιν τῆς περιᾳδομένης κύκλῳ δείξεως ἀλλήλους οἱ ἀδελφοὶ τῷ ἐπισκόπῳ συνέστησαν.

186. Καὶ οὕτω χειροτονίαν ἐμπορευσάμενοι, ἀποκαθίστανται τῇ μονῇ οἱ ἔναγχος μὴ ἱερωμένοι, ἄλλον τρόπον ἀνίεροι· οἱ τὰ πρὸ τούτου ὅσιοι, ἀληθῶς ἀνόσιοι· ἀντὶ ἐκκλησιαζόντων, ἔξω ἐκκλησίας ἁπάσης. Καὶ ὅμως ὁ μὲν ἄναρχος ἀγελάρχης, ὁ ἀγελαῖος, ὁ ἄνετος, ὁ ἀποίμαντος, ὁ τὴν βασιλικὴν σφραγῖδα παραχαράξας, προΐσταται τῶν φρικτοτάτων εὐχῶν, καὶ τῆς ἐπ' αὐταῖς ἁγιωτάτης θυσίας. Οἱ δὲ λοιποὶ ἐπεύχονται, καὶ συνεύχονται, καὶ δοκοῦσι πρὸς αὐτοῖς εἶναι

τὰς ἀκοὰς τοῦ θεοῦ. Τὸ δ' ἔστιν ἄλλως ἔχον, εἴ τι προςεκτέον ταῖς ἱεραῖς γραφαῖς· προςεκτέον δὲ πάντως. Λέγω γὰρ θαῤῥούντως, ὅτι τοὺς τόπους, οὓς οὐκ ἐπισκοπεῖ ὁ ἔμφυτος ἀρχιερεύς, ὃν ἔστιν εἰπεῖν καὶ ἐγκάθετον, καὶ ἀποστολικῶς αὐτοφυῆ, καὶ γνήσιον κατὰ τὴν ἀνέκαθεν παράδοσιν, ἢ καὶ τὸ προοίμιον συνειςέρχεται, οὐδὲ ὁ κύριος ἐπισκοπεῖ.

187. Αἴτιον δὲ τοῦ κατὰ τῶν ἀρχιερέων τοιούτου μοναχικοῦ μίσους τὸ ἀνεκλόγιστον, οὗ θερμῶς οἱ μοναχοὶ ἐφίενται· τὸ ἀπολυπραγμόνητον, οὗ κραταιῶς ἀντέχονται· καὶ μὴν καὶ τὸ ἀλαζονικόν, καὶ ἡ διαβολικὴ ἔπαρσις. Λογίζονται γὰρ δήπουθεν, εἰ μὴ ἀρχιερεῖς τινες ἦσαν, αὐτοὶ τὸ πᾶν ἐν τῷ || Ms. fol. 217. a. κόσμῳ εἶναι· καὶ μηδεμίαν ἐκκλησίαν ἄλλοις ὑποκεῖσθαι τισίν, ὅτι μὴ τοῖς δι' ὅλου τοῦ σώματος μελαμφόροις. Εἶτα τοιοῦτοι ὄντες, καὶ οὕτω μισοῦντες τὸ ἀρχιερατικὸν φῦλον, καὶ μῖσος οὐ τὸ τυχόν, ἀλλὰ τὸ κατὰ μέγαν ψαλμῳδὸν τέλειον, καὶ ἐχθροποιόν, καὶ δι' αὐτὸ ἐκκλινόμενοι φόβῳ ὑπὸ τῶν ἐλεεινῶν ἐπισκόπων, μνησικακίας αὐτοὺς γράφονται οἱ αὐτόκακοι.

188. Ὦ ἅγιε μοναχέ, εἰ δὲ ὁ ἐπίσκοπος διωκόμενος καὶ φεύγων μνησικακεῖ, σὺ ὁ ἀναιτίως αὐτὸν διώκων, καὶ (γραφικῶς εἰπεῖν) φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτων αὐτῷ, τί ποτε καὶ ὀνομασθήσῃ; Μνησίκαλος; εἴ τι χρὴ καὶ ὀνοματοτεθῆσαι. Καὶ ποῦ ποτε καλὸν παρὰ σοὶ ἕτερον, ἢ μόνον τὸ αὐτονόμως ἀρέσκον σοι; Μαρτύρομαι τὸν θεὸν αὐτόν· εἴπερ, ὁπόσα εἰς ἐνιαυτὸν ὅλον περιενοήσω κοπιῶν κατὰ τοῦ ἐπισκόπου σου, ἔστρεψας εἰς ἀγαθὴν ἐπίνοιαν τὴν ὑπὲρ τῆς σῆς ψυχῆς μίαν γοῦν ἡμέραν, ἐγγυτάτω ἂν ἐγένου θεοῦ. Νῦν δὲ ἔοικας αὐτὸ καὶ μόνον διὰ βίου θέσθαι σκοπόν, τὸ ἀντικαθίστασθαι τοῖς ἐπισκόποις, καὶ μένειν ἀντεπισκόπητος, αὐτίκα δὲ καὶ ἀνεπισκόπητος. Καὶ μένε τοιοῦτος, εἰ βούλει, καὶ διαχειρίζου τοιαῦτα διὰ τέλους, καὶ πράττε οὕτως· ἵνα ἐν καιρῷ φαγὼν τοὺς τῶν οὕτως ἐργατικῶν καρπῶν σου πόνους, μόνος ἀντλήσῃς τὰ κακά σου. Λάλει, ὅσα καὶ οἷα λαλεῖς, καὶ καθ' ὧν ἂν λαλῇς· ἵνα ἐμμελετῶν τοῖς τοιούτοις ῥητορεύειν συνεθισθῇς. Εὐλόγει διαβολικῶς τοὺς ἀρχιερεῖς καὶ εἰς πρόςωπον, ἵνα εἴης εὐλογημένος. Ἀποδιοπόμπει τὸν ἐκεῖθεν ἁγιασμόν, καὶ λέγε, ὅτι ἐγὼ ἁγιάζω ἐμαυτόν· καὶ οὕτω περισσεύσει ὁ ἐν σοὶ ἁγιασμός, ὡς καὶ εἰς ἄλλους διαβαίνειν, οἳ τοιούτου ἐπιθυμοῦσιν ἁγιασμοῦ. Ἔξαπτε τὸν ἐπαγωγὸν λουτρῶνα, καὶ συγκαλοῦ εἰς λοῦμα καὶ ἀλοιφὴν τούς τε λοιποὺς φίλους, καὶ τοὺς παροδεύοντας, ἵνα ἐπὶ πολλῶν τοιούτων καταλούῃς τὸν ἀρχιερέα ὕβρεσι. Καὶ ἔσται σοι αὐτὸ καθάρσιον ψυχῆς τε καὶ σώματος λουομένῳ συχνά, ἵνα γένοιο καθαρός. Ἐξάρτυε λαμπρὰς τραπέζας, πολυανθρώπους· καὶ τοῖς ὄψοις παραμιγνύων κατέσθιε καὶ τὸν ἀρχιερέα. Καὶ μηδὲ κορέννυσο, ἵνα εἰς πολυήμερον αὐτὸν ταμιεύῃ τροφὴν καὶ τρυφήν. Πανηγύριζε δαπανῶν κατ' αὐτοῦ. Τίς γάρ σοι τῶν τοῦ θεοῦ φειδώ, ἐφ' οἷς δαιμονᾷς; Κήρυσσε αὐτὸν πανταχοῦ γῆς μιαρόν, καὶ παμμίαρον κωμικῶς, καὶ μιαρώτατον· ἵνα οὕτως ἀμίαντος αὐτὸς φυλάττοιο. Ψωμίζου τὰ κατ' αὐτοῦ, πίνων οἶνον. Ψάλλε εἰς αὐτόν. Κατάπτυε τοὺς ἐλαφροὺς κανόνας αὐτοῦ διὰ τὸν σὸν βαρὺν κανόνα. Περιφρόνει τὰς αὐτοῦ διδασκαλίας, ὧν οὐδὲ ἐπαΐειν δέδοταί σοι, οὐδ' ἂν δοθείη. Εὐθέτιζε τὸν βαθὺν πώγωνα εἰς εὐπρέπειαν, οὗ καὶ μόνου ἀπηώρηται τὸ κατὰ σὲ σεμνόν. Ἐμβάθυνε τῷ τῆς κεφαλῆς καλύμματι, καθιεμένῳ μέχρι μικροῦ καὶ εἰς ῥώθωνας· καὶ σὺ μὲν παρέμφαινε τῷ τρόπῳ τούτῳ τὴν πρὸς θεὸν ὁμοιότητα, λέγων τῷ ἐντρανίζοντι πρὸς σέ, ὅτι τὸ πρόςωπόν μου οὐκ ὀφθήσεταί σοι· αὐτὸς δὲ ἀντείποι ἄν, εὐστόχως οἶμαι, τό· οὐ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόςωπόν σου, καὶ ζήσεται.

189. Ἐρωτῶ σε τολμῶν, ὦ κατὰ ἐπισκόπων μέγιστε, καὶ ἐν τοῖς καθ' ἡμᾶς φοβερώτατε, εἰ εὑρεθήσονται ἐν τοῖς ὑπὸ σὲ καὶ κατὰ σὲ ἀδελφοῖς τοῖς τοσούτοις ἀγαθοὶ δέκα, τὸ Ἀβραμιαῖον πυθμενικόν· ἐὰν δὲ πέντε, ἐὰν δὲ τρεῖς ἅμα καὶ σοί. Ἀλλὰ τί οὕτως || Ms. fol. 217. b. οὐκ ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Ἔγωγ' οὖν οὐδὲ ἕνα τοιοῦτον ἀριθμὸν πληρέστατον εἶναι οἶδα ἐν τοῖς ἡμετέροις, τοῖς τῷ ὄντι ἐξωτερικοῖς. Ἀγαπητὸς γὰρ εὑρημένος καὶ ὁ εἷς, καὶ οὕτω μόνος, καὶ μοναδός, καὶ μοναχός, καὶ μονάζων, καὶ μοναστής, καὶ ἐπώνυμος τῇ μονῇ, ὡς αὐτῇ παραμόνιμος, εἰ καὶ ἐν τοῖς Μεγαλοπολίταις ἀνάπαλίν ἐστι καὶ ἐρωτῆσαι καὶ ἐξευρεῖν· παρ' οἷς πολλοστόν τι μέρος τὸ μὴ ἔκκριτον ἐν πολιτείᾳ μοναχικῇ· μήποτε δὲ οὐδέ τις εἷς ἐκεῖθεν ζῇ παρεξηυλημένην βιοτήν, ὡς ἀπωλείας υἱός· ἵνα καὶ ἐπ' αὐτῶν ἀληθεύσῃ τό· οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο.

190. Ἀλλὰ γὰρ ὀψέ ποτε, ὦ καλέ μου δέσποτα (πατέρα γὰρ προςειπεῖν ὀκνῶ, ἕως ἂν θεωρήσω σε καταληπτικῶς τοιαύτης προςφωνήσεως ἄξιον), διορθώθητι. Καὶ πρῶτα μὲν προςλαβόμενος τὸ ὑπό σε εἰςαγωγικὸν φῦλον, καὶ συνελθὼν εἰς ἀκρόασιν (εἰ μή που τὴν ἡμετέραν ἀπαξιοῖς λαλιάν), ἄκουσον, οἷα οὐ διδάξομεν ὑμᾶς ἴσως, ἀλλὰ ἀναμνήσομεν, ὡς εἰδότας, ὄντα ἐν τούτοις.

191. Οὐδέν τι κωλύει, ὦ ἀδελφοί, καὶ τοὺς ἔτι μὴ ἐντελῶς ἐσχηματισμένους ἐξομοιοῦσθαι ταῖς ἀρεταῖς

πρὸς τοὺς μεγαλοσχήμονας· καθότι καὶ ὅσοι ἀστέρες ὑπὸ τὴν ἀπλανῆ, πρὸς ἣν καὶ αὐτὸς ἐῤῥέθη τὸ μέγα σχῆμα ὀνομασθῆναι, πρὸς ἐκείνην στρέφονται στροφὴν ἑκατέραν, ὡς ἐπετάχθησαν. Δύνανται μιμήσεως λόγῳ καὶ οἱ μικροσχήμονες, ὁ μέν τις ἡλίῳ παρεοικέναι, ὁ δὲ σελήνῃ ἀφομοιῶσθαι. Καὶ συνόλως εἰπεῖν, πρὸς ἑπτάδα θείαν ἔχουσιν εἰκονίζεσθαι, ἀντικειμένην τῇ νοητῶς ἀπλανεῖ· οὐχ ὥστε μαχίμως ἀντιφέρεσθαι, ἀλλὰ συζωογονεῖν τοὺς περιγείους, οἷς ἔσωξεν ἐκείνους εἰς σωτηρίαν τὸ πνεῦμα τὸ ἅγιον· ὡς ἂν οὕτως οἱ τέλειοι τὴν ἀρετήν, οὗ σύμβολον ἡ ἑπτάς, καθὰ τεθεώρηται τοῖς σοφοῖς, τελειοποιῶσι τοὺς ἔτι τοῦ βίου. Καὶ οὕτω μὲν ἔστι καταλαβέσθαι, ὅτι δύνανται καὶ οἱ μήπω τοῦ μεγάλου γενόμενοι σχήματος πρὸς τὸν μεγαλοσχήμονα τυποῦσθαι, καθὰ καὶ οἱ ζωογόνα, πλανώμενοι πρὸς τὴν φερέσβιον ἀπλανῆ.

192. Καὶ ἔστωσαν οἱ μὲν μανδυῶται τοιοῦτοι σὺν Θεῷ. Οἱ δὲ μετ' αὐτοὺς ὑποβεβηκότες λαμπέτωσαν, εἰ μὴ κατ' ἐκείνους, ἀλλ' οὖν κατὰ τὰ μικρότερα τῶν ἀστρῴων (οὐ δή πουθεν γὰρ οὐδ' αὐτοὶ ἀδυνατοῦσι τοῦτό γε), ἵνα οὕτως εἶεν τὰ μοναχικὰ πάντα πράγματα ἐν ἐλλάμψει, καὶ περιλάμψει, καὶ ζωογόνῳ καταστάσει, ἐπιστρεφούσῃ τοὺς βλέποντας· οἳ καὶ δοκοῖεν ἂν ἐκεῖθεν ἀκούειν τό προσέλθετε πρὸς ἡμᾶς, καὶ φωτίσθητε. Εἰ δέ τις τῶν μανδυωτῶν ὀκνεῖ πλανήτης εἶναι, μήποτε εἰς Κρόνον ἐντεῦθεν ἀναστραφείη, τὸν τοῖς τέκνοις ἐπιμαινόμενον· ἢ καὶ εἰς Ἄρην ἀποταχθείη, μάχαις ἐπιστατοῦντα· εὐλαβεῖται δὲ καὶ τὸ ἐπαφρόδιτον, καὶ τὸ κατὰ τὴν σελήνην πολύτροπον, καὶ εἴ τινα τοιαῦθ' ἕτερα — εὔλογα μὲν ὑποστέλλεσθαι δοκοίη ἄν, ὡς ἄνθρωπος· πεπληροφορημένος δέ, τερετίσματα, ὃ δὴ λέγεται, καὶ τὰ τοιαῦτα νοήματα εἶναι, ὅμως ἀπερειδέτω ἑαυτὸν πρὸς ἡλιακὴν ὁμοιότητα, καθ' ἣν ἡμεροφαὴς ἔσται τὴν πολιτείαν· ἐπιτεχνάσθω δὲ καὶ τὰ κατὰ τὸν ἀρχικὸν διάσεμνα, καὶ τὴν ἔλλογον ἑρμαϊκὴν || [Ms. fol. 218 a.] εἰκασίαν, δι' ἧς σῶμα ἔσται καὶ αὐτὸς Θεοῦ ἀποστολικῶς, καὶ οὕτω θεοκήρυξ, καὶ πάντα κατὰ λόγον καὶ σοφίαν ποιῶν, κἂν τῶν πρώτων στοιχείων τῆς γραφικῆς ἐπιστήμης εἴη ἄγευστος.

193. Καὶ ὧδε μὲν μὴ εὐλαβείσθωσαν οἱ τῷ μανδύᾳ μόνῳ πνευματικῶς τεθωρακισμένοι. Ἡλιῶδες γὰρ προλάμποντες, καὶ ἑρμαϊκῶς ἐλλογοῦντες, ὅτε χρή, καὶ αὖ πάλιν ἑτέρωθι λογιζόμενοι, καὶ ἑαυτοὺς ἄλλοτε λογοπραγοῦντες, καὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου ὄντες θεράποντες, οὔτε κρονικῶς ἀγριοφαγήσουσιν, οὔτε ἀρεϊκῶς ἐκπολεμώσονται, οὐδὲ τὰ ἐς Ἀφροδίτην θρύψονται, οὐδ' ἂν ἄλλο τι πείσονται αὐτόχρημα κοσμικόν· ἀλλὰ σεμνῶς πολιτευόμενοι καὶ ἐλλόγως, καὶ τὸ ὅλον εἰπεῖν θεοπρεπῶς, πέμψουσι καὶ αὐτοὶ φαντασίαν τοῖς διορατικοῖς τοῦ εἶναι θεοί, ὁποία τις καὶ τοῖς μεγάλοις ἐπεγράφη, τῷ Βαρνάβᾳ καὶ τῷ Παύλῳ. Καὶ γάρ τοι καὶ ἐκεῖνοι τοιοῦτοι προφαινόμενοι, ὁ μὲν εἰς Δία ἐθεωρήθησαν, ὁ δὲ εἰς Ἑρμῆν. Καὶ οὕτω μέν, ὡς ἔφαμεν, ἀστεροειδεῖς μεγαλείως ἔσονται, ἡ ἐν μοναχοῖς δευτέρα τάξις, οὓς ὁ ἱερὸς περιστέλλει μανδύας, σφικτὸς αὐτὸς ὢν ἐγκομβώμασιν· οὐ μὴν κατὰ τὸν ἀρχιερατικὸν διαπεπταμένος, καὶ οὕτως ἄνετος εἴς τι σύμβολον· ὃ νῦν διεξελθεῖν ἄκαιρον. Τὸ δὲ τρίτον τάγμα, οἱ ὡς οἷον εἰπεῖν ἔτι ἀθωράκιστοι καὶ ψιλῖται, οὓς καὶ εἰς βραχυτέρους ἀστέρας ὁ λόγος ὑψώσας ἐσφαίρωσε, μηδ' αὐτοὶ ἐνταῦθα φόβου εἴησαν· ὡς, ἐπειδὴ ἐν τοῖς ἀπλανέσιν ὠνόμασταί τινα τῶν ἄστρων οὐκ εἰς εὔφημον, φευκτέα καὶ αὐτά εἰσι τὰ εἰς μίμησιν. Τὸ μὲν γάρ τι σύνθεμα εἰς Δράκοντά φασιν ἐξεικάσθη· ἕτερον δὲ ἓν καὶ δεύτερον εἰς Ἄρκτους· ἄλλο δὲ εἰς Πήγασον. Τὸ δέ τι Καρκίνον παραφαίνει, ὃς οὐκ ἂν ἐπαινοῖτο τῆς κλήσεως, ἢ Τοξότην φαυλωνυμούμενον. Διὸ μισοῦσι μὲν καὶ αὐτὰ τῶν ὀνομάτων. Οὐκ ἀγαπῶσι δὲ οὐδὲ τὸν Αἰγόκερων διὰ τὸ ἀγριώνυμον. Καὶ τινα δὲ λοιπὰ τοιαῦτα (πολλὰ δὲ ἐκεῖνα) προσενθυμούμενοι, ἀποπροσποιοῦνται τὸ ἀστεροειδές. Μὴ τοίνυν μηδ' αὐτοὶ ἐνταῦθα φοβείσθωσαν, οὗ φόβος οὐδείς. Ὁ γὰρ διανοούμενος οὕτως ἴστω, πλανήτης τρόπον ἄλλον αὐτὸς εἶναι, οὐ μὴν ἀποπλανὴς κατά γε τὰ ἰδίως ἄστρα λεγόμενα. Πλανᾶται γὰρ ἀληθῶς, καὶ οὐδὲ πρὸς ἔπαινον, εἰ τὸ πραγματικὸν καίριον ἀφεὶς μιμεῖσθαι, τὸ ἐν τοῖς ἄστροις, περιεργάζεται ψιλὰ ὀνόματα. Οὐδὲ μία γὰρ φαύλη κλῆσις ἔβλαψέ ποτε τὸν ἐπ' ἀγαθοῖς μιμητὴν ἄνδρα, ὥσπερ οὐδὲ ἀγαθὴ ὠφέλησε τόν, ἐφ' οἷς οὐ χρή, ζηλωτήν· αἱ δὲ κατὰ πρᾶγμα μιμήσεις ἢ ἔβλαψαν, ὅτε τις τὸ φαῦλον ζηλοῖ, ἢ ὠφέλησαν, ἄλλως γινόμεναι. Καὶ μὴν εἰ τοιαῦτα τινὰ δέδιεν ὁ εἰσαγωγικός, μήποτε διὰ τὸν ἐν τοῖς ἀστροθετήμασι Δράκοντα βορὸς αὐτὸς ἀποβαίη, καὶ διὰ τὰς Ἄρκτους παμφαγῇ, καὶ διὰ τὸν Πήγασον πρὸς λαγνείαν τρέφηται, καὶ την-ἄλλως μετεωρίζηται, καὶ λοξὰ βαίνῃ Καρκίνου δίκην, οὐχ ἔχων ὀρθὰ βαδίζειν, ὡς ἀνθρώπῳ πρέπει, ἀναγκάζηται δὲ καὶ λῃστρικῶς βιοῦν ἐν τῷ κατατοξεύειν διὰ τὸν ἄνω Τοξότην, καὶ ἐξαγριοῦσθαι ὡς εἰς κέρας, ὅ φασι, διὰ τὸν Αἰγόκερων, || [Ms. fol. 218 b.] δαιμονᾷ ὁ τοιοῦτος τοῦ φόβου, ἢ ἀλλὰ εἰς ὑποχόνδριον κακοπραγεῖ· εἰ μή τι ἄρα παίζειν ἄλλως ἐθέλει ἐν οὐ παικτοῖς. Ἔστω δὲ ὅμως καὶ αὐτῷ εἰς θεραπείαν ἀστρῴων ἑτέρων χρηστοτέρων ὀνομάτων (εἰ βούλοιτο) πρῶτα μὲν τὸ

Θυτήριον· δι' οὗ ἐναχθεὶς θύειν ἑαυτὸν τῷ θεῷ ὁ τοιοῦτος μοναχός, καὶ εἰς θυσίαν ἀποτελεῖσθαι δεκτήν, κληρονομήσοι ἂν διὰ τῆς κατ' αὐτὸν πρακτικῆς ἀρετῆς, οὐκέτι φαῦλον, ἀλλὰ πάντως ἀγαθὸν ἀστρῷον ὄνομα, θυτήριον θεῖον καλούμενος· κοινότερον δὲ εἰπεῖν, θυμιατήριον, ὡσιωμένον θεῷ. Εἶτα πρὸς τῷ θυτηρίῳ ἐχέτω . εἰς ἀγαθωνυμίας μίμησιν καὶ τοὺς ἠστροθετημένους Διδύμους, τὸ τῆς καθ' ἱστορίαν φιλαδελφίας παλαίτατον ὑπόμνημα, καθ' ἣν καὶ αὐτοῦ τοῦ ζῆν ἀλλήλοις ὑπεξίστανται οἱ φιλόθεοι. Πρὸς τούτοις καὶ τὴν Παρθένον, τὸ καὶ κάλλιστον καὶ ἀγγέλοις φίλον ὄνομα· οὗ πρὸς μίμησιν ὁ τρέχων πραγματευτικῶς αὐτῷ θεῷ ἐγγίζει, καὶ τῷ ἠγαπημένῳ θεολόγῳ συμπαραστατεῖ· ταύτῃ καὶ τὸν Ὑδρηχόον προσεννοούμενός τις, καὶ τῷ ὀνόματι τούτῳ εἰς ἐγκράτειαν ἐξασκούμενος, καὶ τὴν ἐκ μέθης ἢ καὶ ἄλλως οἰνοφλυγίας κακίαν ἑαυτοῦ ἀπάγων, καὶ νηφάλιον ζωὴν παιδευόμενος, καὶ λοιπὰς δὲ τοιαύτας ἐκ τῶν ἄστρων κλήσεις ἐρανιζόμενος, καὶ πρὸς αὐτὰς διατιθέμενος ἔμπρακτος, ἐκθεραπεύσει τοὺς ἐν αὐτῷ φόβους ἐκείνους· τὸν τοῦ Δράκοντος, τὸν ἑκατέρας Ἄρκτου, τὸν ἐκ τοῦ Πηγάσου, τὸν τοῦ Καρκίνου, τὸν τοῦ Τοξότου, τὸν τοῦ Αἰγόκερω, τοὺς λοιποὺς ἅπαντας· καὶ μενεῖ διόλου ἄστρον θεῖον, ἀγαθοῖς ἐλλαμπόμενος ὀνόμασί τε καὶ πράγμασιν. Ἄνθρωπος γὰρ ἀνατεθειμένος θεῷ διά τε τοῦ θυσία ἐκείνῳ γενέσθαι, διά τε φιλαδελφίας, ὁποίαν τὸ ἱερὸν παραδίδωσιν εὐαγγέλιον καὶ ἡ παλαιὰ θειοτάτη γραφή, καὶ καθαρότητα δὲ παρθενοπρεπῆ ζηλώσας, καὶ ἐγκρατείᾳ ἐγγυμναζόμενος, οὔτε Δράκοντός τι ἔχοι ἄν, οὔτε Ἄρκτου. Πῶς γὰρ ἂν ἰὸν ἐνερεύξηται φθόνου, ἢ βλασφήμως ἀνθρωποφαγήσῃ, φιλάδελφος ἄνθρωπος, καὶ ἐπιθυμιῶν ἐφαμάρτων ἐγκρατής; Ἀκολούθως δὲ οὐδὲ φριμάξεται καταχρεμετίζων ἀλογίστως ὁ τηλικοῦτος ἄνθρωπος, οὐδὲ τὰς τοῦ θεοῦ τρίβους λοξώσει πλαγιάζων, ἐφ' οἷς οὐ δεῖ, καὶ τὴν φιλαδελφίαν οὕτω ψευδόμενος. Δι' αὐτὸ δὲ τοῦτο οὐδὲ εἰς τοξότην ἐγγεγράψεται, οὐδὲ μὴν εἰς αἶγα, κέρατι πλήττοντα· ὁποῖόν τι κακὸν καὶ ἡ μεταληπτικῶς λογοποιουμένη Χίμαιρα, πρὸς ἣν οὐκ ἂν κεράστης Ὄφις παραβάλοιτο.

194. Ἀλλ' εἰς τί μοι τὰ ἀστρικὰ ταῦτα; Οἷς ἔχων οὐκ ἀπροσφυῶς, οὐδὲ μὴν ἀφυῶς, ἐμπλατύνασθαι εἰς πλέον, ὅμως ἐνταῦθα τουνεχέστερον καθιστῶ τὸν λόγον, ἵνα μάθοιεν καὶ οἱ τοῦ δευτέρου καὶ τρίτου σχήματος μοναχοί, μὴ ἔχειν προφασίζεσθαι, ὡς οὔπω ἥκει αὐτοῖς ἡ ὥρα τοῦ σεσῶσθαι· μηδὲ λέγοιεν, ὡς „νῦν μὲν ὀλίγα ἐγκρατευτέον, καὶ δοτέον μερίδα καὶ ταῖς ἁμαρτητικαῖς διαθέσεσι. Mo. fol. 219. a. Μι||κροὶ γὰρ ἔτι ἐσμέν, καὶ ἀτελεῖς· τοῖς δὲ τοιούτοις οὐ λογίζεται ἁμαρτία, καί πως οὐδὲ νόμος αὐτοῖς τελειοποιὸς ἔτι κεῖται. Καθαρευτέον δὲ εἰς ἀκριβές, ὅτε τοῦ μεγάλου γενώμεθα σχήματος· καὶ ἐπειδὴ θανάτῳ ἄγχιστα ἔοικεν ἡ κατὰ ἐκεῖνο διάθεσις, ζητητέον τό γε νῦν ἔχον τρυφερώτερον. Εἶτα ζητητέον καὶ τὸ σωτήριον, ἵνα ζωὴ αὕτη ἐμπαθὴς τοῦ ἀπαθοῦς ἐκείνου θανάτου προηγήσεται.“ Οὐκοῦν, ὦ ἀδελφοί, ποριστέον, ἐξ ὧν φθάσαντες ἀνεταξάμεθα, ὡς μεγάλα μὲν φῶτα οἱ ἀληθεῖς μεγαλοσχήμονες· δεύτερα δὲ φῶτα, οἷς ὁ ἱερώτατος διπλοῦς ἐπιπρέπει μανδύας· τρίτα δὲ φῶτα οἱ εἰσαχθέντες· τετάρτης δὲ φαύσεως οἱ ἀγαθοὶ λαϊκοί. Καὶ εἴη οὕτως εἶναι, μήποτε οἱ τοῦ λαοῦ ὕπερθεν καὶ τῶν τριῶν γίνωνται, ἀγαθοπραγοῦντες ὑπὲρ αὐτούς, καὶ γένηται οὕτω τὰ ἄνω κάτω· ἢ καὶ ἄλλως φάναι, ἄναλλα τὰ πάντα, ὡς οἷα κατὰ ἀναστοιχείωσιν. Καὶ ποθῶ μὲν ἐγὼ τὸ λαϊκὸν ὑπέρμεγα καλόν, συνεπιποθῶ δὲ καὶ τὸ μοναχικόν· ἵνα πάντες τῷ λόγῳ τούτῳ ἓν ὦσιν εὐαγγελικῶς. Αὐτὸ δὲ γενήσεται, εἰ τὸ Χριστιανικὸν καθῆκον πρόεισιν ἐν ἡμῖν καθ' εἱρμόν, τρόπῳ τοιῷδε.

195. Ἅπας ἄνθρωπος θεοῦ πάντως ἄνθρωπος, ὅτι καὶ θεοῦ ποίημα, τὸ καὶ κάλλιστον, καὶ βέλτιστον, καὶ ἄριστον· οὗ κατῆρξεν ὅσα καὶ σπέρμα θεοπρεπὲς ὁ πρωτόθετος Ἀδάμ. Τούτου δὲ τοῦ ποιήματος ὅσοι μὲν τὴν κυριακὴν μάνδραν ἀπείπαντο, στηκέτωσαν ἔξω, καθάπερ ἐκείνης, οὕτω καὶ τοῦ καθ' ἡμᾶς τοῦδε λόγου. Τῶν δὲ εὐαγγελικῶς ἀνθρώπων τοῦ θεοῦ οἱ μὲν τοῦ λαοῦ, ὃν ἀρχῆθεν ἡ φύσις ἐγνώρισεν, ἐξίσης ἅπαντες ὀφειλέται καθεστήκασι πίστεως, φιλουμένης τῷ παμβασιλεῖ· ὅς, ἅπερ λέγει, πᾶσι λέγει. Καὶ εἰσιν ἅπαντες τῆς αὐτοῦ θεραπείας, ὡς οὐκ ἂν ἀμφιλέξοι τις. Ὅσον δὲ φῦλον ἰδιάσαν πόθῳ βίου κρείττονος, ἄλλως τῷ θεῷ ἀφώρισται, καὶ ὡς τοῦ λοιποῦ ποιμνίου ἀπόλεκτον ἐσημειώθη σφραγῖδι δεσποτικῇ βασιλικῇ δευτέρᾳ μετὰ τὸ βάπτισμα, ἐκεῖνο ἀποκέκοπται δηλαδή, οὐ φαρισαϊκῶς μέντοι, ἀλλ' εἰ χρὴ οὕτω φάναι, κατὰ τοὺς περιᾳδομένους Ἐσσαιούς, οὓς ὁ γλυκὺς Ἑβραῖος ῥήτωρ καθιστορεῖ· οἷς μᾶλλον ἀφομοιώσεται τὸ κοινοβιακὸν μοναχικόν. Τούτων δὲ τῶν ἱερῶς ἀποκεκομμένων οἱ μὲν τὴν παπαδικὴν συμπληροῦσι φυλήν, οἳ τῷ καὶ γάμῳ κοινωνεῖν, καὶ ἐπιγονῆς ἐφίεσθαι γεναρχικῆς, τῷ λαϊκῷ προσκυροῦσι βίῳ· οἱ δὲ τὸ ἕτερον σκέλος τῆς διαιρέσεως ἀπαρτίζουσι τῆσδε. Καὶ εἰσὶν αὐτὸ οἱ μοναχοί· ὧν σχιζομένων αὖθις τριχῇ, διανενέμηται τὸ κατ' αὐτοὺς ὑποδιαίρεμα εἰς τοὺς παντελείους, καὶ εἰς τοὺς πάντῃ ἀτελεῖς, καὶ εἰς τοὺς μέσους· εἰπεῖν δὲ συνηθέστερον, εἰς τοὺς

μεγαλοσχήμονας, καὶ εἰς τοὺς τοῦ μικροῦ σχήματος διὰ τὴν εἰσαγωγήν, καὶ εἰς τοὺς μέσους μανδυώτας. Καὶ ἔστιν, ὥσπερ ὁ γάμος κοινωνία λαϊκοῦ ἀνδρὸς καὶ παπᾶ, οὕτω συνδρομὴ μοναχοῦ πρὸς παπᾶν τὸ τοῦ ἐξεπιπολῆς φορήματος μέλαν καὶ πρός τινα διαφοράν, καὶ τὸ (ὁλοσχερῶς εἰπεῖν) || Ms. fol. 219. b. οὐ λαϊκόν, ἀλλά πως Λεβιτικόν.

196. Ἐκ τούτων δὲ δῆλον, ὡς θεραπευταὶ μὲν θεοῦ πάντες κοινῶς οἱ Χριστιανοί, ἀποτεταγμένως δὲ οἱ παπάδες καὶ οἱ μοναχοί· τούτων δὲ εἰς πλέον οἱ μοναχοί, ὡς πάντα μὲν βίον καταγωνισάμενοι, τόν τε λαϊκόν, καὶ αὐτὸν τὸν παπαδικόν· ἐκλεξάμενοι δὲ ἄλλο τι ἐπέκεινα, καὶ οὐ μόνον ἐκλεξάμενοι, ἀλλὰ καὶ ἐπιβαλόντες τῷ ἐπιλελεγμένῳ ἀγαθῷ, καὶ ἀνάγκην ἔχοντες ἀεὶ ἀναβαίνειν κατὰ τὴν πρόθεσιν, ἧς ἐγένοντο, καὶ ἀποδιδόναι τῷ θεῷ, ἅπερ εὔξαντο ἐπὶ σωτηρίᾳ. Διὸ εἰ μὲν εὐθυποροῦσι, ποιοῦντες, ὡς ἐτάξαντο, καὶ τοῦ παγκρατίου γενόμενοι, ἀγωνιῶσι, μὴ δεύτεροι ἐκπεσεῖν τοῦ χειρίστου ἀντιπάλου, ὀρθὴν ἀνύουσι τὴν προτεθειμένην ὁδόν. Καὶ ὄντες οὕτως ἀληθῶς μοναχοὶ διὰ τὸ ἀποκεχωρίσθαι τῶν ἄλλων πάντων ἀνθρώπων, ὅμως τρόπον ἄλλον οὐκ εἰσὶ μοναχοί. Ἐπισπῶνται γὰρ τὸ βιωτικὸν ἅπαν φῦλον τῇ ὁμοιότητι πρὸς αὐτούς. Καὶ οὕτω γίνονται πάντες τῇ μιμήσει καὶ τῷ ἐμπράκτῳ ζήλῳ ἕν· ὡς εἶναι οὕτω καὶ τοὺς μοναχοὺς λαϊκῶς ἀμωμήτους, καὶ αὖ πάλιν τοὺς τοῦ λαοῦ ἀπεκβαίνειν μονάζοντας· οὕτω δὲ καὶ τοὺς παπάδας ἑκάτερα εἶναι, καὶ ὅλως τῇ τῶν ἐναρέτων βίων εἰς ἀλλήλους ἀντιμεταχωρήσει πάντα ὁμοῦ χρήματα εἶναι, οὐ καθὰ πάλαι ποτὲ ἠρέτισται, ἀλλὰ θειότερον.

197. Εἰ μὲν οὖν, ὦ μοναχέ, ὅστις ποτ' ἂν καὶ εἴης τῷ ἱερῷ σχήματι, οὕτω διάκεισαι, ὡς ὑπετυπωσάμεθα, καὶ σὺ ὀρθῶς ἕστηκας, καὶ ἄλλους ἐξαναστήσεις πίπτοντας. Εἰ δὲ ἀποτυγχάνεις τῆς προθέσεως, οὐκ ἄρα εἰς ὄρθιον σεαυτὸν ἀγαλματίζεις τῷ θεῷ, ἀλλὰ πλαγιάζεις ὡς εἰς πτῶμα συντριβὴν ἀπειλοῦν. Οὐκοῦν ὀρθώθητι, καὶ τὸ κατὰ θεὸν οὕτως ἀσθενὲς ἀγάπησον. Ἄφες τὸ ἀγέρωχον· σκοράκισον τὸ φίλαρχον, καὶ δι' αὐτὸ ἄναρχον· ἀπόθου τὴν οἴησιν. Οἴησιν δὲ λέγω οὐ τήν, ὡς ἂν εἴποι τις, ἐπιγνωστικήν, καθ' ἣν γινώσκων τις ἀγαθοπραγεῖν, οἴεται ἀγαθὸς εἶναι (δῆλον γάρ, ὡς ὁ πρὸς ἀκρίβειαν εἰδὼς πολλῷ πρότερον οἴεται)· ἀλλὰ τὴν δαιμονικήν. Ἔστι δὲ τοιαύτη, καθ' ἣν ὁ τὸ μηδὲν ὢν οἴεται εἶναι τὸ πᾶν. Τοιοῦτος ὁ τῆς ἱστορίας Βάττος, ἐὰν τυχὸν Ὀρφικὸς ᾤετο εἶναι. Τοιοῦτος ὁ Θερσίτης, ὅτε τῷ καλῷ Ἀχιλλεῖ ἐρίζειν περὶ κάλλους ἐθέλοι. Τοιαύτη τις οἴησις καὶ τὸν παροιμιαζόμενον Θάμυριν, εἴτε Ἄμυριν, ὑπεξήγαγε τοῦ βλέπειν. Τί μὴ λέγω τὸ πάντων ὕπερθεν; Διὰ ταύτην καταδὺς ὁ ἑωσφόρος, τῷ σκότῳ κεκλήρωται. Τὴν τοιαύτην ἀπόθου οἴησιν, ὦ ἀδελφέ. Πάνυ γὰρ ἐξήσκησας, οἰηματίας εἶναι, μορφαζόμενος, ὅπερ οὐδὲ πέφυκας. Ἄφες καὶ τὸ ἄγαν φιλότιμον, μενοῦν γε τὸ φιλόδοξον· ἐγγὺς δὲ εἰπεῖν, καὶ κενόδοξον. Ἄλλως γὰρ ἡ φιλοτιμία εἶδός ἐστιν ἀρετῆς. Τί φιλενδεικτεῖς ὑπὲρ τὸ δέον; Ἐκρύβης διὰ τῆς κουρᾶς· μὴ τοίνυν προφαίνου. Ἀσύντροχον γὰρ τῇ κρύψει τὸ φαντιᾶν. Τὴν τραχεῖαν || Ms. fol. 220. a. ὁδὸν εἵλου· τί γοῦν ἐπιτρέχεις τῇ λείᾳ, ἔνθα κινδυνώδης καὶ ἡ ἀγχώμαλος; Προέκρινας ἤδη τὸ τοῦ βίου σκληρόν· οὔκουν ὀφείλεις τοῦ παναπάλου γίνεσθαι.

198. Ὡς νὺξ περὶ σὲ κέχυται τὸ κατὰ κόσμον ἀφανές· οὐ μὴν αὐτὸς εἰς νύκτα μεταπέπλασαι. Μὴ τοίνυν θέλε θέσθαι σκότος, ὡς γενέσθαι νύκτα· ἐν ᾗ διελεύσονται παρά σοι θηρία δρυμοῦ, καὶ σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάζειν, καὶ ἄλλους μὲν ἴσως, μάλιστα δὲ σεαυτόν. Ἐνέργειαι ταῦτα θηριώδεις, ἐν σοὶ πορευόμεναι, καὶ παῤῥησιαζόμεναι διὰ σοῦ. Ἀλλ' εἰ χρὴ καὶ νύκτερον εἶναί σε οἰκονομικῶς, ἀλλὰ ταχὺ ἀποτελεύτα τὴν νύκτα ταύτην εἰς ἡμέραν θεοπαράδοτον, ἐν ᾗ τὰ μὲν ἐμπαθῆ θηρία κοιτάζονται, μὴ ἔχοντα παῤῥησιάζεσθαι· ὁ δὲ πρὸς ἀλήθειαν ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἐξέρχεται. Τὸ γὰρ ὑπὲρ γῆς ἀεὶ νύκτερον Κιμμερίοις ὁ παλαιὸς λόγος ἀφώρισε. Σαφέστερον δὲ διαθέσθαι τὸν λόγον λάθε βιούς, ὡς παρέλαβες ἐκ παλαιοῦ καὶ σοφοῦ ἀποφθέγματος. Καὶ λάθε μὴ μόνον τοὺς ἄλλους τῇ ἐπικρύψει τῆς ἐναρέτου βιοτῆς, ἀλλὰ καὶ σαυτὸν τῇ ἀτυφίᾳ καὶ τῷ ταπεινώματι· ὅπερ ὁ ἔχων οὐδὲ ζῆν λογίζεται. Τοῦτο ἡ νύξ. Λαμψάτω τὸ φῶς σου ἔμπροσθεν τῶν ἀνθρώπων. Τοῦτο ἡ ἡμέρα, εἰς ἣν ἡ τοιαύτη νὺξ ἀποτελευτᾷ, παῤῥησιάζουσα τὸν μοναχόν, οὐχ οὕτως ἁπλῶς, εἰκῇ καὶ μάτην ἐν τῷ κόσμῳ· ἵνα καθὰ καὶ λυχνοῦχος παραβεβλημένος οἴκοις ἀνθρώπων λάμπῃ ἐν ὀπτανείοις, ἐν τραπέζαις, ἐν συσσιτίοις, ἐν εἰλαπίναις, ἐν ἐράνοις· ἀλλ' ἵνα ἐμπυρσεύηται ἀπὸ τοῦ τῶν φώτων πατρός, καὶ ἐκεῖθεν εἰς φῶς ἐξαναπτόμενος ἐκλάμπῃ, καὶ φαίνῃ, καὶ πυρσεύῃ· ὡς διήκειν, εἰ καὶ μὴ πανταχοῦ ἀποστολικῶς, ἀλλ' οὖν πολλαχοῦ τῆς γῆς τὸ ἐν αὐτῷ φῶς. Ὃ δὴ καὶ ἐν τοῖς πυρσευομένοις φανοῖς εἴωθε γίνεσθαι, ὧν ἐκλαμπόντων ἄνωθέν ποθεν ἔφοδοί τε πολεμίων καταμηνύονται, καὶ λιμένες εὐάγκαλοι διερμηνεύονται, καὶ βράχεα κινδυνώδη καὶ ῥαχίαι καὶ σπιλάδες ἐκκλίνονται, καὶ ἑτεροῖα σωτηριώδη γίνεται.

199. Οὐκ ἤκουσας ἐκ τοῦ μεγίστου διδασκάλου·

λάμψον ἔμπροσθεν τῶν ἀνθρώπων; αὐτὸς δηλαδὴ ἐν στενωποῖς καὶ λεωφόροις ἀναστρεφόμενος, καὶ ταῖς περὶ γῆν θυέλλαις ἐνειλούμενος, ἔνθα φόβος, μήποτε διαυλωνίζοντες ἀσύμμετροι ἄνεμοι ἀποσβέσωσι τὸ ἐν σοὶ φῶς· ἀλλὰ λαμψάτω τὸ φῶς σου, ἄνωθεν ἀκτινοβολούμενον, ἀνέφελον καὶ ἀνεπισκότητον. Οὕτω καὶ ἡλίου δίσκος οὐ καταῤῥίπτων ἑαυτὸν ἄνωθεν, ἀλλ' ὕψου διφρεύων, ἀκτῖνας ἀποπάλλει ζωογόνους· οὐ μόνον ἔμπροσθεν ἀνθρώπων, ἀλλὰ καὶ πανταχῆ, ἔνθα κεκέλευσται, ἀξιωματικῶς παμφαίνων, καὶ τὰς τῶν βλεπόντων ὄψεις αὐτὸς ἕλκων ἄνω, καὶ αὐτόθεν περίβλεπτος προφαινόμενος. Οὕτω καὶ σελήνη προλάμπει ζήλῳ, εἴποι ἄν τις, τῷ κατὰ τον ἥλιον· καὶ ὅσοι δὲ τῶν ἄλλων ἀστέρων θέας ἄξιοι. Ποίει γοῦν οὕτω καὶ σύ· καὶ λάμπων φύλαττε ὁμοίαν σεμνότητα, ἄνω τε μένων, καὶ κάτω λάμπων ἐν τῇ νυκτὶ τοῦ καθ' Ms. fol. 220. b. ἡμᾶς βίου, καὶ τοὺς ἐγρηγορότας φωτίζων, καὶ || ἀρετῆς προκλήσει βοώσης· προσέλθετε καὶ φωτίσθητε· ἀναβλέπειν ἐκείνους εἰς σὲ ποιῶν, καὶ ἐργάζεσθαι τὰ σωτήρια· τὰ μὲν καὶ ἄλλως πολυτρόπως, ὡς οἴδασιν αὐτοὶ μαθόντες ἐκ φύσεως· τὰ δὲ καὶ ὑπὸ τῷ κατὰ σὲ φωτί.

200. Ἐὰν δέ ποτε δεήσῃ τὸ ἐν σοὶ φῶς τὸ θεομίμητον καί τινος ἑνὸς τόπου γενέσθαι, οἷον οἴκου, ἢ κώμης, ἢ ἀγορᾶς, ἢ ἑορτῆς, ἢ ἄλλης τινὸς διοικήσεως, λάμπε κυριακῶς καὶ ἐκεῖ, ἐπὶ ἀναψηλαφήσει μέν τοι καὶ εὑρέσει δραχμῆς ἀπολωλυίας εὐαγγελικῆς· οὐ μὴν ὡς ἐμπλῆσαι καμψάκην πραγματευτικῶς δίχα προκλήσεως. Ἐπαιτοῦντος γὰρ ἀνθρώπου τοῦτό γε, καὶ πανδημίου, ὡς οὕτως εἰπεῖν, πτωχοῦ, ὃς δύναιτ' ἂν καὶ δίχα σχήματος ἀγγελικοῦ ῥαγωλέα περιδυθῆναι, καὶ πήραν ἐνάψασθαι, καὶ κνυζῶσαι τοὺς ὀφθαλμούς, καὶ σχηματίσασθαι παντοίως τὸν ἱκέτην, καὶ οὕτως ἔμφορτος γενέσθαι, ὧν αὐτὸς θέλει.

201. Φιλοσόφει ἐνταῦθα καὶ τὸν τῆς δικαιοσύνης ἥλιον, τὸν πρὸ ἡλίου, τὸν πρὸ αἰώνων, τὸν ἀεὶ καὶ ὄντα καὶ λάμποντα, τοιούτῳ λόγῳ κατεληλυθότα εἰς γῆν, καὶ λάμψαντα ἐν ἡμῖν, καὶ ψηλαφήσαντα τοὺς ἀπολωλεκότας, καὶ εὑρηκότα, καὶ ἀναλαβόμενον, καὶ περισωσάμενον, καὶ ἀναγαγόντα, ἔνθα καὶ αὐτὸς ἦν πάντοτε. Εἰ οὕτω καταβαίνειν καὶ αὐτὸς ἐθέλεις, ὡς καὶ αὐτὸς θεὸς εἶναι θετός, καὶ τοὺς ἄλλους δὲ ἐξομοιοῦν σοὶ αὐτῷ κατὰ ἐνθεασμόν, κατάβαινε, καὶ συναναστρέφου ἡμῖν τοῖς ἀνθρώποις· ἄλλως δέ γε ἔῤῥε, ἐλέγχιστε ζωόντων· μήποτε ὁ κοινὸς δεσπότης δραπετεύοντά σε ἀναζητήσας, ἐπιθήσει ζημίαν τοῖς ἀναδεχομένοις σε. Ἐννοήθητι, ὅτι ἄγγελος φωτὸς εἶ, κἂν μελαμφορῇς· ὅτι φωτὶ τῷ ὄντως παραστατεῖν τέταξαι· ὅτι τοῦ οἰκείου, ὅ φασι, λόγου τυγχάνεις παρὰ τῷ θεῷ· ὅτι ἀρετὰς ἐπηγγείλω παντοίας.

202. Χρεωστεῖς καὶ μάλιστα σύ, ὦ μεγαλοπρεπέστατε. Μὴ τοίνυν ἀναβάλλου τὴν τῆς ὀφειλῆς ἔκτισιν. Ηὔξω, καὶ ἀπόδος. Εἶπας, καὶ ποίησον. Ὑπέσχου, καὶ πληροφόρησον. Σπεῦσον, μὴ ψεύσασθαι τῷ θεῷ, ὃν οὐκ ἔστι διαλαθεῖν. Ζυγὸς ἐπετέθη σοι· μὴ οὖν γίνου σκληροτράχηλος. Βαρὺς μὲν γὰρ ὤν, κατατρίψει σε εἰς βαθεῖαν πληγήν· ἐλαφρὸς δὲ ἐπικείμενος, καὶ οὕτω χρηστός, ἀπελέγξει τὸ ἐν σοὶ ἀδάμαστον. Οὗ ἕνεκα καὶ κέντρου δεηθήσῃ καὶ ἐχεροίας κακώσεως. Φύλαξ ἀμπέλου ἐτάχθης εὐλογημένης ἐν τῷ καιρῷ τῆς κουρᾶς· παράμενε οὖν, φυλάττων τὸν ἀμπελῶνα, καὶ τὴν ἀνάλογον μισθαποδοσίαν ἀπεκδεχόμενος. Μάλιστα μὲν οὖν εἰς ἄμπελον ἐμυστηριάσθης, πεφυτευμένην ὑπὸ τῆς δεξιᾶς τοῦ ὑψίστου· ἧς καὶ αἱ ἀναδενδράδες καὶ ἡ σκιὰ ἐν λόγῳ καλῷ κεῖνται παρὰ τῷ ψαλμῳδῷ. Μένε τοίνυν, ὡς ὁ φυτεύσας ἐθέλει, καὶ θάλλε, καὶ καρποφόρει, δεδιὼς τὸ πῦρ, εἰς ὃ εὐαγγελικῶς βάλλονται τὰ τῆς θείας φυτείας ἔκβλητα κλήματα. Μισθωτὸς ἐτάξω || εἶναι μεγάλου οἰκοδεσπότου· Ms. fol. 221. a. ἐργάζου τοίνυν ἀεί. Οὐκ ἔστι σοι δειπνεῖν ἐπὶ μακρόν, ἵνα μὴ καταργῇς τὸν τῆς δουλείας καιρόν. Οὐκ ὀφείλεις ἀριστᾷν ὑπέρμετρα καὶ πρὸς βάρος, ἵνα μὴ ἔμφορτος ὢν ἀμελῇς τοῦ ἔργου. Οὐκ ἔστιν οὐδὲ ὁλονύκτιον ἀναπαύσασθαί σε διὰ τὸν μεσημβρινὸν κοινὸν ἐχθρόν, ὃς οὐδὲ νύκτωρ σπένδεται. Πλουτεῖ γάρ, ὥσπερ βέλεσι πετομένοις ἡμέρας, οὕτω καὶ πράγμασιν ἐν σκότει διαπορευομένοις. Ἀεὶ τὴν πονηρίαν ἐκεῖνος ἐργάζεται· ἀεὶ καὶ σὲ νήφειν ἀνάγκη.

203. Καὶ οἶδα μέν, ὅτι ταῦτα ἐξ ἡμῶν ἀκούων δεινὰ δοκεῖς πάσχειν, ὡς ἀτιμούμενος· εἴ γε διδάσκαλος εἶναι δοκῶν, εἶτα παρ' ἑτέρων ἀκούεις, ἃ ποιητέον. Ἐγὼ δὲ οὐκ ἄν ποτε σιωπήσωμαι, εἰ καὶ διαῤῥαγείης θυμούμενος· καὶ οὐ τοσοῦτον διὰ σέ, τὸν ἕνα, τὸν ὑψηλόν· ἢ διὰ τοὺς ὁμοίους δύο, οὓς φθινύθειν ἀφίημι· ἀλλὰ διὰ τοὺς λοιποὺς ἀδελφούς, οὓς φενακίζειν ἐθέλων, τὸ τοῦ θεοῦ διαταράττεις οὕτω πολίτευμα.

204. Τῷ τέως μέντοι, ἐκεῖνο καὶ μόνον ἐπενεγκὼν εἰς ἀφήγησιν παιδευτικῶς ἱλαράν, πεπαύσομαι. Σκύθαι πάλαι ποτὲ ἀνδράσιν Ἕλλησιν ἐπιθέμενοι, ἐβάρυναν τὸν ἐπ' αὐτοῖς πόλεμον, καὶ ἦσαν οὐ ῥᾷον φορητοί. Οὐκοῦν οἱ βλαπτόμενοι τὸ μέν τοι ἀνακωχὴν τοῦ δεινοῦ πραγματευόμενοι, τὸ δὲ καὶ συσκευὴν ἐπικουρίας τεχνώμενοι, σπένδονται καιρικῶς ἐπὶ ἡμέραις, ὅσας τὸ ἐν ἑκατέροις ἀρέσκον ἐκύρωσε. Καὶ τοῦ λοιποῦ ἐκάθηντο τὸ Ἑλληνικὸν ἀφρόντιδες, πιστεύσαντες

ἑαυτοὺς μόνοις τοῖς ὅρκοις, οὔτε φύλακας προςιστάμενοι, οὐδὲ μὴν στρατηγικῶς ἐγρηγορότες. Οἱ δὲ Σκύθαι — ἀλλ' αὐτοὺς ὑπέρχεται ἐπιθυμία δόλου. Καὶ ἀωρὶ νυκτὸς αἴφνης, καὶ οὐδὲ ξὺν βοῇ τῇ συνήθει, ἐπειςπεσόντες, ἐπεὶ ἐκοιμῶντο ἐκεῖνοι ἀφύλακτοι, κατέκοψαν οὐκ ὀλίγους· καὶ ἂν ἀπώλοντο οἱ μόνῳ τεθαῤῥηκότες τῷ ὅρκῳ, εἰ μὴ τὸ Ἑλληνικὸν ἀνδρικὸν ἀντέπραξε τῷ θανάτῳ. Ταχὺ γὰρ ἐκθορῶντες, καὶ στεφανώσαντες ἑαυτοὺς πανοπλίαις, μόγις μὲν — περιγένοντο δ' οὖν. Ὡς δὲ μεθ' ἡμέραν ἡλίσκοντο ἐπιορκίας οἱ Σκύθαι, προβάλλονται εἰς συνηγορίαν τὴν κατὰ μόνας ἡμέραν, μὴ οὐχὶ καὶ νύκτας φάμενοι συνθέσθαι, ὅτε τὰς σπονδὰς ἐτίθεντο· διὸ μόνας ἡμέρας ἐκπεφωνηκότες, οὐκ ἂν δικαίως παρασπονδεῖν κρίνοιντο, νυκτὸς ἐπιθέμενοι.

205. Κάτεχε καὶ τὸν λόγον τοῦτον, ὦ ὑψηλὲ καὶ τὴν ἀγριάδα ἱστορίαν εὐγενῶς ἐγκεντρίσας, κάρπωσαι καὶ δι' αὐτῆς, ὡς οὕτω καὶ σὺ καὶ ἡ κατὰ σὲ ἀδελφότης δολίους πολεμίους κύκλῳ περικαθημένους ἔχετε· οἳ κἂν ἐν ἡμέρᾳ νήφοντας ὑμᾶς οὐ βάλλωσιν, ἐξ ἐμφανοῦς δηλαδή, ὡς οἷα σοφιζόμενοι τὴν σπονδήν, ἀλλὰ τρόπον ἄλλον ἀφανῶς, καὶ ὡς ἐν νυκτὶ ἐπιθέμενοι, καιρίαις ἀλγυνοῦσι βολαῖς. Ὥστε ἀεὶ ἐγρηγορέναι ὑμᾶς χρή, ὅτι μάλιστα εὐλαβουμένους τὸν ψυχοκλέπτην ἀγνοουμένον, ποίᾳ ὥρᾳ δόλιος ἐπελεύσεται. Ποιήσετε δὲ αὐτό, πρὸς ὑμῖν αὐτοῖς μένοντες, ἔτι δὲ καὶ ὑπομένοντες, καὶ οὕτω μήτε τὴν μονήν, μήτε τὸ μοναχικὸν ὄνομα ψευδόμενοι. Ἄλλως δέ γε διακειμένοις, ὡς νῦν διάκεισθε, οὐκ ἔστιν ὑμῖν ἐνιδεῖν ἐγρήγορσιν. Ὅθεν || ὡς μεθ' ἡμέραν καὶ νύκτα Ms. fol. 221. v. πᾶσαν ἀφυπνοῦντας ὑμᾶς βάλλοντες οἱ δεινοὶ τοξόται, οὐκ ἐὰν μὲν ἐκκενώσωσιν οἰστῶν τὰς φαρέτρας αὐτῶν, οἱ τὴν κακίαν παμπλούσιοι, καὶ δι' αὐτὸ καθ' ἡμῶν πολυβελεῖς καὶ κακομήχανοι· οὐκ ἀνήσουσι δέ, ὡς εἰς θάνατον πλήττοντες. Ὃ μὴ γένοιτο διὰ τέλους, θεὲ σῶτερ, ψυχοσῶστα, φιλάνθρωπε, διορθωτά, εὐλογητὲ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ Θεσσαλονίκης συγγραφὴ τῆς εἴθε ὑστέρας κατ' αὐτὴν ἁλώσεως, ἠῤῥωστημένης μὲν ἐπὶ τῆς κατὰ τὸν Κομνηνὸν Ἀνδρόνικον δυςδαίμονος βασιλείας καχεξίας λόγῳ, ἣν ἐκεῖνος φαῦλα διαιτῶν κατὰ τῆς οἰκουμένης πολλὴν ἐκ μακροῦ ἤθροιζε, ταχὺ δὲ πάνυ τεθεραπευμένης ὑπὸ τοῦ ἐλευθερωτοῦ, μεγάλου βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου, διαδεξαμένου ἐκεῖνον εὐδαιμόνως καὶ εὐτυχῶς τῷ κόσμῳ, προνοίᾳ καὶ εὐμενείᾳ θεοῦ, μετ' οὐ πολλὰς ἡμέρας τοῦ ἁλῶναι τὴν πόλιν, ἐν τῷ χρήσασθαι ὀξυχειρίᾳ ἔργων, ὡς δέον μάλιστα ἦν, ἧς αὐτῷ θεὸς συνεψήφατο, καθὰ λόγος ἕτερος καιρὸν εὑρηκὼς περιηγήσεται.

Προθεωρία τῆς τοιαύτης συγγραφῆς.

1. Πόλεων ἁλώσεις ἱστορούμεναι εἴτε συγγραφόμεναι μεθόδοις διοικοῦνται ὡς τὰ πολλὰ ταῖς αὐταῖς. Οὔτε δὲ ἁπάσας τὰς ἐπιβαλλούσας ἠναγκασμένως ὁ γράφων διαχειρίσεται, οὐδὲ μὴν τὰς ἀμφοτέρωθι χρηστὰς ὡσαύτως διοικονομήσεται· ἀλλὰ καθιστορῶν μὲν καὶ ἀπαθῶς γράφων, καὶ θεολογήσει ἔστιν οὗ, καὶ πρὸς φύσεως λόγον ἐμπλατυνεῖται, καὶ τὴν φράσιν δὲ ψιμυθιώσει πρὸς κάλλος ἀφειδέστερον, καὶ τοπογραφήσει, καὶ ἐκφράσεσιν ἐναγλαΐσεται, καὶ ὅλως, οἷα ἔξω πάθους λαλῶν, πολλὰ διαθήσεται πρὸς χάριν ἀκοῆς· οὐκ ἀφέξεται δὲ οὐδὲ τῶν ὡς εἰκός, στοχαζόμενος αὐτὸς ἐνταῦθά γε, ὅτι μηδὲ παρῆν τοῖς ἀφηγουμένοις κακοῖς, ὡς καὶ παθαίνεσθαι, καὶ αὐτὰ δὴ φράζειν ἐκεῖνα. Καὶ οὕτω μὲν ὁ τὰ πρὸς ἱστορίαν δηλῶν. Ὁ δὲ καὶ συγγραφόμενος καὶ χρωτισθεὶς τῷ κακῷ, πάντων ἐκείνων προσάψεται μὲν ἀναγκαίως, οὐκ ἐπὶ τοσοῦτον δὲ μόνῳ πλεονάζειν ὀφείλων τῷ πάθει, καὶ αὐτῷ ἀναλόγως τῇ κατ' αὐτὸν προσωπικῇ ποιότητι. Τοῦ λαοῦ μὲν γὰρ ὤν, τίνα ἂν ἔχοι ψόγον, εἰς κόρον παθαινόμενος; Βίῳ δὲ ἀνειμένος τῷ κατὰ πνεῦμα, καὶ μεταξὺ τοῦ πενθεῖν καὶ τοῦ εὐχαριστεῖν τῷ κρείττονι οὐκ ἐπιτείχισμα ἐρυμνόν, ἀλλὰ χάος μέγα βλέπων, φείδοιτ' ἂν ἀκράτως τραγῳδεῖν. Ὁ δ' αὐτὸς οὐδ' ἂν παίζοι, χορεύων ἐν πένθεσιν, ὁποῖον δή τι καὶ τὸ πάνυ καλλύνειν τοὺς λόγους κομμωτικῶς ἐν σκυθρωποῖς πάθεσι. Καὶ τὰ ἄλλα δὲ συγγραφικὰ εἴδη σωφρόνως μεταχειριεῖται κατὰ μέθοδον ἰδίαν, οὔτε παράδοξα ἐκτιθεὶς ἀκούσματα κατὰ τὸν ἀπαθῆ ἱστορικόν, οὔτ' ἄλλα, ὅσα πρὸς οὐκ ἄκαιρον φιλοτιμίαν καὶ πολυμαθίας ἔνδειξιν οἱ ἔξω πάθους τεχνάζονται.

2. Εἰ τοίνυν καὶ ἐμὲ τοιόνδε τινὰ ἡ παροῦσα συγγραφὴ διαδείξει, αὐτίκα φανεῖται. Ἄρξεται δὲ ὁ ὑποτεταγμένος λόγος ἀναγκαίως ἐξ αὐτοῦ πάθους, ὅτι μηδὲ ἦν τὸν ἐν ἐλεεινοῖς ὄντα μὴ τραγικεύσασθαι τό γε πρῶτον. Εἶτα καθιστάμενος τοῦ οἴκτου, καί τι πρὸς βάρος ὑπομεμψάμενος τὸν αἴτιον καὶ συναίτιον τοῦ κακοῦ, γενήσεται τοῦ καὶ εὐκρινῶς καὶ σαφῶς, Ms. fol. 222 a. ἐπί τι δὲ καὶ μεγαλείως ἀφηγεῖσθαι. || Καὶ πῇ μὲν ἀφελῶς, ὡς ἐχρῆν, πῇ δὲ καὶ γλαφυρώτερον καὶ ἀπὸ κεφαλῆς ἠργμένος, ἧς οὐδὲν καιρίως πρεσβύτερον, καταβήσεται εἰς τὰ ἐχόμενα καθ' εἱρμὸν καὶ τάξιν οὐ πάντη ἀπεριλάλητον. Καὶ ἅψεται πάλιν τῶν τῆς ἁλώσεως πλατύτερον κατὰ πᾶσαν ἀνάγκην, ἐπεὶ καὶ αὕτη μάλιστα πρὸ ἔργου ὑποβέβληται τῇ συγγραφῇ.

3. Ὅτι δὲ καὶ σημεῖα ἐν τοῖς τοιούτοις προφαίνει τὸ θεῖον, ἃ δὴ κἀνταῦθα ἐμφανῶς προέλαμψε, προσεφάψεται καὶ τοιούτων τινῶν ὁ λόγος εἰς σύμμετρον. C ἀποστήσεται δὲ οὐδὲ τοῦ ἐκθέσθαι ἁμαρτητικὰς αἰτίας, ὧν ἕνεκεν τὰ δεινά, ὃ καὶ αὐτὸ οἱ συγγραφόμενοι ἐν ἔργῳ ἐλλόγως τίθενται. Ἀνασκαλεύσει δὲ ἀμυδρῶς ἡ συγγραφὴ τὰ τοιαῦτα αἴτια ἐν ὑστέρῳ τοῦ ὅλου λόγου κατὰ μέθοδον διδασκαλικήν. Οὐ γὰρ ἐν ἑτεροίῳ καιρῷ καὶ ἀνέγνωσται καὶ ἐκδέδοται, ἀλλ' ὅτε οἱ προεισόδιοι τῶν νηστίμων ἁγίων ἡμερῶν κατηχοῦνται εἰς ἀκοάς, ὡς ἀποτελευτᾶν τὸν λόγον εἰς διδασκαλίαν ἐκκλησιαστικήν, ἀρξάμενον ἄλλως, ἀφ' ὧν κακῶν ἡ πόλις ἔπαθεν.

Ἀρχὴ αὐτοῦ δὴ τοῦ συγγραφικοῦ λόγου τῆς ἁλώσεως.

1. Ἔφηνε καὶ ὁ καθ' ἡμᾶς ἄρτι χρόνος, εἴπερ τις ἕτερος τῶν πάλαι, ὑπόθεσιν, ἣν ἀπαθὴς μὲν ἄνθρωπος καὶ μακρὰν ἑστὼς τοῦ κατ' αὐτὴν κινδύνου μεγάλην εἴποι ἄν, καὶ βαρυσύμφορον, καὶ πάνδεινον, καὶ ἀπευκταίαν, καὶ οὐ ῥᾷον φορητήν, καὶ πολυπενθῆ, καὶ δακρύων πηγὰς ἐθέλουσαν, καὶ τοιαῦτά τινα. Ὁ δὲ δι τύων, ὅ φασι, σπειραθείς, καὶ καθ' ἡμᾶς ἐνειληθεὶς τῷ πράγματι, ἴσως μὲν οὐκ ἂν εὐπορήσοι, πρὸς ἀξίαν ὀνομάσαι τὸ κακόν, ἐκκρουόμενος οὗπερ ἐθέλει νοεῖν, τῷ ποικίλῳ καὶ ἐπαλλήλῳ τῶν συμφορῶν, ὅσαι κατέχυσκον ἑκάστου τῶν δυστυχούντων, πολλαῖς καὶ διαφόροις οἰκειούμεναι κλήσεσιν. Εἰ δὲ καὶ δυνήσεται κατευστοχῆσαι τοῦ κακοῦ πρὸς ἔπος, ἐρεῖ ἂν αὐτὸ οὐκ ἀπεικότως φωστῆρος μεγάλου ἀφάνειαν· οὐδὲν μὲν ἐκεῖνος λέγων πρὸς πάθος (ἐχρῆν γὰρ ἄλλοις ὀνόμασιν ἐνταῦθα παθήνασθαι), τῷ μεγαλείῳ δὲ ὅμως ὀρθῶς ἐπιβάλλων τοῦ δυσπραγήματος.

2. Ἡ γὰρ οὐ τοιοῦτόν τι τὸ τὴν ἐν ταῖς ὑπ' οὐρανὸν πόλεσι πάνυ λαμπρὸν φαίνουσαν Θεσσαλονίκην οὕτω παθεῖν, ὡς νῦν ἔχει; Ἔχει δέ, ὡς ἂν ἀπεύξαιντο καὶ ἐχθροί· ὡσεὶ καὶ καλὸν εἶδος ἀφανισθὲν λυπεῖ καὶ τὸν ἦν ὅτε ἀπόστοργον, ὤμοι δαίμονος, ὃς οὕτω βριθὺς τηλικαύτης πόλεως εὐετηρίᾳ ἐνήλατο καὶ κατέστρεψεν. Ἀπήγαγε μὲν οὖν αὐτὴν τέλεον, ὡς μηδὲ λείψανον ἐναπομεῖναι παλαιᾶς καλλονῆς. Καὶ τείχη μὲν αὐτῆς ἠχρειωμένα, καὶ ἱερὰ τὰ πάντα κατῃκισμένα, εἰς ὅσον οὐδὲ τόποι τολμητοὶ πᾶσι· καὶ οἶκοι εὐπρεπεῖς κατῃσχυμένοι· καὶ περιουσίαι πολιτῶν, αἱ μὲν ἠντλημέναι, αἱ δ' ἐκκεχυμέναι, καὶ ἄλλως δὲ διεσπαρμέναι, τί ἂν λέγοιντο, ἔνθα οὐκ ἔστιν, ὡς ἐχρῆν, αὐτὰ διέξεσθαι; Τὸ δὲ ἐν τῇ πόλει πλῆθος, οὐ μόνον τὸ στρατιωτικόν, ἀλλὰ καὶ τὸ λοιπόν, ὅσον ἐν ἱερᾷ πολιτείᾳ τῇ κατὰ κόσμον, καὶ ὅσον δὲ λαϊκόν, τίς ἂν ἐς ἀξίαν δακρύσειε; Ναὶ μὴν καὶ ὅσον τοῦ βίου τὸν φλοῖσβον διακρουσάμενον, ὡς εἰς λιμένα κατήντησε τὸ ἀπρόϊτον τῆς ἐνοικήσεως, πάντες οὗτοι ὡσεὶ καὶ ἀκρίδες, πυρὶ κατὰ λήϊον ἐλαυνόμεναι, τῇ || καυστηρᾷ μάχῃ πρὸς ὄλεθρον ἐξετινάσσοντο. Καὶ Ms. fol. 222 b. οἱ μὲν πολέμιοι περιστοιχίζοντες, θυμοῦ πῦρ ἐξέκαιον ἐπὶ τὸ πολιτικὸν ἅπαν. Ἐκεῖνοι δὲ οἱ μὲν ἐπικαταλαμβανόμενοι, καί που καὶ σπαργανούμενοι πυρὶ τοιούτῳ πάντοθεν, οὐκ εἶχον διεκπίπτειν, ἀλλὰ πολυειδῆ τὸν κίνδυνον εἶχον· οἱ δὲ ὅσα καὶ σπινθῆρσι τοῖς βέλεσι πόῤῥωθεν ἔπασχον τὸ κακόν.

3. Ἥλιος μὲν νέον προσέβαλλεν ἀρούρας, οὐκ ἔσχε δὲ τὴν θανάσιμον διαλῦσαι νύκτα· ἀλλὰ κατεκαυχᾶτο τοῦ φωτὸς ἡ τῶν πιπτόντων ζόφωσις. Οὔπω τις ἔφθη τὸν γλυκὸν ὕπνον ἀποθέσθαι· ὁ πικρὸς καὶ ἀνέγερτος αὐτὸν διεδέχετο, καὶ ὄναρ κακὸν ἐφίστατο ὕπαρ τῇ κεφαλῇ· καὶ ὁ βλέπων αὐτὸ κατέμυεν εἰς θάνατον. Ἀπηλλάττετο κλίνης ἐγρηγόρσεως λόγῳ· καὶ ὁ πολέμιος σίδηρος ἄλλως αὐτὸν κατέκλινεν, ὡς ἐκεῖνος χαίρει κοιτάζων. Πολλοῖς δὲ καὶ ἡμιγύμνοις ἔτι τὸ κακὸν τοῦτο θηρίον ἐνεφύετο, ἵνα μηδὲ κάμοι τοὺς ὀδόντας ἐντρίβον σωμάτων καλύμμασι. Καὶ στρατιωτῶν μέν, ἤδη δὲ καὶ τῶν ἄλλως ῥωμαλέων, ἢ καὶ ὅλως ἀκμαίων εἴπερ ὁ πόλεμος ἐδράττετο καὶ διέσπα, ἐμπείρας ὀξέας ὄνυχας, ἐκαινοπράγει οὐδέν. Φιληδεῖ γὰρ σώμασι τοιούτοις ἐκεῖνος, ὑφ' ὧν καὶ συγκροτούμενος θεραπεύεται ὡς τὰ πολλά. Εἰ δὲ καὶ ἄνδρας ἀθλίους ἐφιλοτιμεῖτο ἀπάγειν, ἤδη τυμβογέροντας ὄντας, καὶ εἰς γῆν κεκυφότας, καί που, πρινὴ καὶ πληγῆναι, γινομένους τοῦ Χάρωνος, οἷς τῷ δέει παρίεντο· καὶ γραῦς δέ, τὰς πλείους καὶ ἐξ ὀμμάτων οὔσας, καὶ κωφευούσας διὰ βαθὺ γῆρας, καὶ οὔτε βλεπούσας τὸ τῶν ὅπλων ἀστραπαῖον, οὔτε βροντῆς αἰσθομένας τῆς

ἐξ ἀπειλῶν, ἀλλὰ τοῦτο οὐ φρενήρης Ἄρης, ἀλλὰ δόρυ ἐνήργει μαινόμενον, καὶ ξίφος οὐκ εὐδιάκριτον.

4. Οἴκτιστα δὴ ταῦτα βροτοῖς· ἐλεεινότατον δέ, ὅτι καὶ βρέφη συνέκειντο τοῖς παντοδαπῶς πίπτουσι, τὰ μὲν συνεκκεντούμενα ταῖς φερούσαις ἀγκάλαις, τὰ δὲ τῷ καταῤῥίπτεσθαι ὑπὸ δέους ἢ καὶ φόνου τῶν βασταζόντων, τὰ πλείω δὲ συγκαταπατούμενα. Ἡ γὰρ τοῦ φεύγειν ἀνάγκη καὶ τοιοῦτον ἀπλῆγα φόνον ἐτυράννει, τὸν μέν, ἔσω τῶν ἐκκλησιῶν ὠθιζομένου τοῦ λαοῦ, καὶ τῇ συμπιλήσει δυστυχοῦντος ψυχῶν ἀπαγωγήν· τὸν δὲ περὶ τῆς ἀκροπόλεως τὴν εἴσοδον, ὅτε, πολεμικοῦ δόρατος ἄνω τοῦ κατὰ θάλασσαν ἑῴου πύργου ἀρθέντος τοῖς ἀντιμάχοις εἰς σύσσημον τοῦ τὴν πόλιν ἤδη καταπεπονῆσθαι, ὡς καὶ ἀναῤῥιπτεῖσθαι τοὺς βουλομένους ἔξωθεν, τὸ μὲν κάτω περιεῖναι ἀπέγνωστο· ἦραν δὲ τοὺς ὀφθαλμοὺς οἱ πλείους ὡς εἰς ὄρη τὴν ἀκρόπολιν, ἔνθα βοήθειαν ἐκαραδόκουν αὐτοῖς ἔσεσθαι.

5. Ὃ δὲ μάλιστα τὴν τοῦ κακοῦ πολυφθορίαν ἐνταῦθα κατηγορεῖ, τοῦτ' ἦν, ὅτι ταῖς νεκρικαῖς θημωνίαις καὶ ἀλόγων ζώων σώρευμα παρετέθειτο. Ἀχωρήτου γὰρ ὄντος μιᾷ πύλῃ τοῦ συνεῤῥευκότος ἄνω λαοῦ, καὶ βιαζομένων μὲν παρηβύεσθαι, ὥστε σώζεσθαι, μὴ ἐχόντων δὲ παραδύεσθαι ἑκάστων, τῶν τε πεζῶν, τῶν τε καθ' ἵππους, ὁ κατόπιν θέων βαρὺς ὄχλος τὸν προάγοντα, καὶ τῇ ἐπιπτώσει πάσχων ἐκεῖνος τὸ ὅμοιον ὑπὸ τῶν ὀπισθαίτερον ἐγκειμένων, οὐδ' αὐτῶν ἀπηλλαγμένων τοῦ καθ' εἱρμὸν οὕτω πάσχειν, εἰς κολωνὸν θανατουμένων ἐκορύφου τὸ σύμπτωμα, πάντων ὁμοῦ πεφυρμένων, ἀνθρώπων, ἵππων, ἡμιόνων, ὄνων, οἷς ἐπισεσαγμένα ἦσαν τὰ τοῖς πολλοῖς ἀναγκαῖα. Καὶ βουνὸς ἐκεῖνος τοιοῦτος ἀντανίστατο τῷ τῆς πόλεως ἐκεῖσε πυργώματι, μικροῦ παρεοικὼς τοῖς ἐγειρομένοις πρὸ τειχέων χώ||μασιν, (Ms. fol. 223. a.) ἃ δὴ καὶ αὐτὰ σκευωρεῖ ποτε πόλεμος. Καὶ ταῦτα μὲν πρὸς τῇ πύλῃ τῆς ἀκροπόλεως, τῇ γε προφαινομένῃ. Οὓς δὲ συνέσχε καὶ ἡ ἐνδοτέρω, ὅτε ὁ ἀχρεῖος αὐτὴν ἀκαίρως κατήραξε στρατηγός, παρεισφθαρεὶς ἐν τῷ φεύγειν, ἄλλη τραγῳδία οὗτοι καινότροπος.

6. Ὥσπερ γὰρ μὴ ἀρκούντων τῶν ἄλλως πεπτωκότων, προσεπηύξησε τὸ κακὸν ἐκεῖνος ὁ μικρὸς μὲν τὰ καλά, μέγας δὲ τὴν πονηρίαν· καὶ οἷόν τινα κορωνίδα καὶ αὐτὸς τῷ δυστυχήματι ἐκεφαλαιώσατο, οὐκ ἀνασχόμενος, μὴ καὶ αὐτόχειρι φόνῳ προσεπιβλάψαι, οὓς δυσβουλίαις κατεστρατήγησε, μάλιστα δ', εἰπεῖν τὐληθές, ταῖς εἰς μάχην καὶ φυλακὴν καθυφέσεσιν, ὡς ὁ λόγος προβαίνων ἐκφανῶς διαγράψεται ὡς ἄν, οἶμαι, τοὺς πολεμίους πρὸς ἑαυτοῦ ποιησάμενος ἐκμειλίξαιτο, εἴγε καὶ πόλιν τοσαύτην ἀφῆκεν οὕτω πεσεῖν, καὶ φόνων δὲ γέγονεν αὐτουργός, ἐπικαταθύσας καὶ αὐτός, οὓς ἐπεμέτρησεν ὁ καιρός. Οὐ γὰρ ἄλλοις ἐπέταξε χαλασθῆναι τὴν κρυφαίαν ἐκείνην πύλην, μετέωρον ἠρμένην ἐκ μηχανῆς· ἀλλ' αὐτὸς τὸ τέχνασμα σχάσας κατὰ σπουδὴν κατήνεγκε· καὶ κατὰ τῶν παρεισδυομένων συγκλείσας, ἐπαγίδευσε τοὺς ὑποτρέχειν λαχόντας εἰς ὄλεθρον, σφιγκτῷ θανάτῳ μετηλλαχότας τὸ ζῆν, καὶ κειμένους οἰκτρὸν θέαμα, τῷ μὲν ἡμίσει τοῦ σώματος προκύπτοντας ἐπὶ τὰ ἐντός, τῷ δὲ λοιπῷ προφαινομένους τοῖς ἐκτός, ὥστε κλαίεσθαι.

7. Ὁ δὲ καὶ εἰς τοσοῦτον ἦν ἀνδρεῖος, διολέσαι τὴν ὅλην πόλιν, ὡς ἅμα τε τοῦ πύργου γενέσθαι, ὃς ὑπερανίσταται τῶν ἐκεῖσε πυλῶν, καὶ ἅμα διὰ σχοίνου καθεῖναι εἰς τοὺς ἐπιδραμόντας πολεμίους ἑαυτόν, ἐάσαντα τοὺς ἐπὶ τοῦ πύργου στρατιώτας κενὰ μελετᾷν ὑπὲρ τοῦ ἐρύματος, καὶ τὴν τρίβον αὐτοῦ καὶ τὴν σχοῖνον ταύτην ἐπαράτους ἐξιχνιάζεσθαι καὶ περιᾴδεσθαι.

8. Ἐνταῦθα παθαινόμενος προάγομαί τι λαλῆσαι πρὸς τὸν ἄνδρα, καὶ πυθέσθαι αὐτοῦ· τί δήποτε, ὦ βέλτιστε στρατηγέ, τὴν κάτω πόλιν κατακόπτεσθαι ἀφείς, ἐγένου τῆς ἄνω μοίρας, καὶ σπεύδων ἐκρύβης ἐντός, εἰ οὕτω ταχὺ ἐχρῆν σε καὶ αὐτὴν ἀφεῖναι τοῖς ἐχθροῖς ὑποχείριον; Τί δὲ μὴ τὴν ἀγεννῆ φωνήν, τὴν τοῦ ἐλεηθῆναί σε, προέκρωξας, πρινὴ καὶ καταπνίξαι τοὺς ἐν τῇ πύλῃ σχεθέντας καὶ τοὺς λοιπούς; Πῶς οὐ γελοῖον, εἰςδραμεῖν τὴν ἀκρόπολιν ὡς εἰς ἄμυναν, καὶ ἀναπηδῆσαι εἰς πύργον ὡς ἐπ' ἀγαθῷ τῶν ἄνω ἑστώτων, καὶ αὐτίκα δράξασθαι σχοίνου, καὶ θᾶττον κάτω γενέσθαι, ἤπερ κάδδιον ἐν ἱμονιᾷ κατὰ φρέατος; Ὢ γέλωτος τούτου, ὅτι παρατεταγμένος ὁ λαμπρὸς ἡγεμὼν πρὸ τῶν ἑῴων πυλῶν ὡς ἐπὶ μάχῃ λαμπρᾷ, εἶτα ἰδὼν ἕνα τινὰ πολέμιον ἐλαφρισθέντα καὶ ὑπερφανέντα κατὰ τῶν ἐπάλξεων, ἀνῆκε τὸν ῥυτῆρα τῷ ἵππῳ θέειν, προτρέχων τοῦ παντὸς ὁμίλου τῆς στρατιᾶς· καὶ συμπατήσας τοὺς παρευρημένους, καὶ εἰςδραμὼν ἄνω, εἶτα καὶ βλάψας πολλοὺς διὰ πύλης, ἣν προεξεθέμεθα, τοὺς μὲν ὑπ' αὐτῆς ἐκείνης κατενεχθείσης ἐκ μετεώρου, τοὺς δὲ καί, οἷς ἔξω συνεκλείσθησαν, ταχὺ μὲν ἀνέβη πυργομαχήσων, τάχιον δὲ κατέβη δουλωσόμενος, τοῦτο καὶ μόνον ἀνδρισάμενος, ὅτι μὴ διὰ σαργάνης ἐχαλάσθη σχολαίτερον, ἀλλὰ μικροῦ κατεπετάσθη, ὡςεὶ καὶ βοσκηματῶδες πτηνὸν ἐπὶ νομήν· οὐ γὰρ δήπου ὡςεὶ καί τι ἀετῶδες ἐπὶ ἄγραν εὐγενῆ.

9. Καὶ οὐκ ἐχρῆν μὲν ἄνδρα, πάλαι μεμελετηκό||τα (Ms. fol. 223. b.) χεῖρας ἁπλῶσαι γυναικικῶς τοῖς διώκουσιν, εἰς ἔρυμα

παρεισδύεσθαι, καὶ κόπους διδόναι τοῖς ἐπιτρέχουσι, μὴ καὶ εἰς πλεῖον μαίνοιντο. Ὁ δ' ἀλλὰ τὰς φρένας βλαβεὶς ἔφευγε μέν, ὡς ἐπὶ φυλακῇ, ἄνω κατεφέρετο δ' εὐθὺς ἐκεῖθεν, ὡς ἂν εἴη τὸ ἀγεννὲς αὐτοῦ ἄτοπον, καὶ μὴ δοξασθείη πρός τινων, ὡς ἄρα ἑάλω μαχόμενος. Ἀνέβης εἰς ὕψος φροῦδος, ὦ οὗτος, τὸ τῆς ἀκροπόλεως· ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἣν καὶ ἐκεῖ τοῖς πολεμίοις προὔδωκας. Ἀπεναντίας ταῦτα, οἷς ψάλλει Δαυῒδ, οὗ τὴν κλῆσιν φέρων ἠχρείωσας.

10. Καὶ μή μοι νεμεσάτω μηδεὶς ἐνταῦθα γέροντι μικροψύχῳ, τοιαῦτα καταλέγοντι ἀνδρός, οὗπερ ἡδέως ἂν μέσον ἧπαρ ἔχοιμι, ὀδὰξ ἐμφύς, κατὰ τὴν Ὁμηρικὴν εἰπεῖν γραῖαν, ἀνθ' ὧν καὶ τηλικαύτης πόλεως κατέλυσε κάρηνα, καὶ πολλῶν ἀνδρῶν γούνατ' ἔλυσε. Γένοιτο δέ, μὴ καὶ εἰςέτι λυθῆναι, ὦ θεὲ βασιλεῦ, καὶ ὦ θεράπον αὐτοῦ, πολιοῦχε ἡμῶν, μὴ καὶ ἐπεκταθείη εἰς μήκιστον τὸ κακόν. Καὶ οἶδα μὲν συνιστῶν ἐγὼ τὸν ἄνδρα τοῦτον τὰ πρὸ τῆς μάχης, καὶ εὐλογῶν ἐν εἰρήνης καιρῷ τὰ ἐκείνου· ὅτε οἱ μὲν κέρδους πρηκτῆρες πολῖται λαλαγοῦντες ἐπέκειντο κατ' αὐτοῦ, ἅπερ ἤθελον· ἡμεῖς δὲ ἄλλως, ὡς ἔπρεπεν, ἡρμοττόμεθα. Καὶ αὐτὸς δὲ ἀντιστρέφων, τὸ φίλιον ἔφαινεν ὑπὲρ ἡμῶν καὶ βλέμμα, καὶ νεῦμα, καὶ τὸ ἐν πρακτέοις βάδισμα. Νῦν δ' ἀλλὰ τί καὶ δράσομεν, εὑρηκότες τὸν ἐπαινετέον ἐκεῖνον μεταβαλόμενον, καὶ μηκέτι τόπους εἰς εὐφημίαν ὑποβαλλόμενον; Ἢ πάντως ἐνθυμητέον, ὡς καινὸν οὐδέν· καθὰ στέργων ἐκεῖνος τὰ πρῴην ἡμᾶς, εἶτα ἐν ὑστέροις οὐκ ἠγάπα ἐλέγχοντας, οἷα μηδὲ σοφὸς αὐτός, κατὰ τὸν παροιμιαστήν, οὕτω καὶ ἡμᾶς τότε μὲν πρὸς ἐκείνοις εἶναι διὰ τὸ ὅσιον, ὅτι μηδὲ λίαν θρασὺς ἦν, κατὰ τοὺς αὐθεκάστους τὰ κοινὰ σίνεσθαι· εἶτα δὴ ὄλεθρον ἐξ ἐκείνου προορωμένους μισεῖν ὡς αἴτιον, ἄρτι δὲ καὶ ὠλοθρευμένους ἐθέλειν καί τι μέγα κακὸν ἐκείνῳ προςβύξασθαι, ἀνδρὶ ἄλλως μὲν ἀγαθῷ δόξαντι (οὐ γὰρ σκορακιστέον τὰ πρὸς ἀλήθειαν), οἷς δὲ στρεβλῷ κανόνι συνδιεγράφη τῷ τοῦ δεσπόζοντος Ἀνδρονίκου, ἀλλ' ἐνταῦθα διεκπεσόντι ἐς ἄκραν φαυλότητα. Οὔτε γὰρ ἀγαπῶν ἦν ἐκεῖνον, ὡς ὑποκαταβαίνοντες παραστησόμεθα, οὔτε αὖ ἀγαπώμενος, καὶ οὔτε εἰς γέρως ἔννοιάν τινα καθήκων, ἀλλὰ καὶ ποινὴν προορώμενος, ἅπερ ἡμῖν φανεῖται λυμηνάμενα. Τοῦτο τε οὖν οὕτω ῥητέον, καὶ ὅτι οὐκ ἄν ποτε προστήσας τὸ φιλητὸν ἐγώ, κατόπιν θείην τὴν ἀλήθειαν· ἀλλὰ τὰ συμπεσόντα προβαλόμενος εἰς συγγραφήν, ἧς ἀρετὴ τὸ φιλάληθες, οὐκ ἂν τὸ ταύτης ἐπισκιάσας φῶς ἀχρειώσαιμι. Κατὰ γὰρ τὸν ὀρθῶς ἀποφηνάμενον φίλος μὲν ὁ ἀνήρ, φίλτερον δὲ τὸ ἀληθές. Ἔτι δὲ συνθεωρητέον καί, ὡς ἐγκωμιάζουσι μὲν ἐπιλεκτέον, ὅσα χρηστά, καί που καὶ τὰ φαῦλα μεταχρωστέον δικηγορικώτερον· συγγραφομένοις δὲ μὴ οὕτως· ἀλλὰ διαχειριστέον τοὺς λόγους, ὡς τὸ ὑπὲρ ἑκάστων ἀληθὲς ἀπαιτεῖ· ἔνθα οὐ καιρός, ἐπιλέγεσθαι τὰ πρὸς εὐλογίαν ἐγκωμίου νόμῳ, ἀλλὰ σπεύδειν πολυωρεῖν εἰς μνήμην τῶν ἐπιόντων αὐτὸ ἕκαστον, ὥνπερ ὁ χρόνος || τρέχων παρέῤῥιψεν. (Ms. fol. 224 a.) Εἰ δὲ φθάσας ὁ ἡμέτερος οὗτος Δαυῒδ ἀγαθύνων ἦν τὸ τοῦ θεοῦ λάχος, ἀκουέσθω μὲν ἰδοὺ καὶ τοῦτο· συνακουέσθω δὲ καί, ὅτε ἐξώλεσε, μικρὰ μὲν ἡδύνας, πικράνας δὲ μέγιστα, οἷς περιποιησάμενός τι χρηματιδίου, τούτοις ἢ ἐκείνοις τέλος ἐζημίωκε, τοὺς ἅπαντας μὲν εἰς πάντα τὰ αὐτοῖς ὄντα, μυρίους δὲ καὶ εἰς ζωήν. Καὶ μή τις ὑποφερέτω, νῦν ἀναφρονεῖν με, καὶ ὑστέρῳ χρόνῳ ἐπιμηθικῶς αἰσθέσθαι, οἷος ὁ Δαυῒδ ἀπέβη, ἐπειδὰν δηλαδὴ ἐδικαιώθη πεμφθῆναι τῷ Σικελῷ σύν γε τῷ Μαυροζώμῃ πρωτόλειον, καὶ τῆς ἡμῶν ἀπωλείας ἀκροθίνιον· ὃν ὤφειλον Ἅρπυιαι φθάσασαι οὕτω πως διαθέσθαι, πριν ἢ καὶ ἐξαπολέσαι ἡμᾶς. Οὐ γὰρ ἄρτι ἐς νοῦν ἐγὼ ἐστράφην, ἀλλὰ τὸν ὅλον τῆς ἐπὶ πολέμῳ στρατηγίας αὐτοῦ χρόνον. Ἡμᾶς μὲν ἔθλιβον οἱ ἐχθροί· ἐγὼ δὲ ἐκεῖνον, ἐλέγχων, ἐξονειδίζων, ἐκφαίνων τὰ ὡς ἑκάστοτε σφάλματα, λαλῶν, εἰ καὶ εἰς ἀνήνυτον, ἅπερ ἤκουεν ἂν καὶ ἐξ ἄλλων, εἴπερ ἐπαῤῥησιάζοντο, καὶ μὴ τὸ τῆς πόλεως κακοτυχὲς ἔκλειεν αὐτοῖς τὰ στόματα.

11. Δέδεικταί μοι ἀρκούντως, οἶμαι, ὡς οὐδέν τι καινοπραγῶ, κακολογῶν ἀλλοφρονήσαντα τὸν Δαυῒδ, ὃν σωφρονοῦντα φθάσας εὐλόγουν. Ἐγὼ δὲ οὕτω καὶ τὸν βασιλέα Ἀνδρόνικον, ὃν ὑποκαταβὰς οὐκ ἂν εὖ λέγειν εἰς τὸ πᾶν ἔχοιμι, ἐν ἄλλοις ἐθαύμασα, φράσας ἐπιλέγδην, ὅ τι τῶν κρειττόνων ἐκείνῳ ἐνέλαμπεν. Οὐ γάρ τι κατὰ τοὺς φαύλους τῶν σοφιστῶν ἀναγράφω ἀντίφωνα. Πρὸς δὲ συγγραφικὴν ταύτην ἱστορίαν οὐκ ἔχω κρύπτειν, ὅσα τοῖς ἄρτι πρὸς εἱρμὸν συμβαίνουσιν, ὡς ἥ γε λοιπὴ ῥητορεία, ἡ πρὸς ψιλὸν ἔπαινον, δοκεῖ κατὰ τὴν σοφὴν καὶ αὐτὴ μέλισσαν οὐ μόνον ἐξ ἀνθέων γλυκέων καὶ λοιπῆς χρησιμότητος ἑαυτῇ συγκροτεῖν τὸ μυρέψημα τοῦ γλυκάσματος, ἀλλά που καὶ ἐκ μὴ τοιούτων. Καὶ γάρ τοι καὶ ἐκ περιττωμάτων οὐκ εὐαποφόρων ἐκείνη τιθασεύει, ἐκλεγομένη τὰ συντείνοντα, καθὰ παρατετηρηκότες οἱ δεξιοὶ σιμβλοποιεῖν οἴδασι· καί τι συναγείρει κἀκεῖθεν, εἰς ὅσον τὰ κηρία στύφεσθαι καὶ συνέχεσθαι. Ὁποῖα δή τινα μελίτταις Ἑρμοῦ ὑποκείμενα καὶ ὁ Δαυῒδ εἰχέτην καὶ ὁ Ἀνδρόνικος, καὶ μάλιστα ὁ Ἀνδρόνικος, παντοδαπὸς ἐκεῖνος ἄνθρωπος, καὶ παμποίκιλος, καὶ

τοῦτο οὐ χαμαιλέοντος δίκην εἴτε πολύποδος, Πρωτέως δὲ μᾶλλον, καὶ μάλιστα κατὰ Ἔμπουσαν, ἣ φρικτὰ ἐφάνταζεν. Ὁ δ' αὐτὸς καὶ κατὰ εὐρίπους πολύστροφος ἦν, καὶ κατὰ τὴν ἀρχέγονον ἀνείδεον ὕλην ἅπασιν ὑποτίθειτο εἴδεσι πολυειδῶς· ὧν τὰ μὲν ἐπαινοῖτο, τὰ δ' οὐκ ἄν. Ἔστι δ' ἐπ' αὐτοῦ προσαρμόσαι καὶ τό, εἶναι μέν τινα παρ' αὐτῷ οἶκτον, εἶναι δὲ καὶ θυμὸν μέγαν· ἔτι δὲ συμβιβάσαι καὶ τό· ἦν ὁμοῦ ἐν αὐτῷ χρήματα πάντα, καὶ ὡς πολυμιγέων ἕνωσις ἦν τις καὶ παρ' αὐτῷ καὶ δίχα φρονεόντων συμφρόνησις· οὐ μήν, ὅθεν συγκροτεῖται ἁρμονίας ἀρετή, ἀλλὰ κακία συγχύσεως. Πολύτροπον γάρ τι χρῆμα ὁ ἀνήρ, καὶ πολυπόριστον τοῖς ἐφ' ἑκάτερα γράφειν δεινοῖς. Ἐναχθείη δ' ἄν τις καὶ σφαίρῳ αὐτὸν παρεικάσαι, οὐ τῷ μεταλαμβανομένῳ πρὸς γένεσιν κατὰ παλαιὰν τερατείαν, ἀλλὰ πρὸς ποικιλίαν ἠθῶν. Εἰ δὲ καὶ ἐν αὐτῷ δύο πίθους ἑστάναι τις φαίη, τὸν μὲν ἀγαθῶν πλήρη, κακῶν δὲ τὸν ἕτερον, ὧν ἀρυόμενος καὶ καταμιγνύων ἐκεῖνος ἐπεμέτρει τοῖς ὑπ' αὐτόν, τὰ πλείω δέ γε μόνου τοῦ τῶν κακῶν, αἰνίξαιτο ἂν προσφυέστατα.
Ms. fol. 224. b. Ἦν || γὰρ σύμμικτος, καὶ πρὸς ἀκραιφνῆ χάριν οὐκ ἄκρατος, οὐδὲ μὴν εὔκρατος.

12. Ἀλλ' οὕτω μὲν ταῦτα παρεκβεβάσθω, καιρίως, οἶμαι, καὶ οὐδὲ πάνυ τι ἀμεθόδως. Ἐγὼ δὲ βραχύ τι ἄνειμι πρὸς τὸν ἦν μὲν ὅτε (ὃ μακρὰν) τινὸς φιλίας Δαυΐδ, νῦν δὲ μίσους παγκοσμίου ἄξιον. Ταχὺ μὲν ἔστρεψας νῶτα, ὦ γενναιότατε, φεύγειν· θᾶττον δὲ ἀντιμέτωπος, οὐκ εἰς ἀντιπαράταξιν, ἀλλ' εἰς δούλωσιν ἔδραμες, εἰς τοσοῦτον τῇ φυγῇ προσμείνας, εἰς ὅσον ἄνανδρον τὴν στροφὴν ἐπιδείξασθαι· ἵνα μηδέν τι γενναιότητος ἴχνος ἐν σοὶ εὑρίσκηται, μήτ' ἐν τῇ πολιορκίᾳ, ἣν καὶ εὐχόμενός που ἦσθα συγκεφαλαιωθῆναι τάχιον, ὡς ἐν τοῖς ἑφεξῆς ὑποκρουσόμεθα, μήτε μετὰ τὴν ἅλωσιν, ἐν ᾗ ἐψεύσω καὶ τὸν ἀνδριζόμενον καὶ τὸν φεύγοντα, οἷς φεύγειν τραπεὶς ἐπιδέδωκας σεαυτὸν τοῖς μηδὲ διώκουσιν. Αὐτοῖς γὰρ ἄλλα ἐν φρεσὶ μεμέλητο, τὰ πρὸ ἔργου, καὶ ἀναγκαῖα σφίσι· σοῦ δὲ οὐκ ἄν, οἶμαι, οὐδὲ μνήμην ἔσχον, εἰ μὴ ἐνεφάνισας σεαυτόν. Οἴδασι γὰρ οἱ εὐγενῶς ἀνδρεῖοι ἐξαθερίζειν τὸν μὴ τοιοῦτον στρατηγόν, ὁποῖον δή τινα κατέγνων καὶ σέ, οἳς τῶν τῆς σῆς ἀβελτηρίας πεπείραντο.

13. Ἀλλὰ τί δὴ παρενεχθεὶς ὑπὸ τοῦ πάθους καὶ τῶν ἄρτι, καὶ ἐν ὀφθαλμοῖς γενόμενος, ἀποπλανῶ τὸν χρόνῳ ποθ' ὕστερον ἀκουσόμενον τοῦ συγγραφικῶς εἰδέναι τὰ τῶν καθ' ἡμᾶς ἐξ ἀρχῆς ἄχρι καὶ πέρατος, ἵνα παρακολουθῶν εἰδείη, ἐξ οἵων τῶν πάλαι οἷα τὰ νῦν· καὶ τὰ μὲν παθαίνοιτο, τὰ δὲ ἄλλως θαυμάζοι· τὰ δὲ καί, εἴπερ ἐθέλοι, μανθάνοι καθ' ἱστορίαν ἐπιλεγομένην, ὅσα τοῖς νῦν συγκυρήμασι χρήσιμα; Τί δὲ μὴ κεφαλήν τινα ἐφιστῶ, καθά τινι σώματι, τῇ συγγραφῇ ταύτῃ, δι' ἧς καταβαίνων τῷ λόγῳ προποδίσω εὐόδως, ἔνθα τὸ ἔσχατον, ἔνθεν ἑλών;

14. Μέλλον εἶναι φαίνεται, καθὰ θεῷ εὐηρέστητο, πεσόντι τῷ Κομνηνῷ βασιλεῖ Μανουὴλ συγκαταπεσεῖν καί, εἴ τι ἐν Ῥωμαίοις ὄρθιον, καὶ ὡς οἷα ἡλίου ἐκείνου ἐπιλιπόντος, ἀμαυρὰν γενέσθαι πᾶσαν τὴν καθ' ἡμᾶς. Οὐκοῦν ἀπῆλθεν ἐκεῖνος, ἔνθα ἐχρῆν, διαδοχὴν ἀφεὶς γένους, οὐχ οἵαν ἐχρῆν. Παῖδα γὰρ μικρόν τι παρηλλαχότα τὸν παταφήλικα, μὴ ὅτι γε βασιλείας μεγίστης κρατεῖν οὐκ ἔχοντα δι' ἑαυτοῦ, ἀλλ' οὐδὲ κατὰ παῖδας διατεθεῖσθαι στερεῶς, ἀμέλει καὶ ἐπέτρεψε φθάσας κηδεμόνι τὸν υἱὸν τῇ μητρί, ἐρώτων οὔσῃ ὡραίᾳ, εἰ καὶ κρύπτεσθαι αὐτοὺς ἐπηγγείλατο ἐκείνη, τὸν τοῦ κάλλους ἥλιον πνευματικῶς νεφώσασα κατὰ περιβολὴν μέλαιναν. Οἱ δὴ ἔρωτες ἐκεῖνοι πυρσεύσαντες, ὡς ἂν εἴδεῖεν αὐτοί, ἀνῆψαν κακὸν κοσμικόν. Καὶ ἦσαν μὲν καὶ ἄλλοι τοῦ ἐπιτροπεύειν, ἐν οἷς καὶ ὁ λαχὼν πατριαρχεῖν, ὁ καὶ τὰς ἀρετὰς καὶ τὸν λόγον περιττὸς Θεοδόσιος, ὃν ἡ τῶν Ἀντιοχέων τῇ Μεγαλοπόλει ἐχορήγησεν ἀγαθὸν πολυτίμητον. Ἀλλ' ἡ γυνὴ προεῖχεν, οἷα καὶ γυνὴ καὶ μήτηρ. Καὶ ἦν τοῦ λοιποῦ σκοπὸς αὐτὴ διὰ τὸ προφαίνεσθαι. Καὶ τινες ἔρωτος νόμῳ ἐτοξάζοντο κατ' αὐτῆς, λανθάνοντες, εἴ πως μεσιτεύσει τὰ τῆς βολῆς, ὡς ἐῴκει πρὸς βασιλείας ἐπιτυχίαν. Ὑπερηκόντιζε δὲ τοὺς λοιποὺς Ἀλέξιος ὁ Κομνηνός, ἀδελφιδοῦς μὲν ὢν τῷ αὐτοκράτορι Μανουήλ, τὴν τοῦ Πρωτοσεβαστοῦ δὲ ζώ || νην φέρων. Ms. fol. 225. a. Καὶ προσείχετο τῇ δεσποίνῃ, τῇ τοῦ βασιλέως μητρί, πλέον τῶν ἄλλων. Ὑφέρπει οὖν ζῆλος ἐντεῦθεν· καὶ ὅ φασιν ὀστρακίνδα κατὰ τοῦ ἀνδρὸς ὑποβλεψάμενος, οὐκ ἀνίει ἑλίττων στροφὰς ποικίλας, εἴ πως ἐκείνῳ μεθοδεύσει μετάστασιν. Καί πως οὕτω δόξαν τοῖς τηνικαῦτα προφέρουσι τῶν εὖ γεγονότων, συνθεσίας κατ' αὐτοῦ πέπλος ῥάπτεται, περιδύσων αὐτόν, καὶ συνέξων οὐ πρὸς ἡδονήν. Ὕφαναν δὲ τοιοῦτον πέπλωμα οὐκ ὀλίγοι τε ἕτεροι, καὶ οἱ δύο παῖδες Ἀνδρονίκου, τοῦ ἐκ Κομνηνῶν· ὃς αὐτανέψιος μὲν ἦν τῷ βασιλεῖ Μανουήλ, καὶ ὡς ἂν ἡ πεδινὰ λαλοῦσα εἴποι γλῶσσα, πρῶτος ἐξάδελφος, εἰς βασίλειον δὲ θρόνον ἑαυτὸν ἐκάθισεν ὕστερον οὐ πάνυ εὐτυχῶς, οὐδ' αὐτῷ οὔτε τοῖς περὶ αὐτόν. Ὀνόματα δὲ τοῖν παίδοιν ἤτην, τῷ πρώτῳ μὲν κατὰ γέννησιν Μανουήλ, Ἰωάννης δὲ τῷ μετ' αὐτόν· ὃν καὶ αὐτὸν ἐγνώρισεν ἡ βασιλεία, καθὰ καὶ τὸν πατέρα

μετ᾽ οὐ πολύ. Καὶ οὗτοι μὲν δύο τότε συνωμοσάσθην. Ἐν δὲ τοῖς καὶ Ἀλέξιος ἦν, πρωτοστράτωρ μὲν τὴν ἀξίαν, ἀνεψιδοῦς δὲ γνήσιος καὶ ὑπερλίαν φιλητὸς τῷ βασιλεῖ Μανουήλ· πρὸς δὲ καὶ Ἰωάννης Δούκας, ὁ ἔπαρχος, ὃν καὶ ἐξ αὐτῆς θέας τεκμήραιτ᾽ ἄν τις καλλιστεύειν ἐν ἀγαθοῖς (μεγάλη δ᾽ ἐν τούτοις μοῖρα ζήλου)· καὶ οἱ Καίσαρες, ἡ πορφυρογέννητος Μαρία, ἣν ὑπὸ τῷ βασιλεῖ Μανουὴλ ἡ ἐξ Ἀλαμανῶν Εἰρήνη τὸ ἅγιον ἐκείνη γέννημα ἐγείνατο, καὶ ὁ συζυγῶν αὐτῇ Ἰωάννης ὁ Μαρκέσιος, νεανίας μὲν τὴν ἡλικίαν, τέλειος δὲ τὴν ἀνδρίαν. Ὁποῖα δὲ ἐν τοιούτοις ὡς τὰ πολλὰ ξυμπίπτει, ἔνθα ὁ λόγος οὐκ ἔχει κρύπτεσθαι εἰς τέλος, ἀλλ᾽ ἐκφαίνεται· φωρῶνται πάντες οἱ τοιοῦτοι, ἑνός τινων τῶν λογιτῶν καταμηνύσαντος· καὶ συγκροτεῖται δίκη. Καὶ προκάθηται μὲν ἡ ἐπίτροπος μήτηρ, κυρία πάντων ἤδη προβεβλημένη ψήφῳ κοινῇ, ὡς μὴ ὤφελεν· ὑποκάθηται δὲ ὁ υἱὸς καὶ βασιλεὺς Ἀλέξιος. Καὶ κατηγοροῦνται οἱ τὸν Πρωτοσεβαστὸν οὐ φαύλως μισοῦντες· καὶ μετὰ πολλὰ τὰ διὰ μέσων κατακρίνονται, βραβεύοντος εἰς τὸ πᾶν τῇ τοιαύτῃ εὐθυδικίᾳ τοῦ βαθυτάτου Θεοδώρου, τοῦ παντεχνοῦ, τοῦ δικαιοδότου καὶ ἐπὶ τῶν οἰκειακῶν· καθ᾽ οὗ θελήσας ἐνστῆναι ὁ μέγας ἐν πατριάρχαις, ἔσχασε πᾶσαν ἐν κενοῖς μηχανήν. Ἦν γὰρ ὁ παντεχνὴς ἀληθῶς παντεχνής. Καθείργνυνται οὖν ἐν τῷ μεγάλῳ παλατίῳ καὶ οἱ ἀδελφοί, ὁ Μανουὴλ καὶ ὁ Ἰωάννης, πρὸς δὲ καὶ ὁ πρωτοστράτωρ Ἀλέξιος, ἔτι δὲ καὶ ὁ ἔπαρχος· τῶν δὲ λοιπῶν οἱ μὲν ἀφείθησαν, ἀληθῶς μὲν εἰς ἕωλον δεῖπνον τοῖς βουλομένοις αὐτῶν θοινήσασθαι, φαινομένως δὲ κατὰ φιλίαν καὶ τὸ εἶναι ἀνύποπτοι. Οἱ δέ τινες ἀπώλοντο ποικίλως, καὶ ὡς οὐκ ἄν τις ἴδοιτο. Πολλοὶ δὲ καὶ ὑπερορίᾳ ἑκόντες ἐδικαίωσαν ἑαυτούς· ὧν ἦν καὶ ὁ καλὸς Λαπαρδᾶς, ὁ πάνσοφος τὰ στρατηγικά, ὃν ἱέρακα διὰ τὸ τῆς φρονήσεως καὶ τὸ κατὰ πρᾶξιν ὀξυπετὲς ὁ τῶν Τούρκων Σουλτὰν ὀνομάζειν ἐπέκρινεν· ὁ τότε μὲν εὐτυχῶς περισωθείς, μετὰ δέ γε ἀθλίως ταῖς τοῦ βασιλέως Ἀνδρονίκου καὶ αὐτὸς πάγαις περιτετυχηκὼς καὶ ἐξολωλώς.

15. Ἦν δὲ ταῦτα τότε. Καὶ τέως μὲν περὶ μίαν ἡμέραν οἱ τέσσαρες ἠτιμωμένοι ἑάλωσαν δῆθεν ξυνωμοσίας, ὁ Μανουὴλ καὶ Ἰωάννης οἱ ἀδελφοί, ὁ πρωτοστράτωρ Ἀλέξιος, καὶ Ἰωάννης ὁ ἔπαρχος. Καὶ εἶχεν αὐτοὺς ἡ κάθειρξις, καὶ πρὸ αὐτῆς τὰ λίαν ἄτιμα. Τὸ δὲ ζέον τοῦ θυμοῦ τοῖς κρίνασιν || Ms. fol. 225 b. ἐβράττετο καὶ κατὰ τῆς Πορφυρογεννήτου καὶ τοῦ συμβιοῦντος Καίσαρος. Οὐκ εἶχε δὲ καὶ ἐκζέσαι αὐτίκα, ὡς καὶ ἀπαφρίσαι καὶ γενέσθαι πρόοπτον τὸ κακόν. Ἀλλ᾽ ἐνδομυχοῦν καὶ ὑποτυφόμενον ἐπέσχεν εἰς τοσοῦτον, ὡς καὶ τὸν πατριάρχην δοκῆσαι πρὸς αὐτῶν εἶναι τοὺς κρίνοντας· διὸ καὶ αὐτὸς μὲν ἁπλοϊκῶς ἐμηνύσατο πρὸς ἑσπέραν τὰ λῷονα. Οἱ δὲ οὐχ ἁπλοῖ ἐμελέτων ἀνυποστόλως διακειμένων αἴφνης τὸ κακὸν καταράξαι, καὶ συλλαβέσθαι καὶ αὐτούς, ὡς ἂν οὕτω τὸ ἑσπέρας αὐλισθήσεται ἀγαλλίασις παρ᾽ αὐτοῖς, καὶ τὸ πρωῒ κλαυθμός, ἀπεναντίας τῷ ψάλλοντι. Καὶ οὕτω μὲν ἡ κακία ἐπικρύπτειν ἤθελεν ἑαυτήν.

16. Ὡς δὲ ἡ σποδιὰ ὦζε θείου, καὶ ἡ ὀδμὴ κατεμήνυε πῦρ κρύπτειν σκηπτοῦ ὀλεθρίου, καὶ οὐκ ἦν λαθεῖν, μανθάνουσι τὴν ἐπιβουλὴν οἱ Καίσαρες, καὶ ἀπέριττοι, ὡς εἶχον, φεύγουσιν εἰς τὸ τῆς μεγίστης τοῦ θεοῦ Σοφίας εὐαγέστατον τέμενος, ἄσυλον αὐτὸ εἰδότες, καὶ πᾶσι προσώποις ἀβέβηλον. Διαπετάννυσι τὰς ἀγκάλας αὐτοῖς ὁ ἐν ἀρχιερεῦσι πρωτεύων· περιποιεῖται, ὡς ἐξῆν· δίδωσιν ἀνάπαυσιν· λεαίνει λόγοις τε τοῖς πρὸς παραμυθίαν, καὶ ἔργοις, ὡς εἶχεν ἰσχύος. Εἶχε δέ, ὅσα καὶ πατὴρ ἅγιος, ὑπὲρ ἀληθείας φίλαθλος. Οὐ διῆλθε τῆς ἡμέρας πολύ, καὶ οἱ τῆς δεσποίνης ἔτρεχον εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ὡσεὶ καὶ κυνηγέται κατά τινος ἀξιολόγου ἄγρας, εἰπεῖν μετριώτερον. Καὶ εὑρηκότες, τὰ μὲν ᾐτιῶντο, εἰ κατὰ μηδὲν αἴτιον φόβου ἔφυγον· τὰ δὲ παρεκάλουν, τοῦ σφετέρου πάλιν ἀδεῶς οἴκου γενέσθαι, παραπλέκοντες τοῖς λόγοις, καὶ ὡς δύσνουν ὑπόνοιαν ἀποπέμπουσιν, οἷς οὕτω δραπετεύουσι· ταῖς δὲ τοιαύταις ἐννοίαις καὶ ἐμφάσεις ὑποσκιάζοντες βουλῆς οὐκ ἀγαθῆς ἐπ᾽ αὐτοῖς. Οὐκ ἔχει γὰρ τὸ πάνυ θυμούμενον σταθερῶς ἐπικρύπτειν ἑαυτό, ἀλλά που καὶ ἐκρήγνυσι τὸ ἐνδόμυχον, ὁποῖά τις τυφὼς ταρτάριος βίαιος.

17. Οἱ τοίνυν Καίσαρες βεβαιώσαντες τὸ δέος ἐν ἑαυτοῖς, οὐκ εἶχον τὸν νοῦν πρὸς τοῖς λαλοῦσιν ὡς εἰς ἀγαθόν· ἀλλὰ τῷ παραμεμιγμένῳ πικράζοντι καὶ τὸ γλυκάζειν δοκοῦν ὑπεβλέποντο, ἐπιτυγχάνοντες αὐτοὶ τοῦτό γε. Ὡς οὖν ἀπέγνωστο ἡ τῶν Καισάρων πειθώ, καὶ ὡς οὐκ ἔσται αὐτῶν ἄγραν θέσθαι διὰ δόλου διέγνωστο, κατανοεῖται βία. Καὶ τὸ τοῦ στόματος ἁπαλὸν σκληρὰ χεὶρ διαδέχεται· καὶ τὰς βολίδας γλώσσας συστείλαντες οἱ δεσποινικοί, τὰς ἐκ σιδήρου μελετῶσι χειρίσασθαι. Καὶ πρῶτα κατὰ τοῦ ἱεράρχου τραχύνονται, ὅτι μή, τῆς ἐκκλησιαστικῆς προϊστάμενος, ὡς εἰπεῖν, ἀκροπόλεως, καταπροΐεται τοὺς πεπιστευμένους αὐτῇ, συνειλεγμένους εἰς πάνυ πυκνὸν στίφος, καὶ οὐδὲ ἀγεννές. Καὶ γίνεταί τις ἐνταῦθα συγγραφή, ὁποίαν δαίμων ἂν τεχνάσαιτο.

18. Ὦ ἑορτὴ μεγάλη τοῦ σωτηρίου πάσχα· καὶ ὀφειλὸν τῷ βασιλεῖ ἀσπασμὸν ἡ ἐκκλησιαστικὴ λογάς, ὅσοις

τὸ τοιοῦτον ἀνέκαθεν ἐψήφισται φίλημα. Ὡς δὲ καὶ τὸν ἀρχιερέα ἔδει κορυφαῖον παρεῖναι, καὶ κατάρξαι τῆς ὀφειλῆς (τῷ δὲ ἦν δῆλον, ὡς τὸ τοιοῦτον φίλημα παραδώσει αὐτόν, κατά τι ὁμοίωμα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, τοῦ Χριστοῦ), καὶ ἐδεδίει ἀνθρωπίνως ἐκεῖνος, εὐλαβούμενος ἀπο || [Mc. fol. 226. a.] βῆναι κατάσχετος, καὶ ὤκνησε τὴν εἰς τὰ βασίλεια ὁδόν· γίνεται ἀναβολὴ τοῦ καθήκοντος ἀσπασμοῦ, καὶ ὑπερτίθεται εἰς ἑτέραν ὥραν, μαθητευθεῖσαν τῷ βασιλεῖ. Καὶ ἦν ἐκείνη παρασκευή, καὶ ἀλλοία μέν τις φαύλη, καὶ ἑβδομάδος δὲ τῆς μετὰ τὴν πασχάλιον κυριακήν· καθ' ἣν συλλεγέντος τοῦ πλήθους, ὅσον εἴωθεν ἐν τοῖς τοιούτοις πληροῦν τὰ βασίλεια, τελεῖται μὲν καὶ τὸ ἀσπάσασθαι (τὸ ἐπιπολάζον τῆς μηχανῆς), συντελεῖται δὲ καὶ τὸ κρύφιον, ἡ ἐξ ἐρήμης τοῦ πατριάρχου καθαίρεσις, ὡς οὐκ ἂν εὐφήμως εἰπεῖν ἔχοι τις. Τῶν μὲν γὰρ ἀρχιερέων (εἰ χρὴ φάναι) κερδαλεότης, τῶν δὲ εὐλάβεια κατὰ πολὺν φόβον, τῶν δὲ καὶ μῖσος οὐκ εὐλόγιστον κατὰ τοῦ ἀρχιερατεύοντος οὕτω ῥᾳδίως ἤνυσαν τὴν ἐκείνου καταβολήν, ἐπιτιθεμένων καὶ τῶν τινων τῆς συγκλήτου βουλῆς, κατακτυπούντων, ὡς οὐκ ἂν οὐδὲ Ἱεριχούντεια τείχη κατηχούμενα σάλπιγξιν ἐκείναις ἔπιπτον.

19. Καὶ τὸ ἐκεῖθεν βραχυλογικῶς καὶ αὐτὸ ἱστορῆσαι (τί γὰρ ἀναμετρητέον τὰ πέρα μέτρου;)· τάραχος μέγας τῶν τοῦ παλατίου, ὅσον ἦν πρὸς τοῦ θεοῦ καὶ τῆς κατ' αὐτὸν ἀληθείας, τῶν τοῦ λαοῦ τῆς πόλεως, τῶν αὐτῆς δὴ τῆς ἐκκλησίας. Καὶ ἐκείνης γὰρ ὀλίγοι κατεσκίρτησαν ἐπὶ τοῖς πραχθεῖσιν· οἱ δέ γε πλείους προωρῶντο τὸν κύριον ἐνώπιον αὐτῶν διὰ παντός, καὶ κατὰ τῶν πεπραγμένων ἐγίνοντο. Οὐκοῦν καὶ μερίζονται. Καὶ οἱ μὲν τῷ μικρῷ βασιλεῖ ἐκομίζοντο. Καὶ καθάπαξ ὑπαγορεύοντες ἐκείνῳ, καί, ὡς οὐκ ὤφελον, διδάξαντες τὴν τοῦ ἀρχιερέως ἀτιμίαν, ἐπέμενον, οἷς ἐκακοίργησαν, καὶ τὴν διδασκαλίαν ἠσφαλίζοντο, καὶ τὸν παῖδα τῷ μαθήματι ἐνερείδοντες, τηρεῖν αὐτὸ εἴθιζον· καὶ μάλιστα ἡ τὸ πᾶν δυναμένη μήτηρ, καὶ ὁ μετ' αὐτὴν Πρωτοσεβαστός, ὁ κατὰ τῆς ἐκκλησίας τότε μελετήσας δυνατὸς γενέσθαι, καὶ σὺν γυναιξὶ συστήσας κατὰ τὴν παροιμίαν μάχην.

20. Καὶ οὕτω μέν τινες οἱ τοῦ μὴ καλοῦ. Οἱ δὲ λοιποὶ ἐπί τε τῷ πατριαρχικῷ καταστυγνάζοντες δυςπραγήματι, ἐπί τε τῇ τῶν Καισάρων δυστυχίᾳ, καταλήγουσιν εἰς κακὸν μέγα καὶ οἴκτιστον. Εἰπεῖν γὰρ ἐν βραχυτάτῳ· πόλεμος κροτεῖται ἱερός, ὡς ἂν καιρίως φαίη τις. Καὶ στεγανοῦνται μὲν οἱ τῆς ἐκκλησίας ἐντὸς ὡς ἐπὶ πολιορκίᾳ μεθ' ὅπλων· οἱ δὲ βασιλικοὶ ἔξωθεν ἐπιπίπτουσι, καὶ πολλοὶ καὶ γενναῖοι. Καὶ πίπτουσι μὲν οὐκ ὀλίγοι τῶν ἐν τῇ ἐκκλησίᾳ, τῶν δὲ βασιλικῶν ἀμύθητοι. Διέβη δέ τι τοῦ τοιούτου κακοῦ καὶ εἰς τὴν ἀγοράν. Τὸ γὰρ βασιλικὸν συμμαχικὸν πολλοῖς ἐνεπήδησε· καὶ τοὺς μὲν ἄλλως ἔβλαψε, τινὰς δὲ καὶ τοῦ ζῆν ἀπήγαγεν. Ὅθεν καὶ πλατυνθὲν τὸ κακὸν ἐπλήθυνε τὸ κατὰ τῆς βασιλίδος μῖσος, καὶ ἥπλωσε μικροῦ δεῖν εἰς ἅπαντας. Καὶ ἔγεμον αὐτῆς τὰ πάντων στόματα, οὐκ εἰς ἀγαθόν, καὶ ἐβουλεύοντο τὰ εἰς κάκωσιν αὐτῆς καὶ ἀπόστασιν.

21. Ὁποῖα δὲ ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, οὐ μόνον ἐκ τῶν παρὰ πόδας ἐπορίζοντο τὰ εἰς ἄμυναν, ἀλλὰ καὶ εἰς τὰ πόῤῥωθεν ἀνεβίβαζον τοὺς λογισμούς. Καὶ ἀνέβη αὐτοῖς ἐπὶ νοῦν ὁ Κομνηνὸς Ἀνδρόνικος, ὃν ἄνω τοῦ λόγου παρεῤῥίψαμεν. Ἐδό || [Mc. fol. 226. b.] κει γὰρ ἀξιόμαχος ἐπίκουρος ἀναφανήσεσθαι ἂν πρὸς τὰ ξυμπεσόντα, καὶ ἀλεξίκακος, οὐχ ὥςτε μὴν ἐκεῖνον δράξασθαι καὶ πρὸς ἑαυτοῦ θέσθαι τὰ ζυγὰ τῆς βασιλείας, ἀλλ' ὡς τῆς μητρός, ἢ φαύλως ἐπιτροπεύειν ἐδόκει, ἔτι δὲ καὶ τῆς τοῦ Πρωτοσεβαστοῦ οἰήσεως ἐξελέσθαι τὸν καταπραγματευόμενον. Καὶ ἦν τοῖς πολλοῖς — ὀκνῶ μὲν εἰπεῖν, ὡς πρὸ καὶ αὐτοῦ θεοῦ· θαῤῥῶ δὲ ἀσφαλέστερον φράσαι, ὡς εὐθὺς μετὰ θεὸν τὰ τῆς καραδοκίας εἰς τὸν Ἀνδρόνικον. Ὅθεν καὶ τοῦ ἐκκλησιαστικοῦ πολέμου ἀκμὴν ἔχοντος περί που μεσημβριάζουσαν ὥραν, καὶ διαβλεπομένου, ὡς ἑτεροῤῥεπὴς ὑπὲρ τῶν βασιλικῶν ἔσται, πλάσμα ἦν λόγων τοῖς πολλοῖς, ἤδη δὲ καὶ διανοιῶν ἀνάπλασμα ὑπόκενον, ὡς ἰδοὺ ὁ Κομνηνὸς ἥκει, καὶ ἐγγύς που τῆς ἀντιπόρθμου τῷ Βυζαντίῳ αὐλίζεται δαμάλεως. Καὶ τὸ βουλόμενον ἑκάστου τῶν πολιτῶν εἶχεν ἐκεῖνον παρόντα τῇ μάχῃ, ὡς εἴπερ ἐκ τῆς Σινωπικῆς χεῤῥονήσου, ἣν τότε κατεῖχεν, εἰς τὴν Μεγαλόπολιν ἐπτερύξατο. Καὶ ἐδόξαζον ἐκεῖνον σωτῆρα σφῶν ἑκάστου ἔσεσθαι, καὶ ἕρμα τῆς βασιλείας, κούφως ἐνταῦθα κἀκεῖ παραγομένης πρὸς τοῦ θέλοντος, εἴπερ μόνον τῷ Πρωτοσεβαστῷ καὶ τῇ ξυνασπιζούσῃ βασιλίδι χαρίζοιτο. Ἔπεμπε γὰρ ὁ Ἀνδρόνικος φαντασίαν τοῖς πλείοσιν, ἄνθρωπος εἶναι οἷος διέπειν κόσμον καλῶς, καὶ οἷς δὲ ἔπαθε, μαθεῖν ἀγαθὸς εἶναι, πάντως δ' ἂν καὶ τὸν τοῦ Μανουὴλ παῖδα αἰδέσεσθαι κατὰ τοὺς συχνοὺς ὅρκους, καὶ μάλιστα τοὺς ὕστερον, οὓς μετὰ πάθας πολλὰς ἐπέκρινε δοῦναι. Καὶ δεδωκώς, τὴν τῶν Παφλαγόνων ἀντεκληρώσατο γῆν, ὡς καὶ στρατοπεδαρχεῖν ἐκεῖσε, καὶ τὰ ἐκεῖθεν εἰς κέρδος ἀπονοσφίζεσθαι. Καὶ εἶχον μὲν οὕτως ἐλπίδων οἱ τῆς Μεγαλοπόλεως. Αἱ δὲ ἦσαν ἐλπίδες ἄλλως, καὶ ὀνείρων κατὰ τὸν εἰπόντα σκιά, ὡς ὁ ἐπιὼν χρόνος ἀπέδειξε, ψεύσας τὴν καλὴν ζωγραφίαν (ἣν ὁ καθ' ἕνα

ἐπὶ τῷ Ἀνδρονίκῳ ἐνετυπώσατο εἰς ἑαυτόν), καὶ ἀπαλείψας μὲν αὐτήν, ἐκφήνας δὲ τὸν ἄνδρα καινότροπον, εἰπεῖν εὐφημότερον.

22. Ἀλλὰ τοῦτο μὲν μικρόν τι ὕστερον. Τότε δὲ ἀνεκαλεῖτο ἕκαστος τὸν Ἀνδρόνικον, ὡς ἤδη καὶ παρόντα, ἢ γοῦν ἀλλὰ παρεσόμενον. Ὡς δὲ τὸ φάντασμα ἐψεύσατο, καὶ ὁ πόλεμος περὶ δείλην ὀψίαν κατειργάσθη, ῥίψας πολλούς, καὶ τὸ νότιον πολυάνδριον τὸ πρὸς τῇ θαλάσσῃ πλήσας νεκρῶν βασιλικῶν, ὃ δὴ σαπρία τεθέληται λέγεσθαι, καὶ ἐχρῆν κατά τινα ξύμβασιν τὴν τότε δόξασαν ἠρέμα καταστῆναι τούς τε βασιλικοὺς τούς τε ἐκκλησιαστικούς, ὅποι μὲν ἦλθον μεθόδων οἱ τότε, πάρεργον οἶμαι ξυγγράφειν. Ὃ δὲ ἡμῖν ὁδοποιεῖ τὰ ἐφεξῆς, εἰρήσεται.

23. Ἀποκαθίσταται μὲν μετά τινα διαστήματα ἔμμηνα πατριαρχεῖν αὖθις ἀναγκαίως ὁ ἱερώτατος Θεοδόσιος, συγκαθίσταται δὲ καὶ τὸ ἀρχιερατικὸν ξύμπαν εἰς μίαν ἕνωσιν· καὶ δοκεῖ τὰ τῆς πόλεως οὕτω κύματα γαλήνην εὑρεῖν. Ὡς δὲ ἐχρῆν ἕκαστον μέγα πρόσωπον τῶν ἐν τῇ ἐκκλησίᾳ ἐκφαίνεσθαι, κατὸ εἰρήνης δῆθεν λόγον (ἔγεμε γὰρ αὐτῶν εἰσέτι τὸ θεῖον τέμενος, παραμενόντων, ἐξότου προςπεφεύγασιν· οἷς μὲν οὐκ ἦν ὕποπτον τὸ βιοῦν, καὶ οἷς δὲ ἁπαλῶς εἶχεν ἡ ψυχή), προὐφαίνετο· καὶ ἐλάλουν καὶ ἐποίουν, ὅσα ὑπέβαλλεν ὁ καιρός.

24. Ἡ δὲ τοῦ Ἀνδρονίκου θυγάτηρ, ἡ τὸν Συναδηνὸν Θεόδωρον ὕστερον εἰς ἄνδρα λαβοῦσα, καὶ ταχὺ ἀποβαλοῦσα, οὐ καθ' εἱρμόν, ὡς λέγεται, φύσεως, ἐφαίνετο οὐδαμοῦ καὶ || [Ms. fol. 227. a.] μὴν ἀνεψηλαφᾶτο κατ' ἐπιμέλειαν. Ἦν δὲ ἡ αὐτῆς ἐκκλησίαθεν ἀποκρυβὴ φυγὴ πρὸς τὸν πατέρα ἕως καὶ εἰς Σινώπην, ἔνθα ἐκεῖνον ἔγνω εἶναι· καὶ ἔσχεν εὐόδως, ὡς οὐκ ἄν τις οὐδὲ ἀνὴρ δεξιώτατος. Ἔοικε γὰρ ἡ φύσις φιλοτιμήσασθαι καὶ αὐτῇ τέχνην τοῦ φεύγειν, καθάπερ καὶ τῷ πατρί, ὃν μικροῦ ἂν δεήσῃ τις εἰπεῖν, ὡς διὰ βίου κατόρθου τὸ καὶ φυγὰς εἶναι καὶ διαδιδράσκειν τοὺς ἐπιτρέχειν ἐθέλοντας. Ἡ τοίνυν θυγάτηρ ἐκείνη οὕτως ἀνδρισαμένη τὰ εἰς δρασμόν, καὶ εἰς ἓν γενομένη τῷ πατρί, καὶ τὰ τῆς πόλεως περιηγησαμένη, τά τε ἄλλα ἐνέγραψεν εἰς ἀναπάλειπτον ἐκείνου ψυχῇ, καὶ ὅτι δὲ θεὸς τοῖς Κωνσταντινουπολίταις αὐτὸς περὶ γῆν μετὰ τὸν οὐράνιον. Καὶ τὴν καρδιακὴν γραφὴν ταύτην ἀνελίττων συχνὰ ὁ Ἀνδρόνικος, καὶ διαλογισμοὺς ἀναβιβάζων ἀεὶ ἐν καρδίᾳ ποικίλους, ἐκνικᾶται λογισμῷ ἑνί, ὃς τὸ σύμπαν εἰς φθορὰν ἐκύησεν. Ἀρξάμενος γὰρ ἐκεῖθεν ἀκροβολίζεσθαι κατὰ τῆς βασιλίδος καὶ τοῦ Πρωτοσεβαστοῦ, καὶ μέμψεις ἐπιπέμπειν διά τε γραμμάτων καὶ στομάτων, ὡς ἄρα τὰ τῆς βασιλείας καθάρειον καπηλεύοντες παροινοῦσι κατὰ τοῦ βασιλέως παιδός, καὶ σκώπτων, καὶ ἀπειλούμενος, καὶ τῶν ὁμοίων αὖθις ἀντιπειρώμενος, καὶ οἷα ἔλεγεν ἐπακούων, ὡς τοῖς ὑβριζομένοις ἤρεσκεν, εἶτα καὶ παραινῶν δῆθεν, καὶ μὴ εἰσακουόμενος, ὅτι μηδὲ ἦν ἐπιτάσσων φορητά, ἐκμαίνεται εἰς ὁδὸν ὡς ἐπὶ ἀμύνῃ τῇ ὑπὲρ τοῦ βασιλέως, οἷα καὶ φημιζόμενος, ἐπιτετάχθαι πρὸς τοῦ μακαρίου Μανουήλ, συνδιαφέρειν καὶ αὐτὸς τὸ βάρος τῆς ἐπιτροπῆς.

25. Καὶ ἦν ἡ τοῦ Ἀνδρονίκου εἰς τὴν Μεγαλόπολιν τὸ ἐντεῦθεν ὁρμή· βασιλεὺς πρόφασις, Ἀλέξιος δηλαδὴ ὁ μικρός, ληψόμενος ἄμυναν· ἄλλως μέντοι ἀληθῶς πρόθεσις βασιλεὺς ἐκεῖνος, ἄωρος θανούμενος, ὡς οὐκ ἐχρῆν. Καί γουν συλλεξάμενός τινα στρατιάν, τὴν μὲν κατὰ γῆν, τὴν δὲ λοιπὴν κατὰ θάλασσαν, ὡς εἶχεν ἰσχύος (εἶχε δὲ ἀμυδρᾶς), ἤλαυνε πῇ μὲν κατὰ σπουδήν, τὰ πολλὰ δὲ σχολαίτερον. Μεθοδεύων τῇ σχολῇ, δοκεῖ βαρὺς εἰς ἰδὸν εἶναι διὰ τὸ πολὺ τοῦ στρατοῦ· ὅπερ οὐχ οὕτως εἶχεν.

26. Ὡς δὲ τὴν τῶν Θυνῶν καὶ Βιθυνῶν γῆν περιελθών, ἣν τῆς τῶν Βεβρύκων, καὶ περὶ τὴν ἀντιπέραν τῆς Μεγαλοπόλεως Χαλκηδόνα ἐστρατοπεδεύσατο, ἣν μὲν ἥκιστος τὸν λαὸν ὁ ἀνήρ. Διασπείρας δὲ τὴν ἀμφ' αὐτὸν στρατιὰν πρὸς τέχνην, καὶ σκηνὰς πηξάμενος ἐν τόποις καιρίοις, ὡς φαίνεσθαι πυκνοῦσθαί τε καὶ πλῆθος ἔχειν, καὶ τὰ πλοῖα δέ, οἷς ἐνέβαλέ τι τοῦ στρατιωτικοῦ, περὶ τὰ κατ' αἰγιαλὸν βράχεα καὶ λοιπὰς θαλαττίους ἀγκάλας δεξιῶς μερίσας καὶ καταστήσας, ὡς μὴ σαφῶς διαφαίνεσθαι, οἷά τε καὶ ὁπόσα ἐκεῖνα, τοιαύτην σκότωσιν ἔπεμψε τοῖς Μεγαλοπολίταις, τοῖς τε ἄλλοις, καὶ αὐτοῖς δὴ τοῖς πρὸς ἐκεῖνον ἐχθραίνουσιν, ὡς δοκεῖν τήν τε περαίαν γῆν καὶ τοὺς αὐτῇ προςκυροῦντας αἰγιαλοὺς πεπλῆσθαι, τὴν μὲν στρατευμάτων πεπυκνωμένων, τὴν δὲ συχνῶν τριήρεων καὶ ἑτέρων πλοίων, ὅσα προμήκη σκευωροῦσιν αἱ κατὰ θάλασσαν μηχαναί. Καὶ εἰώθαμεν ἀληθῶς ἐν τοιούτοις οὕτω πάσχειν οἱ ἄνθρωποι. Πληθύνομεν γὰρ ὡς τὰ πολλὰ καὶ μεγεθύνομεν, ἃ θαυμάζομεν, οἷα μὴ ἀκριβοῦν δυνάμενοι, διὰ τὸ τὴν ψυχὴν συγκεχύσθαι τοῖς ἐκπλήττουσι.

27. Τοιοῦτος οὖν ὁ Ἀνδρόνικος φανείς, καὶ ὁ οὕτως ὀλίγος || [Ms. fol. 227. b.] μυρίος διακριθείς, ἐφέλκεται διὰ βραχέος καιροῦ πάντας, καὶ τὴν ὅλην πόλιν μετάγει, ὡς οὕτως εἰπεῖν, πρὸς ἑαυτόν. Καὶ ἵνα μὴ μακρᾷ θαλάσσῃ διηγημάτων ἐπαφῶμεν τὸ τοῦ λόγου ἀκάτιον, ἀλλ' ὡς διὰ πορθμοῦ βραχυπορήσωμεν, ἐν ἀκαρεῖ χρόνῳ πλωΐζονται εἰς ἐκεῖνον οἱ μεγάλοι, οἱ μικροί, οἱ μέσοι. Καὶ θαυμάζουσι μέν, ὁποῖα πρώην δοκοῦντες βλέπειν,

οἷα νῦν ἐμφανῶς βλέπουσι, καὶ ὡς αἱ μὲν μακραὶ νῆες ἁλιάδες ἄρτι γνωρίζονται, τῆς πρὶν κατὰ ἀπάτην σκοτώσεως διαφωτισθείσης· αἱ δὲ σκηναὶ μακροῖς ἀλλήλων διαστήμασιν ἀφορίζονται, σικυηλάτοις πρέπουσαι. Ὁ δὲ στρατὸς ὅσος πανήγυρις οὐκ εὐγενής· οἱ δὲ ἵπποι, ὁποίους τοὺς πλείους μύλωσιν ἂν καταδέχοιντο. Καὶ ἀφυπνίζοντο μὲν καὶ ἀνέφηνον, ὡς τὰ μικρὰ γνωρίζειν αὐτὸ τοῦτο μικρά, καὶ μηκέτι μεγαλεῖόν τι αὐτοῖς ἐπιψηφίζεσθαι. Τὸ δὲ πάλαι ποθοῦν παραμένον ἔπειθεν ἐθέλειν τὸν ἄνδρα μόνον αὐτὸν φαινόμενον, τὸ πᾶν, καθὰ πρὸς ἀγαθοῦ σφίσιν ἦν, καταπράξεσθαι. Οὐκοῦν ἠσπάζοντο ἐκεῖνον, ἐφίλουν πρόσωπόν τε, οὗ τὴν θέαν εὔχοντο, καὶ χεῖρας, ἐφ' αἷς ἐπεποίθεισαν, ἐπ' αὐταῖς ἐνεθουσίων ἐξηρεύγοντο ἐπαίνους παντοδαπούς, ἀνεβόων συχνὰ δόξαν τῷ θεῷ· προσεκαλοῦντο, εἰ οἷόν τε, διαπηδῆσαι εἰς τὴν ἀντίπορθμον ταχύ. Τὸ γὰρ ποδῶκες τοῦ ἀνδρός, ἐπίσημον αὐτῷ τυγχάνον πρὸς φύσεως, καὶ τοιαύτην, οἶμαι, καινοτροπίαν ἐνθυμήσεως ὑπέβαλλε τοῖς πολλοῖς. Ὁ δὲ τὰ μὲν ἀντιχαρεὶς ὡς εἰκὸς καὶ μάλα, τὰ δὲ καὶ φιλενδεικτήσας ἐν οἰκείοις κενεαυχήμασιν, οὐκ ὀλίγα δὲ καὶ θαῤῥύνας τοὺς εἰς αὐτὸν ἀφεωρακότας, αἱρεται μικροῦ δεῖν ἐπὶ χειρῶν, οὐ μόνον πρὸς ἀγγέλων, γένους τούτου βασιλικοῦ λαμπροῦ τε καὶ πολυδυνάμου, ἀλλὰ καὶ ὑπὸ λοιπῆς εὐγενείας, καὶ συγκλήτου λογάδος, καὶ τῶν ἄλλων τέκνων τῆς πόλεως. Καὶ εἶχε λοιπὸν αὐτὸν οὕτως ἡ Μεγαλόπολις, μυρία καινοπραγήσαντα.

28. Ἐνταῦθα ἐστὶν εἰπεῖν, ὡς ὁ μὲν εἰπών, εὐλόγησέ σε ὁ θεὸς ἐπὶ τῷ ποδί μου, ἀοίδιμός ἐστιν εἰς ἀγαθόν, ἐπεὶ οὐδὲ ἔξω ἐγκωμίων ἢ τοῦ δικαίου μνήμη πίπτειν οἶδε. Τὸν δὲ Ἀνδρόνικον ἐξ αὐτῶν βαλβίδων εἰσόδου ἔχοι ἂν ἡ Μεγαλόπολις μέμφεσθαι, ὅτι οὐκ εὐλόγησεν αὐτὴν ὁ ποῦς αὐτοῦ. Οὐδὲ γὰρ ἵστατο ἐν εὐθύτητι, ὡς τὰ ἐφεξῆς ἅπαντα ἔδειξαν. Ἅμα γὰρ ἡ τοῦ μεγάλου Κωνσταντίνου κληρονομία εἶχεν αὐτόν, καὶ αὐτίκα οἱ ἀμφ' αὐτὸν Παφλαγόνες, ἔθνος ἀτάσθαλον καὶ ἐν Ἕλλησι βάρβαρον, κελευσθὲν ἐνεπήδησε τῷ τῶν Λατίνων φύλῳ· οἳ ἀφωρισμένοι κατ' ἔθος ἀρχαῖον περὶ τὸν αἰγιαλὸν τοῦ Βυζαντίου κέρατος, τὸν τοῦ φωσφορίου ἐχόμενον, ὑπὲρ ἑξήκοντα χιλιοστύας ἐχέοντο εἰς ἀριθμόν. Ἐπεκάλουν δὲ τοῖς Λατίνοις ἐκεῖνοι, ὅτι πρὸς τοῦ Πρωτοσεβαστοῦ καὶ τῆς δεσποίνης Ξένης ἦσαν· καὶ δι' ἐκείνους ἐβούλευον κατὰ Ῥωμαίων κακά. Καὶ ἦν ἀληθῶς οὕτως ἔχον τὸ πρᾶγμα. Διεκπεσόντες γὰρ καὶ ἡ δέσποινα καὶ ὁ Πρωτοσεβαστὸς τοῦ ὑπὸ Ῥωμαίων στέργεσθαι, ἀπέβλεψαν εἰς τοὺς Λατίνους, καὶ δώροις ἐπάραντες καὶ μάλιστα ὑποσχέσεσι τοῦ τὴν πόλιν τε προνομεῦσαι, καὶ ὑπὸ δουλείαν αὐτοῖς τοὺς Ῥωμαίους θέσθαι, ἀνέπεισαν ἤδη καὶ πρὸς μάχην ἐξαρτύεσθαι, εἰ μὴ ταχὺ ὁ Ἀνδρόνικος ἐπεραιώσατο· οἵ γε καὶ τοῦ ὡς ἐῤῥέθη ἱεροῦ πολέμου συνεφάψασθαι τότε προςελήφθησαν μέν, ἤργησαν δὲ διὰ τὸ ταχὺ ἐκεῖνον λυθῆναι. Ἐπεκλεῖτο μὲν οὖν τοῖς Λατίνοις αὕτη αἰτίασις οὐ ψευδής· οὐδ' εἶχον εἰπεῖν, οὔτε μὴν ἔχοιεν ἄν, ὡς ἦσαν ἄμεμπτοι. Ἔμελλον δὲ οἴμοι κακῷ μεγάλῳ μέγα κακὸν ἐκθεραπεῦσαι οἱ Παφλαγόνες, οἷς ἀλογίστως ἐθρασύναντο. Εἰςελθόντες γὰρ τὴν Μεγαλόπολιν, καὶ πλαγιάσαντες ἐπὶ τοὺς Λατίνους (εἰκὸς δὲ πάντως, καὶ ἄλλους τῶν τοιαῦτα νεωτερίζεσθαι φιλούντων συναίρεσθαι αὐτοῖς), ἐπέρχονται τοῖς Λατίνοις, || οὐκ ἂν ἐλπίζουσι· καὶ διατίθενται τὰ ἐλεεινότατα. Mr. fol. 218 a. Καὶ σπέρματα ἐκεῖνα προκαταβάλλονται, ἀφ' ὧν ἡμεῖς καὶ πολλοὶ ἕτεροι σὺν ἡμῖν τεθερίκαμεν λειμῶνος Περσεφόνης, οὕτω φάναι, δράγματα. Ἐκεῖθεν γὰρ ἡμῖν καθήκει τὰ παρόντα κακά.

29. Καὶ ἀφηγεῖσθαι μὲν τὰ τότε δεινά, ὅσα εἶδον οἱ Λατῖνοι, τὸ πῦρ, ὃ τὰ κατ' αὐτοὺς ἐπενείματο δίχα γε τῶν ἀφαρπαγέντων, τοὺς κατὰ θάλατταν ἐμπρησμοὺς ἐκ τοῦ παρὰ Ῥωμαίοις ὠμβρημένου πυρὸς τοῖς ἐπὶ πλοίων φεύγειν ὁρμήσασι, τὰ κατ' αἰγιαλούς, τὰ περὶ τὰς ἀμφόδους, ἔργον ἂν εἴη πολύ, καὶ ὡς οὐ μόνον τῶν ἀνθοπλιτῶν Λατίνων κατεφέροντο οἱ τοῦ Ἀνδρονίκου, ἀλλὰ καὶ ὅσοις περιεποιεῖτο ἔλεον τὸ ἀπάλαμνον. Καὶ γυναῖκες γὰρ αὐτῶν ἐῤῥιπτοῦντο ξίφεσι καὶ βρέφη. Καὶ τοῦτο μὲν δεινόν· οὐχ οὕτω δέ, ὡς ὅτε καὶ γαστέρων ἀναῤῥηγνυμένων μητρικῶν ἐμαιοῦτο σίδηρος τὰ ἔμβρυα, καὶ πρὸ ὥρας βλέποντος ἡλίου τὸ μικρὸν ὁ τοῦ ᾅδου σκότος μετεξεδέχετο αὐτό, τεθνηκός, πρινὴ καὶ ζῆσαι τὸ τέλειον. Θηριῶδες τοῦτο καὶ ἀσύγκριτον μανίαις ἑτέραις. Ἔπεσε τότε καὶ ἀνὴρ ἱερὸς ἐν Λατίνοις, οὐκ οἶδ' εἴτε ἀπὸ τῆς πρεσβυτέρας ἥκων Ῥώμης κατὰ πρεσβείαν, εἴτε Σικελίαθεν, πάντως δὲ ἢ Ῥωμαῖος ὢν ἢ Σικελός. Καὶ οὐχ ἁπλῶς ἔπεσεν, ἀλλὰ μετὰ τῆς παρ' ἐκείνῳ ἱερᾶς ὅλης περιβολῆς, ἣν ὅπλων πρόβλημα περιέθετο, εἴ πως αὐτὸν αἰδέσονται οἱ κακοί.

30. Καὶ γέγονε καὶ ταῦτα ἡμῖν προκεντήματα, ὧν ἐπάθομεν. Ἡμῖν γὰρ οὐδὲ οἱ ναοὶ τοῦ θεοῦ ἄσυλοι. Οὐδὲ γὰρ οὐδ' αὐτοὶ ἄχραντοι ἔμειναν, ὅτε νεκροὶ μὲν ἐστρώννυον αὐτοῖς τὰς κρηπῖδας παντοδαποί, ἐν οἷς καὶ ἱερὰ πρόσωπα· αἵματι δ' ἐῤῥάδατο τοῖχοι καλαί τε μεσόδμαι, παρ' ὅσοις αἱ ἱεραὶ στέγαι ταπειναὶ ἤροντο. Ἀλλὰ ταῦτα μὲν ὕστερον. Τότε δὲ τηλίκον ἦν τὸ κακὸν τοῖς Λατίνοις, ὡς ἐκβοήσαντας

κατὰ τοῦ Ἀνδρονίκου δοκεῖν δικαιωθῆναι καθ' ἡμῶν, καὶ ἀκουστὰς θεῷ γενέσθαι τὰς αἰτήσεις αὐτῶν.

31. Καὶ οὕτω μὲν, ὡς ἔφθη στενολεσχήσας ὁ λόγος, κατέδυ πόλιν ἐκείνην εὐρυάγυιαν ὁ Ἀνδρόνικος. Καὶ ἦν σκοπὸς αὐτῷ τοῦ λοιποῦ τῶν ἐφεξῆς πράξεων καὶ ἀληθῶς προὔργῳ, στερεῶσαι μὲν πρὸς μικρὸν τὴν βασιλείαν ἐμπορικῶς τῷ μικρῷ Ἀλεξίῳ, κατασεῖσαι δὲ τῆς κραταιότητος τήν τε μητέρα, ἐπεὶ τὸν ἱστορούμενον Πρωτοσεβαστὸν ἀποσκευάσοιτο, πρωτόλειον ἐκεῖνον Ἐριννύσιν ἐκδούς. Καὶ κατέμενεν οὕτω προκεντῆσαι τὰς τῶν πρακτέων ἀρχάς. Καὶ ὡσιώσατο μὲν ἐνταῦθα καὶ ὅρκους, καὶ αὐτοὺς οἵους καὶ ὅσους, ὧν εἷς καὶ ὁ ἐπὶ τοῦ μεγάλου πανσεβάστου βήματος τεθεμελιωμένος εἰς κρηπῖδα, ἣν οὐκ ἔστι κατασεῖσαι Χριστιανοῖς. Εἰς αὐτὸ γὰρ ἦν συμπεπηγὼς τὸ αἷμα καὶ τὸ σῶμα τοῦ σωτῆρος Χριστοῦ, τὰ πᾶσι φρικτὰ καὶ πάντιμα. Ἐδίδου δὲ ὑπονοεῖν ἀσφάλειαν πίστεως βασιλικῆς καὶ τὸ τῆς ταπεινότητος ψευδεπίγραφον. Πεδοῖ γὰρ ἑαυτὸν ῥίψας ὁ Ἀνδρόνικος, καὶ ἁπαλὸν βασιλικὸν πόδα χειρὶ ἄρας ἠρέμα, τῷ σκληρῷ τραχήλῳ ἐπέθετο, φαντάζων, ὡς οὕτως ὑπὸ πόδα τῷ βασιλεῖ ἀεὶ πατήσεται. Καὶ οὐ μόνον ἀλλὰ καὶ ἐλαφρίσας ἐπεκάθισεν ὤμῳ σφετέρῳ, πρὸς σύμβολον καὶ τοῦτο τοῦ εἰς κεφαλὴν αὐτὸν ἔχειν, καθάπερ ὅσιον.

32. Ἦσαν ταῦτα. Καὶ οἱ μὲν ἀγχινούστεροι, καὶ οἷοι ἔχειν τὸ ἀληθῶς εὐεπήβολον, ᾤκουν πρὸς τῷ ἀνδρὶ εἶναι, οὐ πάνυ || (Ms. fol. 228. b.) πολλοὶ ἐκεῖνοι, εὖ ὅτι μάλιστα εἰδότες, οἷος πέπλαστο. Οἱ δὲ πλείους παρήγοντο τοῦ ἀληθοῦς· καὶ ἠνθισμένας τὰς ἐκείνου τρίβους ὁρῶντες, τοὺς βοθύνους οὐχ ὑπεβλέποντο, ἀγαθοὶ καὶ οὗτοί γε ὄντες Χριστιανοί, καὶ λογισμῷ διοικούμενοι, ὡς οὐκ ἄρα τοιούτους ὅρκους συγχέαι κατατολμήσει ἄνθρωπος, γένους εὖ ἔχων, καὶ ὁρῶν τὰ τοῦ θεοῦ ἄλλως ἐπιῤῥεπῶς ἔχοντα πρὸς αὐτόν, καὶ πεπιστωμένος χρῆναι βασιλεῦσιν εἴκειν, οἷς ἡ φύσις ἁλυσιδώσασα τὴν βασιλείαν ἡρμόσατο, καὶ τὸ τῆς ἀρχῆς κήρυγμα εὖ συνεκλώσατο.

33. Καὶ οὕτω μὲν οἱ ξύμπαντες. Ὁ δὲ τὰ πρῶτα κολακείαν σκευωρήσας, ὡς ὑπαγαγέσθαι τὸ πολιτικόν, καὶ ἀνύσας, ὃ προὔθετο, εἶτα καὶ ἀκκίζεσθαι προεβάλετο, οἷα ἐν τῷ προῤῥέειν ἐπὶ ἀγαθῷ τῆς πόλεως ἐπιτυγχάνων καταῤῥάκταις, οἵπερ αὐτῷ ἀναχαιτίζουσι τὸ ῥεῦμα ὡς εἰς ἀνάῤῥουν τινά. Διὸ καὶ ἀναχωρεῖν ἐθέλειν εἰς τὴν τῶν Παφλαγόνων αὖθις ἐσκήπτετο. Τὰ δ' ἦν κότος κατὰ τῶν καὶ εὐγενῶν καὶ ἰσχυρῶν εἰς τὸ πᾶν, οὓς μελετῶν κενὰ ὑπώπτευεν ἐναντιωσομένους αὐτῷ. Ἦν δὲ ἐν αὐτοῖς κορυφαῖον μέρος οἱ ὡς ἐῤῥέθη ἐπὶ γῆς ἄγγελοι, φῦλον ἐκεῖνο καὶ γένους ἔχον τὸ ὑπερέχον, καὶ ἀνδρίας εὖ ἧκον καὶ πίστεως βασιλικῆς καὶ συνέσεως· καὶ ὁ μέγας Δούξ, ὁ Κοντοστέφανος, ἀνὴρ δραστικὸς καὶ φρενῶν γέμων, καὶ ἕτεροι μυρίοι ὅσοι. Ἐλάνθανε δὲ ταῦτα τὸν ὄχλον, καὶ οὐκ ᾔδεσαν, ὅτι κατὰ τοιούτων ἀνδρῶν μέμηνε. Δεῖ καὶ ἀξιοῦντα μεταπλέειν καὶ ὑποχωρεῖν, ὅθεν ἦλθε, διὰ τὸ μηδὲν ἔχειν σπουδαῖον πράττειν τῇ ἐκ τῶν πολλῶν κωλύμῃ, ἐπεῖχον ἐγκείμενοι, προσκλαίοντες, ποτνιώμενοι, γουναζόμενοι πρὸς θεοῦ καὶ ψυχῆς καὶ τῶν φιλτάτων, καὶ ἐνδιδόντες, ἐξεῖναι αὐτῷ κατὰ πάντων κρατεῖν, εἰς ὅπερ ἂν αἱροῖτο. Μὴ γὰρ ἄν φασι διὰ τούσδε ἢ ἐκείνους τὸ πᾶν ἐξολέσθαι. Ἀφίησιν οὖν ἐπὶ τούτοις ὁ Ἀνδρόνικος τὴν θρύψιν ἐκείνην. Καὶ βαθμίδα ταύτην πρώτην ὑπαναβὰς τοῦ μέγιστα δύνασθαι διὰ τὴν δημοτικὴν ἰσχύν, οὕτω προσκολλωμένην αὐτῷ, καὶ τὸ κατ' αὐτὸν ὀλίγον εἰς μυρίον ἐπαύξουσαν, βαθύνει σκέμμα λαβυρινθῶδες. Καὶ τέως τρέπεται κατὰ τοῦ ἀρχιερέως, οὐ δεσμοῦ μόνον, ἀλλὰ καὶ τοῦ μὴ εἶναι ὅλως ἀξιῶν ἐκεῖνον, ὡς ἑαυτῷ δύσχρηστον, καὶ μάλισθ', ὅτι καὶ ᾔσθετο προορώμενον, ἃ πράξει οὗτος εἰς τὸν βασιλέα κακά. Ἤσθετο δὲ τρόποις πολλοῖς, ὧν εἷς καὶ οὗτος διακεκήρυκται.

34. Ὠνείδισέ ποτε ὁ Ἀνδρόνικος τὸν ἐν ἁγίοις γέροντα, ὅτι βασιλεωπάτορα τόπον ἐπέχων, οἷς ἐπιτροπεύει τοῦ βασιλεύοντος, οὐ συχνὰ παραβάλλει ἐπισκέπτεσθαι τὸν εἰς υἱὸν τεθειμένον, τοιοῦτον ὄντα. Ὁ δ' ὑπειπών, ἀρκεῖν, εἰ διαλείπων βραχέα ἥκει πρὸς ἐπίσκεψιν τοῦ παιδός, ἄνθρωπος τοσούτοις μεριζόμενος πράγμασι. Καὶ οὕτως ἠπίως τῷ τοῦ Ἀνδρονίκου προσενεχθεὶς ὀνειδισμῷ, εἶτα καὶ καυτῆρα δριμὺν ἐπήγαγε, προσεπειπών, ὡς ἄλλως τε καὶ ἐξεφρόντισα, ἤδη τὸν βασιλέα ἐνδεδημηκότα σε ἐξευρών. Εἶπεν ὁ γέρων. Καὶ Ἀνδρόνικος (ἦν γὰρ ὀξύς, ὥσπερ στρεβλὰ εἰπεῖν, οὕτω καὶ ὑπονοῆσαι τὰ μὴ βαθέως ἑλικτά) πυνθάνεται τοῦ σοφοῦ γέροντος, πῶς ποτε ἂν εἴποι, δι' αὐτὸν ἐκπεφροντικέναι τὸν βασιλέα; Καὶ ὁ μέγας θατέρῳ σκέλει τοῦ σημαινομένου τῆς ἐκφροντίσεως ἐνερεισάμενος, φάναι εἶπε τὸν λόγον, καθό || (Ms. fol. 229. a.) τι, σοῦ εἰς ἀστραβῆ κίονα ὑποστήσαντος ἑαυτόν, βαστάζειν τὰ ὑπὲρ τοῦ παιδός, αὐτὸς ἀπεφορτισάμην τὸ πολὺ τοῦ φροντίζειν, ἀναθέμενος ὡς ἰσχυρῷ σοι αὐτῷ τὰ βαρήματα. Ἡσυχάζει ἐνταῦθα ὁ Ἀνδρόνικος, καὶ τὸν θυμὸν ὑπενδακών, καὶ τοῦτο μόνον ἀκροβολισάμενος δίχα ῥοίζου λιγέος κατὰ τοῦ γέροντος, ὡς ἄρα βαθὺς Ἀρμένιος. Καὶ παραμίξας τῇ βαρύτητι καὶ σαρκασμὸν τὸν ἄχρι καὶ μειδιάματος, ἀρχὴν ἐκεῖθεν ἔθετο, τρανέστερον μελετᾶν. Καὶ εἰς τοσοῦτον ἐξίκετο δραστηριότητος, ὡς μετὰ μικρὸν ἐπαναστῆσαι καὶ

ἐπιστῆσαι τοὺς χύδην πικροὺς ἕως καὶ εἰς ἐσχάτην θρασύτητα, ὡς καὶ διαχρησθῆναι κίνδυνον γενέσθαι τὸν ἀρχιερέα μετὰ πολλὰς ὕβρεις, ὁποίας καὶ Ἰουδαῖοι ἐτοξάσαντο ἂν κατὰ θεοῦ. Καὶ εἰ μὴ τεχνησάμενος ὁ γέρων ἑαυτῷ τὰ σωτήρια, ἐκ μέσων κρυβεὶς ἀπεσύρη, ἀποδυσάμενος, ὡς ἐχρῆν, τὸ ἄρχειν, ἔπαθεν ἄν, ὅπερ οὐκ ἦν αὐτῷ ἐθέλοντι.

35. *Καὶ αὐτὸς μὲν οὕτω ξυνέστειλεν αὐτόν, ἀφεὶς καθ' ἑτέρων μεμηνέναι τὸν Ἀνδρόνικον. Ὁ δ' ἐπεὶ οὐκέτι προβλῆτι σκοπέλῳ τινὶ ἀνεκρούετο, ἐξεκύμαινεν ὀλέθρια κατὰ πάντων, οὐχ ὥστε καὶ εἰπεῖν, ὅς τε αἴτιος, ὅς τε καὶ οὐχί, ἀλλὰ κατὰ τῶν μηδὲν ὅλως αἰτίων (τὸ ἀδικώτατον)· καὶ τήν τε τοῦ βασιλέως περιγράψας μητέρα ἐν τῷ σεμνείῳ τοῦ ἐν ἁγίοις σοφοῦ ἰατῆρος Διομήδους, ἐπισχὼν οὐ πολὺν χρόνον, ὑπῆγε τε καὶ ἐβύθισεν, ὑπουργοῖς χρησάμενος, ὧν ἐνίους ὁ καταβραβεύων αὐτοῦ θυμὸς οὐ πολλῷ ὕστερον εὖ ποιῶν ἐτίσατο, παιδεύοντος ἡμᾶς καὶ οὕτω τοῦ θεοῦ, ὡς καὶ ὁ ἐπιτάσσων τὰ φαυλότατα καὶ ὁ ὑποτασσόμενος τοῦ προσώπου πειρῶνται τοῦ θεοῦ, ὁποῖον οἶδε Δαυΐδ.*

36. *Τοῦτό τε οὖν οὕτως ἐξήμαρτε. Καὶ σύγκλητον δὲ θέμενος ἀνδρῶν λογάδων ἁπάντων τῶν τοῦ μεγίστου γένους, κατά τινα ἡμέραν, ἣν καὶ ἐγγράψηταί τις ἂν εἰς ἀποφράδα δεινήν, συλλαμβάνει ἐκείνους ὡσεὶ καὶ ἰχθύας τινὰς ἐν ἀφύκτῳ πανάγρῳ, δίχα γε τῶν καλῶν ἀγγέλων, οἳ καὶ οἷα πτερυξάμενοι ἐς φυγήν, ἐσκορπίσθησαν. Καὶ διατίθεται πάντας, ὡς οὐκ ἂν εὐλογήσοι τις, λαβὰς ἐπικαλῶν ἑκάστοις τὸ κατὰ βασιλέως ἐνδομυχεῖν, ἐκείνου (εὐστόχως εἰπεῖν) ἀλιτήριος. Καὶ ὀλίγους μέν τινας ἐδικαίωσεν εἰς εἱρκτήν. Ἦσαν δὲ οἳ καὶ ἐξ ὀμμάτων ἐγένοντο, πλείους γε οὗτοι. Τινὰς δὲ καὶ ἐς ἀειφυγίαν ὑπερορίους ἔστειλε. Μετὰ βραχὺ δὲ καὶ τοὺς καθειρχθέντας ὑποδιελών, ἐμέρισεν εἴς τε τυφλοὺς ἐκ σιδήρου, καὶ μὴ τοιούτους· ὡς ἄν, οἶμαι, βλέποντες αὐτοὶ τοὺς πεπηρωμένους, ἀεὶ ζῶσιν ἔμφοβοι, καὶ συνεπαύξωσιν οὕτω τὸ κακὸν τῆς καθείρξεως. Οὐ πολὺν δὲ χρόνον μείνας, ἐπιβαλεῖν ἐφίεται καὶ τῷ ὑπερανεστηκότι βαθμῷ, καταγνοὺς τῆς πρώτης ἐκείνης βαθμίδος ὡς ταπεινῆς.*

37. *Γογγυσμὸς τοίνυν αὖθις αὐτῷ τεχνᾶται, καὶ βαρύτης προβάλλεται, καὶ φόρτος φορτίδων οὐ φορητός, καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ στερκτέα, εἰ οὕτω πάσχειν κινδυνεύει τρόποις πολλοῖς. Ἔπασχε δὲ ἄρα οὐδέν, ἀλλ' ἐνδόμυχος ἦν, πολλοὺς αὐτὸς ὑποβαλεῖν καὶ εἰσαῦθις ἀλήκτοις παθήμασιν. Ὡς δὲ ἐπέμενε, μακρὰ γογγύζων, καὶ κατὰ σχῆμα δυσανασχετῶν, καὶ τῇ μὲν ψυχῇ νεμόμενος βασιλικῶς τὴν Μεγαλόπολιν, τῇ δὲ γλώσσῃ τὴν Παφλαγονίαν προφέρων, καὶ ἅπερ αὐτὸς ἐῤῥητόρευεν ἐκεῖσε καλά, ὧν δῆθεν Κωνσταντινούπολις ἐστέρετο, καὶ θησαυροὺς ἐκόμπαζεν ἐκεῖ πεφυλαγμένους αὐτῷ, Φανίου δή τινα θύραν, καὶ αὐτὸς ταύτην ἀναπλαττόμενος τοῖς ἀγνοοῦσιν, οἷα τύχη αὐτὸν τὰ πρὸ τούτων ἤλαυνε· καὶ ἦσαν τὰ τοιαῦτα προβλήματα φωνασκούμενα τῷ ἀνδρὶ ἐν συχνοῖς ὄχλοις καὶ συνεχῶς, καί ποτε καὶ παρά τισι τῶν θερμοτέρων ἐν τῷ κοινῷ, καὶ οὓς οὐδέν τι ἐκφοβεῖ, διὰ τὸ μὴ ἔχειν πρᾶγμα, καθὸ δεδίξονται· καὶ ἤρεσε τοῖς τοιούτοις ἀναβοῆ|| [Ms. fol. 229. b.] σαι, ὡς, εἰ μὴ καλά σοι τὰ ἐνταῦθα, οὐδ' ἔστι προσμένειν ἐπ' ἀγαθῷ τῆς Μεγαλοπόλεως, τίς ἂν εἴη ὁ προσίστασθαι φρονῶν σωτηρίᾳ τοιούτου ἀνδρός; καὶ ὅτι ἡ ὁδηγήτρια, ἡ πολιοῦχος ἡμῶν, ἀρκέσει αὐτὴ ἀντὶ πάντων καταπράξεσθαι τὰ ἡμῖν σύμφορα — ὡς τοίνυν, ἐφ' οἷς παίζων ἐλάλει, οὕτως ἐμπεφορβίωτο, σιγᾷ εὐθύς, τὴν ὑποκριτικὴν σκηνὴν καθελών, καὶ μηδέν τι πλέον εἰπεῖν προσθέμενος. Καὶ γοῦν τὴν μηχανὴν ταύτην εἰς κενὸν ἰδὼν σχάσασαν, καί που καὶ αὐτὸς παροιμιωδῶς εἰπών, ὡς αὕτη μὲν ἡ μήρινθος ἡμῖν οὐδὲν ἔσπασε, καὶ τὸν ἀκκισμὸν τοῦ ἐθέλειν ἀπελθεῖν γνωματεύσας οὐκ ἀγαθὸν εἶναι, οἷα τοῦ σχηματισμοῦ καὶ τοῦ χρώματος ἀναποιοῦντος, ἅπερ κατὰ τῆς βασιλείας ἐβουλεύσατο, καὶ ἀποτελοῦντος αὐτὸν ἀεὶ ἄρχοντος ὕπαρχον, ἑτέρας γίνεται σοφωτέρας περιεργίας. Ἡ δὲ ἦν, μηκέτι ἀμέσως τοὺς ὀχλικοὺς καὶ ξύγκλυδας εἰς ὁμιλίαν ἀξιοῦν ἥκειν αὐτῷ, ἀλλὰ τοὺς ἐν αὐτοῖς προὔχοντας, καὶ οἵους ἔχειν περιάγειν τοὺς πλείονας, καὶ κεφαλαρχεῖν ὡς ἐν οὐραῖς. Ἀλιτήριοι ἄνθρωποι ἐκεῖνοι, φιλοστασιασταί, ὀχλοκόποι, βασιλεῖς οἷον ἕκαστος περὶ τοὺς ὁμοήθεις. Φιλοῦμεν γὰρ οἱ ἐλαφρότεροι εὐκόλως ἕπεσθαι κελεύουσι τοῖς πρὸς ἃ πεφύκαμεν ὁδηγοῦσι· πεφύκαμεν δὲ οἱ πολλοὶ πρὸς τὸ φιλόκαινον, ἐπιθυμηταὶ ὄντες καινῶν ξυμβαμάτων, καὶ τὸν χρόνον ἀπαιτοῦντες ἐγκαινίζειν ἡμῖν ἄλλοτε ἄλλα ξενίζοντα.*

38. *Οἱ τοίνυν τῶν τοῦ δήμου τὰ πρῶτα φέροντες, καὶ ἀνεγείρειν τοὺς λοιποὺς ἔχοντες, προβληματισθέντες οἷον ὑπὸ τοῦ Ἀνδρονίκου τὸ βουλητέον ἐκείνῳ, εἶτα τόπους αὐτοὶ ἐξεύρισκον κατὰ τοὺς δεινοὺς τοιαῦτα σοφίζεσθαι, δι' ὧν ἐπιχειρήσαντες συμπερανοῦσι τὸ ἔκτοπον, καὶ ὀκνητέον δὲ εἰπεῖν, καὶ ἄτοπον· καὶ μυστηριασθέντες τὸ μὴ ὅσιον, ἐτελοῦντο πρὸς ἐκεῖνο, καὶ ἐδᾳδούχουν εἰς ἐμφανὲς τὰ σκότους ἄξια, καὶ ἀναπείσαντες τοὺς ὄχλους, μὴ ἂν ἐκφυγεῖν τὴν πόλιν τὸ ἀπολεῖσθαι, εἰ μὴ τῷ μικρῷ καὶ ἀγυμνάστῳ Ἀλεξίῳ τὰ εἰς βασιλείαν τὸν Ἀνδρόνικον*

συνδυάσουσιν, εὖ μάλα δεδασμένον, καὶ τὰ εἰς τοιαύτας τέχνας οἷόν τε ὄντα συνδιαφέρειν ἐκείνῳ τὸν βασίλειον ζυγόν· οὐχ ὥςτε μὴν καὶ καταῤῥιπτεῖν, ἀλλὰ καὶ μάλιστα ὑπανέχειν, καὶ τὴν ἐκείνου μεγαλύνειν σμικρότητα· κοινωνίᾳ μὲν ἀξίας μιᾶς, ὑπεροχῇ δὲ κόπων καὶ πόνων, οἷς ὁ Ἀνδρόνικος εἴθιστο ἄδδην, πολυπλάνοις πλάταις κατὰ τὸν εἰπόντα γεγυμνασμένος— ἤγειραν οὐκ ὀλίγους ἀναπεισθῆναι, ὀρθῶς ἀκούειν καὶ διαθερμανθῆναι εἰς ἐξάνυσιν τοῦ συνάρχειν βασιλικῶς τόν τε Ἀλέξιον, τόν τε Ἀνδρόνικον. Καὶ τὴν ἀρχὴν μὲν ὑπεψιθυρίζετο ἠρέμα τὸ σόφισμα· μετὰ δὲ ἐλαλεῖτο, μικρὸν δὲ ὅσον καὶ ἐξεβοᾶτο τρανέστερον· καὶ ἔδει λοιπὸν ἐμφανῶς προκληθῆναι εἰς τὴν ἀρχὴν τὸν Ἀνδρόνικον· καὶ εἰ μὴ πείθοιτο, ἀλλὰ τότε δυςωπηθῆναι· εἰ δὲ μηδὲ οὕτω κατακλίνοιτο, ἀτενῶς ἔχων, πειραθῆναι καὶ βίας. Καὶ κάλλιόν φασιν ὄν, παθεῖν ἐκεῖνον, ὃ μὴ βούλεται, τὸ βασιλεῦσαι δηλαδή, ἤπερ ἐξολέσθαι τὰ κοσμικά. Καὶ ἑταιρίζονται μὲν εἰς τοῦτο πολλοὶ τῶν τοῦ λαοῦ· συνεπεῤῥέει δὲ τῷ κλύδωνι τούτῳ καὶ ἀποῤῥοιά τις τῶν τῆς συγκλήτου, οὐ πολλὴ μέν, ἐπίῤῥητος δέ, καὶ τοῦτό γε ἡμῖν ἀπόῤῥητος. Οὐ γὰρ ἁπλῶς ἀφωσιοῦτο αὕτη τὴν κατὰ τοῦ βασιλέως Ἀλεξίου νεωτέρισιν κατὰ χάριν Ἀνδρονίκου, ἀλλ' ὡςεὶ καὶ μεμηνυῖα βυσσόθεν ἐκυκᾶτο, καὶ τὸν Ἀνδρόνικον συνεξέμαινε.

39. Καὶ ἔσονται ἀοίδιμοι ἐν τούτοις οἱ τῆς ἡμέρας ἐκεῖνοι πιστοί, Κωνσταντῖνος ὁ Πατρηνός, τὸ τῆς κολακείας ἠκριβωμένον ἀφίδρυμα, || (Ms. fol. 220. a.) καὶ ὁ ἁπλούχειρ Μιχαήλ, ἀνὴρ γλοιὸς μὲν πολιτεύσασθαι, στρυφνὸς δὲ πονηρεύσασθαι. Ἦν δὲ καί τις ἀνὴρ λάμπων ἐν τοῖς τοιούτοις ὡςεί που καὶ φρυκτὸς ὀλέθριος (μέσος ἦν ὅτε τὴν τύχην), πατρὸς ἐκφὺς δεξιοῦ λογίζεσθαι τὰ δημόσια, καὶ ἐμβαθύνειν κλέμμασιν· Στέφανος μὲν τὸ κύριον, τὸ δὲ ἐπ' αὐτῷ Ἁγιοχριστοφορίτης· ὃς μεταθέμενος, ἐξ ὧν ὁ κατὰ θεὸν διάκειται, Ἀντιχριστοφορίτης παρωνυμεῖτο τοῖς ὀρθὰ νοοῦσι. Τοῦτον ὁ μὲν φθάσας χρόνος παρεσημήνατο εἰς ἀνδριάντα φαυλότητος. Κηδεύσας γὰρ οὐ καθ' ἑαυτόν, ἀλλὰ πανουργευσάμενος ὑπὲρ ἀξίαν γάμον εὐγενῆ, δέδωκε τιμωρίαν οὐκ ἀγεννῆ. Τὰς ῥίνας τε γὰρ ἀπεσχίσθη, ἅ τε μὴ καλῶς φριμαξάμενος, καθ' ἧς οὐκ ἔπρεπε· καὶ τῶν αὐτοῦ νώτων σωφρονιστῆρες ἱμάντες κατεχόρευσαν. Καὶ ὅμως ἰταμὸς ὤν, καὶ τὴν αἰσχύνην ἀπὸ προςώπου θέμενος, οὐκ ἀπήγαγεν ἑαυτὸν τοῦ προφαίνεσθαι, μὴ καὶ γελῷτο· ἀλλ' οἷα μηδέν τι κακὸν δεδρακώς, περιήρχετο, ἔνθα καὶ πρῴην, φιλενδεικτῶν τὸ θράσος, καὶ ἐπιδεικνύμενος τὸ μὴ αἰδεῖσθαι, καὶ οὕτω βιαζόμενος τὸ μηδέν τι φαῦλον ἢ ποιῆσαι, ἢ παθεῖν. Ὡς δὲ περιεωρᾶτο πρὸς πάντων, καὶ τοῦ γάμου τε τοῦ ὑψηλοῦ ἦν ἔκπτωτος, καὶ οὐδέ τινα εἶχεν ἄλλην ἀνάβασιν, ἀλλ' ἐν κενοῖς τὰς βασιλείους θύρας ἐξέτριβε, λαγχάνει ποτὲ προηκάμενος ἔπος, ἄλλως μὲν σφαλερόν, ἑαυτῷ δὲ ἀναστάσιμον. Ὡς γὰρ ὁ Μαυροζώμης Θεόδωρος, ὁ ἐκ Πελοποννήσου, ἄνθρωπος πολυμεμφής, ἐφ' οἷς ὑπὲρ τὸ δέον ἔδρα, μετὰ θάνατον τοῦ Ἁγιοθεοδωρίτου Μιχαήλ, τοῦ ἐν ὑπογραφεῦσι βασιλικοῖς μεγάλου, ἔγγιστα τῷ βασιλεῖ γεγονὼς ὑπερεφαίνετο, οἱ μὲν ἄλλοι ἐχεφρονοῦντες ἔπεττον, εἴ τι που χόλου καὶ εἶχον, ἐφ' οἷς μὴ ἀνέβαινον· ὁ δὲ πρὸ τῆς βασιλείου σκηνῆς καθήμενος, ἐξεβόησεν εἰς πολλῶν ἀκοὰς λόγῳ σχετλιασμοῦ, ἄδικα πάσχειν, εἴπερ ὁ δεῖνα μὲν καὶ ὁ δεῖνα, οὐκ εἰς τοσοῦτον κακοὶ πεφηνότες, εἶτα ὑψοῦνται, αὐτὸς δὲ φαυλεπίφαυλος ὤν, καί, ὡς ἄν τις κωμικευόμενος εἴποι, μιαρός, καὶ παμμίαρος, καὶ μιαρώτατος, καὶ ἄνθος κακίας, καὶ πονηρίας ἄβυσσος, καὶ οἷος διορύσθαι, ὅσα καὶ δαίμων, ἀφίεται ζῆν εἰκῆ, καὶ οὐκ εἰς μέσον παράγεται, τὰ οἰκεῖα ἐπιδειξόμενος, καὶ ἀρέσων εἰς πλουτοποιΐαν. Ἐπῆγε δὲ ἑαυτῷ καὶ ὅρκον μέγιστον, μὴ ἂν εὑρήσεσθαι τὸν ἐπὶ κακίᾳ ἴσον. Ἔφη ταῦτα στηλογραφῶν ἑαυτόν, καὶ περιαυτολογῶν, ὡς αὐτῷ ἔπρεπε, καὶ ἐπὶ πᾶσιν ἐστέναξεν ὡς βαρυπενθῶν, καὶ ἐξεπυρώθη χόλῳ τὸ πρόςωπον. Καὶ οἱ μὲν ἄλλοι ἐταράχθησαν πρὸς τὸν λόγον, καὶ ἐκαραδόκουν κακά, λογιζόμενοι, ὡς οὐ μόνον αὐτὸς δεινὰ πείσεται αὐτίκα, τῆς βοῆς ἐντὸς ἀκουσθείσης, καὶ εἰς ὕβριν τῷ βασιλεῖ λογισθείσης, ἀλλὰ καὶ αὐτοὶ πρὸς μέμψεως ἔσονται, ὅτι μὴ θυμὸν κατὰ τοιούτου ἀνδρὸς ἀνέλαβον. Καὶ αὐτοὶ μὲν οὕτως. Τοῦ δὲ καθ' ἡμᾶς βίου τὸ χρεὼν οἷς ἡμάρτομεν τότε μὲν ἀθῷον ἀφῆκε μεῖναι τὸν ἄνδρα, μέγα καὶ τοῦτο δοκοῦν εἶναι. Οὐ μακρὸς δὲ διέσχε χρόνος, καὶ ἤρξατο παρυψοῦσθαι ὁ ἄνθρωπος· καὶ κηρύξας ἑαυτὸν πονηρότατον, εὕρηκεν ἐπὶ πείρᾳ γέρας ὅμοιον, ὡςεὶ καὶ δεινός τις κλέπτειν εἶναι ἀνακηρύξας, προςληφθείη ποθέν. Καὶ ἐκεῖθεν ἀρξάμενος τοῦ κατὰ βίον ὕψους, γίνεται ἐπὶ τοῦ στρατοῦ, καὶ εὑρεθεὶς ἐπὶ τοῦ Ἀνδρονίκου τοιοῦτος, προςλαμβάνεται. Καὶ ἡ καθ' ἡμῶν πτερωθεῖσα συμφορὰ αἴρει αὐτὸν ἐπὶ πλέον ὕψου, καὶ εἰς ψυχὴν ἐντήκει φιλίως τῷ Ἀνδρονίκῳ, ἵνα πάγχυ κακὸς κακὸν ἠγηλάζῃ, καὶ μὴ τὰ καλὰ τοῖς κακοῖς συμφύ || (Ms. fol. 220. b.) ρηται, καὶ ὁ ὅμοιος εἰς τὸν ὅμοιον ἄγηται. Καὶ οὕτω φρονηματισθεὶς εἰς πλέον, καὶ οὐκ ἀνασχόμενος, εἰ καιρὸν ἄρτι ἐξευρὼν οὐ πτερύξεται, καθά τι δαιμόνιον πρόςωπον, πειρᾶται ὑπερπαίειν αὐτὸς εἰς τὸ κακὸν πάντας τε τοὺς ὡς ἐῤῥέθη τοῦ δήμου προάγοντας, καὶ

δὴ καὶ ἑαυτόν. Καὶ συλλαβόμενος, ὅσοι τῆς καλῆς συγκλήτου βουλῆς παραπτυσθέντες ἐξεβράσθησαν κατ' αὐτόν, κύμασιν ἐλαυνόμενοι, ἃ πνεῦμα πονηρὸν ἤγειρεν (ἦν γὰρ καί τις δαιμονοφόρητος λέσχη σύγκλητος, ὡς προέκκειται, εὐφυῶς ἔχουσα κατ' ἐκεῖνον ἀλλοφρονεῖν), οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς φαύλας κεφαλὰς τοῦ δήμου, πρὸς δὲ καὶ τὸν τηνικαῦτα πατριαρχοῦντα, τὸν καματηρὸν Βασίλειον, ἄνδρα θερμὸν καὶ οἷον καθομιλεῖν τοὺς καιρούς, ὡς τὸ παρ' αὐτῷ βουλόμενον ἔκρινεν (ὃς τοῦ μεγάλου Θεοδοσίου, τῆς φίλης καθαρειότητος γενομένου, ἀντεισῆκται, ὃν ὁ Ἀνδρόνικος ἤθελε, καὶ — ἀνακάμψαι τὴν φράσιν — ὃς τὸν Ἀνδρόνικον ἤθελεν· ἓν μέρος οὗτοι πνέοντες, καὶ οἷον δι' ἀλλήλων ἥκοντες κατά τινα σύντηξιν ἤθους, καὶ ταυτιζόμενοι ταῖς ὧν ἔπραττον αἱρέσεσιν) — οὕτω δὴ οὖν προσειληφὼς καὶ τοῦτον ὁ τῶν φαύλων ῥινηλάτης λογοθέτης (τοῦτό τε γὰρ ἐτιμήθη, καὶ τὸ σεβαστὸς κληθῆναι, οὐ δήπου καὶ ὢν τοιοῦτος πρὸς πρᾶγμα), ἥκουσι παρὰ τὸν Ἀνδρόνικον, τὴν τυραννίδα χοροβατήσαντες, δεινὰ ποιεῖν ἐκεῖνον λογοποιοῦντες κοινῇ ὡς ἐν ἐπικλήματος λόγῳ, εἰ τοὺς αὐτῷ πιστευθέντας παρὰ θεοῦ περιόψεται ὀλομένους· καὶ οὐ μόνον πόλιν ταύτην μεγίστην, ἀλλὰ καὶ ὅσων μερῶν αὐτὴ ἔχεται πρός τε ἥλιον ἀνίσχοντα, καὶ πρὸς δυσμάς, καὶ ὅσα λοιπά. Καὶ ἐσέμνυνον μὲν τὸν μικρὸν βασιλέα κατά γε τὸ φύσει καλόν. Πρὸς δέ γε τὸ παρὸν οὐδὲν ἱερὸν αὐτὸν ἔφασκον εἶναι, καὶ ἀπεδοκίμαζον μονούμενον· καὶ προέπιπτον αὐτῷ τῶν ποδῶν οἱ τὴν κολακείαν περιττότεροι, πεισθῆναι εἰς βασιλείαν, καὶ τῶν αὐτῆς ἡνίων συνεπιδράξασθαι, μὴ καὶ κατὰ μῦθον ὁ νεανίας οὗτος Φαέθων, ἀτέχνως τὸ ἅρμα τῆς ἀρχῆς χειριζόμενος, κακῶς τὸ πᾶν διαθήσεται. Ὅτε δὲ καὶ τῶν ποδῶν ἀπαλλαγεῖεν τοῦ Ἀνδρονίκου ὀρθούμενοι, αἱ χεῖρες αὐτοῖς ὡς εἰς θεὸν ἀνετείνοντο· καὶ ἐθεοκλύτουν ἐπὶ τοῖς αὐτοῖς. Ὁ δὲ κατορθούμενον ἤδη βλέπων τὸ ἐφετόν, ἔνδον μὲν οἷα ἔπασχεν ἄν, καὶ ὡς ἔχαιρεν ἀμύθητα, τίς οὐκ ἂν τεκμήραιτο; Τὰ μέντοι ἐκτὸς ἄλλως ἐχρώζεν ἑαυτόν, καὶ ἐδόκει μὴ ἂν φέρειν μηδὲ ζῆν, εἰ τοιαῦτα ἀκούοι, καὶ ὡς εἰς ἀπιστίαν γυμνάζοιτο. Καὶ τίς ἐγώ, ἔλεγε, καὶ πῶς ἂν δυναίμην; καὶ ὡς φευξοῦμαι, καὶ ὡς μεταστήσω τοῦ βιοῦν ἐμαυτόν, εἰ μὴ ἀφίεμαι. Καὶ ἐῤῥάπιζεν ἑαυτόν, καὶ ταῖς θριξὶν ἐνύβριζε, καὶ πολλαχοῦ εἱλεῖτο, δοκῶν μὲν ἐθέλειν διέκδυσιν ὡς εἰς φυγήν, διδοὺς δὲ ἄλλως τόπον χαρᾷ καὶ γέλωτι λεληθότως ἐν τῷ στρέφειν ὧδε καὶ ἐκεῖ τὸ πρόσωπον, ὁποῖος ἐκεῖνος, τὸ περιπόνηρον.

40. Ὡς δὲ τὴν σκηνὴν ταύτην συμπήξασθαι τεχνασάμενος ἀσφαλέστερον, προσεποιήσατο πλασάμενος, καὶ τοῦ ὑπερῴου γενέσθαι, εἴ πως οὕτω φαντάσει τοὺς πολλούς, ὡς ὑπερθέμενος τὴν ἐνεστηκυῖαν ὥραν, φευξεῖται μετ' αὐτήν, καὶ ἀπαλλαγήσεται τοῦ ὀχλοκοπεῖσθαι, οἱ κόλακες ἐντεινάμενοι τὴν ἁρμονίαν τοῦ λήρου, εἰς ὅσον πλέον οὐκ ἦν, φωνάς τε ἦραν, καὶ φυλακὰς ἐπέταττον καὶ || συντηρήσεις τῶν ἐκεῖ διεξόδων, καὶ Ms. fol. 231. a. διηποροῦντο, τί ἂν καὶ γένοιτο. Καὶ ὁ πατριάρχης ἐπιλυόμενος αὐτοῖς τὸ ἄπορον, ὡς ἡμεῖς καὶ τότε μανθάνοντες ἐγελῶμεν, καὶ νῦν δὲ ἔτι γελῶμεν, παρῳδοῦντες ἕκαστος ἑαυτῷ κωμικώτερον τὸ παῖζε, παῖζ' ἐπὶ συμφοραῖς, αὐτὸς ἔφη καὶ ποδοκάκην, καὶ χειροπέδας, καὶ κλοιὸν περιτραχήλιον, καὶ ὅσα τοιάδε μηχανήσασθαι τῷ Κομνηνῷ, δι' ὧν κατέχοιτο ἄν. Εἶπεν ἐκεῖνος ταῦτα. Καὶ οἱ πολλοὶ ἀφεώρων πρὸς ἐπίνοιάν τινος χαλκεύματος· καί, πῶς ἔσται ταῦτα; ἔλεγον. Ὁ δ' εὐθὺς πλαγιάσας τὸ τῆς κεφαλῆς κάλυμμα, καὶ τὴν δεξιὰν εὐθετίσας εἰς ἀέριον σταυρικὸν χάραγμα, κατακροτεῖ δεσμοὺς τοὺς ἀρέσαντας· καὶ ἀμφιβαλὼν ἱεραρχικῶς ἐπέχει τὸν Ἀνδρόνικον, καὶ ἀφορίζει, ὅποι εὕρε μένοντα· καὶ κατασκήπτει, μὴ ἂν ἀφεῖναι τὴν πόλιν, καὶ ἄλλην τραπῆναι. Ὁ δὲ ὡς ἀβούλητα δῆθεν παθών, καταβοᾶται τοῦ πατριάρχου, οἷα οὕτω καταδήσαντος τὸν τρέχειν ἕτοιμον· καί, ὤμοι, φησί, τί ποιεῖς, δέσποτα; Καὶ συχνὰ τοῦτο λογοκοπήσας, ἄνεισιν ὑψοῦ στενάζων, ὡς ἐπὶ μεγάλῳ κακῷ. Καὶ ὁ πατριάρχης ὑπειπὼν τὰ δοκοῦντα, ἡσύχαζε.

41. Καὶ τοῦ λοιποῦ (ἵνα μὴ τὴν κοσμικὴν ἀηδίαν ἀδολεσχῶ) γίνεται τῶν κακῶν δρόμος εἰς τὸν περίδοξον ναὸν τοῦ σωτῆρος Χριστοῦ, τοῦ Χαλκίτου, καὶ εὐφημία τοῦ Ἀνδρονίκου ἄκοντος εἰς βασιλέα, ὡς ἂν καὶ αὐτοὶ καὶ ἐκεῖνος εἴποιεν· εἶτα καὶ βίᾳ εἰς ἐκεῖνον, ὡς καὶ μὴ ἐθέλων ἀρχηγὸς ἡμῶν γενοῦ· καὶ περίθεσις παρασήμων τῇ βασιλείᾳ πεδίλων, ἐκείνου μὴ καθιστῶντος τοὺς πόδας, καὶ περίδυσις διαδήματος· καὶ ῥίψις μὲν καπνικοῦ καλύμματος τοῦ περὶ κεφαλήν, ὅπερ Λαζόθεν εἶχε τὴν ἀφορμὴν εἰς σύμβολον, ὡν ἔμελλε καπνῷ φῦραι, κατεμπρήσας τὸ πᾶν, ἀντιφόρησις δὲ ἐρυθροῦ, αἰνιττομένη, ὅσων κεφαλῶν καταψηφιεῖσθαι μέλλει αἵματα. Καὶ συγκάθηται τὸ ἐντεῦθεν τῷ βασιλεῖ Ἀλεξίῳ, καὶ προκάθηται. Ὑπερέκειτο γὰρ αὐθωρὸν ἐκείνου τὸ ἀπὸ τοῦδε, καὶ συντιμᾷ, οὓς αὐτὸς ἐπέκρινε· καὶ προβάλλεται ἀρχάς, ἐξ αὐτῶν βαλβίδων τὸ τῆς κατ' αὐτὸν βασιλείας ἅρμα πρόσθεν βαλών. Καὶ τὸ μέγα κακὸν τῷ μικρῷ καλῷ συγκίρναται.

42. Βραχὺς ὁ ἐν μέσῳ χρόνος, καὶ περιγίνεται· καὶ ὡς ἂν μὴ θρήνου μεγάλου ἔξαρχος καθισταίμην τοῖς

φιλαλεξίοις, εἴτ' οὖν φιλοβασιλεῦσι, λεπτοτομῶν παχεῖαν σκυθρωπότητα, ἐκ ποδῶν ἀπάγει τὸν συμβασιλέα. Καὶ τοῦ ζυγοῦ τὸν Ἀλέξιον ἐκτινάξας, εἴτε πνιγμῷ τῷ δι' ἀγχόνης, ὡς διαῤῥέει λόγος ὁ πλείων, εἴτε καὶ ἄλλως, ὡς ἐκεῖνος οἶδε καὶ οἱ συγκακοῦργοι, ἀντεμβάλλει τὸν υἱὸν Ἰωάννην, τὸν τοῦ Μανουὴλ ὕστερον, οὐχ ὅτι καλλίων ἦν, ἀλλ' ὅτι ὁ μὲν Μανουὴλ ἀπεστύγει τὰ τοῦ πατρός, καί πως ἔβλεπεν εἰς τὸ μέλλον, καὶ τὸν θεὸν ἐπίστροφον εἶναι τῶν γινομένων κακῶν ὑπελάλει· ὁ δὲ Ἰωάννης ἔστεργε, καὶ τοῖς πλημμελουμένοις ἔχαιρε συνεφαπτόμενος.

43. Ἃ δὲ τὸ ἐντεῦθεν ὁ Ἀνδρόνικος — οὐ λέγω ἥμαρτεν, ἢ ἐπλημμέλησεν (ἄλλως γὰρ οἱ θερμότεροι ὀνομάσαιεν ἄν), γλώττης δεῖται νεανικῆς φράζειν, καὶ πρὸ αὐτῆς λογισμοῦ βαθέος καὶ οἵου εὔστοχα βάλλειν, καθ' ὧν ἂν ἐπιβαλεῖ· ἅπερ ἡμεῖς ἀπολωλεκότες τῷ γήρᾳ, τοσοῦτόν φαμεν ἐπιτέμνοντες, ὅτι, ὁποῖά τις Δαυῒδ μεμελετηκὼς ἀπεκβῆναι ἔν γε τῷ κατὰ τὸν Οὐρίαν καὶ τὴν γαμετήν, τὸν μὲν ἄνδρα βασιλέα, τὸν Ἀλέξιον, προϊάπτει κάτω, παραστείλας τοῦ ζῆν, εἶτα καὶ βυθῷ θαλάσσης πιστεύσας, καθά τινές φασιν, ὡς οὐκ ἂν ἐγὼ ἀνακρίναιμι, καθάπαξ ἀπεστυγηκὼς τὴν φαύλην ταύτην περίστασιν. Καὶ ἐκεῖνος μὲν οὕτω Ms. fol. 231. b. τὸν παῖδα βασιλέα συνέστειλεν, εἰ καὶ λόγοι || τινὲς ὕστερον ζωὴν ἐκείνου κατεψεύσαντο· εἰς ὃ παίζων ὁ Ἀνδρόνικος ἐξελάλησέ τι δριμύ· ὃς ἀκούσας περί που τὰ κατὰ Σικελίαν τημελεῖσθαι τὸν Ἀλέξιον βασιλικῶς, ἡδὺ γελάσας, ἦ δή, ἔφη, ἄριστος κολυμβητής, εἴπερ ἐν Κωνσταντινουπόλει κατακυβιστήσας εἰς βαθεῖαν θάλασσαν, ἀπνευστὶ διεξέδυ περὶ τὸν ἐκεῖσε πορθμόν.

44. Ἀποικίσας δὲ οὕτω τὸν ἄνδρα Ἀλέξιον, εἰσοικίζεται τὴν αὐτῷ μνηστήν, ὢ καὶ ἐκείνου κακοῦ νεάνιδα θυγατέρα, τοῦ τῆς Φραγγίας ῥηγός, ὀκνοῦσαν μέν, ὡς περιᾴδεται, τὴν συναφήν. Ἤδη γὰρ καὶ φρενῶν ὑπεπίμπλατο· καὶ πεπειραμένη δὲ ἄλλως λειότητος ἐραστοῦ, τὸν τραχὺν ἀπέστεργε. Καί ποτέ φασι καθ' ὕπνους φαντασαμένη τὸν νεανίαν, καί, ὦ Ἀλέξιε, ἀνακράξασα, οἷα ἔπαθεν, οἶδεν αὐτή.

45. Καὶ ἦν μὲν ἴσως μέτριος τὴν κακίαν, εἴπερ ἐνταῦθα ἐλθὼν ἀδικήματος, ἔληξε καὶ ἐστράφη πρὸς τὸν ἀληθῶς ἄνθρωπον, ἀδικήσας εἰς βασιλείαν, καὶ μεγάλου τυχὼν πράγματος. Ὁ δ' ἀλλὰ πρὸς δεινὸν μέγα μεταπλασθεὶς τῇ θηριωδίᾳ, τὸ κατὰ πάντων φοβερὸν πραγματεύεται. Καὶ ἀφίησι μὲν πατὴρ ὡς ἤπιος εἶναι, ἀνθαιρεῖται δὲ μαίνεσθαι οὐκέτ' ἀνεκτῶς. Καὶ ὡς εἴπερ μικρὰ ἐποίει κακά, ὅτε πρόφασιν εἶχε τὴν τοῦ βασιλέως Ἀλεξίου περιποίησιν, πολλαπλασιάζει τὰ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ παιδὸς Ἰωάννου· καὶ εἰς οὕτως ἄποπτον ἐκκορυφοῖ τὸν τῆς μανίας κολωνόν, ὡς καὶ τὸν Ἰωάννην ἀναβλέψαντά ποτε παθεῖν ἔλεγχον. Καὶ τοίνυν καὶ ἀνεκάλυψέ ποτε τῷ πατρὶ καὶ ἐκεῖνος τὸ κατὰ ψυχὴν πάθος, καὶ ἔδειξε, φόβον ἔχειν εἰς τὸ μέλλον, ἐφ' οἷς ὁ πατὴρ ἄρτι θρασύνεται. Καὶ ὑποκλαίει μὲν μαλθακώτερον, οὐκ ἀποκναίει δὲ τὸν πατέρα τοῦ ἐν κακοῖς ἀνδρίζεσθαι καὶ δεινὰ βούλεσθαι. Διὸ καὶ προαναφωνῶν τὸ καλὸν ἐκεῖνος βούλευμα, γυναικώς τε τοὺς υἱοὺς προσέφη, ἐπιπλέξας ἐνταῦθα καὶ τὸν Μανουήλ· καὶ ἐπαρᾶται, μὴ ἂν εἰς ἄξιον ἐλθεῖν τοῦ ἡσυχῇ ζήσειν, μεγαλείους μόνους ἐκείνους ἐσομένους, ἐπὰν ὁ πατὴρ θάνοι. Καὶ κομπάζει, μακελλαρίους (εἰπεῖν κατ' ἐκεῖνον) καὶ μάγγιπας καὶ μύρων ἑψητὰς μέλλειν ἀφήσειν περιεῖναι, καὶ τοιούσδε τινάς, ὧν αὐτοὶ ἄρξοντες ὕστερον, εἰκῇ ἄρτι δειλαίνονται· μεγάλα σεμνύνων ἐκεῖνος τὴν βασιλείαν τοῖς παισίν, εἰ οὕτω μικροβασιλεῖς ἀποβήσονται, ὅμοιον ὡς εἰ καὶ γιγάντων ἀποστερῶν ἐθέλοι παραμυθεῖσθαι, οἷς Πυγμαίων ἄρξειν αὐτοὺς ὑπόσχοιτο.

46. Γίνεται οὖν ὁ ἄνθρωπος ἐπὶ πλέον ἀπάνθρωπος, τὸν θῆρα μετενδυσάμενος. Καὶ οἷα μὴ ἀρκοῦν αὐτῷ, στερεῶσαι βασιλείαν, εἰ τοσούτους καὶ τοιούτους λογάδας, τοὺς μὲν ἀπήγαγεν εἰς τοὺς πλείονας, τοὺς δ' ἄλλως ἐκ μέσου ἔστησε, προσεπικαταβάλλει καὶ ἄλλους μυρίους ὅσους, μάρπτων ἑξείης, οὐ κατὰ αἰτίαν οὖσαν, ἀλλ' ὁποίας πλάσαιτ' ἂν κατὰ ζώντων, ἄνθρωπος αὐτὸς μόνος ἐφιέμενος ζῆν διὰ τὸ φύσει καχύποπτον, ὃ παγίως αὐτῷ ἐνεῤῥίζωτο, οἷς αὐτὴ ἀεὶ ἐδολίου κατὰ τῶν πρὸ αὐτοῦ· ὅθεν ᾤετο πάντας βασιλεῖς κατ' αὐτόν. Καὶ οὐ λέγω τὸ πλῆθος τῶν πεπονθότων· οὐ προσάπτομαι τῆς ποιότητος· οὐκ ἐκτίθεμαι τὰ κατ' ἐκείνων συμπλάσματα· οὐ περιηγοῦμαι τρόπους ἢ τύπους, καθ' οὓς καὶ ὅπως περανθείη || τὸ Ms. fol. 232. a. κακόν· οὐκ ἄλλο τοιοῦτον οὐδέν· μὴ καὶ ἀηδίας ἀναταράξω βόρβορον. Ἐκεῖνο μόνον λέγω, ὡς ἠρίστευεν ἀληθεύων ἐπὶ τῇ πρὸς τοὺς υἱοὺς ὑποσχέσει. Οὐ πολλοῦ γὰρ ἐνέλιπε ψιλῶσαι ἀνθρώπων ἐπιδόξων τὴν Μεγαλόπολιν. Καὶ οὕτω μὲν κατὰ πάντων αὐτός· ἦσαν δὲ οὐδ' οἱ πάντες ἀπεοικότες ἐκείνου πρός γε τὸ μῖσος. Μισούμενοι γὰρ ἐφιλοτιμοῦντο ἀντιμισεῖν, οὐκ εὐαγγελικῶς μέν, κατὰ βασιλικὸν δὲ ἐκεῖνο παράδειγμα. Καὶ συλλεγέντες τῇ ἀμύνῃ πρός τι ἕν, δρᾶν ἤθελον καὶ ἀντιλυπεῖν τὸν κατάρξαντα. Ἦσαν δὲ ἐν τοῖς δρῶσι πρὸς ἄμυναν, ὅτι καὶ ἐν τοῖς παθοῦσι, καὶ οἱ τῆς Ἄγαρ. Τὰ γὰρ κατὰ Νικαέων πάθη, καὶ ὅσα οἱ Προυσαεῖς ἔτλησαν, ἥψαντο καὶ ἐκείνης, καὶ εἰς πολὺ ἐχθίστην ἡμῖν ἐνέγραψαν. Πολλοὺς γὰρ καὶ

τῶν αὐτῆς ἐπιλέγδην ἡ Νίκαια, ναὶ δὲ καὶ ἡ Προῦσα μετὰ πολύπονον ἅλωσιν μετεωρισθέντας εἶδον, ὅθεν ἔστι καταβῆναι εἰς Ἅιδην καὶ ταχὺ καὶ οἴκτιστα.

47. Καὶ οἷα μὲν ἐντεῦθεν οἱ ἀνατολικοὶ ἔπαθον, εἰς μνήμην, εἰ καὶ μὴ μετ' ἐγκωμίων τοῦ Ἀνδρονίκου, συγγραφέσθω ἕτερος, ἐκεχειρίαν τε ἄγων ἱκανήν, ἀλλὰ καὶ δακρύοις πλουτῶν· ἡμᾶς γὰρ ἐπέλιπον καὶ αὐτά. Ἡμῖν δὲ οἷα ἐκεῖθεν συνέπεσον, καὶ ὡς ἡ τοῦ Ἀνδρονίκου, ὁμαλῶς λέξαι, οὐ προσήνεια καθίκετο καὶ ἡμῶν ὀλεθρία, φράσων ἔρχομαι, οὐ πρὸς εὐρυλογίαν οὐδ' αὐτά, μὴ καὶ πλατὺ μάλα βιβλιογραφήσειν ἀνάγκην εὑρήσω, ἀλλ' ὡς πρὸς ἐσκιαγραφημένην τῶν πεπραγμένων ὑπόδειξιν.

48. Οἱ βλαβέντες ἐκεῖνοι, οἱ πολλοί, οἱ ποικίλοι, οἱ πολύγλωσσοι, διασπαρέντες ἄλλοι ἄλλοθεν, εἴ τις φρήτρη ἐκ Πίσσης, εἴ τις ἀπὸ Γενούης· τὸ τῶν Τούσκων φῦλον, καί τι Λαμπαρδικόν· οὐκ ἀπελίπετο δὲ οὐδὲ τὸ ἐκ Λογγιβάρδων βλαβέν, οὐδ' ὅσα ἄλλα· οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν Εὐγενείας ἐπιτεταγμένων. Μαλεῖνος δέ τις, καὶ Δαλασηνός, καὶ Κλάδων, καί τινες τοιοῦτοι τῶν τῆς ὑφειμένης, πρὸς δὲ καὶ θεραπευταὶ ἀρχόντων, οὓς ὁ Ἀνδρόνικος φαύλως διέθετο — οὕτω δή, καὶ ὅσοι δὲ ἄλλοι ἐν ὁμοίοις κακοῖς ἦσαν, ἐπρέσβευσαν παρὰ πολλοὺς τῶν μέγιστα δυναμένων, περί τε τὰ τῆς ἑῴας λήξεως, καὶ τὰ ἑσπέρια. Καὶ οἱ μὲν τὸν Σουλτὰν ἠρέθισαν, τὰ πλείω προϊσχόμενοι εἰς δυσωπίαν τὸν τοῦ βραχυβίου βασιλέως Ἀλεξίου θάνατον, ὅνπερ ὤφειλε πιστὰ διὰ τὸν πατέρα Μανουὴλ ὁ τῶν Ἀγαρηνῶν ἔθναρχος· ἕτεροι δὲ τὸν ἐν Ἀντιοχείᾳ προκαθήμενον, τόν τε κατὰ κόσμον, καὶ τὸν ἐκκλησιαστικῶς· ἄλλοι δὲ τὸν ἐν Ἱεροσολύμοις ζηλοῦντα βασιλικῶς ὑπὲρ τοῦ καλοῦ. Ὠφειλέτην δὲ ἄρα καὶ τούτω τὼ ἄρχοντε ὀρθὴν ἀγάπην καὶ ἐπικουρίαν μετὰ τὸν Μανουὴλ ἀδικουμένῳ τῷ υἱῷ Ἀλεξίῳ. Αἱ δὲ ἐντρεχέστεραι τῶν πρεσβειῶν περὶ τὰ καθ' ἑσπέραν ἐξετελοῦντο. Καὶ ἐλιτάζετο πρὸς μὲν τῶν ὁ τῶν ἐν μεγάλῃ Ῥώμῃ ἀρχιερατικῶς ὑπερεστώς, καὶ εἴ τις ἄλλος παρ' αὐτῷ καὶ κατ' αὐτὸν ἰσχύων· πρὸς δὲ τῶν ὁ Γερμανικὸς φύλαρχος. Ὠχλεῖτο δὲ πρεσβευτικῶς καὶ ὁ πολὺς τὴν ἐξουσίαν Ἀλαμανός. Καὶ οὐδὲ ὁ Μαρκέσιος ἡσυχῇ μένειν ἀφίετο, καθάπερ οὐδὲ ὁ τῆς Οὐγγρίας κράλης· καὶ ὅς δὲ ἄλλος ἰσχυρὸς περίοικος. Καὶ ὅλως, ἔνθα περιήγησις ἀρχικῶν ὀνομάτων, ἐκεῖ ἀπέβλεπεν αὐτοῖς τὸ δεόμενον τῆς ψυχῆς· καὶ οἱ πόδες αὐτίκα ἔτρεχον, καὶ ἡ γλῶσσα ἐλάλει, καὶ ἐνήργει πρὸς πειθώ.

49. Μάλιστα δὲ τοιούτου ἐπειράθη ὄχλου ὁ τῶν Σικελῶν εἴτε ῥήξ, εἴτε τύραννος, ὡς οἱ Διονύσιοι || [Ms. fol. 333. b.] καθ' ἱστορίαν βεβαιοῦνται, καὶ οἱ Φαλάριδες, καὶ ὅσοις δὲ ἄλλοις τὸ ἐκεῖ ἄρχειν τυραννεῖν καὶ ἦν καὶ ἐλέγετο. Ἔνθα ὁ πρῶτος πρὸς βίαν κατάρξας, καὶ τὸ Ῥωμαϊκὸν ἐκεῖνο κομητάτον εἰς ῥηγάτον μεταγράψας, Ῥογέριος ἦν, ῥέκτης ἀνήρ, καὶ τῷ ὄντι δραστήριος, καὶ ἐν τοῖς ἐκεῖσε πολλὴν ἱστορίαν ὑπὲρ ἑαυτοῦ περικείμενος· δεύτερος δὲ μετ' ἐκεῖνον καὶ χρόνῳ καὶ χειρὶ καὶ τύχῃ, παῖς ἐξ ἐκείνου, οὐκ οἶδ' ὅπως ἥκων τοῦ ὀνομάζεσθαι· ὁ δὲ ἄρτι ζῶν (Γελίελμον ἐκεῖνόν φασιν), μεγαλεπήβολος μὲν τὴν ἔφεσιν, μικροτελετὴς δὲ ἐν ταῖς ἐπιβολαῖς. Ὀλίγα μὲν γάρ τινα ἠνδραγαθίσατο, τὰ πλείω δὲ ἔπταισε. Καὶ ὡς μὲν κατὰ τὴν σκέψιν Ἀριστοτέλους εἰς τριγονίαν τὰ πολλὰ τὸ τυραννικὸν φῦλον ἀνθοῦν, εἶτα μαραίνεται, συχνὴ πεῖρα παρέδειξεν. Οὗτος δέ, οἷς ἄρτι εὐτυχῶς ἑαυτῷ ἐπέτευσεν, οἴοιτο ἂν τάχα, οὐ μόνον οὐκ ἀπανθήσειν, τρίτος ὢν αὐτὸς τῷ γένει, ἀλλὰ καὶ κάρπιμος ἔσεσθαι. Πάνυ γὰρ ἡμῶν κατευτύχησεν.

50. Ὁ δὲ οὖν Γελίελμος οὗτος κότον τε οἶμαι τρέφων, οἷς ποτε ὁ Μανουὴλ κατεστράτευσε τῆς αὐτοῦ, καὶ πολλὰ καὶ ἐλύπησε καὶ ἔβλαψε, καὶ ἅμα καὶ ζηλῶν πατρικὴν διὰ θαλάσσης ὁρμήν ποτε παλαιὰν κατὰ τῆς Κωνσταντινουπόλεως, ἣν ὁ πατὴρ ἀνήνυτον ἐξετέλεσεν· ὁμοῦ δὲ καὶ συνάψας εἰς τοῦν τὴν καὶ διὰ γῆς καὶ διὰ θαλάττης μελέτην τοῦ Μανουὴλ κατὰ τῆς τῶν Σικελῶν (κατάμψω γὰρ ἐκεῖνος ἐπεχείρησε, καλῷ μὲν ἐπιβαλὼν πράγματι, κατακυβευθεὶς δὲ τύχαις πολέμου), προσίεται τὴν πρεσβείαν τῶν τοῦ Ἀνδρονίκου ἐχθρῶν, ὧν κατάρχειν ὁ Κομνηνὸς Ἀλέξιος ἠγλαΐζετο, πολυπλάνητος καὶ αὐτός, καὶ μακρὰ περιοδεύσας· εἶγε πρὸς τοῖς ἄλλοις καὶ διὰ Ταυρικῆς καὶ Σκυθίδος γῆς ἐλθών, διὰ τὸν Ἀνδρόνικον μυρία ἔκαμε. Καὶ τυγχάνει βαλὼν ἔπος ὁ Σικελός, τήν τε ξηρὰν τήν τε ὑγρὰν ἐμπλῆσαι τῆς κατ' αὐτὸν δυνάμεως, καὶ οἷόν τινα νέφη στρατοῦ ὑπερστῆσαι καὶ αὐτῆς τῆς Μεγαλοπόλεως, δι' ὧν ἐπιβρέξας ὄλεθρον κατακλύσει τοὺς ἀμφὶ τὸν Ἀνδρόνικον· φυσῶντος ἐνταῦθα μεγάλα, καὶ τὰ τοιαῦτα νέφη συνελαύνοντος καὶ τοῦ Κομνηνοῦ Ἀλεξίου. Ἔλεγε γάρ, ἀλλὰ καὶ ἐδόξαζε, πρὸς αὐτοῦ εἶναι τὴν πᾶσαν Ῥωμαΐδα, καὶ φιλεῖν αὐτὸν εἰς τὸ γνήσιον· καὶ μὴ ἂν ἀφίξεσθαί τινας αὐτοῦ· ἀλλ' ἅμα ἢ κατιδεῖν ἢ μηνύματι ἐρεθισθῆναι, καὶ αὐτίκα ἐπιδιδόναι κατακύπτοντας ἑαυτοὺς εἰς ὑποταγήν. Ἐνεκρύπτετο δὲ τοῖς λόγοις τούτοις καὶ νοῦς, ὡς οὕτως ἔχων, καὶ οὕτω φιλούμενος, καὶ εἰς τὰ ἑκάστων παραδυόμενος σπλάγχνα, βασιλεύσει αὐτός, ῥίψας τὸν Ἀνδρόνικον, παραγόμενος κἀνταῦθα τῆς ὀρθῆς. Ὁ γὰρ Σικελὸς ῥὴξ ἄλλα ἤθελε· καὶ Σικελίαν

μὲν καὶ τὸ κατ' αὐτὴν ῥηγάτον ἑτέροις, ὥς φασιν, ἀποκαταστῆσαι, αὐτὸς δὲ μετεμβῆναι εἰς τὴν Μεγαλόπολιν μεμελέτηκε.

51. Συνέπεσε δέ τι ἐν τούτοις καὶ τοιοῦτον. Εἴδομεν ἡμεῖς μετὰ τὴν ἐν ἡμῖν μεγίστην δυςπραγίαν ἄνδρα τινὰ εὐσταλῆ, μελαγχρῆ πρὸς βάθος, ἐσταλμένον εὖ μάλα τὰ πάντα κατὰ Λατίνους, πλὴν ὅσον βαθυγένειον· ἐσχηματισμένον μὲν ὡςεὶ καὶ ἀποστολικῶς, λεγόμενον δὲ ὑπερπόνηρον εἶναι. Ἡ δὲ φήμη καὶ ἱππότην δεξιὸν αὐτὸν εἶχεν, ὡς καὶ ὁ εὐγενὴς ἵππος ὑπομαρτυρεῖν ἐῴκει, ὃς αὐτὸν ἔφερε, καὶ οἱ Ms. fol. 333 a. ἐκείνου ἐξελιγμοί, || ὅτε ἤρετο ἔφιππος. Ὑπισχνεῖτο δὲ τὸ κατὰ ζώνην αὐτῷ ξίφος, καὶ ὁπλίτην αὐτὸν εἶναι. Οὕτω τὸν μοναχὸν ἐψεύδετο, εἰς ὃν ἐπιπολῆς ἐχρωμάτιστο. Ἀλεξίου δὲ κλῆσιν φέρων, Σικουντηνὸν ἑαυτὸν ἐπεκάλει Φιλαδελφηνόν, ἄλλα τινὰ πρὸς ἑτέρων καὶ γνωριζόμενος καὶ λεγόμενος. Οὗτος ὁ ἄνθρωπος, ὅςτις ποτὲ καί ἐστι, πλέον τῶν ἄλλων κατά γε πονηρὰν μέθοδον τὸ πῦρ τοῦ καταιθαλώσαντος ἡμᾶς πολέμου ἐξηνέμωσεν εἰς αἰθέριον. Ἦν μὲν γὰρ ὁ δακρύων ἄξιος βασιλεὺς Ἀλέξιος κείμενος, ὡς ὁ Ἀνδρόνικος ἔθετο. Αὐτὸς δὲ ὁ μοναχὸς οὐκ οἶδα σαφῶς ὅθεν πλεύσας εἰς τὰ ὑπὲρ τὸν Ἀδρίαν ἔθνη, ἐπεδείκνυέ τινα παῖδα, ἐς ὅμοιόν τι καὶ χρόας καὶ ἡλικίας ἥκειν φαινόμενον τῷ βασιλεῖ Ἀλεξίῳ. Καὶ ἦν μέν φασιν ἐκεῖνο παιδίον ἀγροικικὸν ἔκ ποθεν Βαγεντίας. Αὐτὸς δὲ ταῖς ἡμῶν ἁμαρτίαις τὸ τοιοῦτον σόφισμα διδαχθείς, καὶ παρίστατο δουλικώτερον τῷ ἀγεννεῖ ἐκείνῳ παιδίῳ, καὶ τοὺς πόδας ἔνιπτε, καὶ ὅσα ἄλλα πρὸς ὑπηρεσίαν, ἐτέλει ὡς ἐπὶ βασιλεῖ, ῥᾳδιουργῶν κατὰ πονηρίαν, καὶ ἀναδιδάξας ἐκεῖνον βασιλέα ἑαυτὸν ἐπιλέγειν, καὶ θαῤῥύνας, καὶ ἐγκελεύεσθαι τούτῳ ὅσα καὶ δούλῳ, καὶ ἀπειλεῖσθαι δριμύτερον. Καὶ βασιλικὴν αὐτῷ σκηνὴν οὕτω πηξάμενος, περιέφερεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ μάλιστα, εἰς ὅσα κακῶς διέθετο ὁ Ἀνδρόνικος. Καὶ συνέκλαιε τραγικώτερον καὶ σκηνοβατῶν ἀδικίαν μεγάλην ὡς ἐπὶ βασιλικῷ τούτῳ παιδὶ ὀφειλομένῳ πιστὴν φιλίαν ὑπὸ Χριστιανῶν ἀγαθῶν, προεκαλεῖτο εἰς ἄμυναν, ὑποδεικνὺς κατὰ τὸ εἰκὸς καὶ σημεῖα τριχῶν ξανθότητα, ὀδόντος λεῖψιν, ὁποίαν τινὰ καὶ ὁ ἀληθὴς Ἀλέξιος ἐκεῖνος δυςπραγεῖν εἴληχε, βλέμματος ἐμβρίθειαν ὡςεὶ καὶ βασιλικοῦ, πλάσιν σώματος εὐπαγῆ, καθ' ἣν μάλιστα τὸ ἀγροτικὸν εὐδοκίμως ἔχει, καὶ ἄλλα τινά. Καὶ οἱ δυςωπούμενοι διετίθεντο πρὸς πένθος, καὶ ἠλέουν, οἷα μὴ ἐξακριβοῦν ἔχοντες, οἷς ἐπεπρόσθει τῇ διακρίσει τῶν σημείων τοῖς ἔθνεσιν ἡ κατὰ τοῦ Ἀνδρονίκου μῆνις. Ὅθεν καὶ ἀπανούργως πειθόμενοι τὸν παῖδα βλέπειν Ἀλέξιον, ὃ καὶ ὁ ἐξ ἀγροιωτῶν οὗτος παῖς ἐτέθη καλεῖσθαι, κατέκυπτον εἰς προςκύνησιν, ἠσπάζοντο, μετέωρον ἦγον, δώροις ἐδεξιοῦντο πολλοῖς· ἃ δὴ κατέσπα ὁ μοναχός, ἀπεκβαίνων βαρύπλουτος, οἷς ἐμπορικῶς τὸν παῖδα καπηλεύων ἐχρηματίζετο. Καὶ ἡ μὲν ἀλήθεια οὕτω λαθοῦσα ἐνδόμυχος ἦν, τὸ δὲ ψεῦδος ἐκνικῆσαν ἐξεθύμωσε τὰ ἔθνη πρὸς ἄμυναν· οἳ φθάσαντες ἐνέδησαν αὐτοὺς ὅρκοις εἰς πίστιν τῷ τε Μανουὴλ καὶ τῷ διαδεξαμένῳ αὐτὸν υἱῷ Ἀλεξίῳ. Ἤχθη δὲ καὶ πρὸς τὸν ῥῆγα Σικελίας ὁ τοιοῦτος πλαστὸς βασιλεύς. Καὶ ὁ μὲν Κομνηνὸς Ἀλέξιος, ὁ τὸν Σικελὸν ἐρεθίσας, ἤλεγχε τὸν ἀγροιώτην τοῦτον παῖδα, ναὶ δὲ καὶ οἱ σὺν αὐτῷ· οἱ δὲ ἐκ τῶν ἐθνῶν ἐβεβαιοῦντο, εὖ ὅτι μάλα καὶ ἀπηκριβωμένως ἐπίστασθαι, αὐτὸν ἐκεῖνον εἶναι τὸν παῖδα τοῦ Μανουήλ, ὑπὲρ οὗ καὶ ἀποθανεῖσθαι αὐτούς. Τέλος δὲ ὁ μὲν Σικελός, εἰ καὶ ἐπέγνω φασὶ τὸ ἀληθές, ὅμως πεισμονὴν ἰδίαν ἔχων, καὶ τοῦ θρόνου Κωνσταντινουπόλεως ἐφιέμενος· οἱ δὲ ἐθνικοὶ Ἀλεξίου βασιλέως εἴδωλον πρὸ τῆς φαντασίας φέροντες (τὸν γὰρ δηλωθέντα παῖδα ἡ Σικελία ἔχει ἀπελεγχθέντα, θρέμμα εἶναι ἀγροῦ), καὶ ἐγκαταστῆσαι τὴν φαντασίαν εἰς βασιλέα τοῖς Μεγαλοπολίταις φρυαττόμενοι, κινοῦνται καθ' ἡμῶν θάρσει πολλῷ καὶ ταῦτα κωλύμης οὔτι μάλα μὴ σταθερᾶς, ὡς ἐξῆν, ἀναφαινομένης ἐκ τῶν κρειττόνων || Ms. fol. 333 b. συμβούλων, τοῦ τε ἱεράρχου φασὶ τοῦ κατὰ Σικελίαν Πανόρμου, καὶ τοῦ τῆς ἐκεῖσε Μεσσήνης, καὶ ἑτέρων, ὅσοι τὸ δέον συνεώρων, ἀγχινοίας τε σκάθμῃ ἀπορθοῦντες ἑαυτοὺς εἰς πρόορασιν τοῦ μὴ ἂν ἐξεῖναι τὸν Σικελὸν κόμητα εἰς κοσμικὸν ἐγγραφήσεσθαι βασιλέα, ὅς ποτε τῇ Κωνσταντινουπόλει δοὺξ ὑπέκειτο, καὶ τὸ μηδὲ εὖ ἔχειν λόγου τὴν τῆς μάχης πρόφασιν. Τί γάρ, εἴπερ ὁ τὴν Κωνσταντινούπολιν διέπων ἐξαμαρτάνοι, φονεύων ἢ τυραννῶν, δίκας ἂν διδοίη τῷ παρεγγράπτῳ ῥηγὶ τῷ ἐν Σικελοῖς; εἰ μὴ ἄρα πᾶσα βασιλεία, πταίουσά τι κατὰ βίον, εὐθύνεσθαι κινδυνευτέα πρὸς τοῦ ὠρεγμένου, ὡς εἰ καὶ ἐπαιδαγωγεῖτο ἢ ἐδεσπόζετο.

52. Καὶ ὅμως, τοῦ Κομνηνοῦ Ἀλεξίου ἀπισχυρισαμένου, τὴν Κωνσταντινούπολιν παραδοῦναι ῥᾷον τῷ ῥηγὶ Σικελίας, ὡς εἰ καὶ ἐν χεροῖν αὐτὴν ἔσφιγγεν ὁ ἀπάλαμνος, γίνεται κίνησις πολυεθνὴς ἐπιλεγομένη τῷ Σικελῷ, καὶ αὐτὸν προγράφουσα κεφαλαιωτήν. Καὶ ἐκκενοῦνται θησαυροὶ τῷ μηδὲ μεγάλας οὕτω τι τὰς προςόδους ἔχοντι. Καὶ τῇ μὲν θαλάσσῃ ἐπίστευσε νῆας μακρὰς ἑτεροίας τε, καὶ ἱππαγωγοὺς ὑπὲρ τὰς διακοσίας· τῆς δὲ γῆς κατεκράαινεν ἱππικὸν ἐπίλεκτον, οὐ μόνον, ἐξ ὧν συνεκροτεῖτο αὐτός, ἀλλὰ καὶ ἄλλο

παντοδαπὸν συμμαχικόν. Καὶ λέγεται, ὡς ἑκατὸν ποθεν λόγου χάριν ἐπιῤῥεόντων εἰς συμμαχίαν, καὶ αὖ ἑτέρωθεν πλειόνων, ἢ καὶ τοσούτων, ἢ καὶ εἰς ἔλαττον ὑποβιβαζομένων, βραχεῖς τινας ἐκεῖθεν ἀποκρίνων, τοὺς λοιποὺς ἐξηθέριζε. Καὶ ἦσαν οὕτως αὐτῷ οἱ ἱππέται οἷοι ἀλαζονεύεσθαι, κατὰ τὴν ἐν αὐτοῖς φύσιν τριηκοσίων ἀνδρῶν ἕκαστος ἂν τὰ κατὰ πόλεμον στήσεσθαι, οὐδὲν ἀπεοικότες οὐδ' αὐτοὶ τοῦ Κομνηνοῦ· ὃς μόνος ἐδόξαζε τὴν τοσαύτην βασιλείαν ταχὺ καταλήψεσθαι, βραχὺ κατ' αὐτῆς παρακαλπάσας τὸν ἵππον, καὶ κατακτήσεσθαι αὐτὴν χειρισάμενος, ὡσεὶ καὶ στρουθοῦ φωλεόν· λόγῳ μὲν τῷ Σικελῷ, ὃν καὶ γνησίως αὐθέντην ἐπεγράφετο, ψυχῇ δὲ ἑαυτῷ. Ἰνδάλλετο γάρ (οὐκ οἴδαμεν, ὅπως), καθὰ καὶ προεξεθέμεθα, ἅμα τε ἐκφαίνεσθαί που, καὶ πάντας εὐθὺς τοὺς Ῥωμαίων ὀφθαλμοὺς εἰς αὐτὸν ὡς ἥλιον ἐπιστρέφεσθαι, καὶ αὐτοῦ μόνου γίνεσθαι.

53. *Ἐξεῖρψεν οὖν ἡ Λατίνη γῆ πλῆθος οὕτω πολὺ στρατιᾶς, ἀφ' ἱκανοῦ ἡμᾶς ἐκφοβοῦν. Καὶ γίνονται πάντες τῆς Ἰλλυριῶν ἠπειρώτιδος, ἣ τερματίζει τὰ Ῥωμαίων εἰς τὸν Ἀδρίαν κόλπον καὶ περισχόντες τὴν τῶν ἐκεῖσε μητρόπολιν, τὸ Δυῤῥάχιον, ἀπονητὶ ἀποχειροῦνται, καὶ ὡς εἰπεῖν αὐτοβοεί· κατὰ μὲν τὸν Ἀνδρόνικον φάναι προδεδομένην ὑπ' ἄλλων εἰς τὸ πᾶν (οὕτω γὰρ ἐκεῖνος ἐθεράπευε τὰ κατ' αὐτόν, οὐχ ἑαυτῷ, ἀλλ' ἑτέροις ἐπιγράφων, ἃ ἐδυστύχει δι' αὐτὸν ἡ Ῥωμαῒς γῆ), πρὸς δὲ ἀλήθειαν ὑπ' αὐτοῦ ἐκείνου πρόδοτον. Καὶ γάρ τοι πρὸ βραχέων χρόνου Ῥωμανόν τινα στείλας, ὃν ὁ καλὸς Ἴστρος φαύλην ἀπόῤῥοιαν ἐναπερευξάμενος, εἰς Κωνσταντινούπολιν γαμβρὸν ἐκείνῳ ἐφυλάξατο ἐν τοῖς τότε καιροῖς, τοὺς ἐν τῷ Δυῤῥαχίῳ ἀνθοῦντας ἐμάρανε πλούτου ἔρωτι, ὁποῖος ἐκεῖνος πλούτων ἄντικρυς τὰ τοιαῦτα μὴ κορεννύμενος. Κἀντεῦθεν ἡ πόλις κακυνθεῖσα, καὶ μὴ πάνυ γενναίως ἀντισχοῦσα ἑάλω, καὶ μαλακῶς ἔπαθεν ἐμπρησμοῖς τε καὶ λοιποῖς κακοῖς, ὁπόσα φιλεῖ ἀνδρίζεσθαι || Mc. fol. 214. a. πόλεμος, οὐ στησόμενος, ἀλλὰ προβησόμενος, καὶ ἐκστήσων φόβῳ τοὺς ἐφεξῆς. Οὕτω δὲ ἑαλωκυῖα ἡ τοιαύτη πόλις, ἐθρόησε μὲν εἰς πολὺ καὶ ἡμᾶς, καὶ ὅσοι δὲ ἄλλοι τὸ εὐεπιχείρητον τοῦ ἐκεῖ δυσπραγήματος ἔμαθον· οὓς ἐλύπει καὶ ἡ τοῦ ἀγαθοῦ στρατηγοῦ Ἰωάννου τοῦ Βρανᾶ κατάσχεσις. Ὃς οὐ πολὺν περικείμενος στρατόν, καὶ ὅμως εἰς φυλακὴν τοῦ φρουρίου παραβυσθείς, φόβῳ τοῦ βασιλέως Ἀνδρονίκου, μὴ καὶ προδότης ἐπικληθείς, καὶ εἰς χεῖρας ἐκείνῳ πεσών, ἀπαχθείη τοῦ ζῆν, παρήχθη τῇ τῆς πόλεως ἁλώσει εἰς Σικελίαν αἰχμάλωτος.*

54. *Καὶ ἐξεφόβει μὲν οὕτω τοὺς πέριξ μέχρι καὶ ἐς Θεσσαλονίκην τὸ οὕτω ταχὺ τῆς ἁλώσεως ἐκείνης, καὶ ὅτι, καθά τις ἂν εἴποι, τὸ τάχος τοῦ κακοῦ ἐνδεικνύμενος, θατέρῳ μὲν τοῖν ποδοῖν ἕκαστος τῶν πολεμίων ἐπέβη τῆς Ἰλλυριῶν γῆς, θατέρῳ δὲ κατενεπήδησε τῆς ἐχυρωτάτης ἐκείνης πόλεως. Ὅτι δὲ καὶ τὰ ἐκεῖθεν ἕως καὶ ἐς τὴν καθ' ἡμᾶς Μακεδονικὴν οὐδὲν αὐτοῖς ὁδοῦ προὔέστη σκῶλον εἰς ἐμπόδιον, ἀλλὰ τοῦτο τὰς ἁπάντων ψυχὰς ἑτοίμους ἔστησε, τῶν κατ' αὐτὰς ἀπαλλάττεσθαι σωμάτων, οἷς ἐταράχθησαν. Οὐκ ἔστι γὰρ ὅπου συνήντετό τι δεῖμα ἐκείνοις, οὐ μέγα, οὐ μικρόν, οὐ μέσον· ἀλλ' ὡς διὰ λείων πεδίων ποταμὸς πλήθων, ἐκεῖνος ὁ πεζὸς κατέῤῥεε στρατός, ἕως ἡμῖν συνέμιξεν ἄσκυλτος. Ὁ δέ γε ναυτικὸς τὴν οἰκείαν τραπόμενος, ἔπλεε συνελευσόμενος ἐν καιρῷ μερίταις, καὶ κορυφώσων ἡμῖν εἰς μέγα τὸ κακόν. Καὶ ὑστέρησε τοῦ πεζοῦ ἡμέρας τινάς, εἰς ἔνδειξιν οἶμαί τινα τῆς τε καθ' ἡμᾶς οὐθενείας, τῆς τε κατ' αὐτοὺς ἰσχύος· ταύτης μέν, ὡς, εἴπερ ὁμοῦ ἐπῆλθον ἡμῖν, οὐκ ἂν οὐδὲ γοῦν μίαν ἡμέραν ἀντέσχομεν· ἐκείνης δέ, ὅτι καὶ μόνον τὸ πεζὸν τοῦ στρατοῦ περικαθήμενον ἔχοντες, οὕτως ἀρετῶντες ἦμεν τῷ φαύλῳ στρατηγῷ, ὡς μηδεμίαν ἐκδρομήν τινα κατ' αὐτὸν γενέσθαι στρατιωτικήν, ἀλλὰ φυλάττεσθαι τῷ ῥηγὶ τοὺς ἐκείνου εἰς ἀθνούμιον ἀπρονόμευτον, καὶ οἷον μὴ παθεῖν κολόβωσιν.*

55. *Καὶ ὁ μὲν πεζὸς λαὸς περιεκάθισε καθ' ὥραν ἀρίστου τὴν καθ' ἡμᾶς πόλιν, Αὐγούστου μηνὸς ἄγοντος ἕκτην ἡμέραν, καθ' ἣν ἡ ἔνδοξος κοίμησις τῆς πανάγνου θεομήτορος μνημονεύεται. Καὶ τότε δὴ οὐκέτι φευκτὰ ἦν ἡμῖν· ἀλλ' οἱ ἀγχινούστεροι προεωρῶντο, οἷα πείσονται, ὅπου γε οὔκουν ὀλίγοι καὶ πρὸ τούτων συνεώρων τὸ μέλλον, πολλαχόθεν αὐτὸ τεκμαιρόμενοι. Ἡμεῖς γοῦν φθάσαντες τὴν τῶν πολεμίων ἔφοδον, τοὺς ὅσοι μεθ' ἡμῶν τῆς Κωνσταντινουπόλεως ἦσαν τέκνα, ἐξεστείλαμεν εἰς τοὺς ἑαυτῶν, οὐ μόνον ὁδοιπόριον ἐνδαψιλευσάμενοι, ἀλλά τι καὶ τῶν ἐς χάριν βαθυτέρας γνώμης, ὡς αὐτοὶ θανάτῳ ἀπολούμενοι. Καὶ τῶν ἐν Θεσσαλονίκῃ δέ τινας, οἷς οὐδὲν ἦν ἔργου, ἀλλ' ἢ μόνον φόβος, βουλὴν αἰτήσαντας, οὐκ ἐκρυψάμεθα, ὃ δειλιᾶν ἡμῖν ἐπῆλθε καὶ παρωρμήσαμεν φυλάξασθαι, καὶ ἐφυλάχθησαν. Καὶ ἦν μὲν τὸ πρᾶγμα καὶ ἡμῖν ἐφετόν, οἷα ἐθελοψυχοῦσιν· ἐπεσχέθημεν δὲ δυοῖν ἕνεκεν, ὡς δοκεῖν. Οὔτε γὰρ ὁ στρατηγὸς προεθυμήθη σωθῆναι ἡμᾶς δι' αἰτίαν, ἣν ὡς θυμοσόφῳ ἐκείνῳ εἰδέναι μόνῳ κεχάρισται· ὁ λαὸς δὲ τοῦ θεοῦ ὁ ἐνταῦθα μὴ ἂν ὑπολιπέσθαι εἰπών, εἰ καὶ ἡμεῖς ἐκδράμωμεν φυγαδίαι, ἔκλεισεν ἡμῖν οὕτω τὰς πύλας τοῦ σωθῆναι βούλεσθαι. Καὶ τοῦτο*

Ms. fol. 224. b. μὲν || τὸ φαινόμενον. Ἃ δὲ ὁ θεὸς ἐνταῦθα ἤθελεν, ἕτερα ἦν· ἓν μέν,[8] τὸ παιδεύσειν ἡμᾶς, ἀνθ' ὧν αὐτῷ προςεκρούομεν· δεύτερον δέ, τὸ φιλανθρωπεύσασθαι, εἰς τὰς τοῦ Ἀνδρονίκου χεῖρας βαλεῖν ἡμᾶς. Ἐφάνη γάρ, ὡς, εἴγε τῆς πόλεως ταύτης εἰς ὅσον βραχύ τι προεποδίσαμεν, οὐκ ἂν ἐζήσαμεν, ἀλλ' ὁ τῆς ὀργῆς αὐτοῦ τρυγίας ἐναπηρεύχθη ἂν εἰς ἡμᾶς. Εἰ δέ τι καὶ τρίτον ἦν θεοῦ ἐνταῦθα σκέμμα, τὸ ἡμᾶς παραμείναντας πρὸς ἀγαθοῦ τινος ἀποβῆναι τοῖς περισεσωσμένοις ἀδελφοῖς, ἐδιδάχθησαν οἱ περιπειράμενοι σὺν θεῷ. Καὶ ἦν ἡμῖν τουτὶ τὸ παράμονον οὐ κατ' ἐκεῖνο τὸ παλαιότερον, ὅτε νῆες μὲν ἀποστατικαὶ Λατινικαί τινες ἐφ' ἡμᾶς ἐκ Βυζάντου ἀρχέκακοι ἐπλωΐσαντο, κατὰ τοῦ Ἀνδρονίκου καὶ αὐταὶ συμπεπνευκυῖαι, ἡμεῖς δὲ παρεμένομεν. Ἀλλ' ἐκεῖνο μὲν καὶ πρόβαν ἐνέφαινε τῶν ἄρτι δοκιμάζουσαν, οἷα οἱ Λατῖνοι ἐπαγωνίσονται, ἡμῶν καθιππάσασθαι· καὶ φόβον εἶχεν οὐ πολύν. Τὰ δὲ νῦν οἴμοι, ὡς ἡμῖν ἀπέβαινεν, ὑπερλίαν καὶ ἐναγώνια καὶ φοβερά.

56. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρεκδρομῇ τινι λόγου γεγράφαται. Τὴν δὲ πόλιν συνεῖχεν ὡς οἷον ἐν ἀγκάλαις ὅ τε καθ' ἵππους, ὅ τε κατὰ τὰς νῆας στρατός. Καὶ ἡ τοῦ στρατηγοῦ ἀβελτηρία ἐνταῦθα μάλιστα διεφαίνετο, μηδὲ τὰ πρώην ἄδηλος οὖσα, ὡς ἡ συγγραφὴ ἐν ὀλιγίστῳ διαδείξεται. Τὰ πρῶτα μὲν γάρ, τῶν πολεμίων οὐ μακρὰν ὄντων, βιασάμενοί τινες τῶν στρατιωτῶν ἀνδρίσασθαι (ὁ γάρ τοι στρατηγὸς δεινὸς ἦν κοιμᾶσθαι), ἀφώρμησαν, καὶ συνέσχον ἕνα τινὰ ὃν καὶ λαμπρῶς περιδύσαντες τὰ στρατιωτικά, οὐκ ἐκ τῶν ἐκείνου (ψιλὸς γὰρ ἦν), ἀλλ' ἐκ τῶν παρ' αὐτοῖς, ἐπόμπευόν τε διὰ μέσης τῆς πόλεως, καὶ ὡς μέγαν τινὰ ἑλόντες ἐκύδαινον. Καὶ γραφὴ εὐθὺς τοῦ καὶ στρατηγοῦ καὶ δουκὸς εἰς τὸν βασιλέα, ὡς εὐτυχῶς ἡμῖν τὰ εἰς μάχην φέρεται. Ἡμέρᾳ μετὰ ταύτην δευτέρᾳ καὶ μετεξέτεροι στέλλονται, καὶ αἱροῦσιν οὐκέτι οὐδ' ἄνθρωπον, ἀλλὰ δύο ἱππάρια δυστυχῆ, καὶ σκίασμα στρατιώτου κεφαλῆς. Ὁ γὰρ τοῦτο ἔχων διεκπέφευγε, προηκάμενος οἷον εἰς λύτρον αὐτὸ τοῖς ἐπιδιώκουσιν. Καὶ αὐτίκα θρίαμβοι πάλιν ἐν τῇ πόλει· καὶ τὰ αἰχμάλωτα ἱππαρίδια περιεβλέποντο, οἷα μέγαν ὄν, ὅτι περ αὐτὰ εἷλον. Καὶ τὸ σκιάδιον ἐπὶ σημαίας ἤρετο, καθά τι κορυφαῖον σκύλευμα. Καὶ γράμμα πάλιν τοῦ δυσαριστέως περὶ τὸν βασιλέα, ὡς εὐτυχοῦμεν τὰ κατὰ πόλεμον. Ὡς δὲ ἐκεῖθεν ἐρεθισθέντες οἱ κατὰ γῆν πολέμιοι, καθὰ καί τινες σφῆκες, ταχὺ καθ' ἡμῶν ἐπτερύξαντο (τὰ γὰρ πρὸ τούτων ἀνεβάλλοντο, καραδοκοῦντες τὸ ναυτικὸν κατά τι σύνθημα), καὶ τὴν πόλιν ἐκ τῶν δυσμόθεν μεγάλων πυλῶν ἕως καὶ ἐς ὅλην τὴν ἀκρόπολιν ἀκηρυκτεὶ ἐπιδραμόντες ἐκυκλώσαντο, γίνεταί τις ἐκεῖ ἐκδρομὴ δύο μὲν Λατίνων ἱππέων ἐκ τοῦ τῶν Πρεβεντζούνων ἔθνους, ὃ δὴ πολὺ καὶ τεθαῤῥημένον τῷ Σικελικῷ στρατῷ παρείπετο, πλειόνων δὲ ἐκ τῶν ἡμεδαπῶν· ὑπὲρ τοὺς δέκα γάρ. Καὶ πίπτει μὲν οὐδείς· ἐναγώνιοι δὲ οἱ Λατῖνοι διεκφεύγουσι τὸ πεσεῖν. Καὶ πάλιν ἀναφορὰ εἰς τὸν βασιλέα τρίτη, ὡς τῇ βασιλικῇ εὐχῇ τε καὶ εὐτυχίᾳ νενικήκαμεν καὶ τὸν πρῶτον πόλεμον, οὐκ οἶδα τίνων περιγενόμενοι. Καὶ ἤθελε μὲν ὁ στρατηγὸς τὰς τρεῖς ταύτας αὐτοῦ νίκας ἐνὶ ἐπιστολίῳ περιλαβεῖν, φειδοῖ δαπάνης καὶ δρομικῶν ἵππων. Ἐγκρατὴς γὰρ ἦν χειρῶν ἀληθῶς || ὁ ἄνθρωπος. Ms. fol. 225. a. Ἀλλὰ προεκαλεῖτο τὸν Καλλίνικον εἰς τὸ δαπανῆσαι τὸ ἐθέλειν κατὰ τοῦ βασιλέως γελᾶν. Καὶ ἦγεν αὐτῷ πρὸς ἀνάγκης τὸ πρᾶγμα. Ἐκεῖνός τε γὰρ ἐμίσει τοῦτον, καθὰ καὶ τοὺς λοιπούς, ὅσοις τὸ γένος ἔλαμπε· καὶ αὐτὸς δὲ ἀντέστρεφε τὸ μῖσος πρὸς αὐτὸν οὐ μακρὰν τοῦ ἀνάλογον. Ὅς γε καὶ ἀνεφθέγγετο, δεδιέναι καθεκάστην, μήποτέ τις αὐτῷ ἐκ Μεγαλοπόλεως ἐπιπετασθείη, ἐξορύξων τοὺς ὀφθαλμούς. Καί ποτε καὶ τοιᾶςδε ἔφη φῦναι μητρός, κακολογήσας θυμῷ τὴν τιμίαν ἐκείνην, ἐὰν εἰς Κωνσταντινούπολιν ἀναστραφείη. Ὅθεν καὶ διεδήλου, ὡς ἄλλην τινὰ τραπέσθαι αἱρήσεται, καὶ μείζονος κακοῦ ἀνθελέσθαι τι βραχύτερον, καὶ τοῦ ζῆν ἐξ ὀφθαλμῶν προθέσθαι, ὃ ἄν τις εἴποι, κακόν.

57. Οὐκοῦν καὶ μεθώδευε τὸ τοιοῦτον. Καὶ οὐ βαθείᾳ ψυχῇ μεριμνῶν τὰ κατὰ πόλιν, ἀνέπειθε τὸν Ἀνδρόνικον εὖ μάλα τεχνικῶς, ὡς εὖ ἔχουσι τὰ καθ' ἡμᾶς, καὶ ὡς περιπεποίηται ἡ πόλις ἄριστα, καὶ οὐδὲν αὐτῇ τῶν δεόντων ἐνδεῖ, οὐ πύργων ἀσφάλεια, οὐ πετροβόλοι μηχαναί, οὐ τειχῶν ἐπιποίησις, οὐ περιτειχίσματος ἐρυμνότης, οὐ πλῆθος καὶ κάλλος ἁρμάτων, οὐκ ἄλλο οὐδέν· ψευδῆ μὲν γράφων πρὸς τὸ ἑαυτῷ μόνῳ συνοῖσον καὶ ἀνεξέλεγκτα, ὅτι μηδὲ ἦν τις ὁ εἴτε εἰδώς, ὅπερ ἔγραφεν, εἴτε λαλῶν, εἴτε λαλεῖν τολμῶν· πείθων δὲ ἐκεῖνον οὐκ εὐτυχῶς ἡμῖν. Πεπραγμάτευτο γάρ, θάῤῥος ἐμβαλεῖν τῷ βασιλεῖ περὶ ἡμῶν, ὡς οὐκ ἄν τι κακόν ποθεν πάθοιμεν· ἵνα κεφαλὴ μόνος αὐτὸς ἐφίσταιτο τοῖς ὧδε, καὶ μή τινι ἑτέρῳ ἐπιτραπείη τὰ τῇδε, οἵῳ περισώσασθαι ταῦτα, καὶ οὕτω τῆς ἀρχῆς αὐτόν ποτε παραλυθῆναι, καὶ εἰς χεῖρας τῷ Ἀνδρονίκῳ περιτυχεῖν· ὑφ' ὧν καὶ πάλαι ἂν συνετρίβη, εἰ μὴ ὁ σεβαστοκράτωρ Μανουήλ, ἀγαθὰ λαλῶν, καὶ μέσος πίπτων γυναικείου λόγῳ, αὐτὸν περιεσώζετο, οὐ πρὸς γαλήνην ἡμῖν, ἀλλ' ὡς εἰς τυφῶνα, τὸ πᾶν κυκήσοντα. Καὶ ἐς τοσοῦτον

περιῆλθε πανούργως τὸν βασιλέα τοῖς τοιαύταις μεθόδοις ὁ δοὺξ οὗτος, ὡς καὶ εὐχαριστίαν αὐτῷ γραφῆναι πρὸς τοῦ ἀμειλίκτου καὶ μὴ εἰδότος, οἶμαι, ὅπερ ἐστὶ χάρις. Διὸ καὶ τῇ εὐχαριστίᾳ ὑπεσμύχετό τις καυτήρ. Ηὔχετο γὰρ ἡ βασιλικὴ γραφὴ ἐχόμενα τῆς χάριτος οὕτως· „γένοιτο δέ, καὶ ἐπὶ τὰ ἑξῆς τὴν τοιαύτην εὐχαριστίαν φυλάττεσθαί σοι·“ αἰνιττομένη, ὡς μικρὸν ὅσον, καὶ οὐ παραμενεῖ. Ὃ καὶ γέγονεν. Ἑάλωσαν γὰρ δι᾽ αὐτὸν ὡς ἐπὶ θανάτῳ ἐκεῖ καὶ ἡ τούτου μήτηρ καὶ ὁ ἀδελφός, οὐδὲν αὐτοὶ ἁμαρτόντες.

58. Καὶ τοῦτο μὲν μετ᾽ οὐ πολὺ εἰς ἐκείνους. Αὐτὸς δὲ τέως ἰσχύων κατὰ τῆς ἡμῶν ἀπωλείας, καὶ διὰ τοῦτο ἐνσκιῤῥώσας τῇ τοῦ βασιλέως ψυχῇ, ὡς αὐταρκεῖ οὗτος τὰ ὑπὲρ τῆς πόλεως, ἴσχυσε πεῖσαι τὰ εἰς ἡμῶν ὄλεθρον. Ἔστειλε μὲν γὰρ ὁ βασιλεὺς προμηθικώτερον στρατιὰν ἐπὶ ἀμύνῃ τῶν καθ᾽ ἡμᾶς. Πεποιθὼς δέ, οἷς ἐκ τοῦ Δαυῒδ ἀπεπλανᾶτο, παρηγγυήσατο, μήτε εἰς τὴν πόλιν αὐτοὺς καταδύσεσθαι, μήτε μὴν τοῖς πολεμίοις ὁμόσε χωρῆσαι γενομένους ἐν χρῷ μάχης· ὡς ἐντεῦθεν ἡμᾶς μέν, μὴ εἰδότας ἐπικουρίαν ἐκ τῶν ἐσταλμένων, καραδοκεῖν, καὶ ἐκκρέμασθαι τῆς εἰς ἐκείνους ἐλπίδος· αὐτοὺς δὲ ἀναιμωτὶ
Ms. fol. 235. b. ζῆν, ἀφοσιωμένους τηνάλλως || τὸ εἰς ἡμᾶς ἐπικουρικόν. Ἦσαν δὲ συχνοὶ ἐκεῖνοι· ὁ τῶν ἀνατολικῶν μέγας δομέστικος Γίδος, ὁ Παλαιολόγος Ἀνδρόνικος, ὁ Καμύτζης Μανουήλ, ὁ Χοῦμνος, καὶ ἕτεροι. Ἐπέῤῥευσε δὲ αὐτοῖς ἐς παντελῶς ὕστερον καὶ ὁ τῷ βασιλεῖ πάνυ ἐγγύς, ὁ Παρακοιμώμενος Νικηφόρος· ὃς γράμμα στείλας πρὸς τὸν Δοῦκα Δαυῒδ, ἔθετο τρόπον ἄλλον τὰ χείλη αὐτοῦ κατ᾽ οὐρανόν, καὶ τὴν γλῶσσαν ἀφῆκε διέρχεσθαι περὶ γῆν. Ἔφατο γάρ, μήτε τὸν οὐρανὸν ἄστροις ἐνευθηνεῖσθαι τοσούτοις, μήτε τὴν γῆν ἄμμῳ τοσῇδε πλήθειν, ὁπόσος αὐτῷ στρατὸς ἐφέπεται· προσεπιλαλῶν καὶ ὑποδεδοικέναι, μή ποτε οἱ Λατῖνοι ἐκπευθόμενοι, ὅσην ἰσχὺν περιβέβληται, φευξοῦνται, καὶ μενεῖ αὐτὸς κενὸς τοιαύτης ἄγρας. Ἔγραψεν αὐτὸς τοιαῦτα· καὶ ἡμεῖς ἐπιστεύσαμεν. Τὸ γὰρ ἐπὶ σωτηρίᾳ βουλόμενον τῆς ψυχῆς ἕτοιμον ἦν πρὸς πειθώ.

59. Καὶ οὕτω μὲν τὰ ἐκ τῶν βασιλικῶν ἀποστόλων ψευδόντων ἡμᾶς. Τὸ δὲ πολέμιον ἐπελθὸν τότε ξηρᾶθεν καὶ τὸ ἐκ θαλάσσης, ἐξηρτύετο κατ᾽ ἐπιστήμην εἰς μάχην. Καὶ οἱ μὲν ἐκ τῶν δυσμικῶν ἄλλα ἐποίουν καινά τινα κατὰ νόμους ἑλεπολέων, αἷς διὰ τὸ ἐκ μεγέθους δυςμεταχείριστον οὐδὲ ἐνέλαμψέ τις ἐνέργεια. Οἱ δὲ περὶ τὰ ἑῷα (ἦσαν δὲ μάλιστα ἐκεῖνοι τὸ ναυτικὸν πλῆθος) πρὸς τὸ συνηθέστερον ἔβλεπον. Καὶ συσκευασάμενοι μηχανὰς πετροβόλους, μικρομεγέθεις μὲν πλείονας, ὡς ἐπιβουλεύειν δι᾽ αὐτῶν τοῖς ἐκ τῶν τειχέων πολεμοῦσιν ἡμεδαποῖς, δύο δὲ μείζονας, ὧν θατέρα σεισμοῦ θυγάτηρ τολμήσαντα φάναι· ἐντεινάμενοι δὲ καὶ τοὺς τὴν εὐεπιβούλευτον τάφρον συρφετοῦ πλήσοντας, καὶ τὰ περίτειχος δὲ κατασεῖσαι δεινούς, καὶ τῷ τείχει προςβαλεῖν, καὶ διορύξαι αὐτὸ εἰς κατάπτωσιν, ἐγίνοντο τῶν ἔργων, εἰς ὅσον κραταιόν, καὶ ἀκάθεκτοι κατειργάζοντο. Καὶ προέτρεχον αὐτοῖς πάντων συχνοὶ ἀκροβολισμοί. Πρὸς δείλην γὰρ κατασχόντες τὰς ναῦς εἰς αὔριον, ἕωθεν μάχης κρατερᾶς ἐνήρξαντο. Καὶ τὸ μὲν δυσμικὸν ἅπαν ἕως καὶ εἰς ὅλον τὸ κύκλῳ τῆς ἀκροπόλεως (κατὰ σχῆμα γάρ τι δρεπάνου ἐκ θαλάσσης ἕως καὶ τῶν ἐκεῖσε πυλῶν περιήγετο πυργηροῦν) οὐχ οὕτω πράγματα ἡμῖν παρεῖχεν, οὔτε τραύματα ἐνέτριβε. Τὸ δὲ ἐξ ἀνατολῆς ἐθηριοῦτο. Ἦν δὲ μάχης ἐλεύθερον τὸ παράλιον ὅλον, τὸ μέν, ὅτι ψιλὰ θαλασσίου ὕδατος ἦν τὰ πρὸς τῷ τείχει, διὰ τὸν καιρὸν θερινὸν ὄντα, καὶ μὴ πληθύοντα τὴν θάλασσαν μέχρι καὶ ἐς αὐτὸν τειχισμόν, ὡς ἐντεῦθεν ἐξ ἀσυμμέτρου τοῖς ἐκ τῶν παραλίων τειχέων καὶ τῆς ἐκ θαλάττης εἶναι τὴν μάχην· τό δ᾽, ὅτι δαήμονες ὄντες ἐκεῖνοι μάχης, περὶ τὸ πονοῦν μᾶλλον τῆς πόλεως ἐμελέτησαν ἐντήκειν πληγάς. Ἐκεῖθεν γὰρ διέγνων δύνασθαι ἂν βλάψαι ἡμᾶς, ὡς καὶ προσεδρεύειν εὖ μάλα δυνάμενοι διὰ τὸ τοῦ αἰγιαλοῦ ἀγχιβαθὲς καὶ οὕτως εὐλίμενον· καὶ ὅτι καὶ τὸ τεῖχος οὐκ ἀπονήρως εἶχεν ἐκεῖσε, ἀτέχνως τε τὴν ἀρχὴν συσταθέν, καὶ οὐκ εὖ συμπαγέν, καὶ μηδὲ μεμελημένον ἄρτι τῷ καλῷ στρατηγῷ.

|| 60. Ἐῴκει γὰρ ἰατρῷ παρακολουθοῦντι σώματι Ms. fol. 236. a.
πονοῦντι μέν, οἵῳ δὲ μὴ φιλεῖσθαι, ὡς ἀναποιηθῆναι πρὸς ὑγίειαν, κἀντεῦθεν ἀμελοῦντι τὸ νοσοῦν ἀνακομίσασθαι. Καὶ οὐκ ἔστι διαπιστῆσαι τοὺς εὖ κατεγνωκότας τὸ πρᾶγμα, ὡς πάνυ τι βραχὺ προδότου τοῦ κυρίως διενεγκεῖν ὁ Δαυῒδ φαίνεται καθ᾽ ἡμῶν· εἰ μή τις ἄρα θερμότερον ἐπιβάλλων, ὡς ἔν τινι πλάστιγγι παρισάζοι ἐκεῖνον εἰς προδότην αὐτόχρημα. Δίχα γὰρ συνθεσιῶν ἐπὶ ῥητοῖς καὶ μηνύσεων γνωρίμων, ἃ δὴ καὶ αὐτὰ πολλοὶ κατηγοροῦσιν ἐκείνου, τἄλλα πάντα προδοτικῶς εἶχεν ὁ ἀνήρ. Καὶ κοινὸν αὐτῷ τε καὶ τῷ κατὰ σπουδὴν φανερὰν ἄλλως προδότῃ τὸ τοῦ κοινοῦ μὲν ὑπερορᾶν περιφρονητικῶς, ἑαυτῷ δὲ μόνῳ χαρίζεσθαι καὶ προτίθεσθαι, πάντας μὲν ἀπιέναι, περιεῖναι δὲ μόνα τὰ κατ᾽ αὐτόν. Ἐμέμφοντο οἱ στρατιωτικοί, ὅτι τὰ πετροβόλα ἐν ἡμῖν ὄργανα οὐκ εὐχρήστως εἶχον, ὡς ἀντιφερίζειν πρὸς τὰ τῶν ἀντιμάχων. Ὁ δὲ ἀφεὶς κατορθοῦν τὸ ψεγόμενον, καὶ τί ποιήσω ἔλεγε, καὶ ἠρκεῖτο εἰπεῖν τοσοῦτον ὁ κομψὸς

Πυθαγοριστής· δοκῶν μέν, ἱερὸν εἶναι σιγῆς διὰ τὸ ἐχεμυθεῖν τὰ πλείω, ἄλλως δὲ κατὰ τοὺς λοχῶντας πνίγων τὴν λαλιὰν ἄνθρωπος, ἐπέχων καὶ τὰ ἐς πονηρίαν ἀδιόρατος, καὶ τό γε κρυψίνουν πολυβενθής. Ἤκουεν, ὡς τὸ περιτείχος καταλαμβάνεται διὰ τὸ ἀνεχύρως ἔχειν· καὶ παρέπεμπεν αὐτὸ ταῖς μητράσι τῶν πολεμίων, παραβύειν, ἔνθα αἰσχροῤῥήμων εἴποι ἂν ἀνήρ. Ἐπιλειπόντων ὀϊστῶν, τοῖς ἐπὶ τῶν τειχέων ἦν βελῶν ζήτησις. Ὁ δὲ καὶ ποῦ ἂν αὐτοὺς εὕροι, ὑποτονθόρυζε, καὶ ἐδίδου μηδέν, καὶ ἡ πόλις ἔκαμνεν. Ἐκλᾶτο μηχανή, καὶ ἦν ἀναγκαία ἐπιποιηθῆναι, καὶ ἐζητεῖτο ξύλον· καὶ ποῦ ἂν εἴη αὐτό, παρελάλει. Ἐμάνθανέ τις, ἄλλο τι ἐνδεῖν τῶν δεόντων, καὶ ἐλάλει· καὶ ἦν τηνικαῦτα ὁ κατὰ παροιμίαν σιγηλὸς ἥρως Εὐρυβόας, καὶ ἠπειλεῖτο κατὰ πληγῶν, κατὰ κεφαλῆς, κατὰ ὀμμάτων, κατὰ σκολοπισμοῦ, εἰ μὴ παύσοιντο λαλεῖν οἱ τοιοῦτοι· διομνύμενος εἰς πίστιν σταθερᾶς ἀπειλῆς βασιλικὴν κεφαλήν. Τῶν τις δὲ οὐ πάνυ τοῦ δήμου καὶ κατεάγη τῆς κεφαλῆς, τὰ περὶ τὸ πρόσωπον ῥάβδῳ πληγείς, ὅτι τὰ στρατηγικὰ φαύλως ἐνεργούμενα κατεμέμψατο. Καὶ τῶν βλεπόντων οὐδεὶς οὐδὲ γογγύσαι τετόλμηκε. Στρατιῶται δὲ παῤῥησιαζόμενοι, καὶ ὀρθὰ λαλοῦντες, ἓν μόνον πρὸς τοῦ ἀτόπου ἤκουον, ὡς ὅτι κατατόπια εἰληχότες ἐκεῖσε, καὶ μόνον πονεῖσθαι ἀνάγκην ἔχουσι, πλέον δέ τι μὴ περιεργάζεσθαι, εἰ μὴ κακὰ αἱροῖντο πείσεσθαι. Σῖτον ἐπαρκέσειν τῇ πόλει ὀφείλων, ὁ δ᾽ ἐς τοσοῦτον ἀπημέλησεν, ὡς ἑαυτῷ μὲν λαβῇ τοῦ τοιούτου καλοῦ πλοῦτον παχὺν περιθέσθαι (οὗ τί ὁ ἄθλιος ἀπώνατο;), τῇ δὲ πόλει ἐγκαταστῆσαι λιμόν· ὡς, εἰ μὴ ταχὺ κατέσπασεν ὁ τῶν πολεμίων σίδηρος, ἀλλήλους ἂν κινδυνεῦσαι καταφαγεῖν.

61. Γέγονε καὶ λειπανδρίας τῇ πόλει ταύτῃ αἴτιος. Πληρώσας γὰρ ἐν πολλοῖς τὰς χεῖρας, ὧν οὐκ ἐχρῆν, ἀφίει τοὺς ἐθέλοντας λειποτακτεῖν, καὶ φεύγειν τὴν
Mc. fol. 236. b. πατρίδα, ὅποι βούλοιντο. || Καὶ οἱ βαρύπλουτοι περιποιούμενοι οὕτω τὸ σώζεσθαι, ἀπετέλουν καί τι χεῖρον. Μισθαρνοῦντες γὰρ τῶν δημοτικῶν, ὅσοι δεξιοὶ τὰς χεῖρας, καὶ βριαροὶ ῥάβδον τε κατενεγκεῖν, καὶ λίθον μακρὰν ἀφεῖναι, καὶ μηχανὴν διαχειρίσασθαι, καὶ τόξου νευρὰν ἐντεῖναι καὶ βαλεῖν, ἐξεχώρουν τῆς πατρίδος. Καὶ αὐτὴν μὲν ἀπεστέρουν οὕτως ἀμυντήρων· ἑαυτοῖς δὲ ὅσα καὶ στρατηγοῖς ἔπειθον τοιοῦτον ἀκολουθεῖν στρατόν, δώροις πείθοντες. Κἄν τις αὐτῷ ὑπηγόρευσε, καὶ μάλιστά γε ἡμεῖς οἱ μὴ πάνυ τι δεδιότες, ὡς οὐκ ἀγαθὸν τῇ πόλει τὸ οὕτω γενέσθαι, ἀλλ᾽ ἐνταῦθα οὐκ ἦν φορητὸς ὁ ἀνήρ, σχετλιάζων καὶ δυσανασχετῶν, εἰ μεμφθείη ὡς περιϊδὼν γενομένην οὕτω τὴν πόλιν κένανδρον.

62. Τὸ δὲ δὴ κορυφαῖον ἐν τοῖς καθ᾽ ἡμᾶς τούτοις κακοῖς καὶ ἡ τοῦ ἀναγκαιοτάτου ὕδατος ἔκλειψις ἦν. Ὡς γὰρ ἡ τῆς ἀκροπόλεως δεξαμενὴ ἀργῶς ἐκ μακροῦ εἶχε, καὶ ἐχρῆν ἀναποιηθῆναι αὐτὴν ἐκθεραπευθεῖσαν, ἔνθα χρόνῳ καταπεπόνητο, ἐγίνετο τοῦτο μόλις μέν, ἀλλ᾽ οὖν. Καί τις τῶν τῆς στρατιᾶς οὐκ ἀφανής (Λέων ἦν ἐκεῖνος ὁ Μαζιδᾶς), ἀποδεξάμενος τὸ πρᾶγμα καὶ ἐπαινέσας, παρεκάλεσε τὸν Δαυΐδ, ἡμέρας τριβῆναι τινὰς μετὰ τὸ ἔργον, ἵνα στεγανωθὲν τὸ ἀγγεῖον ἔχῃ φυλάττειν τὸ πιστευθὲν ὕδωρ ἀσφαλῶς, διὰ τὸ μηδὲ ἀνάγκην τέως ἐπιτεθεῖσθαι τινά, οἷα τῶν πολεμίων οὔπω ἐπικειμένων, ἀλλὰ ποῤῥωτέρω που διεστώτων. Καὶ ἤρεσεν ὁ λόγος τῷ Δαυΐδ, ὅσα γε δόξαι. Ἄνεμος δὲ ἀφαρπάσας τὸν τοῦ Μαζιδᾶ λόγον, ἀπήγαγε· καὶ λήθῃ κατιχώσας τὸ τοῦ Δαυΐδ φρονοῦν, ἀνέφυσε βλάστην ἀδρυνθεῖσαν, πρέμνον μεγάλου κακοῦ. Οὔπω γὰρ ἦν ὀψία δείλη, καὶ τὸ χορταῖθεν ὕδωρ ἀπολυθὲν θέειν κατὰ τοῦ σκεύους ἐλεύθερον, κατηγόρει τὸν δρόμον τῷ κελαρυσμῷ. Καὶ ὁ Μαζιδᾶς παροδεύειν τυχών, καὶ ἀκούσας, ὃ ἐγίνετο, τρέχει σπεύδων ἐπὶ τὸν Δαυΐδ, καὶ ἀναμιμνήσκει, προενεγκών, ἃ εἶπε. Καὶ ὁ Δαυΐδ ἀγανακτῆσαι σκηψάμενος, προὐβάλετο λαθέσθαι. Ἀκούσας δέ, δεῖν ἐπισχεθῆναι τὸ ὕδωρ, ὡς ἐγχωροῦν γενέσθαι καὶ εἰσαῦθις τὸ καλόν, ἀπηνήνατο, ἐπιτάξας ἀφίεσθαι ῥέειν τὸ ὕδωρ. Καὶ τοίνυν αὐτὸ μὲν εἰσέῤῥεεν, ἡ δεξαμενὴ δὲ ἐξέπεμπεν, ὃ ἐδέχετο, ἀναλυθείσης τῆς προσφάτου ἐπιποιήσεως, οἷς τὸ ὕδωρ ἀπαλεῖψαν τὴν ὑγρὰν παρέσυρε τίτανον. Καὶ οὐ πολλαὶ ἡμέραι ᾤχοντο, καὶ ἦν τὸ ἀγγεῖον κενόν· ὅθεν συνεξεκενώθησαν ἡμῖν ἅπασαι αἱ ἐπὶ τῇ ἀκροπόλει ἐλπίδες, καὶ οὐκέτι οὐδεὶς ἀνέβλεπεν εἰς αὐτήν. Καὶ ἡμεῖς οὖν συσκευασάμενοι, ἐκεῖσε καταντήσειν, εἴπερ βίᾳ, καὶ τὰ ἀναγκαῖα συγκομισάμενοι, ἐπεὶ μάθοιμεν, ἀπολωλέναι τὸ ὕδωρ, συγκατεῤῥύη μὲν τὸ εὔελπι, καὶ διανείμαντες ἐκεῖ τὴν συγκομιδήν, μόνου τοῦ δειλιᾷν καὶ εὔχεσθαι κατέστημεν, τίς ἂν δὴ ἀπαγάγοι τὰ τοιαῦτα τοῦ κατὰ προδοσίαν συγγενικοῦ. Εἰ γὰρ καὶ μηδαμοῦ ἐνταῦθα συνθήκη πρὸς πολεμίους (θετέον γὰρ οὕτω), οὐδὲ ἀρέσκεια ἐπὶ δώροις, φειδοῖ τοῦ ἐμπελάσαι τόν τε ἀδελφὸν τήν τε μητέρα τοῖς τοῦ Ἀνδρονίκου ἀφύκτοις λίνοις, ἀλλ᾽ αὐτὸ δὴ τὸ ἄκρως || ἀμελεῖν, καὶ παρὰ Mc. fol. 237. a.
φαῦλον τὴν τοσαύτην πόλιν τίθεσθαι καὶ τὸν ἐν αὐτῇ πάντα λαόν, καί που καὶ εὔχεσθαι τὸν στρατηγόν, ἐπιτμηθῆναι τὸν τῆς ἁλώσεως χρόνον, εἴ πως ἐκφυγὼν τὸ τοῦ βασιλέως πρόσωπον, ἐς κόρακας πτερύξεται, συγγενὲς ἂν εἴη μάλα τῷ προδιδόναι, καί που καὶ χεῖρον, ὡς ἄν τις τοῦ λαλεῖν τεχνίτης ἐπαγωνίσαιτο.

Καὶ ὁ λογίζεσθαι συνετὸς ταυτίζοι γοῦν ταῦτ' ἂν κατὰ τὸ σύστοιχον. Οὕτω καὶ οἰακοστρόφος νεὼς οὐ κατὰ κυρείαν, ἀλλὰ μισθοῦ, εἰ τῷ κεφαλαιωσαμένῳ τὴν ναῦν ἐγκοτοίη, ἐς ὅσον οὐκ ἔστι πλέον ἐπιτεῖναι, παραμένει μέν ποτε κινδυνευούσῃ, λαλεῖ δὲ ἀσυντελῆ, καὶ πράττει οὐκ ἀῤῥαθύμως· καὶ τὴν τέχνην εἰς τὸ πᾶν συστείλας, ἀφίησι τὸ σκάφος προςαραχθῆναι σκοπέλῳ, καὶ κατὰ βυθοῦ δῦναι αὐτῷ φόρτῳ καὶ ἀνδράσιν. Οὕτω καὶ φύλαξ τελεσφόρου ἀμπέλου, καθάπαξ ἀποστυγῶν τὸν δεσπότην κατὰ μῖσος τέλειον, βοτρύων μὲν ἴσως ἅπτεται εἰς οὐδέν, συχνὰ δὲ πῇ μὲν κάτω περιοδεύει, πῇ δὲ τοῦ σκοπευτηρίου γίνεται, καὶ ὧδε καὶ ἐκεῖ περιβλεπόμενος, φαντάζει ἐπιμέλειαν· ὁρῶν δὲ τὴν τοῦ φραγμοῦ σύμπηξιν καὶ τὴν ἐπ' αὐτῷ τάφρον, ἐπιβουλευσάμενά ποθεν οὐκ ἀποκωλύει, ἀλλ' οἷα καὶ ἀπονυστάζων διάκειται, ἀνύων μὲν οὕτω τὸ κατὰ τοῦ κτησαμένου τὴν ἄμπελον βλάβος, μελετῶν δὲ ἀμεῖσθαι τοῖς αἰτιωμένοις, ὡς οὔτε φεύγοι τοῦ ἀμπελῶνος, οὔτε κεκλόφοι, οὔτ' ἀποδοίη, ἀφιεὶς δὲ τό, οὐδὲ μὴν ἀμελήσοι, ὃ τὴν ἄμπελον ἀπηχρείωσε. Ταῦτα δὲ τὰ καὶ τῷ Δαυῒδ ἐμφαινόμενα, δι' ὧν οὐ μόνον ὁ Ἀνδρόνικος ψέγοιτ' ἄν, δύςνουν ἑαυτῷ ἄνδρα καὶ βαθὺν πονηρεύσασθαι τηλικούτοις ἐπιστήσας πράγμασιν· ἀλλὰ καὶ ὁ Δαυῒδ ἀπελέγχοιτο, μὴ ἂν ἔχειν διεκφυγεῖν γραφὴν τοῦ προδοῦναι. Ἀνακεφαλαιώσασθαι γὰρ τὸ ἐπιχειρηθέν, οὔτε κυβερνήτης καραδοκῶν, εἴπερ ὁρμισθείη, ἀποβαλέσθαι τὴν κεφαλὴν κατὰ τὸν δυςτυχῆ σωτῆρα τοῦ Ξέρξου, ὀκνήσοι ἄν, ῥαγίαις φθάσας προςαράξαι τὸ σκάφος, κύμασιν ἐκδούς, εἴ πως ἐκκολυμβήσας μόνος περιγενήσεται· καὶ ἀμπελῶνος δὲ φύλακα δαπανᾷν μὲν τὸ πιστευθὲν οὐκ εἰδότα, χόλῳ δὲ τῷ κατὰ τοῦ δεσπότου ἀφιέντα κλέπτεσθαι, καὶ θηρίοις βλάπτεσθαι, οὐκ ἂν νοσφιζοίμην λέγειν προδοῦναι τὴν ἄμπελον.

63. Ὢ οἷον κακόν, ὦ Ἀνδρόνικε, μεγίστοις ἔργοις, καὶ κίνδυνον δεινότατον ἐπισυρομένοις, εἴπερ ἀμεληθεῖεν, ἕνα τινὰ μόνον εἰς αὐτοκράτορα κεφαλὴν ἐφιστᾷν, καὶ αὐτὸν δὲ οὔτε λίαν ἐπιστήμονα τοῦ δρᾷν, καὶ ὕποπτον δέ. Ὢ Ἐπιμηθεῦ βασιλικέ, οἷον ἡμᾶς διέθου κακόν. Ὢ ἀλυσιτελὴς ὑστεροβουλία. Ὢ δυςανακλήτου καλοῦ ἀκίχητα ἐπιδιώξεις. Ὢ εἰκαῖος ἐκεῖνος μετάμελος. Οὐκ ἔσχε γὰρ εἰς τέλος τὰ τοῦ Δαυῒδ οὐδὲ τὸν βασιλέα λαθεῖν. Διὸ καὶ ἐξέστειλε μὲν ἐκεῖνος τὸν εἰς μνήμην ἤδη γραφικὴν ἀποτεθειμένον Παρακοιμώμενον, οὐ μόνον ἐπὶ ἀμύνῃ τῆς πόλεως, ἀλλὰ καὶ ὡς ἄν φασιν ὑπελθὼν δεξιῶς ἀμύνηται τὸν ἀπατεῶνα Δαυῒδ εἰς ὄλεθρον. Ἤδη γὰρ κατέγνω τὸν ἄνδρα καὶ ὁ βασιλεὺς ὀψιμαθέστερον, οἷα βυσσοδομεύων ἦν. Ἐκρήτιζε δὲ ἄρα πρὸς || Κρῆτα ἐκεῖνος καὶ τὸν ὕπουλον Ἄργον, (Ms. fol. 231. b.) τὸν Δαυῒδ, ἀνυστάκτοις τά γε εἰς πονηρίαν ὄμμασι βλέποντα, οὐκ ἔσχεν ἀψοφητὶ δι' Ἑρμοῦ ἐκείνου εὐπτέρου βαλεῖν καὶ καταβαλεῖν. Ἀλλὰ προαισθόμενος ὁ Δαυῒδ φθάνει ἐπιτεμὼν τὸν καιρὸν τοῦ ἡμετέρου κακοῦ, ὡς εἰς καλὸν ἑαυτῷ· καὶ οἷον ὑποδὺς βυθὸν κατὰ λάρον, ὃς ὑποπτήξας ἁλιαίετον βυθισθείη, ἐξέφυγε τὸν ἀγκυλοχείλην Ἀνδρόνικον, Ἀνδρόνικος ἀποβὰς αὐτὸς κατ' ἐκείνου τοῦ γαμψώνυχος. Ἑσπέρας γὰρ ἦλθεν ὁ Παρακοιμώμενος, καὶ αὔριον ἕωθεν ἀπολώλαμεν, διοικονομησαμένου τοῦ Δαυῒδ, μήτ' ἔνδον ἰδεῖν, ὃν ἐδεδίει, μήτε μὴν ἔξωθεν ἐπικουρίαν γενέσθαι ἡμῖν, ἐπὶ σωτηρίᾳ μὲν τῶν ἄλλων, βλάβῃ δὲ αὐτοῦ, ἣν ἔπαθεν ἄν, σεσωσμένης τῆς πόλεως. Οὕτως ὁ Δαυῒδ κυνηγετούμενος ὑπὸ τοῦ Ἀνδρονίκου, ἐμηχανᾶτο, μὴ πεσεῖν ὑπὸ ἄγραν ἐκείνῳ, παρ' οὐδὲν μὴ ὅτι γε τὴν καλὴν Θεσσαλονίκην, εἰ μόνον περισωθείη αὐτός, ἀλλ' οὐδὲ τὸν πάντα κόσμον τιθέμενος.

64. Οὐκοῦν ἡμέραι συχναί, αἱ μὲν πρὸ τοῦ σφοδροῦ πολέμου, αἱ δὲ κατὰ τὴν τούτου ἀκμήν, καὶ οὐδεὶς ἐκεῖνον εἶδεν οὔτε ἐν ὅπλοις δεινοῖς δύναντα, οὔτε ἵππου εὐγενοῦς ἐπιβάντα. Ἡμίονος δὲ ὦχει αὐτὸν ἀπὸ βράκας καὶ πεδίλων νεωτερικῶν· ἔσκεπε δὲ καὶ τὴν κεφαλὴν Ἰβηρικώτερον ἔμφυλος πῖλος ἐρυθρός. Βάρβαροι ἐκεῖνον καὶ τεχνῶνται καὶ καλοῦσιν, ἢ φιλοῦσι, πολύπτυχον μὲν καὶ οὕτω συνεσταλμένον κάτω τὴν λοιπὴν περίθεσιν, τὰ δὲ περὶ πρόςωπον εὐρυνόμενον καὶ πρηνεύοντα ἐς ἱκανὸν κατὰ ἡλίου, ἵνα καὶ οὕτω τὸν στρατιώτην ἀπολέγοιτο τρυφερευόμενος ἀνηλίαστα. Ἑορτὴ φιληδεῖ τοιούτοις ἀνδράσι· πανήγυρις οἶδε τοσούςδε στολμούς· νυμφίος ἂν οὕτω θρύπτοιτο ἀβρυνόμενος. Τόξον δ' ἐκεῖνος εἴ που καὶ χειρισθείη, πειρᾶσθαι εἶπες ἂν αὐτὸν ἐκείνου κατὰ τοὺς ὠνουμένους, ὅπως ἂν ἔχοι τοῦ τείνεσθαι. Κατὰ δέ γε τὴν ἀκρόπολιν λέγεται ὀϊστὸν ἕνα κατὰ τῶν ἐκεῖ περικαθημένων ἀφεῖναι, καὶ λίθον ἕνα ἐκ σφενδόνης· εἶτα καὶ ὑποθέσθαι τοῖς ἐπὶ τῶν τειχέων, πεδίλων ῥαφέας ἐξονειδίζειν τοὺς πέριξ Λατίνους, οὓς καὶ τοσοῦτον ἠμύνατο, κακὰ ἡμῖν ῥάπτοντας, καὶ ἐγγελῶντας, οἷς ἤκουον. Ἔλεγον δὲ οἱ ἀμφ' αὐτὸν σκώπτοντες ἐκεῖνον, καὶ ὅτι καθήμενος ἔσω τειχέων κάτω περὶ σκιάν, καὶ βέλη βλέπων ἔξωθεν ἐπιπεταννύμενα, εἰώθει λέγειν, ὡς ναί, καλέ, κακὰ τὰ ὧδε· καὶ εὐθὺς ἀναπηδῶν μετεκάθιζεν εἰς ἄσυλόν τινα σκιατραφίαν καὶ ἄσκυλτον, πρὸς τὸν εὖ ἔχοντα τοῖχον μεταβλέπων, ὅ φασι, καὶ ζῆν κυρώσας ἔξω βελῶν.

65. Καὶ τοιοῦτον ὄντα ἐκόλαπτον ἐς καρδίαν αὐτὴν οἱ τρῶκται ἄρεσκοι, καθαρώτερον δ' ἐκφῆναι, οὐκ ἀνίεσαν θωπεύοντες οἱ τὴν κολακείαν περίεργοι. Καὶ ἔῤῥεπε πρὸς αὐτοὺς τῷ κούφῳ ἡ πλάστιγξ, κῆρας ἔχουσα, κατὰ τὰς ποιητικάς, νευούσας εἰς Τάρταρον. Οἱ δὴ καρδιοκολάπται κόλακες καὶ παρηύγαζον ἐν σφίσιν αὐτοῖς κατὰ τῆς πόλεως μῖσος, οἷς τῷ τὴν πόλιν μισοῦντι κακοήθως συνδιετίθεντο. Καὶ ἦν ἐπ' αὐτοῖς τὸ τοῦ Παιανιέως ῥήτορος, ὅπερ ἐκεῖνος περὶ κλοπῆς γνωματεύων κυκλικῶς περιήγαγεν, οὐδέ πως παρατεκτήνασθαι· σοὶ μέν, ὦ Δαυῒδ, προδοτικὸν τὸ φιλικόν, εἴπερ ἦν ὅμοιόν σοι. Ἆρα δὲ οὕτως εἰρηναῖος ὤν, ἐπέτρεπεν ἄλλοις ποιεῖν τὸ δέον εἰς μάχην; Οὔκουν· ἀλλ' εἰς παντελὲς καὶ αὐτὸς τὸν Ἄρην ἐπέδησεν ἔν γε ἡμῖν, οὐκ οἶδα τίς ποτε τῶν ἐξ Ἀλωέως ὤν, τάχα δ' ἂν Ἐφιάλτης, εἴτ' οὖν Ἐπίαλτος, ὁ παρὰ τοῖς Ἀσκληπιάδαις ἐπαχθῶς τοὺς ἀνακειμένους βαρύνων, || [Ms. fol. 238. a.] οἷα καὶ πνιγαλεὺς ὁ αὐτός. Ὦτος γὰρ οὐκ ἂν λεχθείη, ὃς οὐδενὶ τῶν εὖ λεγόντων ἐδίδου ὦτα, εἰ μὴ ἄρα κατά τι σκῶμμα παροιμιῶδες τὸ ἐπὶ εὐηθείᾳ. Τοιούτους γὰρ τοὺς ὤτους καὶ ὄρνιθας ἡ παροιμία ἔχοι δοκιμάσασα. Οὔτε τοίνυν αὐτὸς ἤθελε δραστήριος εἶναι, καὶ τοὺς λοιποὺς δὲ ἀπεκώλυε, κατάγχων εἰς βίαν. Ἐκδρομὴν γοῦν θέσθαι τὴν τυχοῦσαν κατὰ τῶν ἐχθρῶν, εἰς τοσοῦτον ἐδέησεν, ὥστε οἶμαι ὁ Σικελός, εἴπερ εἶχε μυκτῆρά τινα νεύοντα πρὸς ἀστεϊσμόν, εἰς εὐεργέτην αὐτὸν προσεποιήσατο ἄν· ἐπείπερ οἷα καὶ ὀφθαλμοῦ κόρην ἐκείνῳ διεφυλάξατο τὴν στρατιάν, ὡς μηδένα γοῦν ἐξ αὐτῶν ἀπολέσθαι, τό γε εἰς αὐτὸν ἧκον· εἰ καὶ στρατιῶταί τινες, οὐχ ἥκιστα δὲ τὰ τῆς Θεσσαλονίκης τέκνα, οἱ μετὰ τοὺς φυγάδας περίλοιποι, ἀπολεοντωθέντες οἷον τῷ ὑπὲρ τῆς πατρίδος θυμῷ, δεινὰ ἐποίουν ὁσημέραι κατὰ τῶν πολεμίων, ὡς οὐκ ἄν τις ἐλπίσειε, δραστηριούμενοι.

66. Καὶ εἶδεν ἄν τις ἐνταῦθα πονηρίαν ἀνδρὸς φαύλου καὶ σοφιστείαν βύθιον. Παρακλητευόμενος γάρ, ἀνοίγεσθαι τὰς πολιτικὰς πύλας ἐπὶ πολέμῳ, καὶ μὴ ὑπακούων, εἶτα καί τινα σφοδρότερα μανθάνων, καὶ ὁ αὐτὸς αὖθις μένων, καὶ ἀνακρινόμενος, ἐφ' ᾧ τῶν πολεμίων οὕτω φείδεται, πρῶτα μὲν προβάλλεται βασίλειον τηρεῖν κέλευσμα, καστροφυλακεῖν ἐπιτάσσον αὐτῷ. Μανθάνων δέ, ὡς οὐ τοῦτό ἐστι καστροφύλακα εἶναί τινα, τὸ ἔσω τείχους ἐγκεκλεῖσθαι, ἀλλὰ τὸ πάντα ποιεῖν, δι' ὧν ἂν τοὺς ἐχθροὺς βλάψειε, καὶ τὸ κάστρον οὕτω φυλάξειεν (εἰ μή τις καλοίη καὶ οἴκου, ἢ ἀμπέλου, ἢ νεὼς φύλακα τὸν ἔσω ἐγκορδυληθέντα, καὶ οἰκουρικῶς καθήμενον· εἴ τί που δὲ ἔξωθεν ἐπίβουλον, ἀλλ' ἐκεῖνο ἀφιέντα εὖ ἔχειν, ἕως καὶ ἐντὸς παρεισδύσεται ὀλέθριον)· ὁ δὲ δικαιολογεῖσθαι τοῦ λοιποῦ ἀφείς, διέβαλλε λέγων, δεδιέναι, μὴ τὸν πηλὸν ἀφεθέντες τινὲς προελθεῖν ἐκπετασθήσονται εἰς τὸ φυγεῖν, καὶ οὕτως ἐπὶ πλέον λειπανδρήσῃ τὰ τῆς πόλεως. Καὶ ἐδυσχέραινον μὲν οἱ ἀγαθοὶ στρατηγοί, ἀκούοντες τοῦτο, καὶ οἱ στρατιῶται, ἔφερον δ' ὅμως, εἰ σώματι πόλεως καλῷ φαύλη ἐφίσταται κεφαλή. Καὶ οὐκ ἐτόλμων ἐγχειρεῖν, λύειν τὴν ἐπιτεταγμένην ἁρμονίαν αὐτοῖς, πειθαρχοῦντες οὐκ ἐπ' ἀγαθῷ. Ἀλλ' ὅτε ποτὲ καὶ αὐτὸς ἐκύρωσε πειθοῖ εἶξαι, ῥᾳδιουργεῖ οὕτω, τοῦ Χούμνου τεθαῤῥηκότος, ἅμα τῷ περὶ αὐτὸν στρατιωτικῷ λόχει ἐπεισπεσεῖν τοῖς ἐκ τῶν ἑῴων πυλῶν πολεμοῦσι, καὶ ἐγκεχειρηκότος οὕτως, εἰ καὶ δυστυχῶς ἀπέβη τὸ τέλος διὰ φαυλότητα τῶν συναρραμένων αὐτῷ τῆς μάχης, καὶ ὀχλούντων τῶν τε ἐπηλύδων στρατιωτῶν, καὶ τῶν τῆς πόλεως δὲ τέκνων, ἃ ταύτῃ περιελείφθησαν μετὰ τοὺς φυγαδίας, κατὰ σπουδὴν ἐκδραμεῖν ἐπὶ τοὺς πολιορκοῦντας, διὰ τὸ τοὺς Λατίνους ὅλους γενέσθαι τοῦ ἀντιχωρῆσαι κατὰ τοῦ Χούμνου, αὐτὸς μόγις ἀνοίξας τὰς πύλας, καὶ ἀφεὶς δῆθεν ἐκδρομὴν προβῆναι τὴν ζητουμένην, εἶτα συνέκλεισεν ὄπισθεν αὐτῶν, ὡς μόλις δυνηθῆναι τοὺς ἐξελθόντας ἔσω γενέσθαι τὰ τῆς πόλεως, κἀντεῦθεν ἐκείνους δεινὴν οὕτω ποινὴν τοῦ θαρσεῖν τινυμένους διομόσασθαι, ἡσυχάζειν τοῦ λοιποῦ, καὶ μὴ βιάζεσθαι τὰ μὴ δυνατά, ἔνθα θεὸς ἄλλα βούλεται.

67. Οὐκ ἂν δὲ εἴη πάρεργον, ἐνταῦθα προσιστορῆσαι πρὸς θαῦμα τοῦ στρατηγοῦ, καὶ ὅτι, τοῦ κατὰ τὸν Χοῦμνον || [Ms. fol. 238. b.] πολέμου ἔξω τότε ῥαγέντος, καὶ τοῦ πράγματος διηκουσμένου καὶ εἰς αὐτόν, αὐτὸς ἀφεὶς διπλῶσαι τοῖς βαρβάροις τὸν κίνδυνον, εἴπερ ὁ Χοῦμνος μὲν ἐκεῖθεν πονοῖτο, αὐτὸς δ' ἐνταῦθα καταστρατηγοίη, ὡς ἂν κακοῖς ἑκατέρωθεν ἐναπολειφθὲν τὸ βάρβαρον, καὶ κατά τε στέρνων καὶ κατά τε νώτων πληττόμενον καὶ βαλλόμενον ὀχλοῖτο, οὕτω γοῦν στρατηγεῖν ἀφείς, ὡς ἔπρεπε, πομπικῶς ἄλλως διέκειτο. Ὕψιστος γὰρ ἐν τῷ ἑῴῳ γηλόφῳ τοῦ καθ' ἡμᾶς Ζαβαρείου ἐπανηγύριζε, θεωρικῶς τὴν τῆς μάχης ἐκείνης γνωματεύων διάθεσιν, ἣν ἐγειρομένη κόνις ὑπὸ τῶν τρεχόντων καὶ ἀντιτρεχόντων ἐσήμαινε. Καὶ οἷα μὲν αὐτὸς τότε εὔχετο ἄν, ἢ κατεύχετο, οὐδεὶς ἂν εἰδείη μαθών. Ἐκεῖνο δὲ δῆλον, ὡς ὤκνει κἀνταῦθα τοὺς Λατίνους ὀχλῆσαι, καί τι σκύλας ἀπασχολῆσαι τοῦ καθ' ἡμῶν πολέμου, ὡς οἷα τάχα που δεδιώς, μὴ καὶ ἐπικαλέσωσιν, ὡς δι' αὐτὸν δίπαλτοι τὸ Ῥωμαϊκὸν αὐτοῖς ἐπετέθησαν στράτευμα. Καὶ ἔπασχε μὲν τηνικαῦτα μυκτῆρα ἐκ τῶν γυναικῶν, ὅτι καθελὼν

ἐκείνας τοῦ ἄνω ἐκεῖ ἱστάναι, αὐτὸς οὐ κατά τι αἴσιον ἀναβαίη, γυναικεῖον τόπον ἀναπληρῶν. Ἦν δὲ αὐτῷ καὶ ὁ ἐκ τῶν γυναίων μῶμος ὡσεὶ οὐθέν. Πόθεν γὰρ εἶχε γνοὺς ἐννοήσασθαι, ὡς πολλοὶ γυναικῶν ὀνειδισμοὶ σφαλλομένους ἄνδρας ἀνώρθωσαν, βαρβαρικούς τε καὶ Ἕλληνας; Καὶ ἔχομεν καὶ ταύτην βλάβην ἐξ αὐτοῦ μεγάλην καὶ προφανῆ. Ἐμάθομεν γὰρ αὐτῶν Λατίνων ἐξαγγελόντων, ὡς, εἴπερ τὴν ὥραν ἐκείνην, καθ' ἣν ὁ Χοῦμνος αὐτοῖς ἐπέθετο, ἐνεπήδησαν οἱ τῆς πόλεως περὶ τὸν ναύσταθμον, τάς τε μηχανὰς ἁπάσας εἷλον ἄν, καὶ τὸ στρατόπεδον ἀπήγαγον, ἐμπρήσαντες καὶ νῆας, ὅσας ἐξεγένετο ἂν αὐτοῖς.

68. *Ἀλλὰ τοῦτο μὲν ὕστερον ἡμῖν ἐπῆλθε μαθεῖν. Ὁ δὲ στρατηγὸς τέως μεθώδευεν ἀσκύλτως τὰ ἑαυτοῦ, καὶ ἐνετρύφα τῇ ἀρχῇ. Καὶ παρακαλούμενος εἰς ἔργα φιλοπονικῶς, αὐτὸς ἑώρταζε τὸ ἀποῤῥαθυμεῖν, καὶ ἀναπίπτειν, καὶ ἀνίεσθαι, καὶ καταπροΐεσθαι τὰ ἡμέτερα μίσει τῷ κατὰ τοῦ βασιλέως, κάκιστα μέν, ἀνθρωπίνως δ' οὖν, ἰδίου κακοῦ τοῦ κατ' αὐτὸν τὸ καθ' ἡμᾶς κοινὸν ἀλλαττόμενος, καὶ τὴν τοῦ Σικελοῦ τῆς τοῦ μεγάλου Κωνσταντίνου προτιθείς, καὶ ὡς ἂν εἴποι τις, τοῦ κατὰ Χάρυβδιν σκοπέλου τὸν ἕτερον ἀνθαιρούμενος. Καὶ ὤχλει μὲν αὐτὸν εἰς τὰ καλὰ καὶ ὁ Σεβαστὸς Ἰωάννης ὁ Μαυροζώμης, ἐν τῷ ἐκ Πελοποννήσου ἀναβαίνειν μετὰ στρατοῦ παραμείνας ἐνταῦθα, οὔτι κατ' εὔνοιαν μάλα τῶν καθ' ἡμᾶς, ὡς ὑπενόουν πολλοί, ἀλλὰ τοῦτο μὲν εἰς πρόφασιν, πρὸς ἀλήθειαν δὲ πόθῳ καὶ αὐτὸς τοῦ βλέπειν, οὗπερ ἐκπεσεῖν — μή τι δὲ ἄρα καὶ τοῦ ζῆν — φόβον εἶχε καὶ αὐτὸς ἐκ τοῦ Ἀνδρονίκου, ὡς λόγος ἐῤῥέε. Καὶ ὅμως ἐλάλει καλά, καὶ ἤλεγχε τὸν στρατηγόν, ὅπως ἂν καὶ διέκειτο. Ὁ δὲ οὐδ' αὐτοῦ ἐπίστροφος ἦν, ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδενός, ἐν ἐκεῖνο σκέμμα στήσας ἐν ἑαυτῷ, τῇ Θεσσαλονίκῃ συγκατοιχήσεσθαι δέει τοῦ Ἀνδρονίκου. Καὶ μὴν εἶχεν ἂν ἐγγύην ἐπινοήσασθαι, ὡς, εἴγε σώσει τὴν πόλιν, ἐκμειλίξεται τὸν ἄγριον, οἷα πεπιστωμένος, εἶναι ζῆν ἄξιος. Ἀλλ' οὔτε τὸν τοῦ* Ms. fol. 239. a. *βασιλικοῦ ἤθους εὔ||ριπον ἐθάῤῥει στήσεσθαι ἄν ἐπί τινος καλοῦ, καὶ αἱ ἁμαρτίαι δὲ ἡμῶν ἀπήγαγον αὐτοῦ τὴν τοιαύτην ἔννοιαν.*

69. *Καὶ ὧδε μὲν ἡ κεφαλὴ τῆς πόλεως. Τὸ δέ γε λοιπὸν ἅπαν σῶμα πάντῃ διάφορον ἦν, ἑτεροιούμενον εἰς ἀγαθόν. Καὶ οἱ μὲν ἔξωθεν στρατευσάμενοι, οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὡς τὸ ἀρεϊκὸν ἐψεύδοντο, οἷς ἐνέπρεπον καὶ οἱ ἐξ Ἀλανῶν, καὶ εἴ τινες Ἴβηρες. Οἱ δὲ τῆς πόλεως ἰθαγενεῖς, τὸ γνήσιον τηροῦντες φιλόπατρι, οὐ πολλοὶ μὲν ἦσαν. Τὸ γὰρ πλεῖον ἀνέμοις ἑαυτὸ ἐπιτρέψαν ᾤχετο, καὶ μάλιστα τὸ προέχον κατά τε χεῖρα, ὡς ἐῤῥέθη, καὶ τὸ δύνασθαι τὸ ἐλέγχειν τὸν στρατηγὸν καὶ συμμετάγειν εἰς τὸ καλόν. Καὶ εἶπεν ἄν τις ἀνθρώπους τούτους, τοὺς ὑποστάντας παραμεῖναι τῇ πόλει, οὐκέτι πολιτικοὺς καὶ ἡμετέρου βίου καὶ οἰκοδεσποτίας, ἀλλὰ λῃστείας καὶ θηριωδίας καὶ ἐμβριθοῦς ἀγριότητος. Ἦσαν γὰρ ἀληθῶς θυμοῦ τοῦ ὑπὲρ πατρίδος ἀκρατεῖς, ἄνδρες κατορθωμάτων, ἀνδρίας γέμοντες, ἀλκὴν πνέοντες, πεπλασμένοι πρὸς ῥωμαλεότητα, διψῶντες μάχην, κατὰ βαρβαρικῶν σαρκῶν πεινῶντες, φάναι τὸ πᾶν, ἀρειμάνιοι· οἳ οὕτως ἐξελάθοντο τῶν ἄλλων, ὡς μόνου γενέσθαι τοῦ πολεμεῖν, καὶ τῆς κατ' οἶκον τύρβης ἀνθελέσθαι τὸν ἐπὶ τοῦ τείχους κίνδυνον.*

70. *Οὐ τοίνυν ἄνδρες μόνοι, ἀλλὰ καὶ γυναῖκες πρὸς Ἄρην ἐμαίνοντο. Καὶ ὅσαι μὲν λίθους παρεφόρουν ταῖς τε ἄλλαις μηχαναῖς καὶ τοῖς σφενδονῶσι, καὶ ὅσαι ὑδροφόρουν ἀκμάζουσαι τε καὶ νεάνιδες, καὶ μὴν καὶ ὅσας τὸ γῆρας ἤδη καταργεῖν ἐποίει τὰ ἔργα συγκεκυφυίας, ἔνθα τὸ τέλος πεσούμεθα — αἱ τοιαῦται δόξαιεν ἂν οὐδέν τι μέγα ποιεῖν, εἰ καὶ ἐποίουν, τὸ δύνασθαι βιαζόμεναι, καὶ δι' ἡμέρας πονούμεναι. Ὅσαι δὲ καὶ πρὸς ὁπλισμὸν ἐῤῥύθμιζον ἑαυτάς, ῥάκη καὶ ψιάθους ἐναπτόμεναι ὡσεὶ καί τινας θώρακας, καὶ τὰς κεφαλὰς μίτραις εἰς ἕλιγμα διαλαμβάνουσαι, εἴ πως στρατιῶται εἶναι σοφίσονται, καὶ λίθους ἐπισαττόμεναι ἀγαθοὺς ἐκ χειρῶν ἀφίεσθαι, τοῦ τείχους ἐγίνοντο, καὶ ὡς εἶχον ἔβαλλον τοὺς ἐχθρούς — ἀλλ' αὗται τὴν Ἀμαζόνειον ἱστορίαν συγκροτοῦσι, καὶ οὐκ ἀφιᾶσιν ἐκείνην ἐλέγχεσθαι· καὶ τὰς παλαιὰς δὲ διακρούονται παρευδοκιμοῦσαι, ἃς οἴδαμεν κουραῖς κεφαλῶν ἐπικουρεῖν τοῖς πατριώταις, σχοινοπλοκοῦσι κατὰ πολέμου ἀναγκαίως ἐκ τοιούτων τριχῶν. Οὐ γὰρ τρίχας αὗται, ἀλλὰ ψυχὰς προΐεντο. Ἰδὼν ἂν Σολομὼν αὐτάς, συγκατέγραψε τῇ παρ' αὐτῷ ἀνδρικῇ γυναικί, προσαπορήσας, εἰς ἣν προὐβάλετο ζήτησιν.*

71. *Καὶ ἦν εἰπεῖν τότε τοὺς ὁρῶντας τόν τε Δαυῒδ καὶ τοὺς ἀμφ' αὐτὸν Δαυϊτικούς (ἦσαν γάρ, ὅσοι εἰς ταὐτὸν ἐκείνῳ ἐνόουν, κακὰ φρονοῦντες, ὁποῖα τὰ τῶν κοράκων κολάκων· οἵπερ ἐπαίνους κρώζοντες, ἐφ' οἷς ἐκεῖνος ἀφραίνων ἦν, ἐφύσων εἰς μεγαλειότητα), ὡς αἱ μὲν γυναῖκες ἡμῖν ἄνδρες ἐγέ||νοντο, γυναῖκες δὲ* Ms. fol. 239. b. *οἱ ἄνδρες οἱ δαυϊδίζοντες. Τί δέ; Τὸ μὲν λαϊκὸν σύστημα τῆς πόλεως οὕτω πονούμενον ἦν, καὶ ὑπὲρ ὃ πεφύκει· τὸ δὲ τῆς λοιπῆς μερίδος ἐμιμεῖτο τὸν στρατηγόν, καὶ τοῦ ἀκούειν μόνου ἐγίνετο καὶ ὁρᾶν. Οὔκουν οὐδ' αὐτὸ ἀργοὺς εἶχε τὰς χεῖρας· ἀλλ' οἷον ἐκλαθόμενον, ὡς οὐδέ ποτε αὐτοῖς ἔξεστιν ἀνδρῶσιν αἱμάτων εἶναι, μετεχράζοντο, ἐπικρύπτοντες μὲν*

τὸ βαθὺ ἀποστολικόν, ἐπιπολάζοντες δὲ τὸ κοσμικώτερον.

72. Καὶ ἦσαν καὶ ἐξ αὐτῶν ὀχλήσεις τοῖς πολεμίοις οὐκ ἀγεννεῖς· ὅ ποθεν γνόντες ἐκεῖνοι κακῶς ἐν τῇ ἁλώσει, καὶ τοῖς τοιούτοις προςήγοντο. Τοιαύτην συντονίαν μάχης οἱ τῆς πόλεως ἥρμοττον, οὐδ' ἡμέρας διακοπτόμενοι, οὔτε νυκτὸς ἀναπίπτοντες. Ἐμάχοντο μὲν γὰρ πανημέριοι· παννύχιοι δὲ ἦσαν ἐν ἐγρηγόρσει, φυλακὰς ἔχοντες. Ὃ καὶ ἔβλαψε τὴν πόλιν οὐχ ἥκιστα. Οἱ γὰρ αὐτοὶ ἀνεξάλλακτοι τὸν ὅλον καιρὸν τῆς πολιορκίας πονούμενοι, τέλος ἀπέκαμον, παρειμένοι καὶ τὰ νεῦρα καὶ τὰς ψυχάς. Καὶ τὴν τελευταίαν ὅλην νύκτα, μεθ' ἣν ἡμῖν ὁ ἥλιος δυστυχῶς ἔλαμψεν, οὐκ εἶχε τὸ ἑῷον τεῖχος τοὺς φυλάσσειν ἐθέλοντας, καὶ οὐ μόνον διὰ τὴν ἐκ καμάτου πάρεσιν, ἀλλὰ καὶ διότι πρόληψις ἤδη ἅπασιν ἐγεγένετο, ἐς αὔριον τὴν πόλιν ἁλώσεσθαι. Καὶ ὡς οἷα καὶ εἰς κοινὴν ἦλθε τοῦτο ἔννοιαν, ὀψέ ποτε ἁπάντων ἐπεγνωκότων τὸν εἱρμὸν τῆς κατὰ τὸν στρατηγὸν ἀτρόπου Κλωθοῦς, καὶ αὐτῶν δὲ τῶν πολεμίων τὴν προηγουμένην ἡμέραν ἀναβοώντων Στεντόρειον ἐν τῷ μαθεῖν (οὐκ οἶδ', ὅθεν) τὴν ἐς νέωτα καθ' ἡμᾶς βλάβην· λέγεται δ', ὅτι ἐκ προδοσίας τινός· οὐκ οἶδα μὲν ἀκριβῶς, εἰ καὶ ἄλλης, ἐθνικῆς δὲ καὶ μάλιστα. Καὶ ὁ μὲν εἰπὼν Λατῖνος, ὡς ἐκ τοῦ κατὰ τοὺς βουργεσίους πύργου θέλημα ἐπέμφθη τοῖς ἔξω κατὰ τῶν τῆς πόλεως, καὶ καταμήνυμα τῶν ἐντός, οὐκ ἂν ἀπιστοῖτο ἡμῖν τεκμαιρομένοις, ἐξ ὧν ἠκριβώμεθα. Τοιοῦτοι γάρ τινες πυργοφύλακες ἐπίτριπτοι, νεανίαι ἀδελφοὶ ἐκ Χονταβιτῶν, ἔχιδναι γεννηταὶ τῇ πόλει ταύτῃ, κατ' αὐτὴν τὴν τῆς ἁλώσεως ὥραν κατήσθιον αὐτήν, καὶ αὐτοὶ ξίφη γυμνώσαντες, καὶ κατατρέχοντες τὰς ἀμφόδους γνωστοὶ τοῖς βλέπουσι, πίστιν οὕτω διδόντες, καὶ πρώην ἐπίβουλοι εἶναι. Καὶ οὐκ ἔσθ' ὅπως οὐ μετελεύσεται ἡ δίκη αὐτούς.

73. Καὶ ὁ μὲν τοιοῦτος Λατῖνος ὧδε συγκροτεῖται πρὸς ἀλήθειαν, καὶ ἄλλως οὐχ οἷός τε ὢν ψεύσασθαι. Ὁ δὲ Ἀβοΐδιμος Μανουήλ, ἀνὴρ ἰχθύων τιμῆς μελόμενος, νῦν μὲν ὠμογέρων, πάλαι δέ ποτε περιᾳδόμενος, μέγας εἶναι τὴν χεῖρα, καὶ βριαρὸς αὐτὴν κατενεγκεῖν τῶν ἀνθισταμένων, οὗ καὶ τὸ κατὰ σῶμα εὐσταλὲς ἔτι κατηγορεῖ τὴν ῥώμην, ἣν λέγεταί ποτε πλουτεῖν ὁ ἄνθρωπος, αὐτὸς δὴ ἐφανέρωσε, πρόδοτον εἶναι τὴν πανταχοῦ γῆς περιφόρητον τῷ κλέει Θεσσαλονίκην. || Ms. fol. 240. a. Οὔπω γὰρ ἀκραιφνὴς ἡμέρα ἡ κατὰ τὴν ἅλωσιν, ἀλλ' ἔτι νὺξ ἀμφιλύκη, καθ' ἣν ἔτι καὶ τὸ ἑῷον τεῖχος ἀπρόςβατον ἐχθροῖς ἦν. Καὶ αὐτὸς τοῦ ὕπνου ἀνεθείς, καὶ τὴν οἰκίαν ἀφεὶς ὀπίσω, ἵνα ἔργων ἅπτοιτο, εὗρε πέντε ἄνδρας Ἀλαμανοὺς ἐνόπλους ἐφίππους, ὁμοῦ συνεστῶτας καὶ ὁμιλοῦντας τὰ σφίσι δοκοῦντα. Καὶ ὁ μὲν παρῄγετο ἐκείνους ὁδοῦ λόγῳ. Οἱ δὲ προςεκαλέσαντο· καὶ ὡς ἐπέλασεν αὐτοῖς μετὰ πολλὰ τὰ ἐν μέσῳ, ἀπήγαγον αὐτοῦ τὴν δεξιὰν χεῖρα δυστυχῶς τῷ ἀνδρί. Γυμνώσας γὰρ εἷς ἐκείνων ξίφος, καὶ καταγαγὼν ἀπήραξεν αὐτήν. Οὐκ ἔσχε δὲ καὶ εἰς πλέον βλάψαι, πτερωθέντα οἷον εἰς φυγήν.

74. Τοιοῦτον καὶ τὸ τοῦ Ἀλαμανικοῦ τάγματος προδοτικόν, οὗ πρόδρομοι τὴν χθὲς δείλην τρεῖς τῶν δυσμικῶν πυλῶν τῆς πόλεως κατεπήδησαν, καὶ πάντων τῶν ἐκεῖ βλεπόντων τοῖς βαρβάροις φιλίως συνέμιξαν. Ἡ δὲ πρὸ δυοῖν ἡμέραιν τῆς ἁλώσεως περὶ πέμπτην τῆς ἑβδομάδος βαθείας ἑσπέρας ἐπιφάνεια Θεοφάνους τοῦ Προβατᾶ ἔσω πόλεως, ὃς ἐκ Δυῤῥαχίου συνωμάρτει τοῖς Λατίνοις φίλιος, τίνας οὐκ ἂν εἰς νοῦν προδοτικὸν ἐναγάγῃ μαθόντας αὐτήν; ἣν Λέων τις ἵππων ἀγαθὸς μελητής, ὁ Ἁγιοευφημίτης, ἰδὼν καὶ περιεργασάμενος, καὶ θυμῷ μὲν βληθείς, οὐκ ἔχων δ', ὅ τι καὶ δράσειεν, ὡσιώσατο ἄμυναν τῇ πατρίδι, ἐξειπὼν τὸ κακὸν τοῖς μὴ τολμῶσι λαλεῖν τε πρὸς τὸν ἐπὶ δυςπραγίᾳ κοινῇ φοβερὸν Δαυΐδ.

75. Ἀλλὰ ταῦτα μὲν οὕτως ἡμῖν ἀναγκαίως ἐπεμβεβλήσθω, ἢ μάλιστα προειλήφθω. Οἱ δὲ πολέμιοι στερεῶς κατὰ τῶν ἑῴων μερῶν τῆς πόλεως τῶν κατ' αἰγιαλὸν ἕως καὶ τῶν κατὰ τοὺς ἀσωμάτους πυλῶν ἐπέκειντο· καὶ κατὰ τὴν πέμπτην καὶ δεκάτην, ὡς προέκκειται, τοῦ Αὐγούστου τὰς νῆας λιμενίσαντες, τῇ αὔριον πρωΐθεν, ὧν ἐβουλεύσαντο, εἴχοντο, καὶ ὀξυχειρίας ἐπιβαλόντες, ἐποίουν τὰ τοῦ πολέμου. Καὶ ἦν ἰδεῖν κατὰ τὴν Ἡροδότειον Μοῦσαν νέφη βελῶν τῶν τε κατὰ πέτρας, τῶν τε κατὰ ὀϊστούς, δι' ὧν ὁ ἀὴρ ἐσκιάζετο. Καὶ ἐβάλλοντο μὲν καὶ οἱ ἐκ τῶν τειχέων (καὶ πῶς γὰρ οὔ; εἴγε ξυνὸς ὁ Ἐνυάλιος)· ἐβλάπτοντο δὲ τῶν μὲν ἡμετέρων ἥκιστοι, τῶν δὲ ἐναντίων πλεῖστοι. Πάνυ γὰρ ἐδεξίωσεν ὁ θεὸς οὐ τοὺς στρατιώτας μόνους, ἀλλὰ καὶ τὰ λοιπὰ τέκνα τῆς πόλεως, οἳ καὶ βάλλειν τοὺς πολεμίους εὐτύχουν, καὶ εἰς μῆκος δὲ πολὺ ὅσον ἀφιέναι τὰ βέλη, ὡς ἐντεῦθεν τοὺς ἐχθροὺς τοξότας ἀναποδίζοντας ἄπρακτα βάλλειν καθ' ἡμῶν ἐκ μακρᾶς ἀποστάσεως. Ἀπὸ γοῦν τῆς χρυσῆς πύλης τῆς περὶ δυσμὰς ἀφιέμενα βέλη ἐκ τόξων, ἐφύλασσον μετέωρον τὸ πτερὸν ἕως καὶ εἰς τὸ καλόν ποτε σεμνεῖον, ὃ περιεῖπεν ὁ μυροβλύτης μέγας Νικόλαος, καὶ ἐνέπιπτον ταῖς τῶν βαρβάρων σκηναῖς. Καὶ εὐθὺς ἐκεῖναι μεθίσταντο. Ὅμοια δέ τινα ἐγίνοντο καὶ περὶ θάτερον μέρος, ἔνθα τὸ ναύλοχον καὶ οἱ πλώϊμοι τὰς ἐπηρεαζομένας νῆας ἀνακωχεύοντες, κατὰ σπουδὴν ἐξέστελλον.

76. Ὅτι δὲ ἐξέτρεχον οἱ ἡμέτεροι, καταπηδῶντες ἐκ τῶν τειχέων, ὡς οὐκ ἂν εἰδείη ὁ εἰρηνικὸς στρατηγός, ψιλοὶ ὅπλων οἱ πολλοί, καὶ ἠνδραγα|| [Ms. fol. 240. b.] θίζοντο, ἐν οἷς καὶ παῖδες τοῦ μυροβλύτου ἄλλοι τε, καὶ ἐκ τῆς τῶν Σέρβων τεθέντες αὐτῷ· καὶ ὅτι περιεφρόνουν τοὺς ἐχθρούς· καὶ ὡς ἐξ αὐτῶν τῶν βαρβαρικῶν σκηνῶν ἁρπάζοντες ἀπήλαυνον ζῶα· καὶ ὡς τοὺς ἀντεπεξιόντας ἠμύνοντο διώκοντες, βάλλοντες, ῥίπτοντες· καὶ ὅπως ἐντεῦθεν θυμὸς καὶ προθυμία τοὺς στρατιώτας ὑπεδύετο ἄπλετος, ὡς καὶ τὸν στρατηγὸν βαρύνειν, οἷς ὤχλουν ἀφιέναι αὐτοὺς ἐξορμᾷν· καὶ ὡς ἐκεῖνος καθάπαξ ἐντυπωσάμενος ἐς ψυχὴν τὴν κατάδυσιν τῆς πόλεως, οὐκέτι τὸ ἐμμαχθὲν ἐξαλείφειν ἤθελε· καὶ ὡς ἐκ τούτου ὁ πολέμιος ὄχλος ἐπὶ μᾶλλον θάρσυνος ἦν, καὶ ἐπὶ πλέον μάλιστα, ὅτε τοῦ Χούμνου συῤῥήξαντος πόλεμον, ἐξὸν αὐτοὺς βλαβῆναι πρὸς τῶν τῆς πόλεως, καθὰ προεκτέθειται, ὁ δὲ ἐφυλάξατο, ὡς οἷα περιέπων αὐτούς — τί δεῖ μακρότερον διαπεταννύειν εἰς συγγραφὴν (βαρυνθείη δ' ἄν τις)· καὶ ὅτι τοῦ τείχους ὑπονομευομένου κατημέλησεν ὁ Δαυΐδ, εἰς ὅσον καὶ ἀνάθεμα πρὸς τῶν θερμοτέρων καταψάλλεσθαι;

77. Οἱ μὲν γὰρ τρῶκται τοῦ τειχίσματος, εἰ χρὴ οὕτω φάναι, αὐτοὶ μὲν τῷ τείχει πελάσαντες, καὶ συσκευασάμενοι γλύφειν, φραγνύμενοι δὲ κατόπιν τοῖς κάτωθεν ἀκροβολιζομένοις ἄνω, ἔργου ἥπτοντο ἐγκρατῶς, οἷα ἐπισπέρχοντες τὸ γλαφύρωμα, ὡς ἂν καθυποδύντες αὐτὸ ἐμβαθύνωσι, καὶ καθ' ἡσυχίαν διαμπερὲς τοῦ τειχισμοῦ ταχὺ τὴν συνέχειαν λύσωσι. Καὶ ἤνυον τὰ τοῦ σκοποῦ. Καὶ αἱ κεφαλαὶ μὲν αὐτοῖς καί τι τῶν μεταφρένων ἐκρύπτοντο· ὁ δὲ λοιπὸς ἄνθρωπος ἑκάστῳ ἐκείνων ἔξω βραχὺ προὐφαίνετο. Ἐλάνθανε δὲ ἄρα τοῦτο τοὺς πλείονας, ἕως ὁ ἐν Θεσσαλονίκῃ Βασίλειος ὁ Τζύσκος, κατακύψαι ἄνωθεν τολμήσας καὶ ἰσχύσας, εἶδε τὸ πρᾶγμα. Ὃς καὶ καρδιώξας ἔδραμε τὴν ταχίστην εἰς τὸν τοῦ στρατηγοῦ πρωτοθεράποντα καὶ ἐκλαλήσας τὸ πρᾶγμα μετὰ οἴκτου, προεκαλέσατο εἰς κωλύμην τοῦ κακοῦ. Ὁ δὲ — ὢ μαθητοῦ ἀγαθοῦ, ἐκμαξαμένου εὐφυῶς τὰ τοῦ καλοῦ στρατηγοῦ διδασκάλια — χρῆναι μεθίεσθαι ἀπεφήνατο μέχρις ἐς αὔριον, ἕως οἱ ἐχθροὶ ἐντὸς εἰληθέντες τοῦ τρυπήματος, εἶτα τῷ ἐκ φρυγάνων καπνῷ ῥᾷον καταπνιγεῖεν ἐντός, ὅμοιον ὡς εἰ καὶ κυνηγέτης πρόχειρον ἄγραν ἔχων θέσθαι θηρίου ἐν τοῖς πεδινοῖς, ὁ δ' ἀλλὰ μεθεὶς καραδοκεῖ τὴν ἐν σπήλυγγι ἐκείνου κατάδυσιν, ὡς οὕτω μᾶλλον ἀγρεύσων ἐκεῖνο· καθὰ καὶ μελίσσας ἔσω σμήνους οἱ περὶ ταύτας πονούμενοι.

78. Καὶ τοιοῦτος μὲν ὁ ἀρχιθεράπων μηχανικός. Ὁ δ' ἀρχιτέκτωρ αὐτοῦ Δαυΐδ ἄλλως ἔπαιζε τὸ μηχανᾶσθαι· καὶ ἀκούων, ὡς τρυπᾶται τὸ τεῖχος ἔξωθεν, τρυπητέον, ἔλεγε, καὶ ὑμᾶς ἔσωθεν. Καὶ εἰς τοσοῦτον χα|| [Ms. fol. 241. a.] σμησάμενος, ἐκάθητο τοῦ λοιποῦ χαῦνος, εἰκὼν ζῶντος, ἐμποδίζων οἷον ἰσχάδας καὶ αὐτὸς κατὰ τὸν Κωμικόν. Καὶ τὴν γλῶτταν ὧδε σαλεύσας ἀτελεσφόρητα, ἐῴκει, εἰ καὶ τὸ τεῖχος ἔξωθεν ἀκούσοι λίθοις βάλλεσθαι, εἰπεῖν ἄν, ὡς βάλλετε αὐτὸ καὶ ὑμεῖς ἔσωθεν. Ὢ παίγνια, δι' ὧν ἐσφαττόμεθα μὲν ἡμεῖς, αὐτὸς δὲ τὸν δίχτυον βασιλέα ἐξέφευγεν ἄνθρωπος, ἐφ' οἷς ἔδει ἐγρηγορέναι, κατακείμενος, καὶ κατὰ παλαιὰν ἀφέλειαν ὀνομάτων εἰπεῖν ἀναπεσὼς· καὶ μὴν σκέψασθαι ἄλλως, καὶ πάνυ ἑστὼς αὐτὸς ἦν καὶ νηφάλιος. Ὃ γὰρ προὔθετο, ἔνηφε ποιεῖν· καὶ οὐκ ἀνῆκεν, ἕως αὐτὸ τεχνικῶς ἀπετέλεσε.

79. Καὶ οὕτω μὲν προὐδόθη τοῖς πολεμίοις καὶ ἡ τῶν λίθων τοῦ τείχους ἐπὶ κακῷ ἡμετέρῳ ὑπολάξευσις κάτω· αἱ δὲ ἐκ τῆς μεγάλης μηχανῆς πέτραι τάς τε ἐπάλξεις κατήρειπτον, καὶ ἐγύμνουν τὸ τεῖχος φυλάκων· πολλαὶ δὲ καὶ ὑπερπεταννύμεναι κατέπιπτον ἔσω, ποιοῦσαί τινα δεινὰ καὶ αὐταί. Διὸ καὶ τεῖχος ἕτερον ἀντανασπῆσαι μελετήσαντες, καὶ ἤδη καὶ ἐγχειρήσαντες οἱ καθ' ἡμᾶς, ἀπετρέποντο. Ἐδεδίεσαν γὰρ οἱ τειχοποιοὶ τοὺς ὑπερτέλλοντας πέτρους, οὐ Ταντάλειον ταύτην φαντασίαν ὀνειροπολοῦντες, ἀλλὰ πρόοπτον ἔχοντες τὸ κακόν· ἔνθα καί τι γελοῖον συνέπεσεν, εἴ τι χρὴ τοῖς πικροῖς γλευκάζοντα συγκιρνᾷν εἱρμῷ τε ἱστορίας, καὶ ἵνα μὴ ὁ μανθάνων τὰ καθ' ἡμᾶς ἀκριβῶς παθαίνοιτο.

80. Ἦν μὲν γὰρ πολιτικὸν μυστήριον ἡ τοῦ τείχους ἀντανάστασις. Ἐλαφρίαν δέ τις ἄνω παθών, ἐξεβόησε τοῖς ἐχθροῖς, ἄπρακτα μωροὺς ἐκείνους πονεῖσθαι κατὰ τοῦ τείχους, ἔσωθεν ἀντεγειρομένου ἑτέρου. Ὃς δὴ λόγος καὶ μᾶλλον ἡμᾶς προσέβλαψεν. Ἀραιὰ γὰρ τὰ πρὸ τούτου ἀφιέντες τοὺς τειχοσείστας λίθους οἱ ἔξω, ἐπύκνουν αὐτοὺς ἔκτοτε, μεθ' ἡμέραν τε οὕτω βλάπτοντες ἡμᾶς, καὶ οὐδὲ νυκτὸς βέλη ἀνιέντες διὰ τῆς μεγίστης μηχανῆς· καθ' ἧς ἡμεῖς λαλήσαντες ὡς δεινῆς, εἴ πως ἀποκρουσθείη μηχανικῶς τοῦ καθ' ἡμᾶς τείνεσθαι, ἐσοφίσθημεν εἰς μάθησιν ἐξ ἀγαθῆς κεφαλῆς, ἀκούσαντες, ὡς πόλις ἐκ τοιαύτης πέτρας οὐ βλάπτεται. Τί δέ; ἀλλ' ὠφελεῖται, ὦ σοφέ, μηχανὰς ἐξουθενοῦν; Ἀλλὰ συνίσταται. Οὔκουν πάντως; Οὐκοῦν, τὸ ἀνάπαλιν· εἶγε καὶ καταῤῥίπτεται οὕτω τὰ ἐρυμνότατα. Εἴπομεν ἡμεῖς οὕτω, καὶ ὁ λόγος εἰκῇ ἀπέῤῥευσε καὶ αὐτός.

81. Καὶ ἔλειπον μὲν τὴν πόλιν καὶ τὰ μικρὰ

πετροβόλα, οὕτω δεξιῶς βάλλοντα, ὡς καὶ τοὺς μοδίους, οἳ πλοίων ἱστοῖς ἐνδεδεμένοι μετέωροι ἔκρυπτον ἔνδον ἄνδρας, εἰωθότας ἐκεῖθεν καταπέμπειν τὰ βλάπτοντα, συνεχῶς εὔσκοπα βάλλειν, καὶ κατακλᾶν, καὶ ἀγῶνα παρέχειν τοῖς μαχηταῖς ἐκεῖθεν, διεκχεῖσθαι κάτω καὶ περισώζεσθαι. Ἦσαν δὲ τὰ [Me. fol. 241. b.] τοιαῦτα ὡσεὶ καὶ βέλη νηπίων, πρὸς τὴν||μητέρα μεγάλην μηχανὴν παραβαλλόμενα, εἴ τι χρὴ ἐκ τοῦ σοφοῦ στρατηγοῦ πορίσασθαί τι νόημα. Ὃς τοὺς ἐκεῖθεν ἐπαφιεμένους λίθους τεθηπὼς τοῦ κτύπου, ἄκουε τὴν γραῖαν, ἔλεγεν, ἀπαθὴς οὕτω τι καὶ μέτριος ὤν, καὶ τὴν θρεψαμένην μαῖαν οἶμαι φαντάζεσθαι δοκῶν παθαινομένην ἐπ' αὐτῷ καὶ κλαίουσαν. Λακωνίζων δὲ καὶ ἄλλως ἐκεῖνος τὴν φράσιν, ὡς ἐν μεταποιήσει κάμπτει ἡ γραῖα, πάλιν ἐμογγιλάλει. Ἀπεφοίβαζε δὲ ἄρα ὁ λόγος οὗτος κατά τι πυθωνικόν, ὡς ἡ πρεσβυτάτη Θεσσαλονίκη πρὸς εἴδωλα καμόντων οἴχεται, καθὰ καὶ πάλαι ποτέ, ὡς ἐξ ἱστορίας καθήκει καὶ εἰς ἡμᾶς. Καὶ ἦσαν οἱ λίθοι ἀκριβῶς ἀνδραχθεῖς, ὁποίους κατὰ τῶν ἀμφὶ τὸν Ὀδυσσέα οἱ Λαιστρυγόνες διεχειρίζοντο.

82. Τοῦ τοίνυν κακοῦ κάτω μὲν ἀναστομοῦντος εἰς ἀξιόλογον χάσμα τὴν τοῦ τείχους στεγανότητα, ἄνω δὲ τοιούτοις λίθοις εἰς τρόμον βιαζομένου, ὀκλάζει τὸ καὶ τοὺς πόδας καὶ τὰ ὕπερθεν παθόν. Καί πως ἐπὶ γόνυ συνιζάνει, τά γε πρῶτα εὐμηχάνως συνεστηκός, ἕως οἱ μὲν ὑπορύττοντες τὸν κατ' αὐτοὺς ἄεθλον διηνυκότες, ἀποκατέστησαν ταῖς τῶν συμβαρβάρων σκηναῖς· τὰ δὲ ὑποβεβλημένα εἰς ἔρεισμα τῇ διωρυγῇ κατεκάη, ὡς δοῦναι τόπον ἐντεῦθεν τῇ κατακύψει τοῦ τείχους. Οὗπερ οὕτως ὑποκλιθέντος εἰς πλαγιασμόν, συμβαίνει τὸ ἐκείνου ἄκρον διαιρεθῆναι ἄνωθεν ἕως καὶ κάτω, ἔνθα πως ἐγλωχινοῦτο γωνιούμενον, καὶ διαχανεῖν εἰς ἡμέτερον ὄλεθρον. Τοῦ γὰρ συνδετικοῦ παραλυθέντος εἱρμοῦ, ἔσχιστο ἐξ ἀνάγκης, ὅτι μηδὲ εἶχεν ἡ ἐχομένη πλευρὰ ἐγκαθεστῶτι ἡρμόσθαι, τῆς ἐκ πλαγίων ὑπεινδούσης κατὰ βάρος ἀλλ' ἐκπέμψασά τι ἑαυτῆς, ἀφῆκεν ἐπακολουθεῖν κατακλιθείσῃ τῇ γείτονι· καὶ οὕτω χάσμημα καθ' ἡμῶν Ἅιδου εὐρυνθὲν κατέσπακεν εἰς χάος ἀτρύγετον.

83. Ἦν δὲ ὁ τόπος οὗτος πύργος Χαμαιδράκοντος ἐπικληθεὶς τῷ λαχόντι ἐπιστατεῖν σύν γε τοῖς ἀμφ' αὐτὸν οὐκ ἀεργοῖς στρατιωτικοῖς, ἀνδρὶ τότε μὲν τακτικῷ, ὕστερον καὶ συμπόνῳ ἡμῖν· ὃς μόνος τῶν ἄλλων ἐνσχεθεὶς τῇ πόλει, τὸ μὲν φαινόμενον κατὰ νόσον, ἄλλως δὲ προμηθείᾳ θείᾳ καὶ συναεθλεύων ἡμῖν παρήγορα, θρίξ, ὅ φασιν, ἀνὰ μέσον καὶ ἔβλεπε θάνατον, εἰ μὴ τὸ τῆς τριχὸς ταύτης γραμμικὸν οἷα καὶ εἴς τι πλατὺ ἐπίπεδον ἡμεῖς διαστήσαντες, ὡς ἐμεθόδευσεν ὁ τῆς σοφίας Θεός, καὶ παρατείναντες καιρόν, δι' οὗ ὁ βαρβαρικὸς ἐμαλάχθη θυμός, συνετελέσαμέν τι καὶ αὐτοὶ τῷ ἀνθρώπῳ εἰς τὸ καλόν, ἧς ἄρτι ἔχει, ζωῆς.

84. Τοῦ τοίνυν τείχους ἐκείνου παθόντος, ὡς ἔπαθεν, ἐπείπερ ἡμέρα διέφαυσε, καὶ εἶδον τὸ ἐκεῖσε Χαρώνειον χάσμα οἵ τε ἐχθροί, οἵ τε ἡμεδαποί, ἐκεῖνοι μὲν συνέχασκον θηριωδῶς τοῦ λοιποῦ καθ' ἡμῶν· ἡμῖν δὲ συμμύουσι ξύμπασα ἐκλείσθη ἐλπίς. Καὶ ἦν μὲν τὰ πρὸ τούτου θρασὺς ὁ||στρατηγός, κομπάζων [Me. fol. 242. a.] πρὸς τοὺς εὖ εἰδότας, τὸ τεῖχος οὐκ εὖ πείσεσθαι, ὡς, εἰ καὶ καταπεσεῖται, ὅμως αὐτὸς ἐπιλέγδην κρίνας τοὺς ἀρίστους τῆς στρατιᾶς, τεῖχος σιδήρεον ἀντιστήσει, τὸ ἐκ τῶν ὅπλων, καὶ ἕως καὶ εἰς τεσσαράκοντα ἡμέρας φύλαξ ἔσται τῆς πόλεως. Τότε δὲ ὁ μέχρι λόγου θρασὺς ῥηξήνωρ τῇ τοῦ τείχους ῥήξει διεκόπη τῶν αὐχημάτων· καὶ μὴ μένων ὁ αὐτός, ἔμπαλιν ἐξένευσεν.

85. Ἅμα γὰρ δόρυ ἐσκέψατο πολεμικὸν ἐπὶ τοῦ ῥήγματος ἀναῤῥιχησαμένου τῶν τινος πλωΐμων, οὓς ἀνδρικοὺς τὰ τοιαῦτα καὶ δεξιοὺς ἡ τοῦ Σιφάντου ναῦς ἐπλώϊζε (πειρατὴς δὲ ὁ Σιφάντος, ἑκὼν προσχωρήσας τοῖς Σικελοῖς κατά τινα ῥήτρην τὴν συνδόξασαν· ὃς καὶ ἡμᾶς ἑλὼν ἐξένισε — ῥητέον γὰρ οὕτως — ἐπὶ νεὼς τῆς κατ' αὐτόν, ὡς καὶ ὑποκαταβάντες λόγῳ βραχὺ παραστησόμεθα), ἅμα γοῦν οὕτως εἶδεν ὁ τρέσας Δαυΐδ, καὶ ἅμα κατόπιν βαλὼν τὰς ἀνδρικὰς ὑποσχέσεις, καὶ τὰς τεσσαράκοντα ἡμέρας εἰς οὐδὲ λεπτὸν συστείλας ὥρας, ἔδειξε μετάφρενα τοῖς ἐχθροῖς. Καὶ τῶν στρατιωτικῶν φωνούντων λεωφορουμένῃ βοῇ τό· Κομνηνέ, στάμα καὶ πέζευμα· ὁ δ' ἐπιτελεύτιον οἷον ἀντιμύξας τό· Καβαλίκευμα, καὶ τό· καθά με βλέπετε, ἐπόθει μὲν ἴσως παρατυχεῖν που τοῦ τηνικαῦτα Πήγασόν τινα, δι' οὗ πτερύξεται εἰς ὄρος, εἴθε ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης. Ἠρκέσθη δὲ ὅμως τῇ φίλῃ ἡμιόνῳ, ἣ καὶ τότε φέρειν αὐτὸν ἔλαχε. Καὶ παραδειγματικῶς προφεύγων, τρυφερὸς ἰδεῖν, εὔυφος τὴν ἀναβολήν, ἄτριπτος ὅπλοις τὰς χεῖρας, γυμνασίῳ πρέπων, ἀμίαντος αἵματι, εἶχεν ὡσεὶ καὶ πτίλος ἐφεπομένους τοὺς ἅπαντας παρά τι ὀλίγον. Ἦσαν γὰρ ἐν τοσούτῳ πλήθει καὶ μεγάθυμοι ἄνδρες, οἳ καὶ ἀντισταθέντες ἐν τῷ τὸν στρατηγὸν ἄνετα διώκειν ἑαυτὸν εἰς φυγήν, οἱ μὲν ἔπεσον μακαρίως καὶ εὐγενῶς· οἱ δὲ γενναῖα δράσαντες ἐνδεδώκασιν, ὅπου γε καὶ τὸ πολεμικὸν ἐκεῖνο δόρυ. Καὶ οἱ συναναβάντες τὴν ἀρχὴν βάρβαροι κατεσείσθησαν ὑπό τινων ἡμετέρων πολιτῶν, οὔκουν γε

στρατιωτῶν. Οἱ δὴ πολῖται καὶ κατὰ κράτος ἀντέσχον, ἕως κυκλωθέντες εἶδον κίνδυνον· οὐ πτυρέντες δείματι πανικῷ τῷ τοῦ Δαυΐδ, ἀλλὰ μεμνημένοι βλάπτειν ἔσω μάλιστα πόλεως, οὓς καὶ ἐκτὸς ὥρμαινον σίνεσθαι, εἴπερ ἀφίεντο. Ὃ δὲ ἐτροχαλώθησαν οὗτοι κύκλωμα, οὐκ ἐκ τῶν ἄνωθεν ἦν, ἀλλὰ τῶν εἰςδραμόντων βαρβάρων ἐκ τῶν ἑῴων πυλῶν· ἃς ὁ στρατηγὸς ἀνεῳγμένας ἔωθεν τοῖς ἐχθροῖς ἐχαρίσατο εἰς παρείςδυσιν ἄπονον, ἐπειδὰν ἐγχειρήσας φυγεῖν ἐπέτρεψε τῷ κατεπαναπνεύοντι συναναφεύγειν εἰς τὴν ἀκρόπολιν, ἐάσαντα τὰς πύλας, αὐτὸν δὴ τὸν ἐκείνου φάναι Ms. fol. 212 b. λόγον, πυρέσσειν, ὡς οἱ ἀκηκοότες διδάσκου||σιν.

86. Οὕτω δὴ οὖν τοῦ πολεμικοῦ δόρατος ἀναφανέντος ἐπὶ τοῦ τείχους, ἤδη ἐψιλωμένου τῶν ἡμετέρων (λέγω δὴ τοῦ ἑῴου· τὸ γὰρ δυσμικὸν οὐ τοιούτους εἶχε προμάχους· ἀλλὰ τῶν τινες ἐκείνων ἀντεῖχον, ὡς οὐκ ἂν εἴη ἀνδρικώτερον· ὧν ἐν τοῖς μάλιστα Λέων ὁ Κουταλᾶς, καὶ φρενῶν καὶ ῥώμης καὶ ἀνδρίας πλήρης ἀνήρ· ὃς ἕως καὶ περὶ πλήθουσαν ἀγοράν, τῆς πόλεως ἤδη μεμεστωμένης, ὧν οὐκ ἠθέλομεν, ἀντιστάς, εἶτα πρὸς οὐδενὸς ἔχων ἐπικουρίαν, καθυφῆκε, καὶ εὐτυχῶς γυμνωθεὶς ἐκέρδανεν ἑαυτὸν εὐκλεῶς, τότε μὲν πολλὰ κεκλαυμένος ὑφ' ἡμῶν, ἄρτι δὲ ἐν τοῖς τῶν ἐπαινουμένων πρώτοις ταττόμενος παρά γε ἡμῖν, οἵπερ οἴδαμεν) — τοῦ τοίνυν ὑψοῦ, ὡς ἐῤῥέθη, φανέντος δόρατος ἐκείνου τῇ συνήθει μετακλίσει καὶ κατακύψει, ὡς εἰ καί τινι κατανεύσει κεφαλῆς ἢ καὶ χειρὸς νεύματι μετακαλουμένου τοὺς ἔξω, βραχύ τι ὥρας μέσον ἦν, καὶ ἡ πόλις πλήρης ἦν τῶν πολεμίων, περιάγοντος Αὐγούστου τετάρτην καὶ εἰκοστὴν ἡμέραν, ἐξότου ἐνέστη πρῶτα μὲν τῶν τοῦ ναυτικοῦ, εἶτα κατὰ συνάφειαν καὶ τοῦ ἱππικοῦ.

87. Καὶ ἦν ἰδεῖν τὴν ἡμέραν τότε οὐκ ἔθ' ἡμέραν, ἀλλὰ νυκτὶ ἐοικυῖαν, καὶ οἷον παθαινομένην καὶ σκυθρωπάζουσαν, ἐφ' οἷς ἑώρα. Ὀμίχλη γὰρ αὐτὴν βαθεῖα ἐπέχυνεν ὡςεὶ καὶ ἐκ κονιορτοῦ, ὃν ἢ τυφὼς αἴρει ἢ πόδες ζώων, ἅπερ ἀριθμὸς μετρεῖ ἀπειροπληθής· ὡς εἶναι εἰπεῖν, ὀκνεῖν λάμπειν τὸν ἥλιον, οἷς αἱ τῶν ὅπλων ὑπερηύγαζον αὐτὸν λαμπρότητες· παρῳδῆσαι δὲ καὶ ἐκ παλαιᾶς Μούσης ὀκτωκαίδεκα μὲν πλέεν ἤματα ποντοπορεῦον τὸ τῆς πόλεως σκάφος, ἐννεακαιδεκάτῃ δ' ἐφάνη οὔρεα σκιόεντα, δι' ὧν ὁ τῆς ζωῆς ἡμῖν ἥλιος ἀποτειχιζόμενος, ἐμέλαινε σκιὰν ἐπικαλύψουσαν ἡμᾶς ψαλμικῶς. Οἱ δὲ χθὲς καὶ πρῴην ἀλαλαγμοί, καὶ αἱ κατὰ πόλεμον βοαί, καὶ ὁ ἐντεῦθεν θροῦς οὐκέτ' ἦσαν· ἀλλ' ἀντιστρέψαντα τὸ ψαλμικόν, οὐκ ἦν ἀλαλαγμὸς ἐν τοῖς ἡμῶν πλήθεσιν. Εἶδες δ' ἂν καὶ ὀρνέων πετομένων κενὸν τὸν ἀέρα, οὐκ οἶδ' εἴτε διὰ τὸ τοῦ ἀέρος στυγνόν, εἴτε καὶ ὅτι φρικτὸν ἦν καὶ ἐκείνοις τὸ πρᾶγμα. Ἡμέραι γοῦν ἱκαναί, καὶ οὐδαμοῦ οὔτε στρουθοί, οὔτε πέλειαι, οὔτε κόρακες, οἳ τῇ καθ' ἡμᾶς πρῴην ἐπεχωρίαζον, οὔτε ἄλλος τις ὄρνις τὸν ἀέρα διενήχοντο, ἀλλ' ἐκτετοπισμένα ἐνέμοντο καὶ ἡμῖν ἄφαντα. Ἀλλὰ τοῦτο μὲν καὶ μετὰ τὴν ἅλωσιν ἐφ' ἱκανόν, οἷα τοῦ δέους καὶ τοῖς ἀλόγοις παραμένοντος. Ἡμέραι γὰρ ὕστερον συχναί,|| Ms. fol. 213 a. καὶ αἱ μὲν ἄμφοδοι τῆς πόλεως ἔπληθον σπορίμων παντοδαπῶν, οἷς χαίρουσιν οἱ τῶν ὀρνίθων σπερμοφάγοι (τὸ βάρβαρον γὰρ οὐκ ἀνίει ἁρπάζον καὶ κατακενοῦν)· ὄρνις δέ ποθεν οὐ κατέβαινε. Τούτου δὲ οἶμαι καινότερον ἐκεῖνο ἦν, ὅτι περ, ὑετοῦ καταῤῥαγέντος, καὶ ἐξ ὧν οἱ ἐχθροὶ ἐσκόρπιζον, ἀροῦντες μέν, οὔκουν σπείροντες δὲ τὸ καλὸν ὅλον ἄστυ, ληΐων ὥςπερ ἀναφυέντων συχνῶν, καὶ εἰς μῆκος ἐπιδεδωκότων, οὐδὲν ζῶον ποηφάγον ἐκεῖθεν ἐκέρδανέ τι, ἀλλ' εἶχεν αἵρεσιν, κόνεως ἐρέπτεσθαι, ἤπερ ἐκ τῶν βεβλαστηκότων φαγεῖν· ὡς ἢ πεφαρμαγμένων, οἷς τὸ περιέχον μεμίαντο, ἢ καὶ ὅτι κατὰ τοὺς ᾠκειωμένους, ὡς λόγος, τῷ πάλαι Διομήδει συνεμίσουν τὸ βάρβαρον καὶ αὐτοί, οἷα μὴ ἠθάδες ἐκείνων.

88. Καὶ τοιοῦτον μὲν καὶ τοῦτο, παραῤῥιφὲν οὐ περιττῶς εἰς συγγραφήν. Ἡ δὲ πόλις, εἰςπηδησάντων τῶν ἀντιμάχων, ἔπασχεν, ὅσα φιλεῖ δρᾷν ἄγριος πόλεμος. Καὶ οἱ μὲν ἡμέτεροι, οὐχ ὁ μέν, ὁ δ' οὔ, ἀλλὰ πάντες ἔφευγον ἀμεταστρεπτὶ καθ' ὑπεξαίρεσιν εὐαριθμήτων τινῶν, ὅπερ ἔφαμεν· ἐν οἷς καὶ τις Βολέας τῶν τῆς ἐκκλησιαστικῆς ξυνοικίας, ὃς ἐγγὺς ἐς τριάκοντα τοὺς μὲν ἀξίνῃ διχάσας, τοὺς δὲ καὶ ἄλλως εἰς τὸ ζῆν ἀχρειώσας πολλῇ σπουδῇ τῶν πολεμίων, τὴν μητέρα γῆν ἠσπάσατο. Αἰσχύνη καὶ αὐτὸ τοῦ Δαυΐδ, ὃς μὴ ἄν ποτε φυγεῖν ἀπομνύς, ἀλλ' ἐπὶ τῷ αὐτοῦ ξίφει πεσεῖν, εἶτα προὐτρέπετο σωθῆναι, λύθρῳ ἄχραντος.

89. Καὶ ἦν ἡ καθιστορουμένη φυγὴ οὐκ ἀσύντακτος, ἀλλ' ἐνδόντος ἀρχάς, ὡς προεκτέθειται, τοῦ κορυφαίου στρατηγοῦ· ὅς, εἴπερ ἔδειξε πρόσωπον τοῖς ἐχθροῖς, ὡς ἐνεκελεύοντο οἱ τῶν συμφευγόντων γενναιότεροι, συνούλωσεν ἂν ταχὺ τὸ τραῦμα τῆς πόλεως. Οἱ δὲ τοῦ πολεμίου στίφους ἔκαμνον, καὶ ῥίπτοντες τοὺς φεύγοντας, καὶ σαττόμενοι λάφυρα. Καὶ ἐχρῆν μὲν ἐν τούτοις ἄβλητόν τινα καὶ ἀνούτατον ἐκ μετεώρου ποθὲν τὴν μάχην σκέπτεσθαι, καὶ παρασημαίνεσθαι, τοῦ θεοῦ βελέων ἀπερυκότος ἐρωήν. Ἄνθρωπος γὰρ ἐνδεθεὶς τοιούτῳ κακῷ, καὶ πρὸς ἑαυτῷ ταμάλιστα τὸν νοῦν ἔχων, οὐκ ἂν σχοίη ἀκριβῶς τὸ

πᾶν συγγράψασθαι, πλὴν εἰς ὅσαν τὰ καίρια, ὧν τε ἔμαθε, καὶ οἷς αὐτὸς πολυτρόπως ἐπέστησεν.

90. Ἡμεῖς οὖν τῆς μὲν ἀκροπόλεως ἀπογνόντες διὰ τὴν τοῦ ἐκεῖσε ὕδατος ἐκδημίαν, ἧς ὁδηγὸς ὁ στρατηγὸς γέγονε, καὶ τὴν ἀναγκαίαν ἀποσκευήν, ἣν προεμηθευσάμεθα ἡμῶν τε αὐτῶν χάριν καὶ τῶν περὶ ἡμᾶς διανειμάμενοι, ὡς καὶ προπέφρασται, μερίμνης δὲ θέμενοι ἔξω καὶ τὴν εἰς τὸν ἅγιον τάφον τοῦ μυροβλύτου καταφυγήν, ἔτι δὲ καὶ τὴν εἰς ἑτέρους θείους ναοὺς (οὐ γὰρ δήπουθεν ἐλάνθανεν ἡμᾶς, ὡς πάντων τῶν φευγόντων ἐν τοῖς τοιούτοις ῥυϊσκομένων, πολλοὶ παρασυρήσονται τοῦ ζῆν ὠθισμοῖς, καὶ τοῖς ἐντεῦθεν πνιγμοῖς), καὶ τῷ οἴκῳ παραμείναντες, ὡς περιᾴδεται ζῶντα ἐκθεραπεύειν τὸν ἅγιον, καὶ πολλὰ καὶ μυρία κακὰ καὶ τεθεαμένοι καὶ πεπονθότες, ἐφ' οἷς θαῦμα περίει || σιν ἡμᾶς, ὅποις ἀντέσχομεν, τέλος (Ms. fol. 243. b.) τοῦ πώγωνος, ὅ φασιν, ἑλκυσθέντες, ἀπηγόμεθα διὰ ξιφῶν μυρίων ἀνατεινομένων καὶ φρισσόντων ὡς τὶ καὶ λήϊον, πεπυκνωμένον ἀσταχύεσι· καὶ ὠθούμενοι μὲν καὶ κονδυλιζόμενοι, καὶ ὕβρεις οὐ τὰς ἐν ἔθει μανθάνοντες, μακάριον τὸ πάθος ἐκρίνομεν, εὐχόμενοι ἐν τοιούτοις εἶναι. Ὅτε δὲ καὶ σπάθη καθ' ἡμῶν ἐγαυροῦτο, καὶ παραξιφὶς ἐπλαγίαζεν, ὡς εἰς σπλάγχνα βάψουσα, καὶ δοράτια τὰ μὲν ἔνθεν, τὰ δ' ἐκεῖθεν τῶν πλευρῶν εὐθύνοιτο ἀπειλητικῶς, ἀλλ' ἐνταῦθα εὐχαὶ καὶ μόναι ἀντέπραττον βύθιαι. Προενεγκεῖν γὰρ αὐτὰς πῶς ποτε ἦν;

91. Καὶ ἕως μὲν καὶ τοῦ πολιτικοῦ καθ' ἡμᾶς ἱπποδρόμου τοιαύτη διάθεσις ἡμᾶς εὔθυνεν. Ἐκεῖ δὲ τὸν ἤδη ἀποτεθέντα εἰς μνήμην Σιφάντον εὑρόντες, εὔιππον ἑστηκότα, μετά γε καὶ τοῦ Μαυροζώμη, καὶ σκεπτόμενον, τί ἂν ἕλοι, μεθειλκύσθημεν ὑπ' αὐτοῦ, λόγῳ μὲν τῷ μὴ ἐπὶ πλέον κόπον σχεῖν τὸν ἀρχιεπίσκοπον, ἀληθῶς δέ, ἵνα δευτέρων χειρόνων πειρασώμεθα. Βραχὺ γὰρ ἐκεῖσε τὰ γόνατα κάμψαντες ἔν τινι μικροκαλύβῃ καὶ ξηροῦ ἄρτου ἀποδακόντες, ἵνα ὕδατος ἐμπιώμεθα (ἦν γὰρ ἡ καρδία ἡμῶν καιομένη ἐν ἡμῖν, ὡς καὶ πάντα τὰ ἐντός), εἶτα κατὰ τιμὴν μυαρίου κελευσθέντες ἐπιβῆναι (μὴ γὰρ οὐ τοιοῦτον ἐκεῖνο τὸ ἱππαρίδιον;), πεισθέντες τῷ ἐπιτάξαντι, καὶ ἀνατεθέντες εἰς ἐκεῖνο, ἠγόμεθα, ἔνθα τὸ ναύσταθμον, μετὰ καὶ γωρυτοῦ καὶ φαρέτρας, ἅπερ ἡ σελλὶς ἔτυχε φέρουσα.

92. Ὦ μοι τῶν ἐντεῦθεν κακῶν. Ὡς γὰρ μὴ ἀρκεσάντων τῶν νεκρῶν, δι' ὧν πεζεύων ὥδευσα θερμοῖς ἀτμιζόντων αἵμασι, διὰ σωρείας ἑτέρων ἱππότης περιηγόμην, ὧν οἱ πλείους κατεστρωμένοι πρὸ τοῦ τείχους ἔκειντο οὕτω πεπυκνωμένοι, ὡς τὸ ἱππίδιον ἢ μὴ ἔχειν, ὅποι γῆς θήσει πόδα, ἢ ἀλλὰ μεταξὺ τῶν τε προσθίων ποδῶν δύο ἢ τρεῖς ἔχειν ὑποκειμένους νεκρούς. Τῆς δὲ δυσκολίας τῆς τῶν πυλῶν ἐξόδου ἐν οὕτω μυρίοις Ἀγριολατίνοις, καὶ ὅσα δὲ ἔξω ἕως καὶ εἰς τοὺς λιμένας, ἐγὼ μὲν ἐδάκρυσα, καὶ οἱ βλέποντες Χριστιανοί. Οὐκ ἂν δὲ αὐτὰ ἐκθήσομαι, ἵνα μή, ἐν οἷς ἐπιτέμνειν ἐθέλω, περιττολογῶ.

93. Ταῦτα καὶ μόνον κεφαλαιώσομαι, ὅτι τέσσαρας χρυσίνων χιλιάδας ἐγκρατῶς ἐζητήθημεν, οἱ μηδὲ ψαμμίων ἢ χοὸς δράκα, ἢ τὸ καθομιλούμενον οἶελον ἐπὶ στόματος ἔχοντες ἀκούσαντες, καὶ ὀλίγα ταῦτα εἶναι ἐξ ἀνθρώπου, ὃς ἀρχιεπισκοπὴν περιέπει, κεντηνάρια ἐς ἐκεῖνον (ὢ πλούτου) ἔχους ἑκάστου δωροφοροῦσαν αὐτῷ· καὶ ὅτι ἐν τῇ τοῦ Σιφάντου νηΐ, ὡς ἦν ἐγχωροῦν, ἀναπαυσάμενοι τῇ καραδοκίᾳ τῶν χιλιάδων, ὡς ἡμῖν ἐπέγραψαν οἱ μεγαλοπρεπεῖς πειραταί· αὐτὴ γὰρ ἡμῖν κατάλυμα πρῶτον εὐτυχήθη, αἰχμαλώτων γέμουσα κατὰ τὰς λοιπὰς ἁπάσας· οἳ καὶ γελᾶσθαι ἡμᾶς ὀργῶντες, || αὐτὸ μὲν ποιεῖν οὐκ εἶχον τόλμαν, (Ms. fol. 244. a.) ὡσίουν δὲ τὸ πένθος προσώπου συναγωγῇ πρὸς σκυθρωπότητα, καὶ δυσωπίᾳ ἐκθλιβούσῃ δάκρυα, ὁποίοις καὶ ἡμεῖς, ὁ κατ' ἐκείνους δυστυχὴς φόρτος, αὐτοὺς ἠμειβόμεθα. Οὐδὲ γὰρ οὐδὲ προσφωνῆσαι ἐξῆν.

94. Ἐν τοίνυν τῇ τοιαύτῃ νηΐ τότε καταπαύσαντες, τῇ ἐπαύριον μετὰ τιμῆς ὁμοίας ἀνήχθημεν εἰς τὸν Κομνηνὸν Ἀλέξιον ἔνθα θῆρα εἰκονομάχον, Γελίελμόν τινα, ὃς ἐκ τῆς Νικαέων διέδρα τὸν Ἀνδρόνικον, ὁ τόπος ἡμῖν ἐξέφηνεν, ἄγριον ἐκεῖνον, καὶ οἷον θανατοῦν, καὶ πρωτοῦ ἐμφαγεῖν ὃς οἷά τις Ἐριννὺς τραγῳδικὴ ἔχων κατ' ἐκείνην, καὶ δᾳδας ἐρεβοδιφήσας ἡμᾶς (ἦν γὰρ ἤδη νύξ), καὶ εὑρών, ἔνθα γῆς ἐκοιταζόμεθα, οὐ πρὸς ὕπνον (ἐπτερύξατο γὰρ καὶ αὐτὸς ἐξ ἡμῶν ἐπὶ νύκτας ἤδη πολλάς), ἀλλ' ὅτι μὴ εἴχομεν ἢ καθῆσθαι ἢ ἵστασθαι, οἷα πολυημέροις καταπεπονημένοι κακοῖς, ἀνάθεμα πρὸς βοὴν συχνὰ ἐβαρβάριζε κατά τι κακὸν φροίμιον τῷ μὴ φονεύσαντι ἡμᾶς· παρόντος καὶ ἀγαθοῦ τινος ἀδελφοῦ αὐτῷ, ἐξ οὗ κατὰ τῶν σεπτῶν εἰκόνων τὸν θῆρα ἐμάθομεν μαίνεσθαι. Ὡς δὲ ἡμεῖς ἠρόμεθα, τί τὸ αἴτιον τοῦ φονευτέους ἡμᾶς εἶναι, πρῶτα μὲν θυμωθεὶς αὐτὸς εἰς πλέον, ἐπέκρινεν, ὡς, εἴπερ αὐτὸς τὴν ἀρχὴν ἡμῖν περιέτυχεν, οὐκ ἂν ἄρτι κεφαλὴν εἴχομεν. Εἶτα καὶ αἰτιολογήσας τὸν καθ' ἡμῶν θυμόν, ἐπέραινε τὴν αὐτοῦ σοφίαν εἰς τὸ ἀπίστους ἡμᾶς εἶναι θεῷ, οἷα τῷ Ἀνδρονίκῳ πιστούς· πρὸς ἅπερ ἡμεῖς ὑπουλευσάμενοι, καὶ ποικίλα λαλήσαντες, ἢ λαλαγήσαντες, πρὸς ἄνδρα μαινόμενον (ἠγαπῶμεν γὰρ ἔχειν κεφαλήν), μόλις

ἐξημερώσαμεν τὸν ἀτίθασσον, ὡς καὶ ἀσπάσασθαι ἡμᾶς, καὶ εἰς χεῖρα φιλήσαντα οἴχεσθαι.

95. *Καὶ οὕτως ἡμεῖς τε νύκτα καταθετικὴν εὕρομεν, τῶν ἐκείνου θῴδων καὶ λάλων ἀπαλλαγέντες χειλέων, καὶ οἱ συγκατεστρωμένοι αἰχμάλωτοι ἐς Κομνηνοῦ, καὶ διαγαγόντες ἐκεῖ μετὰ τῶν συναιχμαλώτων ἡμέρας ὀλίγας, καί τι καὶ ἐλεηθέντες εἰς τροφήν, καὶ δὲ ὑπό τινος τῶν ἐκείνου καὶ εἰς χάλκεα κέρματα, ὧν ἡ δόσις ἡμῖν τηνικαῦτα εἰς θησαυροὺς ἐνεγράφη Κροίσου (καὶ ἐλεήσαι ὁ θεὸς ἐκεῖνον τὸν ἄνθρωπον), εἶτα καὶ εἰς τοὺς κόντους, εἰπεῖν δὲ συνηθέστερον, κόμητας (μισῶ γὰρ τὸ ἀκράτως βάρβαρον) ἐκομίσθημεν.*

96. *Ἔτι κεφαλαιώσομαι, καὶ ὅτι ἀεθλεύσαντες μακρὰ καὶ ἐκεῖ, μόλις μετὰ καὶ ἑτέρας ἡμέρας μετρίας τῷ τοῦ ἁγίου οἴκῳ ἀποκατέστημεν· καὶ ὅτι εὑρόντες ἐκεῖ φῦλα Λατινικά, καὶ ἑτεροίων δὲ ἀνθρώπων γέμοντα ἰδόντες, τά τε ἄνω τά τε κάτω ἐξ ἀνάγκης ἐγενόμεθα τοῦ κατὰ τὸν οἶκον κηπιδίου· καὶ ἐπιδόντες ἑαυτοὺς πεσσουλίῳ τοῦ ἐκεῖσε βραχυτάτου λοετροῦ, ἐκείμεθα, χόρτον ἄμικτον ὑποβεβλημένοι· καὶ ὅτι ὀκτὼ μετρήσαντες ἡμέρας, ἐν αἷς ἄρτον ἀκραιφνῆ οὐδὲ εἴδομεν, ἀλλὰ τοῖς ἐκ πιτύρων ἐγκρυφίαις ἐχρεωκοποῦμεν τὸ τῆς γαστρὸς λίχνον· καὶ οἴνου δὲ || [Ms. fol. 244. b.] μηδὲ μύρισμα εὐτυχήσαντες μετ᾽ αὐτάς, καὶ οἴνου ψευδωνύμου ἠρέμα καὶ ὡς ἀληθῶς κατὰ στράγγα μετέσχομεν, καὶ ἄρτου δὲ ζυμίτου, καὶ ἄλλων δέ τινων· καὶ ὅτι οὐδὲ τὸ κηπίον εἶχε λιμὴν ἡμῖν γενέσθαι τοῦ Λατινικοῦ κλύδωνος. Καὶ εἰ μὲν δένδροις ἠχρειοῦτο, καὶ μάλιστα συκαῖς, ὧν καὶ ἄωρος ὁ καρπὸς παρῃτομεῖτο τοῖς ὠμησταῖς εἰς ἔμβρωμα, ἔτι δὲ καὶ πρυσιαῖς, ἃ δὴ φίλτατα ἡμῖν ἔφυσαν, ἄλλη τοῦτο λύπη τοῖς γε φιλοτοιούτοις. Ὅτε δὲ καὶ τὴν ὑποποδιαίαν ἡμῖν ἠχρείουν τρίπεζαν, ἀλλ᾽ ἐκεῖνο οὐκ ἔχω φράσαι, ὅπως ἂν φέροι τις ἀπαθῶς. Ἐκαθήμεθα μὲν γὰρ ὁμιλαδὸν οἱ πτωχοὶ σύσσιτοι, τοὺς πιτυρίας προβεβλημένοι πρὸς τροφήν. Οἱ δὲ ἀπαίδευτοι ἀφέντες κείρειν τὰ ἐκ τῆς γῆς, οἷς ἔχαιρον ἐμφιλοχωροῦντες ἀεὶ τῷ κήπῳ, ἐσκευάζοντο καθ᾽ ἡμῶν· καὶ ἐγγίσαντες, εἶτα στραφέντες, καὶ τὰ περὶ τὴν ἕδραν γυμνώσαντες, καὶ εἰς ἔκκρισιν ὑφιζήσαντες, κατεστοχάζοντο ἐξ ἐναντίας ἡμῶν ἀποκοττοῦν τὰ περιττὰ τῆς γαστρός, ῥυϊσκόμενα καθ᾽ ὕδωρ διὰ τὰς ὀχετηγοὺς σταφυλάς. Καὶ ἐποίουν οὕτω. Καὶ οἱ μὲν μεθ᾽ ἡμῶν βδελυττόμενοι, ὡς ἔδει, τὸ μυσαρόν, διεῤῥήγνυντο θυμῷ, καὶ κατηκονῶντο ἀτίμως ἀπαγαγεῖν τοὺς — εἰ χρὴ Ἑλληνικῶς προσρηθῆναι — Ὀζόλας. Ἡμεῖς δὲ ἐπείχομεν τοῦ ἔργου, κρίνοντες, ὡς οἱ ἁμαρτιῶν βορβόροις ἐγκαλινδούμενοι καὶ τοιούτων ἀποβαίνουσιν ὀδμῶν ἄξιοι.*

97. *Προσθήσω ταῖς κεφαλαιώσεσι ταύταις καί, ὡς ἡ ξηρὰ κοίτη, ἐπὶ πλέον παραμείνασα, ὀψέ ποτε ὑπὸ θεοφιλῶν ἐξεθεραπεύθη ἀνδρῶν, ὥσπερ καὶ ἡ γυμνιτεία, ὧν οὐχ ἡμεῖς δαψιλῶς εἴχομεν μόνοι, ἀλλὰ καὶ πάντες οἱ μεθ᾽ ἡμῶν· καὶ ὅτι καὶ ἀπὸ τῶν ἐχθρῶν παρηγάγομέν τι κέρδους, αἱμύλα κωτίλαντες καὶ βαθέα· ὧν οὐκ ἂν ὤκνησέ τις μεμνῆσθαι διὰ τὸ ὑπογλάφυρον, εἴπερ ἦν καιρός, ἐνταῦθα περιηγηθῆναι καὶ αὐτά. Καὶ ἀφαίρεμα μέν τι τῶν ἐξ ἡμῶν (ἡμίονον θετέον εἰπεῖν, ἢ βίβλον μίαν γοῦν, ἢ στρῶμα, ἢ ἄλλο τι τῶν ἡμετέρων) ἐκσπάσαι τοῦ κατ᾽ αὐτοὺς χάους οὐκ ἔσχομεν. Χρυσίνους δὲ πεντήκοντα ἐπορισάμεθα, οὐ πάνυ φορμίσαντες ἀθώρηκα· ὅθεν ἡμῖν ἡσυχαία τις ἀνάστασις τοῦ κατὰ παντελῆ πτωχείαν γέγονε πτώματος τοῦ μυροβλύτου, καὶ ἀλλοίαν ἐπίδῤῥοιαν παντοίαν πλημμύροντος, καθὰ καὶ ἐξ ὠκεανοῦ τινος· ἀφ᾽ οὗ καὶ ἡμεῖς ἐζήσαμεν, καὶ τὸ τῆς πόλεως δὲ ἅπαν περιλειπόμενον. Οὐκ ἂν γάρ τις ματαιωθείη, καὶ εἰς Ἰουδαϊκὴν ἐκκυλισθείη ἀχαριστίαν, ὡς τολμῆσαι προσενεγκεῖν τῶν χειλέων, ἀκερδὴς ἐκ τοῦ μυροβλύτου ἀπεκβαίνειν τά τε εἰς τροφήν, καὶ λοιπὰ δέ τινα.*

98. *Καὶ ταῦτα μὲν ἡμῖν παρεκβεβάσθω συμμέτρως, καὶ οὐδὲ πάνυ ἔξω τοῦ δέοντος. Οἱ δὲ βάρβαροι πληρώσαντες τὴν πόλιν ὅλην, ἐξ αὐτῶν τῶν ἑῴων πυλῶν ἀρξάμενοι, ἐθέριζον τοὺς καθ᾽ ἡμᾶς· καὶ συχνὰ ταῦτα δράγματα ῥίπτοντες, σωροὺς ἐστοίβαζον, ἐξ ὧν Ἅιδης φιλεῖ σιτούμενος. Καὶ οἱ μὲν ἐπὶ τῶν ἀμφόδων φεύγοντες ἔπιπτον περὶ αὐτάς, καὶ ἅμα ἐγυμνοῦντο σκυλευόμενοι· καὶ οὕτως αἱ ἀγυιαὶ εἰς οἰκτρὰ ἐσχεδιάζοντο || [Ms. fol. 245. a.] πολυάνδρια, ἡλίου ἐφορῶντος, ἃ μὴ ἔπρεπεν. Οἱ δὲ ἐν ταῖς οἰκίαις παρέμενον αὐταῖς εἰς ἀδιεξόδευτον· καὶ οὐκ ἦν εὑρέσθαι οἰκίαν, ἣν οἰκῶν ἄνθρωπος ἠλεήθη, πλὴν εἰ μὴ ἄρα πλῆθος εἶχεν ὁ οἶκος. Ἐκείνου γὰρ οἱ μέν τινες ἔπιπτον ἔσω, οἷς καὶ ἦσαν αἱ οἰκίαι αὐτῶν τάφοι αὐτῶν, παραθεῖναι τὸ ψαλλόμενον· οἱ δὲ διεκχυθέντες εἰς φυγήν, τῇ τοῦ πολέμου τύχῃ ἐπεδίδοντο. Καὶ τέως μὲν ἁπλοῖ ἔκειντο οἱ ῥιπτόμενοι· μικρὸν δὲ ὅσον τῶν πολεμίων ῥαισάντων τῆς ἄγαν ἐντρεχείας, καὶ ὑποπαιζόντων πικρότερον, κατὰ γαίας, ὃ δὴ λέγεται, κωφῆς καὶ ἑτεροῖα νεκριμαῖα ἐπέκειντο. Καὶ ὁ μέν τις νεκρὸς ἄνθρωπος ὄνῳ κειμένῳ συνεδυάζετο· ἕτερος δὲ κύνα εἶχε συμπαρακείμενον. Καὶ τούτων τὰ πλείω καταπεπαιγμένα ἦσαν, ὡς εἰς διάθεσιν συμπλοκῆς καὶ φιλήματος. Ἄλλος ὁμοῦ ἦν αἰλούρῳ κατοικιδίῳ. Οὐδὲ τοιούτων γὰρ τὸ βάρβαρον ἐφείδοντο, καὶ μάλιστα κυναρίων, ὡς καθυλακτούντων καὶ ἐπιτρεχόντων· διὸ καὶ αὐτῶν*

ἡ καθ' ἡμᾶς πόλις ἐσπάνισεν. Εἴ τι δέ που καὶ περιλέλειπτο, ἀνδρὸς μὲν Ῥωμαίου κατεβάϋσεν ἂν καὶ κατέδραμε· Λατίνῳ δὲ ὑπεξεχώρει κνυζώμενον. Κατέγνω γὰρ καὶ τὰ τοιαῦτα, οἷ κακοῦ ἦσαν. Καὶ εἶχε παροιμιάσασθαί τις τότε κατὰ τοὺς ἐν Σερίφῳ σιγῶντας βατράχους καί τινας τοιούτους Ἰταλοὺς τέττιγας, οὕτω καὶ κύνας ἀφώνους τοὺς παρ' ἡμῖν.

99. Καὶ ἀμφόδους μὲν κατατρέχεσθαι καὶ οἰκίας, οὐκ εὖ πάσχειν οὐκ ἂν εἰς μάχης καινοπράγημα θείη τις· θείους δὲ ναοὺς τυραννεῖσθαι, ἀλλὰ τοῦτο θεομαχίᾳ κρίνοιτ' ἂν ἀγχίθυρον. Εἰστρέχοντες γὰρ καὶ εἰς αὐτοὺς ἑκάστους οἱ βάρβαροι, ἐποίουν πάνδεινα, καὶ οἷα θεὸν ἐρεθίζειν εἰς ἄμυναν. Καὶ ὅσους μὲν ἱεροὺς ἄνδρας, τεθωρακισμένους οἷον ταῖς ἁγιωσύναις τῶν στολῶν, κατέκοπτον τοὺς πλείους εἰς θάνατον, τοὺς μὲν ἐπ' αὐτοῦ τοῦ ἐνθέου βήματος, τοὺς δὲ καὶ ἐκτός, ὅποι τύχῃ εὕροιεν οἱ φονευταὶ ἐνστάτας παρὰ θεῷ· καὶ ὅσον δὲ λαϊκόν, οἳ τοῦ στόματος πλήρους ὄντος τοῦ Κύριε, ἐλέησον ἀπηράσσαντο τὰς κεφαλάς, ἐπανακρινόμενοι, τί τὸ Κύριε, ἐλέησον, καὶ γελώμενοι· αἱ δὲ κατὰ λαγνείαν χρανθεῖσαι σεμναὶ γυναῖκες ἐν τοῖς ἱεροῖς, καὶ εἰς ἁγνείαν ἐπηρεασθεῖσαι, ἰδού εἰσι, καὶ πρεσβευέτωσαν κατὰ τῶν αἰτίων, αἱ ὑπὸ γάμου ζυγόν, αἱ διὰ παρθενίαν ἄνετοι, αἱ νύμφαι τοῦ θεοῦ. Καὶ μιᾷ μὲν ἕνα τινὰ συγχρωσθῆναι, εἴη ἂν μεῖόν τι κακόν. Αἱ δ' ἐν τοιούτοις κοιναί, καθά τις ἂν εἴποι, ἀμίδες, οὐκ ἂν εὕροιεν κλαυθμὸν ἐπάξιον.

100. Ἔχω καλόν τι ἐνταῦθα τῶν βαρβάρων εἰπεῖν, ὅτι φονεύειν τοὺς ἐν τοῖς ἱεροῖς ἐπιβαλόμενοί τινες, ἀπέσυρον αὐτοὺς ἔξω γοῦν, καὶ οὕτω καθῄρουν, τῷ ζῆν μετριάζοντες τὸ κακόν.

101. Οἱ δὲ τοῖς θείοις ἐνυβρίζοντες, καὶ τὰ μὲν τῶν σεβασμίων τυπωμάτων κατασχίζοντες, ὅσα μηδέν τι γλαφυρὸν ἐκ τιμίας ὕλης εἶχον, τὰ δὲ ψιλοῦντες τοῦ κατ' αὐτὰ κόσμου μετὰ πληγῶν, οὔτε ταῦτα δρᾷν διεγνωσμένοι, ἐχώρουν εἰς εὔφημον ἡμετέραν μνήμην· καὶ νῦν δὲ εἰς νοῦν ἐλθόντες || ἡμῖν ἀποπτύονται. (Ms. fol. 245. b.) Καὶ πῶς γὰρ ἄν τις γυμνοῦσθαι ἀνθρώπους ἐπ' ἐκκλησίας μαθὼν καὶ ἀχθόμενος, ἀνάσχοιτ' ἄν, μὴ οὐ χόλῳ διαῤῥαγῆναι, γύμνωσιν κειμηλίων θείων ἐγνωκώς; Ὦ θεοῦ ἀνεξικακίας, εἰ βάρβαρον ἄνδρα κατὰ τῆς ἱερᾶς καὶ φρικτῆς τραπέζης ἀναπηδήσαντα, καὶ ἐκκαλύψαντα τὴν αἰδῶ, καὶ ἐνουροῦντα εἰς ἀκοντισμόν, ἀφῆκε ζῆν, ἀνεχόμενος. Ὦ σταυροὶ τίμιοι, τὸ ἡμέτερον κράτος, ὅσοις καὶ ὑμῶν οἱ μιαροὶ ἐνέπαιξαν· καὶ ἡ θεία δύναμις ἀτρεμοῦσα οὐκ ἔσθ' ὅπως οὐκ ἐξεγερθήσεται.

102. Τί ἄν τις ἐνταῦθα ἐκθείη καὶ ταύτην μιαρίαν, ὡς τοῖς μὲν ἐξ ὑέλου ἐκκλησιαστικοῖς λαμπτῆρσιν ἐνεθόρουν οἱ ἀσύντακτοι, ὅσα καὶ οὐρήναις, εἴποι ἂν ἡ τραγῳδία· τοῖς δὲ τῶν οὔρων δοχείοις οἷα καὶ ποτηρίοις ἐκέχρηντο; Οἵ γε καὶ κατὰ φρεάτων ἀφιέντες προῤῥέειν τὸν τοῦ κατ' αὐτοὺς ἀσκοῦ προὔχοντα πόδα, εἶτα ὑδρευόμενοι, ἔπινον τοῦ μιασμοῦ, καὶ τοῦτο πάλιν καὶ πάλιν, καὶ εἰσαεὶ κύκλον τοῦτον ἐλίττοντες ἀσελγῆ.

103. Ἀλλὰ τοῦτο μὲν εἴη ἂν καὶ γελοῖον παραῤῥιφὲν εἱρμῷ τινι καὶ αὐτό. Ἃ δὲ ἀνόπιν συγγεγράφαται, ἀλλ' ἐκεῖνα μυρία προκαλοῦνται δάκρυα· ὁποῖον καὶ τὸ τοῦ μυροβλύτου, οὗ τῷ τάφῳ ἐμπεπαικότες μετὰ πελέκεων οἱ τοιούτων εἰς ποινὴν ἄξιοι, τόν τε πέριξ ἐπιπολάζοντα κόσμον ἐξ ἀργύρου κατέκοψαν, καὶ τὸν ὑπὲρ κεφαλῆς δὲ περιείλοντο χρύσεον στέφανον, καὶ μὴν καὶ τὸν ἕτερον ἀπήγαγον τοῖν ποδοῖν· ἵνα τάχα τὸ ποδῶκες τῆς ἐξ ἐκείνου δίκης ἐκκλίναιεν. Κἂν ἐξέπραξαν ἐς τὸ πᾶν, εἰ μὴ τὸ θεῖον ἀντέβη, καὶ ταχὺ ὁδηγῆσαν τοὺς κρείττονας ἔν γε τοῖς βαρβάροις, εἰς κωλύμην κατεπείγασε τοῦ κακοῦ. Εὐνοῦχος γὰρ τοῦ ῥηγός, ἀμιρᾶς τὴν ἀξίαν, πράττειν ὀξὺς καὶ θερμός, οἷος φόβον βαθὺν καταπέμπειν, οἷς ἂν ἄγριος προσενεχθείη, ἔφιππος εἰσελάσας, ὡς οὐκ ἄν τις ἐλπίσοι, ἕως εἰς βαθὺ τοῦ θείου ναοῦ, ὡς μὲν οἱ πολλοὶ ἐνόμισαν, διὰ περιφρόνησιν καὶ αὐτὸς κατ' ἐκεῖνον (ὃς ἐν τῇ τῆς μητροπόλεως καθολικῇ καθιππεύσας, τόν τε ἵππον ἀπέβαλε συγκατενεχθεὶς θραυσθέντα, καὶ αὐτὸς οὐκ εὖ ἀπήλλαξεν, ἀληθῶς δὲ κατὰ προμήθειαν· ἵνα καὶ ῥᾷον οὕτω διὰ τῆς πυκνότητος τοῦ λαοῦ παρεισδύοιτο φευγόντων ἑκάστων, συμπατηθῆναι τῷ ἵππῳ, καὶ ἄποπτος δὲ ὢν βλέποι τότε καὶ ἀντιβλέποι τοὺς κακουργοῦντας, καὶ οὕτως αὐτοὺς ἀμύνοιτο) — εἰσδραμὼν γοῦν ὁ εὐνοῦχος οὕτω μετ' εὐγενοῦς ἵππου, καὶ τὴν μετὰ χεῖρα σιδηρέαν κορύνην κατάγων, συνεπιλαμβανομένων ἅμα καὶ τῶν ἐφεπομένων θεραπόντων, οἳ καὶ αὐτοὶ σφοδροὶ δρᾷν ἦσαν, φόνους τε πολλοὺς ἐκώλυσε καὶ γυμνώσεις ἀνδρῶν τε καὶ γυναικῶν· ἃ δὴ ἑτέρωθι κωλυθῆναι οὐκ ἔσχε· καὶ τοὺς ἐπιβούλους δὲ τοῦ ἁγίου τάφου ἀπήγαγεν, ὡς οὐκ ἂν ἐκεῖνοι ἤθελον, κερδήσαντας μόνα (μυρία δὲ ἦσαν ἐκεῖνα), ὅσα πρὸ αὐτοῦ κατέσπασαν φθάσαντες. Καὶ φόνους || μὲν τοὺς ἐκεῖ κατέσχεν ὁ (Ms. fol. 246. a.) ἄρχων. Τοῦ δὲ πνιγμοῦ τῶν φυγόντων ἐν τῷ ναῷ οὐκ ἦν ἐπίσχεσις· ἀλλ' ὥσπερ ἐν ταῖς ἄλλαις καθολικαῖς, οὕτω καὶ ταύτῃ οὐκ ὀλίγῃ μοίρᾳ τοὺς ζῶντας ὁ πνιγμὸς ἐδικαίωσεν, ὧν ὁ ἀριθμὸς ἐρίζοι ἂν πρὸς τοὺς ἐπ' ἀκροπόλεως πεπνιγότας, ὡς ἡ ἀρχὴ τοῦ λόγου συνέγραψε.

104. Τί δὲ λέγοιμι τοὺς τῶν τεγέων οἴκων ἄνωθεν καθαλλομένους ἐπὶ μελέτῃ θανάτου, ὅτε τὸ μέγα κακὸν καὶ αὐτοὺς περιεστοίχιζεν; Οἳ πτερύξασθαι εἰς αἰθέρα μὴ ἔχοντες, οὗπερ ἐφίεντο ἄν, τὸ τῶν βαρέων ἔπασχον, καὶ ἐλάκουν εἰς θάνατον, ἐκ μετεώρου κατασκήπτοντες. Τί δὲ τοὺς κατὰ φρεάτων ὡςεὶ καί τινος κωκυτοῦ καὶ ἀχεροντίου ὕδατος βυθιζομένους ἄνδρας τε καὶ γυναῖκας; τοὺς μὲν φόβῳ τοῦ μὴ ἄνω πεσεῖν θανάτῳ, τὰς δὲ καὶ κατὰ σεμνότητα. Καινὸν δὲ οὐδὲν οὐδὲ ἡ τοιαύτη ἔμπτωσίς τε καὶ κατάπτωσις παρ' ἀνθρώποις, οἳ μὴ μόνον πέτρας εὔχοντο ἂν ῥαγῆναι εἰς ὑποδοχὴν αὐτοῖς, καὶ βουνοὺς εἰς κρύψιν κατακυλισθῆναι, καὶ οὐρανὸν δὲ αὐτὸν ἐπικαταπεσεῖν· ἀλλά που καὶ χάος καὶ τάρταρον ἐφαντάζοντο εἰς κατάδυσιν καὶ βίου κατάλυσιν. Τὸ γὰρ καθ' ἱστορίαν βάραθρον, καὶ οἱ κρημνοί, μικρὰ καὶ αὐτὰ ἦσαν τοῖς ἀφαντωθῆναι θέλουσιν.

105. Ὤ μοι καὶ τῶν λίθων, οἵπερ ἐπαφιέμενοι τοῖς τοιούτοις πρὸς τῶν βαρβάρων, ἀνανεύειν οὐκ ἀφίεσαν, ἀλλ' ἐπιπωμάζοντες κατεχώννυον τοὺς ἐλεεινούς. Οὐαὶ τότε καὶ ὅσαι κατὰ γαστέρων εἶχον, ὡς ἐν τῷ φεύγειν βαρύνων ὁ κατὰ φύσιν φίλιος φόρτος, ἐξ ὀλιγηπελίης κατέῤῥιπτε συμποδίζων εἰς Ἅιδην, φθανούσας τὸν διὰ ξιφῶν ὄλεθρον. Οἰκτρὸν δὲ τούτων οὐκ ἔλαττον καὶ μητέρες, αἷς φευγούσαις καὶ ἁπαλοὶ παῖδες συνέτρεχον, καὶ τέως μὲν ὁμοῦ ἦσαν· ἐπισπέρχοντος δὲ τοῦ κακοῦ, ἐνίκων τὸν δρόμον αἱ μητέρες, δυστυχῶς γε τοῦτο καὶ μάλα. Ἐπιστραφεῖσαι γάρ, ἢ οὐκέτ' ἔβλεπον τοὺς ποθουμένους, ἀνθαμίλλους Ἡρώδου δή τινι ψήφῳ περιπεπτωκότας· ἢ ἔπιπτον καὶ αὐταὶ πρὸς τῶν ἐπικαταλαβόντων, μισούμεναι, ὅτι μὴ ἐκείνων πρὸς ἔρωτα ἐπεστρέφοντο, ἀλλ' ἔκλαιον τὸν ὕστατον δολιχόν, ὃν οἱ παῖδες ἐστείλαντο. Ἔφευγον καὶ πατέρες, νεογνὰ μητέρων ὀρφανὰ ὀπίσω ἀφιέντες. Καὶ αὐτὰ μὲν ὡς ἐπὶ σωτηρίᾳ ἐγοῶντο· οἱ δὲ μὴ ἐπιστρεφόμενοι ἔθεον, καὶ ἡ φύσις ἐβόα κενά. Εἰ δὲ καὶ ἐξέδραμον ἐκεῖνα συμφεύγειν, αὐτὰ μὲν ἐποίουν τὸ δυνατόν· ὁ δὲ γενέτωρ ἦν ὁ αὐτός, τοὺς πόδας τοῦ κατὰ θάνατον φόβου τὴν φυσικὴν ἐκνικῶντος στοργήν. Καὶ εἴπερ ὁ τεκνωσάμενος περιποιήσεται ζωήν, ἀλλ' αὐτὰ συμπατούμενα, καὶ πρὸς βίαν σκαρίζοντα, ἐξώλλυντο εἰς ἐπιθήκην τῶν κατ' ἄνδρας νεκρῶν. Οὕτω καὶ θρέμμα τραχὺ λύκων ἐπιτρεχόντων ἀφίησι τὰ οἰκεῖα νεογιλά, καὶ φεύγει· καὶ ὁ λύκος οὐκ οἶδεν οὐδενὸς φείδεσθαι.

Ms. fol. 246. b.

106. Κλαίω δ' ἐνταῦθα ἐγώ, ἀναπολήσας||εἰς νοῦν, ὡς καὶ ἡμεῖς ἅπαντες οὕτως ἐφεύγομεν, οἷα σφαγῆς πρόβατα, οὔτε ποιμένος προμαχοῦντος, οὔτε μὴν μισθωτοῦ. Καὶ μακάριον, εἴπερ ἐφεύγομεν διὰ τέλους. Νῦν δὲ ἀλλὰ μικροῦ δέον οἱ πλείους τοῖς τῶν λύκων περιεπίπτομεν στόμασι. Μυρία δὴ ταῦτα πώματα, καὶ οἷα πόλιν ἀποκενοῦν εὐφοροῦσαν ἣν ὅτε οἰκητόρων ἀγαθῶν. Καὶ μετροῖντο ἂν οἱ οὕτω πολυτρόπως πεσόντες ὑπὲρ χιλιάδας ἑπτά, ὡς οἱ περιελθόντες ἐστοχάσαντο πρὸς δυνατὴν ἀκρίβειαν, σύν γε τοῖς ἐκ Βουλγάρων πεζοῖς, καὶ ὅσοι τοῦ στρατιωτικοῦ συνέπεσον. Οἱ δὲ βάρβαροι περιεργασάμενοι ἄλλως, εἰς πέντε χιλιάδας ἠρίθμησαν τὸ κακόν, μήτε τοὺς πεπνιγμένους συγκεφαλαιωσάμενοι τούτοις, μήτε δηλαδὴ τοὺς ἐπ' οἴκων πεσόντας, ἀλλὰ μόνους ἀριθμῷ δεδωκότες, ὅσους αὐτοῖς ἐκθέτους κειμένους ἥλιος ἔφηνεν.

107. Ἐνταῦθα δάκοι ἂν καρδίαν ἀνδρὸς φιλοίκτου, καὶ ὅτι τοὺς κειμένους ἔν τε ταῖς ἀμφόδοις καὶ ἐν τῇ ἀκροπόλει ἀλόγοις ζώοις ἀναμιγνύντες, κατέκαιον οἱ ἐχθροί, τὸ μισάνθρωπον, ὀψὲ καὶ τοῦτο δράσαντες. Τὰ πρῶτα γὰρ ὑφ' ἡμῶν παρακαλούμενοι, καταχῶσαι τοὺς νεκρούς, μὴ καὶ θέα δυςπρόσωπος ἔκκειται, καὶ ἀποφορὰς δὲ νοσερὰς ἀπμίσωσιν, ἐθάδες τοιούτων αὐτοὶ ἔφασαν εἶναι, καὶ χαίρειν τοιαύταις θέαις τε καὶ ὀδμαῖς.

108. Οἱ μὴν δὴ πολλοὶ φόνοι, καὶ αἱ σφοδραὶ ἁρπαγαί, καὶ τὰ πλείω κακὰ δοκοῖεν ἂν λῆξαι μετὰ μεσημβρίαν τῆς ἡμέρας, καθ' ἣν ἡ ἅλωσις, ἐξ ἐπιτάγματος τῶν κομήτων. Ἦν δὲ σάββατον, οὐ φυγὴν ἔχον, ἣν εὐαγγελικῶς ἀπεύξαιτ' ἄν τις, ἀλλὰ τηλικαύτης πόλεως ὄλεθρον. Τὰ δ' ἐντεῦθεν οὐκ ἂν μέν τις φράσαι, ὡς μηδέν τι ἐλλεῖψαι. Ὅσα δὲ ἔστιν ἐπιλέξασθαι, αὐχήσωμεν ἄν, καὶ αὐτοὶ ἱκανοὶ ἔσεσθαι ἀπογράψασθαι. Πάντες οἱ ἔξω ἱππόται, καὶ οἱ ναύαρχοι δέ, ἀκολούθως δὲ καὶ οἱ ἀμφ' αὐτούς, ἀνακαθήραντες ἤδη τὰ σφίσι φοβερά, καὶ μισήσαντες εἰς πλέον αἰθριοκοιτεῖν, ἔπλησαν ἀδεῶς τὰς οἰκήσεις τῆς πόλεως· τὰς μὲν μείζους κατὰ κεφαλάς, καὶ ὅσοι περὶ αὐτάς· τὰς δὲ ἐλάττους κατά τινας ἴλας ἑτέρας, ὅσαις ἦν σύμμετρον τὸ κατάλυμα. Καὶ τὸ ἐντεῦθεν αὐτοὶ μὲν ἦσαν οἴκων εἴσω· τὸ δὲ πολιτικὸν ἅπαν σύστημα ἐπλάζετο, ἐν οἷς καὶ ἡμεῖς. Καὶ τὸ μὲν βάρβαρον ἐνέμετο τὰς ἐπ' οἴκων ἐνθέσεις· οἱ δὲ οἰκοδεσπόται ἀπελήλαντο, καὶ περιενόστουν ὧδε κἀκεῖ, πεινῶντες, διψῶντες, ῥιγοῦντες, ὅτι καὶ γυμνοί. Καὶ εἴθε μὲν γυμνοί, ὡς ἄν που καὶ ἐλεοῖντο ἐκ τῶν γυμνωσάντων· νῦν δὲ σοφιζόμενοι τὴν ἔνδυσιν, διὰ τὸ ἄλλως κα||τ' ὄψιν αἰσχρόν, Ms. fol. 247. a. οὐκ εἶχον ἔλεον, οἷα τῆς ἀνάγκης ἑκάστῳ, εἰ καὶ ἄναλλον, ἀλλ' οὖν τινὰ στολὴν ἀφοσιούσης· ὁποίαν ἰδὼν ὁ μὲν ἔξω πένθους, γελάσοι ἂν διὰ τὸ σκηνικώτερον· ὁ δὲ συγγεγευμένος τοῦ πάθους οὐκ ἂν ὀκνήσοι, μὴ ἐκθανεῖν λυπούμενος. Ἐκρύπησέ τις ψίαθον, καὶ

περιβαλόμενος, ἔκρυπτε μόγις τὴν προσθίαν αἰσχύνην. Καὶ ἠγάπα οὕτω καλυψάμενος, εὐδαίμων αὐτὸς τῇ πρὸς ἑτέρους παραβολῇ, ὅσοι τὸ κατὰ χεῖρα θέναρ καὶ τὰ δάκτυλα καθά τι παραπέτασμα προθέμενοι, καὶ κρύπτοντες, ὅπερ ἐχρῆν, ἠγκοῦντο, μὴ ἔχοντες, ὅ τι πλέον δράσουσι. Καὶ ἦν μὲν καὶ αὐτὸ οὐ θέας ἄξιον. Εἰ δὲ καὶ γυναῖκες τοῦ πάθους ἐκοινώνουν τοῦδε, τί δὴ ἔλαμπεν ἥλιος, ὡς καὶ τοιαῦτα καθορᾶν;

109. Ἀλλ' αὐτὸς μὲν εἶχεν ἄλλως ἐνδείκνυσθαί τι καλόν, ἐντρέπων τοὺς αὐταῖς ἐνυβρίζοντας. Ὁ δὲ ἐπιὼν ἕσπερος πάνδεινα ἐποίει, σκότον προβαλλόμενος εἰς ἀποκρυφὴν καὶ ἀναίδειαν. Ἡ μὲν γὰρ ἡμέρα εἶχέ τι σῶφρον δέει τῶν ὑπερεχόντων· ἡ δὲ νὺξ ἐπαῤῥησίαζε τὰ μὴ ὅσια. Ἦν τις πότε, καὶ ὃς ῥάκος εὑρηκὼς παρεῤῥιμμένον που ἀποκαθημένης τυχὸν ἢ καὶ ἀλλοῖον, ὁποίοις πολλοῖς οἱ λεωφόροι κατέστρωνται, καὶ συχνὰ τοιαῦτα συγκεκροτηκὼς εἰς ῥαφήν, ὡς εἶχε, καὶ λεντίου τρόπον συσκευασάμενος, ἄκων ἤθελε τὴν ἀσυνήθη περιστολήν. Ἄλλοι συνθέματα ἐρεᾶ μαθόντα ἐξευρίσκοντες, καὶ ἐναπτόμενοι, κοιλίαν μὲν καὶ ῥάχιν καὶ τὰ κατωτέρω ἔσκεπον σχοίνῳ σαθρᾷ καὶ ῥυπαρᾷ, τῇ ἐκ φιλύρας, ἢ τοιοῦδε τινὸς περιζωσάμενοι, τὰ δὲ λοιπὰ ἐν χρῷ κατ' αὐτὴν σάρκα τῷ ἀέρι γινόμενοι. Ἱματισμένον δέ τινα ἰδεῖν τὸ ὅλον, ὅμοιον ἦν ὡς εἰ καὶ ῥῆγμα εἶδεν, ἢ ἄλλον ἄνθρα λαμπρότητος. Πόρναις μόναις ἐνέλαμπε κάλλος ἱματισμοῦ, αἳ τοῖς ἱεροῖς πεπλώμασιν ἠγλαΐζοντο, εὐπάρυφοι τοῖς μιαροῖς ἐρασταῖς παραμαρτοῦσαι, καὶ βλεπόντων ἡμῶν παῤῥησιαζόμεναι τὴν ἁμαρτίαν, καὶ συγκαταχορεύουσαι ὢ κἀνταῦθα θείας ἀνοχῆς. Αἱ δὲ κεφαλαὶ τοῖς μὲν πλείοσιν ἦσαν ἀκατακάλυπτοι, τῶν Λατίνων οὕτω σκευωρησάντων, ὡς ἂν ἔχοιμεν τὸ ὁμόστολον.

110. Καὶ τοῦτο μὲν οἱ δυνάμενοι ἔπασχον. Ὅσοις δὲ τὰ τῆς κεφαλῆς οὐκ εἶχεν ἀπαθῶς, ἀλλ' ἔδει κατακεκαλύφθαι αὐτὰς διὰ τὸ ἄῤῥωστον, ἀλλ' αὐτοὺς βλέπων τις παντοῖος ἂν τὴν λύπην γένοιτο, τῇ ποικιλίᾳ τῶν βλεπομένων συμπεριαγόμενος. Πῖλον μὲν γὰρ ἀσκητὸν περιτεθεῖσθαι, οἱ εὐτυχέστατοι κατεπλούτουν. Τῶν δ' ἄλλων οἱ πλείους ψιάθων πλέγματα ἢ σχοίνων ἢ καλάμης ἐσχεδίαζον εἰς τοιαύτην σκέπην, τὰ πολλὰ καὶ διατετρημένα τὴν κορυφὴν κατὰ καπνοδόκην. Τὰ μὲν ἐβρῶτο καταβοσκησαμένου, τὰ δὲ καὶ κατὰ βαρβαρικὸν ἄθυρμα, οὐκ ὀλίγα δὲ καὶ πρὸς τέχνην, ἵνα διὰ τοῦ τρήματος ὁ πῖλος, οἷα καί τις χαίνη τοῖς διψῶσιν, ἐνεργεύγηται συμβολήν.

111. Καὶ ἦσαν οἱ πάντες ἐκ τῶν τοιούτων στολισμάτων, ὧν πολλοῖς ἐνέλαμπον ὡς οἷά τινες πορφύρεοι λίθοι πληγαὶ πορφύρουσαι τῷ ἐξ αἵματος λύθρῳ, θέαμα καὶ δυςπρόςοπτον καὶ δυσείκαστον· τὸ μέν, οἷς ἐκ νερτέρων ἥκειν ἐδόκουν σκιαί τινες ἄπνοουσαι, || τὸ δ', ὅτι τοὺς κατὰ φύσιν χαρακτῆρας οὐκέτ' εἶχον, διὰ τὸ ἔνδον που ἀναχωρῆσαι ἢ καὶ τέλεον ἐκλιπεῖν τὸν φίλιον χυμόν, δι' οὗπερ ἐξανθεῖ τὸ ἐρύθημα. Ἦν οὖν ἔργον, γνωρίσαι καὶ τὸν πάνυ ἐν τούτοις φίλτατον· καὶ ἕκαστος ἀνηρώτα ἕκαστον, ὅς τίς ποτ' ἂν καὶ εἴη, διὰ τὸ κατὰ χρόαν πάντων ὁμοειδές, καὶ διάφορον κατ' οὐδέν. Mo. fol. 247. b. 51.

112. Ἰτέον ἐπὶ τὰς ἐκκλησίας, καὶ θεωρητέον τοὺς τοιούτους καὶ ἐκεῖ, καὶ ἐρωτητέον, τίς ἄρα ἐν τούτοις ὁ πλούσιος, ἢ πένης, καὶ ὅσα τοιαῦτα. Ἀλλὰ τίς μὲν ἱερᾶται; τίς δὲ ἐπὶ τοῦ ἀναγινώσκειν ἐστί; τίς δὲ τοῦ λαοῦ εἶναι εἴληχε; Πάντες γὰρ εἶδος ἕν, καὶ μορφὴ ἡ αὐτή, κἂν εἰ μή τις ἀποκριθεὶς τῶν ἄλλων, τὸ ἱερὸν εἰςέλθοι βῆμα, στησόμενος εἰς εὐχάς, καί τις ἄλλος εἰς τὸν ἱερὸν ἀνέλθοι ὀκρίβαντα ψαλμοῦ χάριν. Οὐκ ἦν διάκρισις τούτων τε καὶ τῶν τοῦ λαοῦ. Εἶχον δέ τι πάντες οὗτοι σεμνόν, εἰ καὶ ἄλλως λυπηρόν. Λελυμένοι γὰρ ἐκ τῶν ποδῶν πάντες τὰ ὑποδήματα, τῶν τοῦ ἁγίου οἴκου κρηπίδων ἐγίνοντο.

113. Σκοπητέον καὶ τὰς ἑκάστων τροφάς, καὶ γνωστέον, ὡς ἐκ τῶν συμφυλετῶν μὲν οὐκ ἦν, ὅ τι καὶ λάβοιεν, πάντων ἐξ ἴσου πεινώντων. Τῶν δὲ Λατίνων ὀλίγοι μέν τινες ἐχορήγουν ὀβολοὺς τοὺς παρὰ σφίσιν, ὅθεν ἦν γλίσχρως ἀποζῆν. Οἱ δὲ πλείους διάβολον ἐπικαλοῦντες τὸν ἐπαιτοῦντα (τοῦτο δὴ τὸ παρ' αὐτοῖς εὐχορήγητον), ὕβρεις ἐδίδουν ὡςεὶ καὶ ψωμόν, καὶ κόνδυλον ὄψον ἐπ' αὐταῖς. Καὶ ὁ ἔλεος μὲν οὕτως ἦν δυςεύρετος δίχα γε τῶν ἐκ τοῦ μυροβλύτου, ὅς, καθὰ καὶ προγέγραπται, πάντας τοὺς πολίτας ἔθρεψεν, εἰς ὅσον ἐχρῆν. Εἰ δέ τις καὶ εὐπορηκώς ποθεν ἐθέλοι τιμήματος πορίσασθαι τὸ τρέφον, βαβαὶ τῆς βαρβαρικῆς ἀπανθρωπίας. Ἰουδαίῳ μὲν γὰρ καὶ Ἀρμενίῳ, οὓς ἡ ἀγχιτέρμων Κρανία καὶ ὁ Ζεμενίκος φέρβουσιν, ἐπεμέτρει, ἐς ὅσον τε καθῆκον ἦν, καί τι καὶ εἰς ὑπέρμετρον· ἑαλωκότι δὲ πολίτῃ ἐλάχιστον, εἴ που καὶ ἐπιστραφείη αὐτοῦ. Ἀρτίδιον γοῦν περιηγμένον ὡς εἰς κρίκον, ὅσον ἂν ἀντίχειρ καὶ λιχανὸς διαγράψαιεν, τριῶν χαλκῶν στατήρων ἀπεδίδου τῷ ἐλεεινῷ πολίτῃ, μόλις ὀβολοῦ ἀξιούμενον.

114. Ἀλλ' ἅμα ὑπεκρουσάμην Ἀρμενίους, καὶ ζέσιν ἔπαθον περικάρδιον, ἐννοησάμενος, ὁποῖα κακὰ καὶ αὐτοὺς ὁ βάσκανος δαίμων ἡμῖν προςέθετο, ἔξω μὲν πρὸ τῆς ἁλώσεως ἐν ὄντας τοῖς πολεμίοις, καὶ θερμοτέρους ἐκείνων εἰς τὰ καθ' ἡμῶν ἀποδεικνυμένους κακά, ἐν ἐφόδοις, ἐν λόχοις, ἐν προόδοις ταῖς εἰς λείαν, ἐν μηχαναῖς, ἐν ἐκφάνσεσι τῶν λανθανόντων· ἔσω δὲ

δεσπόζοντας ἡμῶν καὶ αὐτούς, ἀπειλουμένους, ἐπιτάσσοντας, ἀποστεροῦντας, τύπτοντας, ἄγχοντας τοῖς ὠνίοις. Ἀρτίσκον γὰρ παλάμῃ περιληπτόν, ὃν ὀβολοῦ ἄν τις τιμήσαιτο, πολλοῦ αὐτοὶ ἐσταθμῶντο, καὶ Λατινικῶς καὶ αὐτοὶ ἡμᾶς ἀπέπνιγον. Καὶ ἀπολώλαμεν ἂν τηνικαῦτα, εἰ μὴ τὴν ὀπώραν κατ' ἄμμον πληθύνας ὁ Θεός (ἐν αἷς καὶ τὰς σταφυλάς, ἃς ἄλλων κεκοπιακότων ἕτεροι ἔδρεπον, εἰς τοὺς κόπους ἐκείνων εἰςερχόμενοι), ἔθρεψε καὶ ἡμᾶς. Μὴ γὰρ ἐπὶ τοῦν ἀγέτω (Ms. fol. 218. a.) τις, ἄλλο τι ἐς τροφὴν καὶ τρυφὴν ἐνδεδαψιλεῦ || σθαι ἡμῖν ὧν ἐκθλιβομένων μέν, οἶνον εἴχομεν, εἰ καὶ πνευματίαν ἐκεῖνον καὶ βρώμιον, καὶ οὐ προςηνῆ πρὸς ὑγίειαν, ἀλλ' οὖν παραμυθητικώτερον ὕδατος· καὶ ἀλλοίαν δὲ τροφήν, καὶ δὲ καὶ ἱματισμὸν τῇ ἀπεμπολήσει, καὶ εἴ τι δὲ ἄλλο ῥᾴδιον καὶ πρόχειρον πορίσασθαι. Οἱ δὲ ἐξώλεις Ἀρμένιοι λέγονται καὶ καταμιαίνειν ἡμῖν τοὺς ἄρτους. Ἦν δὲ αὐτὸ οὐχ ἱκανόν, τοὺς πτωχοὺς ἐκτρέπειν τοῦ προςίεσθαι τὰ πωλούμενα. Δεινὴ γὰρ ἡ ἀνάγκη, τὸ καθῆκον ἐκκρούεσθαι, καὶ μόνου τοῦ πρὸς βίαν ἐγκειμένου γίνεσθαι. Τοιοῦτον δέ τινα μιασμὸν διαῤῥέει φήμη καὶ ἐκ τῶν Λατίνων πάσχειν ἡμᾶς. Ἔλαιον γὰρ πιμελαῖς καὶ στέασιν ἐγκατακεραννύντες, ἐγίνοντο τοῖς ἀγαθοῖς Χριστιανοῖς αἴτιοι τοῦ παρανομεῖν τὴν νηστείαν τὴν κατὰ τὰς τετράδας καὶ παρασκευάς· ἵνα μὴ μόνον τὴν τύχην ἡμῖν ἀλλοιώσωσιν, οἷς ἡμᾶς κατεδουλώσαντο, ἀλλὰ καὶ τῇ ἁγίᾳ θρησκείᾳ ἐμπαροινήσωσιν. Ὦ τίς ἂν ἀνάσχοιτο ἐκείνων;

115. Καὶ ὅτε ἡμεῖς μὲν ἐν τῷ τοῦ μεγάλου μυροβλύτου ταφῷ ὕμνους ἱεροὺς ἐτελοῦμεν, περιϊστάμενοι τὸν περιώνυμον ἐλεήμονα, οἱ δ' ἐν ταῖς πλαγίαις τοῦ ἱεροῦ βήματος τὰ ἑαυτῶν ἐτέλουν, ἀντιφωνοῦντες ἡμῖν, καὶ τὰς πολίτιδας φωνὰς ὑπερφωνεῖν ἐθέλοντες βοαῖς κορυζώσαις καὶ ἀπηχέσι, πολλάκις δὲ καὶ ταῖς τῶν καθ' ἡμᾶς θείων εὐαγγελίων ἐκφωνήσεσι, πρὸς ἔριν οἱ ἀχαριτώτατοι ἀντεπεξαγόμενοι, καὶ συγχεῦντες οὕτω τὸ εὔτακτον, καὶ τὴν ἱερὰν ἁρμονίαν λύοντες. Καὶ ἐλάλησα μὲν εὐλαβῶς καὶ περὶ τοῦδε τῷ κόμητι Ἀλδουΐνῳ, εἴ πως γένηται τάξις, καὶ μὴ γελῷντο τὰ θεῖα τῇ αὐτονομίᾳ τῶν παρ' αὐτοῖς ἱερέων. Ἀνύσαι δὲ ἔσχον οὐδέν, εἰ καὶ ἄλλως ἐκεῖνος ᾤκει ἐν οὐκ ὀλίγοις ἐθέλειν τὰ Ῥωμαϊκὰ τάσσειν, ὡς μὴ καταλύεσθαι. Ὅς γε καὶ δικαιοπραγεῖν εἴτε προςποιούμενος, εἴτε καὶ πρὸς ἀλήθειαν βουλόμενος, ἔν τε τῷ κρίνειν καὶ κολάζειν τοὺς ὑπαιτίους, καὶ ἰσότητα διανέμειν καὶ μάλωψι καὶ λοιπαῖς αἰκίαις, ἀλλὰ καὶ σκόλοψι τῶν τινας κακούργων τιμᾶσθαι, καὶ τῷ τοῦ ἁγίου τάφῳ ἄργυρον καὶ χρυσὸν ἐχορήγησε τὸν ἀρκοῦντα εἰς ἀναποίησιν τοῦ ἐλλείψαντος· καὶ βίβλους δέ, εἰ καὶ μὴ τὰς ἀφῃρημένας καὶ οὐδὲ πάνυ τι εὐχρήστους, ἀλλ' οὖν, ὅσας εὐηρεστήθη, ἐφιλοτιμήσατο δοῦναι· καὶ πήγματα δὲ κηρῶν ἀργύρεα μεταφορητὰ ἐν ἱεραῖς εἰςόδοις, λόγου ἄξια, ἐχαρίσατο· καὶ ἡμῖν δέ τινα ζωαρκῆ ἐπένειμε σύν γε καὶ βίβλοις, ἃς οὔτι λίαν ἐποθοῦμεν, καὶ εἰκονίσματα θεῖα, ὧν τὰ πεφροντισμένα τοῖς ἐκείνου ἡμεῖς αὖθις ἐπεμερίσαμεν, αἰτηθέντες, καὶ μὴ ἔχοντες ἀπαρνήσασθαι· ἔτι δὲ καὶ ἱερὰ ἔπιπλα (μὴ γὰρ κρυπτέον τὸ ἀληθές), ἐξ ὧν ἐπικοσμήματά τε πολλαῖς τῶν ἁγίων ἐκκλησιῶν διεμοιρασάμεθα.

116. Τοῦ δὲ κόμητος τούτου ἐκεῖνο μάλιστα τὸ καλόν, εἰ καὶ ἄλλως εἶχέ τι καὶ κακὸν συμμιγές, παρὰ καὶ καλῷ κακὸν θεμένης τῆς φύσεως, κρατῆρος τοιοῦτον κερασαμένης αὐτῷ. Εἶχε μὲν γὰρ τὸ Λατινικὸν ὑπούλως περὶ τοὺς καθ' ἡμᾶς, καὶ συχνὸν αὐτοῖς || ὑπ' ᾄδοντας, ὡς ἀνάθεμα τοῖς μὴ κατὰ τὴν ἡμέραν (Ms. fol. 218. b.) τῆς ἁλώσεως ἅπαν τὸ πολιτικὸν κατασφάξωσι, καὶ τὸ διατί κεφαλαὶ τοιούτοις ἐπικάθηνται σώμασι; καὶ ὅτι τὸ τούτων αἷμα οὐ ποιεῖ σύγκρασιν πρὸς τὸ ἡμέτερον· καὶ ὅτι παρακλητεύσομεν τὸν ῥῆγα, καὶ πεσοῦνται μὲν πάντες οὗτοι, ἀντειςοικισθήσονται δὲ καταμόνας Λατῖνοι, καὶ οὕτως ἅπαντα καλὰ ἔσονται. Οὐκοῦν ἀκόλουθοι τούτοις ἀπειλαὶ καθ' ἡμῶν καὶ ῥίπισμα ὅσαι ὧραι τοῦ κατὰ τὸν κόμητα θυμοῦ ἐκ διαβολῶν, καὶ ἀναφώνησις τῶν ἐνδιαβαλλόντων τὸ αὔριον, αὔριον, καὶ ὁ τοῦ Θεοῦ λαὸς ἅπας εὐθὺς περὶ ἡμᾶς. Καὶ ἦν ἀνάγκη κοπιᾷν καὶ λαλεῖν· καὶ ἐποιοῦμεν οὕτω συχνά, πολυτρόπως πονούμενοι. Καὶ Θεοῦ χαριτοῦντος ἐπείθομεν καὶ τοῦτο πλειστάκις διὰ τὸ τὸν ἄρχοντα ῥέπειν ἐκεῖσε· καὶ οὐ ῥᾳθύμην ἀνήκαμεν, ἕως τὸ τελευταῖον παντοῖοι (οὐ λέγω τὰ εἰς ὁμιλίαν, ἀλλὰ δημηγορίαν) γενόμενοι, καὶ δικαιολογησάμενοι, καὶ οὐδὲ κολακείας ἀπεσχημένοι καὶ χαριεντισάμενοι, καὶ ἐμβριθῶς δέ τι λαλήσαντες, καὶ μεμψάμενοι μὲν τὴν τῶν συγκλύδων Λατίνων δεινότητα, ἔπαινον δὲ τῶν Θεσσαλονικέων προενεγκόντες καίριον, καὶ ὅλως τοὺς λόγους πολυειδῶς ἁρμοσάμενοι καὶ οἰκονομήσαντες πρὸς ἀνθρώπους ἀγρίους, κατά τι ἀμυδρὸν ἀπήχημα γραφικῆς ἐλέγξεως καὶ ἐπιτιμήσεως καὶ παρακλήσεως, οἱ καὶ κατὰ καιρὸν εἰρήνης ἐπὶ τῶν ἡμετέρων ἄτολμοι ὄντες ποιεῖν τὰ εὐαγγελικὰ εἰς ἄκρατον, ἵνα μὴ πάσχοιμεν ἀβούλητα, ἐβεβαιώσαμεν τὸν ἄνδρα, καὶ εἰς ἔμπεδον καταστήσαντες, περιηγάγομεν διομόσασθαι, ἦ μὴν μηκέτι φόβον ἐπαρτηθήσεσθαι φόνου ἢ τινος ἑτέρου κακοῦ τοῖς ἑαλωκόσι. Καὶ τὸ ἐντεῦθεν ἀνεπαυόμεθα, εἰς ὅσον ἦν ἐγχωροῦν. Ἐνεχώρει δὲ μὴ εἰς τὸ πᾶν παρά γε τοῖς οὕτω μισορωμαίοις Λατίνοις.

117. Ἀλλ' ἐπανιτέον πάλιν ἐκ τῶν τοῦ κόμητος ἐπὶ τὰ πρότερον, διχῇ διῃρημένων τῶν κατὰ βίον εἴς τε τὰ καθ' ἡμέραν καὶ τὰ νύκτερα. Αἱ μὲν ἡμέραι ἡμῖν ἐψεύδοντο τὸ ἥμερον διὰ τὴν ἐν τοῖς Λατίνοις ἀγριότητα, τὴν ἀμυδρῶς ὑπολαληθεῖσαν· οἳ μὴ χωρητὸν αὐτοῖς καὶ ἡμῖν τὸν κόσμον εἶναι κρίνουσι, συναντῶντες γοῦν κατέπτυον, ὤθουν, ἐσκέλιζον, κατέβρεχον ὕβρεις. Συχνὸν ἦν αὐτοῖς ὡς εἰς ἐπῳδὸν τό ἐλθέ, Καλοϊωάννης. Μυκτὴρ οὗτος, ὡς ἡμῶν ἐν τῇ πολιορκίᾳ γαυρουμένων, μικρὸν ὅσον τὸν βασιλέα Ἰωάννην ἐλθεῖν ἡμῖν ἐπίκουρον. Εἰ δέ τις τῶν συναιχμαλώτων πεζῇ τὴν λεωφόρον τρίβοι (τίς δὲ οὐ τοιοῦτος τότε; ὅτε καὶ ἡμεῖς ἐπάσχομεν οὕτω, κατάκοποι, καὶ τὰ σκέλη παράφοροι, καὶ τεταραγμένοι, καὶ σεσαλευμένοι κατὰ μεθύοντας), εἰ τοίνυν οὕτω τις περὶ στενωπὸν ὁδεύοι, καὶ τύχοι Λατῖνον παρέρχεσθαι ἔφιππον, οὐκ ἂν ἐκεῖνος φείσαιτο καταπατῆσαι καὶ συντρί||ψαι (Ms. fol. 240. a.) τὸν ἄνθρωπον, κεντρίζων τὸν ἵππον εἰς κατασκίρτημα. Οὕτως ἐφίλουν ἡμᾶς οἱ ἄνθρωποι, συχνὰ πρὸς πάντα λόγον καὶ πρὸς πᾶν ἔργον προϊσχόμενοι εἰς δικαίωσιν τοῦ κακουργεῖν τὸ ἀπὸ σπάθης ἡμᾶς ἑλεῖν· οὐκ ἀνθρώπινα λαλοῦντες, ἀλλ' ὡσεὶ καὶ λέων ἄγραν ἑλὼν ἐθέλει διασπᾶν αὐτήν, οὐχ ὅτι πεινῴη καὶ ποθοίη σάρκας, ἀλλὰ δικαιῷ τοῦ ουσχεῖν αὐτὴν ὄνυξιν. Οὐκ ἦν ἐπὶ τούτοις οὐδὲ ὑποστένειν ἡμᾶς, οὔκουν οὐδὲ κατ' ὄψιν σκυθρωπάζειν, ἃ δὴ τοῖς ἐν κλύδωνι συμφορῶν ἀνεῖται πρὸς ἐκβολὴν τοῦ κατὰ ψυχὴν ἄχθους. Πολὺ γὰρ αὐτοῖς ἐνταῦθα τὸ διάβολε, τί στενάζεις; Ἐβούλοντο γὰρ ἀναισθητεῖν ἡμᾶς καὶ φρενοβλαβεῖν, ὡς καὶ χαίρειν, ἐφ' οἷς κακῶς ἐπάσχομεν. Εἰ δέ πῃ ξυμπεσὸν ὧδε γελᾶν εἴτε μειδιᾶν ἐπέλθοι τινί, χολὴ καὶ τοῦτο δριμεῖα τῷ κατιδόντι Λατίνῳ. Ἐνόμιζε γάρ, ὡς ἔοικεν, ἢ καταγελᾶν ἡμᾶς τῶν Λατινικῶν πράξεων, ἢ ἀγαθὰ καραδοκοῦντας ὁ χαιρέκακος εἶτα καὶ πεπονθότας ἀγαλλιᾶσθαι, ὃ τοῖς ἐχθροῖς ἀπενέφαινε. Καὶ τοίνυν δακτύλους εἰς γρόνθον ἔπτυσσον, καὶ τὴν χεῖρα γογγυλίζοντες, ἐῤῥύθμιζον πὺξ πλήττειν, τί γελᾷς, ὦ διάβολε, βατταρίζοντες. Καὶ οὕτω τὴν αἰθρίαν τοῦ μειδιάματος εἰς νέφος δακρυόεν μετέστρεφον, ἢ καὶ ἑτέρως εἰπεῖν, τὸν γελῶντα Δημόκριτον εἰς Ἡράκλειτον μετεποίουν δακρύοντα.

118. Ἀνεψηλαφῶντο παρ' αὐτῶν καὶ τὰ τῶν παροδευόντων προκόλπια, καὶ ἐξεκενοῦντο, εἴ τί που καὶ ἔφερον χρηματισμοῦ, εἰ καὶ βραχύ τι ἐκεῖνο ἦν. Περιειργάζοντο καὶ μηρούς, μή που μαχαίρας παρήρτηνται. Καὶ εἴ που εὑρεθείη ἐγχειρίδιον ὁποιονοῦν, αἱ μὲν κόρσαι τοῦ φέροντος εἶχον πληγάς, ὁ δὲ Λατῖνος τὴν μάχαιραν. Ἔδει καὶ διεῤῥηγμένα πάντας ἡμᾶς περιδεδύσθαι. Εἰ γάρ τις εἱματίζετο εἰς ἀκέραιον, ἀνεθεματίζετο παρ' αὐτοῖς ὁ μὴ λωποδυτήσας τὸν ἄνθρωπον.

119. Ὅτε δὲ τἄλλα παρήσουσιν, ἐπεβούλευον ταῖς ἑκάστων κεφαλαῖς, ἐπίσης μισοῦντες τούς τε ἀκειρεκόμας, τούς τε βαθυπώγωνας. Καὶ οὐκ ἦν ἰδεῖν ἄνδρα εἴτε καὶ παῖδα τύχης τῆς οἱασοῦν μὴ κουρίαν κατὰ κύκλον, ὁποίᾳ τις οἶμαι καὶ ἡ παροιμιαζομένη Ἑκτόρειος κουρά, εἴτ' οὖν ἡ κατὰ Θησέα τὰ πρόσθια· ὡς τότε ἀντίθετον βαθεῖαι ἦσαν αἱ πάλαι κόμαι κατὰ τοὺς Ἄβαντας, καὶ οὐ κατὰ τοὺς Λατίνους τούτους, κύκλωθι τροχαλαί, καὶ ὡς εἰπεῖν ἀκρόκομοι. Καὶ ὑπούργει πρὸς ταῦτα τοῖς τῶν τριχῶν ἐπιστρόφοις Λατίνοις πῇ μὲν ξυρός, πῇ δὲ μάχαιρα· τοῖς δὲ θερμοτέροις καὶ ξίφος. Καὶ αὐτίκα καὶ ὁ πώγων ἠλαφρύνετο τῷ οὕτω κειραμένῳ ἀνδρί. Καὶ ἦν πάντη σπάνιον, ἰδεῖν ἄνδρα Ῥωμαῖον, ἄρτιον τὴν κεφαλήν. Εἶχον γὰρ ἀνάπαλιν τῷ· θρὶξ ἐκ τῆς κεφαλῆς ἡμῶν οὐ μὴ ἀπόλληται. Ἡ γὰρ πολλὴ ἁμαρτία, δι' ἣν καὶ πρωῒ πεποιηλατήμεθα, κατὰ τὸν αὐχήσαντα, τὰ εἰς τὰς πρωΐας ἀποκτένειν τοὺς ἁμαρτωλοὺς τῆς γῆς, καὶ ἐξολοθρεύειν ἐκ πόλεως κυρίου τοὺς ἐργαζομένους τὸ ἄνομον μέχρι καὶ εἰς αὐτὰς τρίχας, τὸ κακὸν ἡμῖν ἐκορύφωσεν, ἵνα εἰς τὸ πᾶν ῥιγῶμεν ἐψιλωμένοι καὶ τὰς κεφαλάς. Κἂν εἴ που δεκπέφευγέ τινι πώγων, καὶ ἦν καθιέμενος κοσμίως, ὡς εἶχε φύσεως, ἁπτόμενοι τούτου οἱ φαῦλοι κουρεῖς || τῇ (Ms. fol. 240. b.) ἑτέρᾳ χειρί, θατέρᾳ δὲ τῶν κατὰ κεφαλὴν τριχῶν, ταῦτα μὲν εἶναι καλὰ ἔλεγον, ἐκεῖνα δὲ κακά, τὰ τοῦ πώγωνος, ὡστεϊζόμενοι ἐν οὐ παικτοῖς.

120. Στέργοντες δὲ οὕτω τὴν ἐπὶ τοιούτοις πρὸς αὐτοὺς ἡμετέραν ἐξομοίωσιν, τὸ συζῆν αὐτοῖς ὅμως ἀπέστεργον· διόπερ οὐδὲ συμβιοτεύειν ἡμῖν ᾑροῦντο. Ἀλλ' ὅτε τις τῶν οἰκοδεσποτούντων, ὧδε καὶ ἐκεῖ πλαζόμενος, ἀναπολήσει τὴν οἰκίαν εἰς νοῦν, καὶ φαντάσεται τὰ ἑαυτοῦ, καὶ ἐπιθυμήσει παρελθεῖν ἐκεῖ, καὶ ἐγγίσει, καὶ παρακύψει ἐντός, καὶ ἐρωτηθείη, τίς ὢν οὕτω ποιεῖ, καὶ ἐξείπῃ, αὐτὸς τοῦ οἴκου κύριός ποτε εἶναι, παρελαμβάνετο μὲν ἡδέως, καὶ ὑπανεχόμενος, ὡς ἐπὶ τιμῇ, ἔβαινεν ἀθρὸς ἔσω, καὶ εἶχεν ἀσπασμὸν καὶ προεδρίαν καὶ βρῶσιν καὶ τὸ πιεῖν· τὰ δ' ἐπὶ τούτοις τῷ ἀνδρὶ ἐκ τῶν βαρβάρων δεξιώματα θανατηρά. Κρεμάθραι γάρ, καὶ αἰκισμοί, καὶ ἐξ ἀχύρων καπνοί, καὶ ἕτερα καινότροπα κακά, ἐπὶ χρημάτων ἐμφάνσει καὶ δόσει· ὧν διδομένων, πάλιν κύκλος ἐν τοῖς αὐτοῖς. Ἀναρτήσεις γὰρ τοῦ ἀθλίου καὶ καταφοραὶ βαρεῖαι πληγῶν, ἕως ἂν ἢ ἐμπλησθῶσι τῶν ποθουμένων οἱ δήμιοι, ἢ ἐλεήσωσιν. Ἐγένετο γάρ ποτε καὶ

τοιόνδε τι, ὀξεῖ καὶ λίαν πεινῶν καὶ ἐνδακών, εἶτα ἐλεήσει, ἢ ἀφήσει τὸν αἰκιζόμενον ἡ ζωή. Τῶν τινας δὲ οὕτω πασχόντων καὶ ἄλλως τοῦ ζῆν μετέστησαν οἱ αἰκιζόμενοι, δείσαντες, μὴ πολὺν θησαυρὸν ἐκ τοῦ κολαζομένου ἐξευρηκότες, ἀφαιρεθῶσι πρὸς τῶν κομήτων τὸ εὑρημένον, καθὰ συνέκειτο. Κωνσταντῖνος γοῦν τις (ὁ ἐπίκλην κεκαλεσμένος), ἀνὴρ ἀγαθὸς καὶ πλήθων τὰς χεῖρας, φαντασάμενος τὰ οἰκεῖα, οἷς τὴν καρδίαν κεκόλλητο, καὶ οὕτω πόθῳ τοῦ οἴκου ἀγρευθείς, καὶ ἀπαιωρηθείς, καὶ μυρίας πληγὰς ἐντριβείς, καὶ κατὰ ἑκάστην ἀπαιώρησιν ἐξεράσας χρήματα, καὶ εἰς πολλὰ κορυφώσας αὐτά, εἶτα καὶ ἐλαφρίαν παθὼν λογισμοῦ, καὶ ἐν τῷ ζητῆσαι λαβεῖν τι ἐκεῖθεν παρακρουσθείς, καὶ ἀπειλησάμενος, καταμηνύσαι τὸ πρᾶγμα τοῖς κόμησιν, οὐκ ἔσχεν ἔτι κεφαλήν. Ἀλλ' αὐτὴ μὲν κατεχώσθη που ἐκκοπεῖσα· ὁ δὲ λοιπὸς Κωνσταντῖνος* ἐξεῤῥίφη νεκρὸς ἀβοήθητος.

121. Ἔσχε δὲ καὶ τοῦτο τὸ κακὸν ἑτεροίαν ἐπίτασιν. Γλυκανθέντες γὰρ οὕτω τῷ κέρδει τῶν οἰκοδεσποτούντων οἱ βάρβαροι, ἐνελόχων ἔσω πυλῶν. Καὶ εἴ τινα παροδεύοντα ἴδοιεν, δόκησιν ἀνδρὸς πέμποντα πλουτοῦντός ποτε, ἥρπαζον αὐτὸν ἔσω, οἷά τινες δεινοὶ θῆρες ἐκ φωλεοῦ· καὶ βιαζόμενοι ἐτυράννουν, ἕως τι τῶν κατὰ σκοπὸν ἀνύσαιεν. Εἰ δέ τινες καὶ συμβιοτεύειν αἰχμαλώτοις ἤθελον, εἶχε μέν τι καὶ τοῦτο βάρος, ὡς οἱ εὖ πάσχειν δοκοῦντες περιηγοῦντο. Ἦν δέ πως φιλάλληλον αὐτὸ καὶ ἀνθρωπικώτερον. Οὐκ ἦν οὐδὲ τοὺς θείους ναοὺς ὕμνοις ἀσκύλτως περιᾴδεσθαι τότε· ἀλλ' εἶχε καὶ τὸ καλὸν ἔργον τοῦτο ἐπή- Ms. fol. 254. a. ρειαν. Καὶ τὰς μὲν ἀρχὰς ἱκαναὶ ἡμέραι, καὶ οὐ || τε ἐκλείοντο, οὔτε σύναξις ἦν ἡ ἐθάς, ὡς ὑμνεῖσθαι θεόν, ἀλλ' εἴ που ὡς ἐπὶ σκέπῃ καὶ ἀναπαύσει αἰχμαλωσίας, ὅσα καὶ κατ' οἴκους. Ὅτε δέ ποτε καὶ τις ἄδεια ἐξεφάνη, καὶ θεῖοι πυλεῶνες ἐκλείσθησαν, καὶ φῶς μυστικὸν ἀνήφθη, καὶ ἡρμόσθησαν ψαλμοί, καὶ ἱερεὺς ἐτέλει, καὶ λαὸς ἡμέτερος εἶχε σχολὴν κατὰ ἰσχύν, τότε ὁ δαίμων ἀντέπραττε, τῶν φαύλων Λατίνων εἰστρεχόντων, καὶ ταῖς ἱεραῖς φωναῖς ἐπιβουλευόντων, καὶ λαλαγούντων, καὶ συνήθη βαΰζόντων, εἴ πως ἐγκόπτουσι τὴν συνέχειαν τοῦ καλοῦ.

122. Οἱ δ' αὐτοὶ καὶ τὸ ξύλον, ὅπερ εὔθετόν ἐστι, κήρυκος δίκην σημαίνειν τῷ λαῷ τὴν ἐπ' ἐκκλησίας ἄθροισιν, κωλύειν ἤθελον. Ὅτε γοῦν τὴν ἀρχὴν ἐκρούσθη τοῦτο περὶ τὴν καθολικὴν πρὸς δείλην ἑσπερινήν, ξιφήρεις αὐτίκα ἐπὶ τὸν κρούσαντα κατὰ ῥιπὴν ὀφθαλμοῦ ἢ τάχος ἀστραπῆς οἱ βάρβαροι· καὶ τὸν διάβολον συνήθως μιμούμενοι καθ' ὕβριν ἡμετέραν, τί τοῦτο ἔλεγον, καὶ ἐκώλυσαν τότε τὸ ἔργον. Καὶ διέβη τὸ τούτων θέλημα κατὰ φόβον τὸν ἐξ ἡμῶν καὶ εἰς τοὺς λοιπούς, ὅσοι οὕτως ἔψαλλον. Μετὰ δὲ οὐ πολλὰς ἡμέρας, τῆς ἑορτῆς ἡμῖν ἐξαύριον ἀχθησομένης τῆς ὑψώσεως τοῦ παντίμου σταυροῦ, ἀνῆλθον μὲν οἱ ἱεροκήρυκες εἰς τὴν τοῦ καθ' ἡμᾶς καθολικοῦ ἱεροῦ κορυφήν, τὰ συνήθη τελέσοντες ἐν ἐπιτομῇ· οὐδὲ γὰρ ἐξῆν πλατύναι διὰ τὸ τῆς εὐφημίας οὐκ ἀπρόσκοπον. Καὶ ὡς ἐσήμαναν τῷ ξύλῳ τὴν ἑορτὴν τρανέστερον, πάλιν οἱ βάρβαροι ξίφη γυμνά, καὶ ἄνοδοι αὐτῶν ἐντρεχεῖς, καὶ ἀνακρίσεις, καὶ ἔρευναι τῶν κύκλῳ κατά τινα ἰχνηλάτησιν, μὴ καί τις δόλος ὑποκρύπτοιτο. Ὡς δὲ καὶ πολυπραγμονήσαντες, καὶ κακολογήσαντες, καὶ ἀπειλησάμενοι, σταθεροὺς ἑρμηνευτὰς τοῦ πράγματος εὗρον, τοὺς περὶ ἡμᾶς, ἐπραΰνθησαν, καὶ κατῆλθον ἥμεροι, καὶ οὐκέτι ἐνόχλησαν οὐδαμοῦ, οἷα λελυμένου τοῦ ἀπόρου σφίσι πρὸς ἀλήθειαν. Τότε δὴ καὶ ἐπῆλθεν ἡμῖν ἀπορῆσαι, τί δήποτε τοὺς μὲν ἄνω περὶ τὸν τοῦ μυροβλύτου ναὸν σημαντικοὺς τοῦ ψάλλειν μεγάλους κώδωνας οὐχ ὑποπτεύουσι, τὸ δὲ περὶ τὴν μητρόπολιν συνθηματίζον ξύλον τὴν ἱερὰν σύναξιν βαρέως φέρουσι; Καὶ διενοησάμεθα, ὡς εἰκός, μὴ τοὺς τυχόντας Λατίνους δυσαρεστηθῆναι, ἀλλὰ τῶν τινας ἐκ τῆς Μεγαλοπόλεως· οἳ τῷ ἱερῷ παρατυχόντες πολέμῳ, τῷ προεκτεθειμένῳ εἰς ἱστορίαν, καὶ μαθόντες ἐν τῷ μεγάλῳ ναῷ τότε ξύλα τοιαῦτα κροταλιζόμενα, καὶ τὸν Ἀνδρόνικον προσκαλούμενα, ὡς εἰς ἐπικουρίαν τῶν τῆς ἐκκλησίας, ᾠήθησαν, κἀνταῦθα ἡμᾶς τοιοῦτόν τι μηχανᾶσθαι.

123. Καὶ τοιαῦτα μὲν ἡμῖν τὰ ἡμερινὰ κακά, ἐξ ἀπείρων μέτρια καθιστορῆσαι. Τὰ δὲ τῶν νυκτῶν, οὐδ' αὐτὰ ἔχουσι, μὴ οὐ πρὸς ἔριν τούτοις ἀντεπεξάγεσθαι. Καὶ τέως ἡλίου κατακυλισθέντος εἰς δύσιν, ἐχρῆν τὸν φρονοῦντα ἔσω καλύβης εἶναι, μοχλοῖς τὰς θύρας ἀσφαλισάμενον· ὡς, εἴ γε μὴ οὕτω ἐποίει, οὐ||δεὶς ἂν ἐγγύην ἐδίδου, περισωθήσεσθαι τὸν ἄνθρωπον. Ms. fol. 254. b. Ἀλλ' ὅτε καὶ κατ' οἶκον κρυβείς, οὐκ ἔχοι σκότον, ἀλλὰ πυρὶ καταλάμποιτο ὑπουργῷ, ἢ καὶ φωτί, ἕτερος τοῦτο κίνδυνος, περιϊόντων τῶν Σαρακηνῶν, καὶ εἴ τινες δὲ ἄλλοι κατ' αὐτοὺς κακοῦργοι (πολλοὶ δὲ οἱ τοιοῦτοι), καὶ ἀνακρινόντων, τί ποιῶν ὁ οἰκοδεσπότης εἰς ὕπνον οὐ κατακέκλιται; καὶ κατακλώντων τὰς θύρας, καὶ εἰσπηδώντων ἔσω, καὶ δρώντων, ὅσα ἂν καὶ εἶεν βουλομένοις αὐτοῖς. Ἔχομεν δ' εἰπεῖν, καὶ ὡς οὐχ οὗτοι μόνοι ἐκακοῦντο διὰ πρόφασιν, τὸ πῦρ καὶ τὸ φῶς· ἀλλὰ καὶ οἱ ἀνεμπύρευτοι καὶ ἀφώτιστοι. Ἀνεξέλεγκτα γὰρ ἐπεισφροῦντες οἱ κακοί, καὶ τὴν νύκτα ὀξεῖ καὶ Ἅιδου κυνέην εἰς ἐπίκρυψιν

ἀμφιβεβλημένοι, γυναῖκάς τε ἀπῆγον τῶν συνεύνων, ἀφιέντες τὸν τοῦ γάμου ζυγὸν ἑτεροκλινῆ τῇ ἁρπαγῇ τῆς δυνάμεως· ἣν ὑπὸ ἡλίῳ διευκρινοῦντι κατασκεπτόμενοι, νυκτὸς ἀφήρπαζον καὶ νεάνιδας τῶν γειναμένων, ἀτελεῖς, καθά τις ἔφη, τὰς τῶν τεκόντων ἐπ' αὐταῖς εὐχὰς τιθέμενοι. Εἰ δὲ καὶ χρήματα συναπῆγον, ὅσα καὶ προῖκάς τινας, ἐκ περιουσίας τουτὶ τὸ κακόν. Ἦσαν δὲ οἳ καὶ ἐσφάττοντο ἐπὶ τῶν οἰκιῶν τηνικαῦτα, ἡλίῳ ἀμάρτυρον κακὸν πάσχοντες. Καὶ τὸ αἴτιον ἢ νυκτίλοχος μανία, ἢ ὅτι ἐξεβόων οἱ κακουργούμενοι. Ὅσοι δὲ τῶν βαρβάρων ἐπιεικέστεροι καὶ παιγνήμονες, οὗτοι δὲ ἀλλ' ἠγάπων θύραις ἐναλλόμενοι, καὶ κόπτοντας ῥάβδοις αὐτάς, καὶ ἢ ῥιπτοῦντες καὶ εἰς φορτὸν ἄγοντες, ἢ ἀλλὰ γοῦν τοὺς κυρίους τοῦ τόπου ἀποστεροῦντες τοῦ ὕπνου.

124. Ταῦτα δὴ καὶ τούτων ἕτερα πλείω, καὶ μάλιστα τὸ γυμνιτεύειν, καὶ ὁ λιμός, τοὺς πολλοὺς τῶν αἰχμαλώτων, θραύοντα καὶ διαταράττοντα ἕως καὶ εἰς θάνατον τὰς ψυχάς, ἠρέθισαν κατ' ἀνάγκην (καὶ τί γὰρ ἄλλο ἐμηχανήσαντο ἄν;), ὑπαικάλλειν τοὺς Λατίνους, ὑποτρέχειν, κολακεύειν, θώπτειν, σαίνειν, δουλεύειν, πάντα ποιεῖν, ἐξ ὧν ἂν καὶ ζήσαιεν, καὶ μηδὲ φόβον ἔχοιεν. Κἀντεῦθεν εἰσὶν οἳ προσέκοψαν εἰς τὸν ὀρθὸν δρόμον ἄκοντες. Οἱ γὰρ μὴ ἔμφρονες καὶ κατελάλησαν, καὶ θησαυρῶν κατεμήνυσαν κρύψεις, καὶ ἥρπασαν, καὶ ἐσύλησαν. Ἰχνηλάτησαν δὲ καὶ φυγάδας, τοῦ αὐτοῦ αἵματος τοὺς πολλούς, καὶ ἀγρεῦσαι τοῖς κακοῖς θηραταῖς δεδώκασι, καὶ πολλὰ ἕτερα ἐξήμαρτον, οὔ τι ἑκόντες ἔς γε τὸ πᾶν, ἀλλ' εἰπεῖν καθωμιλημένως, ἑκουσιακούσιοι.

125. Τῶν δέ γε καὶ μεγάλα καὶ πρὸς ἀναίδειαν κατενεχθέντων τοῦ φυλετικοῦ γένους (κατηγοροῦνται γὰρ καὶ τοιοῦτοι ἐκβῆναί τινες) μήποτε μνησθείη διὰ χειλέων αὐτοῦ ὁ κύριος. Ἐντεῦθεν οἱ αὐτόνομοι γάμοι· ἐντεῦθεν γυναικῶν ἀπαρνήσεις ἀπαρνησαμένων, οὓς νόμος οἶδεν ἄνδρας. Ἐντεῦθεν παρθένων φθοραί, τῶν μὲν οὔτι καθ' ἑκούσιον τῶν ἀρχηγετῶν αὐταῖς τοῦ εἶναι· τῶν δέ, καὶ ἐκείνων προεμένων αὐτάς. Ἐντεῦθεν σεμνεῖα πεπορνευμένα· ἐφ' οἷς ἐγὼ πολλὰ καὶ παρακλητεύσας καὶ παρρησιασάμενος ἄπρακτος ἔμεινα, μηδὲ τὰς πασχούσας τὸ ἐφάμαρτον ἐπιστρέψαι δυνά-
Ms. fol. 251. a. ||μενος, οἷα γεγευμένας ἤδη τοῦ γλυκυπίκρου, καὶ πως ὑποφωνούσας μοι, ὡς χαλεπὸν χορίου κύνα γεῦσαι.

126. Ἐντεῦθεν δαπέδων σάλοι καὶ ἀνασχήσεις, δι' ὧν οἶκοι πάντες ἐξωρωρύχατο, ὑπονομευόντων τῶν βαρβάρων κατὰ λαγιδεῖς, ἢ ἀσπάλακας, ἢ καὶ χοίρους, ἢ ἄλλο τι ζῷον ῥιζοφάγον γεωχαρές, εἰπεῖν δὲ καὶ ἄλλως, κατὰ ἀροτρέας. Φαίνεται γάρ, ὡς καὶ ἀρότροις ἀνέσχιζον ἂν τὰ τῶν οἰκιῶν, εἴπερ ἐχώρει τὸ καὶ αὐτὰς ἐμβαδόν. Ἔναγχος γάρ τοι ἄσπαρτα καὶ ἀνήροτα δρεψάμενοι κατά τι πεπαροιμιασμένον θέρος χρύσεον, εἶτα καὶ ἄροτον οἷον τοῦτον διεχειρίζοντο, ἐξ οὗ αὐτοφυῆ τὰ καλὰ ἐκέρδαινον ἕρμαια. Καὶ τοῖς ἀμφὶ τὸν ἥλιον μὴ ἀγαπῶντες πλουτισμοῖς, ἐπεβούλευον καὶ τοῖς κατὰ γῆς. Δοτέον μοι, τοὺς αὐτοὺς καλέσαι καὶ χρυσωρύχους τὴν ἐπιβολήν, κατά γε τοὺς ἰνδόθεν μύρμηκας (τοιαύτης γὰρ ὕλης ἔρωτι παρηνώχλουν τῇ γῇ)· τοὺς δ' αὐτοὺς καὶ τυμβωρύχους μυριαχοῦ. Οὐδὲ γὰρ οὐδὲ τοὺς νεκροὺς ἀνεπιβουλεύτους παρέτρεχον· ὡς δὲ θησαυροφυλακοῦντας ἐλύπουν, διασκυλεύοντες πλούτου χάριν, καὶ οὕτω τὸν Ἅιδην Πλούτωνα καὶ αὐτοὶ νοεῖν ὑπεμφαίνοντες.

127. Τί μοι πλείω γράφειν, ἔνθα οὐδὲ βίβλοι ὅλαι μακραὶ ἱκανώσαιεν ἄν με, εἰς αὔταρκες διαγράψοντα τοῖς φιληκόοις, ὁποῖα ἡμῖν συνέπεσε; δι' ὧν ὀψέ ποτε σὺν κακῷ ἔμαθον οἱ ἐν ἡμῖν κομψοὶ τὴν νόησιν, χρῆναι τὰ θεόθεν σημεῖα λεπτολογεῖν, καὶ πρὸς αὐτοῖς διευκρινουμένοις ἔχειν τὸν νοῦν, καὶ ποιεῖν τὰ δηλούμενα. Εἰ δέ τις ἐνταῦθα ποθῶν φαίνεται προσιστορηθῆναι, καὶ οἷα σήματα τῶν μελλόντων προὐφάνη, ἀκουέτω βραχυλογικῶς, καὶ ταῦθ' ἡμῶν εἰς ἱστορίαν ἐπιτιθεμένων.

128. Ἐν πρώταις μὲν ἀγαθῶν ἀνδρῶν ὀνείρατα, ὁποῖα καὶ ἡ ἱερὰ οἶδε γραφὴ μηνυτικὰ μελλόντων εἶναι, προελάλουν, οἷα πεισόμεθα. Καὶ ἡμεῖς ἐγελῶμεν, ἐξουθενοῦντες τὰς καθ' ὕπνους δηλώσεις, καὶ διαστολὴν οὐκ ἐθέλοντες ἐξευρίσκειν ὁράματός τε καὶ τῶν λοιπῶν, ἅπερ ὕπνος φαίνει. Καὶ ἀπεῖναι δὲ τὸν μυροβλύτην τῆς καθ' ἡμᾶς πόλεως, καὶ κατ' αὐτὴν τὴν ἅλωσιν εἰσελεύσεσθαι, οἱ αὐτοὶ ἑωράκασι· καὶ ἡμεῖς οὐ πεπιστεύκαμεν. Ὡς γὰρ ὀχλοῦντες οἱ πιστοὶ πρὸς ἐπικουρίαν ἐνέκειντο, ἀνεκάλυψεν αὐτὸς προορατικῶς, εἰς μάτην τύραντα δυσωπεῖσθαι. Οὐ γὰρ ἄρτι, ἀλλ' ἢ μετὰ τρεῖς ἡμέρας ἐλεύσεσθαι. Ἦν δὲ τετάρτη μετὰ τὰς τρεῖς ἡ τῆς πορθήσεως. Καὶ συχνὰ μὲν ἐποτνιώμεθα· ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, μή ποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ πολιοῦχος αὐτῶν; Ὁ δ' οὐχ ὑπακούων, ἐξετόπιζεν ἡμῶν ἑαυτόν.

129. Ἐδάκρυον ἅγιοι ἐν εἰκονίσμασι· καὶ ἔχαιρον οἱ κενέλπιδες, λέγοντες, δυσωπεῖν ἐκείνους ὑπὲρ ἡμῶν. Ἐλέγομεν ἡμεῖς· ναί, ἀλλ' οὐκ εἰσακούονται, διὸ καὶ ἐπιμένουσι κλαίοντες. Καὶ ἠπίστουν ἡμῖν. Καὶ αὐτοὶ μὲν ἦσαν ἐν ἐλπίσιν· ἡμεῖς δὲ εὖ εἰδότες τὸν ὄλεθρον, ἐξ ὧν καὶ ἑωρῶμεν καὶ ἐλλόγως συνήγομεν, οὐκ εἴχομεν, ὅ τι καὶ δράσομεν· λέγοντες || καὶ αὐτοί, Ms. fol. 251. b.
μή τι πρὸς ἀγαθῷ εἶναί τινι τὸ μέλλον εἰδέναι, ἔνθα

τῷ φρονοῦντι μηδὲν ἡ γνῶσις λυσιτελεῖ· καὶ κατὰ τὴν τῆς ἱστορίας Κασάνδραν (ὀκνῶ γὰρ εἰπεῖν, τὰ μείζω παρεισκυκλήσας καὶ προφητικά) ἀληθιζόμενοι μέν, ἀφιέμενοι δὲ λαλεῖν εἰς ἀνήκοον.

130. Ἔδειξέ τι τέρας τότε οὐκ αἴσιον καὶ ἡ πάναγνος θεομήτωρ, ἡ παρ' ἡμῖν τοῦ ὁδηγεῖν ἐπώνυμος, δεικνῦσα, ὡς ἀποστέργει τὰ καθ' ἡμᾶς, καὶ οὐκ ἐθέλει μεθ' ἡμῶν εἶναι. Προοδεύουσα γάρ ποτε τότε καθ' ἡμέραν, ᾗ τὸ κῦρος ἔχει τοῦ τοιούτου καλοῦ, καὶ περιελθοῦσα, ἔνθα τῆς πόλεως ἡ ἀδελφότης ἤθελε, καὶ ἀποκαθισταμένη αὖθις εἰς τὸν οἶκον αὐτῆς, καὶ ταῖς εἰσόδοις ἐγγίσασα, οὕτως ὤκνει τὴν εἴσοδον, ὡς ἀνὰ πόδα χωρεῖν κραταιῶς βιάζεσθαι τὸν αὐτὴν φέροντα, καὶ ἐνιστάμενον βαρύνεσθαι ὁτιμάλα, καὶ πρὸς τῷ καταπίπτειν γίνεσθαι· καὶ οὐ μόνον ἐκεῖνον, ἀλλὰ καὶ ἄλλους, ὅσοι συνεπιλάβοιντο. Καὶ ἦν μὲν τὴν ἀρχὴν ὁ ἐκείνην ἀνέχων ὕποπτος, ὡς οἴκοθεν τοιαῦτα τεχνώμενος, ὁποῖα πολλοὶ τερθρεύονται· ὡς δὲ καὶ ἱεροὶ ἄνδρες, ἀγαθοὶ τὸ ἦθος, καὶ οἷοι μὴ παλαμᾶσθαι τὰ μὴ δέοντα, συνήραντο ἐγκρατῶς, καὶ πάντες ἐλάττους ἦσαν τῆς τοῦ ἱεροῦ σίγνου ἰσχύος, καὶ οὐκ ἐπείθετο εἰσελθεῖν, ἀλλ' ἦν, ὡς εἰπεῖν, ἀφόρητον, ὑπέρχεται φόβος ἅπαντας, ὅσον ἐχρῆν παθεῖν, ἐχέφρονας· καὶ ἀναπρήσαντες δάκρυα, ὕψωσαν κλαυθμόν, καὶ φωνὰς ἐπῆραν πρὸς τὸν ὕψιστον υἱὸν τῆς πανάγνου μητρός. Καὶ οὐκ ἐνέδωκαν, ἕως τοῦ σημείου ἤδη διαδειχθέντος, εἶτα μόνος ὁ βαστάζων ἀβάρυντος καὶ ἀπαραπόδιστος ἤγαγε τὸ ἅγιον μόρφωμα, ἔνθα ἵδρυται. Καὶ ἐδόκει μὲν καὶ τοῦτο τοῖς γενναίοις φρονεῖν ἐλαφρόν· ἡμεῖς δὲ οἱ ἀσθενεῖς ἐθυρυνόμεθα, ὑπονοοῦντες, ὅπου νεύσει τὰ τοῦ πράγματος.

131. Ἀπεκρίναντο καὶ τὰ ἱερὰ λόγια ἐξ ἐρωτήσεως τὰς ἀποβάσεις τῶν ἐν τῷ μέλλοντι, τὴν ἅλωσιν, τὴν ἡμέραν αὐτῆς, τὸ κατακοπήσεσθαι ἡμᾶς. Ὦ προφητικῆς εὐκρινείας ἐκείνης· ὢ ἀνεπικαλύπτου ἀποφάσεως, καὶ μὴ ἐπισυρομένης λοξείαν. Καὶ ἡμεῖς ἐκωφεύομεν.

132. Ἦν τηνικαῦτα καιρός, παρὰ τὰ τελευταῖα τῆς ἁλώσεως, καὶ περικοπὰς εὐαγγελικὰς ἐπ' ἐκκλησίας ἐκφωνεῖσθαι, δι' ὧν τὰ τῆς Σιὼν στηλογραφοῦνται κακά. Καὶ οἱ ἔσω φρενῶν ἱερολογίαν κατὰ τῆς πόλεως ὑπενόουν αὐτά. Ἔδοξε τῷ ἀρχηγῷ τηνικαῦτα, οἷα τῶν στρατηγικῶν ἀπεγνωκότι, διατάττεσθαι τὰ καθ' ἡμᾶς, καὶ διεγείρειν ὡς οἷον ἀπονυστάζοντας, ἵνα φαίνοιτο τοῖς μὴ συνιεῖσι διὰ πάντων ἡμῶν καὶ προμηθέστατος. Μηνύεται γοῦν ἡμῖν παννυχίδας ἀγρυπνητὰς ἐπιτάξαι περὶ τοὺς μεγάλους ναούς, παίζων ἐκεῖνος κἀνταῦθα. Τί γὰρ καὶ ἔδει προτρέπειν εὔχεσθαι, ὅπερ ἐκεῖνος ἀπηύχετο, τὴν σωτηρίαν τῆς πόλεως; Ἦν δὲ οἱ ἐπίνοια ὁσιοῦσθαι τὸ εὐσεβεῖν, καὶ ἐπικρύπτειν τὴν ὄρεξιν, ἵνα δοκῇ πάνυ περιποιεῖσθαι τὴν πόλιν ἐφ' ἅπασιν, εἴ γε θέλει καὶ εὐχὰς || τὰς ὑπὲρ αὐτῆς· οἶμαι δέ, καὶ ἐνδεικνύμενος, οὕτω Ms. fol. 251. a. καταστῆσαι τὰ τῆς πόλεως, ὡς εὐχῶν καὶ μόνων αὐτὴν δέεσθαι· ὅμοιον ὡς εἰ καὶ ἰατρὸς κατεργασάμενος ἔκ τινος φαυλότητος ἐπὶ θανάτῳ ἄνθρωπον, εἶτα ἐπιτάσσει προκαλεῖσθαι ἱερέα, ἐφοδιάσοντα ἤδη θνήσκοντα σωστικῷ ἁγιάσματι. Οὐδὲ γὰρ ἦν ἐπιπόλαιος, ἀλλὰ καὶ λίαν βαθὺς εὐτραπελεύεσθαι, ὅσα γε πειρᾶσθαι τοῦ ἀνδρὸς τοὺς δεινοὺς γνωματεύειν ἤδη τῶν, οἷς ἂν περιτύχωσι. Διὸ καὶ ταύτην προεξεποιεῖτο τὴν θεοκλύτησιν, ὡς οὐκ ἂν τὸ θεῖον θεραπεύοιτο. Ὅπως δ' ἂν εἶχε τὸ πρᾶγμα, ὁ μὲν εἶπεν. Οἱ δ' ἐκκλησιαστικοὶ ἐπήκουον. Καὶ δὴ χρεὼν προλάμπειν τοῦ ψάλλειν τὸν γλυκὺν μελῳδὸν Δαυΐδ, ἐπῆλθεν οὔτι κατὰ αἴσιον τοῖς δεησομένοις (ἦν δὲ βαθὺς ὄρθρος τότε, οὗ λαμφθέντος ἡλίῳ ἑάλωμεν), ἐπιλέξασθαι ψαλμὸν ἐκεῖνον, οὗ κατάρχει μὲν τό· ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου· ἐφέπεται δὲ τό· ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου· καὶ τὸ ἑξῆς· μονονοὺ χρησμῳδοῦντος τοῦ προφήτου καὶ θεοπάτορος δι' ὑποφητείας τῶν ἠθροισμένων εἰς δέησιν, καὶ λέγοντος· τί ἂν ἔτι δεοίμεθα πρεσβειῶν εἰς θεόν, ἔνθα ἐκείνῳ τὰ καθ' ἡμῶν ἀποπέμπεται;

133. Εἶχεν οὕτω ταῦτα, πλείοσιν ἑτέροις παρασπιζόμενα συγκροτήμασι τῆς τοῦ κακοῦ δηλώσεως. Καὶ τοίνυν τῇ συγχρῷ τούτων ἅπαντες ἀνεφρονοῦμεν, ὕψιμον συνάγοντες νοῦν, καὶ τὸ πρώην θράσος ἀποποιούμενοι. Οὐ γὰρ ἂν ἐκεῖνο θάρσος, εἴποιμι, ἐλλόγως εἴχομεν· καὶ ἐνοοῦμεν, οὐκέθ' ἡμῖν εἶναι φυκτά. Οὔκουν ἔφθησαν καταντῆσαι εἰς πέρας αἱ τῶν ἐκκλησιῶν δεητήριοι ἁρμονίαι, καὶ ὁ πόλεμος, ἔτι τῶν ψαλμῶν εἰλουμένων ἐν τοῖς τῶν δεομένων στόμασι, θρήνους παρέβυσε, καὶ εἰς γόους οἰκτροὺς καὶ ἀλαλαγμοὺς Ἅιδου ἀντιπεριέστησε, καὶ εἰς φυγὴν αὐτοὺς ἀθροισθέντας ἔπτυρε, καὶ τοιαῦτα διέθετο, ὥσπερ οἴω μεμνήσεσθαι τοὺς ζῶντας ἔν περ ὀνείροις· εἴπερ οὐ τὰ ἡδέα μόνον προπίπτουσι τῆς καθ' ὕπνον φαντασίας, ἀλλ' οὐδὲν ἧττον καὶ τὰ φόβον ἐνδειξάμενα.

134. Καὶ οὕτως ἐξ ἰδίας ἔχθρας, τῆς τε κατὰ τὸν βασιλέα Ἀνδρόνικον, καὶ τῆς κατὰ τὸν δοῦκα Δαυΐδ, κοινὸν κακὸν κατέσκηψεν ἀνάπαλιν τῷ γνωματευσαμένῳ, πολλὰ τῶν κοινῶν κατά τινας ἰδίας ἔχθρας λαγχάνειν ἐπανόρθωσιν. Καὶ οὐκ εὐφραδὴς ἡμέρα, ἡ τῆς πανωλεθρίας, κατερράγη ἡμῖν· ἣν ἤθελον μὲν ἐκ τῶν τοῦ καλοῦ ἐνιαυτοῦ ἀναπληρωμάτων αὐτίκα

ἐκκοπήσεται, ὁποῖόν τι λελυπημένος καὶ ὁ καρτερικὸς Ἰὼβ εὔξατο. Ἀλλ' ὁ ἐπιτάξας τῷ ἡλίῳ, ὁρίζειν τὰ τοῦ ἐνιαυτοῦ καθ' εἱρμὸν τὸν ἀπ' αἰώνων, ἐξουδενώσει πάντως τὸ τῆς εὐχῆς ταύτης, πεπαιδευκὼς, ἄλλως εὔχεσθαι, ἀνθρωπικώτερον. Τὸ γὰρ οὕτω γοητεύειν ἐν διηγήσεσιν, οὐκ ἂν εἴη ψυχῆς μὴ παραφερομένης, οἷς παθαίνεται· ὅθεν καὶ συγγνωστά, εἰ καὶ οὕτω λαλοῦμεν. Λίθοι γὰρ ἐνταῦθα οὐκ ἂν παθήσαιντο, καὶ
Ms. fol. 252. b. ὅσους κατ' αὐτούς. Πῶς || γὰρ ἄνθρωπος, ἔνθα καὶ τῶν πολεμίων οἱ φαινόμενοι θεὸν εἰδέναι, καὶ τι ἔχειν οἶκτον, καὶ ἀθηρίωτοι, ἐδάκρυον καὶ κατεστέναζον, βλέποντες πόλιν τοιαύτην οὕτω κατηκισμένην καὶ ἐζημιωμένην καλοῖς, ἅπερ, εἰ διενεμήθη, πλείστην ἂν τῆς οἰκουμένης εἰς εὐδαιμονισμὸν ἐξήρτυσαν; Οὐ γὰρ πόλις ἦν ἡ ἁπλῶς, ἀλλὰ μακάρων γῆ, ὁποίαν ὁ μαθὼν οὐκ ἂν ἔχοι λαθέσθαι αὐτῆς· ἡ θάλλουσα ἐκεῖ τοῖς κατὰ κόσμον καλοῖς, ἐξήνθησε τότε ἀτημελήτοις νεκροῖς, ὧν καὶ εἰσέτι σώματα ἀκηδέα κεῖται ἐν παραβύστοις, ἀνδρῶν, γυναικῶν, νηπίων, ἀκμαίων, μεσαιπολίων, γερόντων· εἰπεῖν τὸ ἀνηλεέστερον, παρειμένων, ἢ καὶ ἄλλο τι οἷος παθόντων ἀποτυχίᾳ φύσεως· καὶ αὐτῶν δὴ τῶν ὁπηδήποτε νοσοκομουμένων, οὓς οὔτε τεῖχος εἶδεν, οὔθ' ὅπλον ἔτριψε. Τὸν γοῦν ἐκκλησιαστικὸν ξενῶνα εἰσδραμόντες οἱ δεινοί, καὶ κατὰ σκιῶν ἀνδρίζεσθαι, πρῶτον εἰς αὐτοὺς ἀπησχόλησαν τὰ ξίφη· μετὰ δὲ κενὸν τὸ πᾶν ἀφῆκαν, ὧν ἐντὸς ἔστεγε, τῶν τε πρὸς ἰατρείαν, καὶ οἷς οἱ πληπαθεῖς ἐσκέποντο. Καὶ νῦν τὸ τοιοῦτον καλὸν οὐκ ἔχει τινὰ ξεναγωγεῖν. Ἀλλ' οἱ πρὸς νοσοκομίαν ἀπονεύοντες ἐρχόμενοι, καὶ τὸ κένωμα βλέποντες, καὶ τὸ πρὸς ὑγίειαν βοήθημα, ὡσεὶ καὶ θανάτου καταγώγιον, ἀποτροπιαζόμενοι, τύπτοντες τὰς αὐτῶν κεφαλάς, καὶ οἰμώζοντες ὡς ἐπιτελεύτια, ἐπαναστρέφουσιν οἴκαδε, καὶ κεῖνται, θανάτῳ ἐπιτρέψαντες ἑαυτούς. Οὐδὲ γὰρ οὐδέ ἔστι ῥανίδα ἢ ψῆγμά τι νοσήλειον, οὔθ' ἄλλοθί που τῆς καθ' ἡμᾶς ἐρημοπόλεως εὑρέσθαι, πάντων ὑπὸ τῶν καὶ ἀγροίκων καὶ ἀπηνεστάτων ἐξηφανισμένων· οἳ οὐδεμίαν χάριν μὴ ὅτι γε καταπλουτοῦντες, ἀλλ' οὐδὲ οἶμαι εἰδότες· ἄνθρωποι ἀχαρίστεροι πάντων, ὧν ἂν εἴποι τις, καὶ λόγον ἄλλον ἀπειρόκαλοι, καθότι τῷ χυδαίῳ τῆς πολιτεύσεως καλοῦ παντὸς ἦσαν ἀπείρατοι, καὶ τῶν τοιούτων ἁπάντων ἀγαθῶν τὴν καθ' ἡμᾶς πόλιν ἀπωρφάνισαν, ὡς μηκέτι θαυμάζεσθαι, τί δήποτε αὐτοὶ κατ' ἀνθρώπων θάνατοι αὐτόχρημα ἐξέβησαν, εἰ δίχα τῶν τοιούτων καὶ ἀλόγων ἀφειδεῖς ἦσαν κατὰ μανίαν τὴν καθ' ἡμῶν, καὶ ἀγγείοις ἐνύβριζον εἰς κατάκλασμα, μέχρι καὶ αὐτῶν λαγύνων καὶ ληκύθων, καὶ εἴ τι φαυλότερον· οἱ δὲ καὶ ἄλλως εἰς τόσον ἀγροικικῶς εἶχον, ὡς μηδὲ ὀφθαλμοῖς ποτε διαλαβέσθαι δοκεῖν τὰ σπουδαιότερα.

135. Λινέοις γοῦν σπειράμασι καὶ σακκίοις καὶ ῥάκεσιν ἀγαθὰ καὶ πολλὰ καὶ τίμια ἐγκείμενα πρὸς ἔριν ἀναλεγόμενοι, τὰ μὲν ἔνδον ἐξεῤῥίπτουν, ἀνοίγοντες τὰ τῶν ἀγγείων στόματα, καὶ συνεπάτουν· τὰ δὲ ἀχρεῖα δοχεῖα εἰς κόλπους παρέβυον, ὀβολιαῖα ὡς τὰ πολλὰ ὄντα. Καὶ τοιοῦτοι μὲν οἱ πλείους τὰ πρῶτα ἐν ἀκμῇ τῆς ἁρπαγῆς. Ἐπελθόντες δὲ οἱ μετ' αὐτούς, καὶ οἱ μετ' ἐκείνους ἔτι, ἐφορτίζοντο τὰ ἐγκεχυμένα καλά, καὶ πλοῦτον συνέλεγον. Ἦσαν δὲ καὶ αὐτοὶ ἀγεννεῖς ἄγροικοι, καὶ οὐδὲν ἀστεῖον πεπαιδευμένοι. Τοῖς γοῦν κα || τ' ἐμπορίαν παρατετυχηκόσι, καὶ εἴτε ἰσχυρότερον, Ms. fol. 253. a.
ἢ πρὸς πάχος δυναμένοις κτᾶσθαι τὰ ἐμπολώμενα, βραχύ τι λαμβάνοντες, κατήλλαττον τὰ τῷ βίῳ τίμια. Καὶ ἔστι μαθεῖν, ὡς διπλοῦς μὲν ὁ χρυσός, ὁ δὲ ἄργυρος καὶ εἰς πολλαπλοῦν πονηροῖς εἰς ἄλλαγμα χαλκείοις προΐετο. Βίβλοι δέ, ὡς ἀπολωλεκώς τις διάκοιτο ἂν τὴν ψυχὴν διὰ βίου, καὶ φάρεα, οἷς πρὸ τῶν ἄλλων φιληδοῦσιν οἱ Σῆρες, καὶ λοιπὰ ἔργα ἱστοῦ, οἷς ἀραχνῶν μίτος ἐρίσειεν ἄν, καὶ ὅσα δὲ ῥίζαν γενέσεως φέρουσι σκώληκα, ἐργάτην τρυφεροῦ νηρύματος, οὐδ' αὐτὰ ἐφολκὰ ἦσαν τοῖς μηδὲν εἰδόσι καλόν, ἀλλὰ παρεῤῥιπτοῦντο εἰκαίου τιμήματος.

136. Παρ' οἷς καὶ ὁ τριγέρων οἶνος διὰ τὸ ἀγλευκὲς ἐξουθενεῖτο, οἷα καὶ τι φάρμακον οὐκ ἀγαθόν· οὗπερ δὴ οἴνου χρεία καὶ μάλιστα ἦν τά τε ἄλλα, καὶ διὰ τοὺς ἐν πληγαῖς. Ἐξεχεῖτο γὰρ τὸ καλὸν ἐκεῖνο ὑγρόν, ὡς εἰς ποταμούς· ὅθεν οὔτε αὐτὸς ἦν, οὔτε τι ἀκόλουθον μάλαγμα, οὔτε ὁ καθ' εἱρμὸν κατάδεσμος. Διόπερ οὐ μόνον κύκλῳ τοῦ τείχους τῶν νεκρῶν κειμένων, καὶ περὶ σύμπαν δὲ τὸ τοῦ τοιούτου κύκλου ἐμβαδόν, οὐκ ἦν ὁ θάπτων· ἀλλὰ καὶ οἱ πεπληγμένοι προσθήκην ἐποίουν τῷ Ἅιδῃ, καὶ πράγματα προὐξένουν τοῖς θάπτουσιν. Ὢ γοῦν ὅσους ἐξεκένωσαν οἰκίας καὶ οἱ τραυματίαι, κατὰ πολυμερῆ ποσότητα ἐκλείποντες. Καὶ οὕτω μὲν ὁ γέρων οἶνος ἐκφορὰν ἔπαθε, συντεθνηκὼς οἷον καὶ αὐτὸς τοῖς κινδυνεύσασι κατ' ἔνδειαν αὐτοῦ. Ὁ δὲ νεογνὸς ὑπεσκίρτα, ζέων καὶ βραττόμενος· καὶ τὸ βράσμα ἦν τοῖς προσιεμένοις καθὰ καὶ τι ἐμβρόημα, καὶ ἀπειλὴ βίου ὑπεξαγωγῆς. Οἱ γὰρ τούτου ὑποπιμπλάμενοι, εἶτα τοῦ τῆς λήθης ἔπινον πόματος, ὃ θάνατος οἰνοχοεῖ, οὐ τοῖς ἡμετέροις μόνοις, ἀλλ' — ὃ καὶ προφέρων τῷ στόματι χαίρω — καὶ μάλιστα τοῖς Λατίνοις· οἷς μέγα τι καλὸν αὐτὸς ἐκρίνετο, ἅμα ἐκπιέζουσι χερσὶ σταφυλάς, καὶ ῥοφοῦσι χανδὸν τὸ νεόθλιπτον, ἵνα μηδὲ ταῖς λαγύνοις πρωτείου ὑποδοχῆς ἐκχωρήσωσι. Καὶ

ὀφείλομεν ἡμεῖς τῷ τοιούτῳ βρασματίῳ οὕτω χάριτας, οἷα προσεταιρισαμένῳ κατὰ Λατίνων τὸν θάνατον· ὃν ἐπώτρυνεν αὐτοῖς καὶ τὰ ὕεια κρέα, οἷς τὰς γαστέρας πλησμίως ἔσαττον· οὕτω δὲ καὶ τὰ ἐκ βοῶν καὶ τὰ καλὰ σκόροδα, δι' ὧν ὁ καθ' ἡμᾶς κλῆρος ἐσώζετο, κατασφάλλων καὶ καρπιζόμενος τὰ ἐς ζωὴν, καὶ οὕτω τιννύμενος τοὺς φόνους, οἷς ἐκεῖνοι τοὺς ἡμετέρους ἐνέδρευσαν, καὶ μακαρίζοντες οὐκ αὐτοὺς, ἀλλὰ τὴν νόσον, ἤδη δέ που καὶ τὸν θάνατον κατὰ τοὺς ἀπὸ Γαδείρων, παρ' οἷς ὁ Ἅιδης ἐκτετίμητο, εἰ καὶ μηδεμίαν χάριν οἶδε θάνατος κατὰ τὸν τραγῳδόν.

137. Τὸν δὲ συχνὸν τοῦτον Λατινικὸν θάνατον αὐτὸς ὁ Ἀλδουῖνος ἐτράνωσε, περίλυπος φάμενος, ὑπὲρ (Ms. fol. 253. b.) χιλιάδας τρεῖς || μεγάλων αὐτοῖς ἀνθρώπων ἐκ νόσου πεσεῖν. Σωρὸς οὗτος ἡδὺς ἡμῖν, εἰ καὶ μὴ ἀντεσήκου πρὸς τὴν ἐξ ἡμῶν στοιβήν. Συναριθμουμένων δέ γε καὶ τῶν ἐν πολέμῳ πεπτωκότων, εἴχομεν παραμυθίαν πλείονα. Ὁ αὐτὸς γὰρ αἰτιώμενος ἄλογον ἀντιστασίαν ἡμῶν, καὶ ζημίαν ἐντεῦθεν τοῦ ῥηγός, ἐξετραγῴδησεν, ὑπὲρ τρισχιλίους πεσεῖν ὑπὸ τῶν ἐκ τοῦ τείχους ἔξω καταπεμπομένων βελῶν, δίχα γε τῶν ἐν προνομαῖς πιπτόντων, ἢ καὶ ἄλλως, ὡς ὁ τοῦ πολέμου κύβος ἐῤῥιπτε, καὶ ὁ τῆς δίκης τροχὸς κατεκύλιεν, εὔστροφα περιφερόμενος. Πολλοὺς δὲ καὶ λιμὸς ἀπῆγεν. Ἐστενοχωρεῖτο γὰρ καὶ σφίσι τὰ ἀναγκαῖα.

138. Καὶ οὕτως ἡμῖν ἐπεσταλάττετο νέκταρ παραμυθίας τῇ ὑποκαταβώσει τῆς πολεμίου στρατιᾶς, ἣν οἱ δεξιῶς φιλιωθέντες ἡμῖν Λατῖνοι (πολλοὺς γὰρ ὑπηγόμεθα, πραγματευόμενοι τὰ ἐκ θεοῦ) ἐξεκάλυπτον, ὑπὲρ ὀγδοήκοντα χιλιάδας πεζῇ ἐπελθεῖν· ὧν χίλιοι μὲν πεντάκις φερέγγυοι ἐμαρτυροῦντο ἱππόται εἶναι, πεντήκοντα χιλιάσι Ῥωμαϊκαῖς ἐναντίοι κατὰ τὴν ἐκείνων δόξαν ἀντιδραμεῖν. Τῶν δὲ λοιπῶν οἱ μὲν ἱπποτοξόται ἦσαν, οἱ δὲ ψιλῆται, καὶ ἄλλως δὲ μεθ' ὅπλων χρήσιμοι. Συνεπλήρουν δὲ τὸν πολὺν ἐν αὐτοῖς ἀριθμὸν καὶ ἄνδρες, φασί, τοῦ ῥιζίκου, μήτε διάμισθα λαχόντες ἐκεῖνοι ἐκ τοῦ ῥηγός, μήθ' ὑπόσχεσιν· ἐπακολουθήσαντες δὲ τῷ λοιπῷ στρατῷ, εἴ πως τῶν ἔργων συναιρόμενοι, τὰ ἐκ τύχης εὕροιεν ἀγαθά. Καὶ τοσοῦτοι μὲν τὸ πεζόν. Τὸ δὲ ναυτικὸν — ἀλλ' αὐτοὶ δῆλοι κατ' ἀριθμὸν τὸν ὑπὲρ διακοσίας νεῶν, σύν γε τοῖς πειραταῖς· οἳ καὶ αὐτοὶ μηδὲν ῥηγικὸν ἔχοντες, τύχης δώροις ἐπέτρεψαν ἑαυτούς· ὑφ' ὧν, κατὰ γῆν τε καὶ θάλασσαν πιεσάντων ἡμᾶς, ἐξεθλίβημεν τῆς ζωῆς. Καὶ οἱ μὲν θανάτῳ κατεσπάσθημεν· οἱ δέ, τοῦ Ἅιδου τὸ στόμα συγκλείσαντος, οἷς οἶμαι κεκόρεστο, ἡμιθνῆτες ἐμείναμεν.

139. Ἀλλ' ἐνταῦθα παρεκβεβηκότες καθ' ἱστορίας ἀνάγκην, ἀναδραμούμεθα πρὸς μικρὸν αὖθις, ἐκφῆναι τὸ καὶ πτωχικὸν καὶ ὑπόπαχυ τῶν κατακλυσμοῦ δίκην παρασυράντων τὰ πολιτικά· οἳ τὰ μὲν τίμια εὐήθως καὶ ὡς οἷα βρεφικῶς ἀπεδίδοντο, οὗ ἄν τις αὐτοῖς χειρίσειε· τῶν δὲ λοιπῶν οὐδὲν ἢ βραχύ τι παντελῶς ἀνθίστων τίμημα, καὶ μάλιστα τῶν, ὅσα ἐξοπλίζει χειρομάχων πληθύν. Ἀλλ' εἶχον αὐτὰ εἰς χύμα προκείμενα αἱ λεωφόροι, τὰ ἐλαιώδη εὐώδη, τὰ στακτὰ εὔοδμα, τὰ ξηρά, τὰ κατὰ νόσων, τὰ πρὸς τρυφήν, τὰ πρὸς βαφήν, τἄλλα, οἷς διοικονομεῖται βίος καθάρειος. Ξύλον γοῦν εὔοδμον εὑρεῖν, ἐκπελέκημά τι αὐτοῖς ἦν ἰδεῖν· ἡ εὐγενὴς ἀσταφὶς ἄνθρακος ἐσβεσμένου τμῆμα ἐφάνταζεν ἐκείνοις· τὸ ῥόδεον στάγμα εἰς ὕδωρ ἀχρεῖον ἐτάσσετο· καὶ τὰ ἄλλα ὧδέ πη παρενοοῦντο, ἵνα μὴ διασκευάζων εἰς πλέον, || θηριώδη ἀγροικίαν δοκοίην ἀπανθρωπίζεσθαι. Καὶ (Ms. fol. 254. a.) ἦν θαυμάζειν, ὡς κρίκων μὲν σιδηρέων, καὶ ἠλαρίων, καὶ μαχαιριδίων, καὶ πυρείων, καὶ βελονίων ἐπιμελῶς εἶχον, ὡσεὶ καὶ μεγάλων τινῶν· τὰ δὲ ἄλλως ἱδρυὰ ποσὶν ἐδίδουν πατεῖσθαι. Ἔλυε δὲ τὸ θαῦμα ἡ κατ' αὐτοὺς ἀπειρία, καὶ τὸ πρὸς βίον ἥμερον καὶ πολιτικὸν ἀνέθιστον.

140. Ἐντεῦθεν οὖν κατὰ τὴν Κερκυραίαν παροιμίαν ἦν ἐπιλέγειν αἰσχρῶς καὶ τῇ καθ' ἡμᾶς πόλει τὸ ἀπευκταῖον ἐλεύθερον, ὡς ἐξὸν ὄν, καὶ ἐν ταύτῃ ἀποπατεῖν, ὅποι ἐθέλει, τὸν βουλόμενον. Οὐκ ἂν δέ τις ἐπ' αὐτῆς ἀφυῶς εἴποι, καὶ ἐρημίαν μεγάλην εἶναι τὴν Μεγαλόπολιν, καὶ ἐρημίαν, οὐ Σκυθῶν, οὐ μὴν οὐδὲ Λατίνων τῶν ἑλόντων, ἀλλ' ἡμῶν αὐτῶν· οἳ φυγέντες ἁμαρτιῶν βαρυτάτῳ χειμῶνι ἔρημον τηλικαύτην πόλιν ἀφέντες ἐθέμεθα, καὶ τὴν Σικελικὴν Σκύλλαν ἐπηγαγόμεθα, εἴτε μὲν οὖν Σκύλλαν, ὀλίγαις ἡμᾶς κεφαλαῖς ζημιώσουσαν. Ἄρτι δὲ Χάρυβδις ἡ ἐκεῖθεν κατέσπακεν ἡμᾶς, ὀλέθριον ἀναῤῥοιβδήσασα.

141. Καὶ ἦν μὲν ἐνταῦθά μοι τόπος, θρήνων κατάρξαι, καὶ ἀποιμώξασθαι τὰ ἐφ' ἡμᾶς κακά. Οὔτε δὲ γέροντι τὰ τοιαῦτα προσευπορεῖται, καὶ οὐδὲ θεοῦ ἐπίσκοπος τοιούτοις λόγοις πρέπων ἐστίν, ἀλλ' ἢ μόναις εὐχαριστίαις, καὶ δόξῃ τῇ εἰς τὸν ὕψιστον, ἐξ οὗ καὶ δι' οὗ τὰ ἡμέτερα. Τί δὲ δὴ κωλύει, ἓν γοῦν τοῦτο μόνον εἰπόντα με πεπαύσεσθαι, ὡς, εἴ τις ἐρεῖ, μὴ ἂν ἰδέσθαι πω τὸν ἥλιον ἄλλοθι μείζω πάθη, οὐκ ἂν ἔξω λόγου ἀπισχυρίσαιτο; Καὶ εἴπερ εὑρήσω τὸν ἀντιπεσούμενον, ἀλλ' ἐνταῦθα οὐκ αἰδέσομαι εἰς λαλιὰν οὔτε τὸ βαθὺ γῆρας, οὔτε τὴν ἐπισκοπήν, ἀλλ' ἐνστήσομαι, καὶ ἐπαγωνισάμενος, οὐκ ἂν πόῤῥω σκοποῦ τὸ τῆς ῥητορείας βέλος ῥίψαιμι.

142. *Τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα*, εἴ τι χρὴ τραγῳδικῶς συντελέσαι τὸν λόγον, ἔνθα τὸ πάθος τραγῳδίας ἄξιον· καὶ οὔτε λόγῳ καθ᾽ ὅλον οἷόν τε παραστῆναι, οὔτε κατὰ ἔργον φέρεσθαι. Εἴη δὲ μέχρι τοῦδε λωφῆσαι τὸ πᾶν, μὴ καὶ ἀκούσωμεν καὶ αὐτοί, ὡς οὐκέτι ὁ τοῦ θεοῦ καθ᾽ ἡμῶν θυμὸς ἀπεστράφη, ἀλλ᾽ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή, καὶ οἷα τε κατενεχθεῖσα πατάξαι εἰς θάνατον· οὐκ ἀκουσόμεθα δέ, μένειν θεοῦ καθ᾽ ἡμῶν, εἴπερ διορθωσόμεθα. Διόρθωσις δὲ ἡμῖν ἔσται, εἰ μεταβαλώμεθα τοῦ περιπονήρου βίου, δι᾽ ὃν ἡμῖν ταῦτα. Μηδένα γὰρ τοὺς πλανάτω φίλαυτος, ὡς οὐκ ἐνδίκως πεποινηλατήμεθα.

143. Πρῶτός οὖν ἐγὼ πρὸ ὀφθαλμῶν ἱσταμένους τοὺς τῶν ἐμῶν κακιῶν ἐλέγχους ἀναθεωρῶ, καὶ ποτνιῶμαι θεοκλυτῶν περὶ ἐλέους θεοῦ, καί πως ἐκ τοῦ δικαίου ἔφεσιν πρὸς τὸ φιλάνθρωπον τίθεμαι, μὴ ἔχων ὑφίστασθαι, εἴπερ ἀνομίας παρατηρεῖ κύριος. Μεταβλητέον οὖν, ὅσον τάχος. Οὐκέτι γὰρ οἱ πλείους, ὡς βλέπω, μεταβολὴν τὴν χρηστοτέραν ἠλλάγμεθα. Μενοῦνγε φιλοτιμούμεθα καὶ αὐτοὶ λέγειν ἰδοὺ καὶ πάλιν ἡμεῖς· τίς ἡμῶν κύριός ἐστιν, ὡς μηδενὸς ἡμῖν φαῦλον ἐπιψηφισαμένου μηδέν; Ὢ τῆς ἐν ἡμῖν δυσαισθησίας· μὴ μοι δὲ γένοιτο, καὶ *ἀναισθησίας* εἰπεῖν, ἐν τῷ μὴ τὰ αἴτια καὶ κατασκέψασθαι, καὶ ἐκ ποδῶν Ms. fol. 254. b. ποιήσασθαι, ἀφ᾽ ὧν ἡμῖν κατεβρέχθη κεραύ || νια κακὰ δι᾽ ὧν ἐκτεφρωθέντες, πληγὰς ἐνετρίβημεν, ὥσπερ οὐκ ἂν οὐδεὶς μακροὺς ἐνιαυτοὺς ἀπαλθησόμεθα.

144. Εἰσὶ δὲ ταῦτα (οὐ γὰρ ὀκνήσω, καὶ πάλιν τὸ τοῦ λόγου χειρισάμενος ἄροτρον, ἀναπολῆσαι τὴν κατ᾽ ἐμὲ πνευματικὴν ταύτην γῆν, καὶ τὸν θεῖον σπόρον, ὡς εἴθισται, καταβαλεῖν)· οἱ φθόνοι, τὸ πρεσβύτατον κακόν, τὸ τοῦ καλλίστου ζώου μέγα αἶσχος, τὸ δεινὸν τοῦ καταπεσόντος ἑωσφόρου θέειον, ὃ συνεφήψατο τῆς ἐν ἡμῖν κακοποιοῦ κεραυνώσεως· οἱ συγγέροντες τῷ φθόνῳ τῦφοι, εἰς οὓς ὁ, ὡς εἰπεῖν, τυφογέρων δαίμων ἀναβιβάσας ἡμᾶς, καὶ προσκυνηθείς, ὡς ἐπὶ βασιλείαις τισίν, εἶτα κατέῤῥιψε κάτω βαλὼν τοὺς πολλοὺς καὶ εἰς τάρταρον· αἱ διαβολαί, αἳ τὰς θανασίμους καθ᾽ ἡμῶν ἀπευθύναν βολάς· τὸ βαθὺ ψεῦδος, οὗ ἕνεκεν ὁ τῆς ἀληθείας θεὸς ἀπῆρε τοὺς ὀφθαλμοὺς ἐξ ἡμῶν· τὸ φιλοχρήματον, οὗ κατ᾽ αἰτίαν εὖ δεδικαιωμένοι, πάντων χρημάτων ἀπεγυμνώθημεν, δίχα γε τῶν καὶ εἰσέτι τῷ φωλεῷ τούτῳ ἐπιστρέψαντι? κἀκεῖθεν καταθρασυνομένων, τῶν μὴ φωλεοὺς ἐχόντων, ἔνθα κλινοῦσι τὰς κεφαλὰς (οἳ βλεπέτωσαν, μήποθεν ὄφις, ὁποίους χρὴ δεδίεναι, ὑφερπύσας ἀχρειώσῃ αὐτοῖς τὰ τῆς φωλείας, ὡς μὴ τελεσφορηθῆναι εἰς νεόττευσιν)· αἱ ἐπὶ δίκῃ συκοφαντίαι, ἃς ὑπερμισήσας ὁ δίκαιος, ἐδικαίωσεν ἡμᾶς, οἷς οὐκ ἂν συκοφαντίαν προηγησαμένην ἐπικαλέσαιμεν· οἱ ἐπὶ δανείσμασι μετρίοις ἀσύμμετροι καὶ βαρεῖς τόκοι, οἷς οἱ ἀπάλαμνοι κατεπονοῦντο καὶ ἀπέριττοι καὶ ἀπεριουσίαστοι, οὓς ἐλεήσας ὁ τὰ ἐλαφρὰ φορτίζων θεός, καὶ τοὺς κοπιῶντας καὶ πεφορτισμένους προκαλούμενος εἰς ἀνάπαυσιν, μάχαιραν κατηκόνησεν ἔξωθέν τε καὶ ἔσωθεν, ἀτεκνοῦσαν τοὺς τοῦ τοιούτου τόκου πατέρας· οἳ μηδὲ τὴν ἀρχὴν σπαρῆναι πρὸς πατέρων ὤφειλον· εἰ δὲ καὶ ἐκ τῶν ταμιείων φόβος τοὺς τοιούτους ἔσχε, καὶ οἴδαμεν καὶ οἴδασι.

145. Προσλογιστέον τοῖς φαύλοις ἐν ἡμῖν αἰτίοις καὶ τὸ τῆς φιλίας εὐπεριφρόνητον, καὶ οὐ μακρόβιον, ἀλλ᾽ ἐφήμερον· ὅθεν κεκινημένοι τὸ ἄγριον βάρβαρον διέθεντο εἰς ἡμᾶς τὰ διὰ βίου θρηνηθησόμενα. Συντακτέον τούτοις καὶ τὸ ἀχάριστον, καὶ ἁπάσης χάριτος εὐεπίληστον, καὶ οἷον θνήσκειν ταχύ, ὡς ἅμα ἐλεηθῆναί τινι, καὶ τεθνάναι τὴν χάριν, κατὰ τὴν παροιμίαν. Διὸ ἥρπασεν ὁ θεὸς ἀφ᾽ ἡμῶν τὰς χάριτας, ὧς ἐκ μακροῦ τὸ καθ᾽ ἡμᾶς λάχος ὠφύϊστο. Προσγραπτέον καὶ τὸ ἀνηλεὲς ἐπὶ τοὺς βραχύ τι προσκρούοντας, ἐξ οὗ τὸ καταῤῥῖψαι ἡμᾶς ὥστε ἀνηλεὲς τὸ δικαιότατον· εἴπερ οὐ μικρά τινα ἡμεῖς, ἀλλὰ μυρία προσκεκρουκότες, οὐ τοσαῦτα τίνομεν. Προσενθυμητέον οὐχ ἥκιστα καὶ τὴν τῶν θείων περιφρό || νησιν, Ms. fol. 255. a. τὸ χείριστον, καὶ τὸν ἐπ᾽ αὐτοῖς γέλων, ἐξ ὧν περιπεφρονήμεθα, οὐ πρὸς κατάγελον, ἀλλὰ πρὸς ὄλεθρον. Ἢ γὰρ οὐκ οἴδαμεν τοὺς ἐν ἡμῖν ὁρογλυφοῦντας τὰ τῶν ἁγίων, καὶ ὑποσποιουμένους αὐτὰ εἰς κληρονομίαν, καὶ καυχωμένους, ὡς, ἐφ᾽ οἷς θεὸς ὑπνοῦν προσποιεῖται, αὐτοὺς νηφαλίους ὄντας καὶ πρακτικούς.

146. Ἀναβάλλομαι περιηγήσασθαι τὸν κατ᾽ ἐξαίρετον καὶ τὰ κατὰ τοῦ πολιούχου ἡμῶν μυροβλύτου, καὶ τὰς θρασείας ἀναιδείας ἐκείνας, καὶ ταῦτα ἐπὶ πράγμασιν, ἃ προυκαλεῖτο καὶ ἐγκαλύπτεσθαι, ὧν μάρτυρες ἀπαράγραπτοι καὶ πύλαι περίοπτοι, κολαφθεῖσαι ἀξίως εἰς βαθύ ποτε, καὶ προτιτλοῦσαι θράσος ὕψιστον· ἔτι δὲ καὶ τὰς περιέργους συνδρομὰς καὶ καταδρομάς, ἃς τὸ ἔναγχος οἶδε θέρος, εἰς οὐδὲν δέον.

147. Ἀλλ᾽ ὥστε οὐ τοῦτο δὴ τὸ ἐλαφρὸν δη[λῶ]σαι δίκαιον ἄνδρα, οἷα δύσχρηστον τοῖς δυσαρέστοις, ἀλλὰ καὶ κρύψαι εἰς γῆν· τὸ βαρύτατον προσεπιλεκτέον τοῖς αἰτιατέοις· καὶ τοὺς κατ᾽ ἀλλήλων ψιθυρισμούς, ἐφ᾽ οἷς οὐκ ἐχρῆν, οἳ βοὰς μάχης ἀφύκτου ἡμῖν ἐπέῤῥηξαν· τὰς ἐπὶ παραθήκαις ἀποστερήσεις, ὧν ἕνεκεν ἐπεπλουτίσθημεν, εἰ καὶ γελῶσι κἀνταῦθα πάντες οἱ ἔτι ἄνδρες τοῦ πλούτου· τὰς τῶν γραμματίων ἀποπροσποιήσεις, ὧν σταυροῦ τιμίου τύπος προλάμπων,

εἶτα καὶ μνήμην τῆς ἁγίας τριάδος τοῦ ἑνὸς καὶ μεγάλου θεοῦ ἐπεισάγει προγεγραμμένην πρὸς ἑκάστου τῶν οὕτω συναλλαττόντων, ὡςεὶ καὶ μάρτυρα· ὅπερ κατ' ἐπιορκίας ἔγκλημα ἐξεπολέμωσεν ἡμῖν φανερῶς τὸν θεόν.

148. Τί μοι ἀναμετρεῖν τὰ πλείω αἴτια, ἔνθα μὴ πάνυ καιρός; Ἀρκέσει μόνον εἰπεῖν, ὡς δίκαιος ὁ θεός, καὶ δικαιοσύνας ἀγαπᾷ. Διὸ οὔτε μερὶς αὐτῷ πρὸς τοὺς μὴ τοιούτους, καὶ οὐδ' ἂν ἀνήσει ποτὲ συχναῖς μεθόδοις μετερχόμενος τοὺς ὅσοι τοῖς ἀδικοῦσι συνεξετάζονται.

149. Δοκῶ μοι, ὦ πολῖται καὶ δι' ὅλων συναεθλευταί, καὶ ὑμεῖς δέ, ὦ νεήλυδες, ἠκριβωσάμην διαγράψας τὰ καθ' ἡμᾶς τεχνικῶς, καὶ εἰκόνα ταύτην ἐν ἡμῖν
Ms. fol. 255 b. ἀνεστήλωσα διδασκαλικήν, ὧν ἐπάθομεν || καὶ ἔστιν ὑπὸ τῆς ἄρτι ὄφελος διαβαίνειν εἰς τὸν τῇ ζωγραφίᾳ ταύτῃ ἐπενατενίζοντα, καὶ μὴν καὶ ἀγαπῶντα· ὡς ὅ γε τὴν ἀκριβῆ διαζωγράφησιν μεμισηκώς, οὐδὲν ἧττον, φασί, καὶ τὴν ἀλήθειαν συνεμίσησεν. Οἶμαι δὲ καί, ὡς εὐλαβητέον, μὴ τῇ περιφρονήσει τῶν ἐνταυθοῖ διεζωγραφημένων, καὶ τῇ ἐντεῦθεν ἀπαλειφῇ τοῦ τυπώματος, ὧν πεπόνθαμεν, ἀνάγκη ἐστὶ καὶ ἑτέρῳ μεταχρονίῳ ἀρχιζωγράφῳ τῶν τοιούτων, πινακογράφημα ἕτερον ἐφ' ὁμοίοις παθήμασιν ἐν ὑμῖν στήσασθαι. Εὖ γὰρ ἴστε πάντως, ὡς οὐ μίαν πληγὴν θεὸς ἐντήκειν οἶδε τοῖς ἀνεπιστρόφοις κακοτρόποις, οὐδὲ εἰςάπαξ, ἀλλὰ πολλὰ βέλη παρ' αὐτῷ ἡ μυστικὴ φαρέτρα κρύπτει, ἐξ ὧν ἀεὶ κατασκοπεύονται αὐτῷ καὶ βάλλονται, συνεκπολεμούσης αὐτῷ καὶ τῆς ἀρᾶς [τοῦ μυροβλύτου]. Ἀλλὰ μὴ ἡμῖν, κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐξελοῦ [δὲ] θλιβομένους ἡμᾶς, καὶ οὕτω δοξαζόμενος κατὰ τό· καὶ ἐν ἡμέρᾳ θλίψεώς σου ἐπικαλέσεις με, [καὶ ἐξελοῦμαί σε,] καὶ δοξάσεις με, τὸν ὄντως ὑπερδεδοξασμένον, εἰς πάντας τοὺς αἰῶνας.

Τέλος καὶ θεῷ δόξα.

Ms. fol. 239. a.

Τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης κυρίου Εὐσταθίου ἐπιστολαί.

α

Τῷ . . . . . .

Βότρυς οὗτος· ἀλλὰ μενέτω μὲν ἐπὶ χώρας τὸ κάλυμμα τῇ καλάθῳ, καὶ τέως ἀπεριέργαστα φυλαττέσθω τὰ ἔνδον. Ἐγὼ δέ σοι ἐρῶ, καὶ τίνων οὗτος ὁ βότρυς· ὅτι οὐ σταφυλῆς ῥαγῶν (οὔπω γὰρ ἐκεῖναι οὐδὲ περκάζειν ἔτι μεμελετήκασιν)· ἀλλὰ μήλων οὗτος βότρυς. Ἁδρὸς ὁ βότρυς. Περσικὰ τὰ μῆλα· ἑσμὸς ὀπώρας ἀλληλουχούμενος. Ἀλλὰ ταῦτα μὲν στέξας ὁ κλάδος ἐβοτρυοφόρησέ σοι· τὰ δὲ λοιπά, τῇ ῥοπῇ βαρυνθέντα, διεξέπεσον τοῦ σμήνους, καὶ εἰς καλὸν μονήρες περιεγράφησαν, οὐ θέλοντα καὶ εἰσέτι συνδεῖσθαι, οὐδὲ θλίβειν καὶ ἀντιθλίβεσθαι· ἀλλ' εἰς ἄνετον ἐκδραμόντα, καὶ εἰς μοναδικὴν ἐλευθερίαν τὸν ἐν αὐτοῖς σύνδεσμον λύσαντα. Καλὰ ταῦτα πάντα, καὶ οἷα, κἂν ὁ Μῶμος ἰδὼν ἐπιμύξῃ, καὶ τὸ χεῖλος ἐνδακὼν συγκλείσῃ, καὶ τὸ ἄχος ἔσω καταπέψῃ, καὶ τῆς ὀπώρας οὐ καταχασμήσεται. Οὐ μῆλα ταυτὶ Ἑσπερίδων, ἃ μῦθος θρυλλεῖ καὶ φυτηκομεῖ πρὸς ἆθλον τῷ Ἡρα[κλεῖ]· ἀλλ' εἰκάσαις ἂν αὐτῶν ἕκαστον πρὸς δίσκον ἡλίου φαέθοντος, ὁπηνίκα καὶ χρυσοῖς ἐκεῖνος ὑπερεύθεται νέφεσι· μᾶλλον δ' ἂν εἴπῃς, τὴν Ῥοδοδάκτυλον ἐπαφωμένην ἐναφεῖναι αὐτοῖς τὸ τοῦ χρώματος ῥόδεον. Οὕτω πῇ μὲν λευκὸν παμφαίνουσι, πῇ δὲ πρὸς ῥόδον πορφύρεον βάπτονται. Ἀλλὰ τί μοι πρὸς ταῦτα ῥόδου μεμνῆσθαι, τῆς καλοῦ πρὸς ὄσφρησιν, δέον Ἀφροδίτης αὐτὸ προσῥίπτειν ποσίν, ἵνα μὴ ποδῶν ἰχῶρες κατεπαίρωνται κεφαλῆς; Ῥόδου μὲν γὰρ ὄσφραν ὀκνοίη ἄν τις, συννοούμενος ἕλκος ἐκεῖνο τὸ Ἀφροδίσιον. Τουτὶ δὲ τὸ ἕ[λκος] οὔτε ἐκ τραύματος, οὔτε τοῦ ἐκεῖθεν αἵματος· ἀλλὰ ἐξ ἡλίου ἄνωθεν, καὶ σφαίρας ἐκείνης, ᾗ συγγενὲς τὸ περιηγμένον τῆς κεφαλῆς. Καὶ ἥκοι ἂν οὕτω τὸ τῆς ὀπώρας ταύτης καλὸν τοῖς ὀσφραινομένοις, οἴκοθεν οἴκαδε. Τοιοῦτον τὸ ἐμὸν κήπευμα· τοιοῦτος Ἔρως ἐπορχεῖται τῷ δώρῳ· καὶ μήποτε φιλοῦντες Ἔρωτες πυρσοῖς, τοῖς χείλεσιν, ἐνεμάξαντό τι αὐτόθι τῆς τῶν χειλέων βαφῆς. Τί μοι βουκολικὰς λέγεις κρήνας, αἷς αἱ Ὧραι πρὸς κάλλος τὸν χρῶτα λούουσι; καὶ τὴν ὀπώραν ταύτην ἐναποπλύ[νεσθαι λέγεις] εἰς ὡραϊσμόν; ἐξὸν ἐκεῖνο μᾶλλον εἰπεῖν, ὡς ἄρα τοῦ κάλλους ἐπεσταλάχθη τῇ ὀπώρᾳ ταύτῃ κατὰ τὴν Ὁμήρου μοῦσαν· ε ὐ σ τ έ φ α ν ο ς Κ υ θ έ ρ ε ι α χ ρ ί ε ι τ ὸ π ρ ό σ ω π ο ν.—Τὰ μὲν οὖν μέχρι δεῦρο τοιαύτης παρ' ἡμῖν ὀπώρας ἐνυμφοκομεῖτο κόμιον, ὑπ' ἀμφιλαφεῖ παστάδι φύλλων θαλαμευόμενον. Τὰ νῦν δὲ καὶ ἡλίῳ δέδοται· καὶ εἰ βούλει, τὸ παραπέτασμα τοῦ λοιποῦ περιελών, μάθε, ὡς οὐ ψευδόμεθα. Εὑρήσεις γὰρ αὐτὸς Ἐρώτων ἄθυρμα, Χαρίτων μέλημα, Κάλλους ὄχημα.

β

Ἐμὰ καὶ ταῦτα τά τε μῆλα τῆς Περσίας καὶ ὁ χρυσοειδὴς κρόκος, καλὸν ἐπὶ καλῷ (ἀπεναντίας τῇ παροιμίᾳ) κείμενος. Τί οὖν ἂν ἴδοις ἐν τῇ Μεγαλοπόλει καινότερον; Ἐν ἀγροῖς μὲν τάχ' ἂν εὐπόρως τῶν τοιούτων σχοίη τις· ἐνταῦθα δέ, καὶ μάλιστα περὶ τὴν καθ' ἡμᾶς ταύτην μοῖραν, ὅτι μάλα πολλὴ σπάνις τούτων ἐστί. Καινὰ δὲ καὶ ἄμφω διὰ τὴν ὥραν. Ὀπώρα τε γὰρ τοιαύτη ἐν βαθεῖ φθινοπώρῳ ξενίζει· καὶ ἄνθος ἐν μετοπώρῳ, σπανίζον ἂν εἴη θέαμα.

γ

Ὁ πάνσοφος Κομνηνός· ἡ πανσέβαστος κεφαλή· ὁ χρυσοῦς, οὐ μόνον τὴν κόμην καὶ τὴν τοῦ προσώπου χάριν, ἀλλὰ καὶ μάλιστα τὴν ψυχὴν τὴν ὄντως ἀῤῥύπαρον καὶ στιλπνὴν ἀρεταῖς· οὐ χρυσῷ μόνον καὶ ἀργύρῳ βρίθειν ἐπάξιος, ἀλλὰ καὶ πᾶν ἔχειν ἄλλο, εἴ τι κατὰ κόσμον τιμαλφεῖται, καὶ πολλοῦ ἄξιον κρίνεται· οὐκοῦν καὶ τοιούτοις δεξιωτέος, ἃ δὴ τιμῶνται πολλοῦ. Ἀλλ' ἡμεῖς ὀφειλέται μὲν αὐτῷ πολλῶν δεξιώσεων· οὕτω δὲ τὸ τῆς χειρὸς ἡμῖν οὐ πέπλησται, ὡς μηδὲ μικροῖς τισιν ἔχειν ἀφοσιώσεσθαι τὸ δεξίωμα. Ὁρᾷς γάρ, ὅπως εἰς τοσοῦτο δραπέτης τὰ εἰς ἡμᾶς ὁ χρυσός, ὡς μηδὲ τὴν ἐξ αὐτοῦ παρωνυμουμένην ὀπώραν ἀφεῖναι παρ' ἡμῖν εἶναι· ἀλλ' ἀντ' αὐτῆς ἐκπεπέμφθαι τῇ σῇ μεγαλυπερόχῳ λαμπρότητι σταφυλὰς

μὲν καὶ ταύτας· οὐ μὴν καὶ χρυσᾶς, ὁποῖα τὰ ἐν ὑποσχέσει. Φθονεραὶ γάρ καὶ αὗται καὶ φυγάδες ἡμῶν κατὰ τὸν ἐπιστατοῦντα τῇ σφῶν κλήσει χρυσόν. Οὔκουν ἡμῖν σταφυλαὶ αὗται χρυσαῖ, εἴδους δέ τινος ἑτεροίου· ἃς ἡ χύδην ῥέουσα γλῶσσα κουκούβας καλεῖ· ταὐτὸν δὲ γλαῦκας εἰπεῖν· καὶ οἶμαι διὰ τὸ τοῦ χρώματος ὅμοιον, καὶ (ὡς ἂν εἴπῃ τις) γλαυκωπόν· ὑπογλαυκίζουσι γὰρ καὶ αὗται, ὅτε τις αὐτὰς τὸ πρῶτον δρέψεται. Καθάπερ οὖν ἐκεῖναι κιῤῥάζουσι, καὶ δι' αὐτὸ αὗται μὲν ἐπωνυμίας κληροῦνται γλαυκός, ἐκεῖναι δὲ διὰ τὸ κιῤῥὸν τοῦ χρώματος ἐπονομάζονται τῷ χρυσῷ. Μικρὰ μὲν οὖν ἡμῖν ἡ δόσις· ἀλλ' ἐκείνη πάντως ὡς ἐπὶ γένους, ἣν ἐγὼ μὲν ὑπεσχ[όμη]ν, ἔστερξας δὲ αὐτός. Εἰ δὲ τοῦ εἴδους οὔτι που ἑκὼν ἔψευσμαι, ἀλλ' ὁρᾷς, ὅπως καὶ αὗται τῷ χρυσῷ προέκοψαν εἰς ἐκείνας τὰς ἐπιδόξους· καὶ τὸ ἐκ φύσεως οἷον ἀπονιψάμεναι χρῶμα ἢ ἐπικρύψασαι, τῷ χρυσοειδεῖ ἐπέγραψαν ἑαυτάς· καὶ καθά που τὰ χολοβάφινα, οὕτω δὴ καὶ αὗται καπνώδεσιν ἀτμοῖς φαρμαχθεῖσαι τὰ πρόσωπα, χλωρότητι χρυσίου σώζονται, καί πως εἰσὶ καὶ αὗται χρυσαῖ. Ἐοίκασιν οὖν, τὸ ἀγεννὲς ἐκκλίνουσαι, τὸ τῆς κλήσεως, ἐς χρῶμα τοιοῦτο μεταβάπτειν ἑαυτάς, ὡς ἂν ἔχοιεν παράγειν οὕτω τὸν βλέποντα καὶ δοκεῖν εὐγενεῖς· ἢ τί καὶ βουλόμεναι μετεχρώσθησαν; Ἀλλὰ μὴν τοῦτο καὶ πᾶσα πέπονθε σταφυλή, ὑποξανθίζουσά πως τῷ χρώματι, καὶ καπνῷ πυρσουμένη πρὸς τὸ χρυσοειδές· ἢ καὶ ἄλλως εἰπεῖν, ὠχριῶσα κατὰ χρυσὸν ταῖς ἐκ καπνῶν ἀτμιδώσεσι. Καὶ τοῦτο ἄλλος μὲν ἄν τις εὗρε πόρισμα πρὸς χρυσοῦ σεμνολόγημα, καὶ εἶπεν ἄν, ὡς ἄρα χρυσοῦ δοκεῖ πάντα ἐφίεσθαι καθά τινος ἐφετοῦ ἄκρου· εἴ γε καὶ σταφυλαὶ χρυσὸς οὐκ ἔχουσαι εἶναι, ἄλλον τρόπον ὑποκρίνονται τὸν χρυσόν. Ἐγὼ δὲ εἰς ψόγον καὶ τοῦτο μεταγράφω τοῦ βιοφθόρου χρυσοῦ, εἴ γε καὶ σταφυλὴ φθίνουσα εἰς χρυσοῦ χρῶμα βάπτει τὸ πρόσωπον· καθὰ καὶ θρὶξ ἀργυρίζουσα τῷ μακρῷ τοῦ χρόνου εἰς τοιοῦτο χρῶμα μετέπεσεν. — Ἀλλὰ ταῦτα μὲν εἰρήσθω μοι ταύτῃ, ὡς ἂν ἡ σεμνὴ ἐκείνη σταφυλὴ ἔχῃ ἐγκαλύπτεσθαι, καὶ τοῦτό γε τῆς ἐξ ἡμῶν ἀποκρυβῆς κερδάνῃ τὸ μὴ μεγάλα τῇ χρυσωνυμίᾳ σεμνύνεσθαι. Αὕτη δέ μοι ἡ τῶν βοτρύων στοιβή, εἰ καὶ μὴ σωρὸς ψεύστης χρυσοῦ κατ' ἐκείνας τὰς χρυσᾶς σταφυλάς, ἀλλ' ἔστιν ἄλλως ἀληθῶς ὑπὲρ ἐκείνας, ὑπόθετον καλόν, φθινάδος ὥρας ἀντίπαλον, μόνιμον ἀγαθόν, ἀμβροσίας συρμάδες, γλαυκῆς ὀπώρας γλυκύτης· κἂν τὸ πρόσωπον αὐτοῖς ὕδατι ῥύψῃς, ἀποπλυνοῦνται μὲν τὸ νόθον χρῶμα καὶ πρόσθετον, δι' οὗ μάτην σεμνοπροσωπεῖν τέως βούλονται· ἐκφανοῦνται δέ σοι γλαυκώπιδες, καὶ ἑαυτὰς οὐκέτι ψεύσονται. Ἄλλος μὲν οὖν ἐπὶ σταφυλῆς κάλλει δύσερως, καὶ τὰ μικρὰ πρὸς πολὺ λαῶν μέγεθος, τὰς ῥάγας ταύτας, καὶ πιθάκνας ἂν ὠνόμασε γλυκάζοντος γεύματος, καὶ πλήθοντος γλεύκους ἀσκούς, καὶ μέλιτος ἀποθήκας, καὶ χαρίτων δεξαμενάς, καὶ δοχεῖα τρυφῆς. Ἀλλ' ἐγὼ τῶν τοιούτων μεθέμενος, σωρόν τινα καλοῦ, καὶ τιθασὸν ἡδονῆς, καὶ ταμεῖον γλυκύτητος τὴν ὀπώραν ταύτην ἐρῶ· καὶ ἤθελον δεδόσθαι, καθάπερ Ὁμήρῳ τῷ σοφῷ, βοτρυδὸν εἰπεῖν τὰς μελίττας πέτεσθαι, οὕτω κἀμοὶ τοὺς βότρυας τούτους φάναι μελισσηδὸν σεσωρεῖσθαι, ὡς ἂν ἔσχον καὶ οὕτω σεμνῦναι τὸ δῶρον. Ἀλλ' ἐπεὶ οὔ μοι δέ || [δοτα]ι ὀνομάτων Ms. fol. 239. b. θέσεσιν ἐγχειρεῖν, ἄλλως γοῦν μεταχειριστέον τὸ νόημα, καὶ ῥητέον, ὡς ἄρα σμηνός τι καὶ οἱ βότρυες οὗτοι, καὶ ἐπισωρεύονται καὶ αὐτοί, καθάπερ αἱ μέλισσαι, καὶ τιθασβώσουσιν ἡμᾶς ἄλλό τι μέλι, καὶ χλωρὸν καὶ γλυκύ· ὃ νῦν μὲν εἰς νεκτάρεον πέπηκται, δύναται δὲ καὶ ἐκ πηκτοῦ ῥυτὸν γενόμενον εἰς ἀμβροσίας ῥυῆναι σταγόνας· ὡς ἔχειν τούτῳ τῷ λόγῳ τὸν Θήβηθεν λυρικὸν ποιητὴν εὐστοχώτατα τῆς Δήμητρος πάρεδρον εἰπεῖν τὸν τῆς σταφυλῆς δοτῆρα Διόνυσον, οἷα τῆς ὀπώρας ταύτης καὶ εἰς τροφὴν συντελούσης τὴν οὐχ ὑγράν, καὶ εἰς πόσιν δὲ συνεισφερούσης τὸ χρήσιμον· ἃ δὴ καὶ ἄμφω ἀνεῖται τῇ Δήμητρι, καὶ αὐτῆς ἐστιν ἔργον ἐξαίρετον. Τούτου μοι τοῦ καλοῦ σμήνους ἡ γλυκύτης μὲν ἄντικρυς μελιτόεσσα· τὸ δὲ κέντρον ἐξῄρηται, καὶ τοῦτο πλέον ἔχειν τοῦ μελισσώου κηρίου μοι φαίνεται. Εἰ δὲ τὸ στέγον ἐνταῦθα τὸ γλυκύτατον σχῆμα οὐ δοκεῖ σεμνῶς ἔχειν, ὥστε μὴ ἐστεγάνωται κατὰ τὰς ἑξαγώνους τῶν μελισσῶν σήραγγας, ἀλλὰ θεωρητέον, ὡς ἐσχημάτισται σεμνότερον ἄλλως κατὰ τὸ πᾶν, καὶ ἡ τὸ σύμπαν ἔσω σφίγγουσα σφαῖρα καὶ τὴν ὀπώραν ταύτην ἐπικοσμεῖ, καὶ οὕτω γίνεται τουτὶ τὸ καλὸν στεγανώτερον. Κἀντεῦθεν ἔστι τὸ μέν τι τῶν καθέκαστον σφαιριδίων τούτων ἀπολαβεῖν καὶ φαγεῖν, εἴτε καὶ ἐναυξήσαντα ἐκπιεῖν· τὸ δέ τι καὶ ἀφεῖναι ἐς νέωτα, μηδέν τι τοῖς λοιποῖς λυμηνάμενον. Τῶν δὲ τοῦ μέλιτος σχημάτων οὐκ εὐχερὲς ἀποσπᾶσαι τινά, μὴ περιθλίψαντα τὰ λοιπὰ γωνιάματα. Πλὴν ἀλλὰ τί μοι σεμνολογεῖν τὸ δῶρον; ὅπερ, εἰ καὶ διὰ τὰ ῥήματα καλὸν καὶ κόσμιον καὶ θαυμάσιον, ἀλλὰ τρόπον ἕτερον ἐν μικροῖς τέτακται διὰ τὸ τοῖς πολλοῖς τιμᾶσθαι μὴ πολλοῦ. Ἄφες, Εὐστάθιε, σοφιστεύειν μακρά· εἰπὲ δὲ μόνον ἐκεῖνο πανάληθες, ὡς ὅτι πέπομφά σοι τουτὶ τὸ δῶρον, αὐτὸ δὴ τοῦτο καὶ μόνον ἔμφασιν ἀμυδρὰν τῆς ἀπειροπληθείας τῶν εἰς ἡμᾶς σου καλῶν. Οὐ

γὰρ εἰς ὅσας διΐσταται ῥάγας ὁ τῶν βοτρύων τούτων ἑσμός, ἀλλὰ πλειστάκις ὑπὲρ αὐτὰς τῶν σῶν ἀγαθῶν ἡμεῖς ἀπολαύομεν· ἀνθ' ὧν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ κρατὴρ σωτήριος σταίη σοι παρὰ τῷ παναγάθῳ θεῷ.

δ

Κατὰ ξιφῶν ἐν καιρῷ, κατὰ κρημνῶν, κατὰ κυμάτων, κατὰ χιόνος βαθείας, κατὰ παγετοῦ κακεντρεχείας· καὶ πάντα ταῦτα διὰ φιλίαν, εἴ τις ὀρθὰ φρονοίη· οὐ μὴν ἔτι καὶ διὰ κοιλίαν, εἰ μή τις παρασιτεῖσθαι μεμάθηκεν. Οὐ πολλαὶ πρὸ ταύτης ἡμέραι· καὶ ὁ μὲν νιφετὸς ἐτυράννει τόν τε ἀέρα, τήν τε γῆν τὸν μὲν συγκρύπτων, τὴν δὲ συγχέων· καὶ τὰ τῆς Σκυθικῆς ἐρημίας πτερὰ φαντάζων ἡμῖν, ἅπερ ἐκ τῆς Ἡροδότου Μούσης ἔστιν ἀναλέξασθαι. Ἦσαν ταῦτα· καὶ ὁ Εὐστάθιος ἐθρασύνετο τὴν ὁδόν, καὶ εἰς τὸν τοῦ Κομνηνοῦ παρέκυψεν οἶκον, χιόνι βρύων, καὶ τῷ κρύει πεπηγώς· βαμβαίνων ὑπὸ τοῦ ψύχους, καὶ (ὡς εἰπεῖν) ἡμίνεκρος. Καὶ ἦν τοῦτο, θέλωμεν εἰπεῖν, φιλίας (εὐλαβοῦμαι δὲ τὸν φιλόσοφον κανόνα διὰ τὸ ἐν ἡμῖν ἀσύμμετρον)· ἦν τοῦτο τοίνυν, ἵν' ἀσφαλῶς εἴπω, πίστις ὑπολήψεως εὐχαρίστου καὶ ἐν εὐχρήστῳ κειμένης, καὶ ἣν οὐκ ἄν τις μέμψαιτο. Μετ' ἐκείνην ἡμέραι δύο πρὸ τῆς ἄρτι· καὶ τὸ πολὺ μὲν τοῦ νιφετοῦ ἀπῆλθε τακέν. Τοῦ δὲ λειπομένου τὸ μὲν πλέον μετὰ τηκεδόνα εἰς παγετὸν πυκνωθὲν τῷ τριβομένῳ τῆς λεωφόρου σταθηρῶς ἀπέμεινε· τὸ δέ τι μένον ἐπὶ τῆς φύσεως, τεῖχος οἷόν τι ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων τοῖς παροδεύουσιν ἀνεστοίβαστο, ἀνέμου χοάνοις, ὑπὸ τύχῃ διαῤῥιπισθέν. Καὶ ἦν κἀνταῦθα πάλιν θρασὺς ὁ Εὐστάθιος, καὶ κατετόλμα τοῦ παγετοῦ· καὶ εἶχεν αὐτὸν αὖθις ὁ οἶκος τοῦ Κομνηνοῦ θαῤῥήσαντα τὴν ὁδόν. Δεῖγμα καὶ τοῦτο, οὐκοῦν (οὐδὲ νῦν λέγω) φιλίας (ὁ γὰρ λόγος ὑπὲρ ἐμέ), ἀλλ' εὐγνώμονος διαθέσεως, εἴτουν δουλόφρονος σχέσεως. Ἀρκείτω τοῦτο τὰ μέχρι τούτου. Τὸ δὲ καὶ διὰ χόρτασμα καὶ φόρτον σώματος κατατολμῆσαι τῶν οὕτω μοι φοβερῶν, οὐκ ἐμὸν ἔτι· ἀλλ' εἴ τις ὀψόδουλος, καὶ εἰς γαστέρα μαργαίνων, καὶ κινδύνου τὸ σπαταλᾷν ἀλλαττόμενος. Ἢ πῶς ἂν καὶ θαῤῥείην εἰσαῦθις ὁδεύειν, ὅς γε καὶ νῦν ὀφείλω μεγάλα σῶστρα θεῷ τῷ περισωσαμένῳ με; Ἡ μὲν γὰρ πρώτη μοι ἐκείνη ὁδὸς εἰ καὶ διὰ τελμάτων ἐγίνετο, ἀλλ' εἰς χιόνα κατεχωννύμην, καὶ οὐ μοι πολὺ τὸ ἐν ἐλπίδι κακὸν ἐτύγχανεν· ἁπαλὴ γὰρ ἡ χιὼν ὑπέστρωτο, καὶ οἵα ἐγκαθευδῆσαι ἂν τὸν περιπεπτωκότα· καὶ εἰ μή, κατὰ τὴν ποίησιν, εἰς ὕπνον λιαρόν, ἀλλ' οὖν εἰς ναρκῶδές που πάθος κατενεχθῆναι, καὶ κεῖσθαι γοῦν ἄνθρωπον. Τὸ δὲ ἔναγχος βαδίσαι, κατὰ βοθύνων ἦν βαίνειν, κατὰ βαράθρων, κατὰ Χαρωνείων χασμάτων, κατὰ λάκκων ὀλέθρου, κατὰ στόματος Ἅιδου. Τὸ μὲν γὰρ πολὺ τοῦ παγετοῦ συνεχῶς τε εἶχε, καὶ εἰς πάνυ στερέμνιον ἐσκληρύνετο, καὶ οὐκ ἐξεπιπολῆς λεῖον ἦν καὶ ἐξέστιλβεν· ὡς εἶναι πᾶσαν ἀνάγκην, τοὺς δυστυχεῖς ἡμιόνους διολισθαίνειν, οὐκ ἔχοντας ἐκτραχύνειν οὐδὲ διαιρεῖν ὄνυξι τὸ πατούμενον. Τὰ γὰρ σεληναῖα σφίσιν, εἰπεῖν δὲ σαφέστερον, τὰ ὑπὸ πόδα τοῖς ζώοις ἐκπέταλα σιδήρια, ὅμοιά τινι σιδήρῳ ἀντιτυποῦντι, καὶ λεῖα ταῦτα λείῳ τῷ παγετῷ ἀντιπράττοντα, οὐκ εἶχον, ὅ τι καὶ δράσουσιν· ἀλλ' ἦσαν καθ' ἑαυτὰ οὐκ ἔχοντα δράττεσθαι. Ἔστιλβε κατὰ τὸν ὕελον ὁ παγετός· μικροῦ δὲ ὑπὲρ τὸν σίδηρον ἐπεπύκνωτο. Καὶ τῷ μὲν λείῳ εἶχε τὸ ὀλισθηρὸν καὶ ἀπρόσψαυστον, τῷ δὲ πυκνῷ τὸ ἀνύπεικτον· ὅθεν καὶ νῦν μὲν ἀνὰ πόδας ἐχώρει τὸ ὑποζύγιον, νῦν δὲ καὶ εἰς ἑκάτερον ἐταλάντευε τὸ πλάγιον, καὶ μόλις εἶχεν ἐρείδεσθαι καὶ προβαίνειν τοῖς ἐφεξῆς· καὶ ἐῴκει νηῒ πασχούσῃ τὴν τῆς ἐχενηΐδος ἐπιβολήν, καὶ μᾶλλον, ἔνθα που τόπος ἀνώῤῥοπος· τοῖς δὲ καταφέρουσι παρήγετο εὐπετῶς, ὡς οὐδ' ἂν σφαῖρα κατὰ πρανοῦς. Ἐξεφόβει δὲ τοὺς ἡμιόνους οὐχ ἧττον καὶ ἡ τοῦ δούπου καινοφωνία. Οὐ γὰρ ἦν κόναβος γῆς, οὗ τὸν εἰσαεὶ χρόνον πεπείρανται, ἀλλ' ἐνάρκαιρε καινότερον ἐνταῦθα τὸ ὑποκείμενον· καὶ τῷ τραχυτέρῳ τοῦ ψόφου τὰ ζῶα πρὸς θυμὸν ἐταράττετο, καὶ ὁ ἐπιβάτης ἐκυμαίνετο. Καὶ τοιοῦτο μὲν τὸ πλεῖον τοῦ παγετοῦ καὶ τὸ λεῖον. Ὅτε δὲ καὶ τὴν ἀτράχυντον ταύτην παρέλθοιμεν ἀτραπόν, διεδέχοντο ἡμᾶς πῇ μὲν βόθυνοι μέγα τι χαίνοντες, ὕδατος πλήθοντες, παγετῶν ἀποῤῥῶγας ἑκατέρωθεν ὅσα καὶ ὄχθας προβεβλημένοι, καὶ μέχρι καὶ εἰς γαστέρα τοὺς ἡμιόνους βυθίζοντες· πῇ δὲ βοθρεύματα, εἰς βάθος μὲν οὐκ ἂν ἄξιον λόγου κοιλαινόμενα, τῆς δὲ λοιπῆς διαστάσεως εὐπεριγράπτως ἔχοντα, ὁποῖα τὰ τῶν ἀγγείων σύστομα. Εἶπες ἂν τὸν παγετὸν τοῦτον ἰδών, εὖ μάλα συνεσκευάσθαι πρὸς ἀλόγων ζώων ποδάγραν· εἰς τοσοῦτο γὰρ ἠνοίγετο, εἰς ὅσον ἄν τις ἵππος χαλάσῃ τὸν ὄνυχα. Μηχανὴ χειμῶνος αὕτη ζώοις ἐπίβουλος, μαγγανεία τις ταθεῖσα πρὸς θήρατρον· ποδοκάκη ψύχους, ἐκποδὼν πειρωμένη θέσθαι τὰ ὑποζύγια. Ἐνταῦθα ἡμῖν ἡ Δημήτηρ οὐκέτι μήτηρ ἦν, ἀλλ' εἰς μητρυιὰν μεταπέπτωκεν· οὐκέτι ζωογόνος, οὐκέτι φυσίζωος· ἀλλὰ ζωοφθόρος, ἀλλὰ φθισίμβροτος. — Τοιαῦτα κακὰ ἦν ἡμῖν ἐμποδὼν τῇ μετὰ τὴν πρώτην ὁ||δόν· τοιούτῳ κλύδωνι ἐφορούμεθα, ἕως τῆς φίλης ἐγενόμεθα γῆς, Ms. fol. 240. a.

καὶ τῆς συντρόφου ἀγορᾶς, καὶ τῶν καπνοῤῥ[οῶν] οἰκιῶν, καὶ τοῦ συνήθους πηλοῦ. Καὶ τὸ ἐντεῦθεν εἶχεν ἡμᾶς ὁ λιμὴν, καὶ σωζόμεθα. Οἴμοι τοίνυν τῆς σῆς αἰθρίας τῆς ἀκάπνου ἑστίας· τῶν καθαρῶν ἀέρων· τῶν παγετῶν, εἴτουν παγίδων, ἃς ἡμῖν ἔπηξεν ὁ χειμών. Τί μοι τῆς πολλῆς χιόνος; ἥ τις ὑμῖν μὲν ἀπεῤῥύη τοῖς ἀστικοῖς, ἡμῖν δὲ τοῖς ἐρημάζουσι καὶ ὑπὲρ τὰ Ῥιπαῖα πεπλήθυνται· παρ' οἷς εἴπῃ ἄν τις, περιξέων τὴν ποίησιν, τὴν μὲν θερμότητα καθάπαξ πτερυξαμένην ἄνω που μένειν ἐν Ὀλύμπῳ, τὴν δὲ ψυχρότητα [πτεροῖσι κατα]πτῆν[αι] λευκοῖσι, καλυψαμένην τοῖς ἐκ χιόνος φαρέεσιν. Οὐκ ἂν τὰ καθ' ἡμᾶς οὐδὲ ὁ τοῦ θέρους καύσων ἀπαλλάξῃ, τοῦ ψύχους τὸ ἀκμαῖον πυρούμενος· καὶ μόγις μέν που καὶ εἰς φθινόπωρον καταστήσεται ὁ χειμών· ἔαρος δὲ δοκῶ μοι ἐξ ὀνόματος καὶ μόνου μεμνήσεσθαι. Οὕτως ἡμῖν ἡ χιὼν σεσώρευται εἰς δαψίλειαν, οὐ μόνον (ὅπερ ἐστὶ) μένουσα, γενομένη δὲ καὶ πλεῖον κακόν. Τὸ μὲν γὰρ αὐτῆς ἤδη τέτηκε, καὶ εἰς κρυσταλώδη σύστασιν πέπηγε, καὶ κατὰ τὰς ἐκ μαρμάρου λίθου[ς] κατέστρωται, καὶ φυλάσσει τὴν γῆν ὑποζυγίοις ἀπρόσβατον· τὸ δέ τι συντέτηκε μὲν οὐδέπω πρὸς πλάκα μί[αν, καὶ συγ]κέχυται, ἀλλὰ διέχει, καὶ εἰς κρυσταλώδεις θρόμβους διέστηκε· τὸ δὲ λοιπὸν ὑπερκάθηται, χιὼν ἀκραιφνὴς μίμ[νουσα], ὅσον καταβησομένη πρὸς τηκεδόνα καὶ ἐπαυξήσουσα, εἴ που τὸ ἐκ κρυστάλου λιθόστρωτον ὑποῤῥεύσειε. Καί εἰσι τ[αῦτα] κακὰ ἐπὶ κακοῖς, κατὰ τὴν παροιμίαν· ἢ καὶ ἄλλως, διάδοχα κακῶν κακοῖς, ὡς ἡ τρ[αγῳδία φ]η[σί]. Φείδου τοίνυν μὴ μόνον τῶν ὑποζυγίων ἡμῶν, ἀλλὰ καὶ ἡμῶν αὐτῶν. Οὐ γὰρ δέον ἂν γένοιτο, καὶ ἡμᾶς διὰ γεῦσιν τοῦ [ζῆν] ἐκπεσεῖν· εἰ δὲ τὸ στόμα πλῆσαι χρεών, ἔχομέν που τὰς κειμηλίους τροφὰς, ἐξ ὧν τὴν τρυφὴν ἀποπλήσομεν. Οὐ γὰρ κατὰ τὸ παλαιὸν μάννα ἡμέραις ἡμῖν ὀλί[γαις] τὰ σὰ μεμέτρηται ἀγαθά· οὐδὲ περὶ τῆς αὔριον μόνης ἡμῖν αὐτὸς μεριμνᾷς· ἀλλ' ὑπερβαίνεις εἰς μακρὸν ταῦτα· καὶ ἔστιν ὁ γλυκ[ασμὸς] ὁ σὸς πολυχρόνιος, καὶ ἡ μέριμνα περὶ μακρῶν ἡμῖν τῶν ἐς ὕστερον. — Ἀλλ' ὢ τοῦ θαύματος· ἔτι μοι [ταύτην] ὑπαγορεύοντι τ[ὴν] γραφὴν, ἐπεψεκάσας ἄλλο τοῦτο καλόν· καὶ ὃ πολλάς μοι βρέξας πετεινῶν πτερωτῶν σάρκας, ὃ δὴ γέγραπται, ἐπέσταξας καὶ ἄρτι ὄρνιν ταύτην ἀνθόχυμον, διακολυμβῶσαν οἷον ἐν νέκταρι, καλὸν ἀλλόκοτον, τεράστιον γλύκασμα· ἣν οὐκ οἶδα. Καὶ φῶ νῦν μοι πρώτως εἴς τε ὄψιν ἐλθοῦσαν, καὶ πεσοῦσαν εἰς τράπεζαν. Ταύτην διαψηλαφῶν, τὰ μὲν ἐσημαινόμην, τὰ δ' ἐξεπεπλήγμην· καὶ ἐδόκουν μετὰ χεῖρας ἔχειν αἴνιγμα, καὶ ὄρνιν ταύτην ὁρᾷν καὶ οὐκ ὄρνιν. Ὅσον μὲν γὰρ εἰς δέρμα ἐξήρθει, καὶ εἰς ὀστᾶ πτερύγων ἐσκληρύνετο καὶ ποδῶν, τὴν ὄρνιν ὑπέφαινε· τοῖς δὲ λοιποῖς ἀνόστεος ἦν καὶ οὐδὲν ὄρνιθος. Περικύψαντι δὲ καὶ εἰς τὰ ἐντὸς πολλὴν εἶχε τὴν σύγχυσιν καὶ τὴν κατεργασίαν ἀξύμβλητον. Ἀμυγδάλων γὰρ δίχα, τὸ λοιπὸν ἅπαν εἶχεν ἀδιευκρίνητον. Συχνὰ γὰρ δὴ ἐπιλέγοντες καὶ ἡμεῖς, τί τοῦτο; καὶ ὑδεριῶντι στόματι τὸ βλεπόμενον παρεικάζοντες, ἐπιβάλλομεν χεῖρας καὶ τὸ πτηνὸν διέσπαστο. Καὶ οὔτε αὐτὸ κατείχομεν, ἀλλ' εἰς γαστέρα κατέσπαστο· καὶ οὐδὲ τὴν πρὸ αὐτοῦ γνῶσιν εἴχομεν, ἀλλὰ καὶ εἰσέτι ζητοῦμεν. Καὶ τὸ τί τοῦτο περιμένει ἡμῖν, καὶ πυκνὰ ἐκκαλεῖται ὁ ἐπῳδὸς τοῖς ᾄδουσιν· ἡμεῖς δὲ τί καὶ πρὸς ταῦτα; Οὐδὲν, ἀλλ' ἢ πάντως, ὅπερ καὶ ἐσαεὶ, τὸ εὐχάριστον καὶ τὰ τῆς εὐχῆς, ἃ καὶ μόνα τῶν ἡμετέρων ἀντιδόσιμα πρὸς τὸ σὸν μεγαλόδωρον· Τὰ πτηνὰ ταῦτα τὰ ὀλίγα τὰ ἰξωτὰ πρὸς μὲν ἐκείνην τὴν τὸ πᾶν ἐν ὄρνισι λογισθεῖεν ἂν ἄχομα· εἰ δέ τις αὐτοῖς τὸ γένος λογίζοιτο, εἶεν ἂν ἄξια καὶ ταῦτα πολλοῦ, καθά γε καὶ ὁ χρυσός, πρὸς ὃν εὖ μάλα τὸ γένος τοῦτο χρώζεται. Χρύσεον ὁ μῦθος ἔπλασε γένος ἀνδρῶν· καὶ ἔστιν ἐν παροιμίαις ἐκεῖνο πρὸ πάντων ἀγόμενον. Πολλῷ δὴ πλέον τῷ γένει τούτῳ τὴν τιμίαν ὕλην προσάψει τις, τὸ τῆς πτερώσεως λογισάμενος χρύσεον· εἰ δὲ καὶ χρυσαῖ νεφέλαι χρυσὸν καταβρέξαι που λέγονται, χρύσεος ἂν λέγοιτο κἀκεῖνος ἀήρ, δι' οὗ τὰ τοιαῦτα πτηνὰ χρύσεα στέλλονται. Ἔχουσιν οὖν τι διὰ ταῦτα σεμνὸν καὶ αὐτά· εἰ δὲ μὴ τοῦτο, ἀλλά γε διὰ τὸ πρὸς δύναμιν ἡμέτερον εὔγνωμον.

ε̄

Ἀγέλην σοι ὅλην ταύτην στέλλω κολυμβάδα πτηνῶν εὐγενῶν. Ὁρᾷς, ὅπως μὲν πίονα, ὡς εἴπερ μετὰ σφαγὴν καὶ ἀφέψησιν τροφὴ δαψιλὴς αὐτοῖς παρεβάλετο φυσῶσα πρὸς πιμελήν; Ὅπως καὶ λευκὴν, λελουμένην, ὡς ὁ ποιητὴς ὠκεανοῖο λέγει τὸν ἥλιον, οὕτω δὲ καὶ αὐτὴν οἴνοιο; Ὅπως δ' εὐπρόσωπον καὶ καλήν; Εἴποις ἂν αὐτὴν ὁποίᾳ τινὶ περιθέτῳ λευκάζοντι χρώματι τῇ πιμελῇ κεχρῶσθαι καθ' ὅλου τοῦ σώματος, ὑποφαίνειν δέ τι καὶ τῆς εὐγενοῦς μίλτου, ὑπογραφομένην οἷον ἠρέμα πρὸς ἔρευθος ἐπιπολῆς τῷ τοῦ οἴνου ἐμβάμματι· οὐ προκαλυπτομένην παραπετάσματι πτερῶν φθονερῶν, ἃ τὸ κάλλος ἔνδον ἐναποκρύπτουσιν, ἀλλ' ἀποθεμένην τὸ περιττὸν καὶ τὸν τοῦ πτερώματος τύπον κάτω βαλοῦσαν, ὅς ἦρε πρὶν εἰς ὕψος αὐτήν· καὶ οὕτως οἷον ἀπαυτομολοῦσαν εἰς τράπεζαν, καὶ τὸν δαιτυμόνα τῷ σχήματι κολακεύουσαν.

Καλαὶ μὲν αἱ στρουθίδες ἀκανθίδες αὗται· εἰσὶ δ' ὅμως ἀντὶ ἀγαθῶν ἀγαθίδες. Τί γάρ μοι τούτων τῶν σκιῶν πρὸς ἥλιον εὐεργεσιῶν; τί μοι τῶν ψαμμίων πρὸς τοὺς προβλῆτας; τί δὲ τῶν Πυγμαίων πρὸς τοὺς Γίγαντας; Ἵνα γὰρ τἄλλα σου παρῶ, τὰ δὲ τῆς ἡμέρας ἐρῶ, ἔπλησάς μοι τὸν οἰκίσκον ἀγριμαίων θηρίων, ἄλλων ἄλλοις ἐπισωρευομένων, καὶ πάντων εὖ διατιθεμένων τὴν τράπεζαν, ὅσα τε τὴν χέρσον ἀεὶ περιβόσκεται, καὶ ὅσα περὶ τὴν ἐξ ὑγρῶν θήραν τὰ πλεῖστα πονεῖ. — Ἀλλ' ὅτε καὶ ἐπανέλθω τῇ μνήμῃ πρὸς τὴν καινὴν σκευωρίαν ἐκείνου τοῦ ἔναγχός που περιτεθέντος δαιτρεύματος, ἀλλ' ἐνταῦθα τό τε πρᾶγμα μοι μέγα, καὶ ὁ λόγος οὐκ εὐχερῶς ἔχει περιμετρεῖν ἑαυτὸν τῇ χάριτι. Οὐκ ἄχαρι δ' οὖν ἴσως αὐτὸ καὶ περιηγήσασθαί μοι, καθ' ὅσον οἷόν τε· ὡς ἂν εἴη καὶ τοῦτο τῆς νῦν πανηγύρεως τῆς εἰς κοιλίαν ἐπεισόδιον, ἢ καὶ παράρτυμα· οὐχ ὥςτε σε καὶ μαθεῖν ἀγνοοῦντα τὸ πρᾶγμα, ὃ δὴ τέλος οἶδα περιηγήσεως, ἀλλ' ἵν' ἐμαυτὸν δοκιμάσω, εἴ τι που ἔχω πρὸς λεκτικὴν ἔτι ἐπιστήμην εὐφυῶς. Σταίτινον φύραμα, εἰς βάθος μὲν κοιλανθέν, εἰς σφαῖραν δὲ γυρωθέν, καλὴν ἑφθὴν ὄρνιν ἐθαλάμευεν εἴσω. Καὶ ἔδει τὴν τοιαύ-
Ms. fol. 240. b. την σφαῖραν ἀνακαλυφθῆναι || π[αρ'] αὐτοῦ τοῦ ἐπιθέματος, ὃ περιῆκτο εἰς ἡμισφαίριον, καὶ τὴν ὄρνιν (καλόν τι χρῆμα) ἐκκύψασαν ὄψον τοῖς τῶν ὁρώντων ἢ τρωγόντων ὄμμασιν ἢ στόμασιν ἐμπεσεῖν· πίονα μὲν ἰδεῖν, τρυφερὰν δὲ θιγεῖν, τακερὰν δὲ φαγεῖν. Τὸ δὲ φύραμα καὶ εἰς χύτραν ὠπτήθη τῷ ζώῳ. Ἐν αὐτῷ γὰρ ἀνεψήθη, καὶ εἰς πινακίσκον ἐπλάσθη. Ἐπ' αὐτοῦ γὰρ παρετέθη· ὡς εἶναι τὸ παράθεμα πάνθ' ὁμοῦ χρήματα ταῦτα· χύτραν, πινακίσκον, ἄρτον, προσόψημα. Ἐστεγανοῦτο μὲν γὰρ τὸ περιέχον, καὶ οἷον εἰς χύτραν ἦν ὀστρακούμενον. Ἔσω γοῦν αὐτοῦ πυρίῳ, καθώς τις ἔφη, μαλακῷ προσομιλῆσαν κατειργάσθη τὸ ζῶον πρὸς ἕψησιν, πλὴν ὅσον οὐκ ἐσκυθρώπαζε τὸ ἄγγος πρὸς πῦρ μελανθέν· ἀλλ' ἐγέλα καπυρόν, καὶ τοῦτο γε τὴν χύτραν ἐψεύδετο. Ἦν δὲ καὶ ὡς εἰς πίνακα ὑποκείμενον. Ἐπ' αὐτοῦ γοῦν ἡ ὄρνις εἰς βρῶσιν παρέκειτο· τὸ δ' ἐντὸς καὶ κοῖλον τοῦ περιέχοντος εἰς ἄρτον ἁπαλὸν ἐμαλάττετο, ζωμῷ δυσοπούμενον ζέοντι. Τὸ δὲ λοιπὸν ἐντὸς ὄρνις ἦν, ὄψον, ὧν ἂν εἴπῃ τις, ἥδιστον. Καὶ ὅπερ ἄρτοις τοῖς ἄλλοις αἱ ψίχες, τοῦτ' ἐκείνῳ τῷ ὑποκρινομένῳ τὸν ἄρτον ἡ ἐντὸς πυκαζομένη ὄρνις ἐτύγχανε, καὶ πρὸ γεύσεως τὴν ὄσφρησιν γοητεύουσα· ἡδὺ μάλα [πν]είουσα, καὶ κατ' ἐκεῖνα τῶν ζώων, ὁπόσα τῇ εὐοδμίᾳ τῆς ἀποφορᾶς τὴν αὐτοῖς ἐπιβάλλουσαν θήραν ἀνύουσιν, οὕτω δὴ καὶ αὐτὴ ὀσφρήσει θηρωμένη τοὺς ἐντυγχάνοντας. Ὀσφρησάμενος, εἶπες ἄν, ἀρκεῖν σοι τὸ καλόν· οὕτω καλὸν ὦζε τοὐρνίθιον. Γευσάμενος οὐκ ἂν ἀπέστης, μέχρις ἂν καὶ ἐς αὐτὸν τῇ χειρὶ τὸν πυθμένα κατέδυς· οὕτω πολὺ τὸ ἐπαγωγὸν εἶχεν ὁ πολυσύνθετος ἐκεῖνος χυμός. Τὸ δὲ καὶ πάλιν ἦν εἰς ἄλλων τροφὴν ἐξαρκοῦν. Ἦσαν γὰρ ἐκεῖ τά τ' ἐντος τά τε θύραζε καὶ βρώσιμα καὶ καλά. Καὶ ἡ μὲν ἱστορία τῇ μνήμῃ τῶν πολλῶν περιπήγνυσι τραπέζας ἐκείνας, ἃς [οἱ] ἀμφὶ τὸν Ἀγχίσου Αἰνείαν λιμῷ κακῶς ἔχοντες κατὰ χρησμὸν ἐθοινήσαντο· τὰ δ' ἦσαν ἄρτοι καὶ μόνον, καὶ σεμνὸν πλέον οὐδέν. Ἐνταῦθα δὲ τὸ πρᾶγμα τεράστιον. Ἔστι γὰρ αὐτήν τῳ λογίσασθαι καὶ ὡς ἐπὶ τράπεζαν, καὶ μὴν καὶ ὡς χύτραν καὶ πίνακα· καὶ ἑνός τις ὄψου τούτου γευσάμενος, λέγοιτ' ἂν ταῦτα πάντα καταθοινήσασθαι. Ἔστι γὰρ καί, ὡς οὕτως εἰπεῖν, πανδαισία τὸ πρᾶγμα· καὶ δέον ἐστὶν ὁμοῦ εἶδος ἓν ἐδέσματος τοῦτο περιτεθῆναι, καὶ πάντ' εὐθὺς περικεῖσθαι τὰ πρὸς τὸ καίριον τρόφιμα· καὶ ἀκολούθως ἓν τοῦτο φαγεῖν, καὶ πάντα τὰ τοιαῦτα φαγεῖν· ὡς εἶναι καὶ πλάσασθαί τι ἐντεῦθεν αἴνιγμα, γλαφυρὸν μὲν εἰπεῖν, συμβαλέσθαι δὲ δυςχερές. Φέρε γάρ, εἴ τις ἔροιτό σε· τί ποτε ἂν εἴη ταὐτὸν καὶ ἓν ἀριθμῷ, πίναξ καὶ χύτρα καὶ ὄψον καὶ ἄρτος καὶ τράπεζα; καὶ που καὶ εἰς ἰαμβεῖον αὐτὸ τοιοῦτον εὐρύθμως συνθήσει·

τράπεζα, πίναξ, ψωμός, ὄψον καὶ χύτρα·

οὐκ ἂν δυςχερῶς ἀναπεμπάσῃς τὸ πρᾶγμα; Ἐπὰν δὲ εἰς νοῦν ἀναβῇ σοι, τότ' ἂν θαῤῥούντως τὸ πρόβλημα τὴν τοιαύτην ὑπαινίττεσθαι τροφὴν ἀποφήναιο. Ὁποῖον δέ τινα ὁ σὸς κωμικὸς ἀναπλάττει τὸν αὐτοῖς ταλάροις τὸν τυρὸν κατεσθίοντα, οὕτω δὲ καὶ ὁ ταύτῃ προςπεσών· αὐτῇ χύτρᾳ, αὐτῷ πινακίσκῳ, αὐτῇ τραπέζῃ τὸν ὄρνιν κατέσπακεν. Εἰ δὲ καὶ τοῖς ῥητορικοῖς ἀδύτοις ἔγκειται μέθοδος, τὰ γελοῖα τῶν νοημάτων εἰς τὸ σπουδαῖον μετάγουσα, ἢ καὶ τὰ σκυθρωπὰ πρὸς τὸ ἱλαρώτερον, ἔχω τῆς ὄρνιθος ταύτης ἀπονάμενος πρὸς ὑπόδειγμα θατέρου μέρους τοῦ θεωρήματος. Δαῖτα γὰρ Ἀγαμεμνόνειον οἶσθα μὲν ὅ τί ποτε βούλεται λέγειν ὁ τοῦ Σοφίλου, προςαρμόσεις δὲ τὴν παροιμίαν καὶ ταύτῃ τῇ ὄρνιθι. Χρυσόθεμιν γὰρ οἱ τῶν ὄψων δαίδαλοι ταύτην καλοῦσι παῖδα· καὶ πάντως οἶδας τὴν Χρυσόθεμιν Ἀγαμέμνονος. Οὕτω τὸ πρᾶγμα σεμνὸν καὶ εἰς ὄνομα. Καὶ τοῦτο μὲν τοιοῦτο, ἵνα μὴ περὶ τὸ ἐφετὸν ἐπιπλέον ἔχοι λιχνεύεσθαι. Ἐγὼ δὲ ἅμα τε πρὸς τὸ ἐξ ἀρχῆς ἐπάνειμι, καὶ τὴν ἐπιστολὴν συντελῶ, ἵνα μή σοι πλείω γράφων παρενοχλῶ. Βραχύτατόν σοι τοῦτο μεγάλων δώρων ἀντίδομα. Καὶ τοῦτο ἄλλο μὲν ἂν ὤκνησεν ἴσως

τολμῆσαι· ἐγὼ δὲ (εἴτε θάῤῥους αὐτὸ θείη τις εἴτε καὶ ἀγροικίας ἀπαιδαγωγήτου ἔνδειξιν) καὶ τεθάῤῥηκα καὶ πεποίηκα· ἐφ' ᾧ εἰ μὴ διαχεθείης τε καὶ γελάσειας, ἀλλ' οὖν τέως οὐδὲ δυσχερανεῖς. Τὸ γὰρ καὶ ἐπικερτομῆσαι οὔτε σὸν ποιῆσαι, οὔτ' ἐμὸν ὑπονοῆσαι.

ϛ

Τ ῷ α ὐ τ ῷ. Μέχρι τίνος ἐγὼ διὰ τὰς σὰς καλάνδας, αὐθέντη Κομνηνέ, ἐπ' ἐμαυτὸν ἀσκήσω τηλικούτους ἐχθρούς; ἕως τίνος τοὺς βριαροὺς Γηγενεῖς, τοὺς καταράτους μύας πελωρίους ἐκθρέψω κατ' ἐμαυτοῦ; εἰς οὓς μὴ καὶ Σμινθέως δεήσει τινός, ὃς ἐκποδὼν μοι ποιήσεται τὸ κακόν. Οὐκ ἂν πολεμίοις τοιούτοις πολιορκεῖσθαι δυναίμην, οὐκ ἂν ἔχοιμι καὶ εἰςέτι θηριομαχεῖν. Τοιοῦτο κακόν μοι περιεστοίχισε κάρχαρον τοσοῦτο στῖφος θηρίων, καὶ τούτων ἀπροσμαχήτων. Οὐ μόνον ἡ γῆ, καθά που λόγος ἔχει παθεῖν τὸν ἱστορούμενον Κρίνιδα, ἀλλὰ καὶ τεῖχος καὶ στέγη καὶ πᾶς ὁ οἰκίσκος ἐξεῖρψε μοι οὐχ ἧττον, ἢ τοὺς βατράχους πάλαι τοῖς Αἰγυπτίοις ἢ κατ' αὐτούς. Τοιαύτην πληγὴν τοὺς μύας τούτους ἐγὼ δυστυχῶ· οἵπερ οὐ μόνον ἐκδαπανῶσι τὰ τοῦ ζῆν ἐπιτήδεια, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ ὕπνου μοι παρατρώγουσιν. Οὐδὲ γὰρ οὐδὲ ὑφ' ἡμέρᾳ τὸ πολέμιον ἐπιτίθεται, ἀλλά μοι καὶ αὐτοὶ νυκτερινὸς φόβος εἰσίν. Οὐδὲ ὑπὸ ἡλίῳ μοι προςβάλλουσι λαμβάνειν, ὅτε τις εἶχεν ἂν αὐτοὺς ἐκσοβεῖν· ἀλλὰ νυκτὸς ἐπιφύονται, ὡς ἂν λανθάνειν πάντοθεν ἔχοιεν διά τε τὸ τοῦ περιέχοντος ἀφώτιστον καὶ τὸ τοῦ σφῶν χρώματος νύκτερον. Διογένης μὲν οὖν εὐτυχῶς ἔχειν ἐδόκει, μύας ὁρῶν (κακὸν τιθασσὸν) τὴν τράπεζαν ὑποτρέχοντας. Ἐῴκει γὰρ περισίτους τινὰς ὁρᾷν ὑπ' αὐτῷ οἷα τρυφῶντι λιχνευομένους, καὶ ἀγειρομένους, καὶ τῆς εὐδαιμονίας συναπολαύοντας. Καὶ τοιούτοις σύνδειπνος τὰ τῆς πενίας παρεμυθεῖτο δεινά. Ἡμῖν δὲ οὐκ ἔστι τοιαῦτα πάσχειν, οὐδὲ τούτων ἐγγύς. Οὐδὲ γὰρ οἱ καθ' ἡμῶν μύες οὗτοι παράσιτοι· κατάσιτοι μὲν οὖν, εἴπερ ἦν ἡμῖν ὀνοματοθετεῖν. Κατασιτοῦνται γὰρ οὗτοι τὰ περιπίπτοντα· εἰ δ' οὖν, ἀλλ' ἡμεῖς ἐκείνων μᾶλλον παράσιτοι, τοῖς αὐτῶν λειψάνοις παρατρεφόμενοι. Οὐκ ἔστι κατ' αὐτῶν μηχανή. Τὰ τῶν παγίδων εἰς κενὸν διαχάσκει, καὶ τέλεον ἀπρακτεῖ. Ὁ ἐκ ξύλου τοξότης Σμινθεὺς εἰς μάτην ἐντείνεται· καὶ ὅλως εἰς κενὸν ἡμῖν αἱ κατ' αὐτῶν πᾶσαι σκάζουσι μηχαναί. Καὶ ἔστιν ὡς ὄντως ἀμήχανον τὸ κακόν, ἐκεῖνο με καὶ μόνον

Ms. fol. 241. a. περιμυθούμενοι, ὅτι μοι τὸν οἰ||κίσκον ἐν μονίμῳ ἵστασθαι οἰωνίζονται. Εἰ γὰρ καμνούσης οἰκίας, ὡς λόγος, ἐκφεύγουσιν, ἑστηξομένῃ πάντως προςμένουσιν. Οὐδὲν δὲ παρέλκον, καί τι τῶν ῥᾳδιουργημάτων αὐτοῖς τῷ λόγῳ περιδηλῶσαι μοι. Ἀγγεῖον οἰνοδόχον ἄνωθέν ποθεν ἡμῖν ἀπῃώρηται παττάλου τινός, ἐξότου μῆνες συχνοί· καὶ ὁ τῆς ἀπαιωρήσεως σχοῖνος ἁδρός, καὶ ὅσος ἂν εἰς μικροῦ δακτύλου διαστάσεις παχύνοιτο. Εἰς τοῦτο ἐκ μετεώρου μῦς χαλάσας ἑαυτόν (ὡς ἂν εἰδείη ἐκεῖνος ὁ καταιβάτης, ὁ νυκτιλόχος), καὶ νύκτα μίαν ἐπιφυλάττων τῷ πλάγματι, οὐκ ἔσχεν εἰς τέλος ἀποφυγεῖν. Ὁ γάρ τοι τῶν ὀδόντων τριγμὸς ἐξέκρουσέ με τοῦ ὕπνου, καὶ ἀφυπνίζων ἐξήγειρε. Καὶ ἦν μοι λύχνος ἐν μιᾷ ταῖν χεροῖν, καὶ λόγος ἐν θατέρᾳ. Καὶ ὁ κάκιστος ἐδραπέτευε, τραπεὶς μὲν εἰς φυγήν, τρέμειν δὲ ὥσπερ ἀφεὶς τὸ ἀγγεῖον· ἐπὶ πολὺ γὰρ ἐκεῖνο μετεφέρετο κραδαινόμενον. Καὶ τοῦτο μὲν πρὸ τρίτης. Ἀλλὰ τὴν χθὲς ἤνυσται τὸ ἆθλον τῷ καρτεροθύ[ν]τῃ. Καὶ κατελθὼν βαθείας νυκτός, καὶ λαθών, καὶ ἐντραγὼν τὸ σχοινίον ὁ κάρχαρος τρώκτης, τὸ ἄγγος κατέῤῥιψε. Καὶ αὐτὸ μὲν ἀπηχρείωσεν· ἡμᾶς δὲ τοῦ ὕπνου ἐκπατάξας ᾤχετο μεταβαίνων, καὶ ὑποτρύλων, ὡς οἷα χαίρων, καὶ παιᾶνα μέλπων, ἐφ' οἷς ἔπαιξε καθ' ἡμῶν, ἄλλο μὲν οὐδὲν ἀπονάμενος τοῦ μακροῦ πολέμου καὶ τοῦ τῶν ὀδόντων καμάτου, αὐτὸ δέ, ὡς ἔοικε, τοῦθ', ὅτι περ ἡμῶν κατωρχήσατο. Καὶ τοῦτο μὲν τοιοῦτο. Ἐκεῖνο δὲ μὴ καὶ τοῖς περιδόξοις ἐντάττειν ἀκούσμασιν ἔχοι τις. Κάλαμος, ὡς εἰς ὀργυίας μῆκος τοῖς ἄκροις διεστηκώς· ἔτι δὲ καὶ ξύλον ἐξ ἀκοντίου θρωσθέν, ἰσοδιάστατον τῷ καλάμῳ τοίχου τινὸς παρ' ἡμῖν ἐξάπτοντος πλάγια· ὁ μὲν κάλαμος ὑπερκείμενος· τὸ δ' αὖ ξύλον ὑποκείμενον τῷ καλάμῳ βραχύ τι κατά τινα καθέτου ἰσότητα. Τούτων ἀπῃώρητό μοι κατὰ ζυγὰς κείμενοι βότρυες, οὐ μεγάλοι μέν, ἀντίπαλοι δὲ χρόνου τροπαῖς· οὔτε εὐρωτιᾶν εἰδότες, καὶ πρὸς πλαδασμὸν δὲ καὶ σῆψιν ἀντίμαχοι, μέχρι καὶ εἰς ἔαρ παραγγέλλειν μοι νομιζόμενοι· οὓς ἡ δημοτικὴ λεκτικὴ κ ρ υ σ τ α λ ί ν ο υ ς ἀποκαλεῖ· τάχα μὲν διὰ τὸ ἐν κρύει τὰ πολλὰ τούτους τρυγᾶσθαι, τυχὸν δὲ καὶ διὰ τὸ καθαρείως ἔχειν τοῦ φαινομένου κατὰ κρυστάλλου τινὰ ὁμοιότητα. Τούτοις ἐπιβουλεύσας εἷς τις, οὐκ οἶδ' ὅπως ὁρμητίας, ἢ καὶ καταῤῥάκτης, καὶ ἄνωθεν καταπηδῶν εἰς αὐτούς, τὰ μὲν πρῶτα περιϊών, τὰς κρείττους τῶν ῥαγῶν ἀπελέγετο, τὰς μὲν ὅλας ἀποτρώγων, τῶν δὲ καὶ ἀπεκμυζῶν ἅπαν τὸ νόστιμον, τὰς δὲ καὶ ἄλλως ταῖς τῶν ὀδόντων θήξεσιν ἀχρειῶν. Καὶ ταῦτα μὲν τὰ πρῶτα. Τὰ δ' ἐντεῦθεν τὸ πονηρὸν ἐκεῖνο θηρίον οὐκέτι κατὰ ῥάγας δεῖν διέγνω τοῦ καλοῦ ἀποδρέπεσθαι, ἀλλ' ὅλον ἀπενεγκάμενον οἴχεσθαι τὸν καρπόν, διά τε τὸ φύσει

λίχνον, διά τε τὸ δυςχερὲς τῆς καταπηδήσεως. Ἔστι γὰρ οὗ κατευστοχεῖν μὲν οὐκ εἶχεν εὐχερῶς τοῦ σκοποῦ, ἀλλὰ τὰ μὲν πολλὰ δεξιοῦ δίκην κέλητος περιέβαινε τὴν τῶν βοτρύων κρεμάθραν· ἔστι δ' ὅτε καὶ κάτω που ἀπωλίσθαινε. Καὶ τοῦτο οἱ ἐκεῖθεν δοῦποι νυκτὸς ἡμῖν ὑπεσήμαινον. Κάτεισι τοίνυν ἐν μιᾷ που· καὶ τοῦ ὑπερκειμένου καλάμου προςεπιβάς, καὶ λαβόμενος μηρίνθου μιᾶς, ὑφ' ἧς δύο τινὲς ὑπανείχοντο βότρυες, ἀνάγειν ἤθελε τούτους ὕψου, ὅποι ποτὲ ἤθελεν. Ἐπεὶ δὲ τεράστιον ἦν τὸ τολμώμενον, καὶ οἷον ὑπερβαίνειν χεῖρα μυός (δώσεις γάρ μοι, καὶ χεῖρα προςπλάσαι τῷ οὕτω παλαμναίῳ καὶ δραστηρίῳ, καὶ τολμῆσαι καὶ ὀξυλάβην εἰπεῖν αὐτὸ καὶ χειρίσοφον), βρίθει τε κάτω τὸ ἁρπαγέν, καὶ τὰ βοτρύδια (οὕτω γὰρ ἐκ βοτρύων κατασχεθὲν πρότερον ὁ δάπανος τὸ ζευκτήριον ὑπεκόρισεν) ἐκπίπτουσι τῶν τοῦ ἅρπαγος ὀνύχων· καί πως κατὰ κρείττω τύχην πίπτουσιν οὐκ εἰς γῆν, ἀλλὰ περιβῶντα τὸ ὑποκείμενον ξύλον ἐκρέμαντο. Κτύπος ἐπὶ τούτοις, καὶ νυκτεγερσία πάλιν. Καὶ ἡμεῖς αὖθις ὡς ἐν νυκτὸς φυλακῇ τοῦ προτέρου λύχνου καὶ τοῦ λύχου γενόμενοι, τὸν μὲν ἅρπαγα οὐκ ἐξεύρομεν (ᾤχετο γὰρ μῦς, χανὼν εἰς μάτην, ποδῶν κτύπῳ τὴν φυγὴν ὑπεμφαίνων ἡμῖν), τὸ δὲ ἅρπαγμα εἴδομεν ὅπως τε ἄνωθεν κατέσπαστο, καὶ οἵας ἐν ἑκάστη τῶν ῥαγῶν εἶχε τὰς ἀμυχάς, ἔτι καὶ κραδαινόμενον. — Τοιαῦτα ἡμῖν ἐπικατεῤῥάγησαν τὰ κακά, δεινὰ φαγεῖν, ἅλλεσθαι δεξιά, πολυβόρα, παμφάγα, φυγῆς καὶ μίσους ἄξια. Οὐκέτι γοῦν οἷοι τοιούτοις ἀντέχειν ἐσμέν, μὴ καὶ λάθωσι καταφαγόντες ἡμᾶς. Καὶ ταῖς μὲν σταφυλαῖς οὕτως ἐπιβεβουλεύκασιν οἱ ἐχθροί· τοῖς δέ γε μεσπίλοις τοσοῦτο ἐπέθεντο, ὡς μηκέτι παρεσθίειν αὐτῶν, ἀλλ' ἀραμένους ἀπάγειν ὅλα κατὰ τοὺς ἀχθοφορεῖν δεξιούς, καὶ καθεκάστας ἡμέρας οὕτω τὸν ἀριθμὸν αὐτοῖς καθυφίεσθαι. Τοῖς δὲ κυδωνίοις μήλοις ἐμφωλεύουσιν οἱ κάκιστοι, πρὸς καταδύσεις αὐτὰ σπηλαιώδεις κοιλαίνοντες. Ἔχε τοίνυν δι' ἀνάγκην πρὸ ὥρας τὰ σά. Καί μοι τῶν καλανδῶν προαπόλαυε καὶ κακῶν ἡμᾶς τοιούτων ἀπάλλαξον καὶ κῆρας τὰς οὕτω πολυβόρους, τὰς γαμψωνύχους, τὰς μικροῦ δεῖν κατὰ τὴν παροιμίαν ἀναρπαξάνδρους, ἀπάμυνον. Δεδοίκαμεν οὖν, μήποτε τοῦ ποθουμένου στερέντες, ἡμῖν αὐτοῖς οἱ παρ' ἡμῖν οὗτοι παμφάγοι θῆρες ἐπιβουλεύσωσιν. Ἔπεισι δέ μοι θαῤῥεῖν ἄλλως, ὡς ἄρα τῇ κνίσσῃ τεκμαιρόμενοι κατ' ἴχνος φιλουμέναις ὀπώραις ἐφέψονται, καὶ ἀφίξονται παρὰ σέ· καὶ μάθοις ἂν τηνικαῦτα ἔργοις αὐτοῖς, οἷα τὰ τῆς μάχης ἡμῖν· οὐ πρὸς γεράνους, ὡς ἂν ἡμῶν αὐτὸς καταπαίξειας· ἀλλὰ στρατὸν γηγενῆ, οὗ περιγενέσθαι μέγα ἔργον, καὶ οἷον ἱστορίᾳ δοθῆναι, καὶ λόγοις συγγραφέων σεμνύνεσθαι, εἴ τι προςεκτέον τῷ πάλαι λόγῳ, ὃς περὶ τὴν Χρύσαν. Τρωϊκὸν δὲ ἦν ὅτε αὕτη πολίχνιον ἱδρῦσθαι ξόανον λέγει, καὶ σμίνθον ἔχειν τοῖς ποσὶν ἐπικείμενον. Ἔστι δὲ ἄρα ὁ μὲν Σμινθεὺς εἰς νῦν μεταλαμβανόμενος κατὰ γλῶτταν ἐγχώριον ὁ δέ γε πατῶν ἐπ' αὐτὸν Ἀπόλλων σεμνός, ὅτι τοιοῦτο θηρίον ἐνίκησε. Καὶ οὐκ ἐπαισχύνεται τὴν νίκην, ἀλλὰ καὶ χαίρει Σμινθεὺς ἐντεῦθεν καλούμενος.

ζ̄

Τῷ αὐτῷ. Τὰς νῦν καλάνδας πανηγυρίζουσι πάντες, οἷς τὰ Ῥωμαίων πρεσβεύεται, καὶ τῶν εἰς χαρμονὴν συντελουσῶν ἡμερῶν ταῖς μεγίσταις ἐγκρίνουσι· καὶ οὐκ ἔσθ' ὃς αὐτὰς οὐκ ἄγει γλυκεῖαν ἑορτήν, εἰ μὴ βούλεται καὶ αὐτὸς ἥδυσμά τι παρακεῖσθαι τῇ πανηγύρει, καὶ τῇ τῶν ἑορταστῶν ἱλαρότητι παραρτύειν τὸν γέλωτα· αὐτὸς μὲν σεμνυνόμενος καὶ συνάγων εἰς σκυθρωπότητα τὰς ὀφρῦς, τοῖς δὲ θεωμένοις καθά που καὶ τοῖς Ἕλλησι Θερσίτης ποτὲ πλατὺν ὑπανοίγων τὸν καγχασμόν, ὡς ἐν θιάσῳ μέσῳ χο || ρευόντων χαρμόσυνα, ἐπίκλαυστον ᾄδων αὐτός, ὡς ἀνεόρταστος, ὡς ἀνέραστος τοῦ καλοῦ, ὡς ἄντικρυς ἀχαρίτωτος, πέτρας (εἴπῃ τις ἂν) ἀ(γ)ελάστου κατὰ τὴν παροιμίαν ἀπόκομμα. Mo. fol. [illegible]. b. Ἄγουσι μὲν οὖν τὰς καλάνδας ἐν λόγῳ πανηγύρεως ἅπαντες· ἄγουσι δὲ ἄλλα ἄλλοι, ὡς ἕκαστος οἶδεν ἔχειν ἢ τοῦ βούλεσθαι, ἢ τοῦ δύνασθαι. Καὶ ὁποῖόν τι καὶ ἡλίκον ταῖς καλάνδαις κατὰ τῶν ἄλλων ἡμερῶν τὸ ἐκνίκημα, ὁ Σῦρος ἔχει περιστῆσαι σοι σοφιστής, ᾧ τὴν κλῆσιν ἐπέπνευσεν ὁ πυρίπνους ἐγχώριος Λίβανος, ὁ τῆς τῶν Σύρων γῆς ὑπερτέλλων, καὶ κάτω που κεῖσθαι αὐτὴν ἐν κοίλῳ ἀφείς. Ἀλλὰ τί σοι περιπλέκειν δοκῶ περιφράζων τὸν ῥήτορα, καὶ σοφιστικῶς τὴν τοῦ ὀνόματος παρωνυμίαν μεταχειριζόμενος; καὶ πῶς παρασύρω τὸν ἄνδρα τῷ Λιβάνῳ τῷ ὄρει, καὶ οὐκ ἐξάγω τῆς λόχμης, καί σοι παριστῶ τὸν δεινὸν σοφιστὴν τὸν Λιβάνιον; Φράζει γοῦν ἐκεῖνος, εὖ μάλα κατὰ τέχνην περιηγούμενος, ὁπόσα τῶν καλῶν τελοῦνται περὶ αὐτάς, τοὺς κρότους, τοὺς ὕμνους, τοὺς παιᾶνας, τὰ δῶρα, τἆλλα τῆς ἡμέρας ἀγαθά, ἃ στόμα Λιβανίου τεχνικῶς διαμασσησάμενον ἐλέανέ τε καὶ τροφὴν ἐνέθετο τοῖς προτελουμένοις ἔτι καὶ βρεφοκομουμένοις οἷον τὰ εἰς ῥητορικήν. Ἓν δή τι τῶν τῆς ἡμέρας ταύτης καλῶν καὶ τὸ δωρεῖσθαι καὶ ἀλλήλοις τι συντελεῖν, οὐ τοὺς αὐτοὺς τοῖς αὐτοῖς (συνάλλαγμα γὰρ τοῦτο τοιοῦτον οὐκ εὐγενές, φρενὸς κερδαλέας τέχνασμα· κέρδους

ἀγεννοῦς ἐμπόρευμα, ψυχῆς οὐ φιλικὰ φρονούσης ἐμπόλημα), ἀλλ' ἄλλους ἄλλοις· καὶ πάντας ἀλλήλοις, ἄλλον ἄλλό τι χαρίζεσθαι· ὡς ἔστι μὲν οὐ τὴν χάριν ἀνακάμπτειν, καὶ πρὸς τὴν κατάρξασαν στρέφεσθαι· ἔστι δ' ὅτε καὶ εὐθυωροῦσαν προβαίνειν κατ' εὐθεῖαν μετάδοσιν, οὔκουν ἀντίδοσιν· καὶ προῤῥέειν τὰς χάριτας, πῇ μὲν ἀνὰ κύκλον, καὶ (ὡς εἰπεῖν) ἀψοῤῥόους· πῇ δ' ἰθύ πως τὸν ῥοῦν εὐθύῤῥουν προβάλλεσθαι. Τὴν γὰρ παροιμιακὴν ἀνάγκην διαγραπτέον ἐνταῦθα, δός τι καὶ λάβε τι λέγουσαν. Ἐξοστρακιστέα γὰρ αὕτη, πολιτείας ὑγιαινούσης τὸ ἀνεμπόρευτον κοινωνικὸν ἀναιροῦσα, καὶ τὴν φιλίαν ἐξ ἀνθρώπου βάλλουσα.*—Ἡμεῖς οὖν ἀπέχομεν ἤδη μυρία τῶν σῶν ἀγαθῶν, ἃ καταντλεῖς ἡμῶν ὁσημέραι· δεῖ δὲ καὶ ἡμᾶς κατὰ τὰς ἐν συμβόλων γραφαῖς ὑμνουμένας χάριτας τῶν σῶν ἐπιστρέφους γενέσθαι χαρίτων, οὐ διδόντας, ἀλλὰ μεγάλων προϋπαρξάντων ἀντιδιδόντας μικρά· καὶ χεῖρας χερσὶν ἐμβαλεῖν, καὶ καλοῦ τούτου κύκλου χορείας Χαρίτων κατέρξασθαι. Καὶ δὴ γίνεται τοῦτο πρὸς δύναμιν. Ἄλλοι μὲν οὖν ἄλλως ἀφοσιούσθωσαν τῷ καιρῷ τὰ τῆς χάριτος, εἴτε μὴν ἀντιχάριτος· ἡμεῖς δὲ οἱ λόγου, εἰ μὴ τῷ ὄντι θεραπευτικοί, θεράποντες δ' ὅμως, τάχα δὲ καὶ ὀτρηροί, τὴν τιμίαν σε κεφαλὴν καὶ τοῦ παντὸς ἀξίαν τῷ παρ' ἡμῖν τιμίῳ δεξιωσόμεθα λόγῳ, συνθέντες τοῦτον ἔσω πίπτοντα τοῦ καιροῦ· οὔκουν κατὰ τὸν σοφιστήν, ὃν ὁ λόγος ἄνω σοι παρεστήσατο. Ἣν γὰρ ἐκεῖνος ἐβάδισεν, αὐτὸς τεμών, ἔτριψε μόνος. Οἱ δ' ἄλλοι δοκῶ μοι ἂν τὴν τοιαύτην ὀκνήσωσιν ἀτραπόν· οὐ γὰρ ἔσται σφίσι κατ' ἴχνος βαίνειν τοῦ ῥήτορος. Γράφομεν δὲ κατ' ἔφοδον ἄλλην, δι' ἧς τὰ τῆς ὥρας οὐκ ἐκφράσομεν, ἀλλὰ φράσομεν, τοῖς ἑαυτῶν τὴν ἡμέραν σεμνύνοντες, καὶ τῷ περὶ καλανδῶν λόγῳ ἐξοσιούμενοι τὴν κατ' ἐκείνας πανήγυριν. Ἔσται δέ σοι κἀντεῦθεν τὶ βραχὺ προσωφέλημα· κἂν εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' ὅτι περ, ἃ πολλοῖς ἐδαφίοις βίβλων κατέσπαρται, ἡμεῖς ἀποτεμόμενοι, καθάπερ ἁδρά τινα δράγματα, ὡς εἰς εὐρεῖαν πανδεχῆ καλοῦ παντὸς αὔλακα, τὴν σὴν φιλολόγον ψυχὴν φέροντες ἐντιθέαμεν, θέρος σοι τοῦτο σχεδιάζοντες εὔδαιμον ἐν μέσῃ χειμῶνος ὥρᾳ· ὃ σὺ τάχ' ἂν καὶ εἰς χρυσοῦν θέρος ἐγγράψας εἰκάσειας· οὐχ ὅτι τοιοῦτο, ἀλλ' ὅτι περ οὕτω σοι ταλαντεύεται τὰ ἡμέτερα, καὶ τιμᾶται πολλοῦ. Λέγομεν οὖν ἔνθεν ἑλόντες, [ὡς] οὐκ εἰς ἕνα τινὰ καιρὸν τὸ τῆς καλάνδης ἀγαθὸν στενοχωρούμενον περιγράφεται· συνεπιμερίζεται δὲ τοῖς δώδεκα μεγάλοις τμήμασι τοῦ ἐνιαυτοῦ, ἃ κινούμενος ἥλιος καὶ παρελαύνων τὸ τοῦ ζωδιακοῦ λοξοῦ κύκλου δωδεκατημόριον ἕκαστον τέμνει· καὶ τὸν ἐνιαυτοῦ στέφανον οὕτω περιάγων, γράφει τὸν κύκλον ὁλοτελῆ· καὶ ὅσαι νεομηνίαι ὑπανακύπτουσιν, ἀρχὰς ἐνδιδοῦσαι τοῦ χρονικῶς τρέχειν ταῖς ἐφεξῆς, τοσαῦται καὶ καλάνδαι συνεκπίπτουσιν, ἑκάστου τῶν μηνῶν προεξάρχουσαι. Καὶ τάχα εἰς πολυωνυμίαν τὸ τῶν λέξεων χρῆμα συνάγεται· καὶ ἔστι ταυτὸν εἰς πράγματος φύσιν, καλάνδας τε καὶ νουμηνίας ἢ ἱερομηνίας εἰπεῖν· ὥσπερ δή που καὶ ἐνιαυτὸν καὶ ἔτος, ἤδη δὲ καὶ χρόνον, ὡς ἡ κάτω κειμένη καὶ ταπεινὰ φθεγγομένη διάλεκτος ἂν ὑποφθέγξηται. Οὐχ ὑποπέπτωκε δὲ τοιαύτη λέξις ἀρχῇ, οὐδ' ἔστι προτόθετος· ἀλλ' ἐκ τοῦ καλεῖν, οἷά τινος ἀρχῆς, εἴτε μὴν ὕλης ἀρχεγόνου παράγεται. Καὶ ἔστι μὲν ἀληθῶς Λατίνων ἐγχώριος ἡ φωνή, καὶ ἔξω που τῆς Ἑλλήνων αὐλῆς θυραυλεῖ. Καὶ εἰδεῖεν ἂν ἀκριβῶς ἐκεῖνοι τὸ ῥῆμα, ὅ τί ποτε βούλεται. Φέρεται δ' ὅμως λόγος, ὡς ἄρα τὸ καλεῖν ὄνομα τὰς καλάνδας παρήγαγεν. Ὁ γάρ τοι—εἴτε καὶ Λατῖνος, εἴτε καὶ Ῥωμαῖος βούλει λέγειν—ἱερεὺς ἐν αὐταῖς περικαλῶν τὸν ὄχλον κηρύγματι, τάς τε νόννας τοῦ μηνός, πηνίκα χρὴ ἄγειν, ἐξεβόα, καὶ τὰς εἰδοῦς δὲ προανέκραζε. Τίνες δὲ αὗται εἰσί, βουλομένῳ ἔστιν ἀκοῦσαι· τέως δ' ἀναμένειν χρεών. Ἤγοντο μὲν οὖν πᾶσαι καλάνδαι διὰ τιμῆς, καὶ ἱεραὶ ἦσαν ἡμέραι, ὅτι καὶ νεομηνίαι· καὶ τὸ τῆς ἀρχῆς οὕτω θεῖον ἀνέφαινον. Ἔδοξε δέ πως τὰς Ἰαννουαρίους καλάνδας προέχειν τῶν ἄλλων, καὶ τὸ τῶν λοιπῶν πρεσβεῖον ἐξιδιώσασθαι, καὶ ἀποκρύψαι τὰς ἄλλας τῷ θαύματι· ὡς καὶ σεσιγῆσθαι τὰς λοιπάς, καὶ μηδ' ὄνομα γοῦν καλάνδης ἐν ἄλλῳ μηνὶ φέρεσθαι· τάχα μὲν οὖν, οὐκ ἐξαρκούντων τῶν πολλῶν, οὕτω συχνὰς τὰς ἐν δώροις φιλοφροσύνας ποιεῖσθαι, ὡς ἡ τῶν ἡμερῶν ἀπαιτεῖν οἶδε λαμπρότης· τάχα δὲ καί, ὅτι τὸ τὰς ἑορτὰς ἄλλας ἐπ' ἄλλαις ἐπιτελεῖν συνεχῶς οὐκ ἔξω σκώμματος ἔπιπτεν. Ἦν γὰρ ἀργίας τὸ πρᾶγμα τεκμήριον, καὶ τὸ τῆς πανηγύρεως ἀλλεπάλληλον ἀναπτώσεως ἐκρίνετο σύμβολον. Σημεῖον δέ· καὶ γάρ τις κωμῳδεῖται πόλις ἐν ἱστορίαις, ὅτι πλείους τῶν ἐργασίμων ἦγε τὰς ἑορτάς. Ὅπως δ' ἂν ἔχῃ τὸ πρᾶγμα, συνεῖλε πᾶσαν τὴν τῶν καλανδῶν τιμιότητα ὁ Ἰαννουάριος εἰς ἑαυτὸν μήν, πλεονεκτήσας τοὺς ἄλλους, καὶ τὸ κοινὸν ἐξιδιωσάμενος. Ὁ μὲν ἐκ Χαιρωνείας φιλόσοφος ἐξιστόρηκεν, ὡς ὅτι ἔδοξε Ῥωμαίοις πάλαι ποτὲ καί, νέου ἔτους ἀρχὴν τὸν μῆνα τοῦτον προτίθεσθαι καὶ [προ] τιμᾶσθαι || τ[ῶν] ἄλλ[ων] μην[ῶν] ὑπερέκεινα, ὅτι Mc. fol. 242. a.
αὐτός τε ὁ μ[ὴν οὗτος] ἦν ὅτε ἐνέστη, καὶ οἱ μὲν οὐκ εὖ παρ' αὐτοῖς μοναρχοῦντες τοῦ κρατεῖν παρελύθησαν, ἡ δὲ τῶν βελτίστων ὑπάτων ἀρχὴ ἐντεῦθεν ἀρχὴν

ἐκληρώσατο. Προςεπιτίθησι δὲ τῇ ἱστορίᾳ καί τινα Ῥωμαίοις τὴν κλῆσιν μὲν Ἴαννον, τὰ δὲ πρὸς γεωργίαν καὶ τἄλλα, ὅσά πόλιν τε οἶδε συνιστᾷν καὶ βίον πολιτικὸν συγκροτεῖν, ἄνδρα χαρίεντα, ὃς καὶ τοὔνομα ἐγκατατίθεται τῷ μηνί, ὁποίῳ τινὶ κενηρίῳ σεμνῷ· εἰπών, εἶναι τὸν Ἰαννουάριον Ἰάννου ἐπώνυμον. Σεμνύνει δὲ καὶ ἄλλως τὸν καιρὸν τοῦτον ἐκεῖνος, ὅτι περ ἐκ τῶν νοτίων αὐτὸς ἡμῖν ἐπανάγει τὸν ἥλιον, καὶ τῆς μακρᾶς ἀποδημίας στήσας ἐπανακάμπτειν ποιεῖ, καί πως τὸ ἔαρ ἡμῖν ὑπανοίγει· καὶ μικρὸν ὅσον ἀναπεταννύμενος καὶ ὑπαύξων τὸ φῶς καὶ χρονίζειν ὑπὲρ γῆς τὸν ζωογόνον φωςφόρον ποιῶν, ἀρχάς τινας ἤδη γονίμους ἐνδίδωσι τῇ γῇ, καὶ ἠρέμα πρὸς γονὰς ἀνοίγει, θύρα τις ὥςπερ γινόμενος ἐκείνῳ πρὸς γένεσιν. Τὸ δ' ἐντεῦθεν ὁ Συροφοῖνιξ Πορφύριος ἀλληλουχεῖ μοι τὸν λόγον, καὶ ὡς ἔκ τινος βαλβίδος — τῆς θύρας ταύτης διεκδραμών, ἄλλον τρόπον αὐτὸς θυροκοπεῖ τὸν Ἰαννουάριον. Καὶ στρέφεσθαι μὲν οὐκ ἀνέχεται κάτω, καὶ τόπους τρίβειν ἱστοριῶν· τὸ δὲ τῶν νοημάτων τούτων βρῖθος ἀποσεισάμενος, καὶ (ὡς οἴεται) πτερυξάμενος ὑπερνέφελος Ἴκαρος πυθ͂ςπελάζει τῇ ἀπλανεῖ. Κἀκεῖθεν βούλεται μέν τι λαλεῖν, οὐκ ἔχει δὲ τὸν ἀκούοντα· οὐχ ὅτι πολὺ καὶ οὐ σύμμετρον ἀκοῇ τὸ μεσιτεῦον τοῦ διαστήματος· ἀλλ' ὅτι τερατώδης ὁ λόγος, καὶ οἷος εἰς ψυχὴν ευ λογιζομένην μὴ παρειςδύεσθαι, ἀλλ' ἄξιος εἶναι τῷ πεπτωκότι ἄνωθεν ἑωςφόρῳ συγκαταφέρεσθαι. Καταβάσεις γάρ τινας ἐξ οὐρανοῦ ὑποθέμενος καὶ ἀναβάσεις αὖθις ψυχῶν, καί τι νομίσας συμπράττειν ἐνταῦθα καὶ τὴν τοῦ ἄστρου θέσιν, ὃ παραμείβων ὁ ἥλιος τὸν Ἰαννουάριον ἐκμετρεῖ, εἴτουν ὑπ' αὐτοῦ ἔχει μετρούμενος· ἐντεῦθεν καὶ τὸν μῆνα παρονομάζει, ἰαννουαν μὲν Ῥωμαίοις εἰπὼν καλεῖσθαι τὴν θύραν· ἐκεῖθεν δὲ τῷ καιρῷ τούτῳ τὴν κλῆσιν τερατευόμενος διεκπεσεῖν, ὡς εἶναί τινα θυραῖον αὐτὸν ἀνόδῳ τοιᾷδε καὶ καθόδῳ διακονούμενον, αἷς καὶ θύρα τίς που συνεξακούεται. Πορφύριος μὲν οὖν χαιρέτω, πτερυσσόμενος ἄμετρα· καὶ τὸ πτερὸν λύσας Ἀρπυία φερέσθω. Προςεκτέον δὲ μᾶλλον τῷ Χαιρωνεῖ. Τρίβων γὰρ (εἴπερ τις ἄλλος) Ῥωμαϊκῆς ἱστορίας ὁ ἀνήρ, καὶ ἀνθρωπικώτερον φθέγγεται, καὶ γῆθεν λαλεῖ· καὶ ἐκ τῶν παρ' ἡμῖν λαμβάνων πιστοῦται τὰ καθ' ἡμᾶς. Τὸν Ἴαννον γὰρ ἐκεῖνον, οὗπερ αὐτὸν μεμνῆσθαι προεξεθέμεθα, οἴδασι καὶ ἄλλοι λόγοι Ἑλληνικοί, καὶ θρηνοῦσιν οἱ πάλαι τὸν ἄνδρα, καὶ τῶν Ἀβοριγίνων (Λατίνων δὲ οὐ μικρά τις αὕτη ἀπόμοιρα) κατάρξαι φασί. Διάζουσι δὲ αὐτῷ καὶ τὸ πρόςωπον, καὶ τῷ ἑνὶ καὶ φυσικῷ καὶ δεύτερον προςπλάττουσι πρόςθετον, διπρόσωπον αὐτὸν ἀναπλάττοντες· ἄνθρωποι αὐτονομίας ποιητικῆς βαθὺν κρατῆρα συστησάμενοι, καὶ πολὺν μυθικῆς ἀδείας ἄκρατον σπάσαντες, καὶ ὥςπερ τῷ ψεύδει μεθύοντες· ὡς ἐντεῦθεν αὐτοὺς οὐχ ἁπλᾶ τὰ κατὰ τὸν ἕνα καὶ μονοφυῆ φαντάζεσθαι ἄνθρωπον, ἀλλ' ἢ φιλοτιμεῖσθαι πλείω τῆς φύσεως μόρια, πενίαν οἶμαι καταψηφιζομένους αὐτῆς· ἢ συντιθέναι προςφύσεις, ἃ μὴ πέφυκε γίνεσθαι. Οὕτω τοὺς Ἱπποκενταύρους ὁ παλαιὸς Ἕλλην ἐξ ἀλλοφυῶν σωμάτων συνήγετο· οὕτω τὸν Κέκροπα ὄφεως ὁλκῷ συνανέπλεξεν· οὕτω τοὺς Μολιονίδας ἐπανεδίπλασεν. Ἐντεῦθεν ὁ πολύχειρ Ἑκατόγχειρ, ἡ πολυκέφαλος Ὕδρα, Ἄργος ὁ μυριόμματος. Προςανεδίπλασαν δὲ διφυῆ καὶ Ἰάννῳ τὰ πρόςωπα, φαῖεν ἂν οἱ τὸ τοῦ μύθου νοσοῦν θεραπεύοντες, διὰ τὸ τοὺς τρόπους οὐχ ἁπλοῦν εἶναι τον Ἴαννον, ἀλλὰ κατὰ τὸν Πρωτέα πολύτροπον. Ὁ μὲν οὖν Ἰαννουάριος ἐντεῦθέν ποθεν ἴσχει τὴν ἐπωνυμίαν· αἱ δὲ περὶ αὐτὸν καλάνδαι, καὶ ὅσα σεμνὰ τελοῦνται περὶ αὐτάς, Ῥωμαίων προςεξευρήματα καὶ αὐτά· ἐν αἷς ἄλλά τε ἐτελοῦντο ἄξια λόγου, καὶ ὑπὲρ ὑγείας εὐχαὶ τοῖς κρείττοσιν ἀνετείνοντο. Ἐξῆν δὲ καὶ δούλοις, δεσπόταις συνεορτάζειν, καὶ ἁλῶν τε κοινωνεῖν αὐτοῖς καὶ δὴ καὶ τῆς ἐλευθερίου στολῆς. Πρὸς τί μοι ταῦτα; Ὡς ἂν ἔχῃς μαθεῖν, ὅτι καὶ τὰ νῦν ἐφ' ἡμῶν τελούμενα τοιούτου τινὸς ἐξέχονται λόγου. Τἄλλα τε γὰρ οὐ μακρὰν ἐκείνων πίπτουσι, καὶ συμμετέχειν ἔστιν ἡμῖν ἀλλήλοις τῶν παρ' ἑκάστοις, καὶ κοινωνίαν φιλικὴν συνιστᾷν, ἢ φράζειν ἐν τῷ παρόντι· φιλοτιμία τις ἄκαιρος καὶ ἐπιστολῶν νόμοις ἀντίθετος. Ὅτι δὲ καὶ νόννας καὶ εἰδοῦς ὑποτυπώσαντες οὐκ ἐντελῶς ὡς ἐν ὑπογραφῇ τινι προεθέμεθα, ὑποθετέον καὶ χρῶμα τῷ ὑπογραμμῷ, καὶ τὴν εἰκόνα τοῦ λόγου συντελεστέον σοι. Ὁ μὴν καθάπερ ὁλότης εἰς τρία παρὰ Ῥωμαίοις διῃρεῖτο τὰ τμήματα· τῶν δὲ τμημάτων τὸ μὲν κατάρχον τὴν κλῆσιν εἶχε τῶν καλανδῶν· διέχουσαι δὲ μετ' αὐτὴν ἡμέραι τινὲς ὡρισμέναι ταῖς νόνναις ἐπέβαλον· ἔδει δ' αὖθις μετὰ τὰς νόννας διασχεῖν ἡμέρας τοσάςδε, καὶ τὰς εἰδοῦς ἐπιστῆναι. Καὶ οὕτως αἰεὶ κατὰ τὰς ἑξῆς ὁ ἐπιὼν μὴν τὰ ἴσα ἔπασχε διαιρέματα· καὶ εἶχέ πως καταρχούσας μὲν τὰς καλάνδας, μετ' ὀλίγον δὲ τὰς νόννας, παρηγουμένας ἐκ τῆς νεότητος τοῦ κατὰ σελήνην φωτὸς ἔτι προςαυξανομένου καὶ εἰς ἐπίδοσιν ηκοντος· καὶ μετ' αὐτὰς τὰς εἰδοῦς, ἐν αἷς ἤδη τὸ οἰκεῖον εἶδος, εἴτουν κάλλος ὁ σεληνιακὸς ἀπελάμβανε δίσκος. Καὶ πάλαι μὲν οὕτω τοιαύτην εἶχον τὴν σημασίαν· καὶ οὕτως ἀλλήλων διεστέλλοντο ταυτὶ τὰ ὀνόματα. Νῦν δ' ἀλλὰ τὰ τῆς κοινῆς ἐκείνης συνθήκης

παρεσπονδήθη· καὶ ἡ τῶν σχεδικῶν νοημάτων τύραννος ἀνάγκη τὴν παλαιὰν χρῆσιν βιασαμένη περινομεῖ, εἰδοῦς τε καὶ νόννας καὶ τὰς ἁπλῶς ἡμέρας ἄγουσα εἰς ταὐτόν. Καὶ ἔπαθον ταὐτὸν οἱ γραμματικοὶ ἄρτι, ὃ καὶ οἱ πεσόντες ὑπὸ πολιορκίαν πολυετῆ. Ἐκεῖνοί τε γὰρ ἐν στενῷ κομιδῇ καθειργμένοι, ἔστιν οὗ πιεσθέντες ἐνδείᾳ, οὐδὲ τῶν ἀψαύστων ἀνειμένῃ γλώσσῃ σωμάτων ἀπέσχοντο, λιμοῦ κἀνταῦθα δαιταλουργοῦντος αὐτοῖς· καὶ αὐτοὶ τῷ λαβυρίνθῳ τῶν σχεδικῶν ἑλιγμῶν ἐναπειλημμένοι, καὶ λέξεων εὐπόρως οὐκ ἔχοντες, ἀλλ' ὡς εἰπεῖν λιμώττοντες, αἷς περιεργότερον χρήσονται, καὶ τῶν τοιούτων κατεξανέστησαν, καὶ χορεύσαντες οἷον ἀδιαφόρως αὐτὰς συνεῖλον εἰς ἕν. Ταῦτα σοι καὶ περὶ τούτων. — Ἐπεὶ δὲ (ὃ καὶ γένοιτο, Χριστὲ βασιλεῦ, καὶ ζωῆς μακρᾶς ἐπιμετρουμένης σοι ἀνύοιτο ἐπὶ μήκιστον) πρὸς ἄλλαις βίβλοις σοφῶν καὶ τοιαῦται τινὲς εἰς χεῖρας πεσοῦνταί σοι, ἐν αἷς εὑρήσεις προγεγραμμένον, ὡς ἄρα τόδε τι κατεπράχθη πρὸ τόσων καλανδῶν Ἰαννουαρίων τυχόν, ἢ ὅτι πρὸ τόσων Ἰουλίων (ὑποθετέον νοννῶν ἢ εἰδῶν) ὁ δεῖνα τὰ καὶ τὰ διεπράξατο· καὶ ἔστιν ἐλπίς, ἐπιστῆσαί σοι τοῖς τοιούτοις ποσοῖς πρὸς ἐκείνοις τοῖς τῶν συγγραφῶν τόποις γενόμενον· εἰδέναι σε θέλω, ὅτι καινοτέρα τοῖς τοιούτοις καὶ ἀκριβὴς ἀπαρίθμησις ἐπεγκάθηται· ἀναμνήσω δέ σε καί, πρὸς ἀκριβῆ ὁμοιότητα τινὰ προεκθέμενος. Οἶδας παρὰ τοῖς Ἀττικοῖς μέχρι καὶ

Ms. fol. 212 b. ἐς τὰ εἴκοσιν || τοῦ κατὰ σελήνην μηνὸς τὴν κατ' ἀριθμὸν πορείαν εὐτάκτως κατ' εὐθεῖαν βαίνουσαν φυσικήν, μετὰ δὲ αὐτὰ ἀνὰ πόδας χωροῦσαν, καὶ οἷον ἀνακοιχεύουσαν, ἢ καὶ κατὰ τοὺς ὀπισθονόμους βόας τὴν ἐπὶ τὰ ἔμπροσθεν ἀπαναινομένην εὔοδον πρόοδον. Μετὰ μέντοι τὰς εἴκοσιν ἐνάτην ἠκηκόεις ἐκεῖ φθίνοντος· εἶτα δὴ μετ' αὐτήν, φθίνοντος ὀγδόην μηνός· καὶ ἐπ' αὐτῇ τοιαύτην ἑβδόμην· καὶ ἑκάστην ὁμοίαν ἐχομένην αὐτῆς· καὶ τοὔθ' οὕτως, ἕως καὶ εἰς τὴν νουμηνίαν ἦλθες αὐτήν, ἀνὰ πόδας τῇ ἀναριθμήσει χωρῶν. Καὶ ἐξέπληττε μέν σε τὸ ἀλλόκοτον ἐκείνης τῆς ἀριθμήσεως· ἐπέγραφες δὲ τὸ πρᾶγμα νόμῳ συνηθείας Ἀττικῆς. Ἤκουες δὲ καὶ αἰτίαν ἴσως οὐκ ἄμουσον, ὡς ἄρα τὸ τοιοῦτο ἀρίθμημα, μέχρι τινὸς κατ' εὐθυωρίαν δραμόν, καὶ ἐπὶ τὰ κατόπιν χωρῆσαν, τὴν τῶν πλανήτων ὑπαινίττεται κίνησιν, πῇ μὲν τὸ ἑαυτῶν φερομένων, πῇ δὲ κατ' ἄλλο κινήσεως εἶδος, εἴτουν ἀντὶ περιφορᾶς συμπεριφερομένων τῇ ἀπλανεῖ. Οὕτω δὴ κἂν ταῖς τοιαύταις τῶν παλαιῶν βίβλων γραφαῖς ἔθος Ῥωμαίοις ἀρέσαν, τὸ τοῦ ἀριθμοῦ παρεισήγαγεν ἔναλλον. Τὴν γάρ τοι τοῦ μηνὸς αὐτὴν δευτέραν καὶ τρίτην, καὶ εἴ τις ἄλλη τὰς νόννας μεσολαβεῖ, οὕτω προέφερον· πρὸ τεσσάρων τυχὸν νόννης, εἶτα πρὸ τριῶν. Καὶ οὕτω πως ἕως καὶ εἰς αὐτὴν ἦλθον τὴν πρὸ μιᾶς νοννῶν· κἀντεῦθεν εἰςέβαινον καὶ εἰς τὴν νόννην αὐτήν. Εἶτα μεταβάντες εὐτάκτως, καὶ ὡς ἐξ ὑπαρχῆς προϊόντες ἄλλης, πρὸ ἓξ εἰδῶν, ἂν οὕτω τύχῃ, ἔλεγον· τὴν δ' εὐθὺς μετ' αὐτὴν πρὸ πέντε εἰδῶν· μετὰ δὲ πρὸ τεσσάρων, καὶ ἑξῆς ὁμοίως, ἄχρις ἂν ὁδῷ μετροῦντες καὶ κατιόντες, ὡς ἂν εἴπῃ τις, ἄνω, ἢ καὶ τὸν ἀριθμὸν συντιθέντες κατὰ ἀνάλυσιν, ἀνέβησαν εἰς τὴν πρὸ μιᾶς εἰδῶν, καὶ ἀπ' αὐτῆς μετανέβησαν εἰς αὐτὰς τὰς εἰδοῦς· μεθ' ἃς τῇ αὐτῇ πάλιν ἐφόδῳ πρὸ τόσων καλανδῶν ἠρίθμουν, οἷον πρὸ ἕνδεκα τάχα Ἰαννουαρίων καλανδῶν, καὶ ἑξῆς πρὸ ἐννέα τῶν αὐτῶν καλανδῶν· καὶ ὁμοίως τὰς μετ' αὐτάς, ἕως ἀνέλθοιεν εἰς αὐτὴν τὴν πρὸ μιᾶς Ἰαννουαρίων καλανδῶν. Εἴη δ' ἂν αὕτη ἡ τοῦ Δεκεμβρίου ἐσχάτη· ἥ τις τὸν παροιχόμενον ὅλον Δεκέμβριον μῆνα συγκλείσασα, τὴν τῆς ἑξῆς νεομηνίας ὑπανοίγει θύραν τῷ ἐρχομένῳ, καὶ τὰς προκηρυσσομένας Ἰαννουαρίας καλάνδας εἰςῆγεν, ἤτοι τὴν νουμηνίαν αὐτήν. Καλάνδας γὰρ καὶ νουμηνίαν ἀδελφονοεῖν, φθάσαντες εἴπομεν, ἴσως μὲν καὶ περὶ τὸ καλεῖν οὕτω λεγομένας, ὡς καὶ προέκκειται. Πλουτάρχῳ μέν τοι ἄλλό τι ἀρέσκει. Βούλεται γὰρ ἐκεῖνος, ἣν ἂν εἴπῃ τις νεομηνίαν, οὕτω καλεῖσθαι συγγενῶς τῷ κατὰ σελήνην μετρουμένῳ μηνί. Ἐκείνη τε γὰρ ὑποκλέπτει τὸ ἡλιακὸν φῶς, καὶ ὑφέλκεται λάθρα πρὸς ἑαυτήν, ἡλίῳ συνοδεύσασα. Καὶ Ῥωμαῖοι δὲ ἐπὶ τοιούτων πράξεων κατὰ τὴν σφῶν διάλεκτον τὸ κλὰμ τίθεσθαι βούλονται, ἀφ' οὗπερ αὐτὸς καὶ τὰς καλάνδας καλεῖσθαι νομοθετεῖ καιρόν, καθ' ὃν λανθάνει σελήνη, φῶς ἡλιακὸν ἐπισπωμένη πρὸς ἑαυτήν. Λέγεται δὲ καὶ αἰτία τῆς ξενιζούσης ταύτης καὶ εὐθυπορούσης ἀναμετρήσεως. Ὅτι δέ μοι οὐ πάνυ τι ἤρεσκεν, οὐκ ἐξεγραψάμην σοι ταύτην. — Τοῦτό σοι παρ' ἡμῶν καλάνδαις πρέπον δῶρον, οὔτοι ἀπόβλητον, οὐδὲ μὴν δύςδωρον (ἐχθροῖς γὰρ ἡ παροιμία τὴν τοιαύτην λέξιν ἐπέρριψεν)· ἐρικυδὲς δέ. Ἀλεξάνδρῳ μὲν τῷ Πριάμου δοτέον εἰπεῖν· ἐφιλοτιμεῖτο γὰρ ὁ ἀνὴρ εὖ μάλα τοῖς δώροις τῆς φύσεως· καὶ ὅτι περ εὖ εἶχεν αὐτῶν, οὐκ ἠγνόει. Ἡμεῖς δὲ οὔπω θαῤῥοῦμεν εἰπεῖν, ἐφ' οἷς λελαλήκαμεν, ἕως καὶ τὴν σὴν ἱερὰν κεφαλὴν ἐπινεύσασαν μάθοιμεν.

η̄

Μικροῦ ἐκπεπάταγμαι, αὐθέντη Κομνηνέ· καὶ καθά τις ἐμβρόντητος, οὕτω καὶ αὐτὸς διάκειμαι. Ἀλλὰ

τίς ὁ πάταγος; τίς δὲ ἡ βροντή, δι' ὧν ἐγὼ τοῦ κατὰ φύσιν ἔχειν ἐκτέτραμμαι; Ὁ τοῦ καλλίστου Δούκα ὀνειδισμός, ὃν ἀκούσας ἐγὼ (ἐπόμνυμι τὴν σὴν ἱερὰν κεφαλὴν) ἀχανὴς εὐθὺς ἔμεινα· καὶ οὔτε λαλεῖν εἶχον, καὶ ὁ νοῦς δέ μοι πολλοὺς κύκλους ἔστρεφε λογισμῶν. Ἐρώτησον αὐτὸν ἐκεῖνον τὸν Δούκαν, τὸ ἐμὸν θαῦμα, τὸν τῆς φύσεως γνώμονα, εἰ μὴ οὕτω με διατεθειμένον κατε[κπεπάτα]χεν. Ὁ μὲν γὰρ περί τινά που στενωπὸν ἐμπεριτυχών μοι, καὶ δεξιώτατα σχηματίσας τὸν λόγον, ὠνείδισεν, ὅτι ἐλθὼν ἔξωθεν οὔπω εἶδεν ἐμὲ ἄχρι τῆς ἄρτι, ἀλλὰ καὶ νῦν ἐκ τοῦ παρατυχόντος. Ἐγὼ δὲ οὐκέτι ζῆν ἐπὶ τούτοις ἤθελον· οὐδὲν γὰρ πάντως, ἀλλ' ἢ οὐ χρηστότητα ὑπολήψεως ἐπ' ἐμοὶ εὐσχημόνως ὁ λόγος ᾐνίττετο. Οἷος μὲν οὖν ὠχρὸς ἔβαψεν ἄν μου τότε τὸ πρόσωπον, ἢ καὶ τυχὸν ὅπως ἔσχον τοῦ ἐρυθριᾶσαι, εἰδείη ἂν ὁ τηνικαῦτα μοι ἐνιδών. Ἃ δὲ ἐγὼ σύνοιδα ἐμαυτῷ, τοιαῦτα ἦν. Ἔβλεπον ὑπόδρα, τὴν ὄψιν ῥίψας εἰς γῆν. Καὶ λαλῆσαι μὲν οὐκ εἶχον, ὡς οἷα καταβροντηθεὶς τῇ φωνῇ (ἦν γὰρ ἡ μέμψις οὐδὲ ἔξω λόγου)· ἀλλ' ἔμεινα μηδὲν εἰπών, ὡς δῆθεν οὐδὲν ἀκηκοώς. Ἐπεὶ δὲ καὶ εἰς δεύτερον ἐνήχθη μοι ἡ βροντή, ἐνταῦθα ἐπὶ πλέον παθὼν τὴν ψυχὴν (συνῄδειν γὰρ ἐμαυτῷ, εἰ καὶ μὴ ἐκ προθέσεως, ἀλλ' ὅμως ἔσω κείμενος μέμψεως), ἐλάλησά τι ὀλίγον· καὶ οὐδὲ ψευδὲς ἐκεῖνο. Τὸ δ' ἐντεῦθεν οὐδέν τι ἔχανον εἰπεῖν. Ἀλλὰ καρδιώξας, καὶ ἐμαυτοῦ καταγνούς, οἷα πάσχω διὰ τὸ ἐμοὶ ἀρέσκον — ὡς μὲν ἐγὼ κρίνω, ἁπλοῦν οὕτω καὶ οὐ περίνουν· ὡς δὲ τὰ πράγματα διαδείκνυσι, ῥᾴθυμον καὶ δυστράπελον — ἐνεὸς ἦν, οὐδὲν εἰς ἀπολογίαν λαλῶν, ἀλλὰ τήν γε ψυχὴν τεταραγμένος, καὶ τὴν φωνὴν ἐπεσχημένος διὰ τὸν ἔνδον τάραχον. Εἶπες ἂν ἰδὼν τηνικαῦτα τὸν Ὁμηρικὸν ζάκοτόν τε καὶ ἄφρονα καθορᾶν. Βραχὺ δέ τι διαγαγών, καὶ μόλις ἐμαυτὸν συναγαγών, καὶ συντάξας εἰς προσκύνησιν, καὶ τὸ δέον ἀφοσιωσάμενος, εἰχόμην τῆς ἐφεξῆς ὁδοῦ, μένων ἐπὶ σχήματος, ἕως ἦλθον εἰς τὸν φίλον ἡγούμενον· ἔνθα καὶ ἐκλαλήσας τὸ πρᾶγμα, ἔσχον μὲν κουφότερον. Οὔπω δὲ διαγεγένημαι· οὐδὲ μὴν ἀναπαύσομαι τοῦ ταράχου, πρινὴ τὴν ἀπὸ τοῦ συμπαθεστάτου Δούκα σχοίην γαλήνην, καὶ συγγνωμονηθείην, ἐφ' οἷς — ἀλλὰ πῶς ἂν ἀσφαλῶς εἴποι; — οὐκ εὖ πεποίηκα. Σὺ δέ μοι, ὦ καὶ τὴν ψυχὴν ἄριστε καὶ τὰ εἰς τέχνην λόγου σοφώτατε, κατάπραξαι καὶ τὴν συμπάθειαν ταύτην· ἄνοιξόν σου τοῦ λόγου τὸν θησαυρόν, καὶ τι καὶ αὐτοῦ δαπάνησον δι' ἡμᾶς· ἔνδος τοῖς λόγοις προῤῥέειν· ἐπάφες τῷ Δούκᾳ τὴν γλῶσσαν ὑπὲρ ἡμῶν· κάθισον κριτὴν τὴν ἀλήθειαν, καὶ ὑπ' αὐτῇ τὸ δίκαιον βραβευούσῃ λάλησον. Ἔχεις ἐπιχειρῆσαι πολλαχόθεν· οἶδας, ὅπως ἐγὼ δουλόσυνα φρονῶ εἰς ὑμᾶς (ὃ δή σοι καὶ εὐπορηθήσεται εἰς προοίμιον)· οἶδας, ὅπως θᾶττον || [Ms. fol. 212 a.] ἂν ἐμαυτοῦ λαθοίμην, ἤπερ τῆς χρυσῆς ταύτης ὑμετέρας σειρᾶς· οὐ λεληθέ σε, ὅπως καὶ εὐρυβόας καὶ ἀληθὴς κῆρυξ ἐγὼ τῶν ὑμετέρων καλῶν. Κἂν γὰρ αὐτὸς σιωπῶ, οὐ μόνον οἱ λίθοι τοῦ ἐμοῦ τούτου οἰκίσκου κεκράξονται, ἀλλὰ καὶ ἡ λοιπὴ ἀποσκευή μοι τοῦ ζῆν. Ἵνα γάρ τι καὶ σοφιστεύσωμαι ἐν καιρῷ· εἴ μοι τὰ περιόντα φωνὴν τεραστίως ἦν ἀναλαχεῖν, καὶ ἀνακράξαι, πόθεν μοι περίκεινται, ὑπερεκραύγασαν ἂν τὰ ἐξ ὑμῶν καλὰ τὴν ἑτέρωθέν μοι κτῆσιν, καθὰ καὶ βροντῆς βόμβος ὑψόθεν ὑπερφωνήσῃ ἂν πάντας κτύπους τοὺς ἀπὸ γῆς. Προσεπιτούτοις ῥητόρευσον καί, οἷος ἐγὼ πρὸς τὸν Δούκαν, καὶ ὅπως αὐτὸν πνέω, καὶ φρενῶν δέλτοις ἐγγράψας ἔχω μνήμοσιν καὶ ὡς τὰ τούτου καλὰ τοῖς εἰσαεὶ ἐπαίνοις ἀποσεμνύνω· καὶ φύσεώς τε αὐτὸν ὀνομάζω καλλιτέχνημα, καὶ καλὸν πολυσύνθετον, καὶ τά τε ἐντὸς τά τε θύραζε κάλλιστον· ἐντὸς τὰ ἐς ψυχήν, θύραζε τὰ τοῦ σώματος. Οὐ γὰρ μόνον/τὴν ἀνδρείαν ἐστὶ στερέμνιος, καὶ τὴν φρόνησιν στάσιμος, καὶ τὴν ἀγχίνοιαν πάγιος, καὶ τὴν μεγαλοψυχίαν ἡρωϊκός, καὶ τὸ ἐλευθέριον δαψιλής, καὶ τἄλλα τῶν ἐς ψυχὴν ἀγαθῶν εἰς ὑπεροχήν· ἀλλὰ καὶ τοῖς περὶ σῶμα εὖ μάλα, καὶ ὡς οὐκ ἂν εἴη κάλλιον, συγκεκρότηται· πολὺς τὴν ῥωμαλεότητα, ὑφ' ἧς καὶ ξίφος οἶδε καταγαγεῖν ἐμβριθέστατα, καὶ τὸν τοξότην ἠκρίβωσε, καὶ τὸν αἰχμοφόρον οὐ ψεύδεται· λαμπρὸς τὸ κάλλος, καὶ οἷον ἂν ἀγαλματίσῃ καλλιτεχνία φύσεως, ἀπασχολήσασα ἑαυτὴν εἰς ἔργον, καὶ τοῦ τελείου κατευστοχήσασα· στρογγύλος τὴν γλῶσσαν· γλυκὺς εἰπεῖν· καὶ τῷ κάλλει τῶν νοημάτων τὴν ἐν φωνῇ καλλιέπειαν πλουτῶν συνεκτρέχουσαν. Ταῦτα δὴ καὶ τὰ ἄλλα τὰ πολλὰ συναγαγών, ἔκθου τῷ Δούκᾳ, ἐφ' οἷς αὐτὸν ἀεὶ ἐκθειάζων, οὐκ ἂν ἄρτι τὸ πρὸς αὐτὸν σέβας θείην ἐν οὐδενί. Προσεπίθες, εἰ βούλει, τῷ λόγῳ, καὶ ὅτι μὴ πάνυ τι βαδιστικὸς ὁ Εὐστάθιος, ὅτι μηδὲ στρατιωτικός· καὶ ὅτι ἅπαξ καὶ δίς που περιβαλών, ἀναβάλλεται τὰ συχνὰ ἐφεξῆς, μὴ καὶ φορτικὸς κριθείη, μοχθῶν ἐπὶ θυρῶν ἐκτριβαῖς· καὶ στέργει μὲν τὸ φιλοῦν, καὶ σέβεται τὸ εὐεργετοῦν· τὰς δὲ συχνὰς ἐντυχίας εὐλαβεῖται ὡς τὰ πολλά. Μεταχείρισαί μοι τὸν λόγον ἔτι ῥητορικώτερον καὶ ὡς ἐπὶ στοχαστικῆς τινος ὑποθέσεως, ἐπεὶ καὶ ἡμῶν ὁ μεμψάμενος περιφρόνησιν κατεστόχασται, καὶ οὐκ ἐξ ἀναντιῤῥήτων ὥρμηται. Κεφαλαίωσαι τεχνικῶς παρὰ σαυτῷ τὸν τῆς βουλήσεως τόπον, ὡς οὐκ ἂν τοῦ εὐγνώμονος Εὐσταθίου βουλησομένου τὴν ὑπονοηθεῖσαν αἰτίασιν· εἶτα καὶ μετά-

θες ἡμᾶς ἐκ ταύτης τῆς αἰτίας, καὶ χρῶσον αὐτὴν εἰς τὸ χρηστότερον. Ἔχεις γὰρ μυρίας τὰς λαβὰς τῆς ἐπιχειρήσεως. Ἔστι σοι καὶ τὸ πιθανὸν τῆς ἀπολογίας ἐκ τοῦ μὴ ἀντιστρέφοντος. Εἰ γὰρ καὶ ὁ περιφρονῶν οὐ προσκυνεῖν οἶδεν, ἀλλ' οὐκ ἤδη καὶ ὁ τὴν προσκύνησιν εἰσάπαξ που μὴ ἀφοσιωσάμενος εἴη ἂν περιφρονητικός· καί σοι κἀνταῦθα κεῖται πλοῦτος ἐπιχειρημάτων πολύς. Τούτοις τοῖς κεφαλαίοις ἐμπλατυνάμενος, φύλαξον σεαυτὸν μόνου τοῦ ἐξεῖναι· ὃ δὴ ἀπονενέμηται μὲν εἰς κεφάλαιον τῷ φεύγοντι ἀντιληπτικῶς· ἐμοὶ δὲ ἔστιν οὐ τολμητὸν οὐδ' εἰπεῖν. Εἰ γὰρ καὶ πάντα μοι ἔξεστιν, ἀλλ' ἔστιν ἐνταῦθα τι οὐκ εὐξύμφορον. Οὐ γάρ μοι καὶ ἀφραίνειν ἔξεστι, καὶ τῶν εὐεργετούντων ἐκλανθάνεσθαι. Εἰ δὲ τυχὸν ὁ Δούκας κατά τινα λόγον βαρύτητος τὸ τοιοῦτο νόημα δεινότατα προχειρίσεται, καὶ εἰρωνείας λόγῳ λαλῶν δῆθεν ὑπὲρ ἡμῶν ἐξεῖναι εἴπῃ, ὥσπερ παντί, οὕτω δὴ καὶ τῷ Εὐσταθίῳ, ποιεῖν, ὃ βούλεται, ἐνταῦθα σὺ ἐξ ἀντιστρόφου μεταβαλών, καὶ οἷον στραφεὶς εἰς κατήγορον, τὸ πρᾶγμα μετάβαλε καὶ τὸ πρόσωπον κατὰ κανόνα ῥητορικῆς μεταλήψεως, καὶ εἰπέ, μὴ ἂν ποτε τὸν Εὐστάθιον ἐπὶ τοιούτῳ ἀπονυστάξαι πράγματι. Καὶ οὕτως ἀγωνισάμενος, εἶτα δὴ ἐπιλογικώτερον τῶν τοιούτων ἀνθρώπων κατάδραμε, καὶ πανωλεθρίαν τοῖς περιφρονοῦσι τοὺς εὐεργέτας ἐπάρασαι. Καὶ ταῦθ' οὕτω διασκευάσας, καὶ ταῖς σαῖς μεθόδοις ἐπικοσμήσας ῥητορικώτερον, ἢ πείσαις τὸν Δούκαν, καὶ οὐκ ἀναμενεῖ τὴν ἀπόφασιν· ἢ ἀλλ' ὁ δικαστής, ἡ ἀλήθεια, τὸ ἑαυτῆς ἀποφανεῖται· καὶ τὸ ἀποφανθὲν πάντως ἔσται ὑπὲρ ἡμῶν· καὶ τοῦ γνωματεύματος οὐ κατακαυχήσεται ἔφεσις, ταὐτὸν δ' ἂν εἴη εἰπεῖν, ἔ κ κ λ η τ ο ς. Εἰς τίνα γὰρ ἔτι μείζονα ἐφέτην τα τῆς ἀληθείας ἐκκλητευθήσεται; — Ταῦτα σοι δικηγορήσαντι σοφώτατον ὑπὲρ ἡμῶν ὁ μὲν μέγας καὶ ὑπὲρ τὸν ὑλικὸν μισθὸς κείσεται, ὅθεν σοι καὶ τὰ ἄλλα καλά. Εἰ δὲ καὶ πρὸς ὕλην ἀπονεύεις, ἰδοὺ σταφυλῶν οὗτοι βότρυες τῶν σοὶ φιλουμένων, λύγου ἀπῃωρημένοι. Σωρὸς μὲν οὗτος εἷς τῷ καλλίστῳ Κομνηνῷ, τῷ τὴν ἐμὴν ταύτην δίκην εὖ ἀγορεύσαντι· ἕτερος δὲ τῷ ὑπερκάλῳ Δούκᾳ, ἐὰν ἡμῖν εἰς ἓν συμβαίνῃ, καὶ ἀπολύῃ τῆς μέμψεως, πρινὴ τὸν δικαστὴν ἀποφήνασθαι. Ὡς εἴγε μὴ τοῦτο ποιεῖ (τάχα δὲ οὐ ποιεῖ· οὐ λέληθε γὰρ οὐδ' αὐτὸν τἀληθές), ἔσται σοι καὶ τοῦτο τὸ βοτρυηφόρον κυμακίδιον εἰς ἐπιθήκην μισθοῦ. Τί γὰρ δεῖ ψωμίζειν καὶ τοὺς ἐχθρούς; Ἵνα δὲ μάθοι ὁ λαμπρότατος καὶ κάλλιστος καὶ συνετώτατος Δούκας, καὶ ὅπως ἐγὼ τοὺς γαύρους ἀνθρώπους μισῶ καὶ τοὺς ὀκνοῦντας τὸ προσκυνεῖν, ὑπανάγνωθι αὐτῷ λόγον κατὰ τῶν τοιούτων, ὃν ἐγὼ ἄρτι παλαιᾷ μυθικῇ ζύμῃ ἐφυρασάμην· ὃς εἰς μειδίαμά τι λεπτὸν καὶ σὲ προκαλέσεται. Τὸ γὰρ ἀκραιφνὲς τοῦ γέλωτος τῷ πολυημέρῳ τῆς νόσου ἀπέσβηκε. Παρῆγεν ὁ Προμηθεὺς ἄνθρωπον, καὶ τὸ σῶμα ἔπλαττε μὲν ἀπὸ γῆς· θείᾳ δὲ ἔχριεν ἀλοιφῇ. Καὶ τοῦτο ἦν ἡ ψυχή. Ὅσα δὲ καὶ θείῳ πράγματι, τῷ σκεύει τοῦ σώματος, ἐνετίθει καὶ φρονήσεως ἀμβροσίαν. Καὶ ὥριζεν εἰς μέτρον τὸ πολυτίμητον τοῦτο ὑγρόν. Καὶ ἔδει τοὺς δεχομένους πεπλῆσθαι τοῦ ἐντιθεμένου, ἢ ἀλλὰ καί τι πλεῖον αὐτοῖς προσεπιστάζειν τοῦ θείου ὑγροῦ. Πᾶσιν οὖν τῆς τοῦ φρονεῖν ἀμβροσίας ὁ Προμηθεὺς ἐγχεάμενος, εἶτα καθίζει ἑαυτὸν ἐσκευασμένος εἰς τὸ σεμνότερον· καὶ μετακαλεῖται τοὺς τὸ ἀμβρόσιον ἐκεῖνο δεδεγμένους ὑγρόν. Καὶ ἦν ἀνάγκη, ἕκαστον ἐπικύπτοντα δεικνύειν τὸ σκεῦος, τὸ σῶμα, διὰ τῆς κορυφῆς, εἴτε μεστόν, εἴτε καὶ ἄλλως ἔχον ἐστίν. Ὅσοις μὲν οὖν ἐπιστεφὴς φρονήσεως ἡ κεφαλή, κατέκυπτον ἐπιδεικνύντες ἑαυτοὺς ἀνενδεῶς ἔχοντας· καὶ ἦν τοῦτο προσκυνεῖν, καὶ τὸν εὐεργέτην Προμηθέα φιλεῖν. Οἱ δὲ μήπω μεστοί, ἀλλ' ἐπιδεεῖς ἀμβροσίου ἐπιῤῥοῆς, ἀτενεῖς ἦσαν, καὶ ἀκλινῶς εἶχον, καὶ οἷον ἀνεσταλοῦντο εἰς ὄρθιον. Καὶ ἦν τοῦτο ἀλαζονεύεσθαι, καὶ οὐκ εἰδέναι χάριν τῷ εὖ ποιήσαντι. Ἐκεῖθεν τοίνυν καὶ εἰς ἡμᾶς || τὸ μὲν τὴν κεφαλὴν ἐν δέοντι κλίνειν, φρονήσεως αὐτὴν γέμειν περιδηλοῖ, καὶ εἰς εὐγνωμοσύνης ἔνδειξιν τάττεται· τὸ δὲ ἐπὶ σχήματος ἵστασθαι, καὶ τὴν κλίσιν ὀκνεῖν τῆς κεφαλῆς, μωρίας γραφὴν ἀποφέρεται, καὶ εἰς ἀχαριστίαν ἐγγράφεται.

Ms. fol. 213. b.

ϑ

Διαπόντιός σοι ἐξ ἡμῶν αὕτη ἐπιστολή. Καὶ εἰ μὲν ἀποδεκτέα καὶ φίλη τῇ σῇ μεγαλοδοξότητι, οὔπω θαῤῥήσαιμ' ἂν διϊσχυρισάμενος ἀποφήνασθαι· εἰ μὴ καὶ ἀντιγραφὴν χειρισαίμην, καὶ ὅπως αὐτῇ προςηνέχθης, ἐκεῖθεν μάθοιμι. Ὅτι δὲ ἐκ φίλου τὸ γράμμα, τοῦτο δέ γε οὐκ ἐγὼ μόνος θαῤῥούντως ἀπισχυρίζομαι, ἀλλὰ πρὸς μυρίοις ἄλλοις, ὅσοις καὶ αὐτὸς ἤδη πεπληροφόρησαι. Ἀλλά που θαῦμα σε ἤδη περιέρχεται, καί τι γλυκὺ καὶ ἱλαρὸν ἐπιμειδιᾷς, ἐὰν ὁ [illegible] πολλὰ σιγῶν Εὐστάθιος, ὁ τὰς γραφὰς ὀκνῶν, ὁ καὶ πρὸς τοὺς ἐγγὺς ἐχέμυθος, δι' οὕτω μακροτάτου διαστήματος φθέγγεται· καὶ ὃν ἐν τῇ Νικομηδέων τὴν δουκικὴν ἔναγχός που περιεζωσμένον ἀρχὴν οὐ προςεῖπε γράψας, νῦν ἐν τῇ τῶν Κώων νήσῳ διατρίβοντα προςφωνεῖ, καὶ ὑπερόριον οὕτω γραφὴν διαπέμπεται. Καὶ ἀληθῶς, αὐθέντη μου, πολλάκις μὲν καὶ πολλοῖς οὐκ

ἐνδήμοις φίλοις ἐπιστολῶν λόγους ἐπαφῆκα· οὔπω δέ μοι μέχρι καὶ ἐςάρτι ὁ πτερωτὸς οὗτος Ἑρμῆς δολιχεύσας εἰς μακρότερον ἔλυσε τὸ πτερόν, οὐ κατὰ τὸν Ὁμηρικὸν Ἑρμῆν ἐς τὴν τῆς Καλυψοῦς πλαστὴν νῆσον στελλόμενος, ὃν μῦθος ποιητικὸς εἰς λευκὸν ὄρνιν μεταπλάσας ἐπαφῆκε τοῖς κύμασιν· ἀλλ' ἄλλον τρόπον τῷ λευκῷ τούτῳ βιβλίῳ οἷά τινι πορθμείῳ ἐμβιβαζόμενος, καὶ πρὸς τὴν διὰ σὲ ὀλβιωτάτην ταύτην νῆσον ἄρτι πεμπόμενος. Ζηλωτὸν μὲν γάρ τι χρῆμα ἦν ὅτε ἡ νῆσος αὕτη, καὶ γενναίων ἀνδρῶν οἰκητήριον· εἰ δὲ καὶ ληστρικόν, ἔχει καὶ τοῦτο ποικίλην ἱστορίας τριβήν. Γέγονε δέ ποτε καὶ τῷ ἐκ Διὸς Ἡρακλεῖ περιμάχητος, ὅτε καὶ τοὺς ἐνοικοῦντας ἀνδρικώτερον ἐκεῖνος ἐπιθέμενος ἐχειρώσατο. Μέροπες δὲ οἱ ἄνδρες, οὕτω πρὸς κλῆσιν ἐθνικὴν γνωριζόμενοι, καὶ τὸ προςὸν αὐτοῖς σεμνὸν ἐπὶ πλέον οὕτω προςαύξοντες· τὴν γὰρ ἀνθρώπου παντὸς ἐν κοινῷ κλῆσιν εἰς ἑαυτοὺς μεθειλκύσαντο. Καὶ ἅμα τις ἔλεγε Κώους, καὶ ἐπεκάλει τοὺς Μέροπας· καί που τῆς κοινῆς τῶν μερόπων ἀνθρώπων κατεξαναστάντες, ὡς ἄν τις εἴπῃ, προςωνυμίας, ἐλῄστευσαν καὶ αὐτὴν οἷον καὶ ἐξιδιώσαντο. Εἰ δὲ καὶ ἀγαθὴ ἐνοικεῖν ἡ γῆ αὕτη, Ὁμήρου ἀναλεκτέον, εὖ ναιομένην πεποιηκότος αὐτήν. Εἰ δὲ καὶ καρποὺς φέρειν ἐστὶν εὐφυής, καὶ ζώων γόνιμος εὐγενῶν, ἄλλοις ἱστορεῖν δίδωμι· οἳ τὴν Μεροπηΐδα ταύτην νῆσον τὴν Κῶ αὐχεῖν εἶπον καὶ τοὔνομα, διὰ τὸ τυχὸν πάνυ τι πολύζωον καὶ ἀγαθοθρέμμονα (κῶον γὰρ κατὰ διάλεκτον τὸ πρόβατον εἶναι τίθενται)· καὶ δὴ καὶ τὴν νῆσον ταύτην, ὡς τοιούτοις ζώοις ἐνευθηνουμένην, τὴν πρὸς τὸ ζῶον ὁμωνυμίαν λαβεῖν βούλονται. — Καλὰ μὲν οὖν οὕτω καὶ τἄλλα τῆς νήσου. Ὅτι δέ σε πλουτεῖ εὐτυχῶς τῶν κατ' αὐτὴν ἐξάρχοντα, οὐδὲν ἂν εὐδαιμονίας ἔχοι λειπόμενον. Καὶ προςεπιγβάψεται αὐτῇ μετὰ τῶν ἄλλων καὶ τοῦτο μέγα καλόν· καὶ λαμπρυνεῖς αὐτὴν τῇ σελαςφορίᾳ τῆς σῆς καλλονῆς, οὐχ ἧττον ἢ καὶ ὁ καλὸς Ἥλιος τὴν περίπυστον Ῥόδον, αὐτῇ ἐπιφημιζόμενος. — Ἀλλ' οὔπω μὲν (ὅπερ ἔφην) ἐπιστολιμαῖον Ἑρμῆν οὕτως ὑπερόριον ἀφῆκα φέρεσθαι, φειδόμενός μοι τοῦ κήρυκος. Νῦν δὲ διεπεμψάμην, λογισάμενος, ὡς αὐτός τε σχοίη ἂν πάντως πτερύξασθαι πρὸς τὴν σὴν μεγαλοδοξότητα, καὶ ἡμῖν δέ τις ἕτερος αὐτόθεν ἀντιπτερύξεται, καὶ διδάξει, περιγενέσθαι καὶ πρὸς σὲ ἀφικέσθαι τὸν ἡμέτερον τουτον Ἑρμῆν, καὶ μὴ περί που μέσον τὸν πλοῦν καταπεσεῖν καμόντα τὴν πτῆσιν, καθά που λόγος ἔχει τὸν Ἴκαρον, οὐ περίθετον ἐκ κηροῦ καὶ ἡλίῳ λυτὸν τὸ πτερόν· ὡς, εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐθάῤῥησα τὴν ἐπιστολήν. Καὶ ἄλλως δὲ τὸν μὲν ἄλλον καιρὸν ῥᾷον ἐνῆν ἡμῖν μαθεῖν τὰ κατὰ τὴν σὴν μεγαλοδοξότητα, διαχειριζομένην τὰς ἀρχὰς ἄγχιστα τῆς Μεγαλοπόλεως, καὶ οὐδὲν ἔδει τότε γραφῶν· εἴχομεν γὰρ αὐτόθεν, ὅπερ ἠθέλομεν. Νῦν δὲ ἀχανὴς μεταξὺ χύσις θαλάσσης· κἀντεῦθεν ἡμῖν ἡ περί σοῦ φήμη ἀνίσχει βράδιον, ἢ ὁ παρ' Ἡσιόδῳ τοῖς Πανέλλησιν ἥλιος. Ὅτι οὖν πολὺς ἤδη χρόνος, ἐξ οὗπερ οὐκ ἦλθεν ἡμῖν αὐτόθεν φήμη σαφής, προκαλούμεθα ταύτην διὰ τῆς παρούσης γραφῆς. Τὸν δέ γε διακονοῦντα τῇ παρούσῃ γραφῇ τίνος ἂν καλοῦ τιμησαίμην; τίνι ἂν ἀμειψαίμην; τί διαθέμενος ἀγαθόν, τυχεῖν ἐξισχύσαι τοῦ πρέποντος; Οὐδὲν πάντως, ἀλλ' ἢ τῇ σῇ μεγαλοδώρῳ αὐτὸν παραθέμενος, ὃν εὐεργέτην μὲν ἡγοῦμαι καὶ φίλτατον, ὅτι μοι τῇ ἀγγελίᾳ ταύτῃ ἐξυπηρετήσατο. Ζηλῶ δὲ τῆς μακαριότητος, ὅτι σοι ἐντυχὼν ἀνθ' ἡμῶν, προςκυνήσει τε καὶ προςείπῃ, καὶ γλυκείας ὁμιλίας ἀκούσει, καὶ τῶν σῶν κατατρυφήσει καλῶν· περὶ οὗ καὶ δυςωπῶ. Δυςωπῶ δὲ ὁλοψύχως, ὡς ἂν ἀντιλήπτωρ χρηματίσας ἐπὶ τοῖς αὐτόθι πράγμασι τῆς ἁγίας τοῦ φιλανθρώπου μονῆς· ἧς ἅγιον θρέμμα καὶ αὐτός ἐστι καὶ τίμιον. Προςενεχθῇς αὐτῷ δικαίως διὰ τὸν δίκαιον κριτήν, φιλανθρώπως διὰ τὸν φιλάνθρωπον, πρᾴως δὲ διὰ τὴν αὐτοπρᾳότητα. Συνδυςωπεῖ δὲ ταῦτα καὶ αὐτὸς ὁ τιμιώτατος καθηγούμενος τῆς τοῦ φιλανθρώπου σωτῆρος μονῆς, φίλος μοι ἀνὴρ καὶ φίλων ἁπάντων ὁ βέλτιστος, ὃν ἐκ καινῆς ποιμένα τῷ ἑαυτοῦ σεβασμίῳ ποιμνίῳ περιπεποίηται· ὁ φιλάνθρωπος, τῶν πρὸ αὐτοῦ καινότερον ἐκλεξάμενος ἐπιλογῇ βασιλικῆς διακρίσεως. Τούτῳ συνδέομαι, ὡς ἂν περιέπῃς τὸν παρόντα μοναχὸν καὶ τὰ τῆς μονῆς· καὶ γένοιο δεξιὰ τῆς ἡγουμενείας ταύτης ἀρχή, καὶ δείξαις κἀνταῦθα τὸ σὸν μεγαλοπρεπές. Εἴη οὖν ἡμῖν τοεντεῦθεν μαθεῖν ἀγαθά. Ποῖα ταῦτα; Τὴν σὴν ὑγίειαν, τὴν ἀλυπίαν, τὴν ἐπὶ τοῖς ἀνὰ χεῖρα πρακτέοις σὺν Θεῷ εὔοδον πρόοδον, καὶ ἐπὶ πᾶσι τὸ ἔμπρακτον τῆς ἡμετέρας ταύτης γραφῆς.

ι̅

Πανσέβαστέ μοι αὐθέντη· εἰ καὶ μίαν χελιδόνα μὴ ποιεῖν ἔαρ ἡ παροιμία φησίν, ἀλλ' ἡμῖν ἡ σὴ μία χελιδών, τὸ βραχὺ ἐπι || στόλιον, ἔαρ ἐν αὐτῷ Ms. fol. 241. a χειμῶνι ὑπήνοιξεν ἡδονῆς· χελιδών, οὔτε στωμύλα κωτίλλουσα, ἀλλ' οὐδὲ μὴν τὸν Τηρέα περιτραυλίζουσα καὶ τῆς ἐκείνου παρατρώγουσα κλήσεως (καθάπερ ἐκεῖνος τὴν τῆς ποτὲ ἀνθρώπου Χελιδόνος γλῶτταν ἐκαινοτόμησε)· μικρὰ δὲ φθεγγομένη καὶ τορά,

καὶ (τὸ ὅλον εἰπεῖν) ἡμῖν προςφυῆ, ὅπως ἂν καὶ ἔχῃς νοῆσαι τὸ προςφυές, εἴτε διὰ τὸ ῥά, εἴτε διὰ τὸ τῶν τοῦ σώματος διαστημάτων μικροφυές. Ἀλλ' ἐπίπεμψον ἡμῖν καὶ ἑτέραν χελιδόνα, καὶ αὖθις ἄλλην καὶ ποίησον ἡμῖν τὸν οἰκίσκον — οὐ λέγω χελιδόνων μουσεῖα (μαινοίμην γὰρ ἄν), ἀλλὰ μουσείων ἄντικρυς, καὶ ἀηδόνων λόχμην, ἢ νῆσον Σειρήνων, ἢ καταγώγιον ὀρφανικόν· ὡς ἂν οὕτω καὶ τὸ ἔαρ σταθηρὸν ποιήσῃς, καὶ δὴ καὶ ἐς θέρος τερψίθυμον παραγγείλωμεν. Ποῖον ἐκεῖνο; Τὰς ἐπὶ τῇ σῇ πανσεβάστῃ ὑπεροχῇ χρηστὰς ἐλπίδας, ἃς καὶ εἰς τέλος ἀγάγοι Θεὸς τῇ αὐτοῦ χάριτι.

ια

Ἐκεῖνος αὐτός, αὐθέντη Κομνηνέ, ὁ διακονήσας τῷ τῆς ἀγγελίας μοι σκυθρωπῷ, εὐάγγελος γίνεται, καὶ λελῦσθαι σοι τὴν μέμψιν μηνύει, καὶ τὴν τῆς μικρᾶς ἐκείνης ἀναπτώσεως ἀπαλειφῆναι γραφήν, ἣν ἐγράψαμεν ἄν σε δριμέως παρ' εὐγνώμοσι δικασταῖς, εἰ μὴ τὸν ἔλεγχον φθάσας τὴν τοῦ κατηγόρου γλῶσσαν ἐνέκλεισας. Ἔχεις οὖν τὸν γραμματοφόρον σου Βελλεροφόντην, ὑπὲρ αὐτοῦ κομίζοντα γράμματα. Ἐκεῖνα γὰρ ἀπήγγειλεν, ὧν ἤκουσε· μᾶλλον δ', ἐφ' οἷς ἐν μέρει καὶ αὐτὸς τὴν κατηγορίαν ἀπεμερίσατο· σοὶ μὲν βραχύ τι γεῦμα κομίσας, αὐτὸς δὲ τὴν ὅλην κύλικα τῆς μέμψεως προεκπιών. Καί σοι γέγονεν ὁ ἀνήρ, εἰ καὶ μὴ εὐάγγελος, ἀλλ' ἐτήτυμος ἄγγελος, οὐκ ἐπιχρώσας τὸ τοῦ λόγου πρόσωπον ψεύσματι. Εἰ δὲ δεῖ τι καὶ περὶ τῆς ἡμετέρας (εἰ χρεὼν οὕτως εἰπεῖν) μικρολογίας ἀπολογήσασθαι, ταὐτόν τι καὶ αὐτός, αὐθέντη, πέπονθα, ὡς εἴπερ πέπλῳ λαμπρῷ, καὶ φαεινῷ στίλβοντι, καὶ καλὸν ἠέλιος ὣς μαρμαρύσσοντι, ῥύπου μὲν ὅλως οὐδέν, ἀμυχὴν δέ τινα βραχεῖαν ἢ κόνεως ἐπιφόρησιν ἰδών, οὐ φορητὸν νομίσει τὸ πρᾶγμα, ἀλλὰ καὶ τὸ βραχὺ τοῦτο καὶ τοῦ μηδὲν ἄξιον λόγου ἀκοσμίαν οὐ μικρὰν τοῦ πέπλου νομίσειεν. Ἔγνως, ὃ βούλομαι λέγειν. Οὐ βούλομαι, αὐθέντη Κομνηνέ, ἐφ' οὕτω μεγάλῃ σπουδῇ, ὅτε καιρὸς ἀγωνίας (εἴπερ ποτὲ), ὅτε ὅλαις χερσὶν ἀνθεκτέον τῶν ἔργων, τὴν χεῖρα βλέπειν τὴν σὴν ἀποκάμνουσαν. Καὶ βραχεῖα μὲν (εἴποις ἂν) ἡ ἀργία. Καὶ γὰρ (νὴ τοὺς λόγους) ἠλήθευσας. Ἀλλ' ἐμοὶ μέγα τὸ πταῖσμα· οἶμαι δ', ὅτι καὶ σοί. Οὕτω καὶ ἀλείπτης, ἰδὼν τὸν γυμναζόμενον ἐφ' ἕν τι βῆμα ποδὸς ἢ καὶ χειρὸς ἀνάτασιν ἑαυτὸν οὐκ εὐρύθμως συντείνοντα, εἰ μὴ ἔργοις, λόγοις δ' οὖν οὐκ ἀγαθοῖς ἀμείβεται τὸν ὑπαλειφόμενον. Μάθοις δ' ἂν καὶ στρατηγόν, κἂν ἐπὶ βραχὺ τὸν στρατιώτην, ὃν αὐτὸς ἀλείφει πρὸς πόλεμον, ἀπογυστάξαντα μάθῃ, σφοδρῶς αὐτοῦ καθικνούμενον.— Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα. Σοὶ δὲ εὖ γένοιτο, ὅτιπερ εὐαισθήτως ἔχεις σεαυτοῦ, καὶ ἐπὶ τοιούτοις δάκνῃ τὴν ψυχήν, καὶ καθυπεμφαίνεις ταῖς τοιαύταις ἀρχαῖς, ὁποία σοι ἐς τομετέπειτα ἡ ἀγαθὴ τῆς ψυχῆς ἐσεῖται προςαύξησις.

ιβ

Εὖ μοι τῆς ἡμέρας ταύτης, αὐθέντη πανσέβαστε, καθ' ἣν τὸ σὸν γράμμα κεκόμισμαι· εὖ μοι τῆς Ῥοδοδακτύλου, καθ' ἣν εὐήμερον ἡμῖν ὑπηύγασε μήνυμα, ὑγιαίνειν τὴν σὴν ἀντίληψιν. Καὶ ἐπανατέλοι, θεὲ σῶτερ, ἡμῖν συχνὰ τὸ τοιοῦτο ἀγαθόν, καὶ διασκεδάζοι πᾶσαν τὴν ἐκ λύπης ζοφερὰν ἐπισύστασιν. Ὑγιαίνομεν τέως καὶ ἡμεῖς, χαίροντες — εἰ μὲν ἐπὶ τοῖς καθ' ἡμᾶς νομίσαις, οὐχί· μόνοις δέ, οἷς τροπαιουχεῖν τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα ἐμάθομεν.— Τὰ κατὰ τὸν ἡγούμενον ᾠκονόμηται, ὡς ἦν δυνατόν· οὐ δι' ἄλλό τι, ὡς ὁ θεὸς οἶδεν· ἀλλὰ τὸ πλέον, ἵνα μὴ πράγματα ἔχῃ, ἐφ' οἷς οὐκ ἐχρῆν, ἡ σὴ ἀντίληψις, διὰ τὸ τῶν ὑποθέσεων ἀμφίλογον. — Προςκυνοῦσι τὴν ἀντίληψίν σου σὺν ἡμῖν ἅπαντες οἱ ἡμέτεροι, ἐπευχόμενοι τὴν μετὰ ὑγείας αὐτοπρόσωπον ἔντευξιν, τὴν ζῶσαν, τὴν γλυκεράν. — Ὑγιαίνει καὶ ὁ σὸς μικρός, ὁ ἡμέτερος μαθητής. Ἀλλ' οὔπω τὴν γλῶσσαν ἔστρεψα πρὸς τὸ σαφές. Οἶμαι γάρ, ὅτι τὸν καλὸν ἐννοεῖς· τὸν ἔτι μὲν φύσει μικρόν, ἡμῖν δὲ μέγαν Ἰωάννην, ὃν οὐκ ἀνίῃς ἐπιγραφόμενός μοι μαθητήν. Ἀλλὰ καὶ ἐκεῖνος μὲν ὑγιαίνει· καὶ εἴη οὕτως ἔχων, καὶ μετὰ ὑγείας ὑψηλὴν ἀνάγων βλάστην ἕως εἰς τέλειον. Καί σοι τὰ εἰς ἐκεῖνον οἱ εἰωθότες γραφέτωσαν. Ἐμοὶ δὲ περὶ τοῦ κατὰ ἐνέργειαν μαθητοῦ τοῦ μικροῦ ἡ μνήμη, ὃς καὶ αὐτὸς προςκυνῶν, οὐκ ἀόκνως μὲν εἶχεν εἰς γραφήν· ἔγραψε δὲ ἰδοὺ κατὰ τὴν σὴν πρόςταξιν, ὅσα οἱ ἐδόκει. Καὶ ἐγὼ μὲν ἤδη παύομαι, ζωήν σοι πολυχρόνιον ἐπευξάμενος· ὁ δὲ ὑποταττέτω τὰ ἑαυτοῦ.

ιγ

Τίς ἂν εἴην ἐγώ, ὅτι καὶ ἐμοῦ λόγον ἐξ οὕτω μακρᾶς ἀποδημίας τίθεται ὁ τῷ ὄντι πανσέβαστος; οὗπερ ὁ νοῦς μὲν οὐκ ἂν εἰπεῖν ἀρκέσῃ μοι μόνον ὡς αἰθέριος, ἀλλὰ καὶ ὡς ἐγγίζων θεῷ κατ' ἐκείνους νόας, οἷς τὸ τοιοῦτο πεφιλοτίμηται ἀγαθόν· ἡ δὲ γλῶσσα ἐντελῶς διακονουμένη τοιούτῳ νοΐ, καὶ τῶν ἀδελφῶν μεγαλοφυῶν νοημάτων εὐγενὴς ἐξάγγελος· ὡς τὸν μὲν κύειν καὶ πολλὰ καὶ καλά· τὴν δέ, διαδε-

ξαμένην αὐτά, ἐπιμελῶς μαιεύεσθαι καὶ προάγειν εἰς ἔκδηλον, καὶ διατυποῦν σωματικώτερον μέν· οὐ μήν, ὡς καὶ ἀπελέγχειν τὸ νοερόν, ὁποῖα συμπίπτει πολλοῖς, ἐφ' ὧν ἡ γλῶσσα τὸν νοῦν πολλάκις ἀπηχρείωσε καὶ κατῄσχυνεν· ἀλλὰ προσεπιτιθεῖσα καὶ αὐτὴ καὶ προσεπαύξουσα τὸ καλόν, καὶ τὸ τοῦ νοὸς λαμπρὸν διεκφαίνουσα κατ' ἐκεῖνα τῶν περιβλημάτων, ὅσα λεπτουργηθέντα ἰσχνότερον, οὐκ ἂν κάλλος σώματος ἐπικρύψωσιν, ἀλλ' εἰς χάριν ὄψεως διεκφήνωσιν· αἱ δὲ χεῖρες ἡρωϊκαί, καὶ μεγάλων ἔργων ἐπιτελεστικαί· καὶ οὐ μόνον μεγαλουργοὶ καὶ πρὸς ἀνδρείαν κατηρτισμέναι καὶ ἀπηκριβωμέναι εἰς ῥωμαλεότητα, ἀλλὰ καὶ τὴν καλλιγραφίαν καλλιτεχνήσασαι, καὶ τῇ παγκάλῃ γλώσσῃ, καὶ ἣν εἰκότως σεβοίμεθα, πρέπουσαι καὶ συντρέχουσαι· ὡς εἶναι τὴν πανσεβάστην ταύτην κεφαλὴν πάντη πάντως ἀνενδεᾶ τοῖς καλοῖς, νοὸς μὲν πλουτοῦντος τοῖς εὐγενέσι νοήμασι, γλώσσης δὲ καὶ χειρῶν — Ms. fol. 244 b. || τῆς μὲν περιτράνως τὰ νοήματα κηρυκευούσης εἰς ἀκοάς, τῶν δὲ τὸ καλὸν ἀποτιθεμένων ταῖς ὄψεσιν εἰς τρυφὴν ψυχῆς καὶ μνήμην διηνεκῆ. Ἀλλὰ τίς μὲν εἰμὶ ἐγώ, οἶδα ἐγώ· οἶδα δέ, ὅτι τὸ μηδέν. Ὁ δέ μου μνησθείς, εἴη ἂν καὶ τοῦτο ποιῶν κατὰ μίμησιν θεοῦ· οὗ τὰ τῆς προμηθείας ἕως καὶ εἰς αὐτὰ κινεῖται τὰ πάντη σμικρότατα. — Ἀλλ' ἐπαναγάγοι σε θεὸς τάχιον, τὴν πανσεβάστην μοι κεφαλήν· εἰ μὲν καὶ ἡμῖν περιοῦσιν ἔτι, εὔχομαι καὶ μάλιστα· εἰ δ' ἄλλως εὐδοκηθὲν συμπεσεῖται τὰ καθ' ἡμᾶς, τοῖς γοῦν λοιποῖς ἅπασι, τοῖς πνέουσί σε, ὅτι καὶ πολλῷ πρότερον τῷ μεγίστῳ αὐτοκράτορι, οὗ σὺ θεράπων τῷ ὄντι πιστότατος.

ιδ

Καὶ ἄλλως μὲν ἐν τῇ ψυχῇ φέρω ἀνάγραπτον τὴν πανσεβάστην σου ὑπεροχήν· καὶ οὐκ ἔστιν, ὅτε ἢ λέγων ἢ γράφων ἔξω μνήμης αὐτὴν τίθεμαι. Ἀλλ' ὥσπερ ὀφθαλμὸς ἐνεργῶν οὐκ ἔσθ' ὅπως οὐ δι' ἀέρος ἐνεργεῖ, οὕτως οὐδ' ἡ ψυχὴ Εὐσταθίου τοῦ σοῦ, ἐνεργοῦσα τὰ κατ' αὐτήν, ἑαυτῆς ἔξωθέν τι τίθησι τὴν σὴν καλλονήν· ἀλλ' ὁπηνίκα καὶ γραφὴν τῆς σῆς ἀντιλήψεως ἀνὰ χεῖρας δεξαίμην, τηνικαῦτα οὐκ ἔστιν εἰπεῖν, ὅση χαρμονὴ τῇ ἐμῇ ψυχῇ ἐνστιλάττεται. Αὐτὸν γάρ σε βλέπειν δοκῶ, τῷ χρυσῷ σου στόματι φωνὰς γλυκείας μοι ἀναφθεγγόμενον. Καὶ προσκυνῶ τὸν ἐν χερσὶ χάρτην, καὶ ὡς ἐμοὶ σεβαστὸν κατασπάζομαι, ὅτι τὰ τῆς σῆς ψυχῆς γεννήματα καὶ βουλεύματα φέρων ἀγγέλλει μοι. Εἴης οὖν πολυχρόνιος. Καί σοι, καθὼς ἡμεῖς εὐχόμεθα, διαθείη τὰς ἀναβάσεις θεός, καὶ ἀπὸ δόξης εἰς δόξας μεγίστας ὑψώσειεν, διά τε τὰ ἄλλα σου καλά, καὶ ὅτι τὴν ἐμὴν οὐδαμινότητα λόγου καταξιοῖς, θεοῦ πρᾶγμα ποιῶν· ὃς ἐκ τοσούτου θεότητος ὕψους καὶ τὰ ταπεινότατα ἐφορᾷ. — Περὶ ἧς ἡ ἀντίληψίς σου ἔγραψεν ἡμῖν ὑποθέσεως, ἐφροντίσαμεν ἅμα τῷ δέξασθαι τὴν γραφήν σου· καὶ συνελόντα τὸ πρᾶγμα εἰπεῖν, ὁ ἄνθρωπος, ὃν οἶδας, ὅλος εἶπεν εἶναι τῆς σῆς ἀντιλήψεως· ἀκούσας καὶ πάλιν ἀφ' ἡμῶν, ἅπερ καὶ ἤκουσε φθάσας, καὶ πείρᾳ μεμάθηκε. Στοχάζομαι δέ, ὅπερ οὐδὲ τὴν σὴν ἐν καιρῷ λάθοι ἀντίληψιν, ὅτι ἴσως οὐκ ἔσται σοι διὰ παντὸς παραμόνιμος διὰ τὸ ὀρέγεσθαι τῆς ἐπὶ τὸ μεῖζον βάσεως ἢ μεταβάσεως. Ἀλλὰ τί τούτου μέλον τῇ αὐθεντίᾳ σου; Ἐλθέτω· ποιησάτω, ὃ θέλει. Χρησιμευσάτω, ἕως οὗ δέον ἐστί. Περιμεινάτω τὸν δέοντα καιρόν. Γενέσθω ἡ ναῦς ἀγωγίμων λογικῶν κατακόχιμος· μεθὸ ἐὰν ὁ κυβερνήτης θέλῃ, ἀναπαυσάσθω. Τελεσφορηθήτω τὸ θέρος· καὶ ὁ γεωργὸς μετατοῦτο ὑπὸ σκιᾷ καθήσθω, εἰ βούλοιτο. Ἀνυσθήτω ἡ ὁδός, καὶ ἀναπαυέσθω ὁ ὁδηγός. — Καὶ ταῦτα μὲν οὕτως· ἡμεῖς δὲ καὶ πάλιν ἐν ὀχλήσεσιν, οἱ μηδὲν ἔχοντες. Καί σοι τὰ καθ' ἡμᾶς ἐρεῖ ὁ Καλοβασίλειος· ἐφ' οἷς καὶ ὑπομνηστικὸν ἀπεστείλαμεν, θαῤῥοῦντες εἰς τὴν ἀντίληψίν σου. Καὶ τὴν δυνατὴν δικαίαν ζητοῦμεν βοήθειαν. Ἐὰν δὲ καὶ τὸν ἐπηρεάζοντα ἡμῖν ἀπηνέα τε κρατερόν τε ἰδοῦσα ἡ σὴ αὐτόθι ἀντίληψις, ἀναμνήσῃ τε καὶ ὀνειδίσῃ, ὅτι οὐ καλὸν πρᾶγμα ἐποίησεν, εὐχαριστῶ καὶ ὑπὲρ τούτου. Διέσεισε γὰρ οὐχ ἁπλῶς, ἀλλὰ φανερῶς ἠδίκησε, βουλλώσας, καὶ εὐθὺς αὐτῇ τῇ ὥρᾳ ὑποχωρήσας ἀνέτῳ χαλινῷ· ὥστε τῇ ἐπαύριον ἀποσταλέντα πατριάρχῃ δουλευτήν, μὴ φθάσαι καταλαβεῖν αὐτόν, ἀλλὰ μαθεῖν, ὅτι ἐν τῇ Σηλυβρίᾳ μέλλει καταλῦσαι. Εἶτα καὶ ἀποθήκην ἐβούλλωσε, πανταχόθεν εὐεπιβούλευτον· ὡς εἶναι πᾶσαν ἡμῖν ἀνάγκην, φυλακὰς ποιεῖσθαι νυκτός, μὴ ἀπολέσωμεν τὸ βραχὺ ἐκεῖνο οἰνάριον. Καὶ τὸ μεῖζον κακόν, ὅτι τῶν χωριτῶν ἁπάντων φεισάμενος, ἡμᾶς καὶ μόνους εἰς διασεισμὸν ἀπελέξατο, μήτε εἴδησιν δούς, μήτε ἄλλό τι ποιήσας ἀνθρωπικόν· ἀλλὰ καί, πλησιαστῶν βαρυόλβων ὄντων κύκλῳ τοῦ ἐρειποτοπίου, εἰς ὅπερ ἡμᾶς διασείει (ὧν εἰσι καὶ οἱ παντοκρατορινοί), τῶν μὲν ἄλλων ἀπέσχετο, ἡμῖν δὲ ἐνεκάθισεν. Ἀλλ' αὐτὸν μὲν ἴδοιμι πάσχοντα, ὧν ἐστιν ἄξιος· σὲ δὲ ὁ θεὸς ποιήσαι πολυχρόνιον.

ιε

Εἰ μὲν καὶ ἄλλῳ τινὶ τύχη βάσκανος ἐπικωμάζει, τί μοι λέγειν; Ἐμοὶ δὲ ἄντικρυς ἄρτι ἐπεκώμασε.

Καιρὸς ἦν μοι ἀρίστου· καὶ ἡ τραποῦς πτωχικῶς μέν, ἐξηρτύετο δ᾽ οὖν. Καὶ ἤδη ἐγγὺς ἦμεν πληρώματος. Αἴφνως δέ μοι πατάσσει τίς τὴν θύραν. Καὶ αὐτὸς ἐρωτῶ· τίς ἐσθ᾽ ὁ κόπτων τὴν θύραν; Καὶ μανθάνω τὸν κρούοντα, καὶ ὅτι γράμμα μοι κομίζων ἥκει σεβαστόν. Κἀγὼ μὲν ἔνθους ὑφ᾽ ἡδονῆς γεγονώς, τάς τε θύρας ἀναπετάσαι κελεύω, καὶ ἡδέως τὸν τῆς γραφῆς διάκονον ἀναδέχομαι. Ἐπεὶ δὲ καὶ εἰς χεῖρας τὸ γράμμα λάβοιμι καὶ ἀναπτύξας διέλθοιμι, γίνεταί μοι κατὰ τὴν παροιμίαν ἄναλλα τὰ τοῦ πράγματος· καὶ οὐ μόνον οὐκ ἔνθους ἔτι, καὶ ὀλιγοπότης γε εἶναι μεμένηκα. Καὶ ἦν εἰκὸς τὸ πάθος. Κατὰ γὰρ τὸν τοῦ Σοφίλου σοὶ μὲν εὖ πράττοντι χαίρω· εἰ δέ σοι τὰ τῆς τύχης ἔμπαλιν φέρεται, μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι. Τοιοῦτον μοι κῶμον ἐπεισήγαγε τῇ τραπέζῃ τύχη τις φθονερὰ ὑποκαθημένη· οὕτω μοι ἐπεκώμασε σφοδρὰ καὶ ἀκάθεκτος· καί μοι τό τε στόμα συμπιέσασα ἐπέσχε τοῦ ἐνεργεῖν, καὶ τὰς χεῖρας παρῆκε· καὶ τί ποτε ἄρα ὁ τῶν Ἁρπυιῶν βούλεται μῦθος, αὐτοῖς ἔργοις μοι παρεστήσατο. Ἐκεῖναι γὰρ τὸ προστυχὸν ἀφαρπάζουσι, καὶ αὐτοῦ Φινέως τῶν τε χειρῶν τῆς τε τραπέζης καὶ τοῦ στόματος ἀφαιρούμεναι τὸ σῖτον, ἐξίπταντο· καὶ οἱ τοῦ σοῦ δὲ γράμματος πτερόεντες οὗτοι λόγοι οὐδέν τι κρεῖττον Ἁρπυίας διέθεντο τὰ κατ᾽ ἐμέ. Καὶ ἦν μοι τοῦτο κακὸν ἀντίσταθμον τῶν σῶν μυρίων καλῶν, βασκάνου τινὸς ἀντισηκώσαντος δαίμονος. Ὁ γάρ μοι πολλάκις καρυκεύμασιν, οὔτε λόγῳ ῥητοῖς, οὔθ᾽ ὑποπίπτουσι μέτρῳ, διασκευάσας τὴν τράπεζαν, ἀπεκόσμησάς μου τὴν εὐωχίαν, καὶ πικρίαν κατασκευάσας, ἄβρωτά μοι πεποίηκας τὰ τῆς τροφῆς. Τί ἂν οὖν ἔχοις ἀκοῦσαι καλὸν ἐξ ἀνθρώπου, ὃς πεινῶν ἰδεῖν σε, καὶ σου τὴν θέαν διψῶν, νῦν ἄλλως διὰ σὲ πεπείνηκέ τε καὶ δεδίψηκε· καὶ οὐκέτι σοι χάριτας ὄφλει, οὕτως ἐλλογῶν τι τοῖς βρώμασι, καὶ νῦν μὲν οὕτως, νῦν δὲ ἄλλως ἐπικαθήμενος τοῖς εἰς τὸ ζῆν; Μέμνημαι γὰρ εἰσέτι καὶ τῶν ἐφόδων ἐκείνων καὶ τῶν ζημιῶν, ἃς ὑπομεμένηκέ μοι τὰ τοῦ ἄλσους, καὶ οἷα πέπονθε τὰ δεινά. Ἀλλὰ μὴ οὕτω μέχρι τέλους· γένοιτο δέ μοι καλόν τι παθεῖν, καὶ γλυκείας ἀγγελίας ἐπισταλαχθῆναί μοι νέκταρ ὀψέ ποθεν, ὑφ᾽ ἧς τὰ τῆς πικρίας ἀνασταλήσεται. Καὶ τότε ἂν ἀνοίξω τὸ
Ms. fol. 245. a. ||στόμα, καὶ τορὸν ἀναφθέγξωμαι. — Καὶ σὺ μὲν οὕτως. Ἀλλ᾽ ἐγὼ τὸ σὸν ὕψος οὐ τοῖς ἴσοις ἀμείψομαι, ἀλλὰ τῆς πικρίας ἀντιδώσω γλυκύτητα· καὶ ἀνθ᾽ ὧν ἐπίκρανάς μοι τὸ ἄριστον, γλεύκους πληρώσω σοι τὸ ἑστίαμα. Ἔχω γὰρ στείλας οἰνούττας, ὀλίγας μέν, ἀλλ᾽ ἀγαπητάς· ἃς οἶδ᾽ ὅτι ἀποδέξῃ, οὐ μόνον ὡς δῶρον ἡμέτερον, ἀλλὰ καί, ὅπερ ἔξω καιροῦ, ἢ πρὸ καιροῦ. — Ἔμφροντις ὢν ταῦτα σοι γράφω, πανσεβάστη μοι κεφαλή, καὶ οὐδ᾽ ἐμαυτοῦ σχεδὸν ὤν. Αἰτῶ τοίνυν συγγνώμην, εἰ μήτε μακρολογῶ, μήτε καλλιλογῶ. Ἀντιπροσαγορεύω τὸν ὅμοιον.

ιζ

Ἀρκετὸν ἡμῖν εἰς τὸ εὖ ἔχειν, πανσέβαστέ μου αὐθέντη, τὸ οὕτως ἐν μνήμῃ κεῖσθαι περὶ σοί, καὶ λόγου τυγχάνειν τοσούτου· ὃ δὴ καὶ ἄλλως μὲν ἐγνωσμένον, παραστὰν δὲ καὶ ἄρτι διὰ γραφῆς, ἀνασφῆλαι τῆς νόσου πεποίηκεν ἡμᾶς καὶ ἀνακομισθῆναι μικρόν τι ὅσον ἐπὶ τὰ πρότερα. Γίνωσκε, ὡς οὔπω μέχρι καὶ σήμερον ἀκραιφνὲς ἡμῖν τὸ τῆς ὑγείας ἐπεμειδίασεν ἀγαθόν· οὐδὲ τὰ τῶν κυμάτων κατεστόρεσται τέλεον, οὐδὲ ὁ χειμὼν εἰς ἔαρ ἐγαληνίασεν. Ἀγαπητὸν δέ, ὅτι τοῦ κακοῦ ἐπανακληθέντες μόλις γεγόναμεν ἑαυτῶν, καὶ λαλοῦμεν, καὶ βαδίζειν ἔχομεν, καὶ εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ὑπέρχεσθαι, καὶ τῶν αὐτῆς ἐπαπολαύειν καλῶν. Τὴν δὲ σὴν πανσεβάστην κεφαλὴν ἀντὶ τῶν εἰς ἡμᾶς σου ἀγαθῶν ἀμείψαιτο ὁ θεός, οἷς ἀξία ἐστίν (ἔστι δέ, οὗ ἂν εἴποι τις, καλοῦ)· καὶ ἴδοιμέν σε ἔχοντα, ὥσπερ εὐχόμεθα. Ἡμῖν ἤδη μέλει καὶ τῆς εἰς τρυγητὸν ἀπελεύσεως, ὅπως ἂν ἔχωμεν, εἰ καὶ μὴ καλῶς. Οὐδεὶς γὰρ τῶν τοῦ ἡμετέρου κελλίου, ὅστις ἂν μὴ τοῖς ἡμετέροις κατακολουθήσῃ ἴχνεσιν· ἀλλὰ πάντες τοῦ αὐτοῦ κρατῆρος ἡμῖν ἐπεῤῥόφησαν· ὧν οἱ μὲν μικρόν τι ἀνεκουφίσθησαν, οἱ δὲ καὶ εἰσέτι βαρύνονται, φιλονεικοῦντες, ἐμποδὼν ἡμῖν γενέσθαι τοῦ ζῆν· εἰ καὶ ἡμεῖς [καραδο]κοῦμεν τὸν θάνατον, καὶ παντὶ τρόπῳ τῶν ἄνω γινόμεθα. Οἱ δὲ τοιοῦτοι καὶ οὕτως ἔχοντες, ὅμως καὶ αὐτοὶ προσαγορείας ἀξιωθέντες οὕτω σεβασμίας, προσκυνοῦσι καὶ αὐτοὶ σὺν ἡμῖν τὸν τὴν προσαγορείαν διαπεμψάμενον, καὶ τὰ ὅμοια συνεπεύχονται. — Προσαγορεύομεν ἅπαντες τούς τε εἰδότας ἡμᾶς πάντας καὶ ἀγαπῶντας ἐκ τῶν τῆς ὑποταγῆς· καὶ τὸν ἀγαπητὸν κύριον Νικήτην, τὸν εἴτε Λάκωνα εἴτε Τίμωνα τά γε εἰς ἡμᾶς. ἢ ἐπιλελησμένον· ἢ ἀλλ᾽ ἐπέλιπέ μοι τὰ τῆς κλήσεως. Τὸν γὰρ συνήλικα τί ἂν καλέσαιμι; ὃς ὡς ἐξ ἅρματος βραχύ τι ἀποστρέψας ἀπέσβεσε, καὶ οὐκέτι ἔφανεν ἡμῖν μιᾶς ἀξιώσας προσλαλιᾶς· ὃν ἀμύναιτο θεὸς τῇ στερήσει τῆς φιλουμένης θήρας αὐτοῦ. Καὶ αὐτὸς μὲν αὐτόθι πομπεύσοι, τὰ φίλα ποιῶν· τὰ δὲ φίλτατα πτηνὰ περιδράμοιεν αὐτόν, ἐν χερσὶν ἄλλων πίπτοντα, καὶ τοῖς ἐνταῦθα ποριζόμενα πρὸς δαψίλειαν· ὃ καὶ γίνεται. — Ὁ ἱεροψάλτης μοναχὸς χάριν μὲν ὅτι τῷ κυρῷ φθάσας προσεῖπεν

ἡμῖν — ἔκτοτε δὲ τῇ σῇ καὶ μόνῃ πρόκειται εἰς ἐντρύφημα πανσεβάστῳ ὑπεροχῇ — μηδέποτε προσαγορεύσας ἡμᾶς· εἰ τέως καὶ ζῇ.

ιζ

Τοῦ αὐτοῦ, γεγονότος ἐπὶ τῶν δεήσεων.

Ἔχεις ἰδού, πανσέβαστέ μου αὐθέντη, πρώτην τὴν τοῦ Εὐσταθίου δέησιν· καὶ σοι ἐγκαινίζω εὐτυχῶς τὸ ὀφφίκιον. Δεήσομαι γάρ, καὶ λυθήσεταί μοι τὰ τῆς δεήσεως. Καὶ ἔσται τοῦτο ἐμοὶ μὲν ἄλλως χρηστόν, τῇ δὲ σῇ πανσεβάστῳ ὑπεροχῇ οἰωνὸς ἀγαθός. Ἀλλὰ τίς ἡ δέησις; Περιέτυχον καθ' ὁδὸν τῷ καλλίστῳ αὐταδέλφῳ τῆς σῆς μεγαλυπερόχου λαμπρότητος· καὶ ἐπεὶ μὴ περιέργους ἔχω πάνυ τοὺς ὀφθαλμούς, ἄλλως τε καὶ ἐπ' ἐρισφαλοῦς βαδίζων ὁδοῦ, οὐκ ἔσχον ἐξακριβώσασθαι, ὡς ἄρα ὁ κάλλιστος ἀνθρώπων εἴη ὁ Δούκας, τὸ τῆς ὁδοῦ ἀγαθόν μοι συνάντημα. Ἐπλάνησε δέ με καὶ τὸ τῆς προόδου ἀπέριττον· εἷς γὰρ καὶ μόνος ἐκείνου προώδευε, καὶ ἐκεῖνος ἐκ μακροῦ διαστήματος· ὥστε ἔδοξά τινα εἶναι τῶν ἄρτι λαμπρειμονούντων διὰ τὴν τῆς ἡμέρας φαιδρότητα. Ὅθεν καὶ παρῆλθον αὐτὸν ἀπροσφώνητον, βραχύ τι ὡς μὴ γινωσκομένῳ ἐπικλίνας τὴν κεφαλήν, καὶ ὡς ἀλλοτρίῳ ἀφοσιωσάμενος τὴν προσκύνησιν. Ἐπεὶ δὲ εἶχε με τὸ βραχὺ (ὡς αὐτὸς ἂν εἴπῃς) ὁ μικρὸς ἐμὸς οἰκίσκος, καὶ ἀνεκλίθην ἐπιτραπέζιος, καὶ ἤδη καὶ ἡ χεὶρ εἰς τὴν μαγειρείαν ἐβάπτετο, καὶ οἱ ὄρτυγες, οὓς ἐξηγορασάμην σοι, ἐπτερίσσοντο κατὰ τῆς τραπέζης, καὶ αὐτὸς ἐνταῦθα ὁ σπανὸς Ἰωάννης ὡς ἐξ ἐνέδρας μοι ἐπιφύεται, καὶ δριμὺς ἐπιπεσών, τί ἐποίησας; ἀναβοᾷ· διὰ τί τὸν Δούκαν οὐ προσεφθέγξω; ἐγὼ δὲ (μὰ τὴν κεφαλήν σου, καὶ μὰ τὴν σωτηρίαν τῆς ψυχῆς μου) εὐθὺς ἐπαράχθην ὡς ἐπὶ καινοτάτου ἀκούσματος. Καὶ τάς τε χεῖρας ἔσχασα, καὶ ἐξεπλάγην ἐπὶ τῇ ἀκοῇ. Καὶ ἰδοὺ δέομαί σου, ζητῆσαι μοι καταλλαγὴν καὶ συμπάθειαν, καὶ σπουδάσαι ταύτην μοι καταπράξασθαι. Μάρτυς γὰρ ὁ θεός· ἐβαρύνθην πρὸς ἐμαυτόν, ὅτι οὕτως ἀπροσέκτως ἔσχον ἐπὶ τῷ πράγματι. Πλὴν οὐ πάνυ ἔπταισα, δι' ἃς εἶπον αἰτίας, καὶ διότι οὐ συχνοτέροις ἐντυγχάνω τοῖς ἄλλοις, ὥστε καὶ ἀκριβεστέρους φέρειν τοὺς τῶν ὄψεων χαρακτῆρας· ὡς εὐθὺς ἅμα τῇ θέᾳ καὶ ἐκ πρώτης εἰσβολῆς καταλαμβάνειν τὸ θεαθέν. Προσκυνῶ οὖν, καὶ τίθημι μετάνοιαν, καὶ ζητῶ συγγνώμην. Ἔστω δὲ τῇ πανσεβάστῳ σου ἐνδοξότητι μεσιτευτήριον δῶρον, τὰ μῆλα ταῦτα τὰ Περσικά, τὸ ἐμὸν κήπευμα· ὧν ἀπομερίσαις ἂν τὰ ἥμιση τῷ παγκάλῳ Δούκᾳ εἰς μείλιγμα καὶ συμπάθειαν ἐμήν.

ιη

Διέτριβεν ἐκτεθεὶς πρὸς Ἑλλήνων περί που τὴν Λημνίαν ἀπάνθρωπον ἔρημον Φιλοκτήτης, ὁ Ποίαντος. Καὶ ᾤκει μὲν πέτραν αὐτόροφον, ὑπετρέφετο δὲ ὅσα καὶ θήρ· ὕδωρ δὲ διῴκει τοῦτον οὐκ ἀέναον οὐδ' ἀπόῤῥυτον, ἀλλ' ὄμβρου λείψανον σεσηπός, γῆς ἐναπομεῖναν κοιλώματι καὶ κηρίοις, ὅσοις ἐπάλαιε, τοῖς δεινοῖς· ἄλλως τε οὐδ' ἀρτίπους ὤν, ἀλλὰ κατὰ γῆς ἕρπων, καὶ τοῦτο δὴ τὸ μέρος τὴν ἐκδακοῦσαν τοῦτον μιμούμενος ἔχιδναν. Ἀλλ' ὅμως οὔτε τὸ τῆς τροφῆς τοῦτον ἐλύπει δυσπόριστον, οὔτε τὸ στατὸν ὕδωρ, οὔτε τὸ τῆς ἐχίδνης φόνιον χάραγμα. Ἐπειδὰν δέ τις χρόνιον ἐνδημήσας προσείποι μὲν ἐκεῖνον καὶ δεξιώσαιτο, καὶ τέλος ἀναγόμενος πιστευθείη μὲν πρὸς ἀνδρὸς ἐπιστολὴν ὡς τοὺς οἰκείους, εἶτ' ἀμελή||σοι — ἀλλ' ἦν τοῦτο τῷ Φιλοκτήτῃ πάντων δεινότερον. Ms. fol. 245. b. Ἔγνως, ὃ λέγω, καὶ φθάσας τοὺς λόγους ἀφήρπασας. Οὕτω σοι νοῦς ὀξύτατος· καὶ εἰ μὴ κωμικὸς ἦν ὁ λόγος, κυνηδὸν ἂν φαίην σε τὸν λόγον σιτήσασθαι. Καὶ γάρ τοι καὶ κύνες πτῶμα ῥιπτούμενον ἀέριον, πρινὴ κατὰ γῆς πεσεῖν, φθάνουσι καταφαγεῖν. Ἀλλ', ὦ δαιμόνιε, ἔασον ὅλον με τὸν λόγον εἰπεῖν. Λυπεῖ καὶ ἡμᾶς τὸ τῆς ἡμετέρας ἐρήμου ἀπόκροτον, καὶ τὸ τῆς τροφῆς μεμετρημένον, καὶ τὰ τῆς καθ' ἡμᾶς ἐχίδνης χαράγματα· ἀλλ' ἔδακε πλέον τούτων ἡμᾶς, ὅτι περὶ τὰς πρὸς σὲ δυστυχοῦμεν γραφάς, καὶ γράφοντες δοκοῦμεν μὴ γράφειν. Καίτοι τίνι ἄλλῳ τὴν πρὸς σὲ γραφὴν ἐνεπιστευσάμην, ἢ τῷ τοῦ δεσπότου τοῦ διδασκάλου ἀδελφῷ καὶ θείῳ σῷ; Ἀλλ' (ὡς ἔοικε) δεύτερα τὰ ἡμέτερα θέμενος, τὸν οἴκαδε ἤπειγε πλοῦν, ἵνα ἡμῖν ὁ πᾶς εἴη λόγος τραγῳδικός. Οὕτως ἡμεῖς δυστυχοῦμεν, ἐφ' οἷς εὐτυχοῦμεν. Μὴ γοῦν ἡμᾶς μέμφου· κατατοξάζου δὲ τῆς οὕτω βαρείας τύχης, δι' ἣν ἡμῖν οὐκέτι οὐδ' οἱ λόγοι πτερόεντες, ἀλλὰ βραχύτερον πτερυξάμενοι πτεροῤῥυοῦσιν αὖθις, καὶ περὶ μέσην που τὴν ὁδὸν τῆς πτήσεως παύονται.

ιθ

Τῷ κριτῇ τοῦ βήλου, κυρίῳ Γρηγορίῳ τῷ Ἀντιόχῳ.

Τί δῆτα οὐκ ἂν ἐργάσαιτο ἄνθρωπος; Παλαιὸς ἐν τῷ καθόλου καὶ οὐκ ἐμὸς ὁ λόγος οὗτος. Οὗτός γε μὴν ἐμός, οὐ πρὸς γνώμην (κατ' ἐκεῖνον), ἀλλ' ἴδιος· τί οὐκ ἂν ἡ ἐνεργὸς γλῶσσα, ἡ εὐτρεχὴς φρήν, ὁ κοινὸς ἀγαθὸς ἑταῖρος, ὁ κύριος Μιχαὴλ καταπράξηται; Εἰ δὲ κἀμὲ ἴσχυσε πεῖσαι, τὴν γραφὴν ταύτην θαῤῥῆσαι, καὶ μένους καὶ θάρσους ὑποπλήσας ὄκνον οὕτω βαθὺν ἐῤῥιζωμένον ἐξέσπασε τῆς

ψυχῆς, καὶ ἀναπεπτωκότα ἐπιῤῥώσας ἐπέσπασε, καὶ ἀναβεβλημένον ἐπώτρυνε, μᾶλλον μὲν οὖν δεδιότα ἐθάῤῥυνεν. Ἢ γὰρ οὐκ ἐφίλουν ἀεὶ τὸν πολὺν ἐμὸν σε Γρηγόριον; Μισοίην ἂν ἐμαυτόν (εἰ δὲ τοῦτο, καὶ μαινοίμην), ἐὰν ἄλλως ἔσχον ἐπὶ σοὶ διακείμενος. Οὐκ εἶχον ἐν ψυχῇ σε ἀνάγραπτον ἐν μοίρᾳ κρείττονι; Ἐξαλειφείην τῆς τῶν ζώντων βίβλου, εἰ σοὶ μὴ πᾶσαν πτύχα τῆς καρδίας ἀνέῳξα. Πότε μοι τοῦ στόματος ὁ ὑπὲρ σοῦ λόγος ἀπέπτη; Πότε τὰ τῆς μνήμης ἀπέλιπε; Τίνα ποτὲ τῶν περὶ σὲ ἀφιξομένων συνήθων ἰδών, οὐκ εὐθὺς τοὺς περὶ σοῦ λόγους διακινήσας, τό τε χαίρειν διεπεμψάμην, καὶ τὸν διάκτορον ἐξεπεμψάμην, τὸ πτερὸν ἀέριον λύσαντα; Ἐπίδημος ὤν, τὴν ἐμὴν ψυχὴν ἔχεις οἰκῶν· ἀποδημίαν στειλάμενος, ἐν ἐμοὶ ἐναπέμεινας· καί πως ψυχὴν νεμόμενος, ἔχεις τὸ ἐν ἐμοὶ νοερὸν καταγώγιον. Ἀλλ' ὅμως καὶ τοιοῦτον ὄντα σε παρ' ἐμοί, ὀλίγον προσεῖπον ἐν γράμμασι· καί σοι μετρητά τινα γράψας ἐν πίνακι πτυκτῷ (εἴπῃ ἂν Ὅμηρος) ἐξέστειλα. Διὰ τί ποτε αἴτιον; Διὰ δειλίαν, ἣν φθάσαντες — ὁ λόγος μὲν ἀνθωμολογήσατο, ὁ δὲ κύριος Μιχαὴλ τῆς ψυχῆς μοι ἀπώσατο. Ἀλλὰ τίς ἡ δειλία; Ὅτι ὁ μὲν εἰς ἀέρα χεόμενος λόγος, καὶ ὑπὸ διακόνοις ἑτέροις διαπεμπόμενος στόμασιν, οὐ ῥᾳδίως ἐλέγχειν θέλει τοὺς στέλλοντας· ἀλλὰ καὶ ὁ πολὺς καὶ ὁ ἀστεῖος ἐνταῦθά γε τὸ ἴσον ἀποφέρονται, παρὰ τοσοῦτον διαφέροντες, παρ' ὅσον ἔχουσι μνήμης ἢ καὶ λεκτικῆς ἐπιστήμης οἱ καθυπουργοῦντες σφίσι καὶ ἀναφέροντες. Καὶ ἔστιν ἐνταῦθα παρὰ τοῖς διακονοῦσιν ἢ τὸ διακινδυνεῦσαι, ἢ τὸ τυχεῖν· τὸ γὰρ τῆς προσφωνήσεως δεξιὸν εἴτε καὶ μὴ αὐτοῖς ἐπιγράφονται. Καὶ ὁ μὲν τὴν προσλαλιὰν ἐπιστείλας ἀμάρτυρα ἔχει, ὅποι ποτὲ ἄρα καὶ πέσοι τὰ τῆς προσαγορείας· ὁ δὲ δρῶν τῷ προσαγορεύοντι τὸ πᾶν εἰς ἑαυτὸν ἀνεδέξατο. Καὶ τοιαῦτα μὲν ἐκεῖνα. Ὁ δέ γε ἐν σωματίοις κείμενος λόγος οὐκέθ' ὑπὸ ἀγγέλου προάγεται στόματι, οὐδ' ἐν ἑτέρων χείλεσι διακινδυνεύεται· ἀλλ' ἔστι ψυχῆς τῆς ἐπιστειλάσης ἄντικρυς κύημα, τοῦ δὲ ὑποδεξαμένου κώδικος μαίευμα, σπαργανοῦντος οἷον αὐτόν, καὶ οἷος ἐξέφυ περιφυλάττοντος, καὶ τῷ φίλῳ παρακομίζοντος, ὡς εἰκόνα τοῦ στείλαντος. Εἰ δὲ τοιαῦτα δύναται τὰ τῶν ἐπιστολῶν, καὶ κατηγορεῖν οἶδε τὸν ἐπιστείλαντα, οἷος τὰ ἐς λόγους ἐκεῖνος, καὶ οἷα τὰ τῆς ψυχῆς αὐτῷ ἐστι γεννήματα, πῶς ἂν αὐτὸς εὐτόλμως ἔχοιμι, τὰς ἐμὰς πιθηκίδας πρὸς σὲ τὸν ἐν ῥητορείαις αἴθωνα λέοντα προάγων περιγυμνοῦν, καὶ τῆς ἐμῆς ἀγροικίας ἐνδαψιλεύεσθαι; Οὐκ ἀντιλέγομεν, ἐγχειριδίους καὶ κειμηλίους ἐλέγχους ἀποτίθεσθαι τοῖς τέως οὐκ εἰδόσι τὰ καθ' ἡμᾶς, καὶ κατηγορίας ἐγχαράττειν καθ' ἡμῶν αὐτῶν, ὡς ἂν καὶ τοῖς ἐπιγόνοις ἔχοιμεν περιδειγματίζεσθαι. Ἄλλοις μὲν οὖν τισι τάχα ἂν γράφων τεθάῤῥηκα, καὶ οὐχ ὑπεστάλην ἂν τὰ τῆς ἐπιστολῆς. Πρὸς σὲ δὲ — ἀλλὰ καὶ νῦν δέος, μὴ τὰ τῆς γραφῆς ὄργανα σχάσαντα, τὸ ἔργον ἀτελές μοι προλίπωσιν. Οὕτω σε τέθηπα, οὕτω σου τὸ τῆς ῥητορικῆς ἐμπύριον πέφρικα. Καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ (Ἀντωνίῳ, οἶμαι) λόγος ἐῤῥέθη ποθέν, ὡς ἄρα ὁ δαίμων αὐτῷ τὸν ἑτέρου τινὸς πεφόβηται δαίμονα· ἡμῖν δὲ δαίμων μὲν φοβερός, εἴτουν τύχη μορμολυττομένη τὸ ὅμοιον, οὔτι δεδόξασται. Πῶς γὰρ ἂν καὶ εἴη τοιαύτη τύχη παρ' ἡμῖν, οἷς τὸ πᾶν ὁ θεός; ὅπου τῶν Ἑλλήνων ὅσοι σοφώτεροι εὔνοιαν θειοτέραν τὴν τύχην ὁρίζονται, καὶ εἰς ταὐτὸν αὐτὴν τῷ καλῷ τῆς εὐδαιμονίας συνάγουσι. Τύχη μὲν οὖν ἡμῖν οὔτε ἐστὶν οὕτως, οὔτε πεφόβηται. Ὁ δέ μοι λόγος φρίττει τὸν σόν· καί που περιτυχὼν αὐτῷ, συσταλεὶς καταδύεται· καὶ καθά που λόγος ἔχει, σωμάτων κτύπους τινὰς ἑτέροις εἴκειν, καὶ τούτων ἠχούντων ἐκείνους σιγᾶν, οὐκ ἔχοντας ἀντηχεῖν, οὕτω καί, τοῦ σοφοῦ Γρηγορίου τὸ σύντονον ἐν ῥητορείαις ᾄδοντος, ἡ τοῦ Εὐσταθίου λαλιὰ οὐδ' εἰς τοιαῖον τι ἀπήχημα ὑποψάλλεται. Ἔτι μοι τῆς ἐπιστολῆς ἐκείνης ἰνδάλματα προτρέχει τῶν ὀφθαλμῶν, ἣν οὐ πρὸ πολλοῦ μετὰ χεῖρας ηὔχουν· καί με τοῦ γράφειν ἐκκρούει ἐκθροοῦντα οὐχ ἧττον, ἢ τὸν θρυλλούμενον ἀντιφέροντα τὰ ἐκείνου ἐκδειματοῦντα ἰνδάλματα. Ἔτι με ὁ γλυκὺς ἐκεῖνος ῥυθμὸς ἐπικροτεῖ· ἔτι με περιάγει τὸ κάλλος· τὸ τῶν νοημάτων ὕψος, ἡ πυκνότης, ἡ στρυφνότης· ἡ αὐταῖς ἀνακεκραμένη γλυκύτης· ἡ τῆς λέξεως χάρις· ἡ ἐν σχήμασι ποικιλία· τἄλλα πάντα καλά, ἵνα μὴ καὶ φορυτὸν ἄλλως ὀνομάτων ἐπισυνάγειν δόξαιμι. Ἀλλὰ τί μοι ἐπιστολῆς ἐκείνης τῆς μιᾶς, εἰ καὶ λίαν καλῆς; Τί μὴ τὸν σο||φὸν τὴν χεῖρα Πρωτογένην οὐκ ἐκ τῶν μεγάλων ἔργων, ἀλλ' ἐκ τοῦ παρέργου καλοῦ πέρδικος ἐπαινῶ; Ms. fol. 246 a. Ἐπὶ νοῦν λαμβάνω τὴν σὴν καλλιγραφικὴν λογογραφίαν, [καὶ] θαυμάσας ὡς ἔνι μάλιστα, καὶ ἑαυτοῦ ἀπογνούς, σχασάμενος τὴν σοφιστικήν, ἄλλοις ἀντεπεξάγεσθαι πρὸς τὴν σὴν (εἰ βούλοιντο) ῥητορείαν ἀφίημι. Καὶ ἤθελον ἰδεῖν τοὺς τοιούτους, οἵτινες ὥρα καὶ εἶεν· ὡς ἂν εἶχον εὐθύμως, ἰδὼν ἡττώμενόν σε τὸν ἐμοὶ φοβερόν. Οἱ δὲ — ἀλλὰ καὶ αὐτοὶ ὡς λέοντα μηκάδες αἶγες πεφόβηνται. Καὶ σὺ μὲν κατὰ τὸν Ὁμηρικὸν Ἕκτορα πάντας καθίζων τοὺς ῥητορεύειν δεινούς, εἶτα τὸν ἀντίπαλον μονομάχον ζητεῖς· οἱ δὲ σιωπῶσι, καὶ οὐ θαῤῥοῦσι τὴν ἐπεξέλευσιν. Κἂν τις αὐτοῖς καθ' Ὅμηρον ἀλλ' ὑμεῖς μὲν πάντες

ὕδωρ καὶ γαῖα γένοισθε ἐπιφθέγξηται, εἰ δὴ τὸν ἕνα τοῦτον δεδίττεσθε αὐτοί, οὐδ' οὕτως εἰς τόλμαν ὀξύνονται, οὐδ' ἐννέα πάντες ἀνθίστανταί σοι· ἀγαπητὸν γάρ, εἰ καί τινα ἕνα, καὶ αὐτὸν οὐ κατὰ τὸν μέγαν Αἴαντα, ἐγεροῦσιν ἀντίμαχον. Οὕτω σου πάντες ἡττήμεθα· καὶ ἐσμὲν — ὁ μέν σου τὸ δευτερεῖον, ὁ δέ, ὅ τι τύχοι τῆς ἐπὶ τόδε φερόμενος τάσεως. Ὦ λόγων ἄκρον γάργαρον· ὦ πλοῦτος ἐπιχειρήσεων, κατὰ χύσιν ἄμμου ἐκνενημένος· ὦ ἀριθμὸς ἐνθυμημάτων ἀστείων πολύχους· ὦ πληθυσμὸς ὑψηλῶν νοημάτων, ἀστέρων δίκην εἰς πλῆθος ἐμπλατυνόμενος καὶ εἰς λαμπρότητα δᾳδουχῶν, κατὰ ὄμβρους ὑψόθεν οἷον καταῤῥηγνύμενος ὡς ἐν κατακλυσμῷ — δᾳδ' ἂν εἴπῃ — ὑδάτων πολλῶν· ὦ ῥεῦμα λόγου δαψιλές, ἐπιῤῥέον ἅτε πόντου κύματα Ἰκαρίοιο, ἔπεα νιφάδεσσιν ἐοικότα. Ἔπεισί μοι τὸ τῆς Συρακουσίου Μούσης εἰπεῖν, ὅσος ὄχλος, μύρμηκες ἀνάριθμοι, εἴτουν μυρμηκιὰ λόγων σοφῶν. Εἶτα θορύβους προβάλλῃ, καὶ πραγμάτων ἐπίχυσιν καὶ βίου σύγχυσιν, καὶ βλάβας οἵας καὶ τύρβας ὅσας, ὑφ' ὧν τοῦ φίλου λόγου περικεκίνησαι; Καὶ οὐκέτι φὴς οὔτε ταῖς πάλαι ποτὲ λάλαις ὅμοια, οὔτε βίβλοις προςτετηκέναι, οὐθ' ὅλως ἐκεῖνο εἶναι, ὃν ἡμεῖς οἴδαμεν; Ὦ τῆς καθ' ἡμῶν σκηνῆς. Ἢ σκη[νοβα]τήσοι ὁ λόγος; Ἐσχημάτισται, ἤνθισται. Ἐπικρύπτεις ἡμῖν σεαυτόν, οὐκ οἶδ' εἴτε κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα, ἢ εἴ τις κατ' ἐκεῖνον τὴν ἑαυτοῦ κρύψιν ἐσκηνοβάτησεν· εἴτε κατὰ τὸν ἐν σοφίσμασιν ἐγκεκαλυμμένον, ὡς ἂν ὕστερον ἐκφήνας τὰ κατὰ σέ, εἰς ἀντιφάσεως μοχθηρίαν συνελάσῃς ἡμᾶς, εἰδότας ἅμα καὶ οὐκ εἰδότας σε. Ὦ τῆς εἰρωνείας. Μυκτῆρα γὰρ εἰπεῖν τὸ πρᾶγμα, οἶμαι οὐκ ἀσφαλές· καὶ μὴν οὐδὲ ἀκκισμὸς ἢ θρύψις τὸ πάθος ἐστίν. Τάχα δὲ κἀκεῖνα διαγραπτέον μοι, καὶ πόῤῥω τοῦ λόγου θετέον· κατειπεῖν γάρ σου φορτικὰ πρὸς ῥῆσιν, πάνυ βαρύ. Οὔτε γὰρ τὸ σκηνικῶς ὁμιλεῖν ἐν τοιούτοις σπουδαῖον κρίνεται, καὶ τὰ τῆς εἰρωνείας δὲ ἐν κακίας μοίρᾳ βέβληται. Ὦ τοίνυν τοῦ ἐπιεικοῦς· ὦ καθυφέσεως, εἰς ἣν ὁ ὑψηλὸς καὶ πολὺς τὴν σοφίαν κατήνεγκας σεαυτόν. Ὦ τοῦ μετρίου φρονήματος, ὑφ' οὗ περιμετρεῖς σεαυτὸν τοῖς πολλοῖς, σημεῖον εἰς βάθος καὶ εἰς ὕψος ἄλλον τρόπον καὶ αὐτὸς αἰτησάμενος καὶ λαβὼν ἐκ θεοῦ· βάθος, τὸ διὰ ταπείνωσιν κάτω· ὕψος, τὴν κατὰ λόγους ἀνάβασιν. Ἐγὼ δὲ ἠξίουν σεαυτὸν εἰδέναι, καὶ μὴ τοιαῦτα καταγράφειν σεαυτοῦ. Οὐ γὰρ τὸ παλαιὸν ἐκεῖνο γράμμα στενοχωρῶ, τὸ γνῶθι σαυτόν, ἀλλ' εἰς πάντας ἀνθρώπους πλατύνω, καὶ συνεπιμερίζω τὸ ῥητὸν τοῖς καθέκαστα· ὡς δέον ὄν, ἕκαστον ἑαυτὸν εἰδέναι· ἵνα μήτε ὁ τὸ μηδὲν ὢν ὕψιστόν τι φρονῇ, μήτε ὁ ὑπερύψηλος οὕτω πρὸς γῆν ἑαυτὸν κατασπᾷ. Ἀλλὰ ταῦτα μὲν ἄλλην ἔχει τριβήν, εἴθ' οὕτω ποιητέον, εἴτε καὶ μή. Σὺ δὲ τί ποτε φής, ἀνδρῶν λογιώτατε; δυςτύχως ἔχεις περὶ νοημάτων γονάς; καὶ ὃν ἱδρὼς συνεχὴς καὶ θερμότης ἐντρεχὴς καὶ ἔννους εἰς κοπίδα φιλοσοφουμένην ἐστόμωσεν, ἀστιτυπία πραγμάτων ἐπήμβλυνε; νενίκηκέ σε τύρβη φροντίδων; περιγέγονέ σου; καθεῖλε τοῦ ὕψους; ἀπέσπασε; καταβέβληκεν; Οὐκέτ' ἐκεῖνος εἶ ὁ πάλαι Γρηγόριος; ὃς καὶ καταλογάδην περιπτύσας τι λόγιον, ἢ καὶ παραῤῥίψας στιχίδιον σχέδιον, εἰς ἀμίμητον αὐτὸ καὶ μέγα τοῖς ῥητορεύειν θέλουσιν ἐλεπτούργησας σκάριφον. Οὕτως ἐν λόγοις ἄπειρος εἴην· πενώμην οὕτω σοφίας· τοιαύτη με λάχοι περὶ λόγους ἔνδεια. Ὦ πράγματα, λάβοιτέ με· ὦ φροντίδες, ἔχοιτέ με· ὦ τύρβαι καὶ ὄχλοι, ἀμφί μοι γένοισθε κύκλῳ, εἰ οὕτω καὶ τεχνοῦν οἴδατε καὶ ἐν καθεστῶτι φυλάττειν τοὺς ῥήτορας. Ἄλλος μὲν οὖν τις, μέσος ἐναποληφθεὶς πραγμάτων οὕτω μεγάλων, ἔπαθεν ἂν ἀληθῶς, ἅπερ οὐκ ἀληθῶς αὐτὸς ἐπιγράψω σαυτῷ· οὐχ οἷος εἶ[ης], προςθέμενος λέγειν, ἀλλ' οἷος ἄν τις γένοιτο, τηλικούτοις πράγμασιν ἐνσχεθείς. Σὺ οὖν οὔκουν τοιοῦτος οὔτε γέγονας, ἀλλ' οὐδὲ μελλήσεις ἔσεσθαι. Αἴτιον δ', ὅτι πρὸς ὑπεροχὴν τῆς ἐν λόγοις ἐλήλυθας ἕξεως, καὶ πρὸς ἐπιστήμης τέλος ἐλήλακας. Οὐκοῦν εἰς ἄκρον σοι σοφίας ἥκοντι ῥᾳδία ἔπειτα καθ' Ἡσίοδον, ἡ πρώην χαλεπὴ γέγονε· καί σοι διαταῦτα ἄπονος ἡ ἐνέργεια, καὶ τὰ τῆς μεταχειρίσεως ἄμοχθα. Καὶ ἔχει φύσεως οὕτω τὸ πρᾶγμα. Οὐκ ἔστιν, οὐκ ἔστιν ἑδραῖον τινὰ κατ' ἐπιστήμην γενόμενον, μετακινηθῆναι τοῦ ἀγαθοῦ. Ἐπ' οὐδενὸς τῶν, ὅσοι πρὸς ἕξιν ἐληλάκασι λόγου καὶ τελειότητα πραγμάτων, ἐπιῤῥοὴ τὴν τοιαύτην ἀπήλλαξε τῆς ψυχῆς. Ἀλλὰ μή μοι τὴν Ἑρμογένους πρόφερε κῆρα· ἢ εἴ τις ἄλλος κατ' ἐκεῖνον τῇ εἰς ἄκρον εὐεξίᾳ σφαλεὶς ἐξεκρούσθη τοῦ εἰδέναι, καὶ δι' ὀξύτητα φύσεως ταχὺ καὶ ἤνθησε καὶ ἀπήνθησε. Τὰ γὰρ τοιαῦτα τῶν περιδειγμάτων καὶ σπάνια, καὶ οὐδ' ἀσυμφανεῖς τὰς αἰτίας ἐσχήκασιν. Οὐκοῦν καὶ αὐτὸς εἰς τοσοῦτον ἕξεως ἥκων, καὶ δευσοποιὰ τῇ ψυχῇ τὰ τῆς σοφίας ἐντήξας χρώματα, ἀναπόπλυτον ἔχεις τὸ ἄνθος καὶ λαμπρὸν οἷον προλάμπον ποικίλμασι γνώσεως. Ἔχεις κρατῆρας, ῥητορικοῦ πυρὸς μένος ἀφιέντας· καὶ οὐκ ἔστιν αὐτοὺς ἐπιλειπεῖν, κἂν που δόξωσι διαλειπεῖν. Ἀλλὰ τὸ νοερὸν αὖθις πνεῦμα προςβάλλον αὐτοῖς ἀνίησι, καὶ εἰς ποταμοὺς πυρὸς ἐκφυσᾷ λαμπρὸν ἐπιλάμπον σοι τοῦ λόγου τὸ φῶς. Ἐντεῦθεν οὐδέ σοι (παροιμιακῶς εἰπεῖν) ὁ λόγος

σβέννυται. Στύλος πυρὸς ὁ λόγος προτρέχει σου· πῶς ἂν οὖν ὑπὸ σκότει γένοιο; Πῦρ οὐ κατὰ τὸ ἐν Ἀθήναις μυστικὸν ἄσβεστον ταμιεύεις, Ἀττικῆς δὲ σοφίας ἄλλως ἐμπύρευμα, κἂν δὴ καὶ διακοπείη σου τὰ τῆς φαύσεως· ἀνάγκη γάρ ποτε ἀνθρώπῳ γε ὄντι. Ἀλλ' οὐκ εἰς τέλος ἐκεῖνο τὸ πῦρ ἀπέσβεσται· ὑποσώχεται δὲ ζωπυρούμενον, καὶ τινος ἀρχῆς λαβόμενον ἐπεγείρεται, καὶ ἀνάπτεται, καὶ εἰς λαμπρὸν πυρσὸν αἴρεται. Τοιαῦτα πυρὰ πολλά, ἐξυποσμύχοντα, ἀναλάμποντα· ἐξ ὧν ἡμῖν ἀπόθετον τῷ λόγῳ φυλακτέον τὴν τίτανον, ἥπερ ἐπιχυθέντος ὕδατος ἐνεργεῖ κατὰ πῦρ. Λέγεται δὲ καί τις τέχνη τὰς παπύρους ἅμα τε εἰς Ms. fol. 246. b. ὕδωρ βάπτουσα, καὶ ἀχρόνως εἰς πῦρ ἀνάπτουσα.|| Καί μοι τὴν τέως ἀπόθετον τίτανον ἐν τῷ πρὸς αἰτιολογίαν λαβών, μεταχείρισαι· ἐκείνη γὰρ ὑποκαθημένη ἐντός, τὸ πῦρ τοῦτο κατά τινα μηχανὴν ταῖς παπύροις ἀφίησιν. Οὕτω δὲ καὶ σὲ τὸν ἐμπύριον ῥήτορα βραχύτατόν τι χρὴ ἐνιδρῶσαι τῷ λόγῳ· καὶ ἡ νοτὶς αὕτη αἰθέριον τὸν τοῦ λόγου πυρσόν σοι ἔνδοθέν ποθεν ἀνεκαλέσατο. Μεσοῤῥαγῆ κενεῶνες γῆς διασχόντες ἦν ὅτε ὕδατος ἐνεκολπίσαντο χάσματα, καὶ εἰς θαλάσσας ὑπτιάσθησαν· καὶ τὸ ἐντεῦθεν αἰῶνες ἐξ ὅλοι, καὶ τὸ ὑπὲρ αὐτούς, καὶ οὔτε τὸ εἶναι οὔθ' ἡ κλῆσις τὴν θάλασσαν ἐπιλέλοιπεν. Οὕτω δὲ ἄρα καὶ σὺ τὸ τοῦ νοῦ — εἴτε κύτος φάναι χρή, εἴτε ἄβυσσον, εἴτε καὶ χάος διὰ τὸ τοῦ νοεροῦ τούτου χωρίου πολυχανδὲς — εἰς ὑποδοχὴν πάσης χρηστοηθείας ἐξέθου, καὶ δὴ πάσας λόγου πηγὰς καὶ πάντας ποταμοὺς εἰςεδέξω. Καὶ οὔκουν εἰς θάλασσαν πέρας εἴδυῖαν, ἀλλ' εἰς ὠκεανόν μοι τὰ καλὰ ταῦτα συνέῤῥευσαν χεύματα, καὶ τοῦτον ἀψόῤῥοον, καὶ εἰς ἑαυτὸν κατὰ νοερὰν κύκλησιν ἐπανιόντα, καὶ κατά τινα στροφὴν ἀκάματον ἑλιττόμενον, καὶ οὐκ εἰδότα πέρας. Οὔκουν τὸ χεῦμα τοῦτο λίποι ἄν σέ ποτε, οὐδ' εἰ βούλοιο, ἅπαξ ἐνδόσιμον. Τὸ κινεῖσθαι λαβὼν ὁ οὐρανός, οὐ παύει τὴν κίνησιν. Οὕτω δὲ καὶ ὁ σὸς οὐράνιος νοῦς οὐ παύσεται κινούμενος, κἂν πάθῃ κατὰ τὴν ἀνωτάτω ποτὲ σφαῖραν βραχεῖαν ἀντίκρουσιν· ἀλλὰ μικρόν, καὶ γίνεται τῶν προτέρων αὖθις, καὶ ὀξυῤῥοπώτερον φέρεται. Γινώσκει καὶ ὁ σὸς ἥλιος νοῦς δύσιν ποτὲ (κατὰ τὸν αἰσθητὸν ψάλλειν Δαυῒδ) καὶ δύεται, εἰς ἑαυτὸν σταλείς· ἀλλὰ μετ' οὐ πολὺ ἀνέσχε, καὶ τὴν προτέραν φαῦσιν ἀπέλαβεν. Ὦ ἡμεῖς, οἷς βράδιον τοιοῦτος ἥλιος φαίνει, καὶ πολυμήνους, οὔκουν ἑξαμήνους τὰς νύκτας τελεῖ· καί τι βραχὺ ἀναλάμψας, καὶ ὅσον ἂν εἰς Θούλην χειμέριος αὖθις δύεται. Σὺ δὲ (ἵνα τὴν τροπολογικὴν σκευωρίαν ἀφείς, αὐτοῖς ψιλοῖς ἐπιβάλω τοῖς πράγμασι) καὶ σπεύδων τοῖς ἄλλοις, μένεις ἀξύμβλητος, καὶ ῥαστώνην ἄγων ἀήττητος· καὶ εἰς ἔργον ἥκων, εἴτε μὴν ἐκ παρέργου τι μετρῶν, τῶν ἄλλων ὑπέρκεισαι· σαυτῷ . μέν τοι περιμετρούμενος, ὑπεραίρεις, οἷς σπουδάζεις, τὰ πάρεργα. Μὴ τοίνυν τοιαῦτα γράφε, ἀλλ' ἀφίει τὴν γλῶτταν· πλήμμυρε, ὁ ἡμέτερος ὠκεανός· λάμπε, ὁ καθ' ἡμᾶς ἥλιος· καὶ ποίει τὰ σεαυτοῦ. Ὅς τις δέ ποτε εἶ, σὺ μὴ λέγε· ἐροῦσι δὲ ἄλλοι, καὶ οὐδὲ τὰς ψήφους δικάσουσιν· ἐροῦσι δέ, ὅτι κατὰ πάντων ῥητόρων (ἀλλ' ἀπέστω φθόνος) φέρεις τὰ νικητήρια. Σὺ γὰρ οὔ με ἀρέσκεις· ἀλλ' οὐδὲ πείθεις με, τοιαῦτα κρίνων κατὰ σαυτοῦ. Ἡ Ἀνάχαρσις μέν, λαμπρὸν ἀττικίζων, τὸν Σκύθην περὶ τοῖς ἀκούουσι ψεύδεται· Γρηγόριος δέ, ὑπερφωνῶν τοὺς ὅπη ποτὲ ῥήτορας, τὸν οὐκ εἰδότα οὐ ψεύσεται; Τὸν Τυρταῖον ἡ καλλιρημοσύνη μετέγραψε καὶ μετέθετο εἰς Θεόφραστον· καὶ ὁ βοὴν ἀγαθὸς Γρηγόριος εἰς ἄφωνον βάτον γεγράψεται, καὶ ὁ καλλιβόας ἐν ἀφώνου μοίρᾳ τετάξεται; Καὶ τίς ἂν εἴπῃ ταῦτα, καὶ τοῖς οὕτως ἀτίμοις συνθήσεται; Ἔλεγέ ποτε καὶ Σωκράτης, εἰδέναι μηδέν· προςεῖχε δὲ οὐδεὶς ἐκείνῳ τὸν νοῦν. Διάπειρα γὰρ ἐξήλεγχε, σοφὸν ἀποφαίνουσα. Οὐ λέληθας οὖν οὐδ' αὐτός, εἰς τοιαύτην πίπτων σοφίαν. Ἑρμῆς ἡμῖν ἄνευ ψόγου τετράγωνος ἵδρυσαι. Μὴ γοῦν δέδιθι τὴν μετάπτωσιν· μενεῖς γὰρ εἰς τὸ πᾶν ἑδραῖος, καὶ οὐκ εὐμετακύλιστος. Μουσῶν οἰκητήριον εἶ· οὐκ ἂν οὖν σε προλίποιεν, ἐπαναπεπαυμέναι καθάπαξ ἐν σοί. Ἡ Ἑλικῶνα μὲν καὶ Λειβηθρίους οὐκ ἤθελον προλιπεῖν, οὐκ ἄξια λόγου χωρία, Μούσαις ἐπονομαζόμενα· σὲ δέ, καλὸν οὕτω λόγου χωρίον εὑροῦσαι, προλείψουσιν; Οὐχὶ πάντως· ἀλλὰ καὶ μένοντι συμπαραμενοῦσι, καὶ ἀποδημοῦντι συνεκδημήσουσι, καί σε τοῖς πάλαι ποτὲ σοφοῖς κἂν τοῖς τοιούτοις ἀντίμιμον θήσουσιν· οἵπερ οὐ μόνον οἴκοι μένοντες, ἀλλὰ καὶ ὅπη ποτὲ ἀπιόντες, Ἑρμῇ καὶ Μούσαις ἐμέλοντο. Ἐξεστρατεύετό ποτε Περικλῆς· οὐδὲν δὲ ἧττον ἐβρόντα τοῖς λόγοις, ὥςπερ ἀγοράζων ἐν εἰρήνης καιρῷ, οὕτω δὲ καὶ στρατοπεδευόμενος. Ὑπερόριον πόλεμον ὁ γλυκὺς ἐπονεῖτο Ξενοφῶν, καὶ πολλὴν γῆς ἐμέτρει περίοδον· εἶχε δὲ συμπαριπτάμενον τὸν Ἑρμῆν, καὶ ὁ τῶν Μουσῶν αὐτῷ συνεσκήνου χορός· καὶ οὐδέν τι τοῦ λόγου παρέσπαστο, οὐδὲ χρόνιος ὢν τοῖς βαρβάροις, τῆς Ἑλληνίδος παιδείας ἐξέπεσεν ὑπερόριος. Ἔφευγέ που Δημοσθένης ἐξ Ἀθηνῶν· ἀλλὰ τὸν ῥήτορα συνεπήγετο. Τί σοι δοκεῖ τὸν ποιητὴν τὰ μακρὰ τῆς ἀποδημίας περὶ τὸ μεγαλόφωνον σίνασθαι; Εἰ μὴ ἄρα καὶ πρὸς ὕλην λόγου λαμπρὰν τῇ ποιήσει συνελαμβάνοντο. Οὐδὲ Θεμιστοκλέους τὴν γλῶτταν ἡ περὶ τὰ τοιαῦτα

φροντὶς ἐβαρβάρωσε. Μικροῦ δεῖν ὁ τῶν ἄλλων κορυφαῖος Πλάτων, Ἀθήνηθεν τὴν εἰς Σικελίαν στελλόμενος, ἔλαθεν ἂν παρεκκλίνας τὴν μάχην. Ἀλλ' ἰδοὺ ὡς ὑπὸ πειρατῇ τῷ λόγῳ καὶ σοὶ πάρεστιν ἐξελέγχειν, εἴ τι τὸν ἄνδρα τὸ ἀπόδημον βλάψοι. Καὶ μὴν οὔτε παρενεπόδισε τὸν τῆς σοφίας κρατῆρα, ὑπὲρ δὲ τὸν Αἰτναῖον (ὡς ἄν τις εἴπῃ) προσεξεφύσησε, καὶ ἀνῆψε φανότερον. Οὔκουν οὐδὲ σὲ τυχόντα τὰ πράγματα τῆς ὀρθοῦ κατὰ φιλοσοφίαν ὁδοῦ περιπλάγξουσιν, οὐδ' ὡς τὰ τῶν ἀνερματίστων, καὶ ὅσα μὴ φόρτῳ βριθᾶται, σαλεύειν βιάσονται. Ὑπὸ καλῷ σκίπωνι βαίνεις. Ἑρμαϊκὴ βακτηρία τὰς βάσεις ἐν ἀσφαλεῖ σοι καθίστησιν. Οὐ τοίνυν πρόσκομμα πάθοις, κἂν ἐρισφαλές σοι τὸ τῆς ὁδοῦ. Πολλοῖς ἀγωγίμοις βρίθεις ὑπ' ἀγαθῷ ἀρχιτέκτονι ἐκπεπόνησαι. Κατατόλμα γοῦν τῶν πραγμάτων· ὀρχοῦ κατὰ κυμάτων, ἐκπετάσας ἱστίον πόμπιμον. Διακυβέρνα σαυτὸν ἀλύποις τοῖς κατὰ ψυχὴν καὶ νοουμένοις ὄμμασιν, ἅπερ ἐγὼ πλείω περὶ σὲ θεωρῶ, ἤπερ ὅσα κατὰ σῶμα περὶ τὸν ἀλλοφυῆ Ἄργον, τὸ πολυωπὸν τέρας, ἐπέμφαινον· ὃν ἡ ποιητοῦ πλαστικὴ εἰς πολλοὺς ἤνοιξεν ὀφθαλμούς, καὶ βρύειν· ὥσπερ πολλαῖς ἐποίησεν ὄψεσιν, εἰς μυρία ὄμματα κατατρήσασα, ὡς διαῤῥεῖν οὕτω τὸ ὀπτικὸν τοῦ ὅλου σώματος, ὡς ὅτε πολυτρήτου τινὸς ἀναγωγέως ὕδωρ πολύῤῥουν ἐξακοντίζεται. Ἀλλὰ ταῦτα μὲν οὕτω πρὸς τὸ πέρας πέπαικται. Σὺ δὲ εἰ καὶ μὴ οὕτω πολυόμματος, ἀλλ' ἄλλῳ τρόπῳ τῷ συνεχεῖ καὶ ἀκαμάτῳ τῆς θεωρίας ὑποβάλλεις τὸν Ἄργον· οὐδὲ σοι ὕπνος ἐπὶ βλεφάροις κεῖται (τοῦτο δὴ κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα), οὐ Πλειάδας εἰσορῶντι καὶ Ὑάδας καὶ σθένος Ὠρίωνος (καὶ ταῦτα μὲν γὰρ θεωρητικώτερον), Ms. fol. 247 a. ἀλ||λ' ἐπὶ μᾶλλον βίβλοις προστετηκότι, καὶ τὰ ἐν αὐταῖς οὐράνια κάλλη προσβλέποντι ἀναπεπταμένῳ καὶ ἀγρύπνῳ τῷ ὄμματι· ἀφ' ὧν ἄπλετος ὅση φωτὸς οὐσία ἐπεισκέχυταί σοι χάριτι τοῦ μεγάλου τῶν φώτων πατέρος. Μή μοι τοίνυν πρόφερε ζάλας, ὁ τὰ ἐνταῦθα τεχνικῶς διακρινόμενος κύματα· μὴ ταράχους, ὁ καθιστῶν ἑαυτόν, ὅπῃ καὶ βούλοιο· μὴ φροντίδας, ὁ πολύφρων τε καὶ ἀγχίνους· μὴ τὸ ἄσχολον, ὁ θεωρητικώτατος· μὴ ὁ πραγματικώτατος πράγματα· μήπου, εἴ τι καὶ λέγειν ἔχεις τοιοῦτον, ὁ κατὰ πάντων πολύς, καὶ οὗπερ μηδέν τι τῶν ἁπάντων τὴν ἐν λόγοις εὐτεχνίαν ἐκκρούεται· μηδέ, ὅτι μακρὰν γίγῃ τῶν βίβλων, προΐσχου, βίβλος ἡ ζῶσα καὶ ἔμψυχος· μᾶλλον μὲν οὖν, ἡ τῶν λόγων πλήθουσα γάζα, τὸ πολυτίμητον βιβλιοφυλάκιον. Ἦ γὰρ ἂν αὐτὸς ἀποσταίης σαυτοῦ, εἰ τοῦτο πείσεις ἡμᾶς. Πείσεις δὲ ο[ὐκ]. Οὐδὲ γὰρ ἂν οὐδὲ αὐτὸς ἀποσταίης τὴν καινὴν ταύτην ἀπόστασιν. Τετόλμηκα, λελάληκα, προσπεφώνηκα τὸν ἐν λόγῳ πολὺν ὁ ἐλάχιστος· μᾶλλον μὲν οὖν τὸν ἐν σοφίᾳ πάνυ ὁ τὸ μηδέν. Καὶ οἶδα μέν, ὅτι φίλα σοι ἀφίξονται, τοῦ μέλλοντος ἐντρεπόμενος, εἰ καὶ διαδόσιμα τοῖς ἄλλοις ποιήσεις, καὶ δημοσιεύσεις τὰ καθ' ἡμᾶς, καὶ ἀπελέγξεις, ὅσους ἡττώμεθά σου· καὶ οὕτω λαμπρὸν θρίαμβον καταγάγῃς ἡμῶν. Ὡς δ' ἂν ἔχοι, χαῖρε ἐν Κῷ, μεμνημένος ἡμῶν ἐπ' ἀγαθῷ, φίλτατε.

Τοῦ αὐτοῦ ἠθοποιΐα.

Ποίους ἂν εἴπε λόγους Ὁμωκήσων, ὅτε τῇ ἐπαύριον μετὰ θάνατον τοῦ πολλὰ εὐεργετήσαντος αὐτὸν ἁγιωτάτου πατριάρχου κυρίου Μιχαήλ, τοῦ τοῦ Ἀγχιάλου, λυόμενος ἀφῃρέθη ἐξ ἀποστολῆς τοῦ μεγάλου οἰκονόμου τοῦ παντεχνῆ τὸ ἔξω στρῶμα καὶ τὰ ἱμάτια καὶ λοιπά, τὰ ἀστείως αὐτίκα δοθέντα πτωχοῖς.

Ἀνεξίκακε σῶτερ, ἀνέχου, μὴ καὶ κακόν μοι γένοιτο πλεῖον· ἀλεξίκακε θεέ, ἀποσοβηθείη καὶ ἡ φαινομένη αὕτη κάκωσις. Ἀλλὰ τί δή ποτε τὰ παρόντα; Φαντασία τις ἄλλως καὶ δόκησις, ἢ πρὸς ἀλήθειαν ὑφεστήκασιν; Ὄναρ ἀναπλάττεται, ἢ ὕπαρ τοῖς ὀφθαλμοῖς παρίσταται; Εὐσχήμων ἦλθον· κοσμίως εἶχον, περιβολήν τε φέρων, ὁπόση τρυφερευόμενον σῶμα παράκειται, καὶ λαμπρότητα καὶ ἄλλην ὑπὲρ ἀξίαν (ἀλλ' ὅμως) ἐπαγόμενος. Τάπης ἀνθηρόχρους ὑφήπλωτο, λειμῶνος περιφαίνων ὄψιν, οἷς ὅσα καὶ ἄνθεσι ποικίλοις διελάμπετο βάμμασι. Στρῶμα ὁ τάπης ἀνεῖχεν, οὐ Μιλησίοις ἐστοιβασμένον ἐρίοις, ὁποῖα καὶ ταῦτα εὐαφῆ καὶ ἀγαθὰ μαλακῶς ἐγκαθεύδειν· ἀλλὰ σεσαγμένον ἔνδον ἄνθεσι φυτῶν, ἃ σπείροντες ἄνθρωποι, εἶτα τὸ ἐπανθοῦν ἐριῶδες [σὺν] πόνῳ συλλέγουσι, παρευδοκιμοῦν τὴν τῶν ἐρίων χρῆσιν τὰ εἰς τρυφὴν ἀνακλίσεως. Τὸ δὲ ἐπιπολάζον λίνεον, ὡς ἐπεγξύειν τὸ στρῶμα, ἐχρῆν μὲν εἰς μελανίαν βεβάφθαι σκυθρωπότερον, διά τε ἐμὲ βίου τοιούτου ἄνθρωπον, καὶ διὰ τὸ πάθος, ἢ καὶ πένθος, ὅ μοι ἄρτι προσήρμοττε· τὸ δέ, ἀλλὰ λευκὸν μὲν ἦν, ὡς ὁ ἥλιος· τὴν λεπτουργίαν, ὁποῖον ἀράχνης τεχνάζεται. Ἦν καὶ ἡ τῆς κεφαλῆς ἀνάπαυσις τούτῳ ἐφάμιλλος, ὡς ἀνακειμένον με μὴ ἐπιφαίνεσθαι, ἀλλὰ τῇ τῶν ὑποκειμένων ἁπαλότητι ἐγκαταδύεσθαι, ἤ, οὐ καὶ μᾶλλον ἐγὼ ἐπάξιος δοκεῖν, μνημείῳ τινὶ ἐγκαταχώννυσθαι. Ἦσαν μοι ταῦτα οὕτω σεμνά. Αἱ δὲ σινδόνες (τὸ παραπέτασμα τῆς στρωμνῆς) ἄκραι μὲν Σηρικαῖς

ἐνέλαμπον κρόκαις, καὶ ταύταις ἁλουργοῖς, καὶ οἵαις οὐκ ἂν ἀπαξιώσῃ τρυφῶν ἀνήρ. Εἶπεν ἄν τις βλέπων αὐτὰς μὲν Ἰρίδων δίκην παραλλήλους κεῖσθαι, τὸ δὲ μέσον, φῶς οἷον εἶναι· οὕτως ἀκράτως ἦν λευκόν. Ἡ δὲ λεπτότης — ἀλλ' οὐκ ἂν εἶπεν ὁ ἰδὼν ὕφασμα βλέπειν, ἀλλὰ πεφωτισμένον ἡλίῳ ἀέρα, ἀμεσολάβητον σώματι. Ἡ δὲ στιλπνότης ἀπολείβειν (ὁ φασιν) ἐδόκει ὑγρὸν ἔλαιον. Καὶ ἔκειτο χρῆμα καλὸν ἐπὶ καλῷ τῷ στρώματι αἱ σινδόνες, δυςωπούμεναι τὸν θεατήν, πόῤῥω που μένειν, ὡς μὴ ὅτι γε ἐγκαθευδῆσαι, ἀλλὰ μηδὲ εἰς τὸ πᾶν ψαῦσαι, μὴ καὶ χρανθείη τὰ οὕτω τίμια. Τὸ δὲ ἐπικείμενον, εἴτε δάπιδος αὐτὸ εἴτε καὶ κοινῶς ἁπλώματος νοήματι σεμνῦναι χρή, οὐκ ἂν ἄχρι ταχεῖαν ἔκφρασιν· ἐκεῖνο δὲ εἰπεῖν ἀρκεῖ, ὡς ἄρα, ὃν τρόπον ὕπερθεν τῶν λοιπῶν ἔκειτο, οὕτω καὶ τῶν λοιπῶν ὑπερέκειτο. Σκευὴ ἐπὶ τούτοις τὰ μὲν ἀπὸ γυμνοῦ χαλκοῦ, τὰ δὲ καὶ γεγανωμένα καττιτέρου φανότητι, καὶ τὸν ἄργυρον καθυποκρινόμενα. Εἶπεν ἂν ὁ ὁρῶν, αὐτοῖς ἐναπομένειν τὴν ὄψιν. Ἔστιλβον γὰρ καὶ ὑπὲρ αὐτὰ κάτοπτρα. Θήκη μύρου στακτοῦ, ὁποῖόν τε ἀποβλύζει ῥόδων, καὶ ὅπερ οἶνος σκευωρεῖ φαρματτόμενος εὐώδεσι μίγμασιν. Ἀνάφορον καλὸν ἰδεῖν, πλατὺ χωρῆσαι. Καὶ ἦν αὐτὸ θήκη χιτῶνος, ὃν οὐκ ἂν εἶπε τις χεῖρας καμεῖν, καὶ ὑφασμάτων δὲ λασίων (ὡςὰν εἰπεῖν) τῷ ἀπὸ λίνου τριχώματι, ἃ χρὴ τὸν ἤδη λουσάμενον περιτίθεσθαι, ὡς ἀπομάττεσθαι τὴν ὑγρότητα. Καλὰ τὰ πάντα, καὶ τιμὴν πολλὴν εὑρίσκοντα. — Ταῦτα ἐπιλεξάμενος (πολλὰ δέ μοι παράκειται, καὶ αὐτὰ τερπνοτίως, καὶ ὡς οὐκ ἂν ἤλπιζον), εἰχόμην τὴν εἰς τὸ βαλανεῖον. Καὶ τέως ἡ ὁδὸς εὐθεῖα, καὶ εἶχε με τὸ κατάστημα· καὶ σωρὸς τῶν σκευῶν ἔκειτο· καὶ [αὐ]τὸς ἀποδυσάμενος, καὶ τὴν στοιβὴν ἐπαυξήσας, οἷς προςεθέμην τὰ τοῦ ἱματισμοῦ, ἐχώρουν ἔσω, καὶ τῶν θερμῶν ὑδάτων γίνομαι. Καὶ τὸν ῥυπὸν ἀποσύρας, καὶ εἰς καλλονὴν καταστὰς ἡλίῳ ἀντίμιμον, ὃς καὶ αὐτὸς λαμπρὸν παμφαίνει ὠκεανοῦ λουόμενος ὕδασιν, ἐζήτουν ἀναδῦναι μὲν τοῦ ἔνδον ἀλαμποῦς, ἀνατεῖλαι δὲ οἷον φωστήριος. Καὶ τοῦτο μὲν εἶχον αὐτόθι. Ζητηθὲν δὲ τὸ λουτήριον, τὸ περίβλημα, ἔστιν οὐδαμοῦ· ἀλλὰ καὶ αὐτὸ ἄφαντον, καὶ ἡ λοιπὴ δὲ ἀποσκευή. Τί δὴ ταῦτα; Πόθεν μοι τὸ κακόν; Ἅρπυιαι ἀνηρείψαντο, καὶ οὐκ ἂν πτερωταὶ παρειςδῦσαι ἐλάνθανον· ἀλλὰ χανοῦσα γῆ ὑπεδέξατο. Καὶ οὐχ οὕτως ἡμεῖς τοῦ κατὰ σεισμὸν πάθους δυςαίσθητοι· ἀλλὰ πῦρ ἀνάλωσε, καὶ ἤλεγχεν ἂν τέφρα τὸ τοῦ πυρὸς ἔργον. Τί δὲ ἀλλὰ φῶρες λαθόντες ἀπήγαγον τὰ ζητούμενα; πῶς δὲ ἂν κλοπεὺς τοσοῦτον ἄχθος οὕτω λαθὼν μέσης ἡμέρας ἄροιτο; Ἀπαγωγὴ τὸ πρᾶγμα λῃστρική, ἐφόδου πολεμικῆς ἔνδειξις, θαῤῥαλέου ἅρπαγμα. Οὐ ταῦτα δόλος, οὐ λαθραία ὑφαίρεσις· ἀλλὰ μελέτη, ἀλλὰ σκέμμα· καὶ ἢ βίας ἔργον, ἢ παίγνιον. Σκοπητέον· καὶ δὴ μὴ μόνον, πόθεν μοι τὸ κακόν, ἀλλὰ καὶ τὸ αἴτιον. — Ὢ μοι· συνῆκα τοῦ ἀτοπήματος, ὅθεν βέβλαμμαι. Πρὸ ὀφθαλμῶν ὁ ἔλεγχος. Γυμνὸν ὥσπερ μοι τὸ σῶμα, οὕτω καὶ τὸ τῆς ψυχῆς πταῖσμα, καὶ ἡ καταδίκη ἔξω μέμψεως. Ἀγαπητόν, εἰ μὴ προοίμια ταῦτα κακὰ μεγάλων ἀγώνων. Ἀγαπῴην ἄν, εἰ μέχρι τούτου μοι ὥρισται τὸ κακόν. Δίκη τὰ παρόντα θεόθεν· τοῦ πλεονεκτεῖν ἀνταπόδομα· ψυχῆς οὐκ εὐχαρίστου ποινή· ἀδικίας ἀντέκτισις· ψυχῆς χ[όλωμα] ἐφαμάρτου ὀξύῤῥοπον, ὡς τὰ πολλὰ ἔχει τὴν κάκωσιν. Καὶ αὐτὸ μὲν οὐκ ὀρθὰ βαδίζει, τὸ δὲ σῶμα σφαλλόμενον σκύλλεται· ἀλλ' ἐμοὶ φιλανθρωποτέρα ἡ ἐπεξέλευσις. Ἀγνωμο || σύνης γὰρ οὐ νόσος ἀντεδόθη [Ms. fol. 247. b.] πρὸς κόλασιν, ἀλλ' ἐξωτερικοῦ κόσμου ἀφαίρεσις. Μήποτε δὲ καὶ ὡς οἷά τι φυτὸν ἀχαριστίας τῶν ἐπανθούντων περιθέτων, ὅσα καὶ φύλλων, ἀπογεγύμνωμαι· ἢ καὶ ἄλλως εἰπεῖν, φυλλοῤῥοῶ τὴν εὔκλειαν· τάχα καὶ ὡς παραδείσου τρυφῆς ἄξιος ἐκπεσεῖν. Τὴν παροῦσαν ἐπέγνων γύμνωσιν· μή μοι δὲ γένοιτο καὶ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις. Πένθος χθὲς καὶ ἦχος κλαιόντων καὶ βαρυθυμία· καὶ ταῦτα περὶ ὅλην τὴν τοῦ θεοῦ ἐκκλησίαν· καὶ ἡ κατάστασις αὕτη καὶ σήμερον. Ἀλλὰ καὶ εἰς μακρὸν ἔτι παραμενεῖ. Καὶ ἡμεῖς μὲν ἐν τρυφαῖς, οὓς ἔδει λίαν ἄζεσθαι δάκρυσιν. Οὐκοῦν ἐνδίκως ἡ δίκη μετῆλθεν ἡμᾶς. Κεῖται ἀνὴρ αὐτόχρημα σοφία καὶ ἁγιωσύνη, οὗ τὸ μεγαλεῖον οὐ μόνον εἰς ἀρχιερατικὸν θρόνον ἀνυψωθέντος ἐξεφάνη, ἀλλὰ καὶ πρὸ αὐτοῦ τὴν οἰκουμένην ἐπλήρου. Καὶ οἱ μὲν ἄλλοι ἐννοούμενοι τὸ πάθος δάκρυσι λούονται, καὶ τὸν πενθητήριον ᾄδουσιν· ἡμεῖς δὲ τὸ ἔμπαλιν σπεύσαντες αἰσχύνην ὄφλομεν. Ἐδράμομεν βίου ὁδόν, ἐφ' ᾗ οὐκ ἔστιν ὃς οὐκ ἂν νεμεσήσειε· καὶ βραβεῖον ἠράμεθα, καὶ τὸν ἀγωνοθέτην περιόντα διὰ θαύματος ἤγομεν· ὡς δὲ ἀπῆλθε λυθέντος τοῦ θεάτρου ἐκεῖνος, ἐξελαθόμεθα. Οὐκοῦν θέατρον γινόμεθα ἐπὶ γέλωτι, καὶ γυμνικὸν οἷον ἆθλον τοῦτον ἀσχημοσύνης ἀνύομεν. Ὢ ἡμερῶν ἐκείνων, ἐν αἷς ἦμεν περίβλεπτοι τῷ λαῷ, τοῖς τοῦ ἱεροῦ συλλόγου, τοῖς ἐν ἀξίαις βασιλικαῖς· τὸ πᾶν εἰπεῖν, τοῖς ἅπασι. Νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, ὅσον περιπεφρονήμεθα. Ὢ χρυσὸς ἐκεῖνος ὁ καθημέριος, ἔοικας ἤδη θέλειν ἐπιλείπειν ἡμᾶς. Ἡμεῖς δὲ ἄλλως τῆς ἐλπίδος εἰχόμεθα. Ὢ τιμαὶ καὶ θρόνων παραχωρήσεις καὶ ὁδῶν ὑπεκστάσεις, καὶ ὅσοις ἄλλοις ἡμεῖς χθές που καὶ πρῴην ἦμεν ἐμπρέποντες· οὐκ

ἐκληρονομήσαμεν ὑμῶν. Οὐ παρεμείνατε καὶ εἰς τέλος, ἀλλ' ἤδη ἀναχωρεῖτε, ἀλλὰ δραπετεύειν ἐοίκατε. Νῦν ἐμαυτοῦ γέγονα· νῦν ἐπανῆλθον εἰς νοῦν. Μόλις ἔγνων, οἵου ἀγαθοῦ ἐστέρημαι, οἵας εὐετηρίας ἐκπέπτωκα. Οὐκέτι ἀποβλέπομαι· μενοῦν γε καὶ περιβλέπομαι. Εἶλκον πολλὰ τῶν ἀλλοτρίων περὶ ἐμέ· νῦν δὲ καὶ τὰ παρόντα οἴχεται. Γυμνοτέρους ὑπέρου λόγος παλαιὸς φησίν· ἡμεῖς δὲ οὐκ οἶδα εἰ καὶ αὐτοὶ κεισόμεθα εἰς παροιμίαν, οὕτω καταπαιχθέντες εἰς γύμνωσιν. Καλὸν ἡ παλαιὰ ἡμῶν γυμνιτεία μακαρισμοῦ εἶχε πλάσμα· ἐχρωμάτιζε τὸν ἐν βίῳ σπουδαίῳ ἀπέριττον. Ἡ δὲ γύμνωσις αὕτη κατὰ τὴν ἐκ κοιλίας μητέρος καθίσταται. Ἤδη τις καὶ γυμνοσοφιστεύειν ἡμᾶς μυκτηρίσειεν. Ἔστιν ὄρτι καιρὸς λέγειν· ἐξεδυσάμην τὰ ἱμάτιά μου· πῶς ἐνδύσομαι αὐτά; Φαῦλος οἰωνὸς τὰ παρόντα, μὴ καὶ εἰς τὴν λοιπὴν οὐσίαν μοι τὸ κακὸν διαβήσεται, καὶ ἀρχὴ ταῦτα μειζόνων ἔσται κακῶν. Ἰωσὴφ ἐγυμνοῦτο μέν, ἄλλον δὲ τρόπον ἐσεμνύνετο· ἐμοὶ δὲ οὐκ οἶδ' ὅπως ἂν τὸ πάθος τις ἐγγράψηται. Χιτῶνα πολυτίμητον εὐφροσύνης περιετιθέμην· ἀλλ' ὅτι τὸν ἐξυφάναντα περιπεφρόνηκα, ὅτι γυμνῇ τῇ κεφαλῇ (ὅ φασιν) ἀπηναιδευσάμην, πάσχω τὴν ἐν γελοίῳ ταύτην γύμνωσιν. Ἐχρῆν δὲ ἄρα τὸν σπεύδοντα πληροῦν τοὺς κόλπους, ὧν μὴ ἐχρῆν, αὐτοῖς κόλποις τὴν ἅπασαν ὀλέσαι σκέπην, καὶ εἰς τοῦτο καταστῆναι γυμνώσεως. Ὦ μοι γέλωτος· οἷον ὑβρίσθην ἄρα. Ταύτην ἐγὼ τὴν γύμνωσιν καὶ ὑπὲρ ἐκείνην ἡγοῦμαι, ἣν γελάσας χαμαὶ ἐπέστραπτο. Κριτήριον φρικτὸν ἐκεῖνο τὸ ἐπὶ πᾶσιν, ἐν ᾧ τὰ γυμνὰ καὶ τετραχηλισμένα. Ἐγὼ δὲ καὶ αὐτὸς ἄρτι παρὰ ἀγαθοῖς κριταῖς τοιαύτῃ γυμνότητι κατακέκριμαι. Λιχνείας ταῦτα ποίνη λυπήματα. Οὕτω τοὺς παραπεσόντας γυμνοῦν ἐγώ ποτε ἤθελον. Ἱμάτιον ἔχεις· ἀρχηγὸς ἡμῶν γενοῦ. Ἀλλ' οἱ τεταγμένοι παρ' ἐμοὶ τὸ ἀνάπαλιν ἐπιφωνήσουσιν. Ὁ τῆς ἐκκλησίας κόσμος ὑπαλλαγεὶς μετεκοσμήθη, καὶ τὸ κατ' ἐμὲ σχῆμα μετέλαβεν ὁ ἰσάγγελος τὸ ἀγγελικόν, ὁ τῷ θεῷ ἐγγίζων τὸ εἰς θεὸν ἀνάγον. Οὐκοῦν ἐχρῆν ἐμὲ μηκέτι μένειν ἐπὶ τοῦ αὐτοῦ, ἀλλὰ μεταχρωσθῆναι, ἀλλὰ μεταθέσθαι τὴν θέαν, μὴ καὶ κοινόν τι φαινοίμην μηδ' ἐνταῦθα πρὸς ἐκεῖνον ἔχων. Καὶ τοίνυν διεξέπεσον παντὸς περιβλήματος. Ὃ μὲν γὰρ εἶχον, οὐκέτι ἔπρεπεν. Ἐπανακάμπτειν δὲ εἰς τὰ πρῶτα, οὐκ εὐχερές. Ὅτι μὴ γυμνὸς ἦν τῇ ἁπλότητι, ἀλλ' ἐβαθυνόμην εἰς ὕπουλον, κατακρινόμην τὰ τῆς βλεπομένης γυμνώσεως. Γυμνὰς οἱ ζωγραφοῦντες τὰς Χάριτας γράφουσι· καὶ τοῦτο αὐταῖς συμβόλ[ου] παράσημον. Ἀλλ' ἡμῖν οὐκ ἐπίχαρις ἡ γυμνότης, ἀλλ' ἔξω χάριτος. Ἔοικε νόμος οὗτος εἶναι καὶ τῆς μετὰ βίον θαλάττης, τοὺς ἐν αὐτῇ γυμνουμένους ἐγκυβιστᾶν. Κυβιστῶ δὲ ἄρα κατὰ τοὺς ναυαγούς, οἷς παντελῶς ἐπιλέλοιπε τὸ περίβλημα. Μακαριώτατε καὶ ἀγχίθεε δέσποτα, δι' ὃν ἡμῖν ταῦτα ἐπενδύτης οἷον μόνος παράκειται, καὶ πολὺς κλύδων οὗτος περὶ ἡμᾶς, εἰ καὶ θερμός, ἀλλὰ ῥιγεδανὸς ἄλλως, καὶ διὰ τὸ φρικαλέον ψυχρὸς — οὐκοῦν ὀψέ ποτε φρονοῦντα περίσωζε, καὶ ὥσπερ ὀλιγοπίστους ῥύου τῆς ζάλης, ἣν πάσχομεν· μὴ ἐξομοιωθῇς, οἷς πταίομεν. Ταχὺ ἐπελαθόμεθά σου· ταχὺ τὰς εὐεργεσίας σου ἀπηλείψαμεν τῆς μνήμης. Οὐ δευσοποιοὺς ἀνεμαξάμεθα εἰς ψυχήν· θᾶττον ἢ λόγος ἡ χάρις τέθνηκε. Σὺ δὲ ἀλλὰ βραδὺς γενοῦ πρὸς ἀντίποινον. Τρόπον τινὰ καὶ αὐτὸς ἀγνωμόνως ἐτύφλωττον· νῦν δὲ ἀλλὰ λουσάμενος καὶ παθών, ὅπερ ἐχρῆν, ἀνέβλεψα· καὶ προκαλοῦμαι τὸν σώζοντα, καὶ τῇ ἀγνωμοσύνῃ μου συγγνωσόμενον. Λούσασθε· καθαροὶ γένεσθε. Ἀλλ' ἐμοὶ οὕτω λουσαμένῳ ῥύπος ἐντέτριπται καὶ σπῖλος ἀνέκπλυτος. Ὕδατι παρηγόρῳ πιστεύσαντες ἑαυτούς, ὀλέθριον αὐτὸ εὕρομεν. Κοινοῦμαι τὸ πάθος τῷ ἐξ Ἰθάκης Ὀδυσσεῖ, γυμνῷ κατὰ θαλάττης φερομένῳ, καὶ καραδοκοῦντι κίνδυνον καὶ τὸ ἐξ ἅλμης ἀνέκβατον. Εἰ δὲ τὸ τῆς Ἰνοῦς ἐκεῖνον ὑπὸ τὸ στῆθος ἔσκεπε κρήδεμνον, ἰδοὺ βραχύ τι καὶ ἡμῖν τὸ σκέπον περιλέλειπται. Κινδυνεύομεν ἐν γῇ ταύτῃ, ὡς οἱ ναυτιλλόμενοι περὶ θάλατταν. Ὢ εὐσχημοσύνης τῆς πρώην, ὢ ἀσχημοσύνης τῆς ἄρτι· ὢ τιμῆς ἐκείνης, ὢ ταύτης ἀτιμίας· ὢ τοῦ παλαιοῦ πρέποντος, ὢ οἷα ἡ παροῦσα ἀπρέπεια. Ἀντεκυλίσθη μοι ὁ τοῦ βίου τροχός· γυμνωθεὶς αἰσχύνην ἐνδέδυμαι. Τί πλέον πάθοιμι ἂν τεθνηκώς, ἐὰν ἐπίθωνται λωποδύται τυμβωρυχήσοντες; Δοκῶ μοι τὸν ἀφαρπάσαντα μὴ πρὸς κέρδος οἰκεῖον ταῦτα νοσφίσασθαι, ἀλλὰ διαδοῦναι τοῖς ἐν ἐνδείᾳ, καὶ τὸ ἐμοὶ ἐνδέον ἀποπληρῶσαι, καὶ ἀντισηκῶσαι τὸ ἀμετάδοτον. Οὕτω σοφίζεταί με ἡ τύχη· οὕτω δυστυχῶς μεθοδεύομαι. Προορῶμαι διαμεριζόμενόν μου τὸν ἱματισμόν, χάρις, εἰ καὶ ἀνθρώποις, εἰς οὓς ἐγὼ πεπανούργηκα. Τάχα γὰρ οὕτω κερδάναντες λωφήσουσι τοῦ θυμοῦ, καὶ τῆς κατ' ἐμοῦ ὀργῆς σχάσουσιν· ὡς, εἰ μὴ τοῦτο, τῶν γε παρόντων (φεῦ μοι) ἐστέρημαι, καὶ οὐδὲ εἰς τὸ μέλλον τὸν ὄχλον ἀποσείομαι. Τί τοίνυν καὶ βουλεύσομαι; Ἀνακαλέσομαι τὴν ἐθάδα τέχνην, καὶ τοῦ νοσφίζεσθαι γένωμαι; Περιβαλοῦμαι πορισόμενος ἑτέρωθεν κλέμματα, καὶ τάχα φωραθεὶς δίκην δώσω μείζονα; Οὐκ ἔστι μοι. || [Ms. fol. 248 a] Ταῦτα θερμὰ ὕδατα τρυφῶντος ἀνδρὸς καὶ χαίροντος, ψυχροῦ δὲ οἷον ἀποῤῥῶγες ἀλέξοντες. Χαρώνεια λουτρὰ τε-

θνεῶσι προσήκοντα, οὐ γλυκέα· πικρᾶς δὲ ἅλμης ἀπόῤῥοια, οὐ λοετρὰ θυμήρη καταχεόμενα· κύματα δὲ ὥσπερ κατὰ κρατός γε κατ' ὤμων οὐχ ἡδὺ κελαρύζοντα. Ναυαγός τις ἐγὼ δυστυχής. Πολὺς μέν μοι ὄλμος· ἀλλ' ἐγὼ τὰ παροιχόμενα θρηνῶ, οὐ μόνον οἷς ἐκ παλαιοῦ ἐνεῤῥίγωσα (οἴχεται), ἀλλὰ καὶ τὰ πρὸ μικροῦ θάλποντα· καὶ ἀνάγκη πᾶσα, ἑτέροις χρήσασθαι. Καὶ ἔστι μοι τοῦτο ταυτὸ καὶ θανεῖν. Κατακρύψαι γὰρ θησαυρόν, καὶ αὖθις ἐκφῆναι, ὅμοιον, ὡς εἰ καὶ νεκρὸν ἡλίῳ δείξει τις. Μήποτε καὶ κολοιῷ, τῷ τοῦ μύθου, παρόμοια πέπονθα· καὶ τέως μὲν τῶν ἐπιφαινομένων πτίλων, μικρὸν δὲ ὅσον καὶ τῶν ὑποκρυπτομένων γυμνὸς περιελεύσομαι. Πῦρ οἷον τὸ θερμὸν ὕδωρ τοῦτο τοῖς ἐγκατὰ μου ὑπανάπτεται· ἔοικεν ὁ πελάσας θερμοῖς τούτοις ὕδασι ταυτὸν πάσχειν, ἐφ' οἷς περιβέβληται, ὁποῖον καὶ τὰ ζῶα τὰ ἐμβαπτόμενα ζέουσιν ὕδασιν. Ὁ πλούσιος, πυρὶ τηγανιζόμενος μετὰ θάνατον, οὐκ ἂν ἔχοι τὸ μεῖζον πάθος ἡμῶν. Ἐγγὺς Ἀγαμεμνονείων τὰ τοιαῦτα λοῦτρα, εἴγε μικροῦ καὶ θανάσιμα· πλὴν ὅσον Ἀγαμέμνων μὲν εἶχεν, ὃ ἐπενδύσεται· ἡμᾶς δὲ τὸ πᾶν ἐπιλέλοιπεν. Ἄκοντες ἰδοὺ τάχα σωζόμεθα, ἤδη καὶ τὴν ἐντολὴν ὑπεραίρομεν, οὐ μερίζοντες ἐκ δύο χιτώνων εἰς δόσιν τὸν ἕτερον, ἀλλὰ καὶ τῶν ὅλων στερούμενοι. Εὔθετοι πρὸς τὴν στενὴν καὶ τεθλιμμένην γινόμεθα, οὐχ ὅτι μὴ σαρκῶν ἡμεῖς ἔμφορτοι· οὐχ ὅτι σφηκώδεις· οὐχ ὅτι τὴν πιμελὴν ἀπέριττοι (ταῦροι πίονες εἶεν ἂν τοιοῦτοι)· ἀλλ' ὅτι τῶν προσθέτων γυμνούμεθα. Τάχα καὶ κατὰ τὸν ὄφιν εἰς οὐχ ἑκούσιον συνελαυνόμεθα φρόνησιν, τὸν ἱματισμὸν λεβηρίδος δίκην ἀποθέμενοι. Ὄχλος οἱ λουόμενοι καὶ οἱ πλείους ἀπέρχονται, γέλωτα συμφορησάμενοι· καὶ τὸ εἰς ἐμὲ κακὸν οὕτω κηρύσσεται, καὶ τῇ φήμῃ πανταχοῦ σκίδναται· καὶ λουτροῦ πρόφασιν δῆμος οὗτος μυρίος ὅσος περὶ ἐμέ, καὶ περιεργάζονται τὰ ἄνω, τὰ κάτω, τὰ ἐκ δεξιῶν, τὰ εὐώνυμα. Περί που δὲ τὸ μέσον οἱ ὀφθαλμοὶ τούτοις πεπήγασι· τὰ χείλη ἐνδάκνονται· τὸ πρόσωπον εἰς ἔκπληξιν ἐσχημάτισται· ὑποβάλλονται οἱ ὀφθαλμοί, καὶ διάκεινται ὡσεὶ καί τι τέρας βλέπουσι. Καὶ τῷ μὲν βαλανεῖ πληθύνεται ὁ μισθός, ἐμοῦ δὲ πλήθων κατάγεται θρίαμβος, καὶ εἰς ἀχαριστίαν σκωπτόμενος θεατρίζομαι. Εἴθε μοι λογισμὸς ἐπῆλθε, βαλεῖν ἐμαυτὸν κατὰ τ····· τῶν θερμῶν τούτων ὑδάτων, ὡς ἂν ὑπαλλάξαντα τὸ πάλαι ῥητὸν εἰπεῖν· ἐξαπωλόμην, ἐπεὶ πίον ὕδωρ γλυκύ. Νῦν δὲ οὔ μοι θυμὸς τοιοῦτος ἐνίησι, μεμνημένῳ τῶν ἀποθέτων κρατήρων, οὓς ἐπιστεφέας φερομένους ἀναπολῶ. Ὁ ἐνδύων τὰ κρῖνα τοῦ ἀγροῦ, τί μὴ καὶ ἡμᾶς ἐπενδύεις, ἀλλὰ ἀνάγκην ἐπιτίθης, δαπανᾷν χρήματα εἰς ἱματισμόν, καὶ τὸ ζωτικὸν ἐκκενοῦν, καὶ τὴν ψυχὴν ἐκχέειν, καὶ ὑποῤῥέειν ὡς εἰς φθοράν; Ἄνθρωπε, ὅς τί ποτε εἶ, ὁ λωποδυτήσας ἡμᾶς (οἶμαι δέ, εἶναί σε τῶν καὶ μεγάλων καὶ τῶν τοῦ βήματος· οὕτω γὰρ ὑποψιθυρίζει τὸ τῆς φήμης στόμα)· δίκαια ταῦτα; Ἐρεῖς μέν, οἶδα, δίκαια· ἐγὼ δὲ ἄλλα εἰπεῖν μὲν ἄλλως οὐδὲ αὐτὸς ἔχω, ταμιεύσομαι δὲ ὅμως ἄμυναν. Μικρὸν ὅσον, καὶ ψῆφοι καὶ πολυπραγμοσύναι καὶ βίων πράσεις, ὧν ἐγὼ ὑπερίσταμαι· καὶ ζήτησις τοῦ τὸν ἱερὸν ἀναβησομένου θρόνον· καὶ οὐκ ἔναρθρα μέν, βοήσομαι δ' οὖν, ῥήματα, ὁποίοις ἐντέθραμμαι· καταβοήσομαι· συμφορήσω συκοφαντίας· ψεύδη συμπλάσομαι. Ἰδιωτεύω μὲν τἄλλα, οὐδὲ Λειβήθριοι οὕτως ἔξω σοφίας· οὐχ οὕτω βαρβαρόφωνοι Κᾶρες οἱ περιλαλούμενοι· οὐκ ἐμμούσως ἔχω τῆς γλώττης· ἀλλὰ τὰ μὲν τοιαῦτα σοφίσομαι. Ὦ δεινὴ τύχη, τοιούτῳ κακῷ με περιβαλοῦσα. Καὶ κυβιστῶν ποτε ἄνθρωπος ὑφαιρεῖται τὸ ἄμφιον, καὶ κίνδυνον ἔχει, ἀμφοτέραις ἐπικρύπτειν, ἃ μὴ θεᾶσθαι ἄξιον· ἀλλ' οὐδ' αὐτὸς αἰδοῦς τοσαύτης ἐμπέπλησται. Ὦ οἱ περὶ ἐμὲ οὗτοι ἄνθρωποι. Τί δή ποτε τοσοῦτος ὄχλος ἐπισυνίστασθε μωκησόμενοι; Τί μοι τὴν θλίψιν ἐπαύξετε; Τίνα δοκεῖτε βλέπειν; Ἢ ὡς ἐπὶ θέαν ἥκετε, δραμούμενον γυμνικῶς θεασόμενοι; Ἄνθρωπος ἐγὼ χθὲς μὲν ἐν τιμαῖς περίβλεπτος· αἱ δὲ ἦσαν οὐ φύσει. Ἀλλ' ἐγὼ ἠπατώμην. Καὶ τοίνυν αἱ μὲν οἷον πτερυξάμεναι οἴχονται, αὐτὸς δὲ παραδειγματίζομαι. Ὦ οἱ τὸν ἱματισμὸν τὸν ἀλλότριον μερισάμενοι, σποδὸν ἀντὶ ἄρτου φάγοιτε· χολῆς γεύσοισθε· πικρία τὰ βρώματα τῷ ὑμῶν εἴη λάρυγγι. Τί γὰρ ἐμοὶ καὶ ὑμῖν; Πτωχοὶ ἐστέ· σκελετοὶ γένεσθε. Λιμώττετε· μὴ κόρος ὑμῖν ποτε γένοιτο βρώσεως. Γυμνιτεύοιτε· πῦρ ἢ παγετὸν ἐνδύσοισθε. Ἐν φυλακῇ ἐστέ· βυθισθείητε καὶ εἰς τάρταρον. Μὴ γὰρ ἂν ἐμοὶ ἀρέσκοι, ὑμᾶς ἐπισκέψασθαι. Ὑμῖν ἐγλισχρευόμην· ὑμῖν ἐθησαύριζον· ὑμῖν ἐμισθάρνουν. Μηδὲ ἐγὼ ὑμᾶς ἐγέννησα. Οἴχεσθε, τὰ ἐμὰ κατασπάσαντες. Εἶτα ο κατάρατος βαλανεὺς καὶ τὸ ἐμὸν λοῦμα ψηφηφορήσει, καὶ κυλαμήσεταί με ὀβολοὺς προσαπαιτῶν. Ἄλλος μοι τοῦτο θάνατος. Ὅμοιον γάρ, ἀποβαλέσθαι ψυχήν, καὶ καταβαλέσθαι δραχμήν. Ἐγὼ δὲ ἀνταπαιτήσω μέν, ἃ οἱ κακῶς ἐν φυλακῇ ὀλόμενοι κατεβρόχθισαν· ὁ δέ που καὶ πληγὰς κατὰ κόρης ἐντρίψει μοι. Φιλητόν, εἰ μὴ προσαπαιτοίη, καὶ ὧν φθάσας ὑστέρηται. Ὅλας ἀεὶ δεξαμενὰς θερμῶν ὑδάτων ἀπήντλουν· καὶ ὁ μὲν ἐξῄτει μισθὸν τοῦ λούματος, ἐγὼ δὲ καὶ χάριτας ἐποφείλειν μοι ἤθελον. Νῦν δὲ μῖσος ἔχομαι, καὶ εἰς εὐθύνην πρόκειμαι. Ὁ

δὲ σκώμματα ἐπαφήσει μοι, κωμῳδῶν εἰς τὸ φιλόλουτρον· καί που καὶ εἰς ἵππον στατὸν παραβαλεῖ, εἰωθότα ποτισμῷ λούεσθαι. Ὁμηρικός, φησιν, οὗτος ἵππος, ὅστις ποτὲ ὁ λῆρος οὗτος Ὅμηρος· καὶ ἦν ἄρα γελοῖον ἀληθῶς τὸ πρᾶγμα. Βρέφος ἐγενόμην, καὶ τάχα ἦν μοι τότε λούεσθαι. Ὑπερανέβην τὴν βρεφικὴν ἡλικίαν, καὶ οὐκέτι, ἀλλ' εἰ ἄρα ἐν ποταμοῖς. Ἤκμαζον, καὶ ἦν ἐν τοῖς αὐτοῖς· εἷλκον οὕτω τὸν βίον ὁμαλῶς. Ὡμίλησα τῷ ὑστέρῳ βίῳ. Πακτωλὸς ὅλος περὶ ἐμέ, χρυσῷ ῥέων. Ἐγενόμην τοῖς ἀγαθοῖς ὑπέραντλος, καὶ τοῦ λοιποῦ κόρον οὐκ εἶχον τοῦ καταλούεσθαι. Οὐκοῦν καλῶς αἰσχύνη μου καταχέεται. Εὐκταῖον δή μοι, μέχρι τοσούτου στῆναι τὰ λυπηρὰ (ὡς ἔγωγε καὶ τὸ εἰσέτι μέλλον φαντάζομαι), μὴ καὶ περιάγων με ὁ τοῦ βίου τροχὸς εἰς ταυτὸν ἀγάγοι πάθος τῷ θρυλλουμένῳ Ἰξίονι. Πολλοὶ κατ' ἐμοῦ δαψιλὲς τὸ μῖσος ἐθρέψαντο· πολλοῖς ἐνειργασάμην πικρίαν ἄκρατον· οὐκ ὀλίγοις ἐπετέθην βαρύς· οὐδενὸς τῶν ἁπάντων ἐλογιζόμην εἶναι δεύτερος. Οἱ γένους αὐχοῦντες λαμπρότητα μισθωτοῦ δίκην ἐξουθενοῦντό μοι· ἀπηξίουν, ἐντίμως τοῖς ἐν ἀξίαις προςφέρεσθαι. Λογίου δὲ ἀκοῦσαι φωνήματος, ἀλλὰ τοὐθ' ὅμοιον παρ' ἐμοί, ὡςεὶ καὶ ἵππου χρεμετισμός. Στερκτέον οὖν, εἰ μὴ τὸ ἱμάτιον ἀποδυσάμενος ἕκαστος, εὐσταλὴς ἔσται, λίθους ἐπαφιέναι μοι, καὶ χιτῶνα τοῦτον (ὃ δὴ λέγεται) ἐνδύσουσί με λίθινον· καὶ νομιστέον, εἰς ἀγαθόν μοι τὰ παρόντα γενέσθαι. Οἴχεται τὰ λαμπρὰ στρώματα· καὶ καλῶς. Οἴχεται ὁ ἱματισμός· ὡς εὖ γε. Οὕτω γὰρ κοῦφος δραμοῦμαι, καὶ λαθὼν διαφεύξομαι ἢ οἴκαδε, ἢ ἀλλ' εἰς τὸ βάραθρον.

ιθ

Ms. fol. 248. b. || Τί ὅτι, ἁγιώτατέ μου δέσποτα, τῷ μύρμηκι λέοντος προςπλάττεις ἀλκήν; ἢ τῷ σκώληκι ταχυτῆτος ἀρετήν; Μᾶλλον μὲν οὖν, ἱνατί τὸν σκώληκα τάττεις εἰς ἄνθρωπον, καὶ τὸ μηδὲν εἰς ἴσον ἄγεις τῷ ὄντι; ἤδη δὲ καὶ τιμίοις ἐγκατατάττεις τὸν οὐδενὸς λόγου τιμώμενον; λογίζῃ καὶ ἡμᾶς μετὰ ἀνθρώπων; ἀριθμεῖς μετὰ τῶν ἀξίων λόγου τινός; ἀγαθόν τι φαντάζῃ περὶ ἡμῶν; Μὴ σύ γε, ἁγιώτατε δέσποτα· ἀλλ' εὔχου μόνον ὑπὲρ ἡμῶν. Ἡμᾶς δέ, οἷοι ἐσμέν, οἶδε μὲν ὁ Θεός· οἶδε δὲ καὶ ὁ παρ' ἡμῖν κριτής, ἡ συνείδησις. Οὐ λανθάνομεν δὲ οὐδὲ τοὺς ἀκριβεῖς ἐξεταστὰς τῶν καθ' ἡμᾶς. — Ὅσα δὲ ἐψυχαγωγήθην, τὴν γραφὴν δεξάμενος τῆς σῆς ἁγιότητος, οἶδεν ὁ πάντα εἰδὼς Θεός. Ἄντικρυς γὰρ αὐτῇ ἔδοξα ἐντυχεῖν τῇ ἁγιωσύνῃ σου, καὶ τῆς γλυκείας ἀπολαύειν θέας τε καὶ φωνῆς· ἧς ἐπιβραχὺ καταξιωθείς, ἀνάγραπτον αὐτὴν ἐςαεὶ φέρω ἐν τῇ ψυχῇ. Ποίει οὖν οὕτως, ἅγιε δέσποτα, καὶ ψυχαγώγει διὰ γραφῶν· ὡς ἂν εἴη καὶ τοῦτο ἡμῖν τὸ καλὸν ἐκ Θεοῦ, ὑφ' οὗ μυρία εὐηργετήμεθα.

κ

Εἶπον ἂν ὀκνεῖν τὸ γράφειν, ἠγιασμένε μοι δέσποτα, εἰ μὴ τὴν πολλήν σου φιλίαν εἶχον ἐποτρύνουσάν με, καὶ πρὸς τὴν γραφὴν ἐρεθίζουσαν. Ἦν δ' ἄν μοι τοῦ ὄκνου πρόφασις, ὅτι μὴ τοῦ τυχόντος νῦν λόγου παρὰ τῆς σῆς ἁγιωσύνης ἠξίωται τὰ καθ' ἡμᾶς· ὅπερ εἰ εὖ ἔχει, παρὰ σοὶ κείσθω κριτῇ. Ἀλλ' οἶδα ἐν κενοῖς ὑπογογγύσας, καὶ τὸν ἀναίτιον αἰτιασάμενος. Οὐδὲν καινόν, δέσποτά μου, πεποίηκας ἢ πέπονθας. Ἐγὼ γὰρ αὐτός, ἐὰν τοσούτοις ἔτυχον ἐναπειλῆφθαι πράγμασιν, ὁπόσα τὴν σὴν ἁγιωσύνην περιειλήφασιν, ἐξελαθόμην ἂν καὶ αὐτοῦ τοῦ ὀνόματος. Οὔκουν καινοπραγεῖς, ἀλλὰ συνεκτρέχεις τῇ φύσει τοῦ πράγματος. Ὑγίαινε οὖν εὖ ἔχε· μένε ἄλυπος· εὖ σοι πιπτέτω τὰ τῶν πραγμάτων. Ἡμῖν δὲ ἀρκεῖ, ἂν ἐν ζωπύρῳ καὶ μόνῳ φυλαττοίμεθα παρὰ τῇ τῆς σῆς ψυχῆς ἑστίᾳ, καὶ μόνον ἔστιν ὅτε διὰ μνήμης φεροίμεθα.—Περὶ τοῦ καλοῦ φίλου, τοῦ λογιωτάτου κυρίου Γεωργίου, ὅτι μὲν δεινὰ ἐνόσησεν, ἔμαθον· εἰ δὲ καὶ ἀπηλλάγη τοῦ κακοῦ, ἔμαθον οὐδέν. Διὸ καὶ συμμερίτης ἐκείνῳ τοῦ δεινοῦ γίνομαι διὰ λύπην, καὶ ἄλλως οὐ καλὰ πάσχων οὐδ' αὐτὸς διὰ νόσον ἐμὴν δεινήν τε καὶ πολυήμερον· ἧς μόλις ἀνασφῆλαι δεδύνημαι.

κα

Δοκῶ μοι βλέπειν τὴν ἁγιωσύνην σου, ἅγιέ μου δέσποτα, μηδὲ λαβεῖν ἐπὶ χεῖρα θέλουσαν τὴν ἐμὴν ταύτην γραφὴν ὡς ὀψίσασαν, καὶ μετὰ πολὺν οὕτω καιρὸν γενομένην παρὰ τῇ σῇ ἁγιότητι. Καί που καὶ γραφὴν τοῦ ἀμνηστεῖν φιλίας ἐπιγράφῃ ἡμῖν· καὶ οὕτω διατιθέμενος ἔχεις, ὡς εἰκὸς τὸν ἐπὶ πολὺ πρός του τῶν φίλων ἀπροςφώνητον μείναντα. Ἀλλὰ μή, ἅγιέ μου δέσποτα· συνήθως δὲ ἀμνησικάκει καὶ νῦν ἡμῖν· καὶ μαθὼν τὴν αἰτίαν, μὴ ὅτι γε ἄχθου καθ' ἡμῶν, ἀλλὰ καὶ σκυθρώπασον ὑπὲρ ἡμῶν, καὶ εὖξαι διὰ τὸν Θεόν. Ἰούλιος μὴν κατέκλινεν ἡμᾶς· καὶ οὔπω μέχρι καὶ σήμερον (ἔστι δὲ ἀρχὴ τοῦ ὀκτωμβρίου) καθαρὰν ὑγείαν εἴδομεν. Τίνος οὖν οἴει, ἁγιώτατε δέσποτα, ἡμᾶς ἐν τοσούτῳ ἐπιστρέφεσθαι τῶν ἐν βίῳ πράξεων; Ἢ τούτου πάντως καὶ μόνου τοῦ, πῶς ἂν ἀνασφήλωμεν, καὶ ἡμῶν αὐτῶν γενώμεθα· ὃ καὶ

γίνεται διὰ τῶν σῶν ἁγίων εὐχῶν. Διὰ ταῦτα ἐμεμνήμεθα μὲν ἐσαεὶ τῆς σῆς ἁγιότητος, καὶ τὴν τῶν σῶν ἁγίων εὐχῶν ἐπικουρίαν ἀνεζητοῦμεν, ὡς καὶ ὁ καλὸς οἶδε Δομέστικος· γράφειν δὲ οὐκ εἴχομεν, ὅτι μηδὲ ζῆν καθαρῶς. Συνέγνως, οἶδα, ἡμῖν, ἅγιε δέσποτα· ἱλαρύνθης· ἀπέθου τὴν καθ' ἡμῶν σκυθρωπότητα· καὶ δόξα τῷ θεῷ. Εὔχου τοίνυν τὰ ὑπὲρ ἡμῶν, καὶ γενήσεται ἡμῖν εὖ διὰ τῆς σῆς θεοκλύτου εὐχῆς, λιτῆς γενομένης διὰ παρουσίας τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, οἷα οὐδέποτε γέγονεν. Ὁ κόσμος τε γὰρ (ὡς εἰπεῖν) ὅλος παρῆν, ὡς καὶ πάντα στενοχωρεῖσθαι τῷ ὄχλῳ, καὶ τινας καὶ ἐκλιπεῖν τῷ πολλῷ τοῦ σφιγμοῦ. Καὶ δάκρυα κατὰ ποταμὸν ἐχέθησαν· καὶ νηστεία ἐπετάχθη τε καὶ κατεπράχθη· καὶ πάντα προέβη, ὅσα καὶ ἐπὶ Νινευΐταις ἱστόρηται· ταυτὸν δὲ εἰπεῖν, οἷς ἐξιλεοῦται θεός.

$\overline{\kappa\beta}$

Ὡς ἐξ ἡμῶν τὸν δεῖνα· εἰπὲ τῷ δεῖνι· προσαγορευθήτω ὁ δεῖνα. Οὕτω γράφουσιν οἱ γράφοντες λόγοι· οὕτω μνημονεύουσιν οἱ φιλοῦντες φίλου· οὕτως ἐν γραφῆς παρέργῳ τοῦτον τιθέασιν ἢ εἰς ἀντλίαν, ἢ εἰς πρῷραν κατὰ τὸν ἐν τῇ τραγῳδίᾳ Φιλοκτήτην. Μνηστέον γὰρ ἐν καιρῷ πρὸς τὸν τὰ φιλικὰ χωλεύοντά σε. Εἰ δὲ καὶ ὁ προσαγορευόμενος Ἑρμοῦ θεράπων λογίου, βαβαὶ τῆς ὕβρεως. — Φέρε, διέλωμαί σοι τὴν προσηγορείαν. Ὁ προσαγορευόμενος ἢ οὐ πάνυ τι φιλεῖται, καὶ ἀρκεῖ αὐτῷ τὸ γοῦν μνείας τυχεῖν. Ἢ οὐκ ἔστι τῶν περὶ λόγους· καὶ τί πρὸς κῦμα πολλὰ λαλητέον κωφόν; Ἢ πολλάκις ἐπεστάλη αὐτῷ· καὶ τί δεῖ πάλιν καὶ πάλιν γράφειν; Ἢ δεξάμενος συχνὰς τὰς ἐπιστολάς, οὐ τὴν ἴσην ἀντιγραφὴν καὶ αὐτός· τί γοῦν δεῖ κάμνειν τὴν χεῖρα γράφοντα, καὶ προσλαλεῖν τὸν μηδὲ γρῦ ἀντιφθεγγόμενον; Προσάγαγε τοῖς καθ' ἡμᾶς τὴν διαίρεσιν. Μὴ ἔγραψας· οὐκ ἀντεγράψαμεν δέ; Ἢ φής, ὡς οὔτε ἔγραψας, οὔτε ἔγραψα; Καὶ ψευδῆ. Τρίτον γὰρ ἡμέτερον τοῦτο γράμμα πρὸς σέ. Ἐπέστειλας συχνάκις, καὶ λέγειν ναρκεῖς; Καὶ πῶς ὁ μηδὲ τὸ τῆς Ἠχοῦς μιμησάμενος ὑστερόφωνον; Ἀλλ' οὐ τῶν περὶ λόγους ἡμεῖς; Ἀλλ' ὦ λόγοι, καὶ μοῦσαι, καὶ χρόνοι, καὶ ἱδρῶτες· καὶ ἐπὶ πᾶσιν, ὦ διδάσκαλοι, σύμφατε τῷ κυρίῳ Γεωργίῳ καὶ ὑμεῖς. Ἓν ἔτι τῶν δισκελῶν τῆς διαιρέσεως λείπεται. Φιλοῦμεν, καὶ οὐ φιλούμεθα. Ἐντεῦθεν γράφομεν, καὶ ὁ ἀντιγράφων οὐδείς. Λαλοῦμεν, καὶ οὐ προσφωνούμεθα. Τί οὖν σκιὰν διώκεις, Εὐστάθιε; Τί τοὺς χάρτας ἐν κενοῖς ἀναλοῖς; Σχάσον τὸ γραφεῖον· μὴ στώμυλλε. Κἂν που γράφοντί τινι ἐντύχῃς, ἐκείνου τὴν ἐπιστολὴν ἐπιδύου καὶ αὐτός· καὶ προσαγορεύων μόνον ἀρκοῦ. Τί γὰρ ἄλλους μὲν λακωνίζειν χρή, σὲ δὲ μακροὺς κατατείνειν λόγους; Καὶ ἀρκτέον ἐντεῦθεν· προσαγορεύω σε, αὐθέντη μου.

$\overline{\kappa\gamma}$

Ὅμοιον ἐρῶ σοι αἰνίγματι. Ἐν ταυτῷ ἥττημαι καὶ νενίκηκα· κατόπιν ὧν ἔμπροσθεν γέγονα. Λύσω σοι τὸ αἴνιγμα. Ἥττημαι τοῦ κυρίου Δημητρίου ἐπιστολῆς κάλλει τε καὶ τάχει. Κατῆρξε γὰρ γράψας, καὶ γράψας ἔλαμψε. Νενίκηκά σε, κάλλει μὲν γραφῆς οὒ (μὴ οὕτω μανείην, ὥσθ' οὕτω φρονεῖν), τάχει δέ. Κατῆρξα γάρ. Κατόπιν ἦλθον τοῦ γράμματος ἐκείνου· φθάνω τὸ σόν. Ὅρα γοῦν, μή σοι δεήσοι περιπλοκῶν τῷ γράμματι, εἰ μὴ κατὰ πόδας ἐπιστείλῃς, καὶ κἂν γοῦν δευτέρας ἔλθῃς· ὡς ἡμεῖς γε καὶ πλατυτέραν δευτέραν μετ' οὐ πολὺ καὶ τρίτην σοι στελοῦμεν γραφήν· ὡς ἐντεῦθεν δεύτερόν σε ἢ τρίτον διεκπεσεῖν, ὃ σὺ μὴ ἀνάσχῃ. Εἰ δὲ μή, τόπῳ περιγραπτὴν ἐρῶ τὴν φιλίαν· καὶ τοσοῦτον σκώψας πεπαύσομαι.

$\overline{\kappa\delta}$

Κάλλιστε καὶ πανσέβαστέ μου αὐθέντη. Ἡμᾶς, ὡς ἔοικεν, οὐκ ἔστιν ἐπιλιπεῖν ποτε τὰ δυσχερῆ· τὰ μὲν αὐτοῖς ἡμῖν ἐπιγινόμενα, τὰ δὲ καὶ τοῖς ἀναγράπτοις ἡμῖν εἰς ψυχήν· ἐφ' οἷς καὶ αὐτοῖς ὡς ἐπὶ ἡμετέροις κακοῖς διετιθέμεθα, καὶ λυπούμεθα μὰ τὴν κεφαλήν σου, ἣν οὐκ ἂν ὀμόσας ψευσαίμην ποτέ. Μικροῦ δεῖν ὁ χάρτης ἀπεῤῥύη μου τῶν χειρῶν ἐπιόντι μοι καὶ ἀναλεγομένῳ τὰ ἐν αὐτῷ. Καὶ οὐαὶ τῷ φθόνῳ· οὐ γὰρ ἂν ἄλλο τι τοιοῦτον αἰτιάσωμαι. Ἡ δὲ αὐθεντία σου εὐχαριστείτω ἐπὶ πᾶσι τῷ θεῷ, καὶ αὐτὸς ποιήσει — ὀψὲ μέν· ἀλλ' οὖν ἡμεῖς προσκυνοῦμεν τὴν ἀντίληψίν σου, ὑγιαίνοντες μόνον, ὁμοίως καὶ πάντες οἱ τοῦ κελλίου μου.

$\overline{\kappa\varepsilon}$

Μεγάλε, ἐπιφανέστατέ μου αὐθέντα. Γλίσχρως ἔχω τὰ ἐς ἐπιστολήν, καὶ κατὰ τοὺς ἀτέχνους τῶν ζωγράφων διάκειμαι· οἳ οὐκ ἂν γράψοιεν, εἰ μὴ πρὸς ἀρχέτυπον γράφοιεν. Κἀγώ, εἰ μὴ τὰς ὑμετέρας ἐμαυτῷ κατ' ὄμμα προβαλοῦμαι γραφάς, οὐκ ἂν ἄλλως σχοίην γράφειν. Στείλατε οὖν τὸ ἀρχέτυπον, πρὸς ὃ τὸ γραφεῖον κινήσομεν· ὡς ἡμῖν οὐκ ἄλλοθεν ἢ ἐκεῖθεν ἔσται τὸ ἐνδόσιμον· οὐδ' ἂν ἄλλως τὸ ἡμέτερον

ἠχήσῃ χαλκεῖον, εἰ μὴ γραφικὸν ὑμεῖς αὐτόθεν ἄνεμον σχεδιάσετε. Πνεύσατε οὖν, καὶ χαλκὸς ἠχήσει. Ἡ δὲ ἠχὴ φθάσει μέχρι καὶ ἐς ἡμᾶς, καὶ περικτυπήσει τὰς ἀκοάς. Εἰ οὖν μὴ βαρεῖα, πάλιν πνεύσατε, καὶ πάλιν ἠχήσει, καὶ αὖθις, καὶ πάλιν. Καὶ μὴ τοῦτο εἰς ἄπειρον, Χριστὲ βασιλεῦ· συντόμως γὰρ ἴδοιμεν ἀλλήλους καὶ ὁμιλήσαιμεν, μὴ μεσιτεύοντος γράμματος. — Ἀλλ' ὁρᾶτε μοι τὴν δεινότητα τῆς ἐπιστολῆς, ἣ μικροῦ με διέφυγεν; Ἀμφο || Ms. fol. 249. a. τέρους μιᾷ ταύτῃ δεξιοῦμαι. Καὶ τυχὸν μὲν οὐκ ἔξω λόγου, οὓς καὶ τρόπος καὶ χρόνος καὶ πᾶσα περίστασις ἥνωσεν, ἑνοῦν καὶ τῷ γράμματι. Ἀλλὰ σεμνύνω μᾶλλον τὸν χάρτην, καὶ ποιῶ τοῦτον πανήγυριν. Οὐ γὰρ εἷς περὶ τοῦτον πονήσεται, ἀλλὰ χεῖρες τούτου δράξονται τέσσαρες· καὶ ὄμματα περιβλέψονται τοσαῦτα· καὶ χείλη τούτου περιλαλήσουσι τοσαυτάριθμα· καὶ καινὸς οὗτος δρόμος ἐν σταδίῳ τούτῳ βραχεῖ ὀμμάτων ἔσται καὶ χειλέων· κἀνταῦθα καὶ μόνον τὸ τῆς θέας ἔνθεον τάχος ἀνισασθῇ πως τοῖς χείλεσι, προθεούσης μὲν καὶ ἀκαρῆ τὸ θέατρον ὀργώσης περιελθεῖν, παρομαρτούσης δ' ὅμως καὶ συγχρονιζούσης τοῖς χείλεσιν. Ὡς εὐτυχής, ὦ χάρτα. Νῦν μὲν οὖν ὡς τοὺς Μολιονίδας ἥνωσα γράψας· μικρὸν δὲ καὶ ὡς Ὀρέστην διαθήσω καὶ Πυλάδην ὑμᾶς. Καὶ οὕτω γὰρ κἀκείνως μένει τὰ τῆς φιλίας, ᾗ συνετάκητε.

κϛ

Αὐτάρκης μὲν τὴν ἀρχὴν ὁ ἄνθρωπος πέπλασται, αὐτὸς ὀφείλων ἑαυτῷ ἐπὶ ταῖς κατὰ τὸν βίον πράξεσιν ἐπαρκεῖν. Τρυφὴ δὲ παρεισπεσοῦσα τῷ βίῳ, ἢ καὶ ἄλλως νωθρεία τις ἐν τοῖς πρακτέοις καὶ ἀνάπτωσις, τὸ τῆς θητείας ὄνομα παρεισήγαγε· δι' οὗ ἡμεῖς μὲν ἀναπεπτωκότες ἡσυχίαν ἄγομεν, οἱ μισθαρνοῦντες δ' ἀνθ' ἡμῶν εἷλκον τὴν ἀθλιότητα. Ἐπεὶ δὲ καλῶς ἔδοξε τὰ πράγματα ἔχειν, καὶ τὸ θητεύειν φερεπόνως ἔχειν ἡμᾶς ἐποίει, μηχανώμεθα καὶ δουλείαν, ὡς ἂν ἔχοιμεν τὸ θητεύειν αἰώνιον. Ἔστι γὰρ ἡ δουλεία θητεία τις ἄμισθός τε καὶ πολυχρόνιος. Κἀντεῦθεν τὸ τοῦ δουλεύειν εἰς τὸν βίον παρεισεῤῥύη κακόν, φύσει μὲν ἀγνοούμενον, πλεονεξίᾳ δὲ ἀνθρωπίνῃ παρευρεθέν. Ἦν ἂν οὖν ἀρέσκον θεῷ, τὸ τῆς δουλείας εἰς τὴν ἀρχαίαν ἐλευθερίαν ἀποκαθιστᾷν, καὶ τὸ τῆς πλεονεξίας ἁμάρτημα ἐπανισοῦν φυσικῇ ἀδελφότητι. Καὶ γὰρ οὐκ ἂν συγγνώμης εἴημεν ἄξιοι, εἰ θεὸς μὲν ὁ φύσει δεσπότης τοὺς δούλους ἡμᾶς ἀνάγει πρὸς ἀδελφότητα, καὶ καλεῖν ἀδελφοὺς οὐκ ἀπαξιοῖ· ἡμεῖς δὲ τοὺς ἀδελφοὺς ἐκ τοῦ τῆς ἰσότητος ὕψους εἰς δουλείας βάραθρον κατάγειν ἐθέλομεν. Ταῦτα καὶ αὐτὸς ἐννοούμενος, τὰ κατὰ ἀκολουθίαν ἀνθρώποις συνήθη καὶ χρόνῳ πολλῷ κρατυνθεῖσαν περιελθόντα μοι ψυχάρια [ἐλεῶ, ἃ] ἐν αὐτῷ τῷ χρόνῳ τῆς δουλείας ἐτερποῖα τῶν κατ' ἐμὲ τύχης ἐλογίζοντο (φύσει γὰρ ἐλεύθερον ζῶον ἅπας ἄνθρωπος)· καὶ ὁπότε τὴν καθ' ἡμᾶς ζωὴν ἀποθέμενος πρὸς τὴν ἐκεῖσε λῆξιν μετάρω, ὑπὸ μηδενὶ δεσπότῃ δούλους τυγχάνειν βούλομαι. Ἀλλὰ μέχρι μὲν αὐτὸς ἐν τοῖς ζῶσιν εἰμί, μετ' ἐμοῦ ἔσονται, καὶ τῆς ἐξ ἔθους μοι κηδεμονίας ἀξιωθήσονται· ἣν οὐκ οἶδα εἴπερ κρείττονα παρὰ τοῖς οἰκείοις ἂν ἔσχον γονεῦσι ποτέ, οἴκαδε μένοντες. Ὁπηνίκα δὲ τοῦ μεθ' ἡμᾶς μετάξομαι βίου, ἄδεια τὸ ἐντεῦθεν αὐτοῖς ἐνδοθήσεται, διάγειν, ὡς ἐλευθέροις ἐφεῖται Ῥωμαίοις, ἔνθαπερ ἂν βούλοιντο· καὶ οὐδεὶς οὔτε τῶν κατὰ γένους αἷμα σοι προσηκόντων, οὔτε τῶν ἄλλως οἰκείων τε καὶ γνωρίμων, ὡς δούλοις ἐγχειρήσει αὐτοῖς· τοῦ παρόντος ἐγγράφου μου ἀρκέσοντος αὐτοῖς ἀντὶ ἀσφαλείας ἁπάσης πρὸς ἀποτροπὴν παντὸς βουλησομένου καταδουλῶσαι αὐτούς, τοῦ δὲ εἰδέναι ὀφείλοντος, ὅτι σὺν τῷ μηδὲν ἀνῦσαι καὶ τῇ τοῦ μεγάλου θεοῦ ἀρᾷ καθυποβληθήσεται ὡς ἀντιβαίνειν ἐθέλων δικαιοτάτῳ καὶ θεοφιλεῖ οὕτω θελήματι· ὅπερ διὰ πλείονα βεβαίωσιν καὶ τῷ ἱερῷ ἐκδικείῳ ἐμφανισθῆναι ἠθέλησα, ὡς ἂν αὐτόθι ἐπιγνωσθὲν εἰς ἐκδίκησιν τοῖς ἐμοῖς γενήσεται δούλοις, τῷ τε δεῖνα καὶ δεῖνα, εἴ ποτέ τις τυχὸν μετὰ τὸν ἐμὸν θάνατον τῇ αὐτῶν ἐλευθερίᾳ ἐμποδὼν γενέσθαι βούλοιτο.

κζ

Οὐκ εἶπον, καὶ ἰδοὺ τετέλεσται. Τετέλεσται δέ, οὐχ ὅτι περ εἶπον (μὴ οὕτω μανείην, ὡς καὶ τοῖς ἐμοῖς λόγοις οἴεσθαι κατ' ἴχνος συνεκτρέχειν τὰ πράγματα)· ἀλλ' ἔχω μαθὼν τῇ συχνῇ πείρᾳ τὰ κατ' ἐμέ, καὶ μάντεων ὑπέρτερον φθάνων αὐτὰ προσημαίνομαι. Χθὲς κῦμα κωφόν, ἡ τῆς νόσου μοι πλημμυρὶς ἀνεσάλευε, λιγέος ἀνέμου τινὸς ἐκδεχόμενον κέλευθον· σήμερον κατεῤῥάγη τὸ πνεῦμα, καὶ οὐκέτι κῦμα κωφόν, ἀλλὰ βαρὺ βρέμον, τὴν ἐμὴν ταύτην ἐκμαίνει τοῦ κατάῤῥου θάλασσαν. Χθὲς λεπτή τις ὑπέτρεχεν ἐπιφρίξ, ὑφ' ἧς ἠρέμα τὸ τοῦ χυμοῦ βάθος ἐπόρφυρεν ἐπιπολῆς· σήμερον ὁλοὸν ἐγείρεται κῦμα, αὐτὸ μὲν οὔκουν κυρτόν, ἡμᾶς δὲ τῆς ὀρθῆς περικινοῦν στάσεως, καὶ κλῖνον ἐπὶ κεφαλήν. Ἐν προοιμίοις ἡ νόσος ἔναγχος, καὶ παρὰ πόδας ὁ ἀγὼν τοῖς προοιμίοις ἀναλογῶν οἷον νέφος ἔκειτο τῇ προτεραίᾳ, βραχὺ

τὴν διάστασιν, οὐ παχὺ τὴν σύστασιν· ἀλλὰ τὸν ἐκτεφίαν ἡμῖν οἷον ἐξεφύσησεν, ἀλλὰ τὸν χειμῶνα πηλίκον ἐξεῤῥηξεν. Εἰς τί μοι ταῦτα; Κείμεθα νοσοῦντες, αὐθέντα Κομνηνέ, μικροῦ σπινθῆρος ἐκείνου μεγίστην ἡμῖν πυρὰν ὑπανάψαντος πυρετοῦ. Οὐκουν ἔστιν τολμῆσαι τὴν μετακίνησιν, μὴ καὶ λάθοιμεν τοῦ κακοῦ μεταδόντες τοῖς προστυχοῦσι· καθάπερ λόγος ἔχει δρᾶν τὸν κατώβλεπα, θηρίον ἐκεῖνο, οὗ πυρὸς κρατῆρες (εἴποι τις ἄν) οἱ ὀφθαλμοί· οἳ ἅμα τε εἶδον ἄνω, καὶ πῦρ ἠκόντισαν ἢ ἐξετόξευσαν· καὶ τὸ προστυχὸν οὐκέτι ἀκτῖνες περικέχυνται ὀπτικαί, ἀλλὰ φλόγες ὀξεῖαι βάλλουσι· καὶ τὸ βληθὲν κεῖται καυθέν. Ἀναδιδάσκομεν οὖν, ὅπως ἔχει τὰ καθ' ἡμᾶς, τὸν διὰ τὸ φύσει καλὸν τοῦ τρόπου καὶ τὸ τῆς ψυχῆς, μᾶλλον μὲν οὖν τὸ πάντα πάντως καὶ τὸ πάντοθεν εὐγενές, ἐν λόγῳ τιθέμενον τὰ καθ' ἡμᾶς.

κη

Οὐκ εἰς πλῆθος τὸ δῶρον, αὐθέντα Κομνηνέ. Ἐρεῖς δ' ἂν αὐτὸς τυχόν, ὡς εἰς πλῆθος. Καὶ καλῶς ἐρεῖς. Καὶ τοῦτό γε πάντως ἢ σοφίσεις, ἢ καταοσφίσῃ σὺ τὸν διδάσκαλον. Τάλαρος γὰρ οὗτος εἷς, δεύτερος ἐκεῖνος, τρίτος ἄλλος· τρεῖς οὗτοι. Καὶ πλῆθος ἰδού. Ὁ γὰρ τρία ἢ πλήθους ἀρχή, ἢ πλήθους πυθμήν. Εἰς πλῆθος μὲν οὖν διὰ ταῦτα τὸ δῶρον μεταβαλλόμενος διὰ τὴν σὴν σοφιστικήν, ἐρῶ καὶ αὐτός· οὐκουν δὲ καὶ εἰς πληθυσμόν. Ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινόν, ἐὰν (ὡς ἡ παροιμία) ἄνθος ἀνο ῃ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπ' νεάζουσα τρυγηθῇ. Τοὺς μὲν οὖν σικύους τούτους, σιγῶ· καὶ οὐ λέγω, οὔτε ἐὰν σπερματίαι καὶ τοῖς χρῄζουσι φαγεῖν ἀγαθοί, οὔτε ἐὰν τὸ πρόσιον ἀκραιφνὲς σώζωσι χρῶμα· ἀλλ' οὐδ' εἰ φρίσσουσιν ὀξυκόμοις ἀκάνθαις, ὁποῖα δορυφόρους τοῖς ἐπιβούλοις αὐτὰς προβαλλόμενοι. Οὐ μὴν ἀλλ' οὐδὲ τὰ σῦκα ταῦτα σεμνύνω, κἂν τοῦ μέλιτος παραπτύωσι· κἂν γλυκὺ σεσηρότα, καὶ οἷόν τινα ὑπανοίγοντα χείλη, ταυτόν τι καὶ τὸν θεατὴν ἐπ' αὐτοῖς προκαλῆται ποιῆσαι. Ἔπηλυς ἡ ὀπώρα, καὶ τῆς ἐμῆς ξένη γῆς, καὶ οὐκ ἰθαγενής· ἐμὴ δ' ὅμως. Παρὰ φίλου γάρ μοι τὸ δῶρον· ἐγὼ δ' ἄλλος ἐκεῖνος. Ὁ δέ γε τῆς Περσαίας καρπός, ἀλλ' οὗτος αὐτόχθων ἐστίν, ἐμὸς αὐτόχθων ἐστίν· γέννημα γῆς ἐστιν ἐμῆς· κατοικίδιος ὀπώρα, οὐ μεταφορητή, οὐ πολλῶν πειραθεῖσα χειρῶν· κορίσκη σώφρων, χθὲς ἀποσπασθεῖσα τῆς μητρός, ἀχνυμένης τάχα, ὅτι ταύτης ἐστέρηται· ἄρτι τὴν τροφὸν παραμείψασα, ἄρτι τοῦ θαλάμου προκύψασα· οὐ πλανῆτις, οὐκ ἀγοραία, οὐ δημόσιον ἀγαθόν· ἐμὸν τὸ μέλημα· χειρὸς ἐμῆς μέλημα. Καρπὸς οὗτος, ὁρᾷς, ὅπως, ὅτε τοῖς ὁμογενέσιν ἡ τῶν φύλλων καταῤῥεῖ οὔλη, τῇ λάχνῃ αὐτὸς πυκαζόμενος, ἴουλον πρῶτον ἐκφύων, ὅτε τοὺς κατ' αὐτὸν τὸ γῆρας οἴχεται κατασπᾶσαν· νεάζων, ὅτε πᾶς τοιοῦτος ἄλλος ἐστὶν ἐν παρακμῇ· μᾶλλον μὲν οὖν οὐδαμοῦ· ἐνεαρίζων ἐν μετοπώρῳ, ἢ πρόδρομος τῶν λοιπῶν, ἐὰν ἄρτι παρὰ τοῖς προθύροις θῶμεν εἶναι τοῦ ἐνιαυτοῦ· ἢ ἐὰν αὐτὸς περιπλόμενος ἐκτετέλεσται, ἐπίγονος οὗτος καρπός, ἔκγονον ὀψίγονον εὐγενές, ἐνιαυτοῦ τηλύγετος παῖς. Εἰ δέ τι καὶ ψόγου μικρὸν ἐπισύρεται, ἀλλ' ἡ φυταλία μοι πάγκαλος. Πρωτοτόκον ἐστί μοι τὸ δένδρον· ἄρτι πρώτως ὀπώρας μήτηρ ἐκλήθη· ἄρτι καρπὸν προεβάλετο. Οἷον οὖν ἐς νέωτα προενέγκῃ καρπόν, ἐντεῦθεν ἔστιν τεκμήρασθαι. Δέξαι γοῦν τοῦτον πρῶτον, ὡς πρωτογέννημα, ὡς ἀπαρχήν, ὡς ἀρχήν, ὡς διαθέσεως οὐ φαύλης θαλύσιον. Εἰ δέ γε θελήσεις, ὅπερ οὐκ ἂν βουλοίμην, τοῦ λόγου κατανεανιεύσασθαι, εὐπορήσεις μὲν εὖ οἶδ' ὅτι (πολὺς γάρ σοι ἐπέων νομός· στρεπτὴ δ' ἀνθρώπου γλῶσσα καθ' Ὅμηρον)· ἐγὼ δὲ μᾶλλον ἂν ἐνέγκοιμι, αὐτὸς οὐ καλῶς ἀκούων, ἢ τὴν τρόφιμόν μου μανθάνων ὀπώραν οὐ καλῶς ἀκούουσαν.

κθ

[[Τῷ δεσπότῃ καὶ τῷ φουρνητάρῃ. Ms. fol. 249. b.

Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος, καὶ τὸ ἑχόμενον, ὡς λόγιοι ὑφηρπάσατε. Ἐξέφηνεν ὁ τοιοῦτος καὶ ὑμᾶς· οὐκ οἴδαμεν, εἰ καὶ χείρονας· ὀλιγώρους δὲ πάντως ὅτι μάλιστα καὶ μικροφυεῖς τὴν ψυχήν· οἳ παραστάται τὰ εἰς φιλίαν ὄντες, εἶτα μικρόν τι διαλιπόντων ἡμῶν καὶ ἀποστρεψάντων ἀλλαχοῦ τὴν θέαν, ἠφαντώθητε δυσχεράναντες, ὅτι μὴ τοὺς ὀφθαλμοὺς ἐφ' ὑμᾶς μόνους ἐπεστηρίσαμεν, ὦ ἄνθρωποι ἀξιόλογοι. Τί δὲ οὐ στρεπτὸς ὁ τράχηλος, ὡς ὧδε καὶ ἐκεῖ μεταστρέφεσθαι; Ὀφθαλμοὺς δὲ τί ποτε ἡ φύσις ἡμῖν δύο ἀπεκλήρωσεν, εἰ μὴ πρὸς διάφορα μερίζειν τὴν θέαν ἐμέλλομεν, ἀλλὰ πρὸς ἕν τι ἀπερείδειν ἀεὶ τὰς τῶν ὀμμάτων βολάς; Τί δὲ μὴ καὶ τοὺς πόδας ἀξιοῦτε στηρίζειν, ἢ καὶ εἰς μίαν τινὰ ὁδὸν ὑποτείνεσθαι, καὶ δι' αὐτῆς ἀνακάμπτειν διηνεκῶς; Ἄγε δὴ καὶ τὰς χεῖρας τῶν διαφόρων ἐπίσχετε πράξεων, καὶ τὸ πολύχρηστον ὄργανον εἰς μονοχρηστίαν τινὰ περιστήσατε. Ἦ γὰρ οὐ τοιαῦτα καταμηχανᾶσθαι τῆς φύσεως θέλετε; Ἦ πρὸς μόνους ἑαυτοὺς ὑμᾶς ἀπασχολεῖν βούλεσθε, τυραννοῦντες τὴν λαλιάν, καὶ μόνον οὐ βοῶντες ἡμῖν λάλει καὶ

μόνοις· καὶ ὁ τῆς Μούσης κάλαμος ἀγέτω μὲν ἀπὸ τῶν ἄλλων σχολήν, ἐμπνείσθω δὲ εἰς μόνην ἡμετέραν ἀκοήν. Ἀδικεῖτε, ταῦτα λέγοντες, οὐ μόνον τὴν ἑταιρίαν, ἀλλὰ δὴ καὶ ἡμᾶς· ἐκείνους μέν, ὅτι ἀπροςφωνήτους ἐᾶτε, οἷς βούλεσθε· ἡμᾶς δέ, ὅτι πρὸς ἀφιλίαν ἕλκετε. Εἰ δέ ποτε προςφωνούμενοι καὶ ἐν ἑτέρων γραφαῖς, δυςχεραίνετε, καὶ παραῤῥιπτεῖσθαι νομίζετε, ἀξιοῦντες ὁ καθένα προςλαλεῖσθαι ἰδιαίτατα γραφῇ, ὅτι καὶ ὑμεῖς οὕτω φατὲ δεξιοῦσθαι ἡμᾶς, οὐδ' ἐνταῦθα καλῶς λογίζεσθε. Σκέψασθε γὰρ τὸ τοῦ πράγματος ἔξω τόπου. Τὸ μὲν υμῶν ἑκάστου πρὸς ἕνα ἔρχεται ἰδίᾳ κατ' αὐτόν, ἐμὲ δηλαδή· καὶ πάντες (τραγῳδικῶς εἰπεῖν) ὥστε τοξόται τοῦ σκοποῦ ἐμοῦ καταστοχαζόμενοι, πέμπετε τὰς γραφάς. Εἰ δὲ καὶ ἐγὼ πρὸς ἕκαστον ἐμαυτὸν ἐπιμερίσω τοῖς γράμμασιν, ὑμῶν ἂν εἴη μετρῆσαι καὶ τὸν καιρὸν καὶ τὰ γράμματα. Τάχα γὰρ οὐδὲν ἄλλο μοι διὰ βίου ἔργον ἔσται, ἢ γραφὰς διαπέμπεσθαι. Δότε μοι πυθέσθαι πρὸς ὁμοιότητας ἔργου. Περιεστοίχισέ τινα ὄχλος μάλα πολύς· καὶ ἐλάλει οὐχ ὁ μὲν τοῦτο, ἕτερος δέ τις ἑτεροῖον, καὶ ἄλλος ἄλλο, καὶ οἱ πάντες ἀνόμοια· ἀλλὰ τὸ τοῦ λόγου τέλος εἰς νοῦν ἕνα ἀπένευε. Τί δή ποτε οὖν ὁ τοιοῦτος ἄνθρωπος ἑκάστοις ἐπιμερίζει τὸν λόγον; Οὐκ οἶμαι, εἰ μὴ τὸν πνεύμονα πονεῖν ἕλοιτο· ἀλλ' ἑνὶ λόγῳ τοὺς πάντας ἀμείψεται. Οὕτω καὶ αὐτός, εἰ μὲν ὑμᾶς ἑώρων διασκιδναμένους εἰς ἑτεροίους λόγους, εἶχον ἂν πάντως ἀνάγκην, πρὸς ἑκάστους ἰδίᾳ λαλεῖν. Ὅτι δέ μοι πάντες τὸ αὐτὸ ἀναφωνεῖτε (λύπην, ἐφ' οἷς ἄπειμι· χαράν, ἐάν ποτέ με ἴδητε· ὑγείας εὐχήν, καὶ ὅσα ἄλλα τοῦ στοίχου τούτου), περικόπτετέ μοι τὰς πολλὰς γραφάς, καὶ τὴν πολυλογίαν συντέμνετε. Καὶ διὰ ταῦτα συνάγω ὑμᾶς τῷ λόγῳ εἰς ἕν· καὶ οὔτε συχνὰ γράφω, οὔτε πολλά, καὶ οὐδὲ πρὸς ἅπαντας· καὶ οὐδὲ ἔχω ἄλλως εἰπεῖν, κἂν εἰ καὶ πολλὰ μέμφοισθε. Σκέψασθε γάρ, ὁπόσος τις χαρτίων ἐπιστοιβασθήσεται σφάκελος, ἐὰν ἐπιστέλλειν τοῖς καθένα ὑμῶν ὅσαι ἡμέραι βουλοίμην· τοῖς πολλοῖς Μιχαήλ, τοῖς τοσούτοις Ἰωάννais, τοῖς Βασιλείοις, τοῖς λοιποῖς, ὧν τὰ ὀνόματα στενοχωρεῖ μοι τὴν γλῶσσαν, ἐκπηδῶντα τῆς ψυχῆς, καὶ διὰ τῶν χειλέων ὅσα καὶ θυρῶν προϊέναι θέλοντα. Ἀλλά με τυχὸν μονόστιχον ὁ καθένα ἐπιστόλιον ἀπαιτήσετε, ὡς καὶ ἐκεῖνο ἀρκοῦν ἀποπλῆσαι τὴν τῆς προςλαλιᾶς ἔφεσιν; καὶ εἰς ταυτὸν ἥκετε πάλιν. Ἀνάγκη γάρ με τῶν ἄλλων ἀφέμενον μόνου τοῦ ὑμῖν καὶ οὕτω γράφειν γίνεσθαι, ὅτι καὶ ὑμᾶς εἰς χορὸν ἡ φιλία πολυχώρητον ἀπεκύλισεν. Ἢ ἐπ' ἄλλων μὲν σωμάτων μικρὸν ἐπὶ σμικρῷ τις θαμὰ κατατιθέμενος ταχὺ μέγα ἐποίησε τὸ ἐπισύνθημα· ἐνταῦθα δὲ τὰ τῆς ἐπιθήκης ἄλλως ἔχουσι. Καὶ μὴν καὶ οἱ στιχηροί, ὧν γράμματα, εἴτε ὄρχατοι, εἴτε ὄγμοι (καθ' ὑμᾶς εἰπεῖν), τοὺς τῆς Καλλιόπης — πυκνοὶ ἐπισυντιθέμενοι — μικροὺς βίβλων λειμῶνας ἠπλώσαντο. Ὦ Καλλίμαχε πολέμαρχε, ὡς οὐδὲν ἄρα ἦς παρὰ τοιούτοις κριταῖς, πολλὰ μὲν βέλη πρὸς τῶν βαρβάρων δεξάμενος, ὡς εἰ καὶ πρὸς δουροδόκην τινὰ ἢ φαρέτραν ἐστέλλοντο, μὴ τοσαῦτα δὲ αὐτὸς ἐκείνοις ἀντεπαφείς. Ἀχιλλεὺς δὲ ὁποῖός τις ἂν τοῖς τοιούτοις κριθήσεται, νιφάδας βελῶν καταπεμπομένων βλέπων, αὐτὸς δὲ μίαν μελίαν ἀντιπέμπων αὐτοῖς. Εἶτα σὺ μέν, ὁ δεῖνα, καὶ ἕτερός τις, καὶ τρίτος ἄλλος, καὶ λοιποί τινες ὁ καθένα βραχύ τι γράψαντες ἀναπαύσεσθε· ἡμᾶς δὲ ἀξιώσετε διὰ βίου κυπτάζειν περὶ γραφάς. Καὶ ὑμεῖς μὲν λακωνίσετε· ἡμεῖς δὲ λόγους κατατενοῦμεν μακρούς. Τί δὲ μὴ καὶ ὑμεῖς ὡς ἀπὸ συνθήματος τὰ γραφεῖα χειρισάμενοι πάντες, καὶ τόμους ἐπιστολῶν καταρτίσαντες, εἶτα εἰς φόρτον σκευασάμενοι διαπέμπεσθε, ἵνα καὶ ἡμεῖς ἀνταποδιδόντες τὰ ἴσα, εἰς τὰ ὅμοια διασκευάζωμεν ἑαυτούς; Ἔοικε δὲ ὑμῖν μὲν κεῖσθαι νόμος, ἕκαστον ἐν μέρει λαλεῖν, ὅτε καὶ βούλοιτο· ἡμᾶς δὲ ἀεὶ καὶ πρὸς πάντας γράφειν, καὶ εἰς λαλιὰν μακρὰν γυμνάζεσθαι· εἰ δὲ μὴ οὕτω ποιοῦμεν, μιμεῖσθαι. Ἀκούετε ὀνομάτων, οἷς ῥᾳδίως μετρητοῖς ἐκ πολλάκις τοσούτων ἔδει τὰς ἀπαιτουμένας ἐπιστολὰς διαπέμπεσθαι. Προςαγορευθήτω ἀφ' ἡμῶν ὁ πανεντιμότατος ὁ δεῖνα, ὃν οὐκ οἶδα, ποῦ ποτε ἐντρανίσας ἀναλαμβανόμενον ὄψομαι· διὸ οὐδὲ τὴν κλῆσιν τῆς εἰς τιμὴν ἀναβάσεως ἐξεθέμην, ἀγνοῶν τὴν ἀνύψωσιν. Ὁμοίας προςαγορείας καταξιώσατε καὶ τὸν κάλλιστον ἐν φίλοις τὸν δεῖνα· ὃς οἶδα μὲν ὡς δυςχεραίνει, μὴ προςφωνηθεὶς ἐπιστολικῶς· στέργειν δὲ ἀξιῶ, καθὰ καὶ ἡμεῖς. Ἅπαξ γὰρ ἐλάλησε, καὶ ἅπαξ ἤκουσεν. Ἡμεῖς δὲ οἱ γέροντες τὸ ἔθος οὐχ ὑπερέβημεν, ἀλλ' ὑπερανέβημεν. Πρόςρησις φιλικὴ γενέσθω καὶ πρὸς τὸν θεοσεβέστατον ἔκδικον τὸν δεῖνα, ὃς καὶ ἀξιωθήτω ἡμῶν ὑπερεύχεσθαι. Χαιρετισμὸν δι' ὑμῶν ἀποστέλλω καὶ τῷ ἡγιασμένῳ δεσπότῃ μου τῷ δεῖνι, περὶ οὗ καὶ μαθεῖν ἀξιῶ ἢ ἐξ ἐκείνου, ἢ ἀφ' ἡμῶν, πῶς ποτε ἔχων ἐστί. Τῶν λογιωτάτων γραμματέων, τοῦ ἁγιωτάτου δεσπότου, τῶν φιλτάτων μοι Γρηγορίων ὁ μὲν εἷς, ᾧ καὶ πλεῖόν τι ἐσμὲν προςήκοντες διὰ τὸ ἐντόπιον, ἠξίωσε τάχα ἡμᾶς λόγου βραχέος διαμηνυσάμενος γράφειν αὐτῷ, καὶ ταῦτα ὀκνοῦντι ποιῆσαι τὸ ὅμοιον· ἡμεῖς δὲ προςαγορείας ταύτης δι' ὑμῶν ἀνταξιοῦμεν αὐτόν, μεῖζόν τι ποιοῦντες.

Τὸ μὲν γὰρ ἡμέτερον ἰδοὺ βέβαιον· τὸ δὲ ἀπ' αὐτοῦ τάχα ὁ ἐλθὼν εἰς ἡμᾶς ἐπλάσατο, οἰκειούμενος ἑαυτῷ μεγάλου ἀνθρώπου γνωριμότητος. Ὁ δὲ ἕτερος κύριος Γρηγόριος, καὶ ταῦτα Μουσῶν Ἀττικῶν ἔκγονος ὢν καὶ γῆς, ἐξ ἧς οἱ λόγοι, οὐδενὸς οὐδὲ τοιούτου ἡμᾶς ἠξίωσεν οὐδὲ ἐν προσχήματι. Ἡμεῖς δὲ ἀσπαζόμεθα προςαγορευτικῶς· ὁμοίως καὶ τὸν δεῖνα. Προςείπατε καὶ τοὺς ἐλάττονας δομεστίκους, τὸν δεῖνα καὶ δεῖνα. Καὶ οὗτος μὲν πολλάκις ἔγραψεν ἡμῖν, καὶ μεμνῆσθαι ἡμῶν ἔδειξε· καὶ τύχοι μνήμης θείας ἐπ' ἀγαθῷ· ἐλεήσαι αὐτὸν ὁ θεός· καὶ γραφέτω πάλιν ἔχων καλῶς, πεπληροφορημένος, ὅτι οὐκ ἐπιλήσμονες φιλίας ἡμεῖς, ὡς διαδείξει καιρός· ὁ δὲ ἕτερος καὶ ὀνειδισθήτω, οἷα μηδέποτε μνησθεὶς ἡμῶν. Εἰ δὲ διὰ τοῦτο ἡμεῖς ἀνάξιοι μνήμης, ὅτι μὴ κατ' ἐκεῖνον τὸν πρὸ ἡμῶν μακάριον ἀρχιερέα βρίθομεν ταῖς χερσίν, ἀλλ' ἀναμνησθήτω, ὅτι παλαίτατος ἀφ' οὗ χρόνος καὶ ἡμᾶς ἐν τῇ τοιαύτῃ ἀνομοιότητι καὶ ἠσπάζετο καὶ ἐγνώριζε. Τί δὴ νῦν, εἰ μὴ λύπη τις ὑποσμύχεται, τὸν δεῖνα μικροῦ ἂν ἐξελαθόμην προςφωνῆσαι; Διατί; Ὅτι καὶ αὐτὸς ἡμᾶς. Κατάρχω δὲ ὅμως, αἰδούμενος ἀπ' αὐτοῦ· ἠγγάρευσα δὲ ἂν αὐτὸν λαλιὰν ἐξ ὑμῶν προςαγορευτικὴν κομίσαι καὶ τῷ οἰκείῳ ἀδελφῷ, τῷ λογιωτάτῳ καὶ ἐνεργεστάτῳ καὶ καλλίστῳ φίλῳ. Ἀλλ' ὁ μὲν οἶδα ὡς ὀκνήσει ἀκκιζόμενος· καὶ (οἷος αὐτὸς) τὰ πολλὰ παραιωρήσει μέν, τὰς χεῖρας ὑποσείων ἠρέμα ἐν τῷ βαδίζειν, παρακλινεῖ δὲ καὶ τὴν κεφαλὴν ὡς οἷα τρυφερευόμενος, καὶ παραδραμεῖται καὶ αὐτὸν τὸν ἀδελφόν. Ὑμεῖς δὲ ἀναπληρώσατε κἀνταῦθα τὸ αὐτοῦ μὲν ἔλλειμμα καὶ ἡμέτερον θέλημα. Οἴδατε, οἷος φίλος ἡμῖν ὁ δεῖνα· ὅτι δὲ καὶ γέμει τῶν πιττακίων αὐτοῦ ὁ ἡμέτερος κόλπος, ἰδοὺ ἀναδιδάχθητε καὶ αὐτό. Καὶ ὅμως ἀρκέσει αὐτῷ, προςαγορευθῆναι ὑφ' ἡμῶν. Αἴτιοι δὲ ὑμεῖς, τὸ τῆς γραφῆς πλῆρες εἰς ἑαυτοὺς καθελκύσαντες. Τί δὲ ὁ δεῖνα, ὁ τὰ πάντα καλός; ὁ καλὸς παπᾶς; ὁ καλὸς ῥήτωρ; ὁ πάνσοφος; Πόσων γραφῶν ἡμετέρων ἄξιος, ὅτι καὶ αὐτὸς οὐκ ἀνῆκεν, εἰς ἡμᾶς τοῦτο ποιῶν; Ἀλλ' εἰς ἡμετέραν πομπὴν εἰπεῖν καὶ ταυτὸ θρίαμβον, ἀρκεσθήτω προςαγορευόμενος· μὴ καὶ ὄκνος δὲ αὐτοῦ καθίκοιτο ἐπιστέλλειν, καθὰ καὶ πρότερον. Τέως μὲν γὰρ προςηγορεύσαμεν· ἄλλοτε δὲ καὶ πλατὺ γράψομεν. Τὸν ὑπέρκαλον φίλον ἡμῶν, ὦ Κυριωάννη, τὸν αὐθέντην σου, ἄσπασαι ἀφ' ἡμῶν, καὶ ἀξίωσον μεμνῆσθαι ἡμῶν· καὶ σὺ δὲ τὸν οἰκεῖον, ὦ κῦρ Βασίλειε, τὸν δεσπότην μου, τὸν δεῖνα μαΐστορα. Εἰ μὲν καὶ ὀνειδίσεται τῆς εἰς ἡμᾶς ἀμνηστίας, οὐ λυπήσετε ἡμᾶς· κάλλιον δὲ ποιήσετε, προςειπόντες τὰ || συνήθη. Θέλω δὲ ὑμᾶς ἐξειπεῖν τῇ αὐτοῦ ἀγάπῃ, ὅτι φορτικὸν οἶμαι τὸ μὴ γραφῆς ἀξιοῦν (Ms. fol. 154. a.) τὸν μεγαλοδοξότατον Δούκαν ἡμῶν, τὸν φίλον αὐτοῦ. Ἐὰν δὲ τυχὸν εἴπῃ οὕτω ποιεῖν, τότε δὴ βαρεῖς ὑμεῖς ἐπιπεσόντες αὐτῷ ἐμπλέξατε, καὶ πλατύνατε τὸν ὀνειδισμόν, φάμενοι, διατί μὴ καὶ ὁ Θεσσαλονίκης τοῦτο ἐγίνωσκεν. Ἐγίνωσκε δὲ ἄν, ἐὰν σὺ μὲν πρὸς τὸν φίλον ἔγραφες, αὐτὸς δὲ ἐξ ἐκείνου τοῦτο ἐμάνθανε. Νῦν δὲ ἢ οὐ γράφεις τῷ φίλῳ, καὶ κακὸν πρᾶγμα ποιεῖς· ἢ γράφων ἀμνηστεῖς τοῦ Θεσσαλονίκης· καὶ οὐδὲ τοῦτο καλόν. Ὁ Περατικὸς μέγας παπᾶς μαθέτω, ἡμᾶς μὲν καλῶς ἔχειν, τὸν δὲ υἱὸν αὐτοῦ περιαῤῥωστεῖν· καὶ εὐχέσθω ὑπέρ τε ἡμῶν καὶ ἐκείνου. Εἰ δὲ θέλων ἐλθεῖν εἰς ἡμᾶς πτοεῖται τὸ τῆς θαλάσσης ὄχημα, ἡμεῖς ἄλλό τι τό γε νῦν ποιῆσαι οὐκ ἔχομεν, ἕως ἂν τεκτήνηταί τις ἡμῖν ἵππον δούριον, ἢ καὶ εἰς τέτρωρον ἐλεφάντων εὐπορήσωμεν. Ὁ τοῦ δεῖνα πατὴρ εἴθε ὑγιαίνοι. Καὶ ἀναδιδαχθήτω, οὕτως ἔχειν καὶ ἡμᾶς, θεοῦ βοηθοῦντος. Τοὺς σοφωτάτους θεοφιλεστάτους μου ἀδελφοὺς προςκυνῶ, τὸν δεῖνα καὶ δεῖνα (ποίοις δὲ τῶν ὀνομάτων ἀγορεύσω αὐτούς, ἀγνοῶ· ἀναδιδαχθείην δὲ τὰ κάλλιστα)· ὡςαύτως καὶ τον καλόν μού ποτε ἀρχιδιάκονον. Οὐκ ἂν δὲ ἐνταῦθα λαθοίμην οὐδὲ τοῦ θαυμασιωτάτου δευτερεύοντος, ἀλλὰ προςκύνησιν καὶ αὐτῷ δι' ὑμῶν διαπέμπομαι. Φιλικῆς προςρήσεως ἀναμνήσατε καὶ τὸν ** ἀῤῥ ** βινδηνόν (εἴθε καὶ μὴ λύσοι τὴν γλῶσσαν, καὶ οὔτε ἡμᾶς ἀφήσει τοῦ κατακλῦσαι, καὶ ἡμεῖς αἰσθησώμεθα)· ὁμοίως καὶ τὸν ἀδελφὸν καὶ ποτε σύντροφόν μου τὸν δεῖνα, τὸν καὶ αὐτὸν ἐκ τῆς ἑβδομάδος μου· ἔτι γὰρ οἰκειοῦμαι αὐτήν, καὶ οὐδὲ παύσομαι οἰκειούμενος, καὶ ἐπ' αὐτῇ καυχώμενος. Προςφωνήσατε δικαίῳ ἡμῶν καὶ τοὺς τοῦ μακαρίτου Λήμνου· καὶ τοὺς καλούς μού ποτε συντρόφους, τοὺς τῆς εὐεργέτιδός μου ἁγίας Εὐφημίας κληρικούς· οἳ καὶ γινωσκέτωσαν, ὅτι, ὥςπερ οὐκ ἐμαυτοῦ, οὕτως οὐδὲ αὐτῶν ἐπιλανθάνομαι. Εἰ δὲ μὴ καὶ πρὸς πρᾶγμα ἐκφαίνειν τοῦτο δεδύνημαι, οὐδὲν θαῦμα· οὔπω γὰρ καιρός. Τὸν πανεντιμότατον δεσπότην μου τὸν σακελλίου καὶ παρὼν ἐσεβαζόμην, καὶ νῦν οὐκ ἄλλως διάκειμαι. Δηλώσατε οὖν τοῦτο τῇ αὐτοῦ τιμιότητι προςκυνητικῶς. Γινωσκέτω δέ, ὅτι, περὶ οὗ παρηγγέλθημεν, ζητοῦντες οὐκ ἀναπίπτομεν· ὃ δὲ θέλομεν, οὐχ εὑρίσκομεν· ἀλλὰ ἐλπίδας μὲν οὐ σταθερὰς ἔχομεν ἐξευρίσκειν, ἐντελέστερον δὲ οὔπω οὐδὲν ἔχομεν. Ὁ λογιώτατος διδάσκαλος ὁ δεῖνα εἰ καὶ κατανωτισάμενος ἡμᾶς ἔοικε, λέγειν αἰδὼς ἐν ὀφθαλμοῖς· ἀλλ' ὑμεῖς ἡμετέραν αὐτῷ διακομίσασθε πρόςρησιν, ἅμα

καὶ ὑπολαλοῦντες ὀνειδιστικώτερον, ὅτι οὐκ εἶναι πάντη ψευδὲς ἔοικε τὸ τοῦ Εὐσταθίου ὑπονόημα, ὅτι τὰ τελευταῖα τοῦ φίλου ἀποθύμια ἦσαν αὐτῷ· οὐ γὰρ ἂν εἰς τοσοῦτον ἐσίγησε, καὶ τὸν πάνυ γνώριμον οὕτω ταχὺ ἀπέμαθεν. Ἔδει με τοῦ ποτὲ ἐν τοῖς πρώτοις τῶν φίλων, τοῦ λογιωτάτου δεῖνος, μηδὲ μνησθῆναι τὸ σύνολον, πρᾶγμα παθόντος ἢ καὶ ποιήσαντος ἡμῖν ἀκαραδόκητον, τὴν εἰς τοσοῦτον λήθην καὶ τοσαύτην σιγὴν καὶ ἀνάπτωσιν. Τί γὰρ καὶ προβαλεῖται, εἰ μὴ τυχὸν τῆς Μεγαλοπόλεως γέγονεν ἔκδημος; Τοῦτο γὰρ καὶ μόνον αὐτῷ πρὸς ἀπολογίαν ἱκανὸν ἐκκείσεται. Ἀλλ' ἐγὼ μέμνημαι, καὶ οὐδὲ παύσομαι οὕτω ποιῶν· καὶ γενέσθω τοῦτο δῆλον τῇ ἀγάπῃ αὐτοῦ. Ἀκούετέ που περί που τὰ τοῦ φόρου νοτάριον τὸν δεῖνα, γνώριμον ἡμῖν ἐκ παλαιοῦ. Οὗτος οὐκ ὤκνησε δι' ἐπιστολῆς προσφωνῆσαι ἡμᾶς. Ἀμειβόμεθα οὖν καὶ ἡμεῖς αὐτὸν τοῖς ἴσοις διὰ τῆς ὑμετέρας ἀγάπης. Νομίζω, τοῖς πανιερωτάτοις δεσπόταις μου, τῷ δεῖνι καὶ δεῖνι, διαλείπειν ἄρτι τὴν ἐν τῇ Μεγαλοπόλει διατριβήν, στοχαζόμενος ἀφ' ὧν εἰκός· εἰ δὲ ἔχει τούτους ἡ μεγίστη τῶν πόλεων, προσκυνῶ καὶ δηλοποιῶ δι' ὑμῶν, ὅπερ αὐτοὶ διὰ τὴν κατὰ θεὸν ἀγάπην ὑπὲρ ἡμῶν εὔχονται, τὴν ἐν τοσαύταις μερίμναις καὶ κόποις θεόθεν ὑγείαν καὶ ὑπομονήν. Ἀλλ' ἡμεῖς πλεονάζομεν ἰδοὺ κἀνταῦθα τὴν φιλίαν, καὶ προσλαλοῦμεν τὸν ἄφιλον. Εἰσὶν ἡμῖν καὶ ἕτεροι Ἀσκληπιάδαι φίλοι. Ἀλλὰ τούτων ὁ μὲν δικαίως προσαγορεύεται παρ' ἡμῶν, ὁ δεῖνα· πολλάκις μὲν γὰρ ἔγραψεν. Ὁ δὲ δεῖνα ἐς κόρακας, ὁ κακός· οὐδὲ γάρ, ὅτι ζῇ, ἀνέμνησεν ἡμᾶς. Τάχα δέ, εἰ παρῆν ὁ θεῖος αὐτοῦ, ὤθησεν ἂν αὐτόν. Ἦν δὲ καὶ τότε χωρὶς ἐκείνῳ. Ὃν ἀφῆκα θεοφιλέστατον διδάσκαλον, τὸν Ῥαδηνόν, οἶμαι καταμέμφεσθαι ἡμῶν, τὸ μὴ γράψαι αὐτῷ. Ἀλλ' αὐτὸς μὲν ἀναμνησθείς, ὅτι οὐ τοιοῦτος εἰς ἡμᾶς, παύσει τὴν μέμψιν· ἡμεῖς δὲ καινίζοντες τὴν ἀγάπην, ποιοῦμεν, ὅπερ οὐκ ἐκεῖνος, προσαγορεύοντες αὐτόν. Ἀλλ' οἷος με διεξέφυγε παρὰ βραχὺ Ῥαδηνός, ὁ κάλλιστος φίλος, ὁ καὶ γλυκὺς εἰπεῖν, καὶ πρᾶξαι ταχὺς καὶ ἐπιτυχής· ὁ θερμὸς εὐεργετῆσαι, καὶ εἰς ἀντιληπτικὴν χειραγωγίαν εὔδρομος. Ἀλλ' εἰς τοῦτον οὐδὲν χρὴ κοπωθῆναι ἡμᾶς. Ἀλλ' ὁ κύριος Στέφανος τὴν ἐξαδελφότητα δυσωπηθείς, ἀμυδρᾷ μὲν καὶ φειδομένῃ τῇ φωνῇ, προσαγορεύσει δ' οὖν, ἀφ' ἡμῶν ἀπαγαγὼν τὴν χεῖρα βραχύ τι τοῦ στόματος. Ὁ Ἀντιοχείτης εἰς μελαντηρίαν ἐπὶ τούτοις βάπτεται, πολὺν προβεβλημένος τοῦ προσώπου τὸν ὠχρόν, καὶ τοὺς ὀφθαλμοὺς ἀγριοῖ συνάγων εἰς ὀργήν, καὶ παραβλέπει τὴν ἐπιστολήν, ποῦ ποτε αὐτῆς κεῖται. Καὶ ἰδοὺ καὶ αὐτὸς καὶ ἐχέτω καλῶς, βοηθούμενος ἐκ θεοῦ, καὶ μεμνήσθω ἡμῶν. Ἐὰν δὲ προσκυνήσῃ ἀφ' ἡμῶν τὸν παναγιώτατόν μου δεσπότην, τὸν πατριάρχην Θεουπόλεως, καὶ ἐξαιτήσηται ἡμῖν εὐχήν, εὐχαριστοῦμεν αὐτῷ, ὡς ἀντὶ βραχυτάτης ταύτης ἐπιστολῆς ἀποστολὴν ἀντιδόντι ἁγιασμοῦ. Πραγμάτευσαί μοι καὶ σύ, ὦ κύριε Ἰωάννη, εὐχὴν ἁγίου ἀνδρός, τοῦ Τετραγωνίτου, διὰ μέσου τοῦ φίλου, τοῦ μαθητοῦ ἐκείνου· ὃν καὶ πρόσειπε ἀφ' ἡμῶν. Οὕτω δὲ καὶ τὸν γενόμενόν ποτε Ξανθείας· εὑρήσεις γάρ που καὶ αὐτόν, καὶ ἀναδιδάξεις, ὅτι ὑγιαίνομεν, μεμνημένοι αὐτοῦ, ὅπερ διὰ γραφῆς ἡμετέρας μαθεῖν ἠξίωσεν. Εἰ δὲ καὶ τὸν δεῖνα ἰσχύσεις που ἰδεῖν, μὴ ὀκνήσῃς προσειπεῖν, ὅτι μηδὲ αὐτὸς ὤκνησεν ἐγγράφως μεμνῆσθαι ἡμῶν. Ὀκνεῖτε οἶμαι τὰς ἀγγαρείας ταύτας, ὦ σπουδαιότατοι, καὶ ἀναπίπτετε· καὶ ταῦτα οὔτε σταδίοις οὔτε μιλίοις ὁριζομένας, ἀλλὰ τὰς πλείους ἐνοδίους γενησομένας. Ἐὰν δὲ ὑμεῖς οὕτω, τίς ἂν εἴη ὁ πρὸς τοσούτους μέλλων ἐγχαράττειν γραφάς; Ἐμοὶ δὲ οὔπω πέρας τὰ φιλικὰ ὀνόματα ἔσχεν, ἀλλ' ἐπιῤῥέει οὐχ ἧττον, ἢ τῷ Ὁμηρικῷ Λαερτιάδῃ τὰ τῆς νεκυίας εἴδωλα· εἴδωλα γάρ πως καὶ αὐτὸς τῆς τῶν φίλων οὐσίας καλῶ τὰ ὀνόματα. Οὐκοῦν κατ' ἐκεῖνον ἕλκω καὶ αὐτὸς τὸ ξίφος τὸ τμητικὸν τῆς ἐπιστολῆς, καὶ ἀποσοβῶ τὰ ἐπερχόμενα, καὶ παύω ὑμᾶς τοῦ ἀσχάλλειν. Καὶ ἐγὼ μὲν οὕτω, δεδοικὼς τὴν ὑμετέραν Κίρκην, ἥ τις ῥᾳδίως οὕτω τοὺς ἀνθρώπους ἀποθηριοῖ, ὅσοι μὴ προσφθέγγονται ἡμᾶς· ἤδη δὲ καὶ ὁ δεῖνα, ὃν ὑμεῖς κατ' ἐκείνην τὴν πάλαι τῷ καθ' ὑμᾶς κυκεῶνι εἰς χοῖρον μετεσκευάσατε. Ἄλλον γάρ τινα τῶν ὑμετέρων, μὴ γένοιτο ὑμῖν. Ἀρκούντως γὰρ οἱ λοιποὶ τὸ τοῦ Ἑρμοῦ μῶλυ φέρουσι φωνήν, καὶ αὐτὸς ἀναλαμβάνει. Καὶ οὐ κατὰ τὸν Γρύλλον τοῦ Χαιρωνέως σοφοῦ, ἀλλὰ κατὰ τὸν ὄντως ἄνθρωπον φθέγξεται· καὶ τὸν κυκεῶνα ἡμῖν περιτρίψει, καὶ ποιήσει, μὴ τοιαῦτα αὐτοῦ καταφθέγγεσθαι. Καὶ (νομίζω) εὔξησθε ἄν, σιγᾶν αὐτὸν διὰ βίου, ἢ θέλειν γράφειν. Εἶδον γὰρ αὐτὸν κατὰ τὴν κωμῳδίαν ὀξυλάλον ὀδόντα θήγοντα, καὶ θυμοῦ πνέοντα. Ὁ θεὸς φυλάξαι ὑμᾶς ὑγιεῖς καὶ παντὸς κακοῦ ἀπαθεῖς. Καὶ ἀντιγράψοιτε ἡμῖν, εἴ τι καλόν· καὶ πρὸ πάντων εἰς πλάτος τὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἀριστεύματα· ἃ περιᾴδονται μέν, οὐκ εἰς εὐδιάρθρωτον δὲ ἡμῖν ἔτι περιηχοῦνται. Φθονεῖτε γὰρ ἡμῖν (οἶμαι) τοῦ καλοῦ, ἵνα μόνοι καταπολαύοιτε· οὐκ εἰδότες, ὅτι καὶ ὑμῶν ἀκόντων αὐτὰ περιηχησόμεθα, καὶ ὑμῖν χάριν οὐδεμίαν οὐδὲ ἐντεῦθεν εἰσόμεθα. Ὦ μοι τῆς λήμης, ὤ μοι τῆς παροράσεως, ἐὰν ἄλλοις μὲν τῶν

φίλων ἐντετράνισα, τὸν δὲ λογιώτατον δεῖνα ἀφῆκα ἰδεῖν ὃν ὑμεῖς ἥρων τε μέγαν τε προσφωνοῦντες οὐ ψεύδεσθε· ὅμοιον, ὡς ἐὰν καὶ ἐπὶ τῶν παρ' Ὁμήρῳ Παναχαίων τοὺς μὲν ἄλλους προσέβλεπέ τις, ὁ δὲ μείζων Αἴας αὐτὸν ἐλάνθανε. Καὶ τάχα παρέδραμεν ἂν καὶ ἐμέ, καθὰ καὶ ἐν τῇ περαίᾳ τῆς βασιλίδος τῶν πόλεων τοὺς τιτυσκομένους κατ' αὐτοῦ, εἰ μὴ τῇ διανοίᾳ καταστοχασάμενος αὐτοῦ ἔτυχον. Καὶ ἰδοὺ κατέχω αὐτὸν τῇ ψυχῇ, καὶ χαίρειν προσφωνῶ, καὶ ἀξιῶ μνήμην ἔχειν ἡμῶν, στέλλων καὶ προσκύνησιν δι' αὐτοῦ τῷ πανεντιμοτάτῳ δεῖνι. Πρόσθετε τῇ ὁμάδι τῶν προσαγορευομένων ἀδελφῶν καὶ τὸν λογιώτατον δεῖνα, τὸν καλὸν ἡμῖν μέχρι Θεσσαλονίκης. Τὸ γὰρ ἐντεῦθεν συνταξάμενος ὥσπερ ἀφῆκεν ἡμᾶς. Ἤθελον δέ, εἰ ἐπεστράφη καὶ προσέβλεψεν· οὐ γὰρ δήπου δέδοικεν ἀλατισθῆναι τῇ ἐπιστροφῇ.

λ̄

Τῷ Αὐτωρειανῷ κυρίῳ Μιχαήλ.

Ὡς ἀγαθόν ἐστιν, ἐπωνυμίας πολλὰς ἔχειν, εἶπεν, ὃν οἶδας. Ἐπὶ δέ γε σοι τὸ τοιοῦτον ἀποβῆναι εἰς οὐκ ἀγαθὸν ἔοικεν. Ἕως μὲν γὰρ πρωτονοτάριος ἦς, ἄλλος ἡμῖν ἐφαίνου· ἐπεὶ δὲ πρὸς ἑτέραις ἀξιώσεσι καὶ τὸ ἐκπροσωπεῖν ἔχρωσέ σε πρὸς τὸ σεμνότερον, καὶ ὀνόμασιν ἐπεγράφης λαμπροτέροις καὶ πλείοσι, δέομαι, ὅτι ἐκ προσώπου σου ἐξῆλθεν ἡ φιλία ἡμῶν. Τί σκυθρωποὺς ἡμῖν παραυγάζεις τοὺς ὀφθαλμούς; τί τὸ πρόσωπον συννεφοῖς; Οὐκέτι ἀληθῶς τίθης ἡμᾶς ἐν λόγῳ τῷ πρίν. Καὶ εἰ μὲν διὰ τὰ ἐκλαβόντα σε πράγματα, τοῦτό σοι τάχα αἰτίας ἀπόλυσις· εἰ δὲ ἄλλό τι τὸ ἀπαλεῖψαν ἡμᾶς τῆς σῆς ψυχῆς, ἀλλ' ἐγὼ οὔτε σύνοιδα πταίσας· καὶ ὅτι δὲ ἀπηλίφην, ἐξέδραμέ μοι τοῦ στόματος οὔτι που καθ' ἑκούσιον. (Ms. fol. 250. b.) Οὐ πε || στεύω γὰρ οὕτω παθεῖν, εἰ μὴ καὶ τῆς βίβλου τῶν ζώντων πολλῷ πρότερον ἀπαλειφήσομαι.

λ̄ᾱ

Τῷ καλῷ Καιρῷ τῷ ἐξ Εὐρίπου.

Ἀεὶ σὺ οὐ μόνον μεμνήσῃ ἡμῶν, ὃ πάνυ μέγα ἡμεῖς οἱ μικροὶ ἔχομεν, ἀλλὰ καὶ μετὰ δώρων μεμνήσῃ, καὶ τούτων μεγαλοπρεπῶν καὶ ἀξίων πολλοῦ· καὶ οὐδέποτε παύσῃ, τῶν Εὐβοιόθεν ὡραίων καρπίμων, ὅσα τοῖς κατὰ τὴν Βύζαντος ···· τιμῶνται, ἡμῖν κατὰ ποταμοὺς ἐπαντλῶν. Οὕτως εὐδαιμονοῦμεν ἡμεῖς διὰ σέ· οὕτως ἀναπληροῖς ἡμῖν τὸ ἐνδέον· οὕτως εἰς Εὔβοιαν μετασκευάζεις καὶ μεταποιεῖς ταύτην τὴν καθ' ἡμᾶς· οὕτω τὰς ἀποθήκας ἀνευρύνομεν διὰ σέ, καὶ ἔχομέν σε ἄντικρυς ἐτήσιον ἄφενος, ἢ Δήμητρος καινοτάτην ἀκτήν. Οὐ μὴν ἀλλὰ καὶ Κυκλώπειος ὄμβρος ὥριος ἡμῖν ἐπιῤῥήγνυταί σοι, ἄσπαρτα καὶ ἀνήροτα πάνθ' ἡμῖν αὐτόθεν ἀνιεὶς τὰ ἀγαθά. Τί μοι ὁ καθημέριος τῆς ποιήσεως βότρυς; ὃν ἀλλαχοῦ τε γῆς βλαστάνειν ὁ γέρων μῦθος σεμνολογεῖ, καὶ ναὶ δὴ καὶ περὶ ταύτην ἦν ὅτε τὴν κατὰ σέ, ἀφ' οὗπερ ὁσημέραι σπονδὰς οἱ ἐγχώριοι τῷ Διονύσῳ ἀπέθλιβον. Ἀλλ' ἐκεῖνος, εἴ τι καὶ πειστέον τῷ μύθῳ, βότρυς ἦν, καὶ βότρυς εἷς, καὶ οὗτος τυχὸν ὁ ὀμφακίας· καὶ τὸ ἐκεῖθεν θλιβόμενόν τε καὶ ἀποῤῥέον, ὅσον ἂν ἀποστάξειε βότρυς· ὡς μόλις ἂν τὸ ἐκεῖθεν ἐκπιεζόμενον, εἴ τις ἐφ' ὅλον ἔτος εἰς ἄγγος ἂν ἐπισυνάγειν ἐθέλοι, μίαν ἐπιχειλῆ ποιήσασθαι λάγυνον. Σὺ δ' ὅλους ἡμῖν αὐτόθεν ἀμφορεῖς Διονύσῳ τελουμένους ὁσῶραι ναυστολεῖσθαι ποιεῖς, καὶ τούτους νέκταρος ἐρυθροῦ καθ' Ὅμηρον ἀποῤῥῶγας, καὶ τοῦ Ἰσμαρικοῦ, ὃς καὶ τὸν ἄγριον ὑπέσωνε Κύκλωπα, μηδὲν ἀποδέοντας. Σιγῶ τὰς κολυμβάδας· ἐῶ τὰ ὀξωτὰ τὰ τῷ κιτρίῳ εὖ μάλα κατηρτυμένα καὶ πρὸς ἡδονὴν ἐσκευωρημένα σκευάρια. Τί γάρ μοι τούτοις ἐνδιατρίβειν, ἐξὸν ἐκεῖνο εἰπεῖν, ὅτι περ ἀποπλουτεῖς ἡμῖν, καὶ ὅτι κατὰ τὸν Ἀλεξάνδρου ὅρον ἔοικεν ἐν σοὶ κεῖσθαι ἡμῖν ὁ θησαυρός; Εἴην ἂν ἐγὼ προσήκων μᾶλλον, ἤπερ Διομήδης ἐκεῖνος, σεμνύνεσθαι, ᾗ ὁ τούτου δορύξενος Γλαῦκος, ὅτι σε ξεῖνον φίλον τοιοῦτον οὐκ ἐν Ἄργει μέσῳ, ἀλλ' ἐν Ἑλλάδι μέσῃ ἠτύχησα. Ἡμεῖς δὲ τί σοι πρὸς ταῦτα; Τί δ' ἂν σχοίημεν ἀντιμετρῆσαι τοῖς ἀγαθοῖς σου; Ἡμεῖς μὲν οὐδαμῶς· ὁ δὲ θεός σοι ἀντιδοίη τὰ ὧν ἄξιος εἶ. Εἶ δὲ τοῦ παντός, ἀνθρώπων πάντων κάλλιστος ὢν καὶ ἐλευθεριώτατος, καὶ τὸν ἑταῖρον μὴ ψευδόμενος· καὶ τί γάρ, ἢ Ἑρμοῦ παῖς, καὶ Μουσῶν ὑποφήτης, καὶ Χαρίτων πασῶν μέλημα, καὶ τῆς Ἑλληνικῆς ἐκείνης τῆς παλαιᾶς εὐγενείας σπινθήρ; Ἡμεῖς δέ σοι ἐκεῖνο προσεπᾳσόμεθα, ὃ καὶ πάλαι τις τῶν ὑπεραντλουμένων εὐτυχίαις ἀνέκραγε, μικρὸν παραποιήσαντες· στῆσον ποτὲ τὴν χεῖρα· ἅλις ἡμῖν τῆς σῆς ἀγαθοχυσίας. Ὅσον γὰρ ἡμῖν ἐπιδαψιλεύῃ τὰς χάριτας, τοσοῦτον τὴν ἡμῶν στηλιτεύεις οὐθένειαν. Οὐδὲ γὰρ ἔχομεν, ὅτι τῆς πρὸς ἡμᾶς σου χρηστῆς διαθέσεως ἐνδειξόμεθα ἄξιον.

λ̄β̄

Τῷ οἰκουμενικῷ.

Ἦλθον μοι πρόσφατοι θεοῦ φωναί· θεόφθογγα ὡς ἐξ οὐρανοῦ μοι κατεπέμφθησαν ῥήματα. Μάντα

μοι ἐπεβρέχθη θεῖον, καὶ τοῦτο συχνὸν καὶ ἄλλο ἐπ' ἄλλῳ, καὶ τὴν πρώην πεῖναν ἠκέσατο. Φυτειανός τις ἦλθε, φέρων μοι τοιαύτην παραψυχήν, γράμμα δεσπότου· ἐν ᾧ καὶ προσταχθεὶς περὶ ὀφφικίου, ἅμα ἐπῆλθον τὰς περὶ τούτου προςκυνητὰς συλλαβάς, καὶ αὐτίκα (ἔτυχε γὰρ ὥςπερ κατὰ θεῖον σφραγίδων τοιούτων καιρὸς) ἐπλήρωσα τὸ προσταχθέν, εἰς ὅσον δύναμις· θατέρᾳ μὲν ταῖν χεροῖν ὀχῶν ἔτι τὸν τίμιον χάρτην εἰς βάσταγμα, θατέρᾳ δὲ τὴν σφραγίδα διατυπούμενος. Μικρὸν καὶ ἕτερος ἄγγελος ἦλθέ μοι χαρμονῆς, ὁ σύνδουλός μου ὁ ἐκκλησιαστικός, διάκονος ὁ δεῖνα· καὶ τὸ μάννα τῆς ἡδονῆς ἐπληθύνετο. Κἀντεῦθεν, εἴ που τις πικρία ὑπῆν, οὐκέτι ἦν. Σώζοιό μοι ἐπὶ μακρόν, οὐράνιε, τὴν ἀρετὴν πανάγιε δέσποτα· καὶ ἐπιβρέχοις ἡμῖν τὰ ἀγαθά· εἰ δὴ τοιοῦτον χάρμα τῷ δούλῳ σου τὸ ὀλιγοσύλλαβον τῆς γραφῆς, πηλίκον τὸ πολύστιχον. Πλάκες μοι ταῦτα θεῖαι. Ἐκεῖνο βιβλίον τὰ θεῖα ψωμίζον με· ἀναψύξεως ὄμβροι μοι τοῦτο. Ἐκεῖνο Χαρίτων ὠκεανός· τὸν ἐπὶ τῇ εἰσόδῳ τῆς νηστείας λόγον φημί. Ὢ οἵου καλοῦ ἄγευστος ἐγώ· ὢ οἵας σοφίας ἀνήκουστος. Ἦν ὅτε καιρός, ὅτε καὶ ἀνθρωπίνως ἐλάλουν, τὰ ἐμὰ φθεγγόμενος· ἀλλὰ καὶ ἀγγέλου γλώσσῃ ἐλάλουν, τοῖς τοῦ μεγίστου δηλαδὴ ἀρχιερέως ὑποφητεύων διδάγμασι. Νῦν δὲ τὸ μὲν ἐμὸν οὐκ οἶδα εἰ περιλέλειπταί μοι, τὸ δὲ ἀγγελικὸν ἐπιλέλοιπε φώνημα· καὶ ὅμως μακαρίζεταί μοι τὰ τοῦ λαλεῖν ὄργανα, δι' ὧν ἐκεῖνο τὸ μέλος ἔῤῥεε τὸ γλυκύ, ὡς ἐὰν καὶ σωλῆνά τις ἐν μακαρισμῷ τιθείη, δι' οὗ καλὸν ὕδωρ διωχετεύετο. Γένοιτό μοι πεσεῖν καὶ τὸ τοιοῦτον καλὸν ἐπὶ χεῖρας, καὶ ἁγιασθῆναί μοι τὸ πᾶν· τὰς χεῖρας ἀνελιττούσας καὶ διαψηλαφώσας τὸ ἅγιον· τὰ ὄμματα περιϊόντα, καὶ ταῦτα ἑκατέρας ἐννοίας· τὸ μὲν τῇ κατὰ ἀνάγνωσιν ἐπελεύσει τὰ ἐκτός, τὰ δ' ἐντὸς τῷ φωτὶ τῆς θείας ἐναυγάζομαι γνώσεως· τὰ χείλη πτυσσόμενα, καὶ αὖ πρὸς ὑποδοχὴν ἁγιασμοῦ ἀνοιγόμενα· τὸ στόμα πληρούμενον τοῦ ἐκεῖθεν γλυκάσματος καὶ τῆς ἐπὶ τούτῳ αἰνέσεως· τ[ὸ] ὅλ[ον] ἐντός, τὸ διὰ παντὸς αὐτοῦ ἰχνεῖσθαι τὰ τῆς διδασκαλίας καλά. Καὶ τοῦτο μὲν ἐπετάχθη γραμματικὸς σύνδουλός μοι· εὖ οἶδα, καὶ γίνεται. Καὶ ἐγὼ εἰδείην ἂν ἐκείνῳ χάριν ἤματα πάντα, εἰς τοιοῦτόν μοι ἀγαθὸν ὑπουργήσαντι. Ἐγὼ δὲ καὶ ἔτι τολμῶν δέομαι. Ἐπί τινων πρὸ ἐμοῦ τοῦ ἀχρειοτάτου ἁγίων ἀρχιερέων παρεχωρήθησαν Ἑβραῖοι πλατυνθῆναι· οὐκ οἶδ', εἴτε κατὰ λήθην, εἴτε καὶ κατὰ εἴδησιν ἐκείνων, εἴτε καὶ κατὰ θείαν τινὰ κέλευσιν. Τοῦτο δὲ οὐχ εὑρίσκεται. Καὶ ᾤκησαν οἱ μὲν ἐν ἐρειποτοπίοις Χριστιανικοῖς, ἀνοικισθεῖσιν ὑπ' αὐτῶν· οἱ δὲ καὶ ἐν οἰκήμασιν, ἐν οἷς ᾤκουν Χριστιανοί· ὧν οἰκημάτων τινὰ καὶ θείοις εἰκονίσμασιν ἠγλαΐζοντο καὶ ἐψάλλοντο· καὶ οὐδεὶς ἦν ἕως καὶ χθὲς ὁ λαλῶν. Ἄρτι δὲ ἔκ τινος ἐριθείας ἐλαλήθη τὸ πρᾶγμα· καὶ ἐμοῦ τὸ ἐντεῦθεν ἀναγκαίως ὑποκινήσαντος, ἐδόθη πρός τινων καὶ κατάστιχον· καὶ ἔχουσι τοιαῦτα οὐ μόνον ἡ μητρόπολις, ἀλλὰ καὶ ἕτερα πρόςωπα. Ὅτι γοῦν ἐμοὶ οὐκ ἐκγενήσεται, εἰς τὸ πᾶν κατορθῶσαι, εἰ μὴ ἐκ τῆς μεγάλης ἁγιωσύνης σου συνετισθῶ, ἵνα καὶ ὑπακούωμαι· τολμῶ καὶ ἐρωτῶ, τί ὀφείλω ποιῆσαι; ἵνα προςκυνήσας ἐγχειρήσω καὶ τελειώσω εἰς ἀγαθόν.

λγ

Καὶ παντὸς μὲν τέλους ἀποτυχία λυπεῖ ἄνθρωπον· ἡ δὲ τοῦ ἀγαθοῦ καὶ μάλιστα τὸν οὐκ ἔξω νοὸς ῥεμβόμενον. Τί δὴ πάσχειν ἐμὲ εἰκός, τοῦ ἐμοὶ δεόντως ἐφετοῦ ἀποτυγχάνοντα (εἰ μὴ ἐκπίπτω, λογισμῷ ἀδιοίκητος), ἢ πάντως πάσχειν λύπην τὴν ἐπὶ μάλιστα; Πᾶσαν μὲν γραφήν, ἣν ἂν ἐκ χειρῶν ἀπέρχεσθαι ἀφήσω, ἐφίεμαι ἀπελθεῖν, ἔνθα ἔσταλται· οὐχ ἥκιστα δέ, ἣν τολμήσας ἐντελοῦμαι πορευθῆναι πρὸς τὴν μεγίστην ἁγιωσύνην σου. Καὶ οὐ λέγω, καθάπερ εἰ καὶ τοξότης βέλος ἀφεὶς ἐφίεται βαλεῖν κατὰ σκοποῦ (τὸ γὰρ τοιοῦτον οὔπω τι μέγα βούλεται)· ἀλλ' ὥςπερ ὁ εὐχόμενος εἰς θεὸν τὴν προςευχὴν ἐθέλει κατευθύνεσθαι, καὶ μὴ κενεμβατεῖν ἀτέλεστα εἰς μόνην λαλιάν. Καὶ ἐμοὶ μὲν οὕτως ἐστὶν ἐφίεσθαι· βλέπω δέ, ὡς διαπίπτω τὰ πολλὰ τοῦ κατὰ ὀρθότητα ὀρεκτοῦ. Καὶ ἐγὼ μὲν ἀνοίγω στόμα πρὸς ἀναφοράν· καὶ ἵνα μὴ κατακαυχῶνται Ἅρπυιαι, εἰς αὔραν ἀναῤῥιπτοῦσαι τὸ τῆς φωνῆς λεπταλέον καὶ πνευματικόν, καταβαρύνω ταύτην, εἰς ὅσον δύναμις, παχύνων εἰς σῶμα, καὶ κατάγων εἰς ἁφήν, καὶ διφθέραις ἐντιθείς· ὡς ἂν ἐκφύγοι μὲν τὸ ἀνωφορεῖσθαι, καὶ εἰς ἀέρα σκεδάζεσθαι, φέροιτο δὲ ἰθυτενῶς, ἢ καὶ πέτοιτο κατὰ τὴν ἱστορουμένην [ποτὲ] Θετταλικὴν μελίαν εἰς τὰς μακαριωτάτας χεῖρας, δι' ὧν καὶ ἐμοὶ πᾶσα εὐλογία καὶ τῷ κόσμῳ τὸ θεόθεν ἐξίλασμα. Οὐκ ἔχω δὲ διὰ τέλους, ὃ θέλω· ἀλλὰ τὸ πλείω πλάζομαι. Τεκμήριον δὲ ὁ σύνδουλός μου καὶ ποτε συνδιάκονος, ὁ δεῖνα· ἐμὸν θρέμμα, καὶ ἀγαθὸς ὑπογραμματεύς, φίλου πιστοτάτου ἀνεψιός· ὃν ὁ φιλάνθρωπος ζῶντα μὲν εἰς ἡγούμενον ἐκάλεσε, θανόντα δὲ ἐν σκηναῖς ἁγίων (πεποιθὼς λέγω) ἀνέπαυσεν. Οὗτος δὴ ὁ σύνδουλός μου προεκλήθη δι' εὐχῶν τῆς μεγάλης ἁγιωσύνης σου εἰς ὄνομα ὑψηλόν, ψήφου θείας μνησθείσης αὐτοῦ εἰς ἐπίσκοπον. Ὅτι δὲ οὐκ ἐχρῆν ἄλλως αὐτὸν

τελεσφορηθῆναι ὑφ' ἡμῶν, εἰ μὴ καὶ τὴν τοιαύτην ἡμῖν τελεσιουργίαν εὐλογήσασα ἡ μεγάλη ἁγιωσύνη σου πλείω τὸν ἁγιασμὸν ἐπιπέμψει αὐτῷ, καὶ τὸ ἐπὶ κεφαλῆς μῦρον καταβῆναι ποιήσει πλημμύρον ἐπὶ πώγωνα καὶ ἐπὶ πᾶν, ὃ δὴ τούτου πέπλασται δεκτι-
Ms. fol. 251 a. κόν, ἀνηνέγκαμεν δεητικῶς. Ἀλλ' αἱ δεήσεις, τὰ || χα κατὰ τὰς λογοποιουμένας λιτὰς χωλαὶ καὶ αὗται διεκβᾶσαι, κατέπεσόν μου, καὶ οὐκ ἔσχον ἐξικνεῖσθαι, ὅπη παρ' ἡμῶν ἐπέμφθησαν. Καὶ ἐγὼ μὲν ὑπὲρ τούτου τρὶς τὸν κύριόν μου, παναγιώτατον δεσπότην, παρεκάλεσα· οἱ δὲ (τί ἂν εἴπω;) διακονοῦντές μου ταῖς δεήσεσιν, ἀφῆκαν καραδοκεῖν τὴν λύσιν, οὐκ οἶδα πηνίκα ἐλευσομένην μοι· ὅμοιον, ὡς εἰ καὶ ἐξανοίξας τις τὸ στόμα εἰς ἔνθεσιν, εἶτα διατριβὴν τοῦ ἐλπιζομένου δυστυχῶν κάθηται, διαχάσκων εἰς ἄνεμον, ἢ καὶ τὴν κεφαλὴν ὑποκύψας καὶ ἀνακαλύψας εἰς εὐλογίας ὑποδοχήν. Ἐπὶ μακρὸν δὲ ταύτην ὁρῶν διαμέλλουσαν, μένει ἐπὶ σχήματος, ἀφέμενος τῆς ὀρθότητος. Ἀλλ' ἰδοὺ καὶ ἡ ἐλεημοσύνη τοῦ ἁγιωτάτου αὐθέντου καὶ εὐεργέτου πολλὴ περὶ ἐμέ. Καὶ τί δὴ κωλύει, καὶ τέταρτα δεηθῆναί με; Τυχὸν οὐ ψεύσεταί με. Ὁ γοῦν ταύτην κομίζων τὴν δέησιν, γενήσεται ἡμῖν τὸ καλόν· καὶ ἐπὶ πλεῖον οὐκ ἀναρτησόμεθα. Τολμῶν οὖν καὶ πάλιν σου δέομαι, ἀκοῦσαι σύνδουλόν μου τὸ εὐλογήθητι· καὶ ἔσται εὐλογημένος, εἰς ἣν πρὸς θεοῦ ἐκλήθη ἐπισκοπήν. Ἔτι δέομαι τῆς μεγάλης ἁγιωσύνης σου καὶ δέησιν ὁλόψυχον, καὶ ἣν ἂν καὶ θεοῦ, μεμνῆσθαι τῆς ἐμῆς ταπεινότητος πρὸς τὸν ὕψιστον θεόν, ὅταν ἐκεῖνος τὴν ἡμῶν σωστικὴν μεγάλην ἁγιωσύνην σου''. Πάνυ γὰρ τῆς τοιαύτης εὐκτηρίου μνήμης δέομαι· καὶ χωρὶς αὐτῆς οὐκ ἂν συνίστασθαι ἔχοιμι.

λδ

Τῷ πανσεβάστῳ σεβαστῷ καὶ ἐπὶ τῶν δεήσεων.

Ὀχληρός, ὡς ἔοικεν, ἐγὼ πάντοτε. Τοῦτο δέ, οὐχ ὅτι καὶ παπᾶς, ὡς ἂν εἴποιεν οἱ πολλοί· ἀλλ' ὅτι θαῤῥῶ ἐπὶ τῇ ἀντιλήψει σου. Εἰ δὲ ἁπλῶς φορτικὸν τὸ ἐνδελεχὲς τοῦ αἰτεῖσθαι, μήποτε καὶ τῶν συνεχῶν εὐχῶν αἰτιαθείημεν, ἃς ὑπὲρ τῆς σῆς πανσεβάστου ὑπεροχῆς τῷ θεῷ ἀναφέρομεν. Ἀλλ' οὔτε θεὸς ἐνταῦθα βαρύνοιτο ἂν (τίνι γὰρ ἑτέρῳ τὸ τοιοῦτον τῶν ἐφ' ἡμῖν ἀναπεμφθείη ἄν;), οὔτε ἡ ἀντίληψίς σου βαρέως ἂν ἐνέγκοι, αἰτουμένων ἡμῶν. Τίνα γὰρ ἂν προςκαλεσαίμεθα, ἡμῶν ἀντιλαβέσθαι, πλέον αὐτῆς; Ὃ δὲ ζητοῦμεν, καθέλκει μὲν ἡμῖν εἰς ὄγκον εὐεργεσίας βαρύν· ἀβαρὲς δὲ ἄλλως ἐστὶ καὶ ἐλαφρότατον τῇ ἀντιλήψει σου. Εὐκταῖον ἡμῖν, προςκυνῆσαι τὸν πάντιμον κραταιὸν ἡμῶν καὶ ἅγιον βασιλέα· καὶ τὸ στερεῖσθαι τῆς αὐτοῦ ὄψεως ὅμοιον ἡμῖν κρίνεται, ὡς εἰ καὶ τοῦ καλῶς ζῆν ἐκπίπτομεν. Ὅτι δὲ ἡ νόσος καθάπαξ ἐνδακοῦσα ἐνερείδει τοὺς ὀδόντας, καὶ οὐκ ἀνήσειν βούλεται, ἀθέτως ἔχομεν πρὸς τὴν ὁδόν, ἐκεῖνο ὑπολογιζόμενοι, ὡς οὐδὲ εἰς ὅλον μῆνα ῥᾷον ἡμῖν ἔσται καταντῆσαι εἰς τὸ ποθούμενον. Περικαλοῦμεν οὖν μαθεῖν ἀπὸ τῆς ἀντιλήψεώς σου, ἐὰν ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ἐλπίζηται πρὸς τὰ τῆς δύσεως ἐλθεῖν μέρη· ἵνα οὕτω στηρίξαντες καρτερήσωμεν, καὶ ἐπιτεμοῦμεν, καθὼς ἐγχωρεῖ τὰ τῆς ὁδοῦ· ὡς, ἐὰν αὐτόθι ἐμβραδῦναι μέλλῃ, οὐκέτι μενετέον ἡμῖν, ἀλλὰ σταλτέον τὴν ἐπὶ τὰ αὐτόθι, κἂν ἐπὶ φορείου χρὴ στέλλεσθαι. Τοῦτο μὲν οὖν ἡμῖν ἓν εὐεργέτημα, ἐὰν γένηται· ἕτερον δὲ οὐδὲν αὐτοῦ ἔλαττον τόδε.

λε

Τῷ Γουδέλῳ κυρίῳ Λέοντι.

Ἐνεαρίζειν ὥςπερ ἡμῖν πάρεστι τῷ γράμματι τῆς ἀγάπης σου, τοῦ χειμῶνος ἐκλαθομένοις, ὃν καθ' ἡμῶν ἡ βαρυτάτη νόσος ἐξέμηνε. Συνεχέθημεν δὲ ἄλλως, ὅτι μηδ' ἐνταῦθα τὸ ἔαρ ἡμῖν καθαρῶς αἰθριάζον ἦν καὶ ἀνέφελον· ἀλλ' εἶχε μὲν ὁποῖά τι ῥόδου ἄνθος ἐναστράπτον χάριεν, τὴν σὴν ὑγίειαν· ὑπεκέντει δὲ ἡμᾶς καθαπερεί, τις ἀκανθώδης ἀκμὴ τὰ θλιβερὰ τὰ ἐπὶ σέ, καὶ ἡ τῆς λύπης ὀξύτης καὶ ἡ ἐντεῦθεν ἀλγηδών. Ταῦτα δὴ τὰ κακῶς διατιθέντα καὶ τὸ εἰλικρινὲς τῆς εὐζωΐας ἐπιθολοῦντα σοι. Ἀλλ' εἰ καὶ οὕτω ταῦτα, ἡμῖν δ' οὖν ἤρκεσε τὸ ἄνθος εἰς παραψυχήν, εὖ εἰδόσιν, ὡς οὐκ ἔστιν ἐνταῦθα μὴ περιπεφυκέναι καὶ ἄκανθαν. Ἢ τίνας οἴει, καλέ μου δέσποτα, τῶν ἐν ἅπαντι τῷ βίῳ, μὴ ὅτι γε τῶν ἀστικωτέρων, ἀλλὰ καὶ τῶν ἐπ' ἐρημίας μοναζόντων, καθαρὰν προςκομμάτων τρίβειν τὴν τοῦ βίου ὁδόν; Καὶ εἴθε μηδεὶς μεγάλοις τισὶ προςτρίβοιτο κακοῖς. Εἰ δὲ μικρός τις παραχάσκοι βόθυνος, ἢ καὶ λίθος βραχεῖα τοῖς ποσὶν ἐπιτροχάζει ἐπίβουλος, ὁποίας ὁ Συρακούσιος ποιητὴς ὑπὸ ταῖς ἀρβύλαις ἀείδειν πταιούσας φησίν· ἢ τρίβολος καὶ βάτος τις ὑποκάθηται, ἀλλὰ ταῦτα παρ' οὐδὲν θετέον, ὑπερπηδῶντας, ἢ καὶ ἄλλως ἀποποιουμένους τὰ ἐμποδών. Ἐρεῖς, μὴ τοιαῦτα εἶναι τὰ κατὰ σέ, ὡς βοθρίσκοις παρεικάζεσθαι, καὶ λιθιδίοις παραβάλλεσθαι, καὶ ἀκάνθαις παρομοιοῦσθαι, ὁποίας ἂν τις καὶ παραβλέψηται. Ἀλλ' ἐγὼ τοιαῦτα πάντα τἆλλα φημί, παρατιθεὶς αὐτὰ πρὸς τὸ τῆς ὑγείας καλόν· ἣν ἔχων εὐχαρίστει

θεῷ, ἀναθέμενος τὰ πάντα τῇ ὄντως μεγαλοδυνάμῳ θεομήτορι. Εἰ δὲ μέχρι καὶ τοσούτου τῶν περιττῶν ἐφίλωσαι, ὡς καὶ περὶ αὐτὸ τὸ τοῦ ἐνδύματος εὐπρεπὲς ἀχρείως ἔχειν, ἀλλ' ὁ τὰ κρίνα κοσμῶν, καὶ τὸ ῥόδον ἀντεπαύξων ἡλίου λαμπρότητι, καὶ δένδροις χορηγίαν βύσσου φιλοτιμούμενος, καὶ σκώληκας μηρύεσθαι διδοὺς τὰ τοῖς πολλοῖς τίμια· καὶ ἐκ λειμωνίδος, καθά που τις ἔφη, πόας ἐξυφαίνεσθαι ποιῶν, ὁποῖα οὐδὲ ἀράχνης ἂν λεπτουργήσειεν, οὐκ ἂν οὐδὲ σοῦ ἀμελήσειεν, ὅτι μηδὲ ἡμῶν, οὐδέ τινος ἄλλου τῶν καθ' ἡμᾶς. Χαῖρε οὖν ὑγιαίνων, καὶ φυλάττοιτό σοι τοῦτο τὸ ἀγαθὸν μέχρι παντός. Προςαγορεύουσιν οἱ ἡμέτεροι πάντες ἅμα ἡμῖν τὸν κύριον Μιχαήλ, τὸν (ὡς αὐτοί φασι) Τεῦκρον. Διατί τοῦτο; Διότι φασὶν ὑποδυόμενος, ὅσα καὶ ἀσπίδα τινά, τὴν σὴν ἐπιστολήν, καθάπερ ἐκεῖνος τὴν τοῦ Τελαμωνίου ἑπταβόειον, ἐκεῖθεν ὑποφαίνεται· καὶ μικρόν τι φανεὶς καθ' ἕτερόν τινα παλαιόν, ἀποκρύπτεται, ὡς οἷα δεδιώς, μὴ καὶ φανεὶς ἐπὶ πολὺ βασκανθείη, εἴτε καὶ βληθείη, καί τι πάθοι μέγα κακόν, ἢ καὶ μακρότερα λαλήσας ἀποῤῥεύσοι τὴν λαλιάν· οὐκ εἰδώς, ὅτι καταισχύνει ἐπὶ πλέον τὴν Ἀττικήν, ῥήτωρ μὲν εἰς αὐτὴν κατεληλυθώς, ἀποκαταστὰς δὲ εἰς ἄφωνον. Ὁ παρὼν (οὐκ οἶδ') εἴτε ἡλιόκαυστος, εἴτε καὶ ἄλλως εἰπεῖν μελανόχροος ἀρχήν (τὴν γλῶσσαν γὰρ οὐ περιεργάζομαι, ἀλλὰ τοῦ προφαινομένου μόνου γίνομαι), δὶς ἤδη ἐλθὼν εἰς ἡμᾶς, καὶ ὡς ἐκ φίλων ἀποδεχθείς, τὸ μὲν πρῶτον εἰς μαυροκαλόγηρον ἐτιμήθη, ἄρτι δὲ καὶ εἰς μαυροηγούμενον. Τοῦτο δὴ τὸ ἐν προθύροις τῆς Μεγαλοπόλεως· καὶ διὰ τοῦτο ἐπὶ μνήμης ἡμῖν. Ἐὰν δὲ ζῶσιν ἡμῖν ἐπανέλθῃ, τάχα ἂν εἰς αἰθίοπα Μωσῆν αὐτὸν μεταμείψωμεν. Εἰς γὰρ τὸν καλὸν δημαγωγὸν Μωϋσῆν οὐκ ἂν λευκανθήσεται. Εἰ δέ τι ἄλλο ὑμεῖς προςευπορήσαντες δηλώσετε ἡμῖν μετ' αὐτοῦ, ἐκεῖνο καλέσομεν αὐτόν. Εὔχομαι δέ, εὐήμερον φάος ἐξ ὑμῶν αὐτὸν ἀναγγεῖλαι μοι· μὴ καὶ δόξω, νύκτα ἐπιπέμψαι ὑμῖν· ἢ καὶ ἀκούσομαι, ὅτι ἐγεννήθη ὡς νυκτικόραξ ἐν οἰκοπέδῳ ὑμῶν. Φωνῆς ἐθάδος ἀπόῤῥοιαι ταῦτα ἐκ φίλου, παραμυθουμένου καὶ ἑαυτὸν καὶ ὑμᾶς.

λς

Τῷ πρωτονωβελισσιμοϋπερτάτῳ καὶ λογοθέτῃ, τῷ Ἁγιοθεοδωρίτῃ.

Μετὰ τὰς ὑπὲρ τῶν ἁγίων βασιλέων ἡμῶν ἐνδελεχεῖς εὐχὰς ἔργον ὅμοιον ἡμῖν ἐπιτάσσει τὸ καλὸν καὶ ἀγαθὸν τῆς σῆς ἀντιλήψεως. Καὶ γίνεται τοῦτο διχόθεν· ἔκ τε τοῦ εἰς κοινὸν καθήκοντος, ἔκ τε τοῦ ἰδίᾳ πρέποντος. Ἐκεῖνο μέν, ὅτι χρὴ τοῖς ἐγγυτάτω παραστατοῦσι τῷ θεοειδεστάτῳ ἡμῶν αὐτοκράτορι, καὶ τῆς ἐκείνου θέας καὶ θεραπείας ἀξιωθεῖσι, κοινῶς ἡμᾶς ἀφοσιοῦσθαι τὰ τῶν εὐχῶν. Τίς δὲ ἂν προςῆκον εἴη τοιούτοις σεμνοῖς ὕπερθεν τῆς σῆς ἀντιλήψεως; εἴπερ ὁ κράτιστος ἡμῶν βασιλεύς, ὥςπερ ἐκεῖνον θεός, οὕτω καὶ αὐτὸς εὗρηκέ σε θεραπεύειν τὸ αὐτοῦ ἔνθεον ἱκανώτατον· ὡς τὸν μὲν αὐτοκράτορα βασιλέων ὑπερῆρθαι πάντων, οὓς ἔσω μεγάλου θαύματος ὁ μακρὸς χρόνος ἔθηκε· τὸ δὲ σὸν μεγαλοφυὲς ὑπερκεῖσθαι πάντων, ὅσους οἱ πατέρες ἡμᾶς ἐδίδαξαν, καὶ οἷς ὀφθαλμὸς αὐτόπτης ἐπέβαλε. Καὶ οὕτω μὲν ἡμῖν ἐκεῖνο γίνεται τὸ ἐκ τοῦ κοινοῦ, καὶ οἷον εἰπεῖν τὸ κατὰ περίληψιν τῆς εὐχῆς. Τὸ δὲ ἰδιάζον ἔχομεν αὐτοὶ ἐκ τῶν εἰς ἡμᾶς ἀγαθῶν τῆς σῆς ἀντιλήψεως· ὧν ἡμῖν τὸ ῥεῦμα, ὡς καὶ εἰς ἀέναον ἐξαρκεῖν, ἐπεπλήμμυρεν. Ἀλλὰ τοῦτο μὲν τὸ τῆς εὐχῆς οὕτως εἰςαεὶ γίνεται, καὶ οὐδὲ λήξει γινόμενον, ἕως ἂν καὶ ὁ νοῦς ἐν τῷ καθεστῶτι μένῃ, καὶ τὸ στόμα πρὸς λόγους ἀνοίγηται. Εἴθε δὲ ἦν καὶ ἐπὶ τάδε τοῦ χρόνου τοῦτο γίνεσθαι. Ἡμῖν δέ, ὅτι γράμμασι προςκυνήσαντες, καὶ διὰ προσώπων οὐκ ἔξω λόγου πιπτόντων ὁμοίως προςενεχθέντες, οὐκ ἔσχομεν μαθεῖν, εἰ τὸ ἡμῶν ἀξίωμα εἰςῆλθεν ἐνώπιον τῆς σῆς ἀντιλήψεως, εὐλαβεῖσθαι περιγίνεται, καὶ τὸ πολὺ τοῦ θαῤῥεῖν ὑποτέμνεται, μήποτε παρὰ θύρας (ὅ φασιν) ἥκομεν τῆς σῆς ἁγίας ψυχῆς, καὶ εἰς ἀποθυμίους πίπτομεν· ὅπερ μὴ ἡμῖν, κύριέ μου, μὴ ἡμῖν· μὴ ἡμῖν, ἀντιλῆπτορ μου· πρὸς τῆς σῆς ἁγίας ψυχῆς· πρὸς τοῦ πλάτους τῆς σῆς ἀγαθότητος, ἣν οὐκ ἔστι στενοχωρήσασθαι· πρὸς τῆς μνήμης. Ἀλλ' ὤ μοι, τί ἔπαθον, ὅτι τοιαύτην μνήμην οὔπω δέον ὂν κεκλήρωται, ὃν ἔδει ζῶντα τοῖς μὲν ἐντυγχάνουσιν ἀσπασίως βλέπεσθαι, τοῖς δὲ λοιποῖς διὰ γλυκείας μνήμης φέρεσθαι,||καραδοκοῦσι τὴν εἰςνέωτα ἔντευξιν; Μὴ ἡμῖν, πρὸς τῆς μακαρίας μνήμης ἐκείνου τοῦ ὄντως μακαρίτου ἀρχιερέως, τοῦ δεσπότου μου· οὗ κατὰ σῶμα μὲν τάφος εἷς· αἱ δὲ πάντων ψυχαί, οἷς ἔγνωστο (ἔγνωστο δὲ **** ἐγκείμενον φέρουσιν), οὐχ οἷά τινα κενήρια καὶ μέχρις ὀνόματος· ἀλλὰ θειότερον, ὅτι πρὸς πρᾶγμα καὶ νοερῶς. Ἀλλὰ τί δή ποτε αὐτῷ μὲν ἐμοὶ ἐξευρίσκω μηχανὴν παρήγορον, τὸν δὲ ἐλεοῦντα ἐκτήκω τοῖς δάκρυσι, μνήμῃ φιλτάτου ὀνόματος; οὐ στερεῖσθαι ταυτὸν ἂν εἴη τῷ μεμνημένῳ, ὡς ἐὰν καὶ ψυχῆς. Τί δὲ τὸ πρὸς ἡδονῆς ἐμοὶ θηρώμενος, τὸ πρὸς ἐλεημοσύνην ἐπίστροφον, κρατῆρα λύπης ἐπιστέφω τῷ ἐνδαψιλευομένῳ τὸν ἔλεον, ἀντιμετρῶν οὐκ ἀγαθά, οὐδὲ τῶν κρειττόνων

Ms. fol. 251. b.

ἀντικαταλλασσόμενος ὅμοια; Φέρε δὴ περιμετρήσω τῷ θλίβοντι τὰ ἱλαρά· ψυχαγωγήσω τὸν μικροῦ καὶ ἐκλείποντα· ἀντιστήσω τὸ τέρπον τῷ λυπηρῷ· ἀντισταθμήσω τὸ γλυκάζον τῷ πικραίνοντι, καὶ μνήμῃ γλυκυτάτου ὀνόματος κατακεράσω τὸ πικράζον ἐκεῖνο, καὶ ἀνασκευάσω, πρὸς ὅπερ ἐχρῆν. Πρὸς τῆς ἐνθέου καὶ ἁγιωτάτης βασιλικῆς κεφαλῆς, ὑφ' ἧς τὸ πᾶν τῆς οἰκουμένης σῶμα καὶ συνέχεται καὶ ἀνέχεται, εἰςελθέτω ἐνώπιόν σου ἡ δέησίς μου· δηλωσάτω ἡμῖν ὁ τὸ γράμμα περικομίζων τῆς ἡμῶν ταπεινότητος τὸ τῆς σῆς ἀντιλήψεως περὶ ἡμᾶς εὐμενές, καὶ ζησώμεθα· ὡς νῦν γε παρατρώγεταί τι τῆς ζωῆς ἡμῖν, καὶ δεδοίκαμεν, μὴ καὶ παμφαγήσῃ τὸ λυποῦν, εἰ μὴ τὸ σὸν ἱλαρὸν κατὰ στόμα προςυπαντῆσαν παύσει τῆς βορότητος.

$\overline{\lambda\zeta}$

Τῷ Μυστικῷ.

Ὁ θεός, ὁ τοὺς ἁγίους ἡμῶν βασιλεῖς καὶ στερεώσας καὶ στερεῶν, καὶ ἀεὶ ἀνυψῶν καὶ ἐπαυξάνων τὴν ἔνθεον βασιλείαν αὐτῶν, ὧν σὺ θεράπων ἐγγίζων τε καὶ πιστότατος, ἐκεῖνος προςθείη μακροὺς χρόνους τῇ σῇ ζωῇ· ἵνα ἔχῃ σε ὁ κόσμος εἰς κοινὸν ἀγαθόν, καὶ ἀξιωθείης, ὥςπερ ἐνταῦθα μεγίστων τιμῶν, οὕτω καὶ ἐν τῷ ἐκεῖ αἰῶνι τῆς πρὸς τὸν παμβασιλέα θεὸν ἐγγύτητος· ὅπερ καὶ θάῤῥει συν θεῷ. Εἰ γὰρ καὶ ἄλλοις κίνδυνος ὕπεστιν ἀκοῦσαι, ὅτι τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου ἀπέλαβες, ἀλλὰ σύ, ὡς πάντα ἐν θεῷ πράττων, καὶ πρὸς ἐκεῖνον ἀφορῶν, καὶ τῆς ἐκεῖ δόξης ἐφιέμενος, δι' ἣν καὶ πάντα ποιεῖς τὰ πρὸς θεραπείαν θεοῦ· καὶ ὧδε τὰ ἐξ ἐκείνου ἔχεις ἀγαθά, καὶ ἐκεῖ δὲ ἀκούσεις· εἴςελθε, δοῦλε, εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Ὁ θαυμασιώτατος καθηγούμενος ὁ δεῖνα, ὁ ἐνδιάθετος καὶ θερμότατός σου εὐχέτης καὶ κῆρυξ τῶν σῶν ἀγαθουργιῶν διαπρύσιος, ἐπηύξησέ μοι τὴν εὐχαριστίαν, ἀναδιδάξας με, ὅτι ἐκ θεοῦ ὁδηγίας ἐμνήσθης πρὸς αὐτὸν τῆς ἐμῆς ταπεινότητος. Διὸ καὶ θαῤῥήσας περικαλῶ, ἵνα διὰ τὸν θεόν, ὃν ὑπερβαλλόντως ποθεῖς, καὶ διὰ τὸ δίκαιον, οὗ ὑπερμαχεῖς, ἐάν τις τῶν τοῦ κελλίου μου ἔχων δυςκολίαν ἐξ ἀδικίας προςκαλῆται εἰς βοήθειαν τὴν ἀντίληψίν σου, ἐμπαρέχῃς αὐτῷ τὴν ἐπὶ δικαίῳ βοήθειαν. Καὶ πάντως δώσει ὁ θεὸς καὶ ὑπὲρ τούτου τὴν ἀξίαν ἀμοιβὴν τῇ ἀντιλήψει σου.

$\overline{\lambda\eta}$

Τῷ Σεῤῥῶν.

Ἐπεθύμησα, ὥςπερ τοῦ ἰδεῖν σε, οὕτω καὶ τοῦ διὰ γραφῆς προςειπεῖν τὴν σὴν ἁγιότητα. Καὶ τοῦ μὲν πρώτου αἴτιοι οὔτε ἐγώ, οὔτε μὴν ἡ ἁγιωσύνη σου· οὐ γὰρ θαμίζειν πρὸς ἀλλήλους ἔχομεν. Τοῦ δὲ δευτέρου ἡ μὲν ἁγιωσύνη σου πῶς ἄν; τάχα δὲ οὐδὲ ἐγώ, ἀλλὰ τὰ περὶ ἐμὲ πράγματα. Πληροφορήθητι γάρ, ὅτι τοσοῦτος ὄχλος φροντίδων ἀμφέπει με, ὡς ἀπὸ φυλακῆς πρωΐας ἕως καὶ εἰς ἥλιον οὐ καταδύντα μόνον, ἀλλὰ καὶ τοῖς ὑπὸ γῆν ἐμβαθύναντα, τρίβεσθαι εἰς ἐντυχίας πραγματικάς, ὧν ἀμελῆσαι μὲν οὐκ ἀρχιερατικόν, ἐπιμεληθῆναι δὲ καλὸν μέν· ἀλλ' + ἀπογείης οὐ μόνον ἀναγνώσεως, ἀλλὰ καὶ τῆς εἰς τοὺς φιλοῦντας προςφωνήσεως. Ἡ γοῦν παροῦσα γραφή, πρωΐθεν ὑπισχνουμένη, παρέτεινεν ἕως καὶ εἰς ἀέρα λαμπάδι φωτίζεσθαι θέλοντα. Διὸ καὶ ὑπεστένωται, καὶ βραχέα λαλεῖ· καίρια μέντοι γε, καὶ ὧν ἡμεῖς ἐφιέμεθα. Ὑγίαινε, καὶ μέμνησο ἡμῶν ἐν ταῖς πρὸς θεὸν ἀγωγοῖς σου ἐντεύξεσιν, ὑγιαινόντων καὶ αὐτῶν ταῖς σαῖς ἱεραῖς εὐχαῖς, καὶ ἐπικαλουμένων τὴν ἐντεῦθεν θεόθεν βοήθειαν. Τὸν θαυμασιώτατόν μοι φίλον, τὸν γραμματικὸν τῆς ἁγιωσύνης σου, προςαγορεύω· ὃς ἀδικεῖ μέν, καὶ αὐτοῦ καθείργων εἰς ἀφωνίαν τὴν γλῶσσαν καὶ τοῦ ῥητορεύειν ἀπείργων, ὡς εἰ καὶ σιγᾷν κατακέκριτο· ἀδικεῖ δὲ καὶ ἡμᾶς, μὴ γλυκαίνων, οἷς γράφει, τὰς ἀκοάς.

$\overline{\lambda\vartheta}$

Τῷ Μετρητοπώλῃ.

Εἴθε μὴ ἔγραψας ἡμῖν, μηδὲ ἔδακες ἡμῶν τὴν ψυχὴν διὰ τῆς γραφῆς. Ἤρκει γὰρ μεμνῆσθαι ἡμῶν τὴν ἀγάπην σου, καὶ ὑπερεύχεσθαι. Μάρτυς ὁ θεός, ἡ ἀλήθεια· ἅμα ἔμαθον τὸν θάνατον τοῦ καλλίστου σου γαμβροῦ, καὶ οὕτως διετέθην, ὡς ἐὰν ἀπέθανεν ἐμοὶ γνήσιος συγγενής. Ὦ καλόν μου παιδίον, ὦ ἀγαπητόν· ὦ θαυμάσιον. Ὦ παραμυθία τοῦ καλοῦ μου κυρίου Ἰωάννου· ὦ ἄνθος μαρανθὲν ἄωρον. Ἐνθυμοῦμαι τὴν ἐκείνου παίδευσιν, τὴν κατάστασιν, τὴν πρὸς σὲ τιμὴν καὶ ἀγάπην, τὸ τοῦ βίου προνοητικόν, τὴν γεροντιαίαν ἐν νεότητι φρόνησιν, τὸ τοῦ ἤθους γαληνόν, τὰ ἄλλα πάντα τὰ ὑπὲρ τὴν ἐκείνου ἡλικίαν· καὶ δάκνομαι μὲν καὶ αὐτὸς τὴν ψυχήν, ἐνθυμοῦμαι δὲ καὶ σέ, τί μέλλεις πάσχειν· καὶ διπλάζω τὴν λύπην, καὶ ταλανίζω τὸν βίον· καὶ τὰς ἐλπίδας ἡμῶν ἐννοούμενος, οἷα μὲν ἐλπίζομεν, οἷα δὲ ἐξ ἀποτυχίας πάσχομεν. Ἔδοξας εὐτυχῆσαι καὶ ἐντυχεῖν εὑρέματι, ὅτε τὴν ἀρχὴν εὗρες τοιοῦτον γαμβρόν· καὶ εἶχεν οὕτω τὸ πρᾶγμα. Νῦν δὲ οἷον ἔπαθες, ὀλίγον γευσάμενος τοῦ τοιούτου γλυκυτάτου, εἶτα διὰ τῆς στερήσεως αὐτοῦ πικρανθεὶς πλείονα· καὶ οὐ λέγω

διὰ τὸ βάρος τῆς τροφῆς τῆς ἀθλίας ἐκείνου γυναικὸς καὶ τῆς τῶν βρεφυλλίων ἀνατροφῆς, ἀλλὰ διὰ τὴν ἐκείνου στέρησιν. Λυπεῖσθαι μὲν οὖν σε διὰ τὸ αὐτοῦ στέρεσθαι οὐ μὴ κωλύσω, ἵνα μὴ δόξω ἀπάνθρωπος καὶ ἀνάλγητος· ὅπου γε καὶ αὐτὸς ἐγὼ οὐ μόνον, δεξάμενος τὴν γραφήν σου, καὶ ἀναμαθὼν τὸν ἐκείνου θάνατον, ἄφωνος ἔμεινα ἐφ' ἱκανόν, ἀλλὰ καὶ εἰσέτι, ὁσάκις ἐκεῖνον ἐνθυμηθῶ, τὰ ὅμοια πάσχω· καὶ ἐπὶ τὰ ἑξῆς δὲ οὐδέποτε αὐτοῦ ἐπιλήσομαι. Διότι ἐγγεγραμμένον εἶχον αὐτὸν εἰς ψυχὴν ὡς [πλείστου] ἄξιον. Ἀξιώσω δέ σε, μὴ παντελῶς ἐνδοῦναι τῇ λύπῃ, καὶ βυθισθῆναι ὑπὸ τῶν θλίψεων, ἀλλ' ὑπανέχειν σεαυτὸν καὶ ἀνακουφίζεσθαι. Ἀρκέσει σοι γὰρ ὁ ἐλευσόμενος καιρὸς εἰς τὸ θλίβεσθαι. Περιμυθοῦ δὲ καὶ τὴν ἐλεεινὴν ἐκείνου γυναῖκα τρόποις ἄλλοις τε, καὶ διὰ τοῦ φαίνεσθαί σε μὴ πάντοτε κλαίοντα καὶ λυπούμενον. Οὕτω γὰρ καὶ ἐκείνη περιμυθίαν τινὰ λήψεται.

μ

Ὑγιαίνοντες τῇ τοῦ θεοῦ βοηθείᾳ, εὐχόμεθα ὑγιαίνειν καὶ τὴν ἀγάπην σου· ὃ δὴ καὶ μανθάνομεν. Ἐὰν δὲ θλιβερά σοί τινα ἐπιγίνωνται, τοῦτο τῇ τοῦ βίου προςλογίζου ἀνωμαλίᾳ. Οὐδὲ γὰρ δυνατόν, ἄνθρωπον ἐν βίῳ τυγχάνοντα διαφυγεῖν, ὥσπερ οὐδὲ τὰς μερίμνας, οὕτως οὐδὲ τὰς λύπας. Καὶ τοῦτο μὲν οὐκ ἔχει τι παράδοξον. Τὸ δὲ ὑπολαμβάνειν σε, ὅτι ἐπελαθόμεθά σου, καὶ ὅτι μὴ φιλοῦντες οὐ γράφομεν, τοῦτο παράδοξον ἡμῖν ἔδοξε διά τε ἄλλα πολλά, καὶ διότι τὸ μὲν γράφειν καὶ βλέπειν ἀλλήλους ἔστι που φιλίας ἐνδεικτικόν· οὐκ ἤδη δὲ τὸ μὴ γράφειν, μηδὲ εἰς ἐντυχίαν ἔρχεσθαι, ἀφιλίας λογίζεται ἔνδειξις. Ἐνθυμήθητι, ὅτι, ὁπηνίκα ἦμεν ἔνδημοι τῇ Μεγαλοπόλει, βραχὺ διάστημα ἐμέσαζεν ἡμῖν τὰς οἰκήσεις· καὶ πολλάκις καιρὸς πολύμηνος διήρχετο, καὶ ὁ κύριος Κωνσταντῖνος ὤκνει τὴν εἰς τὸν Εὐστάθιον ἐπέλευσιν· καὶ ἐρωτώμενος, διατί τοῦτο ποιεῖ, ἐλάλει τὰ εἰκότα, καὶ ἔπειθε. Πῶς δὴ νῦν αὐτὸς οὐκ ἐννοεῖται περὶ ἡμῶν τὰ ὅμοια, ἐπικλᾷ δὲ ἡμῖν ἀμνηστίας αἰτίασιν; Ἡμεῖς ἐδοκοῦμεν ἀντιγραφῆς ἀρκεῖν καὶ τὰς προςηγορείας, ἃς μυριάκις ἐστέλλομεν. Ἐὰν δὲ ἐσιγῶντο, ψόγος τοῖς ἁμαρτάνουσιν· ἡμεῖς δὲ ἀκαταιτίατοι. Περὶ τῶν σῶν οὐκ ἔγραψας ἡμῖν, ὅπως ἔχουσι. Καὶ εἰ μὲν εὖ, οὐ καλῶς ἐποίησας, μὴ θέλων συμμερίτας ἡμῖν ἔχειν τῆς χαρᾶς· εἰ δὲ ἄλλως, ὅπερ ἀπευχόμεθα, σὺ μὲν εἴποις ἄν, ὅτι οὐκ ἐπέστειλας, οἷα μὴ θέλων θλίβειν ταῖς κακαγγελίαις ἡμᾶς. Ἡμεῖς δὲ οὐδὲ οὕτως αἰτιάσεως ἀπολύσομέν σε, ὡς μὴ τὴν κοινὴν ποίναν τῆς εὐκολίας εὖ διακρίνοντα.

μα

Τῷ πανσεβάστῳ σεβαστῷ καὶ μεγάλῳ ἑταιρειάρχῃ.

Μία χελιδὼν ἐφ' ἡμᾶς γραφὴ πανσέβαστος τῆς σῆς ἀντιλήψεως (καὶ αὐτὴ οὐ δυςαχθής, ὅτι μηδὲ λάλος· καὶ οὐδὲ οἷα κατὰ τὴν παροιμιαζομένην φωνεῖν βάρβαρα· μεμετρημένη δὲ τὴν γλυκεῖαν λαλιάν, ὁποῖος οὗτος νόμος ἐπιστολῆς, καὶ πρὸς Ἑλληνίδος γλώσσης ἀπεξεσμένη εὐγένειαν) — μία μὲν οὖν, ὅπερ ἔφην, αὕτη χελιδὼν ἐπετάσθη ἡμῖν· ἀλλ' αἰθριάζον ἔαρ ἐποίησε. Τί δέ, ἐὰν ποτέ τις δευτέρα ἐπιφανείη; Ἢ πάντως χρυσοῦν θέρος τηνικαῦτα μηνύσει ἐσόμενον. Ms. fol. 252 a. Ἔλθοι τοίνυν, καὶ ἡμεῖς οὐκ ὀκνήσομεν τὰ συνήθη ἐπιμέλψαι αὐτῇ. Τοιοῦτον τι καὶ παρὰ τοῖς πάλαι ἦν γινόμενον· καὶ ὅτε κατ' ἀρχὴν ταῖς χελιδόσι τοῦ φαίνεσθαι ἦν τὴν πρώτην ἢ καὶ δευτέραν, λόγοις ἐδεξιοῦντο συγκειμένοις πρὸς ἐμμέλειαν. Ἔσται οὖν τοῦτο καὶ ἡμῖν, οἵ οὔτε νῦν ἠμελήσαμεν, ἀλλ' ἐπεκροτήσαμεν καὶ ᾠδικῶς ἐσκιρτήσαμεν, καὶ ὑγείαν καὶ πᾶν ἕτερον ἀγαθὸν τῇ ἀντιλήψει σου ἐπηυξάμεθα· καὶ εἰς τὸ ἐπιὸν δὲ τοιοῦτοι ἐσόμεθα· ὡς τάχιον ἂν διεκπεσεῖται ἡμῖν ἡ γλῶσσα τοῦ στόματος, ἤπερ αὐτὴν ἐπιλείψει λαλοῦσαν ὁ λόγος ὁ περὶ τῆς σῆς ἀντιλήψεως. Τὸ δὲ λοιπὸν τοῦ καιροῦ εἰς ψυχὴν αὐτὴν ἀνάγραπτόν σε φέρομεν· καὶ τῶν τε εὐχῶν καὶ τῆς λοιπῆς μνήμης φέροις παρ' ἡμῖν τὰ πρωτόλεια. Ἐπακούοι δὲ θεός.

μβ

Τῷ φιλανθρωπίνῳ παλατίνῳ, κυρίῳ Ἰωάννῃ, τῷ καὶ ὕστερον καθηγουμένῳ.

Νῦν ἔγνων, ὅτιπερ ἐν οὕτω καλοῖς τὸ ἐμὸν ἄλσος κεῖται, καὶ δένδροις εὐγενέσι κομᾷ, καὶ θαύματος ἀξίοις ἐνευθηνεῖται καρποῖς, καὶ πολλοῖς θάλλει τοῖς ἀγαθοῖς· καὶ ἐξαίρω τῶν ἄλλων τὸ ἐμὸν τοῦτο καλόν, καὶ γῆν αὐτὸ κρίνω μακάρων· ὅτε καὶ τὸ τῆς σῆς ἁγιωσύνης μακάριον εἰς πόθον ἐξεκαλέσατο· ὅς γε καὶ κατασκόπους ἐπιπέμπεις, τῶν ἐμῶν ἀγαθῶν τι προδώσοντας ἢ καὶ περισυλήσοντας, δύο τούτους, δεινοὺς ἐπιβουλεῦσαι, σοφοὺς τεχνάσασθαι, δεξιοὺς κατασκέψασθαι. Οὕτω ποτὲ καὶ Ἰησοῦς, ὁ τοῦ Ναυῆ, τῆς ὑμνουμένης Ἱεριχοῦντος ἐπιβαλόμενος, κατασκόπους ἐξέστειλε δύο· οἳ καὶ παρειςπεσόντες ἔνδον τῆς πόλεως, καὶ πᾶν, ὅπερ ἐβούλοντο, πρὸς τέχνην κατεργασάμενοι, μεγάλῳ τῷ στρατηγῷ, πρὸς ὅπερ ἤθελε, συνεβάλοντο. Καὶ μὴν ἡ πόλις ἐκείνη μεγάλη ἦν, καὶ καλὴ ἦν, καὶ πολλὰ εἶχε τὰ ἐπαγωγά· καὶ τοῦτο οὔτε τοὺς ἐπιβουλεύοντας, οὔτε μὴν πολλῷ πρότερον

τοὺς ἐνοικοῦντας ἐλάνθανεν. Ἐμοὶ δὲ μόνῳ τῶν ἄλλων (ὡς ἔοικε) μέχρι καὶ ἐςάρτι τὸ κήπιον οὐ πάνυ τι ἐν ἀριθμῷ ἦν· οὐδ' οὕτω περιέργως ἐνέβλεπον τοῖς αὐτοῦ· οὐδ' ὑπερλίαν ἔμελέ μοι τῶν κατ' αὐτό. Ἐκρύπτετο γάρ με τάχα καὶ τὸ κάλλος· οὐχ ὑπεξέφαινεν, οὐδὲ παρεγύμνου τὰς χάριτας. Σὲ δὲ οὐκ ἐλάνθανεν· ἀλλ' ἡ παρ' Ἡσιόδῳ πολύλαλος φήμη τὴν τούτου σοι ἀλήθειαν παρεκόμιζε, καὶ πρὸς φίλτρον ἐξέκαεν. Ἀμέλει καὶ τοὺς ἐπιβούλους εὖ μάλα καταρτίσας ἐπαφῆκας ἡμῖν φθονῶν μὲν — οὐκ ἂν εἴποιμι (τοῦ γὰρ περὶ σὲ χοροῦ τῶν ἀρετῶν ὑπερόριος ὁ φθόνος ἐξώρισται)· νέμεσιν δ' αὖ προσμαρτυρῆσαι τῷ πράγματι ὀκνῶ κατ' ἐμαυτοῦ. Νεμεσᾶσθαι γὰρ οὔκουν βεβούλημαι. Κρίνω γοῦν, ὅτι ζῆλος ὁ κρείττων ἐκκάει σε, καὶ ἡ τοῦ κήπου χάρις ἐφέλκεται. Καὶ ἐπεὶ μὴ μεταστῆσαι μοι τὸ ἄλσος ἔχεις ἐπισπάστρῳ τινὶ παλαμναίῳ, μηδὲ μετακινῆσαι ἀνάγκῃ τινὶ μηχανῆς ἑκατόγχειρος, αὐτὸ μὲν καὶ ἄκων ἐᾷς ἐπὶ χώρας μένειν, καὶ παρ' ἡμῖν εἶναι· ἐπισπᾶσθαι δὲ μελετᾷς ἄλλως εὐμηχάνως τὴν εὐδαιμονίαν τούτου πρὸς ἑαυτόν· καὶ ὅτι μὴ αὐτὸ περιαγαγεῖν ἔχεις, μετάγειν θέλεις τὰ ἐν αὐτῷ. Οὕτω μοι καλὸς ὁ κῆπος· οὕτω πίων· οὕτως εὐθαλής· οὕτως εἰς καρπογονίαν εὐφυής· οὕτως εἰς καλὸν ἅπαν εὔθετος. Οἷος οὖν εἰς ἀφέλειαν ἔγωγε, εἴπερ αὐτὸς μὲν τοιούτου καλοῦ ἐπήβολος ὢν οὐκ ἔσχον ἐπίστασθαι, ἄλλοι δὲ τὸ ἐμὸν ἀγαθὸν πόῤῥωθεν φαντασάμενοι ἐμοῦ μᾶλλον ἐξηκριβώσαντο. Οὕτως ἀμαθὴς ἐγὼ τοῦ δέοντος, καὶ προσήκων ὑποδιδώσκοντι τάττεσθαι, καὶ τὸ γινώσκειν ἀεὶ παρ' ἄλλοις ἔχων κείμενον. Ἀλλὰ τί πρὸς ἄλλοις γίνομαι, τοὺς δεινοὺς κατασκόπους ἀφείς; τοὺς ὑποφήτας τῆς μηχανῆς; τοὺς ὑποδρηστῆρας τῆς ἐπιβουλῆς; τοὺς τῆς ἐμῆς φυταλιᾶς βαρεῖς ἐπιβούλους; τοὺς τὰ μὲν ἄλλα κοινοὺς ἑταίρους καὶ ὡς ἐπὶ σταθμοῦ τὴν φιλίαν ἐν ἰσότητι ταλαντεύοντας, ἐνταῦθα δὲ πρὸς ῥοπὴν ἑτερόζηλον τὴν πλάστιγγα μεταστήσαντας, καὶ πρὸς τὸ μὴ καλὸν ἑαυτοὺς καθελκύσαντας; ὃ δὴ προδοσίας νόμος, εἰ καὶ ὄκνος εἰπεῖν. Τί δὴ τοὺς τοιούτους παραδραμών, ὡς ἔφθην εἰπών, περὶ ἄλλα τὸν λόγον πλανῶ; οἳ μικροῦ οἷον ἄν με διέθεντο. Ἡμέρα ἐπέλαμπεν ἤδη, καὶ οἱ κατάσκοποί σου, τοῦ κατὰ λόγον ὑψηλὸν νοουμένου μοι θείου καὶ θεόθεν δημαγωγοῦ, ἐπιστάντες τῷ ἄλσει, περιεργάζονται τὰ κατ' αὐτό· ὁ μὲν πολιὸς ἤδη, καὶ χρόνῳ τὴν ἐμπειρίαν μακρὰν συλλεξάμενος· ἡδὺς εἰπεῖν, ταχὺς ἐπιτελέσαι· ὀξὺς προϊδεῖν, βριθὺς ἐπιθέσθαι· σφοδρὸς τὴν ῥύμην, πτηνὸς τὸ τάχος· ἀετὸς ὥσπερ ἄνωθέν ποθεν καταῤῥάξας ἡμῖν. Ὁ δέ γε λοιπὸς καὶ δεύτερος ἀετιδεύς, τοῦ προφρασθέντος ἔκγονος· οὔπω μὲν τὰ πτίλα πρὸς ὀξυκινησίαν κατὰ τὸν ἀετὸν εὐθετισμένος πατέρα, γαμψοὺς δὲ ὅμως ὑπέχων τοὺς ὄνυχας καὶ οἵους ἀφαρπάζειν τὸ προστυχόν. Τούτους σου τοὺς κατασκόπους οὐ πόρνη κατὰ τὴν ὑμνουμένην Ἱεριχουντίαν ἐκείνην τῷ τοῦ ἐμοῦ τόπου καλῷ παρενέῤῥιψε (φιλία τις δηλαδὴ πολυρέμβαστος καὶ καλὸν δοκοῦσα — εἴποι ἂν ἡ Σαπφὼ — δημόσιον)· ἀλλὰ καὶ καθαρά, καὶ κατὰ τὴν παρ' Ἡσιόδῳ Δίκην παρθένος, καὶ πολλοῖς ἀνομίλητος. Οὗτοι περιελθόντες ἅπαν μοι τὸ κήπιον, εἴ που μὲν μῆλον ἦν ἑκάτερον· ὅσον τε ἐκ Περσίδος ἔχει τάχα μὲν καὶ τὴν γένεσιν, τὴν δὲ παρωνυμίαν, ὡς οὐκ ἂν εἴη ἀμφίβολον· καὶ ὅσον δὲ τὴν ἁπλῶς τοῦ μήλου κλῆσιν ἔλαχεν ἀσυνδυάστως πρὸς ἐπίθετον· ἀλλὰ ταῦτα παρ' οὐδὲν ἐτίθεντο. Παρήρχοντο δέ μοι καὶ τὰς εὐγενεῖς σταφυλάς, ὅτι ὄμφακες· καὶ τὰς καλὸν λαμπούσας ῥοιάς, ὅτιπερ ἐν κενοῖς λεπυροις ἔτι καὶ κάλυξιν. Οὐ προσεῖχον δὲ τὸν νοῦν οὐδὲ ταῖς συκαῖς· οὔπω γὰρ τὸ τῶν σύκων μέλι προυβέβλητο, οὐδ' εἰς ὁμιλίαν οἷον ὑπέχαινον. Τί μοι μακρὰ λέγειν; Πάντα τὰ ἐκεῖ περιδραμόντες τὰ καλά, τὰ πολλά, τὰ λαμπρά, ἑνὸς ἐγίνοντο καὶ μόνου τοῦ περιπύστου δένδρου, τοῦ ἐπιφθόνου· καὶ τῶν ἄλλων ἀποκρίναντες τὴν καλὴν μητέρα, τὴν ἀμυγδαλήν, περὶ τὸν αὐτῆς γόνον, τὸν ἕνα, τὸν ἀγαπητὸν ἐκεχήνεσαν· καὶ ἰδόντες τὸ ποθούμενον, ἀποσχέσθαι οὐκ ἤθελον, ἀλλ' ὅλοι περὶ αὐτὸ ἦσαν. Καὶ ῥητὰ ῥητοῖς συνέβαλλον ψίθυρα· καὶ οὐκ ἔθ' ὑπὸ κόλπῳ συνεῖχον τὰς χεῖρας, ἀλλὰ παρεγύμνουν ἠρέμα, δεικνύντες ἡλίῳ. Καὶ εἶχον ἐν ἑτοίμῳ δράττεσθαι τοῦ καρποῦ, ὅπως ἂν καὶ ἔχοιεν, εἴτε πρὸς βίαν εἴτε καὶ δόλῳ περιγενόμενοι· κἂν ἐξέπραξαν, εἰ κατημέλησα ἐγώ. Καὶ ᾤχοντο ἄν, ἀφαρπάσαντες· καὶ εἶδεν ἂν ἥλιος ἁρπαγήν, καὶ ταύτην, ἣν οὐκ ἦν ἔξω ἐμοί γ' οὖν λόγου πεσεῖν. Νῦν δέ με περιελθὼν ὡς τάχος πτερόεις τις λογισμός, καὶ κατειπὼν τὴν ἐπιβουλήν, παρέστησέ τε τοῖς ἐπιβούλοις καὶ ἀπεῖρξε τοῦ ἐγχειρήματος, ἐλεγχομένους, καὶ τῆς ἐπιβουλῆς ἐξάρνους μὴ γινομένους. Ἐνταῦθα εἴ τι καὶ περιαυτολογῆσαι με χρή, τεθαύμακα ἐμαυτόν, ὅτι πραϋθυμήσας καὶ μὴ θυμομαχήσας καὶ ἐκπεσὼν ἐμαυτοῦ, κακὰ διεθέμην τοὺς τὴν ἐμὴν γῆν ταύτην περιεργασαμένους οὐκ εὔσκοπα. Καλὰ γοῦν μοι ταῦτα οἴκοθεν πολιορκουμένῳ, καὶ ἀφ' ἑστίας ἔχοντι τὰ τῆς ἐπιβουλῆς. Τί οὖν ἂν ἔτι μοι παρὰ τῶν ἀλλοδαπῶν μήκιστον γένηται, εἰ τοὺς ἐμοὺς ἐν οὕτω καιρίοις ἐπιβούλους ἐξεύρηκα; Τί δ' ἂν εἰς ἀποφυγὴν ἐνέδρας αὐτὸς μηχανήσωμαι, τοὺς συμμάχους αὐτομόλους καθ' ἡμῶν ἐξευρών; Οὐδὲν

ἄλλο πάντως, ἀλλά σοι ἀποπληρώσω τὸ θέλημα, καὶ τὸ ἐπιβουλευόμενον ἑκὼν ἀέκων σοι διαπέμψομαι. Οὕτω γὰρ τούς τε κατασκόπους ἀμυνοῦμαι, καὶ ἀπὸ θυμοῦ πεσεῖν σοι ποιήσω, διαπεσόντος αὐτοῖς τοῦ σκοποῦ· καὶ οὐδ' ἀντιστήσομαί σου τῷ βουλήματι, ὅτι μηδὲ πώρος ποτὲ τῆς σῆς ἀπεστάτουν φρενός (τοῦτο δὴ τὸ Σοφόκλειον). Ἔχεις οὖν καὶ δὴ τὸ ἐμὸν τοῦτο καλόν, τὸ μέγα, τὸ μονῆρες· ὃ τάχα μόνον ἓν εἶχεν ὁ καθ' ἡμᾶς ἄρτι βίος, ὡς τὸν τοῦ Περιόζου ποτὲ μέγαν καὶ κάλλιστον μάργαρον. Ἔχεις τὸ τοῦ κατ' ἐμὲ ἄλσους ἀγλάϊσμα, τὴν τοῦ ἐμοῦ κήπου καλλιτεκνίαν, εἰς ὃ τὴν πᾶσαν καλλιτεχνίαν ἡ φύσις φιλοτίμως ἐγκαταβέβληται· οὗπερ τὰ καλὰ τὴν πρὸς τὰ ὁμογενῆ ἐκπέφευγε συμβολήν. Τούτου στερηθεὶς ἐγὼ τὰ μὲν ἄλλα δυσφόρως ἔσχον· ὅτι δὲ ἡ μήτηρ (τὸ δένδρον) οὐκ ὀλίγον τοῦ βάρους ἀπεφορτίσατο, τοῦτό μοι τὸ μόνον ἐλογίσθη παρήγορον· ὡς, εἰ μὴ τάχιον ἐκκοπὲν ἀπεγένετο, κατέσπακεν ἄν τι τῆς μητρὸς τῷ βάρει, καὶ εἰς τὰς ἑξῆς γονὰς ἀπηχρείωσε. Καὶ μὴν ἡ μήτηρ, εἰ καὶ τὸν φόρτον οὐκ ἔχει, ἀλλ' ὅμως ἐῴκει θρηνεῖν (εἴποι ἂν ὁ Θεόκριτος), τὸν ἕνα τὸν γλυκὺν τοῦτον ἀφαιρεθεῖσα. Καὶ μεγάλην τὴν ἐκκοπὴν τοῦ καρποῦ κραδαινόμενος ὁ ἀκρέμων οὗτος, καλὸν κάρπιμον, ἐξεκρέματο. Σαλεύειν ἐδόκει, καὶ ὡς ἐν πένθει κατασείεσθαι, καὶ τὰ κάτω νεύειν ἐκεῖνος. Ms. fol. 252. b. Ἐκουφίσθη μέν, οἰχομένου || τοῦ καρποῦ, τὸ τοῦ βάρους πολὺ ἀποθέμενος· τὸ δ' ἦν οὐ κουφισμὸς ἀληθῶς, ἀλλὰ φυγή τις καὶ ἀνοικισμὸς καὶ εἰς ὕψος ἀποκατάστασις, μὴ καὶ αὐτῷ τὰ τῆς ἐπιβούλου χειρὸς κακόν τι διάθωνται προσαψάμενα· ἐπεὶ οὐκέτι πιστά τά γε εἰς αὐτήν. Καὶ μὴν ἄλλως ἡμέροις εἶχον καὶ ὁ φέρων ἀκρέμων καὶ ὁ καρπὸς ὁ φερόμενος· ὃς καὶ κάτω προκύπτων ἤθελεν ἐπαφᾶσθαι, καὶ τῶν ὑπερχομένων δράττεσθαι. Καὶ ἦν ἐθὰς ἀνθρώπων κεφαλαῖς, καὶ χείλεσιν ὡμίλει (ᾔδει γάρ, ὅτι καὶ φιλεῖσθαι ἐστὶν ἄξιος)· καὶ ὀφθαλμοῖς ἐνέπιπτε, καὶ γάρ τοι καὶ ἀξιοθέατος. Καὶ ὅλως ἦν φιλάνθρωπον τὸ καλόν. Ὅτε μέντοι κατεσπάσθη τὰ τοῦ καρποῦ, καὶ ὁ κλάδος ἀφῃρέθη τὸ ποθητὸν φόρημα, τότε δὴ ἀναίνεται τὸ χειρόηθες· καὶ δραπέτης οἰχόμενος ἀναχωρεῖ, καὶ εἰς τὰ αὑτοῦ ἀναλύσας ὕψου ὅσον τάχος αἴρεται, ὡς ἔκ τινος μηχανῆς· οὐκέτι φιλῶν ἀνθρώπους, οὐδὲ καταψᾶσθαι θέλων ἀνθρώπων χερσίν, ὑφ' ὧν ὁ καλὸς ἐπιβεβούλευται τοκετός. Οὕτω καὶ πέρδιξ, ἁλόντος τοῦ νεοττοῦ, αὐτὸς πτερυξάμενος ᾤχετο. Κατὰ τὰ αὐτὰ δέ που καὶ λέων, ἐπὰν ὁ λεοντιδεὺς αὐτῷ ἀνθρώποις λάθοι πεσὼν ὑποχείριος, ἀλκῆς λαθόμενος ἐδραπέτευσε. Βαβαὶ οἷος μὲν πέρυσι χρόνοις ἀπειροπληθὴς καρπῶν τὴν προενεγκοῦσαν κατέστεφε, καὶ ὥσπερ ἐντὸς ἐπύκαζεν· ὡς δοκεῖν μὴ δένδρον εἶναι τὸ πρὸς θέαν ἐκκείμενον, ἀλλὰ βουνὸν ὅλον καρπῶν. Οἷος δὲ ἄρτι ἀντὶ πολλῶν ἐκείνων εἷς αὐτὸν κατεκόσμησεν, ἀξιόχρεως ἀντὶ μυρίων εἰς καλλιτεκνίαν τῇ μητρί. Καὶ πρῴην μὲν πολυτοκοῦσα τὸν θεατὴν ἐμέριζεν εἰς πολλά, ἀμηχανοῦντα, τίνος ἂν γένοιτο τῶν πολλῶν· νῦν δὲ παραξέσασα τὴν παλαιὰν ταύτην παροιμίαν, εἰπεῖν· οὐ πολλοὺς ἔτεκε, τεκοῦσα δὲ μέγαν ἔτεκε. Καὶ τάχα φιλοσοφεῖν ἔοικεν ὁ ἐμὸς οὗτος καρπός, νῦν μὲν ὅσα καὶ φύλλα διδοὺς ἑαυτὸν εἰς τρυφὴν τῇ μητρί, αὖθις δὲ εἰς ἕνα καὶ μόνον προβεβλημένος, ὡς ἂν ἐντρέψας ἐκείνην πείσῃ, μὴ ἐπὶ πολυγονίᾳ μέγα φρονεῖν, ἀλλ' εἰς τὴν ἀρχὴν ἐπεστράφθαι, καὶ ἑαυτὴν εἰδέναι, ὡς ἐξ ἑνὸς τὴν ἀρχὴν μόνον καὶ τοιούτου εἰς τηλικοῦτον δένδρον προήχθη, καὶ τὸ μέγα καὶ πολυπληθὲς κατεπλούτησε τῆς πολυτεκνίας σεμνόν. Καὶ μήποτε διὰ τὸ νῦν μου ἄδικον καὶ οὕτως ἀχρειῶδες τοῦ καρποῦ οὐδὲ ἐς τροφὴν ἀποχρήσεσθαι χρὴ τῇ μονάδι ταύτῃ, οὐδὲ τὸ φύσει τίμιον αὐτῇ περιποιήσεσθαι, καὶ εἰς ἀρχὴν ὁμοίως γενέσεως ταμιεύσεσθαι, καὶ σπέρμα εὐγενὲς αὐτὸ ἐκθεῖναι εἰς γῆν, ἀφ' οὗ γενήσεται ὅμοιον, καὶ πληθυνθείη τὸ καλὸν αὐξηθὲν ἐπὶ γῆς. Τὰ μὲν οὖν ἄλλα τῶν δένδρων καρποῦ ἔναγχος εὐφορήσαντα κέκμηκε τέλεον εἰς ἔτος, οἷα τὴν ὕλην τοῦ γεννᾶν δαπανήσαντα, καὶ τὴν γένεσιν (ὡς ἂν εἴπῃ τις) κατασωτευσάμενα· καὶ οὐκέτ' ἔχει καρπὸν οὐδένα προφέρειν. Μένει δὲ γονίμης φύσεως ἀσυντελῆ, φύλλοις εὐθηνούμενα μόνοις· ὡς ἔργον εἶναι, διαγνῶναι τὸν θεατήν, εἴτε φύσεως ἡμέρου τὸ φυτόν, εἴτε καὶ καθάπαξ οὐ γόνιμον ἡμέρου καρποῦ. Τὸ δὲ ἐμὸν τοῦτο φυτόν, ἡ καλὴ ἀμυγδαλῆ, τὸ νεαλές, τὸ πέρυσι καὶ πρωτοτόκον καὶ πολυτόκον, ὅτε τὰ αὐτὰ νῦν ἔδει καὶ μάλιστα τοῖς ἄλλοις παθεῖν, καὶ πρὸς γένεσιν ἀποκαμεῖν, οὐ καθ' ἐκεῖνα τέλεον λανθάνεται τῆς γονῆς· ἀλλ' ἀντὶ τῆς πάλαι μυριοπληθείας ἄρτι τὴν μονάδα προΐσχεται, καὶ τοκάδα πληροφορεῖ τέως ἑαυτὴν εἶναι γόνιμον. Ἔτι γε μὴν κἀνταῦθα φιλοσοφεῖ, ἀνιοῦσα τε τῷ καρπῷ, καὶ αὐτῷ ὑποκαταβαίνουσα, καὶ ποτὲ μὲν πλῆθος προϊσχομένη ἀνάριθμον, ποτὲ δὲ τὸ ἓν αὐτὸ τὸ στοιχειωδέστατον, οὗ πᾶν πλῆθος μετέχειν πῃ δεδιδάγμεθα· καὶ οὐδέποτε τὸ ἔργον τοῦτο ἀριθμοῦ ἐστιν ἀνεπίγνωστον, ἢ τοῦ κατὰ παραύξησιν εἰς πολλά, ἢ τοῦ εἰς ἓν κατ' ἀνάλυσιν. Σὺ δὲ ἄρα τὸ σὸν φυτὸν ἐπαινεῖν ἔοικας, ὃ χθὲς εἰς ἐπίδειξιν πολλοῖς φιλοτιμησάμενον ἀριθμοῖς, σήμερον τοῦ παντὸς ἐξελάθετο. Ὡς εὐγενής τις ἀληθῶς ἀναχώρησις αὕτη

τοκετοῦ, καὶ (ὡς εἰπεῖν) ἀνάπαυλά τις γενέσεως· καὶ οὐ κατὰ τὴν τῶν λεόντων συμπέρασμα φύσεως. Τοῖς μὲν γὰρ ἐκ πολλῶν γεννημάτων εἰς ἕνα τελευτᾷ σκύμνον ὑποκαταβαίνων ὁ τοκετός· καὶ τῷ σκύμνῳ τούτῳ εὐθὺς καὶ ἡ γένεσις ἐπεσφράγισται, συγκλεισθείσης τῆς φύσεως. Τῷ δὲ ἐμῷ δένδρῳ ὑποκαταβαίνοντι τὸ ἓν τοῦτο οὐ τελευτὴ γονιμότητος, ἀλλὰ μονότης καὶ στάσις καὶ (ὡς φθάσας ἔφην) ἀνάπαυλα, καὶ ἐπαγγελία καρπῶν φιλοτιμοτέρων ἐςνέωτα. Οὐ γὰρ ἀπέκαμεν ἡ φύσις τοῦ δένδρου, ἀλλὰ νῦν ἀκμάζειν ἀπάρχεται, καὶ πολυγονεῖν μελετᾷ, καὶ ἐγγυᾶταί μοι τὴν πολυγονίαν εἰςέπειτα. Καί μοι τὸν ἕνα τοῦτον τὸν μέγαν καρπὸν προσενεγκὼν εἰς ἀρχέτυπον ὁποῖα, καρποδοτήσει πρὸς τὸ ἐπιόν. Ἀσχολεῖται περὶ κλάδων βλάστην, καὶ στελέχους αὔξην, καὶ φλοιοῦ παχύτητα, καὶ πρέμνου στεῤῥότητα· ὡς ἂν τοῦ ἐπιόντος ἔτους (ἀλλ' ἀπέστω βάσκανος ἀκοὴ) τὸν πολὺν καρπὸν στέγειν, καὶ τὸ ἐκεῖθεν ὑπερέχειν βάρος δυνήσεται. Εἰς διαστάσεις εὐρύνεται, εἰς εὐρυχωρίαν ἐκτείνεται, εἰς τοπικὴν εὐφυΐαν διΐσταται. Ἀνατέλλει μοι κώμακας, ὧν ὁ καρπὸς ἐκεῖνος εἰς τὸ μέλλον δαψιλὴς ἀπαιωρηθήσεται. Προνοεῖται τοῦ ἔπειτα στερεμνίου, ὡς ἂν μὴ τὸ πολὺ βρῖθος τῆς πολυτοκίας αὐτὸ κατακάμψειε. Τόπους παράγει, οἳ τὴν εὐδαιμονίαν χωρήσουσι. Σημαίας ὑψοῖ, ἐφ' ὧν τὸ ἑαυτῆς ἀναστηλώσει καλόν, καὶ θριαμβεύσει τοῦ τοκετοῦ θεατρικῶς τὸ καλλίστευμα. Καὶ οὕτω μὲν εἰς ὕψος μηκύνεται· τῇ δὲ εἰς πλάτος διαστάσει εἰς ὄροφον ἐκπετάννυται, καὶ σκιὰν ἔνδοθεν ὑποθαλαμεύει, καλὴν τῷ βουλομένῳ ὑποκαθῆσθαι, καὶ ἡλίοις ἀνεπιβούλευτον. Καὶ ταῦτα νῦν τὸ ἐμὸν τεχνασάμενον δένδρον εἰς ἔτος ἄλλο καὶ τῷ καρπῷ πολλῷ καλλυνεῖται, καὶ ὡς ἡ Ξέρξου πλάτανος πρότερον εἰς εὐφυῆ νυμφικῶς ἑαυτὴν ἀναδρομὴν σκευάσασα, καὶ εἰς εὐγενὲς εὐσταλῶς μέγεθος διαστήσασα· εἶτα δὲ καὶ κόσμῳ οἷον χρυσέῳ τῷ λαμπρῷ τοῦ καρποῦ στολισθήσεται· ὡς νῦν γε οὐκ ἐξαρκεῖ τὸ νεοτήσιον τοῦτο τοῦ δένδρου κάλλος μερίζεσθαι πρὸς πολλά, οὐδ' αὐτάρκως ἔχει φύσεως πρός τε διαστάσεις ἀξιολόγους καταμερίζεσθαι, καὶ τῷ καρπῷ πολλῷ καταβρίθεσθαι. Καὶ ἡ αἰτία παρὰ τὸν χρόνον. Οὐ γὰρ ἡλίου πολλαῖς ἀποκαταστάσεσιν ἡ τούτου γένεσις συμμεμέτρηται, ἀλλὰ πέμπτον ἢ ἕκτον ἔτος τὸ τούτου θάλος μετρεῖ. Ἔχεις οὖν, τιμιωτάτη ψυχὴ καὶ τοῦ παντὸς ἀξία μοι κεφαλή, τὸ ἓν καὶ πᾶν τῆς ἐμῆς κηπαίας, τὸν ἐγγυητήν μοι τῆς εὐφορίας, τὸ καλόν μοι ἐν ἐλπίδι πληροφορίας ἀρχέτυπον, τὸν τῆς εἰςαῦθις καρποφορίας μοι πρόδρομον. Φύλαξον οὖν αὐτὸν ἀπόθετον, καὶ ὡς ἀρχὴν περίσπε, καὶ ὡς κειμήλιον σύνεχε, καὶ ὡς ἐγγυητὴν περίστελλε· ἤδη δὲ καὶ ὡς ἔλεγχον σύγκρυπτε. Καί μοι πρὸς αὐτὸν ἐν καιρῷ συγκρίνας τὸ ἐσόμενον τοῦ καρποῦ, καὶ μαθών, εἰ ψεύσομαι, ἀπέλεγξόν τε καὶ ἐπιτίμησον. Εἰ δὲ καὶ μεταλαβεῖν αὐτοῦ βούλοιο (οἶδα γάρ, οἷον τοῦ καρποῦ τὸ ἐπαγωγόν), μήτε μόνος τὸ καλὸν ἀπολαβὼν ἔχε, μήτε ἄθρουν τὸ μέγα τοῦτο προςφέρου (τί[ς] γὰρ ἂν οὕτως αὐτοῦ κατακαυχήσηται, εἰ μὴ αὐτὸ τοῦτο βουθοίνας εἴη ἐκεῖνος;)· κατάτεμε δὲ κερματίσας εἰς πλείω, καὶ τοῖς τὸ καλὸν εἰδόσι καὶ φιλοῦσι διάνειμαι. Ἀποχρήσει γὰρ οἶδα τοιούτοις πολλοῖς· εἰ καὶ μὴ πάντως πρὸς τροφὴν πλησμίαν, ἀλλά γε τρυφήν· εἰ μὴ πρὸς κόρον, ἀλλὰ πρὸς χάριν· εἰ μὴ πρὸς πανδαισίαν, ἀλλὰ πρὸς ἥδιστον ἄρτυμα. Καὶ ἔσται τοῖς μὲν φιλοκάλοις ὡς ἥδυσμα· τοῖς δὲ ὀψοφάγοις ὡς ὄψον, ἔχον τι χάριτος. Τούς γε μὴν χαριεστέρους λυπήσει καταιμηθὲν οὕτω τοῦτο τὸ τίμιον κάρπιμον. Θεωρήσουσι γὰρ τοῦτο κατά γε τοὺς ἄνω λόγους καὶ ὡς ἀρχήν, καὶ ὡς κειμήλιον, καὶ ὡς ἐγγυητήν· ὧν οὐδενός ἐσμεν ἀνεπίστροφοι ἄνθρωποι. Ἡ τε γὰρ ἀρχὴ ἐν τιμητοῖς σπουδαίοις, καὶ τὸ κειμήλιον συνέχεται, καὶ ὁ ἐξεγγυώμενος περιέπεται. Μεμνήσεται δὲ ὁ τοῦ καλοῦ τούτου φαγὼν τῆς ἡδύτητος, ὡς εἰ καὶ λωτοῦ ἐνεφορήθη, εἴτε μὴν ἀμβροσίας καὶ νέκταρος.

μγ

Τῷ δισυπάτῳ.

Ἄλλο οὐ γράφεις; Οὐκέτι λαλεῖς; Τοῦτο κατόρθημα τῶν συχνῶν ἐκείνων λόγων, τὸ μηδ' ὅλως λαλεῖν; Ἐχρῆν ἀσί[γητον] λιάζειν, καὶ ἀεὶ τοῦτο ποιεῖν, ἤπερ ἁλάμενον τοσάδε (θετέον δ', ὅτι καὶ μακρά), εἶτα συμποδισθῆναι καὶ ἀκινητίζειν εἰς τὸ πᾶν. Καὶ τοῦ σωλῆνος καλὸν τὸ σύστομον, ὡς ἂν τὸ ἐπιῤῥέον ὕδωρ πνιγόμενον ῥέῃ παράμονον· ἐὰν δὲ πλατὺ χαίνῃ [ἀνεωγμέ]νον, τὸ πᾶν ἐξήμεσε, καὶ οὐκέτ' ἐκεῖνος εὔχρηστος. Συρφετώδης μέν, οὐκ ἄχαρις δὲ λό || γος, ὃς φιλεῖ Ms. fol. 253 a.
καλὸν τὸ ὀλίγον καὶ πάντοτε. Εἰ δὲ τὸ Δωδωναῖον μοι περιφέρεις χαλκεῖον, ἀλλὰ φλύαρος ἐκεῖνος ὁ ἦχος, καὶ οὐδέν τι προςήκει ταῖς φιλουμέναις ἐπιστολαῖς. Εἰ δὲ μὴ θαμίζειν ἐς φίλου, μηδὲ συχνὰ τοῦτο ποιεῖν, ὁ ἐξ ἀγορᾶς λόγος λαλεῖ· ἀλλ' οὔτε περὶ τῶν ὡς ἀληθῶς φίλων ἡ γνώμη, καὶ οὐδὲ ταυτὸν ποσὶ θαμίζειν καὶ γράμμασι. Τάχα τοίνυν ἀπέστερξας ἡμᾶς· οὐ γὰρ δήπου φείδεσθαί σε τῶν χαρτιδίων φήσομεν, εἰ περὶ ταῦτα καὶ τῷ τιμιωτάτῳ δεσπότῃ μου τῷ δεῖνι, καὶ τῷ καλῷ δεῖνι. Καὶ ἴσως οὐκ ἐπαινέσονταί σε, ὧν ποιεῖς· εἰ δὲ εὐλογήσουσί σε, σχάσας τὴν γραφίδα, μένε ἄφωνος.

μδ

Τῷ νέων Πατρῶν κυρίῳ Εὐθυμίῳ.

Πανιερώτατε ἅγιέ μου δέσποτα· οὐδὲ τὰ ἄλλα εὖ πράττων, δυςπραγῶ κἀνταῦθα, ὅτι λύπην κατ' ἐμαυτοῦ τρέφειν τὴν σὴν ἁγιωσύνην πεπληροφόρημαι. Καὶ ἤθελον μὲν μὴ λέγειν, ὅτι οὐ καλῶς· οὐκ ἔχω δὲ μὴ εἰπεῖν. Καὶ πῶς γὰρ ἂν καλῶς; εἴγε τὸν ἀναίτιον ἐν αἰτίᾳ τίθεσθαι κρίνεις, καὶ ἀποστέργεις τὸν πνέοντά σε, καὶ ἀπραγμόνως ἀποδοκιμάζεις τὸν ἐκ μακροῦ δόκιμον. Εἰ δ', ὅτι μὴ ἐπιστέλλω συχνά, τοῦτό σε δοκιμάζει καθ' ἡμῶν, εἶχον μὲν καὶ αὐτὸς ἀντεπαγαγεῖν τι τοιοῦτον· μή μοι δὲ γένοιτο. Τό τε γὰρ ἐν τοῖς τοιούτοις ἀμυντικὸν οὐ πρὸς ἀγαθοῦ ἀνδρός, καὶ οὐδὲ τεκμήριον σταθηρὸν τὸ γράμμα φιλίας. Ἀλλὰ καλὸν μέν, εἰ πέμποιτο· μὴ στελλόμενον δὲ διά τι παρεμπίπτον ἀνάγκης, οὐδὲν τὴν φιλίαν ἐλύπησεν, οὐδὲ παρενεπόδισεν. Οὐκ ἀντεπάγομεν οὖν διαταῦτα τὸ ἴσον τῆς αἰτιάσεως. Ἀπολογοῦμαι δέ, ὑποφητεύων τῇ ἀληθείᾳ· καὶ πέποιθα, μὴ ἂν ἁλῶναι ψεύδους, ἐφ' οἷς ἐρῶ. Οὐκ ἐπιστέλλω, δέσποτα, διὰ τοὺς φαύλως διακονοῦντας τοῖς γράμμασι, καὶ τὸν κοινὸν ἀδικοῦντας Ἑρμῆν· οἳ χειρίσασθαι μὲν ἐπιστολῶν ἀετοὶ ὠκυπέτεις ἐφίπτανται, κομίσαι δὲ τῷ φίλῳ καὶ ὑπὲρ τοὺς ὄνους νωθρεύονται. Κερδαλέοι τινὲς οἶμαι οὗτοι ἄνθρωποι, πρὸ ἔργου τιθέμενοι, χαρτάρια ἐπισωρεύειν συχνά, καὶ εἰς ὀψαρτυτικὴν ἐμπορίαν φορτίζεσθαι· τρυφῆς ἐπιβολὴν εὐπόριστον, ἐμπολὴν τρυφαῖς ἀγώγιμον, ὡς ἂν ἔχοιεν τοῖς ὄψοις ἡδύσματα καταλλάττεσθαι. Ἢ τί καὶ βουλόμενοι ἕτερον φορυτοὺς ἐπιστολῶν ἀγείρουσι μέν, ἐπέχουσι δέ; Ὁ δὲ τοῦ πράγματος φορτικώτατον, ἐκεῖνό ἐστιν, ὅτι πολλοὶ τῶν ταῖς γραφαῖς ὑπουργούντων καὶ ἐν ἀξιώσεως τίθενται μέρει τὸ πρᾶγμα, καὶ λιτάζονται χειρίσεσθαι γράμμα, καὶ ἐξαίρουσι τῷ λόγῳ τὸν ἀπόδημον, καὶ φίλον ἑταῖρον ἐπιγράφονται· καὶ ἦ μὴν παρ' αὐτὸν κατὰ σπουδὴν ἐλθεῖν βεβαιοῦνται, ὡς ἐκ πελάγους εἰς λιμένα, καὶ ἐξ ὁδοιπορίας μακρᾶς εἰς ἀνάπαυλαν. Καὶ ἡμεῖς τηνικαῦτα πρὸς αὐτοῖς ἔχομεν τὸν νοῦν, καὶ δοκοῦμεν ἑρμαίῳ ἐντυχεῖν, καὶ ἐπιτρέχομεν τῷ φαινομένῳ. Τὰ δὲ ἦσαν οὐδέν, ἀλλ' ἢ χάρις γλώσσης, καὶ εἰς ἀέρα ψόφος, καὶ κόμπος κενός. Καὶ αὐτοὶ μὲν γράφομεν τὰ δοκοῦντα, καὶ ὅσα εἰσὶν ἐν ἀνάγκῃ, τεθαῤῥηκότες τῇ ἐπιπολαζούσῃ τῷ ἀγγελιαφόρῳ χρηστότητι· ὁ δὲ τὰ πολλὰ ἐκεῖνα λογοὺς κενοὺς εἶναι πραγμάτων ἀφείς, ἀτελεσφόρητον ἔθετο τὴν ἐλπίδα τῷ στείλαντι. Ὁ μὲν γὰρ ἐν ἐλπίδι φέρει τὰ τῆς γραφῆς, τὴν φιλτάτην ὄψιν αὐτόθι καραδοκῶν οἷον ἐνοπτρίσασθαι· τὸ δ' ἄλλως πίπτει. Καὶ οὔτε τὸ ποθούμενον γίνεται, καὶ ἡ φιλία διαβάλλεται. Τίνι γοῦν τοὺς τοιούτους τιμησάμενός τις κρίνῃ ἂν εὐθύτατα, ἢ τάχα ἂν θανάτῳ; Καὶ μὴν οὐχ ἱκανὸς ἀνδρὶ τοιούτῳ θάνατος εἷς, οὕτω τοὺς φίλους διχάζοντι. Ἐπίβουλοι φιλίας οἱ τοιοῦτοι, ἀληθείας ἱερόσυλοι, κακόξενοι· ἀδικοῦσι τὸν Ἑταιρεῖον, ψεύδονται τὸν Ἑρμῆν, τὸ τῆς ἀγγελίας κιβδηλεύουσι καθαρόν. Οὐδὲν ὅλως εἰσὶν ὑγιές· οἳ καὶ ἡμῖν τὰ παρόντα ἐπήγειραν πράγματα, πολλὰ μὲν λαβόντες γράμματα πρὸς τὴν σὴν ἁγιότητα παρ' ἡμῶν, ἀποδόντες δὲ οὐδὲ ἕν, καὶ διατοῦτο ναρκᾶν ἐπὶ τοῖς ἐφεξῆς πεποιηκότες ἡμᾶς, ὡς τὰ τῆς προςφωνήσεως ἡμῖν ἐν ψιλαῖς καὶ μόναις κεῖσθαι προςαγορεύσεσιν· εἴ πού τις ἐνταῦθα γοῦν δίδωσι τὰ πιστά, ὡς ἔγωγε οἶμαι, οὐδ' ἂν τοῦτό μοι συμπεσεῖν εὐτυχῶς. Ἔοικε γὰρ οὐδὲ προςκύνησις ποθὲν οὐδὲ λόγος ὁστιςοῦν ἐξικνεῖσθαι σοι ἀφ' ἡμῶν· οὐ γὰρ ἂν οὕτως ἡμᾶς διέγραφες τῆς ψυχῆς. Μάρτυρες δέ μοι τούτου — τοὺς μὲν ἄλλους τί καὶ λέγειν ἐχρῆν; ὁ δὲ τιμιώτατος κύριος Ἰωάννης, ὁ δευτερεύων πάντως καὶ ἀπαράγραπτος· ὃς διαφόρους ἐμὰς γραφὰς ἀναδεξάμενος, ἐξέστειλε γράψας καὶ αὐτός. Ἀλλ' οὔτε αὐτὸς ἤνυσε τὰ τοῦ σκοποῦ, καὶ ἡμεῖς συνεξεπέσομεν. Ἔχει καὶ αὐτὸς ἀπαριθμεῖσθαι, πόσα ἔγραψεν ἐν κενοῖς, καθὰ καὶ ἡμεῖς. Τοῦτό μοι τὸ τοῦ μὴ γράφειν αἴτιον, ἅγιέ μου δέσποτα· ὡς, εἴ γε θαῤῥοῦντι μοι ἦν, μὴ τοῦ ποθουμένου ἐκπίπτειν, δυςχερῶς ἂν ἔφερες ὄχλον πάσχων, οἷς εἶχον γράφειν συχνά. Οὔκουν ἂν δικαίως αἰτίαν ἔχοιμεν, οἷς οὐ γράφομεν. Τὸ δὲ καὶ ὀνειδίζειν, τῦφον ἡμᾶς παθεῖν, ἐφ' οἷς τῷ σοφιστικῷ βαθμῷ προςέβημεν, μὴ σύ γε ἔτι. Τοῦ παντὸς γὰρ δέομεν τοιοῦτόν τι παθεῖν· οἵ γε καὶ φαινόμενοι ἐρυθριῶμεν, καὶ ῥαββίον τὰ εἰς ῥητορείαν καλούμενοι, ἐγκαλυπτόμεθα, καὶ μόνον οὐ προβαλλόμεθα τῆς ὄψεως θοιμάτιον· ὃ δὴ τοῖς ἁπλουστέροις αἰδοῦς προκάλυμμα γίνεται. Οἶδεν ὁ Θεός, ὅτι οὐ ψεύδομαι. Οἶδας τὸ ἐμὸν οὐ πάνυ τι περιπόνηρον· τὸ ἐπὶ προόδοις οὐκ ἐντρεχές· τὸ ἐπὶ ταῖς ἀνυψώσεσιν εὐλαβές· τὸ ἐπὶ τοῖς ὑψουμένοις ἀφθόνητον· τὴν σπουδὴν τοῦ λανθάνοντα ζῆν, ἢ μηδὲ ζῆν. Πῶς ἂν οὖν τυφωθείην, καὶ οὐ μᾶλλον ἀχθοίμην, οὗ μὴ ἐμαυτὸν ἀξιοῦν εἶχον τούτου τυχών; Πολλοὶ πολλάκις ἀνεπτέρουν ἡμᾶς· ἀλλ' ἡμεῖς ἐβρίθομεν κάτω, καὶ τὴν πρὸς γῆν διατριβὴν ἐστέργομεν. Ἀνεμιμνησκον μακάρων τρυφῆς· ἡμῖν δὲ ἤρεσε καὶ ὁ πρὸς ἡμέραν, εἴ που καὶ ἀρκῶν εἴη, ὁ κατάβλωμος. Ἤθελον ἡμᾶς οἱ φιλοῦντες αὐξάνεσθαι καὶ ἀνδρίζεσθαι· ἡμᾶς δὲ οὐκ ἐλάνθανεν, ὅτι κώνωπες ἡμεῖς, ὅτι μύρμηκες, καὶ

σὺ τί που τούτων ἔλαττον εἰς εὐτέλειαν, κάτω συρόμενον, ἢ ἄνω φερόμενον. Καί που καὶ τοιαῦτ' ἤκουε πρὸς ἡμῶν ὁ τὸ ἡμέτερον ἐπισπεύδων ὕψωμα· ἔασον ἡμᾶς, ὦ οὗτος, μένειν κάτω. Οὐ θέλομεν ὑψοῦσθαι· οὐ φιλοῦμεν αὐξάνεσθαι. Ηὐξήμεθα, ἐφ' ὅσον ἔδει αὐξηθῆναι καὶ μύρμηκα· ἔδει δὲ πάντως οὐκ εἰς λέοντας, μήποτε ἄρα τὸ τῆς γραφῆς μυρμηκολέοντες ὀλοίμεθα παρὰ τὸ μὴ ἔχειν τροφήν. Καὶ ἄλλως δὲ οὐαὶ μύρμηκι πτεροῖς ἀρθέντι, ὡς ἡ ἐξ ἀγορᾶς παροιμία λαλεῖ. Κώνωπες δέ, εἰ μὴ περίγειοι πέτοιντο, οὐκ ἂν τῆς πτήσεως εἰς καλὸν ἀπόναιντο, ἁρπαχθέντες ἀνέμοις καὶ ἀπαλλαχθέντες εἰς ὄλεθρον. Ἄφες οὖν ἡμᾶς ἐν βίῳ εἶναι, καὶ μὴ ταῖς Ἁρπυίαις ἀνερείψασθαι δοίης ἡμᾶς. Ἐγὼ δὲ τὸν Τάνταλον ἄνθρωπον οἶμαι πάλαι ποτὲ γενέσθαι, πέρα τοῦ δέοντος ὑψωθέντα· ὃς οὔτε τοῖς κάτω σύνεστι, καὶ οὐδὲ τῶν ἀνωτάτω ψαύειν ἔχων, πάσχει κακῶς. Οὐκ ἔχω φιλεῖν οὐδὲ τὸν Βελλεροφόντα, ὃς ἀέριαι χα[λκω]θεὶς ἔπαιζε κατὰ Πίνδαρον. Εἶχε γὰρ αὐτὸν ὕστερον τὸ Ἀλήϊον, κάτω πεζεύοντα καὶ κατεπιχειροῦντα τῆς ψυχῆς, καὶ τὴν μετ' αὐτῶν συναναστροφὴν ἐκτρεπόμενον. Τὸ δὲ τοῦ Ἰκάρου ὕψος κατενεχθὲν εἰς ταπείνωσιν, παροιμίαν ὥσπερ καθ' ὕδατος ἔγραψεν. Εἶναι δὲ ἔοικεν οὐδ' ἐκεῖνος ἄνθρωπος προσηκόντως ἔχων εἰς ἔξαρμα· ἐντεῦθεν οὐδὲ τετελεσφόρηκε τὰ τοῦ σκοποῦ. [Ἐξ] ἐ[ναν]τίου [μοι] τοίνυν, εἴ πού τις, Δαίδαλος· τῷ τοιούτῳ γὰρ προσήκει τὸ τῆς πτήσεως. Λυέτωσαν [α]ὔραις οἱ Βορεάδαι τὸ πτε[ρόν], φ[ι]λ[οτιμ]οῦντες τὸ τοιοῦτον καλόν. Οὐδὲ τὸν Περσέα μέμψομαι, θαῤῥοῦντα τὴν πτῆσιν· ἦν γὰρ ἐκεῖνος πτερωτὸς τὰ εἰς βάδισιν, [εἴτουν, καθ]ά τις λόγος ποιεῖ, ἀρβυλόπτερος. Ἡμᾶς δὲ κάτω τις ἐάτω μένειν, καὶ τῶν τῆς γῆς καλῶν χορτάζεσθαι, εἴτουν κατὰ τὰς [χαμαὶ] φύσεις ἑρέπτεσθαι. Εἰ δέ ποτε καὶ δεήσει πτερύξασθαι, ἀγαπητόν, εἰ κατὰ τὴν Λιβυκὴν στρουθὸν τὰ πολλὰ τῆς γῆς ἐφαπ[τοίμεθα. Καὶ μὴν] ἔχει καὶ ὁ Ἑρμῆς πράγματα, διὰ τὸ πτερὸν ἀστατῶν, καὶ νῦν μὲν χθόνιος, νῦν δὲ αὖθις οὐράνιος ὤν. Τὰς δὲ Σειρῆνας [ὁ πάλαι μ]ῦθος αὐτὸς καὶ παρέλυσε τοῦ πτεροῦ καὶ κατέπνιξεν. Ὁ γοῦν ταῦτα λέγων Εὐστάθιος καὶ πολλῷ πρότερον οὐ μέγα φρον[ήσας], πανιερώτατέ μου δέσποτα, οὐκ ἂν πάντως ἔχοι τυφοῦσθαι, τοῦ ποθουμένου βίου μεταναστάς· στέργοι δ', εἰ [μετὰ] τὴν φίλην γῆν [ποτε] αὐτὸν οὐρανὸς ἐλαφρίζοιτο. Ἀπολελόγημαι ἤδη, δέσποτα, [οὐ] μό[νον] ἱκανῶς, ἀλλὰ καὶ ἀληθῶς· προσθήσω δὲ τῇ λοιπῇ [μου γραφ]ῇ καὶ τὴν κορωνίδα. Εἴ σου ἐπελαθόμην, λάθοιτό μου θεός. Ὅτι δὲ οὐδὲ φίλον ἐπιγράφομαί τινα κρείτ[τονα] τῆς [σῆς ἁγιότη]τος, οἶδε μὲν καὶ τοῦτο θεός· οὐ λανθάνει δὲ οἶμαι οὐδέ τινα τῶν, ὅσοι Εὐστάθιόν τε τοῦτον ἀκριβῶς οἴδασι, καὶ τὸν πα || νιερώτατον μητροπολίτην Πατρῶν. Ms. fol. 252. b. Εὔχου ἡμῖν, ἅγιέ μου δέσποτα. Εὐχόμεθα καὶ ἡμεῖς πᾶν ἀγαθὸν τῇ σῇ ἁγιότητι· συνευχόμεθα δὲ καὶ ἰδεῖν αὐτὴν χαίρουσαν, καὶ τὰ φιλικὰ ἐν ὄψεσι προσειπεῖν. Τῷ τέως δὲ λῦσον τὴν γλῶσσαν, καὶ ἀντιφώνησον· καὶ οὕτως ἡμῖν τὴν ἐκ λύπης διάλυσιν συνόχει.

με

Τῷ αὐτῷ.

Ἤγειρας ἡμᾶς, οἷς ἐλάλησας· ἀνέστησας, οἷς ἐφώνησας. Ὢ λόγος γλυκύς· ὢ γλῶσσα Χαρίτων γέμουσα· ὡς ἄρα σὺ μόνος ἐν τοῖς ἄρτι λαλεῖς, ὁποῖα φθέγξεται σοφὸς ἄνθρωπος. Ἰδὼν μὲν τὴν γραφὴν τῆς σῆς ἁγιότητος (ἐπιμαρτυρέσθω μοι τοῖς λόγοις ὁ τῆς ἀληθείας θεός), καὶ τὸν τίτλον ταύτης περιελθών, ἐξελαθόμην τῆς ἀσθενείας, ᾗ με περιεκέχυτο. Ὡς δὲ καὶ ἀνέπτυξα, καὶ τοῦ ἀναγινώσκειν ἐγενόμην, ὅτι μὲν ἡ ἁγιωσύνη σου πράγμασι περιεστοιχίσθη, οὐ μάλα με ἐλύπησε (δύνασαι γὰρ θεοῦ χάριτι τῶν τοιούτων ἐλαφρότατα ὑπερπέτεσθαι)· ὅτι δὲ ὑγιαίνειν ἔλαχες, τοῦτο εἰς ἐμὴν ἐλογισάμην ὑγίειαν· ὃ καὶ φυλάττοιτό σοι διὰ βίου εἰς κοινὸν ἀγαθόν. Βραχὺ δὲ τῆς ἀναγνώσεως γενόμενος, καὶ μηκέτ' ἔχων διδόναι τοὺς ὀφθαλμοὺς τῷ γράμματι (οὕτω γάρ με ἡ νόσος διέθετο), εἶτα ἑτέρῳ δοὺς ὑποβάλλειν μοι τὰ τῆς ἐπιστολῆς ὡς ἐγένετο ἐκεῖνος τῇ ἀναγνώσει περὶ τὰ Σέρβια, ἐνταῦθα καὶ ἀνωρθώθην τοῦ κεῖσθαι, καὶ κατέχειν ἐμαυτὸν οὐκ εἶχον ὑφ' ἡδονῆς. Ὢ τῆς τῶν νοημάτων γλυκύτητος. Σάλπιγξ μοι ὁ τόπος οὗτος ἐφάνη τοῦ γράμματος, κατὰ λόγον τῆς τελευταίας ἐκείνης ἀνιστῶσα με τῆς νεκρώσεως. Εἰ δὲ καὶ σάλπιγγες κατὰ λόγον ἄλλον αἱ τοιαῦται τοῦ γράμματος ἔννοιαι, κατὰ τὰς τοῦ Ἰησοῦ, τὰς ἐπάλξεις τοῦ νοσήματος κατερείπουσαι, δώσεις μοι καὶ τοῦτο θαῤῥούντως εἰπεῖν, ὡς εἶναι διαταῦτα τὴν γραφὴν τῆς σῆς ἁγιότητος εἰς πτῶσιν τε καὶ ἀνάστασιν. Ταύτην ἐμὴν ἐκείνην τοῦ ἀῤῥωστήματος. Φυλάττοι θεὸς ἐπὶ χρόνους μακροὺς τὴν γλῶσσαν ταύτην, καὶ τὸν ταύτης ἐπιστάτην νοῦν, καὶ τὸν σύνολόν μου δεσπότην· τὴν ἀναπνοήν μου, τὴν παρηγορίαν, τὴν ἀναψυχήν, τὸν μόνον ἐμόν. Ἀπαλλάττοι δὲ αὐτὸν ἀεὶ καὶ τῆς τῶν Κιμμέρων Σερβιωτῶν γῆς, ἀποκαθιστῶν εἰς τὴν Ἑλλαδικήν, τὴν ἡλιώδη, τὴν αἰθριάζουσαν· ὁδηγοίη δὲ καὶ μεμνῆσθαι ἡμῶν, ἵνα ὀψέ ποτε ὦμεν τοῖς καθαροῖς ζῶσιν ἀρίθμιοι. Νῦν γὰρ ἡμεῖς οὐδὲ ἡμίβιοι, ὡς οὕτως εἰπεῖν. Ἡ κλίνη μὲν γὰρ ἡμᾶς οὐκ

ἀεὶ ἔχει, ἀλλὰ πρὸς ὥραν ταύτης ἀπαλλαττόμεθα· τὰ δὲ λοιπά, οἷα οἱ πόδες κατὰ τοὺς τῶν βρεφῶν ὀκλάζουσιν· οὐχ ὅτι τὰ ἄνω βαρεῖς καὶ γανώδεις ἡμεῖς, ὡς ἐπιπίπτειν αὐτοῖς ἐκεῖθεν καὶ βιάζεσθαι τὴν ὑπένδοσιν (περιαπτίσμεθα γὰρ κατὰ τοὺς παρὰ τῷ Κωμικῷ σφηκώδεις, καὶ — ὡς ἐκεῖνος τοῦτο λέγει — διὰ δακτυλίου ἂν ἑλκυσθείημεν)· ἀλλ' ὅτι ἀνεῖνται τὰ νεῦρα, καὶ ὁ φυσικὸς ἐξητόνησε σύνδεσμος. Ὁ στόμαχος οὔτε τῇ φυσικῇ ταμιουχίᾳ στέργει, ἀλλ' ἀναβάλλειν ἐθέλει τὰ ἐντιθέμενα· κἂν στέρξῃ, παρενοχλεῖ, καὶ ὀδύνας ἄγει· καὶ χεῖρον τοῦτο δοκεῖ ποιεῖν ἐκείνου τοῦ κακοῦ. Αἱ χεῖρες — γελάσειας ἄν, γλυκύτατε δέσποτα, ἰδών, ὅπως ὑπότρομοι γραφὰς ὑποσημαίνονται, δεήσαν ποτέ. Οὐδ' ἂν παῖς ἀναλφάβητος, παίζων γραφίδι καὶ μέλανι, τοιαύτας ἀνάγῃ γραφάς μου. Ἡ κεφαλὴ — συνέπεσέ τι μικροῦ τινος λόγου ἄξιον, καὶ ἀνέστρεψεν ἅπαν τὸ ὑποκείμενον· λόγου γὰρ ἀκοῦσαι σπουδαίου καὶ περινοίας δεομένου, ἢ βιβλίον χειρίσασθαι, ἢ ἑτέρου τοῦτο ποιοῦντος ἀνέξεσθαι, τοσοῦτον ἀποδέομεν, ὅσον καὶ οἱ τοῦ ἀγροῦ. Τί οὖν ζῶμεν, ἅγιε δέσποτα; Τὸ μεῖζον ἡμῖν πάντων τῶν κακῶν τρεῖς ἰδοὺ σχεδὸν μῆνες, καὶ ὁ μυροβλύτης ἄποπτος ἡμῖν. Καὶ οἱ μὲν ἄλλοι πάντες τῆς εὐωδίας ἐκείνου καταπολαύουσιν, ἡμεῖς δὲ δεδιώγμεθα, χοῖροι πάντως βορβόρου ἄξιοι. Εὔχου ἡμῖν, ἅγιε δέσποτα, ἀπαλλαγὴν τῶν παρόντων κακῶν, ἢ γοῦν ἀλλὰ τὴν ἑτέραν ἀπαλλαγήν. Χάριτι μὲν γὰρ ἡμῖν ἡ προτέρα· εἰ δὲ κίνδυνος εἴη οὕτω ζῆν, εὐκταῖον πρᾶγμα καὶ ἡ λοιπή.

μς

Ὅσα μὲν ἄχρι καὶ τῆς ἄρτι περὶ τῆς ἀγάπης σου ἐμανθάνομεν, λογιώτατε καὶ ἠγαπημένε μοι δέσποτα, δυσαχθῆ μέν, ἄλλως δὲ οὐ πάνυ τι φορτικὰ ἡμῖν κατεφαίνοντο. Ἥ τε γὰρ νόσος διὰ τὸ εὐανακόμιστον ἐλπίδας ἀγαθὰς ἡμῖν ὑπέτεινε· καὶ τὸ λυπεῖσθαι δὲ ἐπὶ θανάτῳ συγγενικῷ εἶχον ἀπόλογον. Καὶ διαταῦτα οὐκ ἐδόκουν ἡμῖν αὐτὰ πολὺν τὸν φόρτον ἔχειν καὶ ἀπαραμύθητον. Ὃ δὲ σήμερον ἔμαθον, ἀλλὰ τοῦτο μήτε ἀληθὲς εἴη, μήτε δεύτερόν μοι πεσεῖν γένοιτο εἰς ἀκοάς, ὅτι διὰ τὸ τοῦ πένθους ἄκρατον καὶ ἄμικτον πρὸς παρηγορίαν κίνδυνός ἐστι θανάτῳ πελάσαι καὶ σέ. Τί σοι κέρδος τοῦ ἀσιτεῖν; καὶ βρωμάτων μὲν ἀπέχεσθαι εἰς τὸ παντελές, δακρύων δὲ ἄρτους ψωμίζεσθαι; καὶ λιμῷ μὲν τήκεσθαι, πένθους δὲ ἀφορήτου κορέννυσθαι; Ἦ φαῦλος ἐν σοφοῖς ὁ εἰπών, μὴ δεῖν εἶναι τοὺς τεθνεῶτας γαστέρι πενθεῖν. Ἐπαινετέον ἄρα καὶ τοὺς ἀπαγχομένους, ἐφ' οἷς ἐπὶ νεκροῖς ἄχθονται· ἑλκυστέον δὲ καὶ τὸν σφαγέα καθ' ἑαυτῶν δίχα ψόγου παντὸς τούς, ὅσοι ἐπὶ τοῖς οἰχομένοις παθαίνονται. Σοὶ δὲ ἀρκέσει καὶ λύπη βραχεῖα πρὸς τὸ μεμισημένον κατάντημα, οἷα ταριχευμένῳ τῇ νόσῳ, καὶ οὐ καλῶς ἔχοντι. Εἰ δὲ καὶ τὴν τροφὴν ἐπίσχῃς ἐπὶ πλέον, κακῷ τὸ κακὸν ἰώμενος, ὥρα σοι μηκέτι εἶναι, τὸ πάντων ἡμῖν ἀπευκταιότατον. Ἐπαρτῶμεν σοι τὸ ἐκ θεοῦ κρίμα· στεροῦμεν σε δὲ καὶ τῶν γονίμων σου εὐχῶν τῆς ἐπαινουμένης θερμότητος, οὕτω παραπειθούσης ἡμᾶς, ἐὰν καὶ εἰσέτι σεαυτὸν περιτείνῃς, καὶ οὐκ ἀνενέγκῃς μετρίως τοῦ σάλου τῆς θλίψεως. Νήστευσον, λυπήθητι, κλαῦσον· ἀλλὰ καὶ φάγε, καὶ πίε, καὶ πάντα μετρίως καὶ κατὰ καιρόν. Οὐ γὰρ ἀπαθῶς ἀξιοῦμεν διακεῖσθαι σε, καὶ τὸν φιλάδελφον ψείδεσθαι. Τί δέ, ἐάν τινα φιλούμενον ὁμοίῳ εἶδες περιπεσόντα, εἶτα δὴ κατὰ σὲ διατιθέμενον; Ἐπήνεσας ἄν; Οὐ δοκῶ πάντως. Οὐδὲ ὁ ἀδελφὸς φιλοίη ἂν οὕτω σε διακείμενον. Ἱκανῶς ἐβυθίσθης τῷ κακῷ· ἀνάγαγε τοίνυν σεαυτόν. Κατεπόθης· ἀνάνευσον. Διάκρουσαι τὴν πολυκυμίαν τῆς θλίψεως· καὶ εἰ μὴ ἐν παντελῶς γαληναίῳ, ἀλλ' ὡς ἐν ὀλιγοκυμάντῳ κατάστηθι. Φύλαξαι σεαυτῷ τὸ δύνασθαι τιμᾶν ἐπὶ μακρὸν τὸν ἀδελφὸν πένθει τῷ προσήκοντι. Ἐὰν δὲ οὕτω ταχὺ σεαυτὸν καταπονήσας ἐκτήξῃς, οὔτε εἰς ὃ ποιεῖς ἐπαρκεῖς, καὶ ἐλέου ἐστέρησαι, καταβάλλων ἑκὼν σεαυτόν. Εἴθε μὲν οὖν εἴχομεν καὶ ποσὶ χρήσασθαι, καὶ ἐλθεῖν παρὰ σέ· οὕτω γὰρ ἂν τὸ πᾶν ἡμῖν ἤνυστο. Νῦν δὲ δοκεῖ μέρος τι τοῦ παρ' ἡμῖν ἐνδιαθέτου ἀπεσπᾶσθαι, καὶ τῇ γραφῇ ταύτῃ ἐγκεῖσθαι, καὶ δι' αὐτοῦ σε περιπλητεύεσθαι. Πείσθητι οὖν διὰ τὸν θεόν, ἵνα μή, πρὸς οἷς ἄλλοις ἐγκαλοῦμεν, προσεγκαλέσωμεν σοι καὶ τὸ θέλειν, ἐφ' οἷς οὐ δεῖ, θλίβειν τοὺς ἀγαπῶντάς σε.

μζ

Τῷ Λαχανᾷ.

Οὐ ψεύσομαι, οὐδὲ τὰ ὑπὲρ ἐμὲ κομψεύσομαι. Λαλῶ μέν, ἀλλ' οὔτε ῥύδην, καὶ οὐδὲ τορὸν καὶ γλυκύ· καὶ γράφω μὲν πρὸς ῥητορείαν, ἀλλὰ σχολαίως, καὶ ταῦτα τοῖς κατασκεπτοῦσι. Ἄλλοις μὲν γὰρ ἐνδειξαίμην, καὶ τὴν ἐμὴν θεατρίσαιμι μουσικήν, οἳ ταύτης οὐδὲν μᾶλλον ἢ ὄνος λύρας ἐπαΐουσι· καὶ τῆς σφῶν ἀμουσίας κατατρυφήσω. Σοὶ δ' οὐκ οἶδ' ὅπως ὑπάσω, οὕτω μεμουσωμένῳ, καὶ σοφιστικῶς καὶ λαμυρῶς ἔχοντι τοῦ νοός. Ἐπεὶ δ' ἐπιστέλλων οἶδα (χρὴ δὲ τὴν ἐπιστολὴν ἀνθρωπίνως λαλεῖν, καὶ κατὰ τὸν

Κωμικὸν ἀμαθέστερόν πως καὶ σαφέστερον), ἔγνων εἰς μάτην δειλιῶν τὴν γραφὴν κἀντεῦθεν γράφω. Ἢν δέ με πείσῃς, ὡς οὐ γελοῖος ἐγὼ παρὰ σοί, καὶ διαγεύσω, καὶ τριαγεύσω, καὶ τετάρτῳ ἐπιβαλοῦμαι γράμματι. Ἐὰν δέ που δεήσῃ, καὶ ἐπὶ τάδε τοῦ γράφειν προβήσομαι. Πάντως δὲ πείσεις· εἰ μὴ καὶ σὲ ὁ δεῖνα παρήγαγεν, ὃ μὴ γένοιτο. Καὶ μὴν ἐγὼ καχυπόπτως ἔχω, καὶ δέδοικα, μὴ καὶ τὸ σὸν πρὸς τὸ ἑαυτοῦ ἦθος ἀπέξεσε. Τοῦτο δὲ μὴ σύ γε πείσῃ· μὴ καί, τοιοῦτον ἕκαστον εἶναι, οἷςπερ ἥδεται ξυνών, ἐπιφθέγξωμαί σοι, καί σε τοῦτο γοῦν τὸ μέρος ὕδατι παρεικάσω διὰ τὴν τοῦ ἤθους συνεξομοίωσιν. Φιλεῖ γάρ τοι κἀκεῖνο τοιοῦτον εἶναι, δι' ἧς ἂν γῆς πορεύηται. Οὐ μὴν ἀλλ' ὁ μὲν δεῖνα, εἰ μὲν βούλεται, στεργέτω· εἰ δ' οὖν ἀποστέργεται ἡμᾶς, ἐγὼ δὲ καὶ ἀπόντα φιλῶ. Προςθήσω δ', ὅτι τάχα καὶ ἄκοντα καὶ μὴ φθεγγόμενον προςφωνῶ, ὅμοιον ὡς [εἴ τ]ις ἀνδριάντα φιλοίη μηδὲν εἰδότα. Ἐκεῖνο μόνον οἶδα, ὡς ἐπιστέλλων αὐτῷ τοῦ λοιποῦ τὴν σύριγγα [προςθή]σομαι. Ἐκεῖσε γὰρ ὁ μέν τις καλαμίσκος τῶν ἄλλων ὑπερανίσταται· ὁ δὲ μετ' ἐκεῖνον δεύτερος ὑπολείπεται τῷ [μή]κει· καὶ ὁ τρίτος τοὺς πρὸ αὐτοῦ ὑποκάθηται. Ὁ δὲ μετὰ τοῦτον ἔτι πλεῖον ὑποκαταβαίνων, ὅμως τοῦ μετ' [αὐτὸν] ὑπερκάθηται· αὐτὸς δὲ εἰς βραχύτερον ἔτι συνέσταλται. Καὶ τοῦτο μέχρι πάσης τῆς σύριγγος, ἔστ' ἂν ἰσχοι[θυλκὼς βρα]χύ, καταλήξειε. Καὶ ἡμεῖς τὸ μὲν πρῶτον ἐγράφαμεν αὐτῷ μακρότερα· εἶθ' ὑποκαταβάντες συνεστ[άλημεν].

μη

Ms. fol. 254 a. ||Τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, μέγιστε τῶν πώποτε γεγενημένων Καισάρων καὶ ἀξιάγαστε, νῦν ἀπόναμαι, ἧς συνείλοχα, ἁγιότητος. Καὶ νῦν σοφὸς δοκῶ γεγενῆσθαι, καὶ ἐν τῷ καταλόγῳ τῶν λογίων συνηριθμῆσθαι, ὁπότε μου σὺ τῶν λόγων ἐρᾷς. Ἐν αὐχμῷ καὶ ταῦτα φιλομούσου καὶ γλώττης καὶ ἀκοῆς. Τί γὰρ ὄφελος αὐλητῇ, εἰ αὐλοὺς μὲν ἔχοι καλούς, οὐδεὶς δὲ αὐτῶν ἀκούειν βούλοιτο; Τί δὲ κιθαριστῇ, εἰ ἐντείνει μὲν καλῶς τὰς χορδάς, οἱ δὲ ἐν γειτόνων τὴν ἐκείνου μουσικὴν ἀποστρέφονται; Εἰ δὲ καὶ δρομεὺς ἀγαθὸς εἴη, οὐδεὶς δὲ ὁρᾶν βούλοιτο ἱπτάμενον αὐτὸν ἐν τοῖς δρόμοις, τί ποτ' ἂν ἀπόναιτο τῆς ὠκύτητος; Οὕτως ἐγὼ τὸ μέχρι τοῦ νῦν κύμβαλον ἦν ἀλαλάζον, καὶ μάτην ἠχῶν· ἀλλὰ σύ με σεμνότερον διὰ τῆς ἐπιμελοῦς ἀπέδειξας ἀκροάσεως. Καὶ ἵνα σοι ἐξαγγείλω, ὃ παρὰ σοῦ πέπονθα (ἀλλά μοι τῷ λόγῳ τὸν νοῦν πρόςεχε)· σημεῖον ποιοῦμαι τὴν σὴν περὶ τοὺς λόγους ἐπιθυμίαν τῆς σῆς ἀρίστης ψυχῆς, ἀφ' ἧς γίνεται τὸ ἐπιθυμεῖν. Ἐγὼ γὰρ (ἵνα σοι τἀληθὲς ἐρῶ) οὐ ξηρὸς γέγονα τὴν σοφίαν, οὐδ' ὥςπερ οἱ πολλοὶ μέχρι τοῦ λέγειν προθυμηθέντες· ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι, καὶ πᾶσαν φιλόκαλον ψυχὴν ἐπαινῶ· οὐ μόνον, ἥ τις νοητοῦ κάλλους ἐρᾷ, ἀλλὰ καὶ ἥ τις χρωμάτων ἀνθηρῶν, καὶ τέχνης ἀκριβοῦς, καὶ μαργαρίτου, καὶ σαπφείρου, καὶ ὑακίνθου. Τεκμήριον γὰρ τὴν περὶ ταῦτα ποιοῦμαι ἔφεσιν τῆς ὑψηλοτέρας ἐπιθυμίας καὶ κρείττονος. Ὅταν δέ τις λόγων κάλλους ἐρᾷ, οὗτος ἐμοὶ ὑψηλότερός ἐστι τὴν ἐπιβολὴν τῆς ψυχῆς. Ὥςπερ γὰρ ὁ παντάπασι τὴν γνώμην ἠλίθιος ἀκίνητός ἐστι πρὸς πᾶσαν μουσικήν, καὶ οὐδὲν αὐτὸν αἱρεῖ τῶν ὅσα τερπνά, ἀλλ' ἐν ἴσῳ τίθεται, βορβόρῳ ἐγκαλινδεῖσθαι, καὶ ὑπὸ σύσκιον πάγκαλον ἀναπαύεσθαι· οὕτως ὁ γεγυμνασμένος τὰ αἰσθητήρια πρὸς διάκρισιν χείρονος καὶ βελτίονος, ἐπὶ τοῖς τῶν πραγμάτων ἐνθουσιᾷ κάλλεσι, καὶ θέλγεται μὲν τοῖς ῥυθμοῖς, ἐπαγάλλεται δὲ συμφωνίαις καὶ ἁρμονίαις· λόγων δὲ μάλιστα κόσμῳ καὶ κάλλει συνθήκης γοητεύεται ἀτεχνῶς. Ἐρῶ γάρ σοι λόγον ἀπόῤῥητον μέν, φιλοσοφώτατον δέ. Ἡ ψυχή, κάλλιστε Καῖσαρ, μετὰ τοῦ νοητοῦ κάλλους τῷ σώματι προςαρμόζεται· ἰδεῖν δὲ τοῦτο ἐν τῷ ὑλικῷ κόσμῳ οὐ δύναται. Οὐ γὰρ χωρεῖ τὴν ἄϋλίαν ἡ ὕλη. Ἀποῤῥοίας δὲ τούτου καὶ ἴχνη ἐν σωματικοῖς θεωμένη κάλλεσιν, οἰστρεῖ καὶ μέμηνεν, οἰομένη, ἐκεῖνο εἶναι, ὅπερ ἐν τῷ σώματι γενομένη διέφθειρε. Διαταῦτα περὶ τὰς πολυτίμους τῶν λίθων καὶ τα εὐειδῆ πρόςωπα καὶ τὰς μουσικὰς ἁρμονίας, οἱ δέ γε φιλοσοφώτεροι περὶ τὸ τῶν λόγων κάλλος ἐπτόηνται· ὁποῖος εἶ σύ. Ἀλλ' ἔδει σε καὶ τοιούτου φιλοσόφου τυχεῖν, ὁποίου τοῦ Ἀριστοτέλους μὲν ὁ Ἀλέξανδρος, τοῦ Πλάτωνος δὲ ὁ Διονύσιος. Ἀλλὰ σὺ μὲν κρείττων ἐκείνων (καὶ ὡς ἐγὼ δικάζω καὶ ἀποφαίνομαι)· ἐγὼ δὲ χείρων παραπολύ. Πλὴν τοσοῦτον εὐτύχηκα, ὅτι μου μᾶλλον ἐρᾷς, ἢ τῶν φιλοσόφων ἐκεῖνοι· καὶ διαταῦτα τὸ παρ' ἐμοὶ ἔλαττον πλεῖον ἡγῇ τοῦ παρ' ἐκείνοις μείζονός τε καὶ πλείονος. Πλὴν καὶ τοῦτο ἴσθι, ὡς ἐκεῖνοι μέν, ὧν ἀρτίως ἐμνήσθην, σφοδρότατοι ἐρασ[ταὶ] τὸ κατ' ἀρχὰς ἐπὶ τοὺς φιλοσόφους γενόμενοι, ὕστερον ὥςπερ οἱ τῶν δρομέων ὀλίγωροι καθυφῆκαν αὐτοῖς τοῦ ἔρωτος. Καὶ διαταῦτα καὶ Διονύσιος ἐν τυράννοις ἠρίθμηται, ὅτι τὰ Πλάτωνος ἠθέτησε δόγματα· καὶ Ἀλέξανδρος τῶν κρειττόνων ἐγκωμίων ἐστέρηται, ὅτι τῆς Ἀριστοτέλους σοφίας καταπεφρόνηκε. Περὶ σοὶ δὲ οὐδὲν τοιοῦτον ὑπονοῶ, ὅτι καὶ κρείττων ἐκείνων πολλῷ καὶ τὴν ψυχὴν καὶ

τὴν σύνεσιν. Ἔδει δὲ καὶ τοὺς βασιλεῖς τοῖς σοφοῖς ἐκείνοις μνησικακῆσαι, ὅτι οὔτ' Ἀριστοτέλης ἐγκώμιον Ἀλεξάνδρου, οὔτε Πλάτων Διονυσίου πεποίηται. Διαταῦτα ὥςπερ ὑβρισμένοι παρὰ τούτων, δίκην παρ' αὐτῶν τῆς ὕβρεως ἑκάτεροι ἀπειλήφασι. Καὶ ἵνα σοι καὶ τὸ περὶ ἐκείνων ἀνακαλύψω, εἰς ἄκρον μὲν φιλοσοφίας ἐληλάκεισαν ἄμφω· λόγων δὲ χάριτας οὐκ ἰσχήκασι. Διαταῦτα ἐλάττους ἐν τοῖς ἐγκωμίοις γεγόνασιν· ἐγὼ δέ σοι ἥττων μὲν τὴν σοφίαν ἐκείνων, κρείττων δὲ τὴν γλῶτταν περὶ τὴν εὐφημίαν εἰμί.

μϑ

Πρὸς μὲν τυροὺς καὶ ὕδνα, ἴσως δὲ καὶ μῦρα καὶ πέμματα καὶ ἀρώματα, ὑπερθαύμαστέ μοι Καῖσαρ, ἐπιστέλλειν καὶ ἀνταμείβεσθαι δύναμαι· πρὸς δὲ ἵππον οὕτω μὲν καλόν, οὕτω δὲ μέγαν, οὕτω δὲ τρυφερόν, οὕτω δὲ ταχὺν καὶ εὐκίνητον, ἐπιστολὴν ἰσόμετρόν τε καὶ ἰσοδύναμον ποιῆσαι ἀμηχανῶ. Εἰ γὰρ καὶ μὴ τοιοῦτος ἦν, μηδὲ τοσούτοις ἐκεκόσμητο κάλλεσιν, ὁπόσοις οὐδ' ὁ τοῦ Ἀλεξάνδρου παράσημος ἵππος (ἐκεῖνος γὰρ θυμοειδὴς ἄλλως ἦν, ἀποπτύων τε τὸν χαλινόν, καὶ δι' ὑπερβολὴν ἀγερωχίας ἐπιβάτην μὴ προσιέμενος)· ἀλλ' ἐπειδὴ παρὰ τοιούτου ἀνδρὸς δῶρον μοι ἀπέσταλται, ὁποίῳ ἂν οὐδεὶς τῶν ἀπ' αἰῶνος γηγενῶν ἀντερίσειεν, πῶς ἂν διαμιλλησαίμην λόγῳ πρὸς τὴν τοῦ πέμψαντος ἀρετήν; Ἐπεὶ δὲ καὶ ὁ πεπομφὼς ἄνω που κάθηται τῶν νεφῶν, καὶ τὸ πεμφθὲν μικροῦ δεῖν τοῖς ὁμοειδέσι ζώοις ἀσύγκριτον· πρὸς δύο τηλικαῦτα, τὸ κάλλος ὁμοῦ καὶ τὸ μέγεθος δ', Ἡρακλῆς ἐκεῖνος ἀνταγωνίσαιτο, αἱ παροιμία φησίν. Ἀλλ' ὅταν μὲν πρὸς τὴν σὴν ἐπιμύσας ὑπεροχήν, τὸν ἵππον θαυμάσαι βουλήσομαι, κάτω που τούτου καὶ τὸν Βουκεφάλαν καὶ τὸν Πήγασον τίθεμαι. Τί γάρ, εἰ ὁ μὲν εὔσαρκος μέν τις ἦν, καὶ πιότατος, καὶ βοὸς κεφαλῇ διεσχημάτιστο ἐπὶ τοῦ μηροῦ, θρασύτατος δὲ τἆλλα, καὶ τὴν ἡνίαν μὴ προσιέμενος· ὁ δὲ εἰς ἀέρα ἐπτέρωτο, καὶ τὸν ἐπιβάτην πολλάκις τῶν νώτων ἀπέκρουεν; Ἀλλ' ὅ γε πεμφθεὶς ἐμοὶ καὶ τῷ κάλλει μὲν καὶ τῷ μεγέθει ἐκείνοις ἐνθάμιλλος· ἔχει δὲ μετὰ τῶν δυοῖν τούτων ἀρετῶν καὶ τὸ μὴ πρὸ πολλοῦ γεγεννῆσθαι, ἀλλ' ἄρτι ἡβᾶν τὴν ἵππειον ἥβην, ἥμερόν τε εἶναι, καὶ [μὴ] πρὸς θίξιν χειρὸς ἀγριαίνειν, μήτε δεῖσθαι τοῦ περιποππύζεσθαι, καὶ οἷον τιθασεύεσθαί τε καὶ κολακεύεσθαι. Ὅταν μὲν οὖν πρὸς τὸν ἵππον ἀπίδω, οὕτως τοῦτον ὑπερεκπέπληγμαι, καὶ ἀσύγκριτον πρὸς τοὺς λοιποὺς τίθεμαι· εἰ δὲ πρὸς τὸν ἀποσταλέντα μεταβιβάσω τὴν ἔννοιαν, τηνικαῦτα τὸ λυχνιαῖον φῶς θαυμάζειν ἀφείς, τοῦ ἡλίου τέθηπα τὴν μαρμαρυγήν. Ἔδει μὲν οὖν σε, ὅσον ἐπὶ ταῖς τῶν πραγμάτων ὑπεροχαῖς, ὑπερνεφεῖν τε, καὶ οἷον ἀεροβατεῖν, καὶ καταφρονεῖν τῶν ἐφημέρων ἡμῶν· νῦν δέ, ὃ τοῖς ἄλλοις τὰς ὀφρῦς ὑπὲρ τὸ μέτωπον τίθησι, σοὶ καὶ τοὺς ὀφθαλμοὺς αἰδοῦς ἐμπιπλᾷ, καὶ μετριοφροσύνην ἄῤῥητον ἐμποιεῖ. Ἐγὼ δὲ ἔ[τι] οὐ τὰ μεγάλα μόνον θαυμάζειν προῄγμαι, ἀλλὰ σου καὶ τὰ πάρεργα ἀσύγκριτα καὶ ἀπαράμιλλα ἥγημαι· καὶ ὃ τὴν χθὲς π[ου] τοῖς καλλίστοις υἱοῖς σου συσσιτούμενος, ὡς ἐπίστασαι, οὐκ ἀποκρύψομαι, ἀλλὰ λαμπρῶς διηγήσομαι. Ὁ γὰρ πε[ρὶ] || πόθητός μοι Ἀνδρόνικος τὸ (Ms. fol. 254. b.) τῶν γεράνων ἡδέως μοι διηγούμενος κυνηγέσιον, καὶ ὡς τὸ βραχύτατον ζῶον τὸ τοῦ γένους ἐπιβουλότατον θηρᾶται, τοῦτον τὸν γέρανον, ὑπερνεφοῦντα ταῖς πτέρυξι, καὶ ὑπὸ τὴν ἀγκάλην ἠρέμα ὑπεισιὸν πολιορκεῖ τε, καὶ ὡς τεῖχος μέγιστον καθαιρεῖ, καὶ ταῖς ὄνυξιν ἐκείνου διασπαράττεται· εἶτα μοι τὸν λόγον καταβιβάσας, ὅτι σοι καὶ πρὸ ὀλίγου θαυμάσιον ζῶον ὑπὸ γεράνου διέφθαρται, σὺ δὲ τοσοῦτον ἐδεήθης ἀλγῆσαι, ὥστε καὶ περιεγάννυσο, καὶ μικροῦ δεῖν τῷ τοῦ ζώου σπαραγμῷ ἐπεσκίρτησας, ἐπειπών, ὅτι ἀνῃρέθη μαχόμενον, καὶ ὥςπερ ἐν πολέμῳ ἀπέθυσε τὴν ζωήν, καὶ ὥςπερ ἐπικήδειόν τινα λόγον ἐπάσας τῷ ζώῳ, εἶτα δὴ οὐδὲ ἠξίωσας ἀποδῦσαι τοῦ ὁπλισμοῦ, ἀλλὰ μετὰ τοῦ θώρακος καὶ τῆς λοιπῆς κατέθαψας προβολῆς· σκιρτῆσαι πεποίηκέ τη τὴν ἱεράν σου ψυχὴν ἐπὶ τῷ θαυμασίῳ τούτῳ καὶ ὑπερφυεῖ καὶ γενναίῳ διηγήματι. Οὐ γὰρ ἀριστεῖαι μόνον καὶ στρατηγήματα τὸν ἄνδρα δεικνύουσιν· ἀλλὰ καὶ νεῦμα, καὶ λόγος, καὶ γέλως σεμνός, καὶ ἀπόφθεγμα Χαρίτων μεστὸν τήν γε ἀρίστην ψυχὴν ἐξεικονίζουσιν ἀκριβῶς. Ἀλλὰ σὺ μὲν καὶ θηρᾶσαι δεινός, καὶ ἱππάσασθαι περιδέξιος, καὶ ὄχθους ὑπερπηδῆσαι γενναῖος καὶ ἀδεής, καὶ διολισθέντα τὸν ἵππον εὐθὺ ἀνεῖρξαι καὶ ἀναστῆσαι σύντομός τε καὶ ἐπιτήδειος. Ἐγὼ δὲ (καὶ ὁρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχήν) οὕτω τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ πεπτόημαι, ὥςπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας· κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμέ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. Ἀλλ' εἴ μοι τοῦτο πρότερον ἐξ ἁπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προςγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλωσεν. Ἀλλ' εἰ καὶ [τοὺς] ἄλλους ἵππους πεφόβημαι, ἐπί γε τοῦ σοῦ θαῤῥοῦντως ὀχήσομαι. Οὕτω σου θαῤῥῶ οὐ τὴν ψυχὴν μόνον, ἀλλ' εἴ τινας ἔχοις καὶ λέοντας.

$\overline{\nu}$

Εἶτα δὴ ἀγνοεῖς, ὑπερφυέστατε Καῖσαρ, ὅτι τὸ ὕδνον ἀτελές ἐστι τῆς γῆς γέννημα, καὶ ὡς εἰπεῖν ἀμβλωθρίδιον; Οὐ γὰρ ἀποτίκτει τοῦτο καὶ ἡ μήτηρ, οὐδὲ ταῖς ὠδῖσιν ἐξάγει πρὸς φῶς· ἀλλ' οἱ τὴν ἐμβρυουλκίαν εἰδότες τοῦ θαυμασίου τούτου τόκου, ἐπειδὰν τὴν γαστέρα τῆς γῆς ἐξογκωθεῖσαν θεάσωνται, τὰ σπλάγχνα ταύτης (εἰ χρὴ οὕτως εἰπεῖν) διασπαράξαντες, τὸ κυόμενον ὑπεξάγουσι· καὶ διαταῦτα ἄμορφόν ἐστι τὴν θέαν καὶ ἀκαλλές. Ἡ δέ γε μήτηρ περιμυθουμένη τούτου τὴν ἀμορφίαν, ἡδονὴν ἐντέθεικεν ἄῤῥητον· ὥσπερ δὴ τῷ δημαγωγῷ τῶν Ἀθηναίων τῷ σοφῷ τὴν γνώμην καὶ μεγαλοφυεῖ Περικλεῖ, προμήκει τὴν κεφαλὴν γεγονότι, τοῦν ἐμμελῆ κατέσπειρεν ὁ θεός. Αὐτίκα καὶ ὁ Ἀριστοτέλης ὑπόψελλος ἦν τὴν γλῶτταν, καὶ ὁ Πλάτων ἐπίκυρτος, καὶ ὁ Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος παρεγκεκλιμένος τὸν τράχηλον. Οἷς μὲν γὰρ τὰ ἔξω περικαλλῆ, τὰ ἔνδον νοσεῖ· οἷς δὲ φαύλη ἡ περιβολή, τὸ ἐγκεκρυμμένον θαυμάσιον. Ἄκανθα γοῦν καὶ τοῦ ῥόδου προβέβληται· καὶ ἡ κυπάριττος ἄκαρπος. Τοιοῦτον δὴ καὶ τὸ ὕδνον ἐστί· τὸ μὲν φαινόμενον ἄμορφον, τὸ δὲ κρυπτόμενον τρόφιμον. Ἡ σὴ ψυχὴ μόνη ὑπεξῃρήσθω τοῦ λόγου· μᾶλλον δὲ τὸ σὸν κρᾶμα, τὸ συγκείμενον ἐκ ψυχῆς τε καὶ σώματος. Ἥ τε γάρ σοι τοῦ σώματος περιβολὴ θαυμασία ὄντως καὶ ἡρωϊκή, ἥ τε τῆς ψυχῆς φύσις νοῦ καὶ Χαρίτων μεστή. Ἀλλ' ἐπιλέλησμαι τῶν ἐμῶν κακῶν ὑπὸ τῶν σῶν ἀγαθῶν. Κεῖται γάρ μοι ψυχοῤῥαγοῦν τὸ θυγάτρι[ον]· ἢ νῦν πρώτως μετὰ τὰ σὰ δῶρα μετηνέχθη πρὸς τὴν ζωήν. Ἀλλ' ἡ μὲν ἡμίπνους, ἐγὼ δὲ (νὴ τὴν ἱερὰν σου κεφαλὴν) ἄπνους, τῷ σῷ μόνῳ νεύματί τε καὶ πνεύματι ἀναφέρων τε καὶ ζωογονούμενος.

$\overline{\nu\alpha}$

Τοσαῦτα, φιλοτιμότατε Καῖσαρ. Μήποτε δέ σοι ἡ γῆ ἐκπεπόρνευται, καὶ διὰ τὴν ὥραν ἀπηναισχύντηκας· ὥστε μηδὲ προφαίνειν τοὺς οἰκείους μαστούς, ἀλλὰ καὶ ἐπιδιδόναι τοῖς ἀφελεῖν βουλομένοις. Εἰ δὲ καὶ μὴ μαστοί, ἀλλὰ καὶ γοναὶ κρύφιοι, οὐκ ἐρυθριᾷ ἐφ' οὕτω πολλοῖς καὶ ἀμόρφοις τόκοις· οὐκ ἐν ῥόδοις καὶ κάλυξιν ἀνθέων ἑτέρων, ἀλλ' ἐν εἰδεχθέσιν ὕδνοις ἐπιδεικνυμένη τὸ γόνιμον. Ἀλλ' (ὡς ἔοικε) πρὸς τὴν τοῦ μύθου ἀλώπεκα ἑαυτὴν περιβάλλουσα, οὐ τῷ ἔξωθεν ἀμόρφῳ, ἀλλὰ τῷ κεκρυμμένῳ τῆς ἡδονῆς ἐνσεμνύνεται. Εἰσάγεται γὰρ ἐν τοῖς Αἰσώπου μύθοις ἡ πάρδαλις ἐπισκώπτουσα τὴν ἀλώπεκα, ὡς ἡ μὲν ποικίλη τε εἴη καὶ ταῖς φολίδεσσι κατάστικτος, ἡ δὲ αὐχμηρὰ τὴν δορὰν καὶ τὴν χρόαν παντάπασιν ἀκαλλής· ἀλλ' ἥ γε ἀλώπηξ, σὺ μὲν τοῖς φαινομένοις νικᾷς, ἔφησε, κάλλεσιν· ἐγὼ δὲ τοῖς κρυφίοις τε καὶ λανθάνουσι. Τοιοῦτον ἐστὶ καὶ τὸ ὕ[δνον, οὔ]τε εὐανθές, οὔτε τῷ σχήματι ἁπαλόν· ἀλλὰ κατατέτμηται καὶ ἐκτετράχυνται, καθαπερεὶ ὄχθοις καὶ φάραγξιν. Εἰ δὲ κατατέμοις, εἰ δὲ προσαγάγοις τῷ στόματι, καὶ λεανεῖς τοῖς ὀδοῦσιν, ἀποῤῥήτου τινὸς αἰσθήσῃ παντάπασιν ἡδονῆς. Ἀλλὰ μὴ οὕτως, μηδὲ κατὰ πλῆθος ἐπιδείκνυσο ἡμῖν τὴν δεξίωσιν· ἀλλ' οἷον παραδείκνυε ἡμῖν τῆς ἡδονῆς τὴν πηγήν, ἵνα μᾶλλον ἐξάπτῃς τὸν ἔρωτα. Τὴν Ἥραν ὁ Ὅμηρος, οἷα δή τις σοφὸς ποιητής, ζηλότυπον μὲν ποιεῖ τῷ Διΐ, οὐκ εἰς εὐνὰς δὲ τούτου ἀφικνουμένην, οὐδὲ τὴν ὥραν αὐτῷ θεωρίζουσαν· ἐπεὶ δέ ποτε ταύτην πολυτελῶς καθωραΐσκε, καὶ τὸν κεστὸν ἐνδύσας προσήνεγκε τῷ ἀνδρί, ἐξύβρισε μᾶλλον, ἢ ἐπέραστον ἔδειξεν. Ὁ γάρ τοι Ζεὺς κόρον (ὡς ἔοικε) σχὼν τοῦ πρὸς αὐτὴν ἔρωτος, οὐχ ὡς ἐρωμένην ἠγάπησεν, ἀλλ' ὡς ἀπατήσασαν κατῄσχυνε καὶ ἠτίμασεν. Οὕτως ὁ κόρος ὕβριν γεννᾷ. Ἀλλὰ τί μοι τὰ ὕδνα νῦν; Τί δὲ οὐχ (ὥσπερ οἱ μουσικοί) μεταβάλλεις μοι τὰ μέλη καὶ τοὺς ῥυθμούς; Ὁ γὰρ καιρὸς ὑμῖν μὲν τοὺς ταῶνας καὶ τοὺς γαλαθηνοὺς ἀρνειοὺς ἐπανήγαγεν· ἡμῖν δὲ τὸ γάλα, καὶ τοὺς τυρούς, καὶ τὸ βούτυρον, καὶ τὰ τῶν ἀλεκτορίδων ᾠά. Ἄλλαξον τὴν χορδήν· τούτοις γενοῦ μοι φιλότιμος. Πυνθάνομαι δέ σου, [τῆς] πάντα καλλίστης καὶ ἀσυγκρίτου ψυχῆς· καὶ πυνθάνομαι οὐ (μὰ τὴν ἱερὰν σου καὶ τριπόθητον κεφαλὴν) χρειωδῶς, ἀλλὰ [βασι]λικῶς, ἵν' ἔχοις τρυφᾶν καὶ γελᾶν. Πυνθάνομαι δ' οὖν· οὐχὶ πατρὶς ἡ πολυύμνητος Παφλαγονία ἐστίν, ὅθεν [ἔστι] ταρίχη κρέα τὰ ὕεια; Τί δ' οὖν ἐγέλασας; Μήποτέ τι ᾠήθης; Εἰσὶ καὶ παρ' ἡμῖν λέοντες, οὐκ ὀπτὰ καὶ ἑφθὰ καὶ ταρίχη, ἀλλὰ καὶ ὠμὰ μικροῦ δεῖν ταῦτα θοινούμενοι.

$\overline{\nu\beta}$

Ms. fol. 255. a.

|| Τὴν πρόδρομόν σοι τῶν ὀπωρῶν ἀπέσταλκα. Ἀλλ' οὐχ ὥσπερ τῶν νυμφῶν αὐτὴ προθέουσα, ἐκείναις καταλείπει τὸ σεμνοτέρας εἶναι τῶν προτρεχουσῶν· προανταγίσχει δὲ τῶν ἄλλων, οἷα δή τις ὁδηγὸς ἐκείναις δεικνυμένη καὶ προδεικνύουσα τὴν εἰς τὸν βίον ὁδόν· οὐ διαταῦτα δὲ μόνον καλλίστη, ἀλλ' ὅτι καὶ ἡδίστη τῶν ἄλλων ἐστίν. Οὔτε γὰρ γλυκεῖ ἐκταράττει τὸν γεγευμένον χυμῷ, οὔτε δυσχεραίνειν ποιεῖ τῷ πικρῷ, οὔτε συνάγει τὴν γλῶτταν τῷ

στύφοντι· καὶ τὸ ὀξὺ δὲ ταύτης οὐκ ἄμετρον, ἀλλὰ συγκέκραται τῷ ἡδύνοντι. Χωρεῖ δὲ οὐ διὰ τῶν χαύνων μόνον, ἀλλ᾽ ἤδη καὶ τῶν στερεῶν· μετρεῖ δὲ ἑαυτὴν τῷ ἐσθίοντι. Ὥςπερ γὰρ τὸ ῥόδον κολάζει τὸν ἄτακτον θεριστὴν τῇ ἀκάνθῃ, καὶ εἰ μή τις ἠρέμα δρέψαιτο, αἰσθήσαιτο πάντως τοῦ πλήξαντος· οὕτω δὴ καὶ αὐτή, εἰ μή τις ἐπιστημόνως διαμασσήσαιτο, καὶ ὅσον εἰκὸς μεταλάβοι, ἐγχρίψει τι τοῖς ὀδοῦσιν ἀνιαρόν, καὶ αἱμωδιάσουσιν οἱ γομφίοι, ὥςπερ δίκας ἀποτιννύντες τῆς ἀπλήστου τροφῆς. Προανατέλλει μὲν οὖν (ὥςπερ εἴρηται) συμπασῶν τῶν ἄλλων ὀπωρῶν· καὶ ἔστι τις πρώτη χάρις τοῦ ἔαρος, καὶ πλέον τῶν ἄλλων τῶν ἡλιακῶν αὐγῶν ἐπαισθάνεται. Ὁμοῦ τε γὰρ ἐκεῖνος ἐπὶ τὸ ἰσημερινὸν σημεῖον ἐλήλυθε, καὶ προςυπήντησεν αὕτη, τῶν ἀκρεμόνων ἐγκύψασα. Κἂν ὁ φωστὴρ σκυθρωπάσῃ, καὶ μὴ λαμπρὰς ἐπαφήσει τῷ φυτῷ τὰς ἀκτῖνας, ἐφ᾽ ἑαυτῷ κέκρυπται, καὶ τοῖς φύλλοις μόνοις τότε τὸ δένδρον κομᾷ. Καὶ τῶν μὲν ἄλλων ὀπωρῶν ἡ μέν τις κεκρυμμένην ἔχουσα τὴν τροφήν, ἄβρωτός ἐστι τῷ προβεβλημένῳ· ἡ δέ, τρέφουσα τῷ φαινομένῳ, τῷ κρυφίῳ οὐχ ἑστιᾷ. Αὕτη δὲ τὰ μὲν πρῶτα πρὸς πᾶσαν ἡδύτητα ἀρκεῖ τῇ φαινομένῃ περιβολῇ οὐδὲν ἔλαττον, καὶ τῇ κεκρυμμένῃ. Εἶτα δή, τοῦ χρόνου προβαίνοντος, τὸ μὲν δεικνύμενον αὖον καὶ ἄβρωτον δείκνυσι· τὸ δὲ κρυπτόμενον ἠρέμα παχύνασα, ἐδώδιμον ἀκριβῶς κατεργάζεται. Ὧδε καὶ στερεᾷ τροφῇ χρήσαιο, καὶ (εἰ βούλει) καὶ ὑγροτέρᾳ. Γάλακτος γὰρ ἀποῤῥήτους ἔχει πηγάς, ὁπηνίκα καὶ βρωτόν ἐστι καὶ ποτόν, καὶ τοῖς Ἀσκληπιάδαις εἰς ἀμφότερα αὔταρκες.

νγ

Κάρυον μὲν δὴ καὶ τοῦτο· καὶ τἄλλα μὲν ὅμοιον τῷ κυρίως, ἔλαττον δὲ μόνον τοῦ μεγέθους ἐκείνου, πλὴν εἰ καὶ κατὰ τὸ σχῆμα σώζει τὴν ὁμοιότητα. Ἀλλὰ τὸ γένος ἕτερον παρὰ τὸ λοιπόν. Ἐκείνῳ μὲν οὖν πάντες κύκλοι, καὶ ὁ ἔσωθεν καὶ ὁ ἔξωθεν· τούτῳ δὲ ἑτέρως ἔχει ἡ ἔξω περιβολή. Ἔοικε γοῦν αὕτη μυωπίᾳ, καὶ ὁ καρπὸς ἀποδιδράσκοντι, εἶτα δὴ ὑποδύντι τὸ τρῆμα. Γελῶ γοῦν, ὅταν ἴδω τὸν ὡσανεὶ δραπέτην ὑπελθόντα τὸ σπήλαιον, ἵνα τὰς διωκούσας ἀποδράσῃ χεῖρας. Τοσοῦτον δὲ αὐτὸν διέλαθεν, ὅτι μὴ ψηφῖδα αὐτοῦ προέθηκεν, ὥςπερ ἡ σηπία προχέουσα τὸν θολόν, ἵν᾽ ἐκφύγῃ τὸν θηρατήν. Ἁλίσκεται γοῦν φαινόμενος, ὥςπερ ὁ βολβὸς τῷ βλαστῷ. Ὁ δὲ οὐκ αὐτίκα διέξ[εισι], εἰ μή τις αὐτῷ πολιορκήσει τὸ φρούριον· ἢν δὲ ἐπιχειρήσῃ, προολισθαίνει εὐθύς, καὶ βούλεται διεκφυγεῖν καὶ ἁλούς. Ἀλλ᾽ ἐλάθομεν, ὦ βελτίστη κεφαλή, ψυχοῦντες τὸ ἄψυχον. Τὸ δὲ οὔτε ἀπέδρασεν, οὔτε πέφευγεν, ἀλλὰ προὔκυψεν ἐξ ἀρχῆς μετὰ τοῦ συμφυοῦς καλύμματος. Τοιοῦτο δὲ ἡ τέχνη τῆς φύσεως. Οὐ σπαργανοῖ καθ᾽ ἓν ἅπαντα τὰ κυήματα· ἀλλ᾽ ἕτερον ἄλλό τι ἐπενδύει, τὰ δὲ καὶ γυμνὰ τίθησιν, ἔσωθεν αὐτὰ περισφίγξασα. Τοὺς γοῦν λόγους ἡμῖν θεωρητέον τῶν ἐκείνης μνημάτων, ἵν᾽ ἔχοιμεν λόγων λόγῳ κατατρυφᾷν.

νδ

Σὺ μὲν δυςχερανεῖς ἴσως καὶ πρὸς τὰς λεπτὰς τῶν καστάνων περιβολάς· καὶ μάλιστα πρὸς τὴν τελευταίαν, ὅτι ἀπρὶξ ἔχεται τοῦ καρποῦ, καὶ τοὺς ὄχθους αὐτῆς ὑποδύεται. Ἐγὼ δέ, ὁπηνίκα τῶν δένδρων ἀπέσπων αὐτά, εὐαφῶς ὥςπερ ῥόδων ἡπτόμην, τὰς ἀκάνθας αὐτῶν ὑφορώμενος. Οὐκ οἶδα γάρ, ὅτι γνοῦσα ἡ φύσις σκληρὰν οὕτως ὀπώραν, οὕτω πως ἠσφαλίσατο καὶ δυςεπιβουλότατον εἰργάσατο τὸν καρπόν. Ἢ τάχα που (ἵνα τι προςπαίξας εἴπω), ἐπεὶ δρίον ὄρειον τὰ πολλὰ τὸ φυτόν, καὶ ἔμελλον αὐτὸ ἀδρότεραι χεῖρες τρυγᾷν, διαταῦτα ἀκανθῶδες αὐτὸ ἡ πλάττουσα φύσις ἐποίησε. Ποιμένων γὰρ χεῖρες καὶ γεωργῶν τετυλωμέναι, ὡς οἶσθα, καὶ οὐ πάνυ τι τῆς ἀκάνθης αἰσθάνονται. Οὐ παντὶ δὲ τῷ καρπῷ ὁ ἐσωτέρω προςπέφυκε φλοιός, ἀλλ᾽ ὅσοις μὴ ἐν τῷ δένδρῳ ἡ πέψις ἐγεγόνει· μηδὲ ἡ ἄκανθα ἔσχισται. Τὸ δὲ σχῆμα τῶν περιβόλων αὐτῷ — ὁ μὲν ἀκριβὴς σφαῖρα, εἴ τις ἀφέλοι τὴν ἄκανθαν· ὁ δὲ ἡμισφαίριον. Οἷος οὖν ἐγὼ περιττός, τῷ παντὶ τὴν ὀπώραν ἀπείκασα. Τούτου γὰρ ὁ μὲν οὐρανὸς ἀκριβὴς σφαῖρα. Τὰ δέ γε στοιχεῖα βούλονται μὲν οὕτως εἶναι· ἀλλ᾽ οὐ σώζει τὴν ὁμοιότητα, παρά τι δὲ τοῦ ἀκριβοῦς ἔρχεται σχήματος. Τοῦτο σοι τοῦ καρποῦ τὸ ἀπόῤῥητον. Καὶ τοῦτο μὲν ἐν ψυχῇ κατάθου, τὸ δὲ φαινόμενον δίδου τῷ σώματι.

νε

Μάτην μετὰ τοῦ πέπονος ἡ ἐπιστολή. Ἀρκεῖ γὰρ αὐτὸς ἑαυτῷ ἀντὶ παντὸς λόγου καὶ πάσης ποιήσεως, εἰ καὶ ὁ ποιητὴς εἰς ὄνειδος τοὔνομα προφέρει τοῖς Ἀχαιοῖς. Εἰ γὰρ εἰς ἐμὴν κρίσιν ἀναθείη τις τὰ εἴδη || τῶν ὀπωρῶν, οὐδ᾽ ἂν ὅλως ἀμφισβητήσας τὰ πρωτεῖα κατὰ τῶν ἄλλων θήσω τῷ πέπονι. Ἔστι γὰρ οἷον κεφαλή, καὶ τῷ σχήματι ὁ αὐτός, καὶ πολυσχήμων τοῖς εἴδεσιν ὤν. Βέβηκε μὲν γὰρ κατὰ κύβον· ἀνέστηκε δὲ κατὰ πυραμίδα· περιῆκται δὲ

Ms. fol. 255. b.

κατὰ σφαῖραν. Ἀλλὰ τί ἀπὸ τούτων τὸν πέπονα, καὶ μὴ οἴκοθεν καὶ παρ' ἑαυτοῦ; Ἔστι γάρ τι χρῆμα, οἷον οὐκ ἄλλο· καὶ οὐ χροῒ δῆλον, ἀλλὰ τῷ σώματι. Ὅλος γὰρ διόλου ἡδονῆς ἐστὶν ἀῤῥήτου μέτοχος· καὶ οὔτε σκληρὸς κατὰ τὸ μῆλον ἐστίν, οὔτε παντάπασιν ἁπαλὸς καὶ ἀπόῤῥυτος· ἀλλ' ἔσφιγκται μὲν ὅσον μέτριον, εἴκει δὲ τοῖς λεαίνουσιν, ὁπόσον καὶ τοῖς μακροβίοις ἐστὶν ἀποχρῶν. Τὸ δὲ τῆς ἡδονῆς καὶ αὐτόθεν, καὶ διὰ τοῦ φάρυγγος· καὶ μέχρι τοῦ στήθους ἀμβροσία τις ἐπίκηρος ὡςανεὶ καὶ ἀρκῶν ἀντὶ νέκταρος. Οὐ γὰρ παρεικάσαις αὐτοῦ τὴν ἡδονὴν οὐδεμιᾷ τῶν ἐν τοῖς καιροῖς ὀπωρῶν. Ἔστι δὲ κατὰ τὰς τοῦ παντὸς ὥρας καὶ τὰς τῶν στοιχείων χάριτας· μικροῦ γὰρ οὐδ' ὠνητός ἐστιν, ἀλλὰ δυεῖν δραχμῶν γυργάθους ἀρεῖς δέκα τῆς ὀπώρας μεστούς. Ἄφθονον γὰρ ἐστι τἀγαθόν, ὡς ὁ ἀήρ, ὡς τὸ πῦρ, ὡς ἡ θάλα[σσ]α. Οἶμαι δέ, μηδὲ σκεπτικὸν ἄνδρα ἐνδοιάσαι περὶ τῆς τούτου γλυκύτητος, μηδ' ἐρεῖν οὐδέν τι μᾶλλον, μηδὲ εἰς ἐποχὴν ἐλθεῖν, ἀλλ' ἀποφήνασθαι, ὅτι συμπασῶν κρατεῖ τῶν ἄλλων ὀπωρῶν.

νς

Ἐοίκατον ἄμφω πρὸς ἄλληλα, ἐπιστολή τε καὶ σταφυλή· καὶ οὐκ ἄν τις παρὰ τὸ εἰκὸς ἢ τὴν ἐπιστολὴν τῇ σταφυλῇ ἀπεικάσειεν, ἢ τὴν σταφυλὴν τῇ ἐπιστολῇ. Ὅ τε γὰρ λόγος ἡδύ τι ἄλλο, εἴπερ τι χρῆμα, ψυχῇ· καὶ τῇ σταφυλῇ ποία τῶν ὀπωρῶν εἰς ἡδύτητα ἀντερίσειεν; Εὐφραίνει μέν τοι αὐτίκα τὸν προσιέμενον· καὶ ὥςπερ ταύτης τὸ μέν τι αὐτόθεν καὶ ἀνέργαστον τὸ ἡδύ, τὸ δέ τι πλέον καὶ ποτιμώτερον, ληνοβατηθεισῶν τῶν ῥαγῶν· οὕτω καὶ τοῦ λόγου διττὸν τὸ εἶδος (λέγω δὲ τοῦ σοφοῦ)· τὸ μὲν αὐτίκα καὶ ἐκ χειλέων· τὸ δὲ εἴ τις διαιρεῖν ἐθέλοι, καὶ ὁπόσον ἔνδον εἴη, ἐκκενοῦν τῷ προειρημένῳ πιεῖν· κἂν εἴ τις τὸν μὲν ἐν προφορᾷ λόγον τῇ ἀνεκθλίπτῳ σταφυλῇ ἀπεικάζῃ, τὸν δέ γε ἐν νοήσει κρείττονι τῇ ἱκανῶς διαιρεθείσῃ καὶ εἰς ῥεῦμα τὸν οἶνον προχευμένῃ, εὐστοχώτερον ἂν εἴποι, ἁπανταχῇ τὰς ἀναλογίας σκοπῶν. Εἰ δὲ καὶ τῶν σταφυλῶν αἱ μὲν χρυσίζουσιν ἀκριβῶς, αἱ δ' οὐχ οὕτως· ἀλλ' ἢ λευκότεραί εἰσιν, ἢ μελάντεραι· αἱ δὲ ποικιλώτεραι τὴν χροιάν· ἀλλ' οὐδὲ τῶν λόγων τὸ εἶδος ἁπλοῦν· ἀλλὰ τὸ μὲν ὑπόλευκον, τῆς εὐαγγελικῆς καθαρότητος σύμβολον· τὸ δὲ ἀτεχνῶς μέλαν, τῆς παλαιᾶς σκιᾶς σύνθημα· τὸ δὲ ποικίλον καὶ μηδέτερον καθαρῶς· ταύτῃ τοι καὶ χρεὼν μήτε ἐπιστολὴν μόνως, ἀλλὰ καὶ σταφυλή[ν], μήτε σταφυλὴν μόνως ἐκπέμπειν.

νζ

Ἡμεῖς μὲν δὴ καὶ τὴν ὀπώραν ταύτην ἐπίσης ταῖς ἄλλαις λόγῳ τιμᾶν προειλόμεθα· καὶ οὐ γυμνήν σοι ταύτην πεπόμφαμεν, ἀλλὰ μετὰ τῆς ἐπιστολῆς, ὡς ὁρᾷς. Ἀρκεῖ δὲ αὕτη τῷ ἀρχιγένει εἰς κατηγορίαν τῆς φύσεως· λιττᾷ γὰρ κατ' αὐτῆς οὗτος, ὡς ἀλόγως τὰ πλεῖστα ποιούσης. Διατί γὰρ (φήσειεν ἂν ἐκεῖνος) ἁπλῆν οὖσαν ταυτηνὶ τὴν ὀπώραν μὴ ἔξωθεν ἡ φύσις περιετείχισεν; ἀλλὰ τὸ μὲν κάρυον πολλοῖς φρουρίοις κατησφαλίσατο, ὧν καὶ χωρὶς ἤρκει καθ' ἑαυτὸν ὁ καρπός· ταύτην δὲ ἁπλῆν ὁμοῦ καὶ γυμνὴν πᾶσι προτέθεικεν; Ἀλλ' ὦ ἀρχίγενες (εἴποιμ' ἂν ἐγὼ πρὸς αὐτόν), διττή τίς ἐστι ταῖς ὀπώραις παρὰ τῆς φύσεως ἡ ἀσφάλεια· ἡ μὲν ἔσωθεν, ἡ δὲ ἔξωθεν. Καὶ ὅσα μὲν ἡ φύσις τῶν γεννημάτων τῇ ἔξωθεν σπαργανοῖ, ἔρημα τῆς ἔνδον ἀφίησιν· ὅσα δὲ ἔνδον κατασφαλίζεται, τούτοις οὐ πάνυ τι αὐτῇ μέλει τῆς ἔξωθεν. Οἱ γοῦν πυρῆνες κρυφίοις ἐοίκασι μηχανήμασιν ἔσωθεν τὰς τῶν ὀπωρῶν σάρκας κρατοῦντες τε καὶ συνέχοντες. Οἷς οὖν ἀπὸ καρδ[ί]ας, ὡς εἰπεῖν, ἡ φυλακή, τούτοις περιττὸς ὁ χιτών. Λόγου γοῦν καὶ τοῦτο τὸ εἶδος τοῦ καλλίστου μέτοχόν ἐστιν. Διαταῦτα καὶ οὐδ' ἂν ἀξιώσειέ τις ἀνὴρ θεωρὸς τῶν ἔργων τῆς φύσεως, φίλοις αὐτὸ χαριζόμενος, μὴ σὺν ἐπιστολῇ διδόναι. Σὺ δ' ὁπηνίκα φάγοις, ἐν παλάμῃ τὸν πυρῆνα θείς, τοσοῦτον ἐνθυμήθητι, ὅτι οὗτος ἦν ὁ τοῦ καρποῦ φύλαξ καλλίων, ἢ οὓς Πλάτων ἐν τῇ οἰκείᾳ τίθησι πόλει.

νη

Κριτὴς εἰς οἶκον κριτοῦ· καὶ ὁ δημώδης λόγος ἐνήλλακται. Εἰ δὲ τὴν βουλγαροπουπιλλαρίαν ἀγωγὴν οὐκ ἐπίσταται, οὐδὲ τὴν ὀρφανικὴν οἶδεν ἀποκατάστασιν, ἀλλὰ καὶ Βουλγάροις καὶ Σκύθαις καὶ ὀρφανοῖς, καὶ ἁπαξαπλῶς σύμπασιν, ὅσοι δὴ ἄναυδα κατὰ τοὺς ἀοιδοὺς θύουσιν, ἡ τούτου κακία ἀνέῳκται· κἂν εἰς τὴν τούτου ἀρχεγονίαν ἀναποδίσῃς, εὕρῃς τὸ γένος τὸν ἀρχαῖον βίον ζηλώσαντα. Καὶ θαύμασον, ὅτι τὸν πάντας ὑποδεξάμενον αὐτὸς ὑποδέδεξαι. Καὶ ὥςπερ τὴν σελήνην θαυμάζομεν, ὅτι τὰς κράσεις τῶν στοιχείων μεταποιεῖ· καὶ ἐπὶ μᾶλλον τὸν ἥλιον, ὅτι τοῦ φωτὸς αὐτῇ μεταδίδωσι· καὶ τούτου ἐπὶ μάλιστα τὸ στερέωμα, ὅτι περιάγει τοῦτον στρεφόμενον· καὶ ἐπὶ πᾶσι τὴν ἐξωτάτω περιοχήν, ὅτι σύμπαντα εἰς ἑαυτὴν σπαργανοῖ· οὕτω δὴ καὶ σὲ ἐκθειάσομεν, τὸν μέγαν τουτονὶ Κρόνον εἰς ἑαυτὸν συνελίσσοντα. Ἔστι δὲ οὐ κατ' ἐκεῖνον δριμύς, οὐδὲ τὴν κρᾶσιν ψυχρός. Ἀλλὰ πρὸς τὰ νυκτερινὰ φῶτα

σχηματιζόμενος, ἐναλλάττει τὴν φύσιν, καὶ γλυκύς, εἴπερ τις ἄλλος, ἐστίν· οὐκ ἀπειλούμενος τισίν, οὐ φιλίας διαταράττων θεσμούς, οὐκ ἄλλό τι τῶν ἀτοπωτέρων ποιῶν. Τρόπον μὲν οὖν τινα ἠλλοτρίωται σοι μισοῦντι τῆς ἀμπέλου τὸ γέννημα ὁ αὐτός, πρῶτος δὴ ὢν Οἰνεύς. Εἰ δέ σοι τὴν φύσιν μεταποιήσει, καὶ σοι τὴν δίκην οἰκείαν εὐμούσως συγκερασάμενος προσενέγκοι, τοῦτο δὴ δῶρον τύχης, καὶ κρεῖττον εὐχῆς. Ms. fol. 256 a. Σὺ δὲ μὴ ἀπαξιώσῃς τὴν κύλι||κα· ἣν δὲ βούλῃ, τὸν βομβυλιόν. Οἷς γὰρ ὁ ἀνὴρ ἐντέθραπται, τούτοις σε δεξιώσεται.

νθ

Ὁ ἐπίσκοπος οὗτος ἔχει μὲν καὶ σεμνότητα ἀρχιερεῖ πρέπουσαν, ἔχει δὲ καὶ ἦθος πολιτικὸν καὶ γλυκὺ οὐκ ἐπιτετηδευμένον, οὐδὲ εὐτράπελον, ἀλλὰ φυσικὸν καὶ ἔμφυτον. Εἰ μὲν οὖν τὸ σεμνὸν τιμᾷς καὶ ἀσπάζῃ, εὑρήσεις τοῦτο παρὰ τῷ ἀνδρί. Εἰ δὲ τὸ ἱλαρὸν καὶ εὔχαρι, πλουτεῖ καὶ ταῦτα ὁ ἄνθρωπος. Εἰ δὲ τὸ ἐξ ἀμφοῖν σύγκρατον, συνήρμοσται ἐξ ἀμφοτέρων. Ἢ τοίνυν ἐκ τῶν ἁπλῶν, ἢ ἐκ τῆς κράσεως τίμησον. Ἢ ταῦτα μὲν ἄφες, δι' ἐμὲ δὲ σαυτῷ τοῦτον οἰκείωσον. Καὶ ὅπως μὲν ἔχει οὗτος, ἔστω δὴ οὕτως· διὰ δὲ τὴν ἐμὴν γραφὴν καὶ ἀξίωσιν τῆς κρείττονος παρὰ σοὶ εὐμοιρησάτω καὶ μερίδος καὶ ὑπολήψεως.

ξ

Τῷ συγκέλλῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου.

Φίλτατε ἀδελφέ, τὰ μὲν σὰ τοιαῦτα καὶ οὕτως ἔχοντα. Τίνα ταῦτα; Ἐλαφηβολίαι· θηροφονίαι· ἐπεμβοήσεις· ἐπεξελάσεις· καταλαβεῖν τὰ μετέωρα· δῆσαι τὴν θηρατικὴν φάλαγγα· τὸν μηρὸν πλῆξαι τῇ μάστιγι, καὶ ἐπεγεῖραι τὸν πτῶκα, ἐπιθωΰξαντά τι θηρατικὸν καὶ γενναῖον· τὸ μεῖζον, ἀπολαῦσαι τῶν θηραμάτων, ἐπὶ στιβάδος αὐτοσχεδίου ἀναπαυόμενον. Τὰ δὲ ἡμέτερα τούτοις πᾶσιν ἀντίῤῥοπα (καὶ ἔτι βαρὺς ὁ κανών)· μὴ θίξαι, μὴ γρῦξαι, μὴ ἐς θέατρον περικύψαι· μὴ ἰδεῖν κυνηγέσιον· μὴ περιτυχεῖν ἀκοντίζουσι· μὴ περιγενέσθαι τοξεύουσιν, ἀλλ' οἴκοι καθῆσθαι· μᾶλλον δὲ μηδὲ οἴκοι· μηδὲ καθῆσθαι, ἀλλ' ἐπ' ἀλλοτρίας ἑστάναι ἢ μηδὲ τοῦτο, ἀλλὰ κύπτειν ἀεὶ καὶ ἀποτυλοῦν τὸ γόνυ, καὶ ἀπολιθοῦν τὸν δάκτυλον. Σὺ δὲ οὔτε τῶν σῶν ἡμῖν μεταδίδως, οὔτε τῶν ἡμετέρων μεταλαμβάνεις. Ἀδικεῖς οὖν τὸ φίλτρον, καὶ συγχεῖς ὅρια φιλίας κοινά. Πρὸς θεοῦ, ἔραμαι κυσὶ θωΰξαι (τοῦτο δὴ τῆς τραγῳδίας τὸ ἔπος)· ἔραμαι μέν, ἀλλά μοι ὁ ἔρως ἀτέλεστος. Τίς ὁ καινὸς ἡμῖν νομοθέτης; Τίς ὁ βαρὺς ζυγός, καὶ δεσμός, καὶ ἡ ἐργοώδης αὕτη ζωή, καὶ ἡ τῶν ἐπιταγμάτων ἀνάγκη; Γλυκὺς ὁ τῆς ὀπώρας καρπός· ἀλλὰ μὴ λάβῃς. Ἡδὺ τὸ τῆς πηγῆς πόμα· σὺ δὲ μὴ πίῃς. Εὐανθὴς ὁ λειμών, ἀλλὰ μὴ προσέλθῃς. Τὸ θέατρον ἡδεῖα διατριβή· ἀλλὰ μὴ δώσεις πρὸς τοῦτο ὀφθαλμόν. Ἡ θήρα χρῆμα ἐπιτερπές· ἀλλὰ μὴ ἴδῃς ἐκθορόντα λαγών, μηδὲ κύνα διώκοντα, μηδ' ἄλλό τι τῶν καταθελγόντων ψυχήν. Δέδοικα, μὴ καὶ τὴν γῆν ἡμᾶς ἀφαιρήσωσιν οἱ νομοθετοῦντες, μὴ καὶ τῆς ἀναπνοῆς τοῦ ἀέρος ἀπείρξωσι. Τί ποτ' οὖν; Ἀληθεύω οὕτως ἐπιστέλλων; Οὔ, νὴ τὴν ἱεράν σου ψυχήν. Μὴ γὰρ οὕτως ἐκσταίην φρενῶν, μηδέ τι ζηλώσαιμι τῶν ὄντως καλῶν· μὴ νοῦν, μὴ τὸ ὄν, μὴ σοφίαν, μὴ τὸ ἕν, μὴ θεόν. Ἐγὼ δὲ οὐδ' ἄλλως ποτὲ τὴν θηροφονίαν τεθαύμακα. Πρῶτον μὲν γὰρ τυραννίδι τὸ πρᾶγμα ἔοικε, καὶ ψυχῆς ἐστὶ ζώου ἀφαίρεσις, καὶ πόλεμος ἄντικρυς, καὶ φύσεων ἡμέρων ἀκήρυκτος ὄλεθρος. Ἔπειτα οὐδ' ἄλλως ἡδὺ τὸ χρῆμα· ὑπὸ ψυχρῷ ἀέρι, καὶ ἐπὶ τέλματος καὶ πηλοῦ ἐκ ποδὸς δίωξις, κραυγή τε συμμιγὴς καὶ φωνὴ ἄσημος. Ὁρᾷς ἐκ θατέρου τὸν λόγον νενικηκότα; Τὸ δέ γε ἡμέτερον καὶ φιλόσοφον, κρείττονος μετουσία, καὶ σχολὴ φίλη θεῷ, καὶ νοῦς μετέωρος, καὶ ψυχῆς ὕψωσις, καὶ ὁπόσα τῶν καλῶν ἄρρητά τε καὶ κρύφια. Ἀλλ' οὐδὲ βαρὺς ὁ ζυγός, ἀλλὰ καὶ ἐλαφρὸς πάνυ κατὰ τὴν τοῦ κυρίου φωνήν. Ἠλευθερώμεθα γὰρ καὶ πληθούσης ἀγορᾶς, καὶ δήμου κυμαίνοντος, καὶ τῶν ἐν μέσῳ ταραχῶν, καὶ ὁπόσα ἐν τοῖς βασιλείοις δεινά. Ὁ δέ γε δεσμὸς ἐλευθερία δεσμοῦ· ἀπολύει γοῦν ἀπὸ τοῦ σώματος τὴν ψυχήν. Τί δὲ ἡμῖν καὶ τὸ μαραινόμενον ἄνθος, καὶ τὸ διαῤῥέον ὕδωρ, καὶ ὁ πίπτων καρπός; Μόνον γὰρ ἀγαθὸν τὸ ἑστώς, οὗ δεῖ ἐφίεσθαι μόνου τὸν φιλοσοφοῦντα νοῦν. Σὲ μὲν οὖν τερπέτω ὄρνις ἁλισκομένη μετέωρος· ἐμὲ δὲ θελξει νοῦς ὑψηλός, ὑποπίπτων εἰς νόησιν. Εἰ δὲ βούλει, μεταδῶμεν ἀλλήλοις ἀλλήλων. Καὶ σὺ μὲν ἡμᾶς τοῖς ἀπὸ τῆς θήρας δεξιοῦ ἀγαθοῖς· ἐγὼ δέ σε τοῖς ἐμοῖς ἀντιδεξιώσομαι γράμμασιν.

ξα

Τῷ κριτῇ Ὀψικίου.

Τῷ χοιροσφάκτῃ ἐκείνῳ Μιχαήλ, περίβλεπτε κύριέ μου, υἱός ἐστι[ν] ἐνταῦθα κοσμιώτατος μὲν καὶ λογιώτατος, οὔπω δὲ βίου δραξάμενος εὐκλεοῦς· ὅθεν τὴν τύχην ἰδὼν ἀντικειμένην αὐτῷ, συνέστειλέ τε τὸν ἑαυτοῦ βίον, καὶ ζῇ γλίσχρως καὶ ἐνδεῶς ἀπὸ βραχυτάτης εἰσόδου τοῦ ἐν τοῖς Πυθίοις αὐτοῦ κτήματος.

Ἀλλ' ἥ γε συμπαρομαρτοῦσα τούτῳ πονηρὰ τύχη καὶ κατὰ πόλεις καὶ κατ' ἀγροὺς ἐνοχλεῖν εἴωθεν· ὅθεν ἐπανέστησε τοῖς τὸ προάστειον αὐτοῦ διοικοῦσιν ἄνδρα βιαιότατον, γειτονοῦντα αὐτῷ· ἀγρότην μὲν καὶ τῶν ἀνωνύμων, τὴν βίαν δὲ καὶ τὰς χεῖρας κατ' οὐδὲν τοῦ Ἡρακλέος δεύτερον. Οὗτος τὸν μὲν ὕβρισε τῶν οἰκετῶν αὐτοῦ· τὸν δὲ ἐμαστίγωσε· κατὰ δὲ τοῦ ἀνατεθραμμένου αὐτὸν πρεσβυτάτου ἀνδρὸς οὐδεμιᾶς ὕβρεως ἐφείσατο ἢ πληγῆς. Ὁ μὲν οὖν, ὥς φασιν, ἐπὶ ταῖς ἀφορήτοις αἰκίαις τὰς τελευταίας ἀφίησιν ἀναπνοάς· οὗτος δὲ λίαν τοῦ πρεσβύτου κηδόμενος κατέφυγεν ἐπ' ἐμέ, ἀξιῶν ἀξιῶσαί σε δίκας λαβεῖν περὶ τοῦ ὑβρικότος, περὶ ὧν πέπονθε. Τοῦτο οὖν αὐτὸ ἀξιῶ. Σὺ δὲ καὶ φίλος καὶ δικαστὴς ὤν, ὡς μὲν δικαστὴς τοὺς νόμους τοῖς ἀδικηθεῖσι περισώσοις· ὡς δὲ φίλος οὐκ εἰς ἀναβολὴν θήσεις τὸ πρᾶγμα, ἀλλὰ ταχεῖαν ἐνέγκης ἀπόφασιν,

ξβ

Ἀξιῶ, λογιώτατε, μήτε ἐμὲ προσδέξασθαι περὶ τῶν τοὺς παρόντας ἀδικούντων, ὥστε ἀδίκων τυχεῖν, μήτε ἑτέρους περικινοῦντάς σε, ὥστε μὴ τῶν δικαίων τούτους τεύξεσθαι. Ὁρᾷς, οἵα ἡ ἀξίωσις, μετρία τε Ms. fol. 256. b. || καὶ φιλόσοφος, καὶ σοὶ μάλιστα συμβαίνουσα, καὶ τὸ πλέον δικαστική, καὶ ἐς τὸ τοῦ Ῥαδαμάνθυος ἦθος τὴν σὴν ψυχὴν ἐπανάγουσα; Ἀλλὰ σύ γε τοῦτο ποιῶν, οὐχ εἷς ἂν δόξῃς τῶν ἐξ Ἀλκμήνης παίδων τῷ Διΐ, ἀλλὰ θεῖος ἀνὴρ καὶ ἀγχίσπορος ὄντως τοῦ μόνου θεοῦ.

ξγ

Τῷ πατριάρχῃ τῷ Λειχούδῃ.

Ἀνεμνήσθην ἰδὼν τὸν ἰχθῦν, θεοτίμητε δέσποτα· ἀνεμνήσθην — τίνος; Τοῦ πάλαι μὲν ἐνατερνισαμένου με, νῦν δὲ (οὐκ οἶδ' ὅπως εἴπω) ἀπωσαμένου με. Ἀνεμνήσθην ἀπὸ τῆς αἰσθητῆς ταύτης τροφῆς καὶ καταγλυκαινούσης τὴν φάρυγγα, τῆς ψυχοτρόφου καὶ νοητῆς, τῆς τῶν σῶν λόγων ἀμβροσίας, φημί. Ἀνεμνήσθην μέν, ἀλλὰ μόλις, ὥσπερ ἐπιλαθόμενος καὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος. Τοῦτο ἐκεῖνο τὸ περισπούδαστον· ὁ ἐπιπόθητος ὄντως οὗτος ἰχθύς· ὁ ποταμοῖς ἐμφιλοχωρῶν καὶ θαλάσσαις, καὶ ἀμφοτέρους τοὺς κλήρους κληρωσάμενος οἰκητήρια· ὁ καὶ ἐκ μέρους καλὸς καὶ ὅλος περικαλλής· ὁ πρὸς τοὺς λοιποὺς τῶν ἰχθύων ὁμώνυμος, ὑπερκείμενος δὲ ὁμοίως καὶ πτηνῶν καὶ πλωτῶν. Εἰ δὲ ὁ ἰχθὺς τοιοῦτος, ὁποῖος ὁ πεπομφώς, εἰ τὸ αἰσθητὸν ὑπερφυές· τὸ νοητὸν κάλλος σύ, πρὸς ὃν ἡ ἀνάμνησις, τίνι παρεικασθήσῃ; Οὗτος μὲν γὰρ ἐπιχωριάζει τοῖς ὕδασι, καὶ μέρος τοῦ παντὸς ἀπείληφεν ἐν διαίτῃ. Σὺ δὲ δεσπόζεις τῆς κτίσεως, μὴ συγχυθεὶς τὴν κατ' εἰκόνα μορφήν, ἀλλ' ἀπαρείνωτον τετηρηκὼς τὸ ἀξίωμα· μᾶλλον δὲ ὁ νοητὸς σὺ τυγχάνεις παράδεισος. Ἀλλὰ πῶς δὴ ἀποδύρωμαι; πῶς δὲ τὴν ἐμὴν τύχην ἀπολοφύρωμαι; Ἔνδον γὰρ πάλαι τυγχάνων τῆς σῆς ὡραιότητος, νῦν ἀπελήλαμαι. Πάλιν οὖν ὄφις, καὶ πάλιν πλάσματα· καὶ πολὺς ὁ ἰός, καὶ ἡ κατήγορος γλῶσσα σφοδρά, οὐ τὰ στήθη παίουσα, βάλλουσα δὲ τὰ μετάφρενα. Διαταῦτα ἀπῶσμαι, καὶ καταδεδίκασμαι ἐρήμην κατακρινόμενος. Ἀλλὰ ταῦτα μὲν πάλαι τε ἀπωδυρόμην, καὶ μεταταῦτα κλαύσομαι. Τὰ δὲ νῦν αἰθρία, πανήγυρις, παιᾶνες, λαμπρότητες, καὶ τῶν ἀπευκτῶν ἀθρόων μετάμειψις. Εἰ τοίνυν ἰδὼν τὸν ἰχθῦν, οὕτως ὀξέως μετήνεγκα πρὸς σὲ τὴν ψυχήν, καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμήν· εἰ ἀπογεύσομαι· εἰ γλυκανθήσομαι· ἐνθουσιάσω πάντως εὐθύς, καὶ πετασθήσομαι καὶ καταπαύσω πρὸς σέ. Οὐδέν μοι τὸ τοῦ φθόνου μεσότοιχον· σαθρὸν τῆς βασκανίας τὸ διατείχισμα. Εἰ δὲ καὶ καρτερὰ τὰ ἐρύματα, ἀλλὰ ψυχικαῖς προθυμίαις καὶ νοεροῖς δρόμοις ὑποχωρεῖ πάντα καὶ ὑποστέλλεται. Οὕτως ἐγώ σου ἀπλήστως ἔχομαι τῆς ψυχῆς· ἀλλ' ὁ δράκων τὴν πτέρναν τηρεῖ, καὶ ἀνείργει τὴν πρόοδον. Ἀλλ' ἐπιβήσομαί ποτε, καὶ καταπατήσω τὸν θῆρα, κἂν λέων ἐστὶν ὠρυόμενος· κἂν ἄρκτος ὀπορουμένη· κἂν βασιλίσκος· κἂν ἄλλο τι τῶν δεινοτέρων καὶ ἀποβλήτων. Τί μοι λάθρα προσυλακτοῦσιν οἱ κύνες; Τί με κρύβδην οἱ θῆρες διασπαράττουσι; Σός εἰμι· καὶ ἀποῤῥηγνύμενος μερὶς τῆς σῆς προνοίας, καὶ διασχιζόμενος ἅπαξ τούτοις ἀντιβρυχήσομαι. Καὶ τότε γνώσῃ, οἷα μὲν λεόντων ὁρμήματα, οἷα δὲ πιθήκων μιμήματα.

ξδ

Καινόν τί μοι πρᾶγμα προσήγγειλεν ὁ παρών. Ἔφησε γάρ, ὅτι βουλόμενον ἀνεγεῖραι καταλυθεῖσαν τὴν οἰκίαν αὐτοῦ ἐγγειτόνων τις οἰκῶν οὐκ ἐᾷ· οὐ κωλύων αὐτὸν ἐπιχειροῦντα μετασχηματίσαι τὸ πεπτωκός, ἀλλ' ὅλως τὸ καταλελυμένον κτίσαι παρεμποδίζων. Ἐγὼ μὲν οὖν ἀκούσας εὐθὺς ἐγέλασα, ἄλλό τι εἶναι νομίσας τὸ κωλυόμενον. Ὁ δὲ μέχρι παντὸς ἐνέστη μοι, τοῦτο αὐτὸ εἶναι, ὅπερ ἐξ ἀρχῆς εἴρηκε. Τοῦτο δὲ ἄλλο ἐστίν, ἢ καινὴ τυραννίς; Ἀλλ' ἐπειδὴ πένης ἐστὶν ὁ τυραννῶν, ἐπὶ μὲν τυραννικοῖς ἐγκλήμασιν οὐκ αἰτιαθήσεται· ὡς δέ γε αὐθάδης καὶ βίαιος, ἢ μᾶλλον πάντη ταχὺς καὶ ἀνόητος, τοῖς προσήκουσιν ἐπιτιμίοις σωφρονισθήσεται. Εἰ δ' ἄλλως ἔχει

τὸ πρᾶγμα, ἀφεὶς τοὺς κήρυκας, αἰτιῶ τὸν Ἀγαμέμνονα.

ξε

Ὁ παρὼν οὗτος ἡμέτερός ἐστι φίλος· ὑπὲρ οὗ ἀξιώσαντος ἡμᾶς, ἀξιοῦμεν τὴν σὴν ἐνδοξότητα συνεργίαν δοῦναι αὐτῷ, ὥστε ἀπαιτῆσαι, ἃ κατέλιπε, λοιπαδάρια. Εἰ μὲν γὰρ ἅπαξ ἀπαιτήσας, δευτέρας αὖθις πειρᾶται ἀπαιτήσεως, ὡς ματαίαν τὴν ἀξίωσιν λόγισαι· εἰ δὲ οἱ ἀπαιτούμενοι ἐκακούργησαν περὶ τὴν τῶν δημοσίων λειτουργημάτων ἀπόδοσιν, πᾶν δίκαιον, διὰ τὴν ἐκείνων κακουργίαν τε καὶ ἀπείθειαν τοῦτον ὑποστῆναι ζημίαν, ὧν οὐκ ἐκέρδησε. Διαταῦτα γενέσθω αὐτῷ ἡ εὐγένειά σου εἰς μεγάλην βοήθειαν, καὶ τὸ δικαστικὸν ἀξίωμα ἐπὶ τοιαύτῃ χαρακτήριον ὑποθέσει. Δικαστοῦ δὲ οὐδὲν οὕτως, ὡς τὸ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ τοῖς ἀδικοῦσιν ἐπεξιέναι.

ξς

Ὁ νοτάριος οὗτος· μᾶλλον δὲ – τί φημι νοτάριον, ὃν δὴ κάλλιον πτωχὸν ὀνομάσαι Θρᾳκήσιον; Οὗτος οὖν ὁ πτωχὸς Θρᾳκήσιος, ἀποστελλόμενος παρ' ἐμοῦ εἰς τὸ ὑπὸ σὲ θέμα, ἐφ' ᾧ τινὰ προσήκουσαν ἐμοὶ δουλείαν ἀνύσαι, ἠξίωσέ με, μετὰ τὸ ταύτην ἐκπληρῶσαι, ὑπὸ τὴν σὴν γενέσθαι ἀντίληψιν, καὶ βραχείας τινὸς ὠφελείας τυχεῖν. Σκόπησον οὖν, οἷος ἐγὼ σὸς φίλος· ὅτι βέβαιος· ὅτι ἀληθής· καὶ τό, περὶ οὗ ἡ ἀξίωσις, ὁποῖον, ὅτι εὐπετὲς καὶ καταπραχθῆναι ῥᾴδιον. Καὶ ἀντεξετάσας τοῦτο πρὸς τὴν φιλίαν ἡμῶν, ἀνενδοιάστως κατάπραξον. Ὁ γὰρ νοτάριος οὗτος οὔτε ἵππον κεκτημένος πολλήν, οὔτε μεγάλων ἐπιθυμῶν κερδῶν, ἐλάχιστόν τι μέρος φανεῖται τῷ θέματι. Εἰ δὲ σὺ διὰ τὴν ἡμετέραν φιλίαν εὐμενῶς αὐτὸν ἴδοις, οὐδὲ τὸ ἐλάχιστον τοῦτο φανεῖται.

ξζ

Ἐπέτεινέ μοι τὴν πρὸς σὲ φιλίαν ὁ ἄνθρωπος, περὶ οὗ σε ἠξίωσα, δηλώσας ἐν γραφαῖς αὐτοῦ, ὅσων καὶ οἵων δι' ἐμὲ τοῦτον ἠξίωσας ἀγαθῶν, καὶ ὡς περιεφύλαξας, καὶ περιέσωσας ἀπὸ τῶν ἐπηρεάζειν αὐτῷ βουλομένων· ὑπὲρ ὧν καὶ εὐχαριστῶ, καὶ χάριτάς σοι ὁμολογῶ, καὶ πρὸς ἀντιδόσεις τῆς τοιαύτης Ms. fol. 257. a. διαθέσεως || εὐτρεπίζομαι. Μᾶλλον δὲ οὐχ ὑπὲρ τούτων, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων πολλῶν χρεώστης σοι καθέστηκα, καὶ πρὸς τὴν ἀπόδοσιν τοῦ χρέους οὐκ ἀναβάλλομαι. Πρόσθες οὖν ἐν τῇ πρὸς τὸν ἄνθρωπον διαθέσει σου, καὶ μᾶλλον ἐπαύξησον τὴν εἰς αὐτόν σου εὔνοιαν· καὶ θερμότερα ἀντιλαβοῦ τῶν κατ' αὐτὸν πραγμάτων. Καὶ οὕτω ποίησον· ἵνα μὴ μόνον ἐπιδημοῦντός σου αὐτόθι, ἀλλὰ καὶ ἀποδημήσαντος εὖ ἔχῃ τὰ κατ' αὐτόν.

ξη

Τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ, τῷ υἱῷ τῆς Δρουγγαρίας.

Λαμπρότατε κύριέ μου καὶ ἠγαπημένε ἀνεψιέ. Χεῖρα κατὰ τῆς ἀχειροποιήτου, καὶ δουλείαν κατὰ τῆς ἐλευθερωσάσης ἡμᾶς, καὶ ἐπήρειαν κατὰ τῆς ἀπαλλαξάσης τὴν φύσιν. Ὀχλήσεως μὴ σύ γε· μηδὲ οὕτως ἔχοιο φιλοσοφίας, μηδὲ ἀπόναιο τῶν σῶν ἰδεῶν. Εἰ μὲν οὖν ψευδὴς ἡ προσαγγελία, ἔχου τῶν συνήθων ἠθῶν· εἰ δ' ἀληθής, ἐφ' ἕτερον μετάβηθι λογισμόν, καὶ φεῖσαι τῶν θείων, καὶ μὴ κίνει τὰ ἀκίνητα. Εἰ δέ σοι μή τις ἔνεστι τῶν θειοτέρων φειδώ, ἀλλὰ τῶν ἀνθρωπικωτέρων ἐπιστράφηθι χρυσοβουλλίων, ἑτέρων δικαιωμάτων, συνηθείας χρονίου, τῆς τῶν πρὸ σοῦ δικαστῶν αἰδοῦς περὶ τὴν μονήν. Εἰ δὲ μὴ καὶ τούτων σοι μέλει, ἀλλ' ἡμῶν γε ἕνεκα τῶν φίλων καὶ διδασκάλων ἔνδειξίν τινα ἀγαθότητος περὶ τὴν κτῆσιν ἐπίδειξον τῆς μονῆς. Οὐκ ἀκερδής σοι ἡ χάρις οὔτε παρ' ἡμῶν, οὔτε παρὰ τῆς Θεομήτορος.

ξθ

Οἱ τοῦ χωρίου Μαμύτζης οἰκήτορες ἀδικοῦσι τὸ μέρος τῶν μοναχῶν τῆς κατὰ τὴν ἀχειροποίητον μονήν. Προάστειον γὰρ τῷ μοναστηρίῳ προσῆκον τῷ τοιούτῳ χωρίῳ παράκειται· Στρόβηλος τῷ κτήματι ὄνομα. Ἐν τούτῳ μύλοι τρεῖς δι' ὅλου τοῦ χρόνου ἐνεργοῦντες ἑστᾶσι, τοῦ κινοῦντος αὐτοὺς ὕδατος διὰ πλῆθος ἀρκοῦντος ἐπιῤῥοῆς. Οἱ δὲ τὸ δηλωθὲν χωρίον οἰκοῦντες, ἑνὸς εὐποροῦντες μύλου, καὶ τούτου χειμερίου, ἐτόλμησαν τὸ τοὺς τρεῖς μύλους κινοῦν ὕδωρ μετοχετεῦσαι, καὶ πρὸς τὸ[ν] ἴδιον μεταγαγεῖν μύλωνα, προφάσεις ἀναπλασάμενοι καὶ αἰτίας κενάς. Ἀξιοῦμεν οὖν σε, ἵνα καὶ δι' ἡμᾶς, καὶ δι' αὐτὸ τὸ δίκαιον, καὶ διὰ τὴν πρὸς τὴν θεοτόκον πίστιν σου καὶ εὐλάβειαν μὴ μόνον τὸ τοιοῦτον ῥεῦμα ἐς τὴν προτέραν μεταβιβάσῃς ὁδόν· ἀλλὰ καὶ τοὺς ἀνελεῖν τολμήσαντας χωρὶς εὐλογοφανοῦς αἰτίας καὶ δικαστικῆς ἀποφάσεως, καὶ ἑτέραν ὁδὸν ὑπανοῖξαι τῷ ῥέοντι ὕδατι, τιμωρήσῃς κατὰ τὸ εἰκὸς τιμωρίαν τὴν πρέπουσαν· ἵνα μήτε αὐτοί, μήθ' ἕτεροι τοιαῦτα τολμῷεν, τῷ κατ' αὐτοὺς σωφρονισθέντες περιδείγματι.

σ̅

Περὶ τοῦ παρόντος ἀνθρώπου καὶ ἐξιόντα σε τῆς πόλεως ἠξιώσαμεν, καὶ νῦν αὖθις ἀξιοῦμεν, ἀντιλαμβάνεσθαι αὐτοῦ ἐν ταῖς εἰςπράξεσι, καὶ εὐμενῶς βλέπειν, καὶ ὡς οἰκείου ἀντέχεσθαι. Ἀκούσαντες δὲ μικρῷ πρόσθεν, ὡς χαλεπῶς πρὸς αὐτὸν διετέθης, οὐκ ἠνιάθημεν, ἀλλ' ᾠήθημεν, ὡς ἐκόλασας, πρὸς βραχὺ ἀδικοῦντα εὑρών. Ἀλλὰ νῦν μεταβλήθητι πρὸς τὸ ἡμερώτερον, καὶ μὴ πάντα φαίνου τούτῳ πικρός. Ἀποβλέπων γὰρ οὗτος πρὸς τὰς ἐξόδους, ἃς κατεβάλετο, οὐ δύναται διὰ πάντων τῷ δικαίῳ στοιχεῖν· ἐπεὶ οὐδ' ἂν ἐξισωθείη ταῖς ἀπὸ τοῦ δικαίου εἰςπράξεσι πρὸς τὴν τῶν συνηθειῶν ποσότητα. Ἀλλὰ σὺ μὴ πρὸς τοῦτο βλέπων συγχώρει ἀδικεῖν, ἀλλὰ τὰ πολλὰ παράβλεπε, ὥστε σε ὁρῶντα μὴ ὁρᾶν, καὶ ἀκούοντα μὴ ἀκούειν. Οὕτω γὰρ ἂν μόνως καὶ τὴν κατὰ τῶν δικαστῶν μέμψιν ἐκφύγῃς, καὶ τοῖς φορολογοῦσι μέτριος φανήσῃ καὶ ἐπιεικής.

σα̅

Εὐχαριστῶ σοι, κύριέ μου, ἐφ' οἷς ἀξιώσας εἰςήκουσμαι. Ἠξίωσα δὲ πρώην περὶ τοῦ ἐμοῦ συγγενοῦς, ἵν' ὡς ἐμοῦ ἀντέχῃ τούτου καὶ τὰ δυνατὰ συνεργοίης. Κἀγὼ μὲν ὡς ᾠήθην ἐν μέρει τυχεῖν, ὧν ἠξίωσα· ὁ δὲ οὐ τοῦτό με δοξάζειν πεποίηκεν ἀλλ' ὅτι τὸ βραχύτατόν μοι ἐκεῖνο γραμμάτιον ἤρκεσεν αὐτῷ εἰς ὅλην τὴν εἴςπραξιν. Τοιοῦτόν ἐστι ψυχὴ βαθεῖα καὶ πίων· βραχύτατον μὲν σπέρμα δεχομένη, τὸν δὲ καρπὸν ἀποδιδοῦσα μυριοπλασίως. Ἀλλὰ πρώην μὲν ἠξίωσα· νῦν δέ, ὡς ὁρᾷς, εὐχαριστῶ, οἷς ἔτυχον· μείζων δὲ ἡ εὐχαριστία τῆς ἀξιώσεως. Ἀντιμέτρησον οὖν καὶ σὺ τῇ εὐχαριστίᾳ πλείονα τὴν ἀντίδοσιν, καὶ γενοῦ μᾶλλον τοῦ πράκτορος ἐπιμελέστερος συνεργός· ἵν' οὗτος μὲν ἡμῖν γράφῃ, ἃ τυγχάνει εὐεργετούμενος· ἡμεῖς δὲ ὑπόθεσιν ταῦτα πλείονος εὐχαριστίας ποιήσωμεν.

οβ̅

Παράδειγμά σοι ἔστω τῆς πρὸς ἐμέ σου φιλίας καὶ διαθέσεως ὁ σὸς μὲν ἀπὸ φύσεως ἀδελφός, ἐμὸς δὲ ἀπὸ πνεύματος, ἔν τε ἄλλοις, κἂν τῷ παρόντι νοταρίῳ καὶ ὁμωνύμῳ τοῦ σοῦ θέματος. Αὐτόθεν γὰρ ὡρμημένος, τὴν τῆς ὑπὸ σὲ ἐπαρχίας προσηγορίαν ἐκτήσατο. Περὶ γὰρ τούτου ἠξίωσα πρὸς ἐκεῖνον ἐν γράμμασι· ὁ δὲ ἀσμένως προσηκάμενος τὴν ἀξίωσιν, τά τε ἄλλα εὖ τοῦτον πεποίηκε, καὶ μετὰ τῶν γνησιωτάτων αὐτοῦ ἀνθρώπων ἠρίθμησεν. Ἐφείλκετο δὲ τοῦτον καὶ εἰς ὃ μετετέθη θέμα· ὁ δέ γε σφόδρα φιλόπατρις ὤν, αὐτόθι καταμένειν ἠθέλησεν. Εἰ μὲν οὖν βούλει πρὸς παράδειγμα βλέπειν, τὸν ἀδελφὸν ἰδών, τὰ ὅμοια περὶ τὸν ἄνθρωπον ποίησον. Εἰ δὲ σαυτὸν ἔχεις παράδειγμα τῆς πρὸς ἡμᾶς φιλίας σου, ταῖς προλαβούσαις χάρισιν ὁμοίαν τὴν περὶ τοῦ νοταρίου προςάρμοσον. Καὶ δεξάμενος τοῦτον εὐνοϊκῶς, τά τε ἄλλα προστάτης αὐτοῦ γενοῦ, καὶ τῆς προςηκούσης αὐτῷ οἰκίας ἀντιποιοῦ. Ἀλλὰ τί περὶ πολλῶν αἰτοῦμαι; Εἰ γὰρ συναρίθμιον μόνον τοῖς ὑπὸ σὲ ποιήσεις, αὐτόματα τἄλλα τῷ πρώτῳ τούτῳ εὐεργετήματι ἕψεται.

ογ̅

Οὐ μικρὰν παρηγορίαν τῆς σῆς στερήσεως τὰ σὰ γράμματα ἔχομεν· δοκοῦμεν γὰρ δι' αὐτῶν ὁμιλεῖν, ἔμψυχον συνουσίαν τὰς ἀψύχους σου προςφωνήσεις οἰόμενοι. Παροτρύνεις δὲ ἡμᾶς ἐν τοῖς γράμμασί σου, εὐφήμους φωνὰς ὑπὲρ σοῦ συνεισάγειν εἰς τὸ τοῦ μεγάλου [βασιλέως] συνέδριον.* Ἀνθύρμητοι γὰρ ἐσμεν εἰς τοὺς περὶ σοῦ ἐπαίνους. Μάρτυς ὁ [κύριος], καὶ οὐ δεόμεθα γλώσσης διεγειρούσης ἡμᾶς. Καὶ ὅτι μὲν οὐδὲν ἔτι σοι παρ' ἡμῶν ἐπωφελὲς προςεγένετο, οὐκ ἀγνοοῦμεν· ἴσθι δέ, ὡς ἅπαντά σοι πεπροοιμίασται, καὶ οἷον τὰ ἐπεισόδια τῆς ὠφελείας ἐγένετο. Σὺν ἐπαίνῳ γὰρ ὁ βασιλεὺς τοῦ σοῦ μνημονεύει ὀνόματος, καὶ χρηστότερον πρὸς τὰς ἐπελθούσας σοι συμφορὰς διατίθεται, καὶ οἷον ἑτοιμός ἐστι[ν] ἀντεπενεγκεῖν τοῖς χείροσι τὰ βελτίονα. Δήλωσον δὲ ἡμῖν, ὁπότερα βούλει εἰςεληλυθέναι σε εἰς τὴν βασιλίδα, καὶ τῆς ἐνταῦθα προνοίας τυχεῖν· ἢ εἰς κρεῖττον θέμα;

|| Τὰ πρὸς Ὄλυμπον. Ms. fol. 257. b.

Οὐδὲν τῶν ὄντων ὑπὲρ τὸν Ὄλυμπον. Καὶ ἵνα τὰ τελευταῖα τοῦ λόγου πρῶτα ποιήσωμαι· πεποίκιλται μὲν οὐρανὸς ἀστράσιν, ἀλλ' ἄψυχα ταῦτα σώματα, καὶ μένοντα ἐφ' ἧς ἐγένοντο φύσεως. Ὁ δὲ λογικὸς; καταπεκόσμηται φύσεσι, προκοπτούσαις ἀεί, καὶ εἰς θεὸν ἀναβαινούσαις διὰ τῆς τῶν ἀρετῶν κλίμακος. Χωρίον τρυφηλὸν ἡ Ἐδέμ, καὶ ἐν καλῷ τῆς συμπάσης κείμενον γῆς· ἀλλ' οὔπω ἀνθρώπους θεῷ καθομοιωθέντας ἐκληρώσατο. Ὑπερφυὴς ὁ παράδεισος· ἀλλὰ δυοῖν ποτε οἰκητόρων ηὐμοίρησεν. Οὗτοι δὲ ἅμα τε τῶν ἐκείνου καρπῶν ἐγεύσαντο, καὶ τῆς πανευδαίμονος ἐκείνης τρυφῆς ἀπηλάθησαν. Τὸ δέ γε θεῖον τοῦτο καὶ πάμφορον ὄρος ἀνάγει μὲν ἀνθρώπους θεῷ, κατάγει δὲ ἀνθρώποις θεόν. Καὶ κοινὸν ἐστιν οἰκητήριον τῶν τε ὑπερφυῶν τάξεων, καὶ τῶν τεταγμένων φύσεων. Ὅ τε καρπὸς αὐτῷ ξύμπας τῶν ἀρετῶν οὐκ ἐδώδιμος μόνον, ἀλλὰ καὶ τρόφιμος, καὶ

πιαίνων τὸν νοῦν τῷ τε γλυκεῖ καὶ ζωηφόρῳ τοῦ πνεύματος. Οὐ τὰ κρείττω δέ, ἀλλὰ καὶ τὰ πρὸς αἴσθησιν τούτῳ, πάσης ἄλλης ἡδίω τέρψεώς τε καὶ χάριτος· ὑδάτων πηγαὶ καθαραί· πόαι μαλακαί· εὐθαλεῖς δένδρων τροφαί· ὀρνίθων ᾠδαί· εὔπνους ἀήρ· ἡλίου βολαὶ διαυγεῖς· ὡρῶν συμμετρία· πνεῦμα μὴ λυποῦν. Πάντων μὲν ἐστιν ὀρῶν ὑπερκείμενος, βάσιμος δὲ μᾶλλον ἢ τῶν πεδίων τὰ ὕπτια. Τό τε μετέωρον οὐχ οἷον ἀπότομον, καὶ ἡ κάθοδος ἠρέμα ἐπικλινής. Εἴποι τὸ ξύμπαν· οὐδὲν αὐτῷ τῶν πάντων πρὸς σύγκρισιν αὔταρκες.

* * *

Ὄλυμπε, θεῖον ὄρος, αὐτῆς τε τῆς Σιὼν καὶ τοῦ Ἀερμὼν ὑπερκείμενον, καὶ πηγὰς ἀῤῥήτους τὴν ἡδονὴν τῆς νοητῆς Ἱερουσαλὴμ κατακέον· τί ποτέ σοι προσφθέγξομαι; Τίνα δέ σοι ἀναθήσομαι χαριστήρια; Ἀπὸ ποίων δέ σε τῶν οἰκείων μερῶν ἀναδήσομαι; Ὡς παντοδαπὸς εἶ, οὐ τὰς θειοτέρας μόνον Χάριτας, ἀλλὰ καὶ τὰς ἀνθρωπικὰς καὶ θελγούσας τὴν αἴσθησιν. Καί σε κρᾶμα πεποίηται ὁ θεὸς τῆς διπλῆς ἀρετῆς, ὅση περὶ τὸν οὐρανὸν καὶ ὅση περὶ τὴν γῆν. Οἷον μὲν γάρ σοι τοῦ Δαυῒδ τὸ ψαλτήριον δέκα φθόγγοις ἐντεταμένον, καὶ τὰς ἰσαρίθμους αἰσθήσεις τῆς τε ψυχῆς καὶ τοῦ σώματος ἀντὶ χορδῶν προβαλλόμενον, καὶ ἕκαστον ἑκάστῳ καὶ πάντα πρὸς ἄλληλα ποιῶν σύμφωνα. Οἵα δὲ ἡ τῆς ἀηδόνος ἠχώ. Παντοδαπὸν μέν σοι τὸ ἀμφιλαφὲς τῶν δένδρων καὶ σύσκιον. Ὁποῖον τε τὸ τῶν ἀρετῶν ὑψίκομον καὶ δασύ, πνεῦμα εἰσάγον μέτριον, καὶ τὸ φλογῶδες ἀποτειχίζον τοῦ καύσωνος, ὅστις οὗτος ἐστί. Τὸ δὲ ξύμπαν, ἤρισαν ἐπί σοι οὐρανός τε καὶ γῆ, τίνος ἂν μᾶλλον γίνοιο. Ὑπερεβάλετο δὲ οὐρανός, καί σε δικαίως Ὄλυμπον ἐπωνόμακεν ὡς δεύτερον οὐρανόν.

* * *

Ὅπη σου τῶν μερῶν τρέψω τὸν ὀφθαλμόν, Ὄλυμπε, ἀκήρατοί μοι εὐθὺς προσβάλλουσιν ἡδοναί· λειμῶνες ἐνταῦθα· ἐκεῖσε δένδρων εὐθαλεῖς κόμαι· ἡ αὖλαξ βαθεῖα, ἐρίβωλος καὶ πίων ἡ ἄρουρα· ὁ καρπὸς τεθηλώς. Ἀλλ' ἔαρος ταῦτα δῶρα. Ἀλλὰ καὶ τὸ θέρος εὔπνουν, καὶ οὐ μάλα σου τῶν μερῶν καταδυναστεύει ὁ ἥλιος· εἰ δέ ποτε τὰ μεσημβρινὰ καταφλέγει, ἀλλ' αἵ γε τῶν πηγῶν αὖραι ἀντὶ πάσης ἀρκοῦσιν ἀναψυχῆς. Χειμῶνος δὲ ἡ μὲν ἄλλη ξύμπασα γῆ μετεσχηματίσθαι δοκεῖ, καὶ τὸ ἐαρινὸν κάλλος ἀποκεκάρθαι· σοῦ δὲ οὐδέποτε ἡ καλλίστη τῶν ὡρῶν ὑπερλέληπται. Χλοάζεις γὰρ ἁπανταχόσε, ὥσπερ αἱ οὕτω τῶν λίθων ἐκ φύσεως ἔχουσαι. Ἐκκέχυνται γοῦν σε πάντοθεν καὶ μυῤῥίναι καὶ σμίλαξ καὶ κιττοί· ἥ τε δάφνη σε στεφανοῖ, καὶ ἡ πίτυς καταχλοάζει· οὐδὲ δρῦς ἐπὶ σοὶ γηράσκει, οὐδὲ φυλλοβολεῖ ἡ συκῆ, ἀλλ' ἐπ' ἀθανάτῳ σοι καὶ ἀγήρῳ ἀθάνατα καὶ ταῦτα φύεται. Ἀλλὰ πόθεν σοι οὕτως ἠρμένῳ τῆς γῆς αἱ ἀφανεῖς τῶν ὑδάτων πηγαί; Ἢ πάντως ἐπὶ τῶν ἀθανάτων ἐκείνων πηγῶν ἔφυ τὸ ῥίζωμα, ἃς Χριστὸς δίδωσι τοῖς διψῶσιν· ὅθεν οἱ τῶν ναμάτων σου ἐμφορούμενοι, εἰ καὶ μὴ ἀθάνατοι πάντη, ἀλλά γε καθεστᾶσι μακροβιώτατοι.

* * *

Βασίλειά σοι, Ὄλυμπε, καὶ τὰ ὄρεια· καὶ ὅτι, κἄν τις ἐκεῖθεν ἥκων τὴν ἐπὶ σοὶ δυσχεράνῃ διαγωγήν, ἀλλ' εἰ βούλοιτο περιδραμεῖν σοι τὰς ἀφανεῖς οἰκήσεις, ὁπόσα τέ σοι κατὰ πετρῶν ὤρυκται, ἢ αὐτομάτως κεκοίλανται, εὑρήσει, ὅπῃ τρυφήσειεν. Εἰ μὲν γὰρ ὑπέλθοι δένδρου σκιάν, αὐτίκα τοῦτον ἐπιξενώσονται κάτωθεν μὲν γῆς εὐναὶ μαλακαί· ὑπὲρ δὲ κεφαλὴν τὴν ὀπώραν κοσμοῦσιν αἱ Χάριτες. Τὸ δέ γε ἀναβλύζον ἢ παραῤῥέον ὑδάτιον ἀντὶ πάσης εὐφροσύνης γενήσεται· κἂν δεήσῃ ἀναβῆναι κλίμακα, καὶ ὑπὸ στέγην τρυφῶσαν γενέσθαι, ἐπιλήσεται ταχὺ μάλα τῶν ἐν τοῖς ἄστεσι λαμπροτήτων. Παντοδαπὴ γὰρ ἡ λίθος κἀνταῦθα καὶ ποικίλη τοῖς χρώμασιν· αἵ τε κέδρινοι ὀροφαὶ οὐ μάλα χείριον ἀντιπίπτουσαι, ἀλλ' ὁμαλῶς διῄρηνται καὶ γεγλύφανται. Καὶ ἡ γράφουσα ταύτας χεὶρ ἐπίσημος οὐδὲ μᾶλλον, ἢ ἐν ταῖς πόλεσιν. Ἀτυχήσει δὲ οὐδὲ τῶν ἄλλων τινός. Ἀλλὰ καὶ γῆ, καὶ θάλαττα, καὶ ἀὴρ — ἡ μὲν βοσκήματα, ὁ δὲ ὄρνις, ἡ δὲ ἰχθύας δωροφορήσουσι. Κἂν θηρᾶν αἱροῖτο, ἕτοιμος ὁ λαγώς· καὶ ὁ πέρδιξ τοῦτον ὑποπτερύξεται· ἀκοντιεῖ δὲ καὶ κατὰ κάπρων καὶ ἡ ἄρκτος οὐχ ὑπερδραμεῖται αὐτοῦ τὴν βολήν. Ἐπανάγοντα δὲ ἐκ τῆς θήρας πνεῦμα τε ὑποδέξεται εὔπνουν, καὶ στιβὰς σχέδιος ἐγγύθι κελαρύζοντος νάματος.

οδ

Ἦν ὅτε ποθεινὸς ἦν τῷ μεγάλῳ δεσπότῃ μου, τῷ Καίσαρι· καί μοι προσεῖχε τὸν νοῦν καὶ λέγοντι καὶ συγγράφοντι, καὶ τὰς ἐπιστολὰς περὶ πλείονος ἐτίθει σπουδῆς, καὶ συγγράμματα ἐν βιβλίοις ἀπεθησαύριζε· καὶ ὅ τι εἴποιμι, ὅ τι ἐνθυμηθείην, ὅ τι ψιλῶς ἐννοήσαιμι, ἠσπάζετό τε καὶ περιείχετο. Νῦν δέ μοι καὶ τὸ εὐτύχημα τοῦτο μετὰ τῶν ἄλλων ἀφῄρηται. Κἀμοὶ μὲν ἴσως οὐ παντάπασιν οἱ λόγοι κατεμαράνθησαν. Σὺ δέ μοι πρὸ τῆς παρακμῆς τὴν ἰσχὺν τῆς ἀγάπης κατέβαλες, καὶ τούς τε διαλόγους ἡμῖν ἐσμίκρυνας, καὶ ἀπροσόδευτον ἀφεὶς τῆς πόλεως ἐξελήλυθας· οὔτε τὴν χεῖρα ἐπιβαλών, οὔτε πόῤῥωθεν ἐγκραγών. Οὕτω·

μοι εἰς τοὐναντίον τὰ πρότερα καλὰ συνεῤῥύηκεν· οὕτως ἐγὼ μετὰ τῶν ἄλλων λαμπρῶν καὶ τὸ κεφάλαιον τῆς λαμπρότητος, τὸν Καίσαρα, ἀπώλεκα. Καὶ οὐδὲν οἶδα, εἴ ποτε αὖθις ἴδοιμι, ἢ ὁμιλήσαιμι, ἢ ἑτέραν πέμψω ἐπιστολήν, ἢ ἀμοιβαίαν δέξομαι τῆς πεμφθείσης. Βουλοίμην γάρ, εἴ γε καὶ δυναίμην ἐπ' ἐμαυτοῦ ζῆσαι ποτέ, καὶ εἴσω τῶν περιῤῥαντηρίων γενέσθαι, ἢ καὶ αὐτοῦ παρὰ τοῖς ἀδύτοις καταπετάσμασιν. Εἰ μὲν οὖν οὕτως βιῴην, καὶ ἀγαπῴην ἂν καὶ πάνυ μὲν οὖν. Εἰ δ' οὖν σὺ μὲν καὶ αὖθις ὑποκνήσεις μοι τὰς ἐρωτικὰς φροντίδας καὶ ἀποστραφήσῃ, ἐγὼ δὲ ἕξομαι καὶ ἀνθέξομαι καὶ θέλοντος καὶ μὴ θέλοντος· καὶ ἐπιστελῶ πολλὰς καὶ πολλάκις, καὶ ἐπαινέσομαι καὶ θαυμάσομαί σε καὶ πάλιν, ὥσπερ εἰώθειν, καὶ παγίου φρονήματος καὶ τῆς ἄκρας συνέσεως, ἢ τῆς ἁπλουστάτης ……………………

Ms. fol. 287. a.

Περὶ τῶν τῆς Τραπεζοῦντος βασιλέων, τῶν μεγάλων Κομνηνῶν, ὅπως καὶ πότε καὶ πόσον ἕκαστος ἐβασίλευσεν.

Βασιλεία κυρίου Ἀλεξίου, τοῦ μεγάλου Κομνηνοῦ.

1. *Ἦλθεν ὁ μέγας Κομνηνός, ὁ κύριος Ἀλέξιος, ἐξελθὼν μὲν ἐκ τῆς εὐδαίμονος Κωνσταντινουπόλεως, ἐκστρατεύσας δὲ ἐξ Ἰβηρίας σπουδῇ καὶ μόχθῳ τῆς πρὸς πατρὸς θείας αὐτοῦ Θάμαρ· καὶ παρέλαβε* [1204. p. C. n.] *τὴν Τραπεζοῦντα μηνὶ Ἀπριλλίῳ, ἰνδ. ζ, ἔτει ‚ςψιβ, ἐτῶν ὢν κβ. Καὶ βασιλεύσας ὀκτωκαίδεκα, ἐκοιμήθη* [1222. p. C. n.] *Φεβρουαρίου α' 'σα', τῆς ὀρθοδοξίας ἔτους ‚ςψλ, ἐτῶν γινόμενος τεσσαράκοντα.*

Βασιλεία κυρίου Ἀνδρονίκου, τοῦ μεγάλου Κομνηνοῦ.

2. *Ἔτους ‚ςψλ ἐβασίλευσεν ὁ ἐπὶ τῇ θυγατρὶ γαμβρὸς αὐτοῦ κύριος Ἀνδρόνικος Γίδων, ὁ Κομνηνός. Ἐν δὲ τῷ ‚ςψλα' ἔτει, τῷ δευτέρῳ χρόνῳ τῆς τοῦ Γίδωνος βασιλείας, ἦλθεν ὁ Μελὶκ Σουλτὰν κατὰ τῆς Τραπεζοῦντος· καὶ ἐχαμώθησαν, ὅσοι ἦσαν, ἅπαντες. Ἐβασίλευσε δὲ ὁ Γίδων ἔτη τρεισκαίδεκα, καὶ* [1235. p. C. n.] *ἐκοιμήθη ἐν ἔτει ‚ςψμγ', καταλείψας τὸ βασίλειον τῷ αὐτοῦ μὲν γυναικαδέλφῳ, υἱῷ δὲ πρωτοτόκῳ Ἀλεξίου, τοῦ μεγάλου Κομνηνοῦ, κυρίῳ Ἰωάννῃ Κομνηνῷ, τῷ Ἀξούχῳ· ὁ καὶ βασιλεύσας ἔτη ἕξ, ἐκοιμήθη ἔτους ἑξακισχίλια ἑπτακόσια τεσσαράκοντα ἕξ. Λέγεται δέ,* [1241. p. C. n.] *ὅτι ἐν τῷ τζυκανιστηρίῳ παίζων ἐκρημνίσθη, καὶ σπαραχθεὶς ἀπέθανε.*

Βασιλεία Ἰωάννου τοῦ Ἀξούχου.

Βασιλεία Μανουήλ, τοῦ μεγάλου Κομνηνοῦ.

3. *Ἀπεκάρη γοῦν κατὰ μοναχοὺς Ἰωαννίκιος, καὶ διεδέξατο τὴν βασιλείαν δεύτερος ἀδελφὸς αὐτοῦ, κύριος Μανουήλ, ὁ μέγας Κομνηνός, ὁ στρατηγικώτατος ἅμα καὶ εὐτυχέστατος, τῷ αὐτῷ ‚ςψμε' ἔτει.* [1241. p. C. n.] *Ἐν δὲ τῷ πέμπτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, ‚ςψνα' ἔτει* [1246. p. C. n.] *ἰνδικτιῶνος ιε, μηνὶ Ἰανουαρίῳ, ἐγένετο μεγάλη πυρκαϊά. Βασιλεύσας δὲ καλῶς καὶ θεαρέστως ἔτη εἰκοσιπέντε, ἐκοιμήθη μηνὶ Μαρτίῳ ἔτους ‚ςψοα'.* [1266.]

4. *Καὶ ἐβασίλευσε προτροπῇ τούτου καὶ ἐκλογῇ ἐκ τῆς δεσποίνης κυρίας Ἄννης, τῆς Ξυλαλόης, υἱὸς αὐτοῦ, κύριος Ἀνδρόνικος, ὁ Κομνηνός, ἔτη τρεῖς.* [Ms. fol. 288. a.] *Καὶ ἐκοιμήθη ἔτους ‚ςψοδ'.* [1270.] *Καὶ ἐβασίλευσεν ὁ ἐκ τῆς κυρίας Εἰρήνης, τῆς Συρικαίνας, υἱὸς τοῦ κυρίου Μανουήλ, κῦρ Γεώργιος, ὁ Κομνηνός, ἔτη δεκατέσσαρα· ὁ καὶ παρεδόθη παρὰ τῶν ἀρχόντων ἐπιβούλως ἐν τῷ ὄρει τοῦ Ταυρεσίου, καὶ ἐζωγρήθη μηνὸς Ἰουνίου.*

5. *Τῷ γοῦν αὐτῷ ἔτει διεδέξατο τὰ σκῆπτρα ὁ βασιλεὺς ἀδελφὸς αὐτοῦ, ὁ κύριος Ἰωάννης, ὁ μέγας Κομνηνός· καὶ μετὰ ἐνιαυτὸν ἕνα ἐπῆλθεν αὐτῷ ἡ ἀποστασία τοῦ Παπαδοπούλου. Ἀλλ' ἐλευθερωθεὶς ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ συνεζεύχθη τῇ θυγατρὶ μὲν κῦρ Μιχαὴλ βασιλέως, τοῦ Παλαιολόγου, ἀδελφῇ δὲ κῦρ Ἀνδρονίκου βασιλέως, τοῦ Παλαιολόγου, κυρᾷ Εὐδοκίᾳ Κομνηνῇ, τῇ Παλαιολογίνῃ, τῇ Πορφυρογεννήτῳ. Ἰστέον δέ, ὅτι ἔτι ζῶν ὁ κῦρ Μιχαήλ, ὁ βασιλεύς, ἐγένετο ὁ γάμος τοῦ μεγάλου Κομνηνοῦ Ἰωάννου μετὰ τῆς Παλαιολογίνης. Καὶ τοῦ μὲν Παλαιολόγου ἀποθανόντος Δεκεμβρίου ι', διεδέξατο αὐτὸν ὁ υἱὸς αὐτοῦ κῦρ Ἀνδρόνικος, στηλιτεύσας τὸν αὐτοῦ πατέρα διὰ τὸ λατινόφρον. Μετὰ δὲ τὸ ‚ςψϟ ἔτος, Ἀπριλ-* [1282. p. C. n.] *λίου μηνός, ἦλθεν ὁ βασιλεὺς Ἰβηρίας, Δαυΐδ, καὶ ἐπεριώρισε τὴν Τραπεζοῦντα· ἀλλὰ ἀπεστράφη κενός. Ἐν δὲ τῷ ‚ςψϟα ἔτει, μηνὶ Ἀπριλλίῳ, εἰκοστῇ* [1283. p. C. n.] *πέμπτῃ μηνὸς ἱσταμένου, κατέλαβεν ἐκ τῆς Κωνσταντινουπόλεως ἐν Τραπεζοῦντι ὁ μέγας Κομνηνός, κῦρ Ἰωάννης, σὺν τῇ Παλαιολογίνῃ, οὔσῃ ὑπεγγύῳ· καὶ ἐγεννήθη ὁ μέγας Κομνηνός, ὁ κῦρ Ἀλέξιος, τῷ ‚ςψϟβ' ἔτει.* [1283. p. C. n.] *Εἶτα ἐγένετο ἡ τοῦ Κομνηνοῦ κῦρ Γεωργίου ἐπιδρομὴ καὶ κατάσχεσις, ὃν καὶ πλάνον ἔλεγε, καὶ μετ' αὐτοῦ ἡ ἐπίθεσις || καὶ τὸ βασίλειον,* [Ms. fol. 288. b.] *καὶ ἡ ἐξαίφνης φυγὴ κυρᾶς Θεοδώρας, τῆς Κομνηνῆς, θυγατρὸς πρώτης τοῦ μεγάλου Κομνηνοῦ, κῦρ Μανουήλ, ἐκ τῆς ἐξ Ἰβηρίας Ῥουσαντάνας. Καὶ πάλιν ἀπεκατέστη εἰς τὸ σκάμνιν ὁ Καλοϊωάννης, ὁ Κομνηνός· καὶ βασιλεύσας τὰ πάντα ἔτη ὀκτωκαίδεκα, ἐκοιμήθη ἐν τοῖς Λιμνίοις μηνὸς Αὐγούστου εἰς τὰ ις, σς' μηνὸς Ἰανουαρίου ἔτους ‚ςωε.* [16. Januar. 1297. p. C. n.] *Ἐν γὰρ τῇ βασιλείᾳ αὐτοῦ περέλαβον οἱ Τοῦρκοι τὴν Χαλυβίαν· καὶ γέγονε παρ' αὐτῶν μεγάλη ἐπιδρομή, ὥστε ἀοίκους γενέσθαι τὰς χώρας ὅλας ἐπὶ καὶ ζώων. Ἔτι ἐκομίσθη τὸ λείψανον αὐτοῦ ἐν Τραπεζοῦντι, καὶ ἐτάφη ἐν τῷ ναῷ τῆς Χρυσοκεφάλου.*

Βασιλεία Ἀλεξίου, τοῦ μεγάλου Κομνηνοῦ.

6. *Καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ, ὁ κῦρ Ἀλέξιος, ὁ μέγας Κομνηνός, καὶ ἤγαγε γυναῖκα αὐτῷ τὴν θυγατέρα || τοῦ Πεκαΐ ἐξ Ἰβηρίας. Ἀπῆλθεν ἡ Παλαιολογίνη χήρα εἰς τὴν πόλιν μηνὸς Ἰουνίου ιγ, ἔτει ‚ςωϛ, ἰνδικτιῶνος ια,* [12. Juni. 1298 p. C. n.] *καὶ πάλιν ἦλθεν χήρα ἔτους ‚ςωθ, μηνὸς Μαρτίου, ἰνδικτιῶνος ιδ.* [mense Martio. 1301. p. C. n.] *Ἐκστράτευσεν ὁ βασιλεύς, κῦρ Ἀλέξιος, κατὰ τῶν Τούρκων, καὶ ἐν τῇ Κερασοῦντι καταλαβὼν ἐπίασε τὸν Κουστουγαν ἔτει ‚σωι', μηνὸς Σεπτεμβρίου,* [1302. p. C. n.] *ὅτε καὶ ἐσκοτώθησαν Τοῦρκοι πολλοί. Ἐν δὲ τῷ αὐτῷ*

ἔτει, Σεπτεμβρίου ιγ, ῾σε, ἐκοιμήθη ἡ δέσποινα, κῦρα Εὐδοκία, ἡ Παλαιολογίνα. Μηνὶ Νοεμβρίῳ λ', ῾σα, [10. Novbr. 1310. p. C. n.] ἔτει ‚ςωιθ, ἐγένετο πυρκαϊὰ μεγάλη ἐντὸς τοῦ κάστρου. Ἐν δὲ τῷ ἐπιόντι ἔτει ἐπυρπολήθη ἡ ἐξάρτησις μηνὸς Ἰουνίου παρὰ τῶν Λατίνων, ὅτε καὶ ἐγένετο μέγας πόλεμος. Ἥρπαξεν ὁ Παριάνης τὰς Τζέργας ἔτει ‚ςωκβ' μηνὸς Ὀκτωβρίου εἰς τὴν β'. [mense Octobri. 1313. p. C. n.] ῾σ. β' Ἀπρ. ἔτους ‚ςωκβ' ἐγένετο μεγάλη πυρκαϊὰ παρὰ τῶν [mense Aprili. 1314 p. C. n.] Σινωπιτῶν· καὶ ἐλυμήνατο τὸ πῦρ πάντα τὰ ὡραῖα τῆς πόλεως, τά τε ἐντὸς καὶ ἐκτός.

[Ms. fol. 290. b.] || 7. Ἐκοιμήθη ὁ μέγας κῦρ, ὁ Κομνηνὸς Ἀλέξιος, [1330. p. C. n.] μηνὶ Μαίῳ γ', ἡμέρᾳ ε', ἔτει ‚ςωλη, βασιλεύσας ἔτη λγ παρὰ μῆνας γ.

[Βασιλεία Ἀνδρονίκου, τοῦ μεγάλου Κομνηνοῦ.] 8. Καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ, ὁ κῦρ Ἀνδρόνικος, ὁ μέγας Κομνηνός, καὶ ἐφόνευσε τοὺς δύο αὐταδέλφους αὐτοῦ, τόν τε Ἀζαχουτλοῦν, κῦρ Μιχαήλ, καὶ κῦρ Γεώργιον, τὸν Ἀχπουγιάνην. Ἐβασίλευσε δὲ ὁ κῦρ Ἀνδρόνικος ἔτος α' καὶ μῆνας η', καὶ ἐκοιμήθη [1332. p. C. n.] μηνὶ Ἰανουαρίῳ η ἡμέρᾳ δ' ἔτει ‚ςωμ.

9. Καὶ ἐδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ, ὁ κῦρ Μανουήλ, ὀκταέτης ὤν· καὶ ἐκράτησε μῆνας η'. Ἐν γὰρ τῇ βασιλείᾳ αὐτοῦ ἦλθεν ὁ Παριάνης μετὰ φωσάτου πολλοῦ ἕως τὸν Ἀσώματον. Καὶ ἐσκοτώθησαν Τοῦρκοι πολλοί, καὶ ἔφυγον ἀκόσμως· ὅτε καὶ ἡρπάγησαν ἄλογα πολλὰ Τουρκικά, μηνὶ Αὐγούστῳ, [1332. p. C. n.] ἔτει ‚ςωμ. Κατὰ δὲ τὸν Σεπτέμβριον μῆνα κβ, ἔτει [1332. p. C. n.] ‚ςωμα, ἦλθεν ὁ μέγας Κομνηνός, κῦρ Βασίλειος, ἐκ τῆς Κωνσταντινουπόλεως, υἱὸς μὲν τοῦ μεγάλου Κομνηνοῦ, τοῦ κῦρ Ἀλεξίου, ἀδελφὸς δὲ δεύτερος κῦρ Ἀνδρονίκου· καὶ παρέλαβε τὸ βασίλειον, ὅτε καὶ τὸν μέγαν δοῦκαν Λέκην, τὸν Τζατζιντζαῖον, καὶ τὸν υἱὸν αὐτοῦ, τὸν μέγαν δομέστικον, τὸν Τζάμπαν, τοῦ ζῆν ἀπεστέρησε. Τὸν δὲ ἀνεψιὸν αὐτοῦ κῦρ Μανουὴλ ἐπεριώρισε· τὴν δὲ καὶ μεγάλην δουκαίναν, τὴν Συρικαίναν, ἐλίθασαν. Ἐν δὲ τῷ Φεβρουαρίῳ [1333. p. C. n.] μηνὶ ιγ ῾σ α' τῆς ὀρθοδοξίας, τῷ αὐτῷ ‚ςωμα ἔτει, ἰνδικτίωνος ια, ταραχθεὶς ὁ ἐκτομίας, μέγας δοὺξ Ἰωάννης, ἐσφάγη ὁ κῦρ Μανουὴλ μαχαίρᾳ. Μηνὶ [1335. p. C. n.] Σεπτεμβρίῳ ιβ, ἡμέρᾳ γ, ἰνδικτίωνι δ, ἔτους ‚ςωμγ', ἦλθεν ἡ δέσποινα, κῦρα Εἰρήνη, ἡ Παλαιολογίνα, ἡ θυγάτηρ κῦρ Ἀνδρονίκου, τοῦ Παλαιολόγου· καὶ εἰς τὰ ιζ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ α', εὐλογήθη τὸν βασιλέα, κῦρ Βασίλειον. Κατὰ δὲ τὸν ε τοῦ Ἰουλίου [1336. p. C. n.] μηνός, ἡμέρᾳ ς, ἔτους ‚ςωμδ', ἦλθεν ὁ Σιχώσα, ὁ υἱὸς τοῦ Ταμαρτᾶ, εἰς τὴν Τραπεζοῦντα· καὶ γέγονε πόλεμος εἰς τὸν Ἀχάντακαν τοῦ ἁγίου Κηρίκου, καὶ εἰς τὸν Μινθρίον. Καὶ θεοῦ εὐδοκοῦντος ἐτράπη ὑποβρύχιος, καὶ ἔφυγεν, ὅτε ἐσκοτώθη ὁ αὐτοῦ ῥαίμης, ὁ υἱὸς τοῦ Ῥουστάβη. Μηνὶ Μαρτίῳ, ἡμέρᾳ β', τῆς ἀρχιντηστίμου τῆς ἁγίας Μαρίας, ἐγένετο ἔκλειψις τοῦ ἡλίου ἀπὸ ὥρας δ' ἕως ὥρας ζ'· καὶ ἐταράχθη τὸ κοινὸν κατὰ τοῦ βασιλέως, ὥστε καὶ ἔξωθεν τοῦ κουλὰ συναχθέντες, λίθους ἔσυραν εἰς αὐτόν. Ἔτους ‚ςωμε, μηνὸς Ὀκτωβρίου, ἰνδικτίωνος ζ, ἔτους [1336 p. C. n.] ‚ςωμζ, ἐγεννήθη ὁ Κομνηνός, κῦρ Ἰωάννης, ὁ ἐπονομασθεὶς Ἀλέξιος, ὁ υἱὸς τοῦ κῦρ Βασιλείου ὁ δεύτερος. [1338. p. C. n.] Εὐλογήθη ὁ βασιλεύς, ὁ κῦρ Βασίλειος, τὴν ἐκ Τραπεζοῦντος δέσποιναν, κῦραν Εἰρήνην, μηνὶ Ἰουλίῳ η ἔτους ‚ςωμζ. Ἐκοιμήθη ὁ βασιλεύς, ὁ κῦρ Βασίλειος, ὁ μέγας Κομνηνός, μηνὶ Ἀπριλλίῳ εἰς τὰ ς', [1339 p. C. n.] ἡμέρᾳ ε, ἰνδικτίωνος η, ἔτους ‚ςωμη'. Ἐβασίλευσεν [1340 p. C. n.] ἔτη ζ' καὶ μῆνας ς'. Οἱ δὲ παῖδες αὐτοῦ, κῦρ Ἀλέξιος καὶ Καλοϊωάννης, ἐστάλησαν εἰς τὴν πόλιν σὺν τῇ μητρί. Καὶ ἐκράτησε τὴν βασιλείαν ἡ Παλαιολογίνα, κῦρα Εἰρήνη, χήρα οὖσα. Καὶ εὐθέως ἐταράχθησαν οἱ ἄρχοντες, καὶ ἐγένοντο δύο μέρη. Καὶ ὁ μὲν Τζανιχίτης, ὁ μέγας στρατοπεδάρχης, κῦρ Σεβαστός, σὺν τοῖς σχολαρίοις καὶ Μειζομάταις, καὶ κῦρ Κωνσταντῖνος, ὁ Δωρανίτης, καὶ οἱ Καβασῖται, καὶ ὁ Καμαχηνός, καί τινες τοῦ κοινοῦ, καὶ τῶν ἀλλαγίων τῶν βασιλικῶν, ἐκράτησαν τὸν ἅγιον Εὐγένιον· οἱ δ' Ἀμυτζανταραῖται, καί τινες τῶν ἀρχόντων καὶ τοῦ βασιλικοῦ ἀλλαγίου, ἐκράτησαν σὺν τῇ δεσποίνῃ τὸν Κουλᾶν. Κατὰ δὲ Ἰούλιον μῆνα β', ἡμέρᾳ α', ἔτους ‚ςωμη, ἐλθὼν ὁ μέγας δούξ, Ἰωάννης, ὁ ἐκτομίας, [1340. p. C. n.] ἐκ τῶν Λιμνίων μετὰ φωσατὸν πολύ. Ἐγένετο πόλεμος. Σύραντες καὶ τὸ μάγγανον κατὰ τῆς μονῆς, καὶ ἐπυρπολήθη ἡ μονή, καὶ πάντα τὰ ὡραῖα αὐτῆς ἀπεκαύθησαν. Καὶ ὁ Τζανιχίτης καὶ ἕτεροι ἄρχοντες || ἐπεριωρίσθησαν εἰς τὰ Λιμνία, καὶ ἐκεῖ τὸ ζῆν ἀπέδωκαν. [Ms. fol. 292. b.] Τῷ αὐτῷ γοῦν ἔτει, περὶ τὸν αὐτὸν μῆνα, ἀπῆλθε τὸ φωσάτον ἡμῶν εἰς τὸν Πυρχάριν· καὶ κουρσεύσαντες τοὺς Ἀμιτιώτας, ἐπῆραν κοῦρσα πολλά, ὅτε ἐσκοτώθησαν καὶ υἱοὶ τοῦ Δολίνου. Μηνὶ Ἰουλίῳ ε, ἡμέρᾳ ς', ἰνδικτίωνος θ, ἔτους ‚ςωμθ, ἐκοιμήθη [1341. p. C. n.] ὁ βασιλεὺς Ῥωμαίων, κῦρ Ἀνδρόνικος, ὁ Παλαιολόγος. Τῷ αὐτῷ μηνὶ καὶ τῷ αὐτῷ ἔτει ἐσκοτώθησαν οἱ ἄρχοντες εἰς τὰ Λιμνία. Πάλιν γοῦν τῷ αὐτῷ ἔτει, Ἰουλίῳ δ, ἡμέρᾳ δ, ἤλθασιν οἱ Ἀμιτιῶται Τοῦρκοι, καὶ ἐτράπησαν οἱ Ῥωμαῖοι ἄτερ πολέμου, καὶ ἐσκοτώθησαν Χριστιανοὶ πολλοί, καὶ ἐκαύθη ἡ Τραπεζοῦς ὅλη ἐντὸς καὶ ἐκτός, καὶ ἐκαύθησαν λαὸς πολύς, καὶ γυναῖκες καὶ παιδία. Μετὰ δὲ τὴν πληγὴν ἐκ τῆς δυσωδίας τῶν καυθέντων ἀλόγων ζώων καὶ ἀνθρώπων γέγονε καὶ αἰφνίδιος θάνατος. Πρὸ τούτου γὰρ ἡ θυγάτηρ τοῦ μεγάλου Κομνηνοῦ, κῦρ Ἀλεξίου, ἡ

Ms. fol. 293. a. κῦρα Ἄννα, ἡ λεγομένη Ἀναχουτλοῦ, || τὴν μοναχικὴν ἀποβαλομένη στολήν, ἀπῆλθεν εἰς τὴν Λαζίαν, καὶ ἐκράτησεν αὐτήν. Μετὰ δὲ τὸ γενέσθαι τὸν ἐμπρησμὸν καὶ τὴν ἐπιδρομήν, ἦλθεν ἡ Ἀναχουτλοῦ, καὶ παρέλαβε τὴν βασιλείαν, ἔχουσα καὶ φοσάτα Λάζικα, μηνὶ Ἰουλίῳ ιζ, ἡμέρᾳ γ, τῷ αὐτῷ ἔτει. Ἡ δὲ Παλαιολογίνα κατέβη τῆς βασιλείας, βασιλεύσασα ἔτος α καὶ μῆνας γ. Εἰς δὲ τὰς λ τοῦ αὐτοῦ Ἰουλίου μηνός, τῷ αὐτῷ ἔτει, ἡμέρᾳ β, ἦλθεν ἐκ τῆς Μεγαλοπόλεως ὁ ἀδελφὸς Ἀλεξίου, ὁ κῦρ Μιχαήλ, ὁ Κομνηνός, ἔχων μεθ' αὐτοῦ κάτεργα γ, καὶ τὸν σχολάριν Νικήταν, κῦρ Γρηγόριον, τὸν Μειζομάτην. Καὶ τὸ μὲν βραδὺ καταβάντες οἱ ἄρχοντες ὡρκομότουν, καὶ ὁ μητροπολίτης κῦρ Ἀκάκιος μετὰ τοῦ * *, καὶ παρέλαβον αὐτὸν ὡς αὐθέντην. Τῷ δὲ πρωῒ οὐκ οἶδα ὁ λαὸς πῶς αὐτὸν ἐπεριώρισαν. Τὰ δὲ κάτεργα ἥρπαξαν οἱ Λαζοί, καὶ πολλοὺς διὰ βελῶν ἀπέκτειναν. Τῇ οὖν γ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ ς, τοῦ Ms. fol. 293. b. αὐτοῦ ἔτους ,ϛωμθ, πάλιν ἤλθασιν οἱ || Ἀμιτιῶται [1341. p. C. n.] Τοῦρκοι· ἀλλὰ θεοῦ εὐδοκοῦντος οὐκ ἴσχυσαν πρὸς ἡμᾶς, ἀλλὰ ἀπῆλθον κατησχυμένοι κενοί. Μηνὶ τῷ αὐτῷ ζ, τῷ αὐτῷ ἔτει, ἐστάλθη ὁ Κομνηνὸς κῦρ Μιχαήλ, περιωρισμένος εἰς τὸ Οἴναιον, εἶτα εἰς τὰ Λιμνία. Τῷ αὐτῷ μηνὶ ι καὶ τῷ αὐτῷ ἔτει ἐστάλθη ἡ Παλαιολογίνα, κῦρα Εἰρήνη, μετὰ Φραγκικὸν κάτεργον εἰς τὴν πόλιν. Μηνὶ Σεπτεμβρίῳ ι ἔφυγεν ὁ σχολάρις κῦρ Νικήτα, καὶ ὁ Μειτζομάτ, κῦρ Γρηγόριος, ὁ Δωρανίτης, κῦρ Κωνσταντῖνος, καὶ ὁ υἱὸς Ἰωάννης, καὶ ὁ ἀδελφὸς τοῦ Μειτζομάτου, Μιχαήλ, καὶ ἕτεροι ἐκ τοῦ μέρους αὐτοῦ, καὶ ἀπῆλθον μετὰ Βενέτικον κάτεργον εἰς τὴν πόλιν· οἵτινες καὶ χρονίσαντες τὰ περὶ τὸν αὐτὸν μῆνα ιζ, ἦλθον μετὰ Κομνηνόν, κῦρ Ἰωάννην, τοῦ κῦρ Μιχαὴλ τὸν υἱόν, ἔχοντες δύο κάτεργα τῶν αὐτῶν, καὶ τρία Γενουΐτικά, καὶ παρέλαβαν τὴν Τραπεζοῦντα μηνὸς Σεπτεμβρίου [1342. p. C. n.] δ, ἡμέρᾳ δ, ἔτους ,ϛωνα. Καὶ ἐστέφθη τῷ αὐτῷ μηνὶ Σεπτεμβρίῳ εἰς τὰ θ εἰς τὴν Χρυσοκέφαλον ἐν τῷ * * *, ὅτε καὶ ἐν τῇ ἐλεύσει αὐτοῦ ἐπὶ πᾶσιν Ms. fol. 294. a. αἱ χῶραι συνήχθησαν ἐπὶ ταὐτό· καὶ γέγονε || διωγμὸς βαρὺς καὶ ἁρπαγὴ πολλή. Τότε ἐσκοτώθησαν καὶ οἱ ἄρχοντες, οἱ Ἀβυτζαντάριοι· καὶ ἡ τοῦ κῦρ Γεωργίου μήτηρ, ἡ Σαργάλη, παρεδόθη τῇ παιγμονῇ· καὶ σὺν αὐτῇ ἀπεπνίγη καὶ ἡ Ἀναχουτλοῦ, βασιλεύσασα ἔτος α, καὶ μῆνα α, καὶ ἡμέρας η.

[1342. p. C. n.] 10. Μηνὶ Ἰουνίῳ ἔτους ,ϛωνα ἦλθαν οἱ Ἀμιτιῶται εἰς πόλεμον, καὶ ἀπῆλθαν κενοί. Ἐπειδὴ τὸν κῦρ Μιχαὴλ κρατῶν μέγας δούξ, ὁ εὐνοῦχος, ἐν τοῖς Λιμνίοις Μαρτίῳ μηνὶ ἀπεκτάνθη, ἀπῆλθεν ὁ μέγας δούξ, ὁ σχολάρις, καὶ παρέλαβε τὸν κῦρ Μιχαήλ, καὶ ἦλθε, καὶ ἐβασίλευσε μηνὶ Μαΐῳ γ, ἡμέρᾳ β ἔτους ,ϛωνβ. Ἐστέφθη δὲ μηνὶ τῷ αὐτῷ. [1344. p. C. n.] Καὶ τὸν δὲ υἱὸν αὐτοῦ καταβιβάσας, ἐπεριώρισεν εἰς τὸ σπήλαιον τοῦ ἁγίου Σάβα, βασιλεύσας ὁ κῦρ Ἰωάννης χρόνον α καὶ μῆνας η. Ἐπεὶ δὲ οἱ πρῶτοι ἄρχοντες τοῦ ζῆν ἀπεστερήθησαν, || ἐτιμήθη ὁ σχολάρις, ὁ κῦρ Νικήτας, Ms. fol. 294. b. μέγας δούξ, Γρηγόριος ὁ Μειζομάτης, μέγας στρατοπεδάρχης, Λέων ὁ Καβασίτης, μέγας δoμέστικος, Κωνσταντῖνος ὁ Δωρανίτης, τὰ βεστιάρια, καὶ ὁ υἱὸς αὐτοῦ ἐπικέρνης, Ἰωάννης ὁ Καβασίτης, μέγας λογαριαστής, ὁ υἱὸς τοῦ σχολάριος παρακεκοιμωμένος, Μιχαὴλ ὁ Μειζομάτης, Ἀμιρτζαύτζης Τζανιχίτης, ὁ Στέφανος, μέγας κονοσταῦλος.

11. Μηνὶ Νοεμβρίῳ ἔτους ,ϛωνδ κατεσχέθησαν παρὰ [1345. p. C. n.] τοῦ βασιλέως, τοῦ κῦρ Μιχαήλ, μέγας δοὺξ ὁ σχολάρις, μέγας δoμέστικος ὁ Μειζομάτης, καὶ ἕτεροι αὐτῶν. Τότε ἐστάλθη καὶ ὁ Κομνηνός, κῦρ Ἰωάννης, εἰς τὴν πόλιν. Ἐν δὲ τῷ ,ϛωνε ἔτει ἐπιάσθη ὁ ἅγιος [1346. p. C. n.] Ἀνδρέας καὶ τὸ Οἴναιον.

12. Μηνὶ Σεπτεμβρίῳ ἰνδικτίωνος α ἐγένετο αἰφνίδιος θάνατος, ἡ πανοῦκλα, ὥστε ἀπεβάλλοντο πολλὰ τέκνα, καὶ συνεύνους ἀδελφούς, καὶ μητέρας, καὶ συγγενεῖς, καὶ διεκράτησεν εἰς μῆνας ζ.

13. Τῷ αὐτῷ ,ϛωνς ἐν μηνὶ Ἰανουαρίῳ ἐπιάσθη [1348. p. C. n.] ἡ Κερασοῦς, καὶ || αἰχμαλωτίσθη, καὶ ἐπυρπολήθη Ms. fol. 295. a. παρὰ Ἰανουΐτων. Ἐν δὲ τῷ αὐτῷ ἔτει, ἐν μηνὶ Ἰουνίῳ κθ, ἰνδικτίωνος α, ἦλθαν ἐν Τραπεζοῦντι Τοῦρκοι πολλοί, ἤγουν ἀπὸ τὸ Τζικαῖν Ἀχχὴς Ἀϊναπάκ, καὶ ἀπὸ τὸ Παίπερτ ὁ Μαχμάτ Εἰκεπτάρις, καὶ ἀπὸ τῶν Ἀμιτιωτῶν ὁ Τουραλὶ Πέκ, καὶ ὁ Ποστογάνης, καὶ Τζιανίδες σὺν αὐτοῖς· καὶ ἐκρότησαν πόλεμον ἡμέρας γ, καὶ ἀπῆλθαν, κατησχυμένοι καὶ πεπληγμένοι φυγάδες, ἀποβαλλόμενοι ἐν ὁδῷ Τούρκους πολλούς.

14. Μηνὶ Μαΐῳ ε, ἡμέρᾳ γ, ἔτους ,ϛωνζ, ἦλθαν [1349. p. C. n.] ἐνταῦθα ἐκ τοῦ Καφᾶ κάτεργα Φράγκικα β. Καὶ ἐξῆλθεν καὶ ἡμέτερον κάτεργον ἓν μέγαν ἐκ τῆς Δαφνοῦντος, καὶ ἕτερον μικρόν, καὶ βαρκόπουλα ἱκανὰ καὶ ἐκρότησαν πόλεμον, καὶ παραχωρήσει θεοῦ ἐνίκησαν οἱ Φράγκοι, καὶ ἐσκοτώθη ὁ μέγας δοὺξ Ἰωάννης, ὁ Καβασίτης, καὶ κῦρ Μιχαήλ, ὁ Τζανιχίτης, καὶ ἕτεροι πολλοί. Τὸ δὲ κάτεργον || ἐκαύθη, καὶ οἱ Ms. fol. 295. b. ἐν τῇ στερεᾷ Φράγκοι ἡρπάγησαν, καὶ περιωρίσθησαν· τὰ δὲ κάτεργα ἀπῆλθον.

15. Κατὰ δὲ τὸν Ἰούνιον μῆνα ιε, ἔτους ,ϛωνζ, [1349. p. C. n.] πάλιν ἦλθαν ἐκ τοῦ Καφᾶ κάτεργα γ, καὶ μία βαρκὶς ἐξ Ἀμινσοῦ. Καὶ μετὰ πολλῶν λόγων καὶ ὀχλή-

σεων καὶ ζητήσεων γέγονεν ἀγάπη, καὶ παρεδόθη πρὸς ἑαυτοὺς τὸ Λεοντόκαστρον. Τότε γὰρ ἀσθένεια ἐνίκησε τὸν βασιλέα, τὸν κῦρ Μιχαήλ· ὅτε καὶ ὁ σχολάρις, ὁ κῦρ Νικήτας, ἐκ τοῦ Κεγχρίνα ἐλθών, γέγονε μέγας δούξ, λαβὼν τὴν θυγατέρα τοῦ Σαμψών. Ἐβασίλευσε δὲ ὁ κῦρ Μιχαὴλ χρόνους β καὶ μῆνας ζ.

[1349. p. C. n.] 16. Μηνὶ Δεκεμβρίῳ ιγ, ἡμέρᾳ α, ἔτους ,ϛωνη, κατεβιβάσθη ἐκ τῆς βασιλείας ὁ κῦρ Μιχαήλ, ὁ Κομνηνός· καὶ εἰς τὰ κβ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ γ, εἰσῆλθεν εἰς τὴν Τραπεζοῦντα καὶ παρέλαβε τὴν βασιλείαν ὁ βασιλεύς, υἱὸς κῦρ Βασιλείου τοῦ Κομνηνοῦ, ὁ κῦρ Ἰωάννης, ὁ ἐπονομασθεὶς κατὰ τὸν πάππαν κῦρ Ἀλέξιος, σὺν τῇ δεσποίνῃ καὶ μητρὶ αὐτοῦ, κύρᾳ Εἰρήνῃ, τῇ μεγάλῃ Κομνηνῇ, καὶ ἐστέφθη ἐν τῷ ναῷ τοῦ ἁγίου Εὐγενίου μηνὶ Ἰανουαρίῳ εἰς τὰ κα, κατὰ τὴν τοῦ ἁγίου ἑορτήν. Τὸν δὲ κῦρ Μιχαὴλ περιορίσας, ἐν τῷ σπηλαίῳ τοῦ ἁγίου Σάβα ἀπέκαρε κατὰ μοναχόν· καὶ μετὰ χρόνον α ἀπεστάλθη εἰς τὴν πόλιν μετὰ τοῦ Τατᾶ, κῦρ Μιχαὴλ τοῦ Σαμψών, ὅτε γέγονε καὶ συμπενθερεία πρὸς τὸν βασιλέα. Τῷ αὐτῷ γοῦν [1350. p. C. n.] ἔτει ,ϛωνη ἐγένετο σύγχυσις καὶ ταραχὴ μέσον τῶν ἀρχόντων· καὶ Ἰουνίου μηνὸς ἐπιάσθη ὁ μέγας στρατοπεδάρχος, κῦρ Θεόδωρος ὁ Δωρανίτης, ὁ λεγόμενος Πιλέλης, καὶ ὁ ἀδελφὸς αὐτοῦ κατὰ βεστιάρια, Κωνσταντῖνος ὁ Δωρανίτης, καὶ πᾶσα ἡ γενεὰ αὐτοῦ· καὶ περιωρίσθησαν ἕκαστος αὐτῶν εἰς τὰ τῶν ἀρχόντων ὀσπίτια. Μετὰ δὲ ζν τοῦ μηνὸς πάλιν ἀνεκλή- [1351. p. C. n.] θησαν. Ἐν μηνὶ Ἰανουαρίῳ τῷ ,ϛωνθ ἔτει ἐπιάσθη ὁ γενόμενος κατὰ βεστιάρια Λέων ὁ Καβασίτης, καὶ ἀνεβιβάσθη εἰς τὸ κατὰ βεστιαράτον ὁ Πιλέλης, ὅτε καὶ ὁ Τατᾶς Μιχαήλ, ὁ Σαμψών, ἀπῆλθε μετὰ κατέργου εἰς τὴν πόλιν ποιεῖν τὴν συμπενθερείαν, [Ms. fol. 296. b.] καὶ Χοβῆν τὴν δέσποιναν || ἐλθεῖν. Τῷ αὐτῷ γοῦν ἔτει Μαΐῳ μηνί, ἡμέρᾳ β, ἐπιάσθη ὁ Κουλᾶς ἀπὸ τοῦ Πιλέλη καὶ τῶν σὺν αὐτῷ· ἐζωγρήθη ὁ μέγας δούξ, ὁ σχολάρις. Ἀναταχθεὶς δὲ ὁ λαός, πάλιν ἐλευθερώθη, καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὴν Τρίπολιν. Ὁ δὲ Πιλέλης, καὶ ὁ υἱὸς αὐτοῦ, καὶ ὁ γαμβρὸς αὐτοῦ, καὶ οἱ τοῦ ξενίτου παῖδες, συλληφθέντες ἐστάλθησαν καὶ περιωρίσθησαν εἰς τὸν Κεγχρίναν. Μηνὶ Σεπτεμβρίῳ γ, ἰνδικτίωνος β, ἔτους [1351. p. C. n.] ,ϛωξ, ἦλθεν ἡ δέσποινα, ἡ Κομνηνὴ Καντακουζηνή, μετὰ κάτεργον ἐκ τῆς πόλεως, ἡ θυγάτηρ κῦρ Νικηφόρου, τοῦ Καντακουζηνοῦ σεβαστοκράτορος, πρώτου ἐξαδέλφου ὄντος τοῦ βασιλέως Ῥωμαίων, κῦρ Ἰωάννου, τοῦ Καντακουζηνοῦ· καὶ εἰς τὰ κη ἡμέρᾳ πρῶτον ἐγένετο εὐλόγησις αὐτῆς μετὰ τοῦ βασιλέως ἐν τῇ μονῇ τοῦ ἁγίου Εὐγενίου. Τῷ αὐτῷ γοῦν ἔτει τῷ ,ϛωξ, Σεπτεμβρίου κβ, ἀπήλθαμέν με τὴν δέσποιναν, [1351. p. C. n.] τοῦ βασιλέως τὴν μητέρα, εἰς τὰ Λιμνία κατὰ τοῦ κεφαλατικεύοντος ἐκεῖσε Κωνσταντίνου τοῦ Δωρανίτου, || ἀδελφοῦ τοῦ κατὰ βεστιάριον, τοῦ Πιλέλη· [Ms. fol. 297. a.] καὶ λείψαντες μῆνας γ πόλιν ἤλθαμεν.

[1352 p. C. n.] 17. Κατὰ δὲ τὸν Ἰανουάριον μῆνα τῷ αὐτῷ ἔτει εἰσῆλθεν ὁ πικέρνης Ἰωάννης, ὁ Τζανιχίτης, καὶ ἐκράτησε τὴν Τζάνιχαν τὸ κάστρον ἀνάρχῳ χειρί. Καὶ κατὰ τὸν Ἀπρίλλιον μῆνα τῷ αὐτῷ ἔτει ἀπῆλθεν ὁ βασιλεὺς ἐκεῖσε καὶ ἡ δέσποινα, καὶ ἐποίησεν εἰρηνικὴν κατάστασιν. Καὶ κατὰ τὸν Ἰούλιον μῆνα τῷ αὐτῷ ἔτει ἐπαρεδόθησαν τῇ ἀγχόνῃ ὁ Πιλέλης, καὶ ὁ υἱός του, καὶ ὁ γαμβρός του, ἐν τῷ Κεγχρινᾷ κάστρῳ. Τῷ αὐτῷ ,ϛωξ ἔτει ἀπῆλθεν ἡ ἀδελφὴ [1353. p. C. n.] τοῦ βασιλέως κῦρα Μαρία, ἡ μεγάλη Κομνηνή, καὶ συνεζεύχθη τὸν Χουτλουπέκην, τὸν υἱὸν τοῦ Τουραλῆ Ἀμηράν, ὄντα τῶν Ἀμιτιωτῶν, μηνὸς Αὐγούστου. Τῷ αὐτῷ μηνὶ καὶ ἔτει ἦλθαν τὰ Βενέτικα τὰ κάτεργα κατὰ τῶν Γενουβίσων, καὶ ἔκαυσαν καράβια πολλά. Τῷ αὐτῷ μηνὶ Ἰουνίῳ ἔτους ,ϛωξβ ἀπῆλθεν [1354 p. C. n.] ὁ σχολάρις || φυγάδας εἰς τὴν Κερασοῦντα. [Ms. fol. 297. b.] Καὶ ἐκ τότε τὰ γεννηθέντα διὰ μέσον μηνὶ μετὰ καὶ ἀποκρισιάρια, τίς δύναται γράφειν;

[1355. p. C. n.] 18. Μηνὸς Μαρτίου κβ, ἔτους ,ϛωξγ, ἦλθεν ὁ μέγας δούξ, ὁ σχολάρις, καὶ ὁ υἱὸς αὐτοῦ, ὁ παρακοιμώμενος, κατὰ τῆς Τραπεζοῦντος μετὰ ἓν κάτεργον καὶ βάλκας ιά, ὅτε ἀπῆλθε σὺν αὐτῇ καὶ ὁ πρωτοβεστιάριος Βασίλειος, ὁ Χουπάκθ· καὶ πολλῶν λόγων καὶ ὀχλήσεων γενομένων, πάλιν ἐγένετο κατάστασις, καὶ ἀπῆλθον εἰς Κερασοῦντα. Ἐν τῷ αὐτῷ ἔτει ,ϛωξγ, μηνὶ Μαΐῳ, [1355. p. C. n.] ἰνδικτίωνος η, ἁρματώσας ὁ βασιλεὺς κάτεργα δύο καὶ ξύλα μικρὰ ἱκανά, καὶ ἀπῆλθεν ἅμα τῇ μαμᾷ καὶ δεσποίνῃ καὶ τῷ μητροπολίτῃ κατὰ τοῦ σχολάρι ἐν Κερασοῦντι· ὅτε καὶ ὁ μὲν σχολάρις ἦν ἐν τῷ Κεγχρινᾷ, ὁ δὲ παρακοιμώμενος ἐν Κερασοῦντι. Μετὰ δὲ τὴν μάχην καὶ τὸν πόλεμον ἐγένετο κατάστασις, καὶ προσκυνήσασα ἡ Κερασοῦς τὸν βασιλέα. Ὁ δὲ παρακοιμώμενος ἐξελθὼν ἀπῆλθεν εἰς τὸν πατέρα || αὐτοῦ ἐν [Ms. fol. 298. a.] τῷ Κεγχρινᾷ, καὶ ἦσαν ἅπαντες οἱ περὶ τὸν σχολάριν ἐκεῖ. Καὶ ὁ μὲν βασιλεὺς τὸν στόλον καὶ τὴν δέσποιναν ἀφεὶς ἐν τῇ Τριπόλει, ἦλθεν ἐνταῦθα, καὶ λαμβάνει στρατὸν καβαλλαρικόν, καὶ ἀπῆλθε τότε διὰ θαλάσσης, καὶ τὸ διὰ ξηρᾶς διάστημα περιώρισεν ἅπαντας ἐν τῷ Κεγχρινᾷ· ὅτε καὶ πόλεμος ἐγένετο, προσκυνήσαντες τὸν βασιλέα καὶ ἀνευφήμησαν. Ὁ μὲν βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἅπαντες ὑπέστρεψαν· ὁ δὲ σχολάρις καὶ οἱ σὺν αὐτῷ ἀπέμειναν ἐκεῖ, ὅτε

ἦλθε καὶ ὁ πρωτοβεστιάριος ἐκ τῶν Λιμνίων, καὶ οἱ
περὶ αὐτόν. Περὶ δὲ τὸν αὐτὸν μῆνα τοῦ αὐτοῦ
[1355. p. C. n.] ,ςωξγ ἔτους ἐκστρατεύσας ὁ δοὺξ Χαλδίας, Ἰωάννης
ὁ Καβασίτης, ἀπῆλθε καὶ ἐπίασε τὴν Χερίαναν, καὶ
ἠχμαλώτευσεν αὐτήν· ὅτε ἐλευθερώθη καὶ ἡ Σορώ-
γαινα, καὶ γέγονεν εἰς τὴν βασιλικὴν ὑποχειριότητα.
Τῷ αὐτῷ ἔτει ἐξῆλθε καὶ ὁ κὺρ Μιχαήλ, ὁ μέγας
Κομνηνός, ἐκ τῆς πόλεως, καὶ ἦλθε μέχρι καὶ τοῦ
Σουλχατίου, καὶ πάλιν ὑπέστρεψεν.

Ms. fol. 298. b. || 19. Μηνὶ Ὀκτωβρίῳ, ἰνδικτίωνος θ, ἔτους ,ςωξδ,
[1355. p. C. n.] ἀπῆλθεν ὁ μέγας δομέστικος, ὁ Μειζομάτης, καὶ ὁ
12. μέγας στρατοπεδάρχης, ὁ Σαμψών, εἰς τὰς Τριπόλεις
καὶ ἕως τοῦ Κεγχρινᾶ, καὶ παρέλαβον τὸν σχολάριν
καὶ τοὺς περὶ αὐτόν, καὶ ἦλθον, καὶ γέγονεν εἰρηναία
κατάστασις.

20. Μηνὶ Νοεμβρίῳ κζ, ἡμέρᾳ ς', ἰνδικτίωνος θ,
[1355. p. C. n.] τοῦ ,ςωξδ ἔτους, ὑπήλθομεν μετὰ τοῦ βασιλέως κατὰ
τῆς Χεριάνας ἀπὸ διαβολικῆς συνεργείας. Καὶ πρῶτον
μὲν ἐκουρσεύσαμεν, ἐπολιορκεύσαμεν καὶ ἠχμαλωτί-
20. σαμεν. Περὶ δὲ τὴν ς ὥραν ἐφύγομεν φυγὴν ἄκοσ-
μον, ὀλίγων Τούρκων διωκόντων ἡμᾶς. Τότε τοίνυν
ἐσκοτώθησαν Χριστιανοὶ ὡσεὶ ν, καὶ ἐχαώθησαν καὶ
ἄλογα πολλά· καὶ ὁ δοὺξ Χαλδίας, Ἰωάννης ὁ
Καβασίτης, ἐπιάσθη. Καὶ εἰ μὴ κύριος ἦν ἐν ἡμῖν,
ἀπολώμην ἂν καὶ αὐτὸς ἐγώ. Ἀλλὰ θεοῦ εὐδοκοῦν-
τος ἴσχυσέ μου ὁ ἵππος, καὶ κατόπιν βαίνων τοῦ βασι-
λέως ἐλευθερώθημεν, καὶ μετὰ τρεῖς ἡμέρας κατε-
λάβομεν ἐν Τραπεζοῦντι. Τότε τοίνυν ἐγέννησε καὶ ὁ
Ms. fol. 299. a. || βασιλεὺς υἱόν, τὸν κὺρ Ἀνδρόνικον, ἐξ ἄλλης γα-
30. στρός, καὶ γυναῖκα πρὸ τῆς δεσποίνης.

[1356. p. C. n.] 21. Μηνὶ Δεκεμβρίῳ ιθ, ἰνδικτίωνος ι, ἔτους ,ςωξε,
ἐκινήσαμεν μετὰ τοῦ βασιλέως εἰς τὰ Λιμνία, ποιή-
σαντες τὴν πρόκυψιν τῆς Χριστοῦ γεννήσεως εἰς
Κερασοῦντα. τῶν δὲ φώτων εἰς τὸ Ἰασώνιν, ὅτε
ἐσκοτώθησαν καὶ Τοῦρκοι ιδ. Ἀπελθόντες γοῦν εἰς
τὰ Λιμνία, καὶ πάλιν στραφέντες, λείψαντες τὰ
πάντα τρεῖς μῆνας, πάλιν κατελάβομεν ἐν Τραπε-
ζοῦντι ὑγιεῖς.

22. Περὶ τὸν Ἀπρίλλιον μῆνα εἰς τὰ ς', τῇ μεγάλῃ
[1357. p. C. n.] ε, τοῦ αὐτοῦ ,ςωξε ἔτους, ἐγεννήθη τῷ βασιλεῖ θυγά-
41. τηρ, ἡ κύρα Ἄννα, ἐκ τῆς δεσποίνης ἡμῶν, τῆς
κύρας Θεοδώρας, ἰνδικτίωνος ι.

[1357. p. C. n.] 23. Μηνὶ Μαίῳ, ἰνδικτίωνος ι, ἔτους ,ςωξε, ἀπῆλ-
θεν ὁ βασιλεὺς μετὰ φωσάτου εἰς τὸν Παρχάριν,
καὶ ἐγύρισε τὸν τοιοῦτον Παρχάριν ὅλον.

24. Μηνὶ Νοεμβρίῳ ια, ἡμέρᾳ ζ, ἰνδικτίωνος ια,
[1357. p. C. n.] τοῦ ,ςωξς ἔτους, ἦλθεν ἡ δέσποινα τῆς Σινώπης, ἡ
κύρα Εὐδοκία, ἡ θυγάτηρ κὺρ Ἀλεξίου, τοῦ μεγάλου
Κομνηνοῦ. Μηνὶ τῷ αὐτῷ ιγ, ἡμέρᾳ β, ἰνδικτίωνος
ια, τοῦ αὐτοῦ || ,ςωξς' ἔτους, ἀμελησάντων ἡμῶν τὴν Ms. fol. 299. b.
φύλαξιν, εἰσῆλθεν εἰς τὴν Ματζοῦκαν ὁ Χατζύμυρις, [1357. p. C. n.]
ὁ υἱὸς τοῦ Παιράμη, μετὰ φωσάτου πολλοῦ, καὶ 52.
ἐκούρσευσεν αἰχμαλωσίαν, πολλὰ καὶ ζῶα καὶ πράγ-
ματα, ἤγουν ἀπὸ τὴν Παλαιοματζοῦκαν καὶ ἕως εἰς
τὸ Δικαίσιμον.

25. Τοῦ αὐτοῦ ἔτους μηνὶ Ἰανουαρίῳ κβ ἦλθεν [1358. p. C. n.]
ἐκ τῆς Κωνσταντινουπόλεως ἀποκρισιάρις Ἰωάννης, ὁ
λεοντόστηθος.

26. Μηνὶ Αὐγούστῳ κβ, ἡμέρᾳ δ, ἰνδικτίωνος ια,
τοῦ ,ςωξς' ἔτους, ἦλθεν ἡ Δεσποιναχάτ, ἡ κύρα [1358. p. C. n.]
Μαρία, ἡ τοῦ βασιλέως ἀδελφή, εἰς τὴν Τραπε- 61.
ζοῦντα, ἤτοι ἡ τὸν Ἀμιτιώτην συζευχθεῖσα Χουτλου-
πέκην. Μηνὶ Αὐγούστῳ εἰς τὰ κθ, ἡμέρᾳ δ, ἀπῆλ-
θεν ἡ θυγάτηρ τοῦ βασιλέως κὺρ Βασιλείου, ἡ κύρα
Θεοδώρα, πρὸς τὸ συζευχθῆναι τὸν Ἀμηρὰν Χατ-
ζύμυριν, τὸν υἱὸν τοῦ Πειράμη, ἔχουσα νυμφοστόλον
τὸν Χούπακα, κὺρ Βασίλειον, τὸν σχολάριν, ἰνδικ-
τίωνος ια, ἔτους ,ςωξς'. [1358. p. C. n.]

27. Μηνὶ Σεπτεμβρίῳ ιζ, ἡμέρας β, μετὰ τὸ ἀπό-
δειπνον, ἐγεννήθη τῷ βασιλεῖ ὁ υἱός, ὃν || καὶ ἐκά- Ms. fol. 300. a
λεσε κατὰ τὸν πάππον Βασίλειον, ἰνδικτίωνος ιβ, 71.
ἔτους ,ςωξζ'. [1358. p. C. n.]

28. Μηνὶ Ἀπριλλίῳ ἰνδικτίωνος ιγ, ἔτους ,ςωξη, [1360. p. C. n.]
εἰσῆλθεν ὁ βασιλεὺς εἰς τὴν Χαλδίαν, κτίζειν τοῦ κού-
κου. Ἐλθὼν δὲ ἐκ τοῦ Παιπερτίου ὁ Χοτζιαλατίφης
μετὰ τῶν καβαλλαρίων, καὶ ἐπόδισεν· ὅτε καὶ τὸν
Καβασίτην Ἰωάννην παρέλυσε τοῦ κεφαλατικίου.

29. Μηνὶ Μαίῳ ε ἡμέρᾳ β, ἰνδικτίωνος ιδ, τοῦ
,ςωξθ ἔτους, ἐγένετο ἔκλειψις ἡλίου, οἵα ουκ ἐγέ- [1361. p. C. n.]
νετο ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, ὥστε ἐφάνησαν καὶ 80.
ἀστέρες ἐν τῷ οὐρανῷ, καὶ ἐκράτησεν ὥρας α' β'.
Ὁ δὲ βασιλεύς, κὺρ Ἀλέξιος, καὶ ἡ μήτηρ αὐτοῦ, ἡ
κύρα Εἰρήνη, καὶ τινες τῶν ἀρχόντων, καὶ ἐγὼ σὺν
αὐτοῖς, εὑρέθημεν κατὰ συγκαιρίαν ἐν τῇ κατὰ τὴν
Ματζοῦκαν μονῇ τῆς Σουμελᾶς, ποιήσαντες δεήσεις
πολλὰς καὶ παρακλήσεις. Τῷ αὐτῷ ,ςωξθ ἔτει, ἤτοι [mense Decembri 1360. p. C. n.]
πρὸ ἓξ μηνῶν, Δεκεμβρίῳ μηνὶ εἰς τὰ ς, ἀπῆλθεν
ὁ βασιλεὺς εἰς τὰ Λιμνία, ἔνθα ποιήσας ὡσεὶ γ
μῆνας πάλιν ἦλθε. Τῷ αὐτῷ ,ςωξθ ἔτει ἦλθεν ἐκ [1361. p. C. n.]
τῆς πόλεως ἀποκρισιάρις ὁ λεοντόστηθος, ὡς ὑπὸ 90.
τοῦ βασιλέως, κὺρ Ἰωάννου, τοῦ Παλαιολόγου, ζητῶν
συμπενθερείαν μετὰ τοῦ βασιλέως ἡμῶν. Τῷ ,ςωξθ [1361. p. C. n.]
ἔτει, ἰνδικτίωνος ια, μηνὶ Ἰουλίῳ, ἡμέρᾳ δ, ὥρᾳ
τοῦ ἀποδείπνου ἐκοιμήθη ὁ μέγας δοὺξ Νικήτας, ὁ
σχολάρις, ὅτε καὶ ὁ βασιλεὺς μεγάλως ἐλυπήθη,
ἐπιστὰς ἐν τῇ προπομπῇ τῆς ἐξόδου αὐτοῦ, φορέσας

καὶ λευκὰ διὰ τὴν θλίψιν, καθὼς εἴθισται τοῖς ἄναξι. Μηνὶ Ἰουλίῳ κγ, ἡμέρᾳ ς', ἰνδικτιῶνος ιδ, [1361. p. C. n.] τοῦ ‚ςωξθ ἔτους, ὁ τοῦ ἀπὸ τοῦ Παιπερτίου κεφαλὴ Χοτζιαλατίφης λαβὼν ἐπιλέκτους στρατιώτας ὡσεὶ υ, καὶ πρωῒ εἰςῆλθεν κατὰ τὴν Ματζοῦκαν, πρός τε καὶ τὴν Λαραχάνην, καὶ Χασδενίχαν. Οἱ δέ γε Ματζουκαῖται προκαταλαβόντες τὰς διεξόδους, ἔκτειναν ὡσεὶ ς' Τούρκους· καὶ πλείους ἁρπάσαντες, καὶ ἄλογα, καὶ ἅρματα πολλά, καὶ αὐτὸν τὸν Χοτζιαλατίφιν καρατομοῦσι, καὶ τῇ ἐπαύριον θριαμβεύουσι τὰς κεφαλὰς αὐτῶν ἀνὰ τὴν Τραπεζοῦντα ὅλην.

30. Μηνὶ Δεκεμβρίῳ ιγ ἀπήλθομεν εἰς τὴν Χαλυ- [Ms. fol. 301. a.] βίαν μετὰ τοῦ βασιλέως εἰς τὸ || ὀσπιτόκαστρον τοῦ Χατζυμήρι, υἱοῦ τοῦ Παιράμη, ἤγουν μετὰ τὴν ἐν Κερασοῦντι εἰςέλευσιν αὐτοῦ καὶ ἔσμιξιν μεθ' ἡμῶν. Ἀπὸ δὲ Χαλυβίας ἤλθομεν διὰ ξηρᾶς εἰς τὴν Κερασοῦντα, ἀκολουθούντων ἡμῖν τοῦ Ἀμηρᾶ Χατζυμήρι καὶ [1361. p. C. n.] Τούρκων μικροῦ δεῖν δουλικῶς, ἰνδικτιῶνος ιε, ‚ςωξθ' [1361. p. C. n.] ἔτους. Μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ιε, τοῦ ‚ςωο' ἔτους, ὁ ἀπὸ τοῦ Ἐρζίγκα Ἀχ[...]πὰκ κατελθών, περιεκάθισε κάστρον τὴν Γόλαχαν ὡσεὶ ἡμέρας ις, στήσας καὶ μάγγανον, καὶ πολέμους κρυτήσας σφοδρούς. Ἀλλὰ σὺν Θεῷ μηδέν τι δυνηθεὶς πρᾶξαι, ἀπῆλθε μετ' αἰσχύνης κενός· ὅτε καὶ ὁ βασιλεὺς ἀνέκτισεν τὸν ἐν τῇ Κυρδύλῃ ναὸν τοῦ ἁγίου Φωκᾶ, καὶ μονὴν τοῦτον ἐποίησεν.

[1362. p. C. n.] 31. Τῷ αὐτῷ ‚ςωο ἔτει ἐκίνησεν ὁ αἰφνίδιος θάνατος τοῦ βουβῶνος, καὶ ἐκράτησεν τὸν αὐτὸν ἐνιαυτὸν ὅλον· πρὸς δὲ τὸ καλοκαίριν καὶ θέρος γέγονε σφοδρότατος, καὶ ἐλυμήνατο, καὶ ἀποίκισε πολλούς. [1362. p. C. n.] Περὶ δὲ τὸν Μάρτιον μῆνα τοῦ αὐτοῦ ‚ςωο ἔτους [Ms. fol. 301. b.] ἀπῆλθεν ὁ βασιλεύς, καὶ ἡ δέσποινα, || καὶ ἡ μήτηρ αὐτοῦ, εἰς Μεσοχάλδια, ἅμα μὲν διὰ τὸν αἰφνίδιον θάνατον, ἅμα δὲ καὶ διὰ τὴν ἀπόδρασιν τοῦ Κομνηνοῦ Ἰωάννου ἐκ τῆς Ἀδριανουπόλεως, καὶ ἔλευσιν τούτου ἐν τῇ Σινώπῃ, ἔνθα καὶ ἐκοιμήθη. Ὅτε καὶ οἱ βασιλεῖς ἐλθόντες ἐκ Χαλδίας, οὐκ εἰςῆλθον ἐν Τραπεζοῦντι εἰς τὸ κάστρον διὰ τὸν σφοδρότατον διωγμὸν τοῦ θανάτου (ὑπῆρχε γὰρ μὴν Ἰούνιος), ἀλλ' ἐσκήνωσαν εἰς τὸν ἅγιον Ἰωάννην τὸν ἁγιαστὴν εἰς τὸν Μίνθρον βουνόν· ὅτε καὶ πρέσβυς ἦλθεν ἐκ τοῦ Τζαλαπῆ Τατζατίνη, διὰ τὴν συμπενθερείαν. Τότε μικροῦ δεῖν ἐπανέστησάν τινες τῷ βασιλεῖ. Ἀποδρὰς ἐκ τῆς εἱρκτῆς καὶ ὁ υἱὸς τοῦ Κομνηνοῦ, κῦρ Ἰωάννης, καὶ ἀπῆλθεν εἰς τὸν Καφάν, εἶτα εἰς τὸν Γαλάταν.

[1363. p. C. n.] 32. Μηνὶ Ἀπριλλίῳ, ἰνδικτιῶνος α, τοῦ ‚ςωοα ἔτους, ἀπήλθαμεν μετὰ τοῦ βασιλικοῦ κατέργου εἰς τὴν μεγάλην πόλιν, ὅ τε μέγας λογοθέτης κῦρ Γεώργιος, ὁ σχολάρις, καὶ ὁ Σεβαστός, καὶ ὁ νοτάρις Μιχαὴλ ὁ Πανάρετος, ὁ ταῦτα γράφων· καὶ προςεκυνήσαμεν προςκυνήσεις φοβεράς. Εἴδαμεν || καὶ τὸν βασιλέα, [Ms. fol. 302. a.] κῦρ Ἰωάννην, τὸν Παλαιολόγον, καὶ τὸν βασιλέα, κῦρ Ἰωάσαφα, τὸν Καντακουζηνόν, τὸν πατριάρχην, κῦρ Κάλλιστον, καὶ τὰς δεσποίνας καὶ τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ αὐτὸν δὲ τὸν καπέτανον καὶ ποτεστάτην τῶν ἐν τῷ Γαλατᾷ Γενουΐτων, Λεονάρδω τε Μυντάτω. Ὅτε ἐποιήσαμεν τὴν συμφωνίαν τῆς συμπενθερείας, ἵνα λάβῃ ὁ τοῦ βασιλέως τοῦ Παλαιολόγου ὁ υἱὸς τὴν θυγατέρα τοῦ βασιλέως τῆς Τραπεζοῦντος, κῦρ Ἀλεξίου, τοῦ μεγάλου Κομνηνοῦ· καὶ ἤλθαμεν μηνὸς Ἰουνίου β.

33. Τῷ αὐτῷ ‚ςωοα ἔτει, μηνὶ Αὐγούστῳ ιε, τὰ [1363. p. C. n.] ἐσμιχθῶμεν τὸν αὐτοῦ γαμβρόν, τὸν Χουτλουπέκην, τὸν υἱὸν τοῦ Τουραλῆ. Ἀλλὰ μὴ ἐσμιχθέντες διὰ τὸν ἐπειςπεσόντα τοῖς Τούρκοις αἰφνίδιον θάνατον, μεθ' ἡμέρας κζ πάλιν ἐστράφημεν ἐν Τραπεζοῦντι.

34. Μηνὸς Ὀκτωβρίου κζ, ἡμέρᾳ ς, ἰνδικτιῶνος β, [1363. p. C. n.] ἔτους ‚ςωοβ, καθεζομένου τοῦ βασιλέως ἐν || τῷ πο- [Ms. fol. 302. b.] ταμῷ τοῦ ἁγίου Γρηγορίου κατὰ τὸν καταβατόν, αἴφνης περιέπεσον αὐτῷ οἱ ἐκ τῶν ἀρχόντων Καβασῖται, ὁ μέγας λογοθέτης, κῦρ Γρηγόριος, ὁ σχολάρις, καὶ ἕτεροι· καὶ ἀπεδίωξαν αὐτὸν ἀπ' ἐκεῖ, μέχρις αὐτοῦ τοῦ Κουλᾶ. Καὶ οἱ μὲν Καβασῖται διὰ ξηρᾶς φυγόντες ξυνελήφθησαν, καὶ ἐκρατήθησαν· ὁ δὲ μέγας λογοθέτης σὺν τοῖς περὶ αὐτὸν ἀπῆλθεν εἰς τὴν Κερασοῦντα, εἶτα εἰς τὸν Ἀμινσοῦν. Ὅτε καὶ ὁ μητροπολίτης Νίφων, ὁ Πτερυγιωνίτα, κοινωνὸς ὢν τῆς βουλῆς, περιωρίσθη ἐν τῇ μονῇ τῆς Σουμελᾶς ἐν Τραπεζοῦντι. Τῇ δὲ κθ τοῦ Δεκεμβρίου μηνὸς ἡμέρᾳ ς πάλιν ἦλθεν ὁ μέγας λογοθέτης, μεσάζοντος εἰς τοῦτο τοῦ Ντζιανώτου Σπίνουλ, καὶ Στεφάνου, τοῦ Δακυέπι.

35. Τῷ αὐτῷ ἔτει, ἤτοι ‚ςωοβ, ἰνδικτιῶνος β', μηνὶ [1364. p. C. n.] Μαρτίῳ ιθ, ἐν ἡμέρᾳ τῇ μεγάλῃ τρίτῃ ἐκοιμήθη ὁ μητροπολίτης Τραπεζοῦντος, κῦρ Νίφων, νόσῳ προςπαλαίσας πλευρίτιδι, ἔτι ὢν ἐν τῇ Σουμελᾷ· καὶ ἐνεταφιάσθη ἀρχιερατικῶς εἰς τὴν Χρυσοκέφαλον, εἰς τὸν τάφον τοῦ μητροπολίτου, κῦρ Βαρνάβα. Καὶ ἐψηφίσθη ὁ σκευοφύλαξ Ἰωσήφ, ὁ Λαζαρόπουλος, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν.

36. Μηνὶ Δεκεμβρίῳ ις ὥ' σ 6' περὶ τὸν ὄρθρον, ἰνδικτιῶνος γ, τοῦ ‚ςωογ ἔτους, ἐγεννήθη τῷ βασιλεῖ [1364. p. C. n.] υἱός, ὃς ἐκλήθη Μανουήλ.

37. Μηνὶ Ἀπριλλίῳ ιγ, τῷ αὐτῷ ‚ςωογ ἔτει, τῇ [1365. p. C. n.] μεγάλῃ κυριακῇ τοῦ Πάσχα, ἱσταμένου τοῦ βασιλέως

εἰς τὸ Ματτάνιν, ἐγένετο ὄχλησις μέσον τοῦ Κονσούλου καὶ τοῦ Παίλου, ὅτε ἦλθεν καὶ ὁ μητροπολίτης, κῦρ Ἰωσήφ, χειροτονημένος εἰς τὸν θρόνον Τραπεζουντίων· καὶ τῇ τρίτῃ τῆς διακαινισήμου γέγονεν ἡ εἰσέλευσις αὐτοῦ.

[1365. p. C. n.] 38. Μηνὶ Ἰουλίῳ ιδ, ἰνδικτίωνος γ, τοῦ ͵ϛωογ ἔτους, κατέβη ὁ τοῦ βασιλέως γαμβρός, Χουτλουπέκ, [Ms. fol. 303. b.] || ὁ Ἀμηρᾶς, μετὰ τῆς αὐτοῦ ὁμοζύγου, κῦρα Μαρίας, Δεσποινταχάτ, τῆς μεγάλης Κομνηνῆς, ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει Τραπεζοῦντι· καὶ ἡνώθη τῷ βασιλεῖ, καὶ εἰςῆλθεν καὶ εἰς τὸ παλάτιον. Καὶ σκηνώσας κατὰ τὸν ἅγιον Ἰωάννην τὸν ἁγιάστην ὡςεὶ ἡμέρας η, πάλιν μετ' εἰρήνης ἀπῆλθε, τιμηθεὶς μεγάλως.

39. Εἰς δὲ τὸ ἐπιὸν ἔτος ἀνῆλθεν ὁ βασιλεὺς εἰς τὸν Παρχάριν. Καὶ ἡμεῖς ἅπαντες σὺν αὐτῷ ἀναβάντες ἐκ Σπελίας εἰς τὴν Φιανόην, καὶ παροδεύσαντες τὸ Γαντοπέδιν καὶ Μάρμαρα, καὶ διαβάντες τὸν ἅγιον Μερκούριον, ἀνήλθομεν εἰς τὸν Ἀχάντακαν, πεζοὶ καὶ καβαλλάριοι ὑπὲρ τοὺς διςχιλίους. Καὶ ποιήσαντες μετὰ τοῦ [Ms. fol. 304. b.] || Ἀμηρᾶ ἡμέρας δ, πάλιν ὑπεστρέψαμεν. [1367. p. C. n.] Μηνὶ Ἰουνίῳ, ἰνδικτίωνος β', τοῦ ͵ϛωοε ἔτους, καταβάντες ἐν τῇ Λαζικῇ μετὰ δυνάμεως διά τε ξηρᾶς καὶ διὰ θαλάσσης ἅμα βασιλεῖ καὶ τῇ τούτου μητρί, τῇ δεσποίνῃ, κατέχοντες ἅμα καὶ τὴν τοῦ βασιλέως θυγατέρα, κῦραν Ἄννην, τὴν μεγάλην Κομνηνήν, ἥτις συνεζεύχθη τῷ βασιλεῖ τῶν Ἰβήρων καὶ Ἀβασγῶν, κῦρ Παγκρατίῳ, τῷ Παγκρατιῷ, ἐν τῇ χώρᾳ μακροῦ Αἰγιαλοῦ. Ἐλθόντες δέ, παρευθὺς ἀνῆλθεν ὁ βασιλεὺς εἰς τὸν Παυχάριν τῆς Λαραχανῆς εἰς τὸ Λιμνικόν, καὶ ἀπῆλθεν ἕως Χαλδίας.

[1367. p. C. n.] 40. Μηνὶ Νοεμβρίῳ ιβ, ἰνδικτίωνος ϛ, ἔτους ͵ϛωοϛ, ἐξῆλθεν ὁ μητροπολίτης, || κῦρ Ἰωσήφ, ἐκ τοῦ θρόνου τῆς Τραπεζοῦντος, καὶ ἀπῆλθεν ἐν τῇ μονῇ τῆς Ἐλεούσης. Καὶ περὶ τὰς ιθ τοῦ Ἰουλίου μηνός, τοῦ [1368. p. C. n.] αὐτοῦ ͵ϛωοϛ ἔτους, ἀπήλθον εἰς τὴν Κωνσταντινούπολιν διὰ τὸ κοῦρσον, ὃ ἐποίησαν τὰ ἀζάρικα παρασκάλμια τοὺς Ἀρανιώτας· ὅτε καὶ ὁ πεφιλημένος μου υἱός Κωνσταντῖνος (φεῦ, φεῦ μοι τῷ ἀθλίῳ καὶ ἁμαρτωλῷ) ἐν τῇ θαλάσσῃ πεσὼν τῇ ἑορτῇ τῆς μεταμορφώσεως, κατὰ τὴν μονὴν τῆς ἁγίας Σοφίας τέθνηκεν, ἐτῶν ὢν ιε· μεθ' ὃν καὶ ὁ ἕτερός μου ποθεινότατος υἱὸς Ῥωμανός, ἐτῶν ὢν ιζ, δυσουρικῷ προςπαλαίσας νοσήματι, κεκοίμηται. Λείποντός μου μῆνας γ ϛ" ὑπέστρεψα.

[Ms. fol. 305. a.] 41. Τῷ αὐτῷ ἔτει μηνὶ Μαρτίῳ εἰςελθὼν || ὁ Γλιτζιασθλάνης, ἐπολιόρκει τὴν καθ' ἡμᾶς Χαλδίαν· ὅτε καὶ ἐκστρατεύσας ὁ βασιλεύς, ἀνέβη ἐκεῖ μηνὶ [1369. p. C. n.] Ἰανουαρίῳ, ἰνδικτίωνος ζ, ἔτους ͵ϛωοζ, κατὰ τὴν ἡμέραν τῶν φώτων. Ἐπιάσθη ἡ Γόλαχα παρὰ τῶν Τούρκων κλοπικῶς· δι' ἣν αἰτίαν ἠφανίσθη ἡ Χαλδία, οἱ μὲν ἐν τοῖς πολέμοις, οἱ δὲ ἐν τῷ ἐκεῖσε δολείῳ σπηλαίῳ.

42. Τῷ αὐτῷ ἔτει ͵ϛωοζ, περὶ τὴν ἔκβασιν τοῦ [1369. p. C. n.] Ἰανουαρίου, ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὰ Λιμνία μετὰ στόλου καλοῦ· καὶ λείψας τετραμηνιαῖον, ὑπέστρεψεν.

43. Μηνὶ Μαΐῳ, ἰνδικτίωνος η, ἔτους ͵ϛωοη, ἐξῆλθεν [1370. p. C. n.] ὁ βασιλεὺς μετά τινων ὀλιγίστων στρατιωτῶν εἰς τὸν Παρχάριν περὶ τὰ μέρη τοῦ Μαρμάρων. Καὶ κατὰ τὴν κα τοῦ αὐτοῦ μηνὸς ʼσ ϛ' ἐξαίφνης συνήντησαν Τούρκους, || [Ms. fol. 305. b.] ὡςεὶ καβαλλαρίους πεντακοσίους, καὶ πεζοὺς τριακοσίους. Ἦσαν δὲ περὶ τὸν βασιλέα ὡςεὶ ἑκατὸν καβαλλάριοι. Ὅτε καὶ κροτήσας πόλεμον, νικᾷ κατὰ κράτος ὁ βασιλεύς, καὶ διώκει αὐτούς, στολὰς καὶ κεφαλὰς Ἀγαρηνικὰς ἐνταῦθα καὶ τὴν τούτων σημαίαν.

44. Μηνὶ Αὐγούστῳ ιγ, ἡμέρᾳ γ, ἰνδικτίωνος η, τῷ [1370. p. C. n.] ͵ϛωοη ἔτει, εἰςῆλθεν ὁ μητροπολίτης, κῦρ Θεοδόσιος, εἰς τὴν Τραπεζοῦντα, καὶ ἐνεθρονισάσθη· ὃς ὥρμητο μὲν ἐκ Θεσσαλονίκης, μονάζει δὲ ἐν τῷ ἁγίῳ ὄρει χρόνους κ'. Καταλαμβάνει δὲ τὴν εὐδαίμονα Κωνσταντινούπολιν γενόμενος. ἡγούμενος ἐν τῇ μονῇ τῶν Μαγκάνων. Εἶτα ψήφῳ συνοδικῇ χειροτονεῖται, καὶ στέλλεται μηνὶ Αὐγούστῳ ϛ'. Ἀπήλθαμεν ἐν τῇ Λαζικῇ, καὶ πρὸς τὸ ἐκβὰν τοῦ || [Ms. fol. 306. a.] μηνός, περὶ τὰ εἰςιτήρια τοῦ ͵ϛωπα ἔτους, [1372. p. C. n.] ἐσμίγαμεν τὸν βασιλέα, τὸν Παγκράτιν. Εἶτα ἀπήλθαμεν εἰς τὸ Βαθήν, στήσαντες τὰς τέντας, ἔξω ἔχοντες καὶ κάτεργα καὶ ξυλάρα μ'. Ἐκεῖ γοῦν ὁμιλήσαντες καὶ τῷ Γουρήλῃ ἐλθόντι εἰς προςκύνησιν τοῦ βασιλέως, καὶ ἓξ ἡμέρας ποιήσαντες, πάλιν ἐστράφημεν ἰνδικτίωνος ια'.

45. Μηνὶ Ἰανουαρίῳ ιγ ἀπελθόντος τοῦ βασιλέως κατὰ τῆς Χερμάνης, καὶ χιόνος πολλῆς γενομένης, καὶ χειμῶνος πολλοῦ ἐπειςπεσόντος, γέγονε τροπή· καὶ ἐφθάρησαν Χριστιανοὶ ρμ', οἱ μὲν ἔργον σπάθης γενόμενοι, οἱ δὲ καὶ μᾶλλον. Οἱ πλείονες ὑπὸ τοῦ κρύους ἀπέθανον, ἰνδικτίωνος ια, ἔτους ͵ϛωπα. [1373. p. C. n.]

46. Μηνὶ Νοεμβρίῳ ια ʼσϛ', τοῦ ͵ϛωπβ ἔτους, || ἰν- [1373. p. C. n.] δικτίωνος ιβ, ἦλθεν ὁ τοῦ βασιλέως τῶν Ῥωμαίων, κῦρ Ἰωάννου, τοῦ Παλαιολόγου, υἱός, ὁ κῦρ Μιχαήλ, μετὰ δύο μεγάλων κατέργων καὶ ἑνὸς μικροτέρου κατὰ τὰ τοῦ βασιλέως ἡμῶν· καὶ σταθεὶς ἡμέρας ε, παλίνορσος γέγονε, μὴ ἀνύσας τῶν ἀδοκήτων, ὧν σὺν αὐτῷ ὁ βεστιάριος, κῦρ Ἰωάννης, ὁ Ἀνδρονικόπουλος· ὃς καὶ ἀπελθών, ὁ Παλαιολόγος αὐτὸς ἐξῆλθε, καὶ γέγονεν ὑπόσπονδος τῷ βασιλεῖ ἡμῶν.

47. Μηνὶ Ἀπριλλίῳ ις ʼσα' ἰνδικτίωνος ιγ, τῷ

[1374. p. C. n.] ,ϛωπβ ἔτει, ἐπιάσθη ἡ Γόλαχα παρὰ τῶν Χαλδαίων. Καὶ πάλιν γέγονεν ὑπὸ τῷ βασιλεῖ. Καὶ εὐθὺς αὖθις ἑάλω παρὰ τῶν ἐχθρῶν.

48. Μηνὶ Μαρτίῳ ιδ, ἡμέρᾳ ϛ', ἰνδικτίωνος ιδ, [1376. p. C. n.] τοῦ ,ϛωπδ ἔτους, ἐκρημνίσθη ὁ τοῦ βασιλέως υἱός, κῦρ Ἀνδρόνικος δεσπότης, ὁ μέγας Κομνηνός, ἀπὸ τοῦ [Ms. fol. 307. a.] ‖ παλατίου τοῦ κῦρ Ἀνδρονίκου, τοῦ μεγάλου Κομνηνοῦ καὶ βασιλέως. Καὶ εὐθὺς κομισθεὶς ἐν τοῖς ἀνακτόροις, τέθνηκε, καὶ ἐνεταφιάσθη ἐν τῇ μονῇ τῆς Θεοσκεπάστου, ἀκολουθήσαντος ἐν τῷ ἐξοδίῳ αὐτοῦ τοῦ βασιλέως καὶ πατρὸς αὐτοῦ, καὶ τῶν δεσποινῶν, τῆς τε μάμμης τούτου, καὶ τῆς μητρυιᾶς. Τὰ δὲ συναλλάγματα, ἃ εἶχε μετὰ τῆς ἐξ Ἰβηρίας, θυγατρὸς μὲν Δαβίδ, τοῦ βασιλέως Τυφλισίου, ἀνεψιᾶς δὲ ἐπ' ἀδελφῆς τοῦ Ἀχπουγᾶ, μεταφέρονται εἰς τὸν νεώτερον καὶ γνήσιον καὶ νόμιμον υἱὸν τοῦ βασιλέως ἡμῶν καὶ νέον βασιλέα, κῦρ Μανουήλ, τὸν μέγαν Κομνηνόν. Καὶ δὴ τῆς μνηστείας προβάσης, κινεῖ ὁ βασιλεὺς καὶ ἡμεῖς σὺν αὐτῷ Μαΐῳ μηνὶ ι, [1377. p. C. n.] ἰνδικτίωνος ιε, ἔτους ,ϛωπε· καὶ ἀπελθόντες ἐν τῇ [Ms. fol. 307. b.] Λαζικῇ, διεβιβάσαμεν τὸ ‖ Καλοκέριν ὅλον ἐκεῖ κατὰ τὸ χωρίον Μακραιγιαλούς, ἕως εἰς τὰς ιε Αὐγούστου μηνός. Τότε δὲ κατέβη κἀκείνη ἀπὸ Γωνίας εἰς τὴν Μακραιγιαλοῦν· καὶ τῇ ἐπαύριον κεκινήκαμεν, καὶ εἰς τὰ λ τοῦ Αὐγούστου ἐφθάσαμεν ἐν Τραπεζοῦντι ἡμέρᾳ κυριακῇ. Περὶ δὲ τὰς ε τοῦ νέου ἔτους, Σεπτεμβρίῳ μηνί, ἡμέρᾳ σαββάτῳ, ἰνδικτίωνος α, τοῦ [1377. p. C. n.] ,ϛωπϛ ἔτους, ἐστέφθη ἐν τῇ βασιλικῇ προκύψει, καὶ ἐκλήθη Εὐδοκία. Κουλκάνχατ γὰρ τὸ πρότερον ὠνομάζετο. Καὶ τῇ ἐπαύριον ἡμέρᾳ κυριακῇ Σεπτεμβρίου ϛ' ἐγένετο καὶ ὁ γάμος, καὶ ἐπεκράτησεν ἑβδόμαδαν καὶ πλέον. Ἦν δὲ ὁ εὐλογήσας αὐτὴν ὁ Τραπεζούντιος Θεοδόσιος, στεφανοκράτωρ δὲ ὁ πατὴρ ἦν καὶ βασιλεύς.

[Ms. fol. 308. a.] 49. Μετὰ πολλῶν λόγων καὶ πρέσβεων ‖ Ῥωμαϊκῶν, λέγω καὶ Μουσουλμανικῶν, μέσον δὲ τοῦ βασιλέως καὶ τοῦ Τατζιατίνη Τζιαλαπῆ, ἐκίνησεν ὁ βασιλεὺς κατὰ τὴν ιδ τοῦ Αὐγούστου μηνός, ἰνδικτίωνος γ, ἔχων κάτεργα μεγάλα δύο καὶ παρασκάλμια β, καὶ ἡ θυγάτηρ κῦρα Εὐδοκία. Καὶ ἀπήλθαμεν μέχρι Κερασοῦντος. Μανδάτον δὲ ἦλθεν ἐκ Τραπεζοῦντος, ὅτι ὁ Χλιατζιασθλάνης μέλλει καταβ[αίν]ειν εἰς τὴν Τραπεζοῦντα. Ὁ δὲ βασιλεὺς ἀφεὶς τὴν θυγατέραν ἐν Κερασοῦντι, ἦλθε σὺν τοῖς ἄρχουσιν ἐν Τραπεζοῦντι, καὶ ἐδυνάμωσε τὸ κάστρον, καὶ διετάξατο τὴν χώραν. Περὶ δὲ τὰ τελευταῖα τοῦ Σεπτεμβρίου ἐκίνησε καὶ λαβὼν τὴν θυγατέραν ἐν Κερασοῦντι, ἀπῆλθε μέχρις Οἰναίου. Κἀκεῖ εἰσμιχθεὶς τῷ Τζιαλαπῇ, συνέζευξεν [Ms. fol. 308. b.] αὐτῷ τὴν θυγατέραν ‖ αὐτοῦ, τὴν κῦραν Εὐδοκίαν, κατὰ τὴν η τοῦ Ὀκτωβρίου, ἰνδικτίωνος γ, ἔτους ,ϛωπη, ὅτε παρέλασεν ὁ βασιλεὺς καὶ τὰ Λιμνία. [1379. p. C. n.]

50. Μηνὶ Φεβρουαρίῳ ἐκίνησεν ὁ βασιλεὺς διά τε ξηρᾶς καὶ διὰ θαλάσσης κατὰ τῶν Τζαπνίδων. Καὶ [1380. p. C. n.] περὶ τὰς δ τοῦ Μαρτίου μηνὸς ˏσ α', ἰνδικτίωνος γ, ἔτους ,ϛωπη, ἐποίησεν τὸ φωσάτον μερίδας β. Τοὺς μὲν πεζοὺς ὡσεὶ χ' ἔστειλεν ἀπὸ τὸ Πέτρωμαν· ὁ δὲ βασιλεὺς παραλαβὼν τὸ καβαλλάρικον καὶ ἑτέρους πεζοὺς παμπόλλους, ἐπτέρνιξεν τοὺς ὅλον τὸν Φιλαβωνίτην ποταμὸν ἄνω, ἕως εἰς τὰς χειμασίας. Καὶ τὰς σκηνὰς αὐτῶν ἐκούρσευσεν, ἐσκόθωσεν, ἔκαυσεν· καὶ ἐλήϊσεν αὐτούς. Καὶ πολλὰ ἡμέτερα αἰχμάλωτα ἤλευ ‖ θέρωσεν σιμὲλικα· καὶ ἐστράφη, καὶ ἐστάθη [Ms. fol. 309. a.] μικρὸν εἰς τὸν Σθλαβοπιάστην. Οἱ δὲ χ', οἱ ἀπελθόντες ἀπὸ Πέτρωμαν, ἐκούρσευσαν εἰς τὸ Κοτζαντᾶ, καὶ ἐποίησαν σφαγὴν καὶ κοῦρσαν καὶ πυρκαϊὰν πολλήν. Καταβαίνοντες δὲ μετὰ πόλεμον, ὁσάκις ἐποίουν καὶ συμπλοκὴν μετὰ τῶν διωκόντων Τούρκων, πολλοὶ ἔπιπτον ἐκ τῶν Τούρκων. Οἱ δὲ Ῥωμαῖοι ἐλπίζοντες τὸν βασιλέα, εἰς τὸν αἰγιαλὸν ἰσχυρὰ πολεμοῦντες καὶ κτείνοντες ἤρχοντο. Περὶ δὲ τὸν αἰγιαλὸν τοῦ Σθλαβοπιάστου γενόμενοι, ὡς οὐχ εὗρον τὸν βασιλέα, ὡς ἐσυνεφώνησαν μικρόν, πρὸς τροπὴν βλέψαντες, ἔπεσον ὡσεὶ μβ Ῥωμαῖοι. Οἱ δὲ πεσόντες, Τοῦρκοι καὶ Τούρκισαι καὶ τουρκοπούλοι, ‖ ὑπὲρ τοὺς ρ ἠριθμήθησαν. [Ms. fol. 309. b.] Μηνὶ Ἰουνίῳ ιθ, ἰνδικτίωνος ε, ἔτους ,ϛω[illegible], [1382. p. C. n.] ὁ τοῦ βασιλέως, κῦρ Ἀλεξίου, υἱός, ὁ κῦρ Μανουήλ, ἐγέννησεν υἱὸν ἐκ τῆς ἐξ Ἰβήρων κῦρα Εὐδοκίας· ὃν καὶ βαπτίσας ὁ πάππος καὶ βασιλεύς, κῦρ Ἀλέξιος, καὶ ἡ προμάμμη καὶ δέσποινα, κῦρα Εἰρήνη, καὶ ὁ μητροπολίτης Τραπεζοῦντος, κῦρ Θεοδόσιος, ἐκάλεσαν τοῦτον Βασίλειον κατὰ τὸν πρόπαππον.

51. Μηνὶ Ἰουλίῳ θ ἤχθη ἡ νόσος τῶν βουβώνων, [1382. p. C. n.] ἔτους ,ϛωϙ, ἰνδικτίωνος ε, καὶ ἐλυμήνατο ἐν Τραπεζοῦντι πολλοὺς μέχρι καὶ τοῦ Δεκεμβρίου καὶ τοῦ Γεναρίου μηνός. Ἐλυμήνατο δὲ καὶ τὴν Ματζούκην περὶ πολλοῦ, καὶ τὴν Τρικωμίαν, καὶ τὸ μέρος τῶν Συρμένων, ἕως εἰς τὴν Δρύωναν.

52. ‖ Μηνὶ Ὀκτωβρίῳ τοῦ ,ϛωϙε ἔτους κινήσας ὁ [Ms. fol. 310. a.] [1386. p. C. n.] τοῦ βασιλέως γαμβρός, ὁ ἐκ τῶν Λιμνίων Ἀμηρᾶς, ὁ Τατζιατίνης, κατὰ τοῦ ἑτέρου γαμβροῦ, τοῦ βασιλέως υἱοῦ, τοῦ ἐκ Χαλυβίας Χατζυμήρη, τοῦ λεγομένου Σουλαμάμπεκ, ἔχων φωσάτον χιλιάδας ιβ. Καὶ τῇ Χαλυβίῃ εἰσελθών, ἔπεσε πρῶτος αὐτὸς ὁ Τζιατίνης· καὶ κρεουργηθεὶς ἐκεῖ τέθνηκεν. Οἱ δὲ περὶ αὐτὸν ἐκτάνθησαν ὡς ϛ'· οἱ δὲ λοιποὶ γυμνοὶ ἔφυγον, ἀποβαλλόμενοι ἵππους καὶ ὅπλα ἄπειρα.

53. Ἀμηρᾶς τις Τάταρις, ἔχων καὶ Χάνην, ὡς λέγουσιν. Ὁ δὲ Τάταρις, Ταμουρλάνης ὢν τὸ ὄνομα, ἐκ τῶν ὁρίων ἐξελθὼν Χαταίας, ἔχων, ὥς φασιν οἱ εἰδότες, (Ms. fol. 310. b.) φωσάτον || ὑπὲρ τὰς ὀκτακοσίας χιλιάδας, ἦλθε, καὶ παρέλαβε τὴν πᾶσαν Περσίαν. Εἶτα εἰςελθὼν καὶ ἐν τοῖς ἀκρωρίοις Ἰβήρων, παρέλυσε πολέμου νόμῳ, τῷ θαυμασίῳ Τιφλισίῳ ζωγρήσας, καὶ τὸν βασιλέα Παγκράτιν, τὸν στρατηγικώτατον, καὶ τὴν ὁμόζυγον αὐτοῦ, τὴν θυγατέρα τοῦ ἡμετέρου βασιλέως, τὴν ὡραιοτάτην κῦραν Ἄννην, καὶ τὸν υἱὸν αὐτῆς Δαβίδ· τὸν δὲ λαὸν ἔθυσε μαχαίρᾳ, καὶ ἀπώλεσε. Ὁπόσα δὲ πράγματα εἷλε, καὶ ὅσας εἰκόνας ἔγδορε καὶ κατέκαυσε, καὶ λίθους τιμίους καὶ μαργαριτήρια καὶ χρυσὸν καὶ ἄργυρον ἀπεφέρετο, οὐ δύναται τῇ γραφῇ παραδοῦναι, μηνὶ Νοεμβρίῳ κα, [1386. p. C. n.] ἔτους ͵ϛωϟε.

(Ms. fol. 311. a.) 54. || Ἐκοιμήθη ὁ βασιλεύς, κῦρ Ἀλέξιος, ὁ μέγας Κομνηνός, ὁ υἱὸς τοῦ κῦρ Βασιλείου, τοῦ μεγάλου Κομνηνοῦ, ὁ δεύτερος, μηνὶ Μαρτίῳ κ, ἡμέρᾳ κυριακῇ τῆς ε ἑβδομάδος, ὥρᾳ δευτέρᾳ τῆς ἡμέρας. Ἐβασίλευσε δὲ ἔτους μ καὶ μῆνας γ, ἐτῶν ὢν ξα. Ἔτους [1390. p. C. n.] ͵ϛωϟη, μηνὶ Μαρτίῳ ε, τοῦ ͵ϛϡγ ἔτους, ἐκοιμήθη [1395. p. C. n.] ὁ βασιλεύς, κῦρ Μανουήλ, ὁ μέγας Κομνηνός, καὶ ἐτάφη εἰς τὴν θεοσκέπαστον. Ἐβασίλευσε δὲ ἔτους κζ. [1395. p. C. n.] Μηνὶ Μαΐῳ β, ἔτους ͵ϛϡγ, ἐκοιμήθη ἡ δέσποινα, κῦρα Εὐδοκία, ἡ οὖσα ἐξ Ἰβήρων, μήτηρ δὲ τοῦ βασιλέως, κῦρ Ἀλεξίου.

55. Μηνὶ Σεπτεμβρίῳ, ἰνδικτίωνος δ, ἔτους ͵ϛϡδ [1395. p. C. n.] εἰς τὰ ιδ, ἡμέρᾳ σαββάτῳ, ἦλθεν ἀπὸ Κωνσταντινουπόλεως εἰς τὸν ἅγιον Φωκᾶν ἡ δέσποινα, κῦρα Εὐδοκία, ἡ μεγάλη Κομνηνή, || (Ms. fol. 311. b.) μετὰ κατέργου καὶ ἑνὸς γρυπαρίας. Εἶχε δὲ καὶ νύμφας· εἰς μὲν τὸν αὐτάδελφον αὐτῆς, τὸν βασιλέα, κῦρ Μανουήλ, χῆρον ὄντα, τὴν θυγατέραν τοῦ Φιλανθρωπινοῦ, κῦρ Ἄννην· εἰς δὲ τὸν ἀνεψιὸν αὐτῆς, τὸν βασιλέα, κῦρ Ἀλέξιον, θυγατέραν τοῦ Καντακουζηνοῦ, κῦρ Θεόδωραν. Καὶ τῇ ἐπαύριον κυριακῇ, βροχῆς οὔσης, εἰςῆλθον εἰς Τραπεζοῦντα. Γέγονε δὲ καὶ πρέσβυς εἰς ταῦτα ὁ μέγας Δοὺξ, ὁ Ἀμυριάλης, ὁ σχολάρις.

56. Τῷ δὲ ͵ϛϡλε ἔτει, τῆς ε ἰνδικτίωνος, τῇ ιβ [1426. p. C. n.] τοῦ Νοεμβρίου, ἡμέρᾳ β, ὥρᾳ γ τῆς νυκτός, ἐκοιμήθη καὶ ἡ δέσποινα, ἡ κῦρα Θεόδωρα Καντακουζηνή, ἡ μεγάλη Κομνηνή, ἡ ὁμόζυγος τοῦ αὐτοῦ βασιλέως, κῦρ Ἀλεξίου· καὶ ἐτάφη || (Ms. fol. 312. a.) ἐν τῷ πανσέπτῳ ναῷ τῆς ὑπεραγίας θεοτόκου τῆς χρυσοκεφάλου, ἐν τῷ κοιμητηρίῳ τοῦ Γήδωνος, εἰς τὸ παράσημα.

Desunt quaedam.

57. Τῷ δὲ αὐτῷ ἔτει, μηνὶ Νοεμβρίῳ, ἦλθε καὶ ἀπὸ Γοτθίας ἡ βασίλισσα, κῦρα Μαρία, ἡ τοῦ κῦρ Ἀλεξίου ἐκ τῶν Θεοδώρων θυγάτηρ· καὶ εὐλογήθη μετὰ εὐσεβοῦς δεσπότου, τοῦ ἀνδρὸς αὐτῆς κῦρ Δαυὶδ, τοῦ μεγάλου Κομνηνοῦ.

(Ms. fol. 179. a.)

|| Τοῦ αὐτοῦ νομοφύλακος τοῦ Εὐγενικοῦ τῇ Τραπεζουντίων πόλει ἐγκωμιαστικὴ ἔκφρασις.

1. Τραπεζοῦς ἡ πόλις, πόλις ἀρχαιοτάτη, καὶ τῶν γε ἐν τῇ ἑῴᾳ πασῶν ἀρίστη, κεῖται μὲν ἐν καλῷ τοῦ Εὐξείνου πόντου κατ' αὐτὸ μάλιστα τὸ τῆς θαλάττης, καὶ τῶν πέριξ χώρων κεφάλαιον, ἥλιον εὐθὺς ἀνίσχοντα καθαρῶς ὁρῶσα, καὶ τοῖς ἐκ γῆς καὶ θαλάττης καλοῖς ὡς οὐκ ἄλλη παραπλησίως δεξιουμένη, καὶ χάρισι παντοίαις κατεστεμμένη. Ὅθεν, εἴ τις καὶ κορυφὴν καὶ ὀφθαλμόν τινα συμπάσης Ἀσίας ἢ κόρην ἐν ὀφθαλμῷ τήνδε τὴν πόλιν προςείποι, οὐκ ἂν οἶμαι τοῦ προςήκοντος ἁμάρτοι.

2. Τῆς δὲ τῶν στοιχείων ξυμμετρίας, ὃ δὴ κράτιστον ἐν συνοικίαις, καὶ τῆς ἀέρων κράσεως οὕτως ἀρίστης τετύχηκεν, ὡς ἑτέρᾳ μηδεμιᾷ τῶν πρωτείων παραχωρεῖν. Πρός τε γὰρ θέρους ὥραν τετραμμένη πρὸς βοῤῥᾶν, καὶ ταῖς ἐκεῖθεν διὰ τοῦ πελάγους αὔραις καταπνεομένη, καὶ μὴν καὶ τῷ ὅλῳ κλίματι ἐν τοῖς εὐκράτοις τῆς καθ' ἡμᾶς οἰκουμένης πεφυκότι, καὶ τῷ διὰ τῆς μεγάλης πόλεως παραλλήλῳ θαυμασίως κέκραται· πρός τε χειμῶνος ἅτε ἐν τοῖς περὶ τὴν Ἀσίαν τοῦ Πόντου τὸ ὅμοιον μετρίως ἔχει.

3. Ἡ αὐτὴ δὲ καὶ πόλις ὅλη καθ' αὑτὴν καὶ ἀκρόπολις οὐ τῶν περὶ αὐτὴν μόνον ἀγρῶν καὶ θείων σηκῶν καὶ τῶν τερπνῶν προαστείων, ἀλλὰ καὶ τῶν ἔξω καὶ ἀπωτέρω πολισμάτων αὐτῆς καὶ κωμῶν, καὶ ξυμπάσης ἁπλῶς τῆς περιοικίδος, ἤδη δὲ καὶ τῶν ἀντιπέραν ἐνίοις, ὅσοις κόσμος τὸ ἀπὸ Χριστοῦ καλεῖσθαι.

4. Στεῤῥῷ δὲ τείχει καὶ πύργοις ἠσφαλισμένη, καὶ τοῖς ἑκατέρωθεν ποταμοῖς καὶ φάραγξι καὶ ταῖς κύκλῳ δυσχωρίαις περιπεφραγμένη, καὶ ἀντ' ἀκροπόλεως ἄνω πρὸς ταῖς κορυφαῖς || (Ms. fol. 179. b.) ἐν ἐπικαίρῳ τόπῳ τοῖς λαμπροῖς βασιλείοις κατωχυρωμένη, πόῤῥωθεν ἀεὶ τῶν πολεμίων ἔφοδον ἀποτρέπει, καὶ πᾶσαν ἀσφάλειαν τοῖς

οἰκήτορσιν ἐμποιεῖ. Δῆλον, ὡς οὐδέπω καὶ νῦν ἐς τόδε καιροῦ (εἴη δὲ καὶ δι' αἰῶνος) οὔποτ' ἐχθροῖς ἑάλω, οὐδέ γε δούλιον ἦμαρ εἶδε, καὶ ταῦτα τοσούτοις βαρβάρων ἔθνεσι περιστοιχιζομένη, καὶ ταύτην πολλῷ μᾶλλον ἔχειν, ἢ τὴν ἑαυτῶν ἑκάστοις εὐκτὸν τιθεμένοις. Ἀλλὰ καί, ὃς πάλαι πρῶτον Ῥωμαίοις καὶ τῇ τότ' ἐκείνων σχεδὸν παγκρατεῖ ῥώμῃ καὶ ἀρχῇ περιεποιήσατο, Πομπήϊος ὁ Μάγνος, πειθοῖ μόνῃ καὶ συνθήκαις, ἀλλ' οὐ βίᾳ καὶ νόμῳ πολέμου ταύτην αὐτοῖς ᾠκειώσατο. Τοσόνδε τὸ ἐλευθέριον αὐτῇ πάλαι σύντροφον.

5. Σφόδρα δ' οὖσα θαλάττῃ ἀγχίθυρος, καὶ τῶν ἐντεῦθεν καλῶν ἐπιεικῶς ἀπολαύουσα, σφόδρα ταύτης αὐτῆς καὶ τῶν ἐξ αὐτῆς θορύβων ὑπερῆρθαι δοκεῖ, ἐλευθερίως καὶ μεγαλοπρεπῶς ἔχουσα τῷ σχήματι, ἐπιβαίνουσα μὲν ταῖς ἀκταῖς ὁμαλῶς, ἀναβαίνουσα δὲ ἐπὶ τοὺς λόφους εὐφυῶς· ἐπὶ πολὺ μὲν ὕψου τῆς γῆς ἐξῃρμένη, εἰς μέσον δὲ ἀέρα τῷ πλείστῳ μέρει θαυμασίως ἀνῳκοδομημένη, Ὀλύμποιο δὲ καρήνων (ποιητικῶς εἰπεῖν) ἔστιν οὗ τῶν ὀρείων ἐφαπτομένη. Ὅθεν τοὺς οἰκήτορας καὶ τοὺς αὐτῇ προσιόντας ἅπαντας γῆθεν ἀνάγει, καὶ μεταρσίους παρασκευάζει, καὶ ὥσπερ τῷ σώματι στεῤῥοὺς καὶ εὐζώνους, οὕτω δὴ καὶ τῷ φρονήματι ὑψηλοὺς καὶ μετεώρους καὶ τὸ ὅλον οὐρανίους ἀποτελεῖ· τοσοῦτον μόνον λυποῦσα τοὺς πόδας τούτων, ὅσον εὐφραίνει μᾶλλον κἂν τῷδε βραχεῖ πόνῳ θεαμάτων ἐποφθέντα σφίσι τὰ χαριέστατα· οἷον ἂν εἴ τις οὐ προῖκα, ἀλλὰ μικρᾶς τιμῆς ἀγάλματα κτήσαιτο πολυτελῆ, ὡς μὴ ἡ κτῆσις τούτων εὐκαταφρόνητος εἴη, προχείρως ποριζομένη.

Ms. fol. 180. a. 6. Ἀρετὴ καὶ ἀρετῆς ἀτεχνῶς σκιαγραφία ἥδε || ἡ πόλις. Μακρὸς μὲν καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν, καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται, ῥηϊδίη δ' ἔπειτα πέλει χαλεπή περ δοκοῦσα, μικρὸν ὑπαλλάξας ποιητὴν ἂν εἴποι τις. Χρηστὸν ἄρα καὶ τόδε, καὶ τῆς προνοίας οὐκ ἐκτός, ὡς μὴ πάντῃ ἄμικτον ἐπιπόνου τὸ τοῦ καλοῦ χάριεν εἴη, μηδ' ἡ παροικία, μηδ' ἡ ὑπερορία πάντα τὰ τῆς ἀληθινῆς ἡμῶν πατρίδος ἔχῃ. Ἱπποδρομίαι οὖν ἄνω, καὶ ἱππηλασίαι, καὶ πεδιάδες τερπναί, καὶ συνεχεῖς χάριτες ἐν τοῖς πλείστοις ἔξωθεν ἡπλωμέναι τῆς πόλεως, καὶ ἀγώνων πέριξ καὶ βαλβίδων καὶ θεάτρων χῶρος καὶ πανηγύρεων, οἷς οὐκ ἂν ῥᾳδίως ἑτέρωθι· ὥστε τὴν αὐτὴν ἔσωθέν τε διαναπαύειν τοὺς πολίτας εὐφυῶς ἐν τοῖς κόλποις, οἷά τινα μητέρα τὰ νεογνῆ χρηστὴν καὶ φιλόστοργον, καὶ μὴν καὶ συχναῖς ἔξω ταῖς παρ' ἑαυτῇ χάρισι τὸ τῆς περιχώρου σκληρὸν καὶ τὸ τῆς πέτρας ἀπότομον ψυχαγωγοῦσαν, καὶ πυκνοῖς ἀγροῖς καὶ σεμνείοις καὶ νεῶν κάλλεσιν ἡμεροῦσαν· πηγῶν νάμασι τερπνοῖς διαῤῥεομένη, ποταμοῖς ἀενάοις ἀρδευομένη, λειμῶσι παντοίοις δορυφορουμένη, φυτοῖς ἀειθαλέσι κατεστεμμένη, θαλαττίοις κόλποις δεξιουμένη, καὶ τά τε παρ' ἑαυτῇ καλὰ μὴ σὺν μακρῷ πόνῳ φιλανθρώπως τοῖς πλωτῆρσι παρεχομένη, καὶ τῶν ἐξ ἐμπόρων διὰ γῆς καὶ θαλάττης ἀπόνως ἀπολαύουσα χρηστῶν. Τὸ δ' ἄριστον, ὡς πολλὰ μὲν αὐτοῖς οἱ πλέοντες, μικρὰ δ' αὕτη δεῖται τῶν ἔξωθεν, οἴκοθεν προβαλλομένη τὰ χρησιμώτατα.

7. Ὁ γοῦν τὴν καρδίαν ἀνθρώπου στηρίζων, καὶ ὁ τὴν αὐτὴν εὐφραίνων, || καὶ τὸ ἱλαρύνον τὸ πρόςωπον (Ms. fol. 180. b.) κάλλιστα δεῦρο πάντα καὶ εὔωνα. Ὄρη γοῦν ὅλα καὶ πεδία καὶ νάπαι καὶ φάραγγες. Ἐλαῖαι πανταχόσε κατάκαρποι· ἄμπελοι δέ, τί δεῖ λέγειν; ὡς μὲν οἰνοπληθὴς ἡ γῆ, ὡς δὲ πρὸς τῇ βωτιανείρῃ καὶ εὐμήλῳ καὶ πίονι καὶ ἐριβώλακι καὶ βοτρυόδωρος. Ἐκάλυψεν ὄρη τῇ σκιᾷ, Δαβὶδ ἂν ᾖσεν, ἑκάστη ἄμπελος, καὶ ταῖς ἀναδενδράσιν αὐτῆς τὰς κέδρους τοῦ θεοῦ· ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάττης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἐπαγγελίας ἀτεχνῶς ἄλλη τις ἥδε γῆ, γῆ βρύουσα μέλι μὲν ὑπὲρ τὸν Ὑμηττόν, γάλα δὲ κατὰ τὸ μάννα, ὁποῖαν δὲ οἷον τὸ μέλι.

8. Εὐγενὴς ὄντως ἥδε ἡ πόλις· καὶ καλῶς ἄρα καὶ ὁ φερώνυμος γενναῖος καρπὸς ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς, ὁ μέγας τρισαριστεὺς καὶ πολιοῦχος Εὐγένιος.

9. Αἶρει καὶ αὕτη κύκλῳ τοὺς ὀφθαλμοὺς ἡ νέα Σιὼν καὶ βλέπει θεοφεγγεῖς ὡς φωστῆρας ἐκ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα αὐτῆς, τοὺς ἱεροὺς πατέρας, ἐν τοῖς θείοις τεμένεσιν ἀπαύστως εὐλογοῦντας θεόν.

10. Ὃ δὲ αὐτῆς ἐγὼ τῆς τε πόλεως τῆς τε χώρας μᾶλλον τῶν ἄλλων καλῶν τεθαύμακα, καὶ ᾧ διαφερόντως ἐπαγάλλομαι, ὅτι καὶ τοῖς ἐν τῷ βίῳ πᾶσάν τε ἀφθονίαν τῶν ἀναγκαίων ἐπιχορηγεῖ, καὶ μέντοι καὶ ζῆν κατὰ μοναχοὺς τῷ πλέονι παρέχεται τῷ ἐρημικῷ καὶ ἠρέμῳ τῶν προαστείων. Καὶ μὲν δὴ καὶ τοῖς ἔξω κόσμου καὶ θεῷ μόνῳ ζῆν καὶ προσανέχειν ᾑρημένοις, πάνυ τι πρὸς τὸν οἰκεῖον σκοπὸν συνεπικουρεῖ· καὶ περὶ τὰς ἐλαιῶν λόχμας ὡσεὶ ἐλαῖαι καὶ οὗτοι κατάκαρποι ἐν τοῖς οἴκοις τοῦ θεοῦ.

11. Σοφὸν οὖν εἰδυῖα τὸ μέτρον ἄριστον, καὶ πανταχόθεν ἐπιεικῶς τὴν ξυμμετρίαν τιμῶσα, οὔτε μακραῖς πεδιάσιν ὑπτιάζει, οὔτε κορυφαῖς ὀρῶν ὑψηλαῖς καθάπαξ ὑπερηφανεύεται· ἀλλὰ καὶ τὸ ἀνειμένον αὐτῇ μέτριον, τὸ φοβοῦν ἔχον || ἔγγιστα, καὶ τὸ (Ms. fol. 181. a.)

τραχύτον καὶ στύφον, ἡδονῇ παραμέμικται· ὡς δοκεῖν ἑνὸς ἀνδρὸς τῶν σπουδαιοτάτων ἤθει παιδευτοῦ, τήν τε ἐπιείκειαν τῷ τοῦ εἴδους σεμνῷ μεγεθύνοντος, καὶ τὸ σφοδρὸν αὖ τῆς παιδείας καὶ σύντονον εὐφυῶς τῇ χρηστότητι καθηδύνοντος, καὶ διὰ πάντων ὥςπερ ἐν φθόγγοις λύρας εὐαρμοστίαν καὶ συμφωνίαν προδεικνύντος καὶ τέρψιν ἄφατον.

12. Ὡς δὲ καὶ τῇδε (συγκαταβαίνει γὰρ συνεχῶς), καὶ τοῖς ἐκ λειμώνων καὶ πεδίων ἡμᾶς δεξιοῦται τερπνοῖς, καὶ ἀνατρέχει πάλιν πυκνῶς εἰς λόχμας καὶ τέμπη καὶ βήσσας καὶ πρῶνας καὶ ἀκρωρείας, ἥμερα καὶ ἀρόσιμα τὰ πλείω, θήρᾳ παντοίᾳ καὶ κυνηγεσίοις πάντα δορυφορούμενα, ὥςτε ἔχειν, ὅσαι ὧραι, τοὺς προςοίκους αὐτῇ πτῶκας βάλλειν, καὶ κατατρέχειν δορκάδων, καὶ κάπροις ἔστιν οὗ θηριομαχεῖν, καὶ ἐπιβουλεύειν ἀλώπεξι, καὶ κεραοῖς ἐλάφοις ἐπαγωνίζεσθαι· αὖθίς τε ὠτίσι καὶ περιστεραῖς καὶ πέρδιξι καὶ κοψίχοις καὶ ὄρτυξι καὶ γήτταις καὶ φάτταις ἐπεντρυφᾷν. Διχόθεν δ' εἶναι θηρατὰς, καὶ ὅσαι ὧραι, γυμνάζεσθαι τοὺς προςοίκους καταναγκάζει, κυνηγέτας τε, ὅποι παρείκοι· ὅθεν δεινοὶ τὰ πολεμικά, Λακεδαιμονίων οὐδὲν ἧττον, καὶ θαλαττουργοὺς ἅμα τοὺς αὐτούς, ἐξ οὗ κατὰ τοὺς πάλαι Ἀθηναίους τὰ ναυτικὰ κράτιστοι. Ὥςτε ἐρίζειν δεῦρο σαφῶς ἤπειρόν τε καὶ θάλασσαν, τὴν μὲν ὅλας ἀγέλας πτηνῶν καὶ χερσαίων ζώων καὶ κνωδάλων, τὴν δὲ ἰχθύων καὶ ζωοφύτων προβαλλομένην. Λεληθότως γε μὴν τὸν ἑκατέρωθεν ἀπεργάζεται σύνδεσμον, καὶ τῇ ἱλαρᾷ καὶ πυκνῇ ἐπαλλαγῇ τὴν ὄψιν ἡμῖν λαμπρῶς ἑστιᾷ.

13. Ἑκάστῃ δὲ αἰσθήσει θαυμασίως ἥδε ἡ χώρα πομπεύει τε καὶ δωροφορεῖ. Ὀφθαλμοῖς μὲν εὐθὺς πρόκειται θεαμάτων τὰ κάλλιστα καὶ λαμπρότατα, πεδίων ἑξῆς καὶ λειμώνων τερπνότης, καὶ ἀνθέων ποικιλία, καὶ δρυμῶνες μακροί, καὶ βουνῶν ἡμερωτάτων ὄγκοι, θάμνων τε καὶ πόας χλωρότης, || Ms. fol. 181. b. καὶ ἄμπελος ἀνηρτημένη, καὶ φυτὰ βρύοντα, καὶ περιχορεύειν δοκοῦσαι κυπάριτται· αἱ κιτρίαι δὲ καὶ δι' ἔτους ὀργῶσαι τῷ τῆς ἄνθης εὐώδει καὶ λευκῷ, καὶ τῷ τῶν φύλλων καὶ πτόρθων χλοερῷ τὸ τοῦ καρποῦ κιῤῥὸν ξυμμερίζουσαι, καὶ ξένην θέαν καὶ τέρψιν καὶ κάλλος ἄφατον ἀπεργαζόμεναι· σκηνὴν εὐρεῖαν ἑκάστη καὶ τυραννικὴν ἀπομιμουμένη, ἀποχρῶσα σκιάσαι συχνούς, οὐδαμῇ χρυσῆς πλατάνου βαρβαρικῆς ἀτιμοτέρα, ὑφ' ἣν τεθρυμμένος πάλαι φασὶ Ξέρξης, ὁ Περσῶν βασιλεύς, ἐκαθέζετο.

14. Τῇ δ' ὄψει καὶ ἀκοὴ καὶ ὄσφρησις συνήδεται, ἡ μὲν τοῖς τε ἄλλοις τῶν μουσικῶν (πάντα πανταχόθεν ἦρος ὥρᾳ καταφωνοῦσιν, ἔνια δὲ καὶ δι' ἔθους, ψάλται τέχνης πλὴν τί δ' ἄλλο;), καὶ μὴν καὶ Πανδιονίδι κόρῃ, Πρόκνῃ ἡδείᾳ, τὸν υἱὸν Ἴτυν ἀνακαλουμένῃ, μυθικὸς ἄν τις εἴποι, ἣ δὴ θαμὰ τρωπῶσα χέει μελίγηρυν ἀοιδήν· ἡ δὲ ταῖς πολλαχόσε ῥοδωνιαῖς καὶ πᾶσιν ἄνθεσι ξὺν αὔρᾳ τερπνῇ ζωὴν φέροντος εὐκραέος Ζεφύροιο, φησὶ τὸ ἔπος, πανταχόθεν προςβάλλουσι.

15. Καὶ μὴν καὶ γεῦσις καὶ ἁφὴ παραπολαύει τελεώτερον τῶν τῇδε καλῶν. Διὰ πάσης γοῦν τῆς περιοικίδος ὄγχαι τε, ῥόαι τε, συκέαι τε γλυκεραί, καὶ μηλέαι ἀγλαόκαρποι, ὁ ποιητὴς ᾄδει. Τὸ γάρ τοι χαριέστερον, ὡς ἐν μέσῃ πέτρᾳ καὶ ἄμπελος ἡβᾷ, καὶ μυῤῥίνη βρύει, καὶ ἐλαία θάλλει, καὶ κυπάριττος ἀνατρέχει, καὶ ψυχρὸν ὕδωρ ᾄττει, καὶ τοῖς ὀρείοις καὶ ἀκάρποις φυτοῖς, οὗ κυνηγέται κυσὶ καὶ τοῖς κνωδάλοις συμπεριθέοντες καὶ θηριομαχοῦντες ἔνιοι, συχνὰ τῶν ἡμέρων παραμέμικται (ἐν οἷς καὶ μελιττῶν φιλεργία δι' εὐνομίαν πολλαχῇ τὸ κηρίον συμπήγνυσιν), ἀφθόνως πάντα τοῖς παριοῦσιν ἐν ἀρίστου καὶ δείλης καὶ δείπνων ὥρᾳ ἀντὶ παντὸς ὄψου προκείμενα. Θρέψαι τε καὶ ψυχαγωγῆσαι τοὺς πονου || μένους θηρατάς, καὶ δρυτόμους, Ms. fol. 182. a. καὶ ὁδοιπόρους, καὶ νομεῖς ἀποχρῶντα. Τοῖς γοῦν κοτίνοις καὶ ταῖς εἰρεσιώναις ἐλαῖαι τῶν εὐγενῶν, καὶ τοῖς ἐρινεοῖς ὁ τῆς ἡμέρου κράδης καρπός, σῦκα γλυκερά, σεσηρότα καὶ παραπτύονται τοῦ μέλιτος, καὶ ταῖς ὄγχαις ἄπιες εὔκαρποι, καὶ ταῖς ἀγρίαις οἴναις ἡμερόδρυες πολλαχοῦ, καὶ τοῖς ἐκ δρυῶν δραχέσι καὶ στύφοις αἱ Διὸς βάλανοι.

16. Ἡ γὰρ ἀέρων κρᾶσις καὶ εἰς γῆν καὶ τὰ ἐκ τῆς γῆς ὥςπερεὶ διαβαίνει. Ὅθεν καὶ τὰ ἐκ τῶν δεῦρο ταύτης λαγόνων ἀναῤῥοιβδούμενα νάματα (ὕδωρ, τὸ πολὺ χρηστότατον τῶν στοιχείων καὶ ἀναγκαιότατον, τὸ νηφάλιον καὶ εὔωνον πόμα, πατέρες φασί· Δαβὶδ δ' ἂν ἐπὶ τῷδε μᾶλλον ᾖδε πιών, ὡς εὐφραίνει καρδίαν ἀνθρώπου), οὐ διειδῆ καὶ ψυχρὰ μόνον, ἀλλὰ καὶ ἥδιστα καὶ ὑγιεινότατα, εἴπες ἄν, τοῖς παρὰ τῶν ἰατρῶν ἐπὶ σωτηρίᾳ τοῖς καχεκτοῦσι διδομένοις φαρμάκοις ἁμιλλᾶσθαι σαφῶς. Ἐντεῦθεν τοῖς δεῦρο προςοίκοις ἔμφυτον τὸ τῆς ὑγιείας καλόν, οὗ κρεῖττον φασὶν οὐδέν.

17. Ἀλλ' οἷον ἤδη μικροῦ με παρέδραμεν, ἄξιον ὄν, εἴπερ τι, προστεθῆναι. Μόνη γὰρ ἥδε ἡ πόλις, ἢ κομιδῇ γε σὺν ὀλίγαις, πᾶσιν ἔργοις καὶ πάσαις ἐπιστήμαις διαρκεῖ, καὶ τὰ παρ' ἑαυτῆς ἁπάσαις τέχναις καὶ ἐπιτηδεύμασι χορηγεῖ, γηπόνοις, καὶ ποιμέσι, καὶ δορυξόοις, καὶ τοξοποιοῖς γε, καὶ λιθουργοῖς, καὶ ποικιλταῖς δέ, καὶ ὑφάνταις, καὶ κναφεῦσι,

καὶ βαναύσοις, καὶ πᾶσιν ἁπλῶς· γεωργοῖς μὲν ἄρουραν ἐριβώλακα καὶ ναμάτων ἀφθονίαν, εἴ που κηπεῦσαι φιλοπονώτερον ἐπεργαζομένοις ἐγγένοιτο· οἰκοδόμοις δὲ καὶ ναυπηγοῖς, καὶ ὅλως εἰπεῖν τέκτοσι, λόχμας ὅλας, καὶ ξύλα παντοῖα, καὶ μυρίων δένδρων χορὸν ἔν Ms. fol. 182. b. τε πεδιάσι καὶ ὄρεσιν· || ἱστουργοῖς δὲ καὶ ὑφασμάτων σοφίᾳ καὶ ποικιλτικῇ ἐπιστήμῃ λῖνον καὶ ἔρια καὶ τὰ ἐκ Σηρῶν νήματα· τοῖς ἐμπόροις δὲ πᾶν, ὅτου δέοιντο.

18. Φιλίπποις γάρ, καὶ φιλοθεάμοσι, καὶ φιλάθλοις, καὶ γυμνασταῖς, καὶ ἀθληταῖς, καὶ τοῖς θηρεύουσιν, εἴρηταί τε πρώην· καὶ βραχὺς ἴσως ὁ περὶ τάδε τῶν καλῶν λόγος. Ἀλλ' εἴπω τὸ ἡμέτερον, δέον γε καὶ πρὸ τούτων. Τοῖς γοῦν σοφοῖς καὶ περὶ λόγους ἐσπουδακόσι πατρὶς αὐτόχρημα καὶ χῶρος ἐξαίρετος, ἀραμένῳ τὸ βιβλίον, καὶ βραχύ τι προβάντι ὑπὸ σκιάν, ἐν ἠρέμῳ γενέσθαι, καὶ πόᾳ μαλακῇ προσιζῆσαι, καὶ νάμασι κελαρύζουσι, καὶ φύλλοις φυτῶν ὑποψιθυρίζουσι, καὶ πτηνοῖς περιϊπταμένοις καὶ περιβομβοῦσι, ξυμφιλοσοφεῖν ἥδιστα καὶ ξυμφθέγγεσθαι.

19. Εἰ δὲ δεῖ τι καὶ ἀπὸ τοῦ ὀνόματος προπεριεργάζεσθαι, ὡς τράπεζά τις λαμπρά, καὶ τραπεζοειδὴς ἀτεχνῶς ἡ φερώνυμος Τραπεζοῦς ἥδε πόλις, χῶρος ἀναγκαίας τρυφῆς καὶ θεοφιλοῦς τοῖς προσέχουσιν ἀπολαύσεως. Τράπεζα μὲν ἱερὸν χρῆμα, σοφός ἔφη τις, δι' ἧς ὁ θεὸς τιμᾶται φίλιος καὶ ξένιος· καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία θεοῦ πεποίηκεν ἑστιάτορα.

20. Ταῦτα ἐκ πολλῶν ὀλίγα τῇ καλλίστῃ τῇδε Τραπεζουντίων πόλει· ἐμοὶ μὲν ἥδυσμα καὶ ἀηδίας φίμωτρον, καὶ τῆς ἐπὶ τῷ κρατοῦντι λύπης, καὶ τῶν δακρύων παραψυχή· τοῖς δὲ βασιλεῦσι μικρὸν φιλοτίμημα· τῇ πόλει δὲ αὐτῇ δῶρον ξένιον.

Index rerum et nominum in Eustathio memorabilium

D

I

N

O

P

T

U

V

X



Index verborum in Eustathio memorabilium

E

Z

H

Θ

I

K

Π

T

X

Index nominum, rerum et verborum in scriptoribus Trapezuntinis memorabilium.

D

E

R

S

EMENDANDA IN IMPRESSIS.

Pag. 11, 62. legendum ὑπέροφρυ.
— 12, 82. ὁμοθρήσκων καί (σαφῶς ὀνομάσαι) ὁμοχριστιανῶν ἀλλά κ. τ. λ.
— — 94. ἀπομύρομαι.
— 13, 16. 17. καί ἀβέβαιοι μοχθοῦμεν, deleto [οὐ].
— — 18. μάτην;
— 15, 38. βασιλεύς (pro βαλήν).
— 18, 27. ἐν διδασκάλοις (pro ἐνδιδασκάλως).
— 21, 11. οὐρανοπολῖται.
— 35, 12. καταρτίσαι pro καταρτιᾶν.
— 37, 24. θεοῦ.
— — 15. ἐνάρκησαν pro ἐνήρκεσαν.
— 38, 85. πάππα.
— 39, 8. παπταίνειν.
— 41, 65. ὀκρίβαντα pro Ὀκρίβαντα.
— 44, 52. ἔχουσιν.
— — 54. 55. γάρ τοι, καθά κ. τ. λ.
— 47, 19. 20. καταγελασθῆναι· γνωστός κ. τ. λ.
— — 22. ὡς, εἴπερ κ. τ. λ.
— 48, 33. ὁμωνυμίαις.
— 49. (titulus paginae) IX [In Ananiam etc.] pro XI etc.
— 53, 85. ἀνατεταμένοι.
— 54, 46. χώραν.
— 55, 10. ὅση.
— — 63. καί θαλάσσῃ.
— 57, 15. ἀντίχαρι.
— — 82. ὀνοματικῷ.
— 58, 77. θεός ὁ Πάν (pro θετός κ. τ. λ.)
— 59, 14. Ὅτι δέ κ. τ. λ.
— — 38. εἶτα.
— — 82. ἠσμένων.
— 71, 22. ἀνελλιποῦς.
— — 65. Εἰ δέ κ. τ. λ.
— 72, 8. 9. τοῖς ἱεροῖς (τοῦτο δή τό ἱεροσυλικόν). 50. Χρή etc.
— 75, 52. (οἴδατε.. λέγω), τόν etc.
— 80, 16. παλιννοστήσει.
— 83, 41. περιετράπησαν.
— 84, 9. καταπνίοντι.
— 87, 25. πολλῶν, καί τῶν etc.
— — 26. φρικτῆς προοιμίων.
— 97, 37. ὅλος.
— 99, 64. ἱματιοπώλην.
— 101, 26. αὐτά κ. τ. λ.
— 102, 19. εἴς γε.
— — 24. 25. μνησικακεῖν. Ἀγαθοποιίας ὁ δεῖνα μέμνηται.
— — 47. δικανίζειν.
— 103, 47. Μαμμάκουθόν τινα.
— — 48. Μελιτίδην.
— — 48. Πολύωρον.
— 104, 8. (καί οὐ κ. τ. λ.)

Pag. 104, 76. legendum καιριωτέρων.
— 109, 66.]ω, μετρεῖ.
— 117, 76. γενέσθαι πολλοί.
— — 77. εὐτετυχηκότες, ὁσίων.
— 119, 17. Προςώζεσαν.
— 128, 11. ἰχνηλατεῖν.
— 132, 1. ἠσφαλισμένη.
— 133, 48. Πανόπτου.
— 139, 67. παροιμιάζεται.
— — 68. ἀνάρτυτον.
— 142, 79. καί αὐτός.
— 146, 69. μυρμηκιάν.
— 151, 77. ὡς, ἐκείνων κ. τ. λ.
— 155, 13. ἀναμῦσαι.
— 157, 84. ἄφροι.
— — 86. ἄφρων.
— 158, 87. ἐπισπώμενος, εἴ πως .... ἐμπολιτεύοιτο), πάμπρωτα.
— 160, 52. εἶθε.
— 163, 29. ἠναγκασμένως.
— 164, 45. κόσμος, τά.
— 166, 28. λιμνάσαν.
— — 34. πάμμακαρ.
— — 52. πορφυρώσασα.
— 167, 50. αὗται.
— 171, 48. ἀνδράσιν.
— 182, 70. καταληφθήσεται.
— 183, 31. πύργον ά. Χαλάνης. V. seq. pag. c)
— — 41. εἶναι.
— 180, 95. σιδηρούμενοι, τοῦ.
— 192, 30. ἐκείνοις.
— 203, 93. ἀπρόςκοπα.
— 205, 96. ἐμβατεύειν.
— 208, 41. Σωλομώντειος.
— 210, 84. ἔσχεν.
— 216, 83. ἀδιάρθρωτος.
— 218, 9. αὐτεπάγγελτος.
— 228, 23. περιπίτεσθαι.
— 221, 39. ὡςεί.
— 236, 55. καί.
— 241, 3. 4. ἐκφαίνου· ἄλλος .. προαγόμενος. Οὐδέν τι.
— 245, 43. ἱεροί λόγοι.
— — 94. κοπιᾶς.
— — 87. καλόγερως.
— 251, 29. Μεγαλοπολίταις.
— 254, 75. σίμβλοις.
— 255, 19. γοῦν δύνανται.
— 256, 83. ἥκων, ἐπλαγίασας.
— — 46. τό ἱκέσιον.
— 258, 50. ἐντεθυμημένος τό.
— 259, 90. κόσμῳ, καιρός.
— 267, 9. 10. περιεγένοντο.
— — 74. τοσοῦτον δε, μόνῳ.
— 268, 38. ἐκκρουόμενος, οὔπερ.
— — 46. ὀρθῶς.
— — 47. Ἤ.

Pag. 168, 77. legendum γλυκύν.
— 270, 12. ἔχοιμι.
— — 46. ἀρετῇ.
— 272, 22. Παντεχνοῦ.
— — 24. Παντεχνῆς.
— 274, 29. οὐδαμοῦ, καί.
— 276, 15. συμπεπηγός.
— 278, 28. Ἀπλούχειρ.
— 279, 8. Καματηρόν.
— 280, 6. 7. Μανουήλ ὕστερον.
— — 33. μνηστήν (ω̃. .κανοῦ), νεάνιδα θυγατέρα τοῦ.
— 281, 3. κατάρξας.
— — 8. ὅπως.
— 283, 30. ἐναπερευξάμενος εἰς Κωνσταντινούπολιν, γαμβρόν.
— 285, 51. τολμήσαντα.
— 288, 87. ζαβαρείους.
— 290, 80. δι' ὧν.
— 292, 76. τρεσᾶς, pro τρεσας, coll. Wolff. literar. Analect. T. II. p. 51. Et hoc τρεσᾶς addendum indici nostro Graecitatis. Eandem vocem iterum habet Eustath. ms. ad Jo. Damasc.
— 295, 16. ἰδόντες τά τε. . . κάτω, ἐξ.
— — 63. πτώματος, τοῦ μυροβλύτου καί.
— — 88. ῥαισάντων.
— 297, 77. Ἦν.
— 298, 14. τίς ποτε.
— 300, 73. διεκπέφευγε.
— 302, 44. ἀνασχήσεις.
— — 57. ἐνδόθεν.
— 304, 9. ὅσα κατ' αὐτούς; Πᾶς.
— 305, 24. ἔῤῥιπτε.
— — 65. (in marg.) fol.
— 306, 27. οὐδ' εἷς.
— 308, 9. ἑσμός pro ἐσμός.
— 314, 53. Σμινθεύς.
— — 54. μῦν.
— 315, 24. εἰ μή.
— 316, 25. εὖ.
— — 94. ἥκοντος.
— 317, 47. ἔναλλον.
— 318, 74. ἧς.
— 320, 68. χρηματίσας, ἐπί.
— 321, 71. ἔστρεψα.
— 324, 57. ἐνδακοῦσαν.
— 326, 92. ἔστιν.
— 327, 1. (ὁ λόγος).
— 328, 63. Παντεχνῇ.
— 329, 14. ἄν ἔχοι.
— — 35. ῥύπον.
— 330, 22. ἀπηναιδευσάμην.
— 337, 71. τόν.
— 341, 73. καθαπερεί τις.

Pag. 342, 79. leg. *ἔπαθον.*
— 344, 10. [*πλείστου*].
— 347, 45. *ἔχε.*
— 355, 33. *ἔνδον.*
— 356, 36. *γρύξαι.*
— 360, 3. *αἴσθησιν, τούτῳ πάσης κ. τ. λ.*
— 360, 14. *καταχίον*, pro *κατακίον*,
— 362, 30. Ibi in margine post 30 dele 40.
— 363, 74. *κουλᾶν* (pro *Κουλᾶν.*) Vide *κουλᾶ* lin. 53. Est enim *κουλᾶ castellum*, atque idem quod Turcicum *kola, kalc.* Item *κουλᾶς* leg. p. 365, 35.; p. 367, 74. *κουλᾶ.*

Pag. 364, 52. In margine dele numerum 70.
— 367, 22. leg. *μάγγανον.*
— 368, 4 *διακαινησίμου.*
— — 12. *ἁγιαστὴν.*
— 368, 27. *τῷ Παγκρατιᾷ*, i. e. Bagratii filio. Hinc apud Slavos nomen *Bagration.*
— 369, 21. *καλοκέριν*, pro *Καλοκέριν.*
— 369, 59. *ἐσκότωσαν.*
— 371, 96. 372, 1. *μέτριον τὸ* (sine commate) ... *στύφον ἡδονῇ* (sine commate).
— 372, 37. *κυπάριττοι.*
— 372, 76. *τραχέσι.*
— 375, b) 21. *Aborigines.*
— — c) 4. (infr.) Aeacus et Iupiter.


Pag. 376, b) 26. leg. *ἁμαξιτοί.*
— 382, b) 6. *Χαλάνης πύργος*, non *χαλάνης πύργος.* Habetque *Χαλάνης πύργον* etiam Nicephorus Chumnus ap. Boissonad. anecdd. Gr. T. II. p. 160. Est autem is turris idem turri Babel, coll. Boissonad. ibid. p. 160.
— 383, c) 6. (infr.) *crocodili.*
— 384, a) 11. (infr.) cupressi.
— 394, c) 22. Iupiter et Aeacus.


Index Graecitatis:

— XV, c) 21. *ἴγιος.*
— XXI, d) 12. infr. *παιγνήμονα.*
— XXIII, d) 6. infr. *πηγάζον.*



TAB. LXXXVI.










Fig. 5



